Δρος ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΣΙΑΜΑΚΗ

Ε.Π.Ι.ΓΡΑ

Ε.Π.Ι.ΓΡΑ

Ἐκδίδει· Δρ Κωνσταντῖνος Σιαμάκης

GRAECANICA
PENES BIBLUM IUDAICA LITERATURA
(Ε.Π.Ι.ΓΡΑ)

CURATIO TEXTUUM
Dr Constantinus Siamakis

EDITIONES DONAX
THESSALONICE MMXX

ΕΛΛΗΝΟΓΛΩΣΣΟΣ
ΠΑΡΑΒΙΒΛΙΚΗ ΙΟΥΔΑΪΚΗ ΓΡΑΜΜΑΤΕΙΑ
(Ε.Π.Ι.ΓΡΑ)

ΕΠΙΜΕΛΕΙΑ ΚΕΙΜΕΝΩΝ
Δρ Κωνσταντῖνος Σιαμάκης

ΕΚΔΟΣΕΙΣ ΔΟΝΑΞ
ΘΕΣΣΑΛΟΝΙΚΗ 2020

Δρος Κωνσταντίνου Σιαμάκη
ΕΛΛΗΝΟΓΛΩΣΣΟΣ ΠΑΡΑΒΙΒΛΙΚΗ ΙΟΥΔΑΪΚΗ ΓΡΑΜΜΑΤΕΙΑ

© Δρ Κωνσταντῖνος Σιαμάκης
ISBN 978-960-7127-41-9

Χορηγοί: ἀνώνυμοι κατ' ἐπιθυμίαν των

Διορθωταὶ τυπογραφικῶν δοκιμίων οἱ μαθηταί μου:
1. Ἀθανάσιος Σιαμάκης, θεολόγος καὶ φιλόλογος, ἀδερφός μου
2. Ἀντώνιος Σιδηρόπουλος, θεολόγος καὶ φιλόλογος
3. Ἰωάννης Ἀβραμίδης, δικηγόρος καὶ φιλόλογος

Τυπογραφεῖο:
Παῦλος Γιαννούλης· ὑπεύθυνος τυπογραφείου
Κωνσταντῖνος Τσολερίδης· ἐπιμελητὴς ἐκδόσεως
Κυριακὴ Νταλακούδη· στοιχειοθεσία, σελιδοποίησι

Βιβλιοδεσία: Ἰωακὶμ Τρικαλιάρης

Ταχυδρομικὴ διεύθυνσι - παραγγελίες ἐπὶ ἀντικαταβολῇ

Δρ Κωνσταντῖνος Σιαμάκης
Τ.Θ. 1635 - Πανεπιστημιούπολις
540 06 Θεσσαλονίκη

τηλ. 2310 - 73.73.77

Ἐκδόσεις ΔΟΝΑΞ
Τ.Θ. 1635 - Πανεπιστημιούπολις
540 06 Θεσσαλονίκη

τηλ. 2310 - 73.73.77

Dr Constantinus Siamakis
P.O. Box 1635 - University
540 06 Thessaloniki
Greece

tel. 2310 - 73.73.77

Editiones DONAX
P.O. Box 1635 - University
540 06 Thessaloniki
Greece

tel. 2310 - 73.73.77

www.philologus.gr

ΠΡΟΛΟΓΟΣ

Στὸν τόμο αὐτὸ ἐκδίδονται κείμενα τῆς *Ἑλληνογλώσσου Παραβιβλικῆς Ἰουδαϊκῆς Γραμματείας (Ε.Π.Ι.ΓΡΑ)* καὶ κυρίως ὅσα παρεισέφρησαν στὴν Παλαιὰ Διαθήκη. δὲν ἐκδίδονται ἐκτεταμένα κείμενα ποὺ ἐκδόθηκαν σὲ καλὲς καὶ πασίγνωστες ἐκδόσεις, ὅπως τὰ ἔργα τῶν Φίλωνος καὶ Ἰωσήπου, οἱ Σιβυλλικοὶ χρησμοί, τὰ λείψανα τῶν ἑξαπλικῶν μεταφράσεων, οἱ Ἰουδαϊκοὶ πάπυροι κι Ἐπιγραφές, καὶ κάποια ἄλλα τέτοια.

Τὰ ἐδῶ ἐκδιδόμενα κείμενα χωρίζονται σὲ τέσσερες κατηγορίες.

Α΄. Λόγια κείμενα

Β΄. «Λαϊκὴ Βίβλος» τῆς Ἀλεξανδρείας

Γ΄. Ἄλλαι ἑλληνόγλωσσοι ἰουδαϊκαὶ μεταφράσεις τῆς Βίβλου

Δ΄. Σχόλια εἰς τὴν Βίβλον.

Τὸ 94% τῶν κειμένων, ποὺ ἐκδίδω ἐδῶ, εἶναι διάχυτα στὴ μέχρι στιγμῆς ἐκδιδόμενη Π. Διαθήκη κατὰ τοὺς Ἑβδομήκοντα τόσο ὡς *παρείσακτα* καὶ μὴ κανονικὰ βιβλία ὅσο καὶ ὡς νόθες προσθῆκες μέσα στὸ κείμενο τῶν κανονικῶν βιβλίων. εἶναι ἕνας ὄγκος μισὴ φορὰ μεγαλείτερος ἀπὸ τὴν Καινὴ Διαθήκη. ἂν δηλαδὴ ἡ Κ. Διαθήκη μετρηθῇ ὡς 1, αὐτὰ εἶναι 1,46· ἂν αὐτὰ μετρηθοῦν ὡς 1, ἡ Κ. Διαθήκη εἶναι 0,70. κι ἐκτὸς ἀπὸ 4 ἐξαιρέσεις ποὺ εἶναι βιβλία γραμμένα μὲ κάποια θεοσέβεια, τὰ παρείσακτα εἶναι ἀντιβιβλικὰ καὶ ἁμαρτωλά, μερικὲς φορὲς δὲ κι ἀντιχριστιανικά.

Αἰσθάνομαι πολλὴ ἀνακούφισι, ποὺ ἡ Π. Διαθήκη ἀπαλλάσσεται ἐπὶ τέλους ἀπὸ ἕναν τέτοιον κακοήθη ὄγκο. ἐν τούτοις ἔκρινα ὅτι ἔπρεπε νὰ ἐκδώσω ἐδῶ κι αὐτὸν τὸν ὄγκο, συνοδευόμενον κι ἀπὸ μιὰ Εἰσαγωγὴ σὲ ἄλλον τόμο τόσο γιὰ τὰ ἐκδιδόμενα ὅσο καὶ γιὰ τὰ μὴ ἐδιδόμενα κείμενα, ὥστε εἰδικοὶ καὶ μὴ εἰδικοὶ νὰ εἶναι ἐνημερωμένοι γιὰ ποιό λόγο ὅλ' αὐτὰ εἶναι ἀντιβιβλικά. ἀπόβλητα ἀπὸ τὴ Βίβλο εἶναι βέβαια γιὰ ἕναν μόνο καὶ ἀδήριτο λόγο· ἐπειδὴ στὴν ἀποστολικὴ ἐκκλησιαστικὴ καὶ ἱερὰ παράδοσι, ἡ ὁποία διασῴζεται ἁγνὴ καὶ ἀκέραιη στοὺς ἐκκλησιαστικῶς ὑπευθύνους καταλόγους τοῦ Μελίτωνος καὶ τοῦ Ἀθανασίου, δὲν παραδίδονται ὡς κανονικά. στὴν Εἰσαγωγὴ τ' ἀποδεικνύω καὶ ἀντιβιβλικά. ἀσφαλῶς ὅλα τ' ἀρχαῖα κείμενα, ἀνε-

ξαρτήτως τῆς ποιότητός των, εἶναι γιὰ τὸν εἰδικὸ πηγὲς πληροφοριῶν χρήσιμες. γι' αὐτὸ κι ὁ τόμος αὐτός, ὅπου συγκέντρωσα τὴν κατάσπαρτη Ε.Π.Ι.ΓΡΑ τὴν παρασιτεύουσα κυρίως στὰ χειρόγραφα τῶν κανονικῶν βιβλίων τῆς Π. Διαθήκης, εἶναι στοὺς εἰδικοὺς χρήσιμος. οἱ ἀρχαιότερες ἐξωτερικὲς μαρτυρίες γι' ἀρκετὰ βιβλία τῆς Π. Διαθήκης ἀνευρίσκονται στὰ κείμενα τῆς Ε.Π.Ι.ΓΡΑ. εἶναι ὅμως ὅλα πλέον ἐκτὸς Βίβλου. κατὰ τὸ παράδειγμα τῆς χειρογράφου παραδόσεως τῆς Κ. Διαθήκης, καὶ τὰ κανονικὰ βιβλία τῆς Π. Διαθήκης πρέπει νὰ ἐκδίδωνται μόνα. σὲ ἔκδοσι τῆς Βίβλου δὲν πρέπει νὰ ἐπισυνάπτωνται ἄλλα βιβλία· ὅσο στὰ *ἅγια τῶν ἁγίων* ἔμπαινε μόνος ὁ ἀρχιερεύς. τὸ νὰ συνυπάρχουν στὸν ἴδιο τόμο μὲ ἴδια γράμματα καὶ σὲ ἴδιο πλαίσιο σελίδος ἡ Βίβλος μ' ὁποιαδήποτε ἄλλα βιβλία εἶναι βεβήλωσι.

Τὸ κείμενο τῶν βιβλίων τῆς Ε.Π.Ι.ΓΡΑ, ποὺ ἐκδίδω, τὸ παίρνω ἀπὸ πολλὲς παλιὲς ἔντυπες ἐκδόσεις μὲ κριτικὴ ἐπιλογὴ τῶν διαφόρων γραφῶν, προσθέτοντας καὶ διορθώσεις μου, χωρὶς νὰ ὑποσημειώνω τὶς ἐπιλογὲς καὶ διορθώσεις μου σὲ κριτικὸ ὑπόμνημα. λίγες φορὲς ἔβλεπα καὶ χειρόγραφα γιὰ κάποιες διευκρινήσεις.

Ὡς πρὸς τὴν κοπὴ κεφαλαίων καὶ τὴ στιχαρίθμησι, δεξιὰ σημειώνω τὴν παλιὰ ἢ μιὰ ἀπὸ τὶς παλιές, κι ἀριστερὰ τὴ δική μου, ποὺ εἶναι ὀργανικώτερη καὶ καλλίτερη· ὅταν σημειώνω μόνο μία, εἶναι ἡ παλιά.

Δρ Κωνσταντῖνος Σιαμάκης

JEWISH PARABIBLICAL LITERATURE IN GREEK

In the present collection of the *Greek-language Parabiblical Jewish Literature* are included:

1. All the unwanted books in the Old Testament the so-called on the one hand ἀναγινωσκόμενα in antiquity and on the other hand under the artless and grotesque name δευτεροκανονικά, during the modern period, which are always wedged in the Bible's ancient manuscripts among its original books, but also in the papal and protestant editions of the Bible. The popes of Rome wedged these books during the 4th and the 5th century.
2. Other texts and abstracts of this literature written from 180 B.C. to around 200 A.D.
3. Samples of other Greek-language Jewish translations of the Old Testament more recent than Septuaginta translation.
4. Several marginal *Comments* of ancient manuscripts of the Bible, which were thereafter wedged in the text of the Bible from 180 B.C. to around 300 A.D.

I publish the *Introduction in the Greek-language Parabiblical Jewish Literature* in another volume of 288 pages where I review its texts.

Dr Constantinus Siamakis

ΠΕΡΙΕΧΟΜΕΝΑ

	Εἰσαγωγή	Κείμενα
Πρόλογος	5	5
Περιεχόμενα	7	7
Γενικά	11	11
Α΄. Λόγια Κείμενα	39	13
1. Ἀριστέας	39	15
2. Ψαλμὸς εἰς Δαυΐδ	46	46
3. Σοφία Ἰησοῦ	47	47
4-8. Μακκαβαϊκά	68	–
4. Μακκαβαϊκαὶ Ἐπιστολαί	71	123
5. Τὰ κατὰ Ἰούδαν τὸν Μακκαβαῖον	72	126
6. Βίβλος τοῦ οἴκου τῶν βασιλέων τοῦ θεοῦ	75	156
7. Πτολεμαϊκά	83	202
8. Περὶ αὐτοκράτορος λογισμοῦ	100	217
9. Σοφία Σολομῶντος	105	238
10. Ἀποσπάσματα	117	264
11. Πάπυροι	120	292
12. Ἐπιγραφαί	124	295
Β΄. «Λαϊκὴ Βίβλος» τῆς Ἀλεξανδρείας	125	297
1-14. Βιβλία «Ἱστορικά»	127	299
1. Κτίσις ἢ Λεπτὴ Γένεσις	130	299
2. Μωϋσῆς	132	306
3. Δαυΐδ	134	307
4. Σολομών	136	311
5. Βασιλεῖς	137	317
6. Τρεῖς σωματοφύλακες	138	318
7-8. Βὴλ καὶ Δράκων	142	323
9. Σωσάννα	144	325
10-14. Τὰ πέντε βιβλία τῆς νήσου Φάρου	147	–
10. Ἀχιάχαρος	156	328
11. Μανασσῆς	162	329

	Εἰσαγωγή	Κείμενα
12. Τωβίτ	169	338
13-14. Ἐπανορθωτικὴ τάσι	176	–
13. Ἰουδίθ	178	352
14. Ἐσθήρ	192	375
15-16. Βιβλία «Ποιητικά»	222	390
15. Ψαλμοὶ Σολομῶντος	222	390
16. Προσευχητάριον τοῦ Ἰουδαίου	226	406
α΄. Προσευχή	227	406
β΄. Ὕμνος	228	407
γ΄. Προσευχὴ εἰς ἀγαλλίασιν	229	409
δ΄. Προσευχὴ μετανοίας	230	411
ε΄. Ὠδὴ νικητήριος	231	412
17-19. Βιβλία «Προφητικά»	233	414
17. «Ἐπιστολὴ Ἰερεμίου»	233	414
18. Σιβυλλικοὶ χρησμοί	235	417
19. Ἀποκάλυψις Ἔσδρα	236	418
Γ΄. Ἄλλαι ἰουδαϊκαὶ μεταφράσεις τῆς Βίβλου	241	421
Γενικά	241	–
1. Ἀγνώστου μετάφρασις ἱστορικῶν βιβλίων	243	423
2. Ἀγνώστου μετάφρασις Ψαλμῶν	246	442
3. Φίλωνος Ἰουδαίου μετάφρασις Νόμου	248	447
4. Ἰωσήπου μετάφρασις	250	448
5-10. Ἑξαπλικὲς ἀντιχριστιανικὲς μεταφράσεις	255	449
11. Βαρανίνα μετάφρασις	257	–
12. Μαρκιανὴ μετάφρασις	258	449
13. Θεοδοτίωνος μετάφρασις «Δανιήλ»	–	450
Δ΄. Σχόλια εἰς τὴν Βίβλον	259	481
Μὴ ἐκδιδόμενα κείμενα	268	–
Σημειώσεις	269	–
Εὑρετήρια	287	631

QUAE CONTINENTUR

	Introd.	Textus
Prologus	5	5
Quae continentur	7	7
Generalia	11	11
A. Textus facundi	39	13
1. Aristeas	39	15
2. Psalmus in David	46	46
3. Sapientia Iesu	47	47
4-8. Maccabaica	68	–
4. Epistulae Maccabaicae	71	123
5. De Iuda Maccabaeo	72	126
6. Biblus domus regum dei	75	156
7. Ptolemaica	83	202
8. De ratione imperatoria	100	217
9. Sapientia Salomonis	105	238
10. Fragmenta	117	264
11. Papyri	120	292
12. Inscriptiones	124	295
B. «Biblus popularis» Alexandriae	125	297
1-14. Libri «Historici»	127	299
1. Creatio vel Genesis Subtilis	130	299
2. Moyses	132	306
3. David	134	307
4. Salomon	136	311
5. Reges	137	317
6. Tres satellites	138	318
7-8. Bel et Draco	142	323
9. Sosanna	144	325
10-14. Quinque libri insulae Phari	147	–
10. Ahiaharus	156	328
11. Manasses	162	329

	Introd.	Textus
12. Tobit	169	338
13-14. Inclinatio emendatoria	176	–
13. Iudith	178	352
14. Esther	192	375
15-16. Libri «Poëtici»	222	390
15. Psalmi Solomonis	222	390
16. Precatorium Iudaei	226	406
a. Precatio	227	406
b. Hymnus	228	407
c. Precatio in laetitiam	229	409
d. Precatio poenitentiae	230	411
e. Carmen victoriale	231	412
17-19. Libri «Prophetici»	233	414
17. Epistola Ieremiae	233	414
18. Oracula Sibyllina	235	417
19. Apocalypsis Esdrae	236	418
C. Aliae iudaicae translationes Bibli	241	421
Generalia	241	–
1. Incerti translatio librorum historicorum	243	421
2. Incerti translatio Psalmorum	246	442
3. Philonis Iudaei translatio Legis	248	447
4. Iosephi translatio	250	448
5-10. Translationes Hexaplares oppositae Christianis	255	449
11. Baranina translatio	257	–
12. Translatio Marciana	258	449
13. Theodotionis tranlatio «Daniel»	–	450
D. Scholia in Biblum	259	481
Textus quos non edo	268	–
Notationes	269	–
Indices	287	631

Α΄. ΛΟΓΙΑ ΚΕΙΜΕΝΑ

Β΄. «ΛΑΪΚΗ ΒΙΒΛΟΣ» ΤΗΣ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Γ΄. ΑΛΛΑΙ ΕΛΛΗΝΟΓΛΩΣΣΟΙ ΙΟΥΔΑΪΚΑΙ ΜΕΤΑΦΡΑΣΕΙΣ ΤΗΣ ΒΙΒΛΟΥ

Δ΄. ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ ΒΙΒΛΟΝ

ΛΕΥΚΗ

Α

ΛΟΓΙΑ ΚΕΙΜΕΝΑ

Α
ΛΟΓΙΑ ΚΕΙΜΕΝΑ

1. Ἀριστέας
2. Ψαλμὸς εἰς Δαυΐδ
3. Σοφία Ἰησοῦ
4. Μακκαβαϊκαὶ Ἐπιστολαί
5. Τὰ κατὰ Ἰούδαν τὸν Μακκαβαῖον
6. Βίβλος τοῦ οἴκου τῶν βασιλέων τοῦ θεοῦ
7. Πτολεμαϊκά
8. Περὶ αὐτοκράτορος λογισμοῦ
9. Σοφία Σολομῶντος
10. Ἀποσπάσματα
11. Πάπυροι
12. Ἐπιγραφαί

I. ΑΡΙΣΤΕΑΣ

I. Ἐπιστολὴ πρὸς Φιλοκράτη

1 Ἀριστέας Φιλοκράτει. Ἀξιολόγου διηγήσεως, ὦ Φιλόκρατες, περὶ τῆς γενηθείσης ἡμῖν ἐντυχίας πρὸς Ἐλεάζαρον τὸν τῶν Ἰουδαίων ἀρχιερέα συνεσταμένης, διὰ τὸ σὲ περὶ πολλοῦ πεποιῆσθαι παρ' ἕκαστα ὑπομιμνήσκοντος συνακοῦσαι περὶ ὧν ἀπεστάλημεν καὶ διὰ τί, πεπείραμαι σαφῶς ἐκθέσθαι σοι, κατειληφὼς ἣν ἔχεις φιλομαθῆ διάθε-
2 σιν, ὅπερ μέγιστόν ἐστιν ἀνθρώπῳ,

προσμανθάνειν ἀεί τι καὶ προσλαμβάνειν,

ἤτοι κατὰ τὰς ἱστορίας, ἢ καὶ κατ' αὐτὸ τὸ πρᾶγμα πεπειραμένῳ. οὕτω γὰρ κατασκευάζεται ψυχῆς καθαρὰ διάθεσις, ἀναλαβοῦσα τὰ κάλλιστα· καὶ πρὸς τὸ πάντων κυριώτατον νενευκυῖα τὴν εὐσέβειαν ἀ-
3 πλανεῖ κεχρημένη κανόνι διοικεῖ. τὴν προαίρεσιν ἔχοντες ἡμεῖς πρὸς τὸ περιέργως τὰ θεῖα κατανοεῖν, ἑαυτοὺς ἐπεδώκαμεν εἰς <τὴν πρὸς> τὸν προειρημένον ἄνδρα πρεσβείαν, καλοκαγαθίᾳ καὶ δόξῃ προτετιμημένον ὑπό τε τῶν πολιτῶν καὶ τῶν ἄλλων, καὶ κατακεκτημένον μεγίστην ὠφέλειαν τοῖς σὺν ἑαυτῷ καὶ τοῖς κατὰ τοὺς ἄλλους τόπους πολίταις, πρὸς τὴν ἑρμηνείαν τοῦ θείου Νόμου, διὰ τὸ γεγρά-
4 φθαι παρ' αὐτοῖς ἐν διφθέραις ἑβραϊκοῖς γράμμασιν. ἣν δὴ καὶ ἐποιησάμεθα ἡμεῖς σπουδῇ, λαβόντες καιρὸν πρὸς τὸν βασιλέα περὶ τῶν μετοικισθέντων εἰς Αἴγυπτον ἐκ τῆς Ἰουδαίας ὑπὸ τοῦ πατρὸς τοῦ βασιλέως, πρώτως κεκτημένου τήν τε πόλιν καὶ τὰ κατὰ τὴν Αἴγυ-
5 πτον παρειληφότος. Ἄξιόν ἐστι καὶ ταῦτά σοι δηλῶσαι. πέπεισμαι γάρ σε μᾶλλον ἔχοντα πρόσκλισιν πρὸς τὴν σεμνότητα καὶ τὴν τῶν ἀνθρώπων διάθεσιν τῶν κατὰ τὴν σεμνὴν νομοθεσίαν διεξαγόντων, περὶ ὧν προαιρούμεθα δηλοῦν, ἀσμένως σε ἀκούσεσθαι, προσφάτως παραγεγενημένον ἐκ τῆς νήσου πρὸς ἡμᾶς, καὶ βουλόμενον συνακού-
6 ειν ὅσα πρὸς ἐπισκευὴν ψυχῆς ὑπάρχει. καὶ πρότερον δὲ διεπεμψάμην σοι περὶ ὧν ἐνόμιζον ἀξιομνημονεύτων εἶναι τὴν ἀναγραφήν, ἣν μετελάβομεν παρὰ τῶν κατὰ τὴν λογιωτάτην Αἴγυπτον λογιωτάτων ἀρχιε-
7 ρέων περὶ τοῦ γένους τῶν Ἰουδαίων. φιλομαθῶς γὰρ ἔχοντί σοι περὶ τῶν δυναμένων ὠφελῆσαι διάνοιαν δέον ἐστὶ μεταδιδόναι, μάλιστα μὲν πᾶσι τοῖς ὁμοίοις, πολλῷ δὲ μᾶλλον σοὶ γνησίαν ἔχοντι τὴν αἵρεσιν, οὐ μόνον κατὰ τὸ συγγενὲς ἀδελφῷ καθεστῶτι τὸν τρόπον, ἀλλὰ
8 καὶ τῇ πρὸς τὸ καλὸν ὁρμῇ τὸν αὐτὸν ὄντα ἡμῖν. χρυσοῦ γὰρ χάρις ἢ κατασκευή τις ἄλλη τῶν τετιμημένων παρὰ τοῖς κενοδόξοις ὠφέλειαν οὐκ ἔχει τὴν αὐτήν, ὅσον ἡ παιδείας ἀγωγὴ καὶ ἡ περὶ τούτων φρο-

ντίς. ἵνα δὲ μὴ περὶ τῶν προλεγομένων μηκύνοντες ἀδόλεσχόν τι ποιῶμεν, ἐπὶ τὸ συνεχὲς τῆς διηγήσεως ἐπανήξομεν.

9 Κατασταθεὶς ἐπὶ τῆς τοῦ βασιλέως βιβλιοθήκης Δημήτριος ὁ Φαληρεὺς ἐχρηματίσθη πολλὰ διάφορα πρὸς τὸ συναγαγεῖν, εἰ δυνατόν, ἅπαντα τὰ κατὰ τὴν οἰκουμένην βιβλία· καὶ ποιούμενος ἀγορασμοὺς καὶ μεταγραφὰς ἐπὶ τέλος ἤγαγεν, ὅσον ἐφ' ἑαυτῷ, τὴν τοῦ βασιλέως
10 πρόθεσιν. παρόντων οὖν ἡμῶν ἐρωτηθείς· Πόσαι τινὲς μυριάδες τυγχάνουσι βιβλίων; εἶπεν· Ὑπὲρ τὰς εἴκοσι, βασιλεῦ· σπουδάσω δ' ἐν ὀλίγῳ χρόνῳ πρὸς τὸ πληρωθῆναι πεντήκοντα μυριάδας τὰ λοιπά. προσήγγελται δέ μοι καὶ τῶν Ἰουδαίων νόμιμα μεταγραφῆς ἄξια καὶ
11 τῆς παρὰ σοὶ βιβλιοθήκης εἶναι. Τί τὸ κωλῦον οὖν, εἶπεν, ἐστί σε τοῦτο ποιῆσαι; πάντα γὰρ ὑποτέτακταί σοι τὰ πρὸς τὴν χρείαν. ὁ δὲ Δημήτριος εἶπεν· Ἑρμηνείας προσδεῖται· χαρακτῆρσι γὰρ ἰδίοις κατὰ τὴν Ἰουδαίαν χρῶνται, καθάπερ Αἰγύπτιοι τῇ τῶν γραμμάτων θέσει, καθὸ καὶ φωνὴν ἰδίαν ἔχουσιν. ὑπολαμβάνονται συριακῇ χρῆσθαι· τὸ δ' οὐκ ἔστιν, ἀλλ' ἕτερος τρόπος. μεταλαβὼν δὲ ἕκαστα ὁ βασιλεὺς εἶπε γραφῆναι πρὸς τὸν ἀρχιερέα τῶν Ἰουδαίων, ὅπως τὰ προειρημένα τελείωσιν λάβῃ.

12 Νομίσας δὲ ἐγὼ καιρὸν εἶναι περὶ ὧν πολλάκις ἠξιώκειν Σωσίβιόν τε τὸν Ταραντῖνον καὶ Ἀνδρέαν, τοὺς ἀρχισωματοφύλακας, περὶ τῆς ἀπολυτρώσεως τῶν μετηγμένων ἐκ τῆς Ἰουδαίας ὑπὸ τοῦ πατρὸς τοῦ βασιλέως – ἐκεῖνος γὰρ ἐπελθὼν τὰ κατὰ Κοίλην Συρίαν καὶ Φοινίκην ἅπαντα, συγχρώμενος εὐημερίᾳ μετὰ ἀνδρίας, τοὺς μὲν μετῴκιζεν, οὓς δὲ ᾐχμαλώτιζε, φόβῳ πάντα ὑποχείρια ποιούμενος· ἐν ὅσῳ καὶ πρὸς δέκα μυριάδας ἐκ τῆς τῶν Ἰουδαίων χώρας εἰς Αἴγυπτον με-
13 τήγαγεν, ἀφ' ὧν ὡσεὶ τρεῖς μυριάδας καθοπλίσας ἀνδρῶν ἐκλεκτῶν εἰς τὴν χώραν κατῴκισεν ἐν τοῖς φρουρίοις –ἤδη μὲν καὶ πρότερον ἱκανῶν εἰσεληλυθότων σὺν τῷ Πέρσῃ, καὶ πρὸ τούτων ἑτέρων συμμαχιῶν ἐξαπεσταλμένων πρὸς τὸν τῶν Αἰθιόπων βασιλέα μάχεσθαι σὺν Ψαμμητίχῳ· ἀλλ' οὐ τοσοῦτοι τῷ πλήθει παρεγενήθησαν, ὅσους Πτο-
14 λεμαῖος ὁ τοῦ Λάγου μετήγαγε–· καθὼς δὲ προείπομεν, ἐπιλέξας τοὺς ἀρίστους ταῖς ἡλικίαις καὶ ῥώμῃ διαφέροντας καθώπλισε, τὸ δὲ λοιπὸν χῦμα πρεσβυτέρων καὶ νεωτέρων, ἔτι δὲ γυναικῶν, εἴασεν εἰς τὴν οἰκετίαν, οὐχ οὕτω τῇ προαιρέσει κατὰ ψυχὴν ἔχων, ὡς κατακρατούμενος ὑπὸ τῶν στρατιωτῶν, δι' ἃς ἐπεποίηντο χρείας ἐν τοῖς πολεμικοῖς ἀγῶσιν – ἡμεῖς δὲ ἐπεί τινα παρεύρεσιν εἰς τὴν ἀπόλυσιν αὐτῶν ἀπελάβομεν, καθὼς προδεδήλωται, τοιούτοις ἐχρησάμεθα λόγοις
15 πρὸς τὸν βασιλέα· Μήποτε ἄλογον ᾖ ἐλέγχεσθαι ὑπ' αὐτῶν τῶν πραγμάτων, ὦ βασιλεῦ. τῆς γὰρ νομοθεσίας κειμένης πᾶσι τοῖς Ἰουδαίοις, ἣν ἡμεῖς οὐ μόνον μεταγράψαι ἐπινοοῦμεν, ἀλλὰ καὶ διερμηνεῦσαι, τίνα λόγον ἕξομεν πρὸς ἀποστολήν, ἐν οἰκετίαις ὑπαρχόντων ἐν τῇ σῇ βασιλείᾳ πληθῶν ἱκανῶν; ἀλλὰ τελείᾳ καὶ πλουσίᾳ ψυχῇ ἀπόλυσον τοὺς συνεχομένους ἐν ταλαιπωρίαις, κατευθύνοντός σοι τὴν βασιλείαν τοῦ τεθεικότος αὐτοῖς θεοῦ τὸν νόμον, καθὼς περιείργασμαι.
16 τὸν γὰρ πάντων ἐπόπτην καὶ κτίστην θεὸν οὗτοι σέβονται, ὃν καὶ πά-

ντες, ἡμεῖς δέ, βασιλεῦ, προσονομάζοντες ἑτέρως Ζῆνα καὶ Δία· τοῦ-
το δ' οὐκ ἀνοικείως οἱ πρῶτοι διεσήμαναν, δι' ὃν ζωοποιοῦνται τὰ
πάντα καὶ γίνεται, τοῦτον ἁπάντων ἡγεῖσθαί τε καὶ κυριεύειν. ὑπερηρ-
κὼς δὲ σύμπαντας ἀνθρώπους τῇ λαμπρότητι τῆς ψυχῆς ἀπόλυσιν
17 ποίησαι τῶν ἐνεχομένων ταῖς οἰκετίαις. οὐδὲ πολὺν χρόνον ἐπισχών,
καὶ ἡμῶν κατὰ ψυχὴν πρὸς τὸν θεὸν εὐχομένων, τὴν διάνοιαν αὐτοῦ
κατασκευάσαι πρὸς τὸ τοὺς ἅπαντας ἀπολυθῆναι –κτίσμα γὰρ ὂν θε-
οῦ τὸ γένος τῶν ἀνθρώπων καὶ μεταλλοιοῦται καὶ τρέπεται πάλιν ὑπ'
αὐτοῦ· διὸ πολλαχῶς καὶ ποικίλως ἐπεκαλούμην τὸν κυριεύοντα κατὰ
καρδίαν, ἵνα συναναγκασθῇ, καθὼς ἠξίουν, ἐπιτελέσαι· μεγάλην γὰρ
18 εἶχον ἐλπίδα, περὶ σωτηρίας ἀνθρώπων προτιθέμενος λόγον, ὅτι τὴν
ἐπιτέλειαν ὁ θεὸς ποιήσει τῶν ἀξιουμένων· ὃ γὰρ πρὸς δικαιοσύνην
καὶ καλῶς ἔργων ἐπιμέλειαν ἐν ὁσιότητι νομίζουσιν ἄνθρωποι ποιεῖν,
κατευθύνει τὰς πράξεις καὶ τὰς ἐπιβολὰς ὁ κυριεύων ἁπάντων θεός–,
19 ὁ δὲ διανακύψας καὶ προσβλέψας ἱλαρῷ τῷ προσώπῳ· Πόσας ὑπο-
λαμβάνεις μυριάδας ἔσεσθαι; ἔφη. παρεστὼς δὲ Ἀνδρέας ἀπεφήνατο·
Βραχεῖ πλεῖον μυριάδων δέκα. ὁ δέ· Μικρόν γε, εἶπεν, Ἀριστέας ἡμᾶς
ἀξιοῖ πρᾶγμα. Σωσίβιος δὲ καὶ τῶν παρόντων τινὲς τοῦτ' εἶπον· καὶ
γὰρ ἄξιόν ἐστι τῆς σῆς μεγαλοψυχίας, ὅπως χαριστήριον ἀναθῇ τῷ
μεγίστῳ θεῷ τὴν τούτων ἀπόλυσιν. μεγίστως γὰρ τετιμημένος ὑπὸ
τοῦ κρατοῦντος τὰ πάντα καὶ δεδοξασμένος ὑπὲρ τοὺς προγόνους, εἰ
καὶ μέγιστα ποιήσεις χαριστήρια, καθῆκόν ἐστί σοι. διαχυθεὶς δὲ εὖ
20 μάλα τοῖς ὀψωνίοις εἶπε προσθεῖναι, καὶ σώματος ἑκάστου κομίζεσθαι
δραχμὰς εἴκοσι, καὶ περὶ τούτων ἐκθεῖναι πρόσταγμα, τὰς δὲ ἀπογρα-
φὰς ποιεῖσθαι παρ' αὐτά, μεγαλείως χρησάμενος τῇ προθυμίᾳ, τοῦ θε-
οῦ τὴν πᾶσαν ἐπιτελέσαντος ἡμῶν προαίρεσιν, καὶ συναναγκάσαντος
αὐτὸν ἀπολυτρῶσαι μὴ μόνον τοὺς συνεληλυθότας τῷ στρατοπέδῳ
τοῦ πατρός, ἀλλὰ καὶ εἴ τινες προῆσαν, ἢ μετὰ ταῦτα παρεισήχθησαν
εἰς τὴν βασιλείαν. ὑπὲρ τὰ τετρακόσια τάλαντα τὴν δόσιν ἀπέφαινον
21 εἶναι. καὶ τοῦ προστάγματος δὲ τὸ ἀντίγραφον οὐκ ἄχρηστον οἴομαι
κατακεχωρίσθαι. πολλῷ γὰρ ἡ μεγαλομέρεια φανερωτέρα καὶ εὔδηλος
ἔσται τοῦ βασιλέως, τοῦ θεοῦ κατισχύοντος αὐτὸν εἰς τὸ σωτηρίαν
22 γενέσθαι πλήθεσιν ἱκανοῖς. ἦν δὲ τοιοῦτο·

Τοῦ βασιλέως προστάξαντος –Ὅσοι τῶν συνεστρατευμένων τῷ
πατρὶ ἡμῶν εἰς τοὺς κατὰ Συρίαν καὶ Φοινίκην τόπους ἐπελθόντες
τὴν τῶν Ἰουδαίων χώραν ἐγκρατεῖς ἐγένοντο σωμάτων Ἰουδαϊκῶν
καὶ ταῦτα διακεκομίκασιν εἴς τε τὴν πόλιν καὶ τὴν χώραν ἢ καὶ πεπρά-
κασιν ἑτέροις, ὁμοίως δὲ καὶ εἴ τινες προῆσαν ἢ καὶ μετὰ ταῦτά εἰσιν
εἰσηγμένοι τῶν τοιούτων, ἀπολύειν παραχρῆμα τοὺς ἔχοντας, κομιζο-
μένους αὐτίκα ἑκάστου σώματος δραχμὰς εἴκοσι, τοὺς μὲν στρατιώ-
τας τῇ τῶν ὀψωνίων δόσει, τοὺς δὲ λοιποὺς ἀπὸ τῆς βασιλικῆς τραπέ-
23 ζης. νομίζομεν γὰρ καὶ παρὰ τὴν τοῦ πατρὸς ἡμῶν βούλησιν καὶ παρὰ
τὸ καλῶς ἔχον ᾐχμαλωτεῦσθαι τούτους, διὰ δὲ τὴν στρατιωτικὴν προ-
πέτειαν τήν τε χώραν αὐτῶν κατεφθάρθαι καὶ τὴν τῶν Ἰουδαίων μετα-
γωγὴν εἰς τὴν Αἴγυπτον γεγονέναι· ἱκανὴ γὰρ ἦν ἡ παρὰ τό γε δέον

γεγονυῖα ἐκ τῶν στρατιωτῶν ὠφέλεια· διὸ παντελῶς ἀνεπιεικής ἐστι
24 καὶ ἡ τῶν ἀνθρώπων καταδυναστεία. πᾶσιν οὖν ἀνθρώποις τὸ δί-
καιον ἀπονέμειν ὁμολογούμενοι, πολλῷ δὲ μᾶλλον τοῖς ἀλόγως κατα-
δυναστευομένοις, καὶ κατὰ πᾶν ἐκζητοῦντες τὸ καλῶς ἔχον πρός τε
τὸ δίκαιον καὶ τὴν κατὰ πάντων εὐσέβειαν, προστετάχαμεν ὅσα τῶν
Ἰουδαϊκῶν ἐστι σωμάτων ἐν οἰκετίαις πανταχῇ καθ' ὁντινοῦν τρόπον
ἐν τῇ βασιλείᾳ, κομιζομένους τοὺς ἔχοντας τὸ προκείμενον κεφάλαιον
ἀπολύειν, καὶ μηδένα κακοσχόλως περὶ τούτων μηδὲν οἰκονομεῖν· τὰς
δ' ἀπογραφὰς ἐν ἡμέραις τρισίν, ἀφ' ἧς ἡμέρας ἔκκειται τὸ πρόσταγ-
μα, ποιεῖσθαι πρὸς τοὺς καθεσταμένους περὶ τούτων, καταδεικνύντας
25 εὐθὺ καὶ τὰ σώματα. διειλήφαμεν γὰρ καὶ ἡμῖν συμφέρειν καὶ τοῖς
πράγμασι τοῦτ' ἐπιτελεσθῆναι. τὸν δὲ βουλόμενον προσαγγέλλειν πε-
ρὶ τῶν ἀπειθησάντων, ἐφ' ᾧ τοῦ φανέντος ἐνόχου τὴν κυρίαν ἕξειν·
τὰ δὲ ὑπάρχοντα τῶν τοιούτων εἰς τὸ βασιλικὸν ἀναληφθήσεται.

26 Εἰσδοθέντος τοῦ προστάγματος, ὅπως ἐπαναγνωσθῇ τῷ βασιλεῖ,
τὰ ἄλλα πάντ' ἔχοντος πλὴν τοῦ Καὶ εἴ τινες προῆσαν ἢ καὶ μετὰ ταῦ-
τά εἰσιν εἰσηγμένοι τῶν τοιούτων, αὐτὸς τοῦτο ὁ βασιλεὺς προσέθη-
κε, μεγαλομερείᾳ καὶ μεγαλοψυχίᾳ χρησάμενος, ἐκέλευσέ τε τὴν τῶν
διαφόρων δόσιν ἀθρόαν οὖσαν ἀπομερίσαι τοῖς ὑπηρέταις τῶν ταγμά-
27 των καὶ βασιλικοῖς τραπεζίταις. οὕτω δοχθὲν ἐκεκύρωτο ἐν ἡμέραις
ἑπτά· πλεῖον δὲ ταλάντων ἑξακοσίων ἑξήκοντα ἡ δόσις ἐγεγόνει. Πολ-
λὰ γὰρ καὶ τῶν ἐπιμαστιδίων τέκνων σὺν ταῖς μητράσιν ἐλευθεροῦ-
ντο. προσανενεχθέντος εἰ καὶ περὶ τούτων εἰκοσαδραχμία δοθήσεται,
καὶ τοῦτ' ἐκέλευσεν ὁ βασιλεὺς ποιεῖν, ὁλοσχερῶς περὶ τοῦ δόξαντος
ἅπαντ' ἐπιτελῶν.

28 Ὡς δὲ κατεπράχθη ταῦτα τὸν Δημήτριον ἐκέλευσεν εἰσδοῦναι πε-
ρὶ τῆς τῶν Ἰουδαϊκῶν βιβλίων ἀντιγραφῆς. πάντα γὰρ διὰ προσταγ-
μάτων καὶ μεγάλης ἀσφαλείας τοῖς βασιλεῦσι τούτοις διῳκεῖτο, καὶ
οὐδὲν ἀπερριμμένως οὐδ' εἰκῇ. διόπερ καὶ τὸ τῆς εἰσδόσεως καὶ τὰ
τῶν ἐπιστολῶν ἀντίγραφα κατακεχώρικα, καὶ τὸ τῶν ἀπεσταλμένων
πλῆθος καὶ τὴν ἑκάστου κατασκευήν, διὰ τὸ μεγαλομερείᾳ καὶ τέχνῃ
διαφέρειν ἕκαστον αὐτῶν. τῆς δὲ εἰσδόσεώς ἐστιν ἀντίγραφον τόδε·

29 Βασιλεῖ μεγάλῳ παρὰ Δημητρίου. Προστάξαντός σου, βασιλεῦ,
περὶ τῶν ἀπολιπόντων εἰς τὴν συμπλήρωσιν τῆς βιλιοθήκης βιβλίων,
ὅπως ἐπισυναχθῇ, καὶ τὰ διαπεπτωκότα τύχῃ τῆς προσηκούσης ἐπι-
σκευῆς, πεποιημένος οὐ παρέργως τὴν ἐν τούτοις ἐπιμέλειαν, προσα-
30 ναφέρω σοι τάδε. τοῦ νόμου τῶν Ἰουδαίων βιβλία σὺν ἑτέροις ὀλί-
γοις τισὶν ἀπολείπει· τυγχάνει γὰρ ἑβραϊκοῖς γράμμασι καὶ φωνῇ λε-
γόμενα, ἀμελέστερον δέ, καὶ οὐχ ὡς ὑπάρχει, σεσήμανται, καθὼς ὑπὸ
τῶν εἰδότων προσαναφέρεται· προνοίας γὰρ βασιλικῆς οὐ τέτευχε.
31 δέον δέ ἐστι καὶ ταῦθ' ὑπάρχειν παρά σοι διηκριβωμένα, διὰ τὸ καὶ φι-
λοσοφωτέραν εἶναι καὶ ἀκέραιον τὴν νομοθεσίαν ταύτην, ὡς ἂν οὖσαν
θείαν. διὸ πόρρω γεγόνασιν οἵ τε συγγραφεῖς καὶ ποιηταὶ καὶ τὸ τῶν
ἱστορικῶν πλῆθος τῆς ἐπιμνήσεως τῶν προειρημένων βιβλίων, καὶ
τῶν κατ' αὐτὰ πεπολιτευμένων ἀνδρῶν, διὰ τὸ ἁγνήν τινα καὶ σεμνὴν

32 εἶναι τὴν ἐν αὐτοῖς θεωρίαν, ὥς φησιν Ἑκαταῖος ὁ Ἀβδηρίτης. ἐὰν οὖν φαίνηται, βασιλεῦ, γραφήσεται πρὸς τὸν ἀρχιερέα τὸν ἐν Ἱεροσολύμοις, ἀποστεῖλαι τοὺς μάλιστα καλῶς βεβιωκότας καὶ πρεσβυτέρους ὄντας ἄνδρας, ἐμπείρους τῶν κατὰ τὸν νόμον τὸν ἑαυτῶν, ἀφ' ἑκάστης φυλῆς ἕξ, ὅπως τὸ σύμφωνον ἐκ τῶν πλειόνων ἐξετάσαντες καὶ λαβόντες τὸ κατὰ τὴν ἑρμηνείαν ἀκριβές, ἀξίως καὶ τῶν πραγμάτων καὶ τῆς σῆς προαιρέσεως, θῶμεν εὐσήμως. Εὐτύχει διὰ παντός.

33 Τῆς δὲ εἰσδόσεως ταύτης γενομένης, ἐκέλευσεν ὁ βασιλεὺς γραφῆναι πρὸς τὸν Ἐλεάζαρον περὶ τούτων, σημάναντας καὶ τὴν γενομένην ἀπολύτρωσιν τῶν αἰχμαλώτων. ἔδωκε δὲ καὶ εἰς κατασκευὴν κρατήρων τε καὶ φιαλῶν καὶ τραπέζης καὶ σπονδείων χρυσίου μὲν ὁλκῆς τάλαντα πεντήκοντα καὶ ἀργυρίου τάλαντα ἑβδομήκοντα καὶ λίθων ἱκανόν τι πλῆθος –ἐκέλευσε δὲ τοὺς ῥισκοφύλακας τοῖς τεχνίταις, ὧν ἂν προαιρῶνται, τὴν ἐκλογὴν διδόναι– καὶ νομίσματος εἰς
34 θυσίας καὶ ἄλλα πρὸς τάλαντα ἑκατόν. δηλώσομεν δέ σοι περὶ τῆς κατασκευῆς, ὡς ἂν τὰ τῶν ἐπιστολῶν ἀντίγραφα διέλθωμεν.

Ἦν δὲ ἡ τοῦ βασιλέως ἐπιστολὴ τὸν τύπον ἔχουσα τοῦτον·

35 Βασιλεὺς Πτολεμαῖος πλείονας τῶν Ἰουδαίων εἰς τὴν ἡμετέραν χώραν κατῳκίσθαι γενηθέντας ἀνασπάστους ἐκ τῶν Ἱεροσολύμων ὑπὸ Περσῶν, καθ' ὃν ἐπεκράτουν χρόνον, ἔτι δὲ καὶ συνεληλυθέναι τῷ
36 πατρὶ ἡμῶν εἰς τὴν Αἴγυπτον αἰχμαλώτους, –ἀφ' ὧν πλείονας εἰς τὸ στρατιωτικὸν σύνταγμα κατεχώρισεν ἐπὶ μείζοσι μισθοφορίας, ὁμοίως δὲ καὶ τοὺς προόντας κρίνας πιστοὺς φρούρια κτίσας ἀπέδωκεν αὐτοῖς, ὅπως τὸ τῶν Αἰγυπτίων ἔθνος φόβον ἔχῃ διὰ τούτων· καὶ ἡμεῖς δὲ παραλαβόντες τὴν βασιλείαν φιλανθρωπότερον ἀπαντῶμεν
37 τοῖς πᾶσι, πολὺ δὲ μᾶλλον τοῖς σοῖς πολίταις– ὑπὲρ δέκα μυριάδας αἰχμαλώτων ἠλευθερώκαμεν, ἀποδόντες τοῖς κρατοῦσι τὴν κατ' ἀξίαν ἀργυρικὴν τιμήν, διορθούμενοι καὶ εἴ τι κακῶς ἐπράχθη διὰ τὰς τῶν ὄχλων ὁρμάς, διειληφότες εὐσεβῶς τοῦτο πρᾶξαι, καὶ τῷ μεγίστῳ θεῷ χαριστικὸν ἀνατιθέντες, ὃς ἡμῖν τὴν βασιλείαν ἐν εἰρήνῃ καὶ δόξῃ κρατίστῃ παρ' ὅλην τὴν οἰκουμένην διατετήρηκεν· εἴς τε τὸ στράτευμα τοὺς ἀκμαιοτάτους ταῖς ἡλικίαις τετάχαμεν, τοὺς δὲ δυναμένους καὶ περὶ ἡμᾶς εἶναι, τῆς περὶ τὴν αὐλὴν πίστεως ἀξίους, ἐπὶ χρειῶν
38 καθεστάκαμεν. βουλομένων δ' ἡμῶν καὶ τούτοις χαρίζεσθαι καὶ πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην Ἰουδαίοις καὶ τοῖς μετέπειτα, προῃρήμεθα τὸν νόμον ὑμῶν μεθερμηνευθῆναι γράμμασιν ἑλληνικοῖς ἐκ τῶν παρ' ὑμῶν λεγομένων ἑβραϊκῶν γραμμάτων, ἵν' ὑπάρχῃ καὶ ταῦτα παρ' ἡμῖν ἐν βιβλιοθήκῃ σὺν τοῖς ἄλλοις βασιλικοῖς βιβλίοις. καλῶς οὖν ποι-
39 ήσεις καὶ τῆς ἡμετέρας σπουδῆς ἀξίως ἐπιλεξάμενος ἄνδρας καλῶς βεβιωκότας πρεσβυτέρους, ἐμπειρίαν ἔχοντας τοῦ νόμου, καὶ δυνατοὺς ἑρμηνεῦσαι, ἀφ' ἑκάστης φυλῆς ἕξ, ὅπως ἐκ τῶν πλειόνων τὸ σύμφωνον εὑρεθῇ, διὰ τὸ περὶ μειζόνων εἶναι τὴν σκέψιν. οἰόμεθα
40 γὰρ ἐπιτελεσθέντος τούτου μεγάλην ἀποίσεσθαι δόξαν. ἀπεστάλκαμεν δὲ περὶ τούτων Ἀνδρέαν τῶν ἀρχισωματοφυλάκων καὶ Ἀριστέαν, τιμωμένους παρ' ἡμῖν, διαλεξομένους σοι καὶ κομίζοντας ἀπαρχὰς εἰς

τὸ ἱερὸν ἀναθημάτων καὶ εἰς θυσίας καὶ τὰ ἄλλα ἀργυρίου τάλαντα ἑκατόν. γράφων δὲ καὶ σὺ πρὸς ἡμᾶς περὶ ὧν ἐὰν βούλῃ κεχαρισμένος ἔσῃ, καὶ φιλίας ἄξιόν τι πράξεις, ὡς ἐπιτελεσθησομένων τὴν ταχίστην περὶ ὧν ἂν αἱρῇ. Ἔρρωσο.

41 Πρὸς ταύτην τὴν ἐπιστολὴν ἀντέγραψεν ἐνδεχομένως ὁ Ἐλεάζαρος ταῦτα·

Ἐλεάζαρος ἀρχιερεὺς βασιλεῖ Πτολεμαίῳ φίλῳ γνησίῳ χαίρειν. Αὐτός τε ἔρρωσο καὶ ἡ βασίλισσα Ἀρσινόη, ἡ ἀδελφή, καὶ τὰ τέκνα,
42 καλῶς ἂν ἔχοι καὶ ὡς βουλόμεθα, καὶ αὐτοὶ δὲ ὑγιαίνομεν. λαβόντες τὴν παρὰ σοῦ ἐπιστολὴν μεγάλως ἐχάρημεν διὰ τὴν προαίρεσίν σου καὶ τὴν καλὴν βουλήν, καὶ συναγαγόντες τὸ πᾶν πλῆθος παρανέγνωμεν αὐτοῖς, ἵνα εἰδῶσιν ἣν ἔχεις πρὸς τὸν θεὸν ἡμῶν εὐσέβειαν. ἐπεδείξαμεν δὲ καὶ τὰς φιάλας ἃς ἀπέστειλας, χρυσᾶς εἴκοσι καὶ ἀργυρᾶς τριάκοντα, κρατῆρας πέντε, καὶ τράπεζαν εἰς ἀνάθεσιν, καὶ εἰς προσαγωγὴν θυσιῶν καὶ εἰς ἐπισκευὰς ὧν ἂν δέηται τὸ ἱερὸν ἀργυρίου τά-
43 λαντα ἑκατόν, ἅπερ ἐκόμισεν Ἀνδρέας τῶν τετιμημένων παρὰ σοὶ καὶ Ἀριστέας, ἄνδρες καλοὶ καὶ ἀγαθοὶ καὶ παιδείᾳ διαφέροντες καὶ τῆς σῆς ἀγωγῆς καὶ δικαιοσύνης ἄξιοι κατὰ πάντα· οἳ καὶ μετέδωκαν ἡμῖν τὰ παρὰ σοῦ, πρὸς ἃ καὶ παρ' ἡμῶν ἀκηκόασιν ἁρμόζοντα τοῖς σοῖς
44 γράμμασι. πάντα γὰρ ὅσα σοι συμφέρει, καὶ εἰ παρὰ φύσιν ἐστίν, ὑπακουσόμεθα· τοῦτο γὰρ φιλίας καὶ ἀγαπήσεως σημεῖόν ἐστι. μεγάλα γὰρ καὶ σὺ καὶ ἀνεπίληστα τοὺς πολίτας ἡμῶν κατὰ πολλοὺς <τρό-
45 πους> εὐηργέτηκας. εὐθέως οὖν προσηγάγομεν ὑπὲρ σοῦ θυσίας καὶ τῆς ἀδελφῆς καὶ τῶν τέκνων καὶ τῶν φίλων· καὶ ηὔξατο πᾶν τὸ πλῆθος, ἵνα σοι γένηται καθὼς προαιρῇ διὰ παντός, καὶ διασῴζῃ σοι τὴν βασιλείαν ἐν εἰρήνῃ μετὰ δόξης ὁ κυριεύων ἁπάντων θεός, καὶ ὅπως γένηταί σοι συμφερόντως καὶ μετὰ ἀσφαλείας ἡ τοῦ ἁγίου νόμου με-
46 ταγραφή. παρόντων δὲ πάντων ἐπελεξάμεθα ἄνδρας καλοὺς καὶ ἀγαθοὺς πρεσβυτέρους, ἀφ' ἑκάστης φυλῆς ἕξ, οὓς καὶ ἀπεστείλαμεν ἔχοντας τὸν Νόμον. Καλῶς οὖν ποιήσεις, βασιλεῦ δίκαιε, προστάξας, ὡς ἂν ἡ μεταγραφὴ γένηται τῶν βιβλίων, ἵνα πάλιν ἀποκατασταθῶσι πρὸς ἡμᾶς ἀσφαλῶς οἱ ἄνδρες. Ἔρρωσο.

47 Εἰσὶ δὲ πρώτης φυλῆς· Ἰώσηφος Ἐζεκίας Ζαχαρίας Ἰωάννης Ἐζεκίας Ἐλισσαῖος. Δευτέρας· Ἰούδας Σίμων Σαμούηλος Ἀδαῖος Ματθαίας Ἐσχελμίας. Τρίτης· Νεεμίας Ἰώσηφος Θεοδόσιος Βασέας Ὀρ-
48 νίας Δάκις. Τετάρτης· Ἰωνάθας Ἀβραῖος Ἐλισσαῖος Ἀνανίας Χαβρίας Χελκίας. Πέμπτης· Ἴσακος Ἰάκωβος Ἰησοῦς Σαββαταῖος Σίμων
49 Λευίς. Ἕκτης· Ἰούδας Ἰώσηφος Σίμων Ζαχαρίας Σαμούηλος Σελεμίας. Ἑβδόμης· Σαββαταῖος Σεδεκίας Ἰάκωβος Ἴσακος Ἰωσίας Ματθαῖος. Ὀγδόης· Θεοδόσιος Ἰάσων Ἰησοῦς Θεόδοτος Ἰωάννης Ἰωνά-
50 θας. Ἐνάτης· Θεόφιλος Ἄβραμος Ἄρσαμος Ἰάσων Ἐνδεμίας Δανιῆλος. Δεκάτης· Ἱερεμίας Ἐλεάζαρος Ζαχαρίας Βαναΐας Ἐλισσαῖος Δαθαῖος. Ἑνδεκάτης· Σαμούηλος Ἰώσηφος Ἰούδας Ἰωνάθας Χάλεβ Δοσίθεος. Δωδεκάτης· Ἰσάηλος Ἰωάννης Θεοδόσιος Ἄρσαμος Ἀβιήτης Ἐζεκιῆλος. οἱ πάντες ἑβδομήκοντα δύο.

51 Καὶ τὰ μὲν πρὸς τὴν τοῦ βασιλέως ἐπιστολὴν τοιαύτης ἐτύγχανεν ἀντιγραφῆς ὑπὸ τῶν περὶ τὸν Ἐλεάζαρον.

Ὡς δὲ ἐπηγγειλάμην καὶ τὰ τῶν κατασκευασμάτων διασαφῆσαι, ποιήσω. πολυτεχνίᾳ γὰρ διαφέροντα συνετελέσθη, τοῦ βασιλέως πολλὴν ἐπίδοσιν ποιουμένου καὶ παρ' ἕκαστον ἐπιθεωροῦντος τοὺς τεχνίτας. διὸ παριδεῖν οὐδὲν ἠδύναντο οὐδὲ εἰκῇ συντελέσαι.

52 Πρῶτον δέ σοι τὰ περὶ τῆς τραπέζης ἐξηγήσομαι. προεθυμεῖτο μὲν οὖν ὁ βασιλεὺς ὑπέροπλόν τι ποιῆσαι τοῖς μέτροις τὸ κατασκεύασμα. προσέταξε δὲ πυθέσθαι τῶν ἀνὰ τὸν τόπον, πηλίκη τίς ἐστιν ἡ
53 προοῦσα καὶ κειμένη κατὰ τὸ ἱερὸν ἐν Ἱεροσολύμοις. ὡς δὲ ἀπεφήναντο τὰ μέτρα, προσεπηρώτησεν, εἰ κατασκευάσει μείζονα. τινὲς μὲν οὖν καὶ τῶν ἱερέων καὶ τῶν ἄλλων ἔλεγον μηδὲν ἐπικωλύειν. ὁ δὲ εἶπε βούλεσθαι καὶ πενταπλῆν τοῖς μεγέθεσι ποιῆσαι, διστάζειν δὲ μή-
54 ποτε ἄχρηστος γένηται πρὸς τὰς λειτουργίας. οὐ γὰρ αἱρεῖσθαι τὸ κεῖσθαι μόνον ἐν τῷ τόπῳ <τὰ> παρ' αὐτοῦ, πολὺ δὲ μᾶλλον χάριν ἕξειν, ἐὰν τὰς καθηκούσας λειτουργίας ἐπὶ τῶν ὑπ' αὐτοῦ κατεσκευα-
55 σμένων οἷς καθῆκε ποιῶνται δεόντως. οὐ γὰρ ἕνεκεν σπάνεως χρυσοῦ τὰ προσυντετελεσμένα βραχύμετρα καθέστηκεν, ἀλλὰ φαίνεται πρός τινα λόγον, εἶπεν, οὕτω συνεστηκέναι τοῖς μέτροις. ἔτι γὰρ ἐπιταγῆς οὔσης οὐθὲν ἂν ἐσπάνιζε· διόπερ οὐ παραβατέον οὐδὲ ὑπερθε-
56 τέον τὰ καλῶς ἔχοντα. τῇ μὲν οὖν ποικιλίᾳ τῶν τεχνῶν ἐκέλευσεν ὅτι μάλιστα χρήσασθαι, σεμνῶς ἅπαντα διανοούμενος καὶ φύσιν ἔχων ἀγαθὴν εἰς τὸ συνιδεῖν πραγμάτων ἔμφασιν. ὅσα δ' ἂν ᾖ ἄγραφα, πρὸς καλλονὴν ἐκέλευσε ποιεῖν· ὅσα δὲ διὰ γραπτῶν, μέτρα αὐτοῖς κατακο-
57 λουθῆσαι. δύο γὰρ πήχεων τὸ μῆκος <πήχεος δὲ τὸ εὖρος>, τὸ δὲ ὕψος πήχεος καὶ ἡμίσους συνετέλουν, χρυσίου δοκίμου στερεὰν πάντοθεν τὴν ποίησιν ἐργασάμενοι, λέγω δὲ οὐ περί τι περιεπτυγμένου
58 τοῦ χρυσοῦ, τὸν δὲ ἐλασμὸν αὐτὸν ἐπιδεδέσθαι. στεφάνην δὲ ἐποίησαν παλαιστιαίαν κυκλόθεν τὰ δὲ κυμάτια στρεπτά, τὴν ἀναγλυφὴν ἔχοντα σχοινίδων ἔκτυπον, τῇ τορείᾳ θαυμαστῶς ἔχουσαν ἐκ τῶν
59 τριῶν μερῶν· ἦν γὰρ τρίγωνα. καὶ καθ' ἕκαστον μέρος ἡ διατύπωσις τῆς ἐνεργείας τὴν αὐτὴν διάθεσιν εἶχεν, ὥστε, καθ' ὃ ἂν μέρος στρέφοιτο, τὴν πρόσοψιν εἶναι τὴν αὐτήν, κειμένου δὲ κατὰ τῆς στεφάνης τὸ μὲν εἰς αὐτὴν τὴν τράπεζαν ἀπόκλιμα τὴν διατύπωσιν ἔχειν τῆς ὡραιότητος, τὸ δὲ ἐκτὸς κλῖμα πρὸς τὴν τοῦ προσάγοντος εἶναι θεω-
60 ρίαν. διὸ τὴν ὑπεροχὴν ὀξεῖαν εἶναι τῶν δύο κλιμάτων συνέβαινε, μετέωρον ἐπικειμένην, ὡς προειρήκαμεν, τριγώνου κατεσκευασμένου, καθ' ὃ ἂν μέρος στρέφοιτο. λίθων τε πολυτελῶν ἐν αὐτῷ διαθέσεις ὑπῆρχον ἀνὰ μέσον τῶν σχοινίδων· ἕτερος παρὰ ἕτερον πλοκὴν εἶχον
61 ἀμίμητον τῇ ποιήσει. πάντες δ' ἦσαν διὰ τρημάτων κατειλημμένοι χρυσαῖς περόναις πρὸς τὴν ἀσφάλειαν. ἐπὶ δὲ τῶν γωνιῶν αἱ κατακλεῖδες
62 συνέσφιγγον πρὸς τὴν συνοχήν. ἐκ πλαγίων δὲ κατὰ τὴν στεφάνην κυκλόθεν τὰ πρὸς τὴν ἄνω πρόσοψιν ᾠοθεσίᾳ κατεσκεύαστο διάλιθος, ἐκτύπωσιν ἔχουσα προοχῆς συνεχέσιν ἀναγλυφαῖς ῥαβδωταῖς,
63 πυκνὴν ἐχούσαις τὴν πρὸς ἄλληλα θέσιν περὶ ὅλην τὴν τράπεζαν. ὑπὸ

δὲ τὴν ἐκτύπωσιν τῶν λίθων τῆς ᾠοθεσίας, στέφανον ἐποίησαν οἱ τε-
χνῖται πάγκαρπον, ἐν ὑπεροχῇ προδήλως ἔχοντα βοτρύων καὶ σταχύ-
ων, ἔτι δὲ φοινίκων καὶ μήλων ἐλαίας τε καὶ ῥοῶν καὶ τῶν παραπλη-
σίων. τοὺς δὲ λίθους ἐργασάμενοι πρὸς τὴν τῶν προειρημένων καρ-
πῶν διατύπωσιν, ἔχοντας ἑκάστου γένους τὴν χρόαν, ἀνέδησαν τῷ
χρυσίῳ κύκλῳ περὶ ὅλην τὴν τῆς τραπέζης κατασκευὴν κατὰ κρότα-
64 φον. μετὰ δὲ τὴν τοῦ στεφάνου διάθεσιν, ὁμοίως <κάτω τὰ> κατὰ
τὴν τῆς ᾠοθεσίας διασκευὴν κατεσκεύαστο, καὶ τὰ λοιπὰ τῆς ῥαβδώ-
σεως καὶ διαγλυφῆς, <διὰ τὸ> κατ' ἀμφότερα τὰ μέρη τὴν τράπεζαν
πρὸς τὴν χρῆσιν πεποιῆσθαι, καθ' ὃ ἂν μέρος αἱρῶνται, ὥστε καὶ τὴν
τῶν κυμάτων θέσιν καὶ τὴν τῆς στεφάνης εἶναι κατὰ τὸ τῶν ποδῶν
65 μέρος. ἔλασμα γὰρ ἐποίησαν καθ' ὅλου τοῦ πλάτους τῆς τραπέζης
στερεὸν δακτύλων τεσσάρων, ὥστε τοὺς πόδας ἐνίεσθαι εἰς τοῦτο,
περόνας <σὺν> κατακλεῖσιν ἔχοντας ἐσφίγχθαι κατὰ τὴν στεφάνην,
ἵνα, καθ' ὃ ἂν αἱρῶνται μέρος, ᾖ χρῆσις ᾖ· τὸ αὐτὸ δὲ κατ' ἐπιφάνειαν
66 θεωρεῖται ἀμφοτεροδεξίου τῆς κατασκευῆς οὔσης. ἐπ' αὐτῆς δὲ τῆς
τραπέζης μαίανδρον ἔκτυπον ἐποίησαν, ἐν ὑπεροχῇ λίθους ἔχοντα κα-
τὰ μέσον πολυτελεῖς τῶν πολυειδῶν, ἀνθράκων τε καὶ σμαράγδων, ἔ-
τι δὲ ὄνυχος καὶ τῶν ἄλλων γενῶν τῶν διαφερόντων ἐν ὡραιότητι.
67 μετὰ δὲ τὴν τοῦ μαιάνδρου διάθεσιν ἐπέκειτο σχιστὴ πλοκή, θαυμα-
σίως ἔχουσα, ῥομβωτὴν ἀποτελοῦσα τὴν ἀνὰ μέσον θεωρίαν· ἐφ' ᾗ
κρυστάλλου λίθος καὶ τὸ λεγόμενον ἤλεκτρον ἐντετύπωτο, ἀμίμητον
θεωρίαν ἀποτελοῦν τοῖς θεωροῦσι.

68 Τοὺς δὲ πόδας ἐποίησαν τὰς κεφαλίδας ἔχοντας κρινωτάς, ἀνά-
κλασιν κρίνων ὑπὸ τὴν τράπεζαν λαμβανόντων, τὰ δὲ τῆς ἐντὸς προ-
69 σόψεως ὀρθὴν ἔχοντα τὴν πετάλωσιν. ἡ δὲ ἐπ' ἐδάφους ἔρεισις τοῦ
ποδὸς ἄνθρακος λίθου πάντοθεν παλαιστιαία, κρηπῖδος ἔχουσα τάξιν
κατὰ τὴν πρόσοψιν, ὀκτὼ δὲ δακτύλων τὸ πλάτος ἔχουσα· ἐφ' ὃν ἐπί-
70 κειται τὸ πᾶν ἔλασμα τοῦ ποδός. κατεσκεύασαν δὲ ἐκφύοντα κισσὸν
ἀκάνθῳ πλεκόμενον ἐκ τοῦ λίθου, σὺν ἀμπέλῳ περιειλούμενον κυκλό-
θεν τῷ ποδὶ σὺν τοῖς βότρυσιν, οἳ λιθουργεῖς ἦσαν, μέχρι τῆς κεφα-
λῆς. ἡ δ' αὐτὴ διάθεσις ἦν τῶν τεσσάρων ποδῶν, πάντα ἐνεργῶς πε-
ποιημένα καὶ προσηγμένα, τῆς ἐμπειρίας καὶ τέχνης τὰς ὑπεροχὰς ἀ-
παραλλάκτως ἔχοντα πρὸς τὴν ἀλήθειαν, ὥστε καὶ ῥιπίζοντος τοῦ κα-
τὰ τὸν ἀέρα πνεύματος κίνησιν ἐπιδέχεσθαι τὴν τῶν φύλων θέσιν,
71 πρὸς τὴν τῆς ἀληθείας διάθεσιν τετυπωμένων ἁπάντων. ἐποίησαν δὲ
τριμερὲς τὸ στόμα τῆς τραπέζης, οἱονεὶ τρίπτυχον, πελεκίνοις συναρ-
μοζόμενα γομφωτοῖς πρὸς ἑαυτὰ κατὰ τὸ πάχος τῆς κατασκευῆς, ἀθέ-
ατον καὶ ἀνεύρετον τὴν τῶν ἁρμῶν κατασκευάσαντες συμβολήν. ἡμι-
πηχίου δὲ οὐκ ἐλάσσονος ἦν τὸ πάχος τῆς ὅλης τραπέζης, ὥστε πολ-
72 λῶν εἶναι ταλάντων τὴν ὅλην διασκευήν. ἐπεὶ γὰρ οὐ προῄρητο τοῖς
μεγέθεσιν οὐδὲν προσθεῖναι ὁ βασιλεύς, ὅσον ἔδει δαπανηθῆναι κατα-
σκευαζομένων μειζόνων, ταῦτα ἀποδέδωκε πλείονα· καὶ κατὰ τὴν
προαίρεσιν αὐτοῦ πάντα ἐπετελέσθη θαυμασίως καὶ ἀξιολόγως ἔχο-
ντα, καὶ ταῖς τέχναις ἀμίμητα καὶ τῇ καλλονῇ διαπρεπῆ.

73 Τῶν δὲ κρατήρων δύο μὲν ἦσαν <χρυσοῖ> τῇ κατασκευῇ, φολιδωτὴν ἔχοντες ἀπὸ τῆς βάσεως μέχρι τοῦ μέσου τὴν διασκευὴν τῇ τορείᾳ, καὶ τὴν τῶν λίθων ἀνὰ μέσον τῶν φολίδων σύνδεσιν πολυτέ-
74 χνως ἔχοντες. εἶτα μαίανδρος ἐπέκειτο πηχυαῖος ὕψει, τὴν δ' ἐκτύπωσιν ἐνυπῆρχε διὰ λιθώσεως ποικίλης, ἐμφαίνων σὺν ὡραιότητι τὸ τῆς τέχνης φιλόπονον. ἐπὶ δὲ τούτου ῥάβδωσις, ἐφ' ᾗ διαπλοκὴ ῥόμβων,
75 δικτυωτὴν ἔχουσα τὴν πρόσοψιν ἕως ἐπὶ τὸ στόμα. τὸ δ' ἀνὰ μέσον ἀσπιδίσκοι λίθων ἑτέρων παρ' ἑτέροις, τοῖς γένεσι παραλλαγὴν ἐχόντων, τετραδακτύλων οὐκ ἔλαττον, ἀνεπλήρουν τὸ τῆς καλλονῆς ἐναργές. ἐπὶ δὲ τῆς στεφάνης τοῦ στόματος κρίνων τύπωσις σὺν ἀνθε-
76 μίσι καὶ βοτρύων σχοινιαὶ διάπλοκοι διετυποῦντο κυκλόθεν. οἱ μὲν οὖν διὰ τοῦ χρυσοῦ τοιαύτην εἶχον τὴν κατασκευήν, χωροῦντες ὑπὲρ δύο μετρητάς· οἱ δ' ἀργυροῖ λείαν εἶχον τὴν διασκευήν, ἔνοπτρον δὴ γεγονυῖαν πρὸς αὐτὸ τοῦτο θαυμασίως ἔχουσαν, ὥστε πᾶν τὸ προσα-
77 χθὲν ἀπαυγάζεσθαι σαφέστερον μᾶλλον ἢ ἐν τοῖς κατόπτροις. οὐκ ἐφικτὸν δ' ἐστὶν ἐξηγήσασθαι τὰ προσυντελεσθέντα πρὸς τὴν τῆς ἀληθείας ἔμφασιν. ὡς γὰρ ἐπετελέσθη, τεθέντων τῶν κατασκευασμάτων ἑτέρου παρ' ἕτερον –λέγω δὲ πρῶτον ἀργυροῦ κρατῆρος, εἶτα χρυσοῦ, πάλιν ἀργυροῦ καὶ χρυσοῦ– παντελῶς ἀνεξήγητος ἐγένετο τῆς προσόψεως ἡ διάθεσις, καὶ τῶν πρὸς τὴν θεωρίαν προσιόντων οὐ δυναμένων ἀφίστασθαι διὰ τὴν περιαύγειαν καὶ τὸ τῆς ὄψεως τερπνόν.
78 ποικίλη γὰρ ἦν ἡ τῆς ἐπιφανείας ἐνέργεια. προσορώντων γὰρ πρὸς αὐτὴν τὴν τοῦ χρυσίου κατασκευήν, ψυχαγωγία τις ἦν μετὰ θαυμασμοῦ, συνεχῶς ἐφ' ἕκαστον ἐπιβαλλούσης τῆς διανοίας τεχνίτευμα. καὶ πάλιν ὅτε πρὸς τὴν τῶν ἀργυρῶν προσβλέψαι τις θέσιν ἤθελεν, ἀπέλαμπε τὰ πάντα κυκλόθεν, ὡς ἄν τις ἑστήκῃ, καὶ διάχυσιν ἐποίει μείζονα τοῖς θεωμένοις, ὥστε παντελῶς ἀνεξήγητον εἶναι τῶν ἐνηργημένων τὴν πολυτεχνίαν.

79 Τὰς δὲ χρυσᾶς φιάλας διετόρευσαν στεφάνοις ἀμπέλου κατὰ μέσον, περὶ δὲ τὰ χείλη κισσοῦ τε καὶ μυρσίνης ἔτι δ' ἐλαίας ἀνέπλεξαν στέφανον ἔκτυπον, πολυτελεῖς ἐνέντες λίθους· καὶ τὰς λοιπὰς δὲ τορείας διηλλαγμένως ἐπετέλεσαν, ἅπαντα φιλοτιμηθέντες εἰς ὑπεροχὴν
80 δόξης τοῦ βασιλέως ποιῆσαι. καθόλου γὰρ οὔτ' ἐν τοῖς βασιλικοῖς ὑπῆρχε ῥισκοφυλακίοις τοιαύτη κατασκευὴ τῇ πολυτελείᾳ καὶ τεχνουργίᾳ, οὔτ' ἔν τινι ἄλλῳ. πρόνοιαν γὰρ οὐ μικρὰν ἐποιεῖτο ὁ βασιλεύς,
81 φιλοδοξῶν εἰς τὰ καλῶς ἔχοντα. πολλάκις γὰρ τὸν δημόσιον χρηματισμὸν παρίει, τοῖς δὲ τεχνίταις παρήδρευεν ἐπιμελῶς, ἵνα καθηκόντως τῷ τόπῳ συντελέσωσιν, εἰς ὃν ἀπεστέλλετο τὰ τῶν ἔργων. διὸ πάντα σεμνῶς ἐγεγόνει, καὶ καταξίως τοῦ τε ἀποστέλλοντος βασιλέως καὶ
82 τοῦ προστατοῦντος ἀρχιερέως τοῦ τόπου. καὶ γὰρ τὸ τῶν λίθων πλῆθος ἄφθονον, καὶ μεγάλοι τοῖς μεγέθεσιν, οὐκ ἔλαττον πεντακισχιλίων· καὶ ταῖς τέχναις κρατιστεύοντα πάντα, ὥστε πενταπλασίως τοῦ χρυσοῦ τιμιωτέραν εἶναι τὴν τῶν λίθων δόσιν καὶ τὴν τῶν τεχνῶν ἐνέργειαν.

83 Ὑπολαμβάνων οὖν καὶ τούτων τὴν ἀναγραφὴν ἀναγκαίαν εἶναι,

δεδήλωκά σοι. τὰ δ' ἑξῆς περιέχει τὴν πρὸς τὸν Ἐλεάζαρον ὁδὸν ἡμῖν γενομένην· τὴν δὲ θέσιν τῆς ὅλης χώρας πρῶτον δηλώσω.

Ὡς γὰρ παρεγενήθημεν ἐπὶ τοὺς τόπους, ἐθεωροῦμεν τὴν πόλιν μέσην κειμένην τῆς ὅλης Ἰουδαίας ἐπ' ὄρους ὑψηλὴν ἔχοντος τὴν ἀ-
84 νάτασιν. ἐπὶ δὲ τῆς κορυφῆς κατεσκεύαστο τὸ ἱερὸν ἐκπρεπῶς ἔχον· καὶ οἱ περίβολοι τρεῖς, ὑπὲρ ἑβδομήκοντα δὲ πήχεις τῷ μεγέθει, καὶ τὸ πλάτος ἀκόλουθον καὶ τὸ μῆκος τῆς κατὰ τὸν οἶκον διασκευῆς ὑπῆρχε, μεγαλομερείᾳ καὶ χορηγίᾳ κατὰ πάντα ὑπερβαλλούσῃ διῳκο-
85 δομημένων ἁπάντων. καὶ τοῦ θυρώματος δὲ καὶ τῶν περὶ αὐτὸ συνδέσμων κατὰ τὰς φλιὰς καὶ τῆς τῶν ὑπερθύρων ἀσφαλείας ἔκδηλος ἦν
86 ἡ τῶν χρημάτων γεγονυῖα ἀφειδὴς δαπάνη. τοῦ τε καταπετάσματος ἡ διατύπωσις θυρώσει κατὰ πᾶν ὁμοιοτάτη ὑπῆρχε· καὶ μάλιστα διὰ τὴν τοῦ πνεύματος ὑποδρομὴν ἀδιάλειπτον κίνησιν λαμβανούσης τῆς διυφῆς, διὰ τὸ ἀπ' ἐδάφους γίνεσθαι τὴν ὑποδρομὴν κατὰ τὴν κόλπωσιν μέχρι τῆς ἄνω διατάσεως, ἡδεῖάν τινα καὶ δυσαπάλλακτον τὴν θεω-
87 ρίαν ἔχοντος τοῦ πράγματος. ἥ τε τοῦ θυσιαστηρίου κατασκευὴ συμμέτρως ἔχουσαν πρὸς τὸν τόπον καὶ τὰ θύματα διὰ τοῦ πυρὸς ἐξαναλούμενα τὴν διοικοδομὴν εἶχε, τῆς δ' ἀναβάσεως τῆς πρὸς αὐτό, πρὸς τὴν εὐκοσμίαν, ἔχοντος τοῦ τόπου καθηκόντως τὸ κλῖμα τῶν λειτουργούντων ἱερέων κεκαλυμμένων μέχρι τῶν σφυρῶν «βυσσίνοις χιτῶσιν».

88 Ὁ δὲ οἶκος βλέπει πρὸς ἕω, τὰ δ' ὀπίσθια αὐτοῦ πρὸς ἑσπέραν· τὸ δὲ πᾶν ἔδαφος λιθόστρωτον καθέστηκε καὶ κλίμακα πρὸς τοὺς καθήκοντας τόπους ἔχει τῆς τῶν ὑδάτων ἐπιφορᾶς ἕνεκεν, ἣ γίνεται διὰ τὴν σμῆξιν τῶν ἀπὸ τῶν θυσιῶν αἱμάτων. πολλαὶ γὰρ μυριάδες κτη-
89 νῶν προσάγονται κατὰ τὰς τῶν ἑορτῶν ἡμέρας. ὕδατος δὲ ἀνέκλειπτός ἐστι σύστασις, ὡς ἂν καὶ πηγῆς ἔσωθεν πολυρρύτου φυσικῶς ἐπιρρεούσης, ἔτι δὲ θαυμασίων καὶ ἀδιηγήτων ὑποδοχείων ὑπαρχόντων ὑπὸ γῆν, καθὼς ἀπέφαινον πέντε σταδίων κυκλόθεν τῆς κατὰ τὸ ἱερὸν καταβολῆς καὶ ἑκάστου τούτων σύριγγας ἀναρίθμους, καθ' ἕκα-
90 στον μέρος ἑαυτὰ συναπτόντων τῶν ῥευμάτων. καὶ πάντα ταῦτα μεμολιβῶσθαι κατ' ἐδάφους καὶ τῶν τοίχων ἐπὶ δὲ τούτων κεχύσθαι πολύ τι πλῆθος κονιάσεως, ἐνεργῶς γεγενημένων ἁπάντων· εἶναι δὲ πυκνὰ τὰ στόματα πρὸς τὴν βάσιν, ἀοράτως ἔχοντα τοῖς πᾶσι πλὴν αὐτοῖς οἷς ἐστιν ἡ λειτουργία, ὡς ῥοπῇ καὶ νεύματι πάντα καθαρίζεσθαι
91 τὰ συναγόμενα παμπληθῆ τῶν θυμάτων αἵματα. πεπυσμένος δὲ καὶ αὐτὸς τὴν τῶν ὑποδοχείων κατασκευὴν δηλώσω καθὼς ἐπιστώθην. προήγαγον γὰρ πλέον σταδίων τεσσάρων ἐκ τῆς πόλεως, καὶ πρός τινα τόπον ἐκέλευσαν κατακύψαντα συνακοῦσαι τοῦ γινομένου ψόφου τῆς ἀπαντήσεως τῶν ὑδάτων· ὥστε συμφανές μοι γεγονέναι τὸ μέγεθος τῶν ἀγγείων, καθὼς δεδήλωται.

92 Τῶν δὲ ἱερέων ἡ λειτουργία κατὰ πᾶν ἀνυπέρβλητός ἐστι τῇ ῥώμῃ καὶ τῇ τῆς εὐκοσμίας καὶ σιγῆς διαθέσει. πάντες γὰρ αὐτοκελεύστως διαπονοῦσι πολλῆς γινομένης κακοπαθείας, καὶ ἑκάστῳ τὸ διατεταγμένον μέλει. καὶ ἀδιαλείπτως ὑπηρετοῦσιν, οἱ μὲν τὴν ξυλείαν,

οἱ δὲ ἔλαιον, οἱ δὲ σεμίδαλιν, οἱ δὲ τὰ τῶν ἀρωμάτων, ἕτεροι τὰ τῆς
93 σαρκὸς ὁλοκαυτοῦντες, ἰσχύι διαφερόντως συγχρώμενοι· διαλαβόντες γὰρ ἀμφοτέραις τῶν μόσχων τὰ σκέλη, πλεῖον ὄντα ταλάντων δύο σχεδὸν ἑκάστου, ἀναρρίπτουσιν ἑκατέραις θαυμασίως ὕψος ἱκανὸν καὶ οὐχ ἁμαρτάνουσι τῆς ἐπιθέσεως. ὁμοίως δὲ καὶ τὰ τῶν προβάτων ἔτι δ' αἰγῶν τοῖς βάρεσι καὶ πιμελῇ θαυμασίως ἔχει. κατὰ πᾶν γὰρ ἐκλεγομένων οἷς ἐπιμελές ἐστιν ἀμώμητα καὶ τῇ παχύτητι διαφέ-
94 ροντα, τὸ προειρημένον ἐπιτελεῖται. πρὸς δὲ τὴν ἀνάπαυσιν τόπος αὐτοῖς ἐστιν ἀποτεταγμένος, οὗ καθίζουσιν οἱ διαναπαυόμενοι. τούτου δὲ γινομένου, τῶν διαλελοιπότων ἐγείρονται πρόθυμοι, οὐδενὸς ἐπι-
95 τάσσοντος τὰ τῆς λειτουργίας. ἥ τε πᾶσα σιγὴ καθέστηκεν, ὥσθ' ὑπολαμβάνειν, μήθ' ἕνα ἄνθρωπον ἐν τῷ τόπῳ παρεῖναι, πρὸς τοὺς ἑπτακοσίους παρόντων τῶν λειτουργῶν –καὶ τῶν προσαγόντων δὲ τὰ θύματα πολύ τι πλῆθος– ἀλλὰ φόβῳ καὶ καταξίως μεγάλης θειότητος ἅπαντ' ἐπιτελεῖται.

96 Μεγάλην δὲ ἔκπληξιν ἡμῖν παρέσχεν ὡς ἐθεασάμεθα τὸν Ἐλεάζαρον ἐν τῇ λειτουργίᾳ, τά τε τοῦ στολισμοῦ καὶ τῆς δόξης, ἣ συνίσταται διὰ τὴν ἔνδυσιν οὗ φορεῖ χιτῶνος καὶ τῶν περὶ αὐτὸν λίθων· χρυσοῖ γὰρ κώδωνες περὶ τὸν ποδήρη εἰσὶν αὐτοῦ, μέλους ἦχον ἀνιέντες ἰδιάζοντα· παρ' ἑκάτερον δὲ τούτων ἄνθεσι πεποικιλμένοι ῥοΐσκοι, τῇ
97 χρόᾳ θαυμασίως ἔχοντες. κατέζωστο δὲ διαφόρῳ ζώνῃ διαπρεπεῖ, διυφασμένῃ καλλίστοις χρώμασιν. ἐπὶ δὲ τοῦ στήθους φορεῖ τὸ λεγόμενον λογεῖον, ἐν ᾧ συνεσφιγμένοι λίθοι δεκαδύο, διαλλάσσοντες τοῖς γένεσι, χρυσῷ κεκολλημένοι, τὰ τῶν φυλάρχων ὀνόματα κατὰ τὴν ἐξ ἀρχῆς διάταξιν γενηθεῖσαν, ἀπαυγάζοντες ἕκαστος ἀνεξήγητον τῆς ἰ-
98 διότητος τὴν φυσικὴν χρόαν. ἐπὶ δὲ τῆς κεφαλῆς ἔχει τὴν λεγομένην κίδαριν, ἐπὶ δὲ ταύτης τὴν ἀμίμητον μίτραν, τὸ καθηγιασμένον βασίλειον ἐκτυποῦν ἐπὶ πετάλῳ χρυσῷ γράμμασιν ἁγίοις τὸ ὄνομα τοῦ θεοῦ, κατὰ μέσον τῶν ὀφρύων, δόξῃ πεπληρωμένον, ὁ κριθεὶς ἄξιος
99 τούτων ἐν ταῖς λειτουργίαις. ἡ δὲ συμφάνεια τούτων ἐμποιεῖ φόβον καὶ ταραχήν, ὥστε νομίζειν εἰς ἕτερον ἐληλυθέναι ἐκτὸς τούτου κόσμον· καὶ διαβεβαιοῦμαι πάντα ἄνθρωπον προσελθόντα τῇ θεωρίᾳ τῶν προειρημένων εἰς ἔκπληξιν ἥξειν καὶ θαυμασμὸν ἀνεκδιήγητον, μετατραπέντα τῇ διανοίᾳ διὰ τὴν περὶ ἕκαστον ἁγίαν κατασκευήν.

100 Πρὸς γὰρ τὴν ἐπίγνωσιν ἁπάντων ἐπὶ τὴν παρακειμένην ἄκραν τῆς πόλεως ἀναβάντες ἐθεωροῦμεν· ἣ κεῖται μὲν ἐν ὑψηλοτάτῳ τόπῳ, πύργοις ἐξησφαλισμένη πλείοσι, μέχρι κορυφῆς εὐμήκεσι λίθοις ἀνῳκοδομημένων αὐτῶν, ὡς μεταλαμβάνομεν, πρὸς φυλακὴν τῶν περὶ τὸ
101 ἱερὸν τόπων· ἵνα, ἐὰν ἐπίθεσίς τις ἢ νεωτερισμὸς ἢ πολεμίων ἔφοδος γένηται, μηθεὶς δύνηται ὁδὸν εἰς τοὺς περιβόλους ποιήσασθαι τοὺς περὶ τὸν οἶκον· ἐπικειμένων καὶ ὀξυβελῶν ἐπὶ τῶν πύργων τῆς ἄκρας καὶ ὀργάνων ποικίλων, καὶ τοῦ τόπου κατὰ κορυφὴν ὄντος τῶν προει-
102 ρημένων περιβόλων, ὡσανεὶ φυλασσομένων τῶν πύργων ὑπὸ τῶν πιστοτάτων ἀνδρῶν καὶ τῇ πατρίδι μεγάλας ἀποδείξεις δεδωκότων· οἵτινες οὐκ εἶχον ἐξουσίαν ἐξιέναι τῆς ἄκρας, εἰ μὴ ταῖς ἑορταῖς, καὶ

103 τοῦτο ἐκ μέρους, οὐδὲ εἰσοδεύειν εἴων οὐδένα. μετὰ ἀκριβείας δὲ πολλῆς εἶχον, εἰ καί τις ἐπιταγὴ γένοιτο διὰ τοῦ προκαθηγουμένου πρὸς θεωρίαν εἰσδέξασθαί τινας· οἷον καὶ καθ' ἡμᾶς ἐγεγόνει. μόλις γὰρ ἀνόπλους ὄντας ἡμᾶς δύο παρεδέξαντο πρὸς τὸ κατανοῆσαι τὰ
104 τῶν θυσιῶν. ἔλεγον δὲ καὶ δι' ὅρκων πεπιστῶσθαι τὸ τοιοῦτον· τοὺς γὰρ πάντας ὀμωμοκέναι, κατ' ἀνάγκην ἐπιτελουμένους θείως τὸ κατὰ τὸν ὁρκισμὸν πρᾶγμα, ὄντως πεντακοσίους μὴ παραδέξασθαι πλεῖον ἀνθρώπων πέντε κατὰ τὸ αὐτό· τοῦ γὰρ ἱεροῦ τὴν πᾶσαν εἶναι φυλακὴν τὴν ἄκραν· καὶ τὸν καταβαλλόμενον αὐτὴν τὴν προφυλακὴν τῶν εἰρημένων οὕτως ἠσφαλίσθαι.

105 Τῆς δὲ πόλεώς ἐστι τὸ χῦμα συμμέτρως ἔχον, οἷον τεσσαράκοντα σταδίων ὄντος τοῦ περιβόλου, καθόσον εἰκάσαι δυνατόν. ἔχει δὲ τὴν τῶν πύργων θέσιν θεατροειδῆ, καὶ φαινομένων διόδων –τῶν <μὲν> ὑποκειμένων, τῶν δ' ἐπάνωθεν– εἰθισμένως, καὶ τὰς διὰ τούτων διεξόδους. ἀνάκλασιν γὰρ ἔχει τὰ τῶν τόπων, ὡς ἂν ἐπ' ὄρους
106 τῆς πόλεως ᾠκοδομημένης. εἰσὶ δὲ καὶ διαβάθραι πρὸς τὰς διόδους. οἱ μὲν γὰρ μετέωροι τὴν ὁδείαν, οἱ δ' ὑπ' αὐτὰς ποιοῦνται, καὶ μάλιστα διεστηκότες τῆς ὁδείας, διὰ τοὺς ἐν ταῖς ἁγνείαις ὄντας, ὅπως μηδενὸς θιγγάνωσιν ὧν οὐ δέον ἐστίν.

107 Οὐκ ἀλόγως δὲ τὴν πόλιν συμμετρίᾳ καθηκούσῃ κατεσκεύασαν οἱ πρῶτοι, σοφῶς δὲ ἐπινοήσαντες. τῆς γὰρ χώρας πολλῆς οὔσης καὶ καλῆς, καί τινων μὲν πεδινῶν, τῶν κατὰ τὴν Σαμαρεῖτιν λεγομένην, καὶ τῶν συναπτόντων τῇ τῶν Ἰδουμαίων χώρᾳ, τινῶν δὲ ὀρεινῶν, τῶν <πρὸς μέσην τὴν χώραν χρὴ> πρὸς τὴν γεωργίαν καὶ τὴν ἐπιμέλειαν τῆς γῆς γίνεσθαι συνεχῶς, ἵνα καὶ διὰ τοῦτο οὗτοι τὴν εὐκαρπίαν ἔχωσιν. οὗ καὶ γινομένου γεωργεῖται πάντα μετὰ δαψιλείας πολ-
108 λῆς ἐν πάσῃ τῇ προειρημένῃ χώρᾳ. Τῶν δὲ πόλεων ὅσαι μέγεθος ἔχουσι καὶ τὴν ἀκόλουθον εὐδαιμονίαν, ταύταις συμβέβηκεν εὐανδρεῖν, ἀμελεῖσθαι δὲ τῆς χώρας, πάντων ἐπὶ τὸ κατὰ ψυχὴν ἱλαροῦσθαι νενευκότων, καὶ τῇ κατασκευῇ πάντας ἀνθρώπους ἐπὶ τὰς ἡδονὰς εὐκα-
109 ταφόρους εἶναι. τοῦτο δὲ ἐγίνετο περὶ τὴν Ἀλεξάνδρειαν ὑπερβάλλουσαν πάσας τῷ μεγέθει καὶ <τῇ> εὐδαιμονίᾳ τὰς πόλεις. οἱ γὰρ ἀπὸ τῆς χώρας εἰς αὐτὴν ἐπιξενούμενοι καταμένοντες ἐφ' ἱκανὸν εἰς ἐλάτ-
110 τωσιν ἦγον τὰ τῆς ἐργασίας. ὅθεν ὁ βασιλεύς, ἵνα μὴ καταμένωσι, προσέταξε μὴ πλέον εἴκοσιν ἡμερῶν παρεπιδημεῖν· καὶ τοῖς ἐπὶ τῶν χρειῶν ὁμοίως δι' ἐγγράπτων διαστολὰς ἔδωκεν, ἐὰν ἀναγκαῖον ᾖ κα-
111 τακαλέσαι, διακρίνειν ἐν ἡμέραις πέντε. πρὸ πολλοῦ δὲ ποιούμενος καὶ χρηματιστὰς καὶ τοὺς τούτων ὑπηρέτας ἐπέταξε κατὰ νομούς, ὅπως μὴ πορισμὸν λαμβάνοντες οἱ γεωργοὶ καὶ προστάται τῆς πόλεως ἐλαττῶσι τὰ ταμιεῖα, λέγω δὲ τὰ τῆς γεωργίας πρόσφορα.

112 Παρεξέβημεν δὲ ταῦτα διὰ τὸ καλῶς ἡμῖν τὸν Ἐλεάζαρον ὑποδεδειχέναι τὰ προειρημένα. μεγάλη γάρ ἐστιν ἡ τῶν γεωργουμένων φιλοπονία. καὶ γὰρ ἐλαϊκοῖς πλήθεσι σύδενδρός ἐστι καὶ σιτικοῖς καρποῖς αὐτῶν ἡ χώρα καὶ ὀσπρίοις, ἔτι δὲ ἀμπέλῳ καὶ μέλιτι πολλῷ. τὰ μὲν τῶν ἄλλων ἀκροδρύων καὶ φοινίκων οὐδ' ἀριθμεῖται παρ' αὐτοῖς.

113 κτήνη τε πολλὰ παμμιγῆ, καὶ δαψιλὴς ἡ τούτων νομή. διὸ καλῶς ἔβλε-
ψαν, ὅτι πολυανθρωπίας οἱ τόποι προσδέονται, καὶ τὴν κατασκευὴν
114 τῆς πόλεως καὶ τῶν κωμῶν ἔθεντο κατὰ λόγον. πολὺ δὲ πλῆθος καὶ
τῶν ἀρωμάτων καὶ λίθων πολυτελῶν καὶ χρυσοῦ παρακομίζεται διὰ
τῶν Ἀράβων εἰς τὸν τόπον. ἐργάσιμος γὰρ καὶ πρὸς τὴν ἐμπορίαν ἐ-
στὶ κατεσκευασμένη ἡ χώρα, καὶ πολύτεχνος ἡ πόλις, οὐ σπανίζει δὲ
115 οὐδὲν τῶν διακομιζομένων διὰ τῆς θαλάσσης. ἔχει γὰρ καὶ λιμένας
εὐκαίρους χορηγοῦντας, τόν τε κατὰ τὴν Ἀσκάλωνα καὶ Ἰόππην καὶ
Γάζαν, ὁμοίως δὲ καὶ Πτολεμαΐδα τὴν ὑπὸ τοῦ βασιλέως ἐκτισμένην.
μέση δὲ κεῖται πρὸς τοὺς προειρημένους τόπους, οὐκ ἀπέχουσα τού-
των πολύ. ἔχει δὲ πάντα δαψιλῆ κάθυγρος οὖσα πάντοθεν ἡ χώρα καὶ
116 μεγάλην ἀσφάλειαν ἔχουσα. περιρρεῖ δ' αὐτὴν ὁ λεγόμενος Ἰορδάνης
ποταμὸς ἀείρρους. <τῆς δὲ χώρας> οὐκ ἔλαττον ἑξακισχιλίων μυ-
ριάδων ἀρουρῶν κατὰ τὸ ἀρχαῖον οὔσης –μετέπειτα δὲ οἱ γειτνιῶντες
ἐπέβησαν αὐτῆς– ἑξήκοντα μυριάδες ἀνδρῶν ἔγκληροι καθειστήκει-
σαν ἑκατοντάρουροι. πληρούμενος δὲ ὁ ποταμός, καθὼς ὁ Νεῖλος, ἐν
ταῖς πρὸς τὸν θερισμὸν ἡμέραις, πολλὴν ἀρδεύει τῆς γῆς· ὃς εἰς ἕτε-
117 ρον ποταμὸν ἐμβάλλει τὸ ῥεῦμα κατὰ τὴν Πτολεμαίων χώραν, οὗτος
δὲ ἔξεισιν εἰς θάλασσαν. ἄλλοι δὲ χειμάρροι λεγόμενοι κατίασι, περι-
118 λαμβάνοντες τὰ πρὸς τὴν Γάζαν μέρη καὶ τὴν Ἀζωτίων χώραν. περιέ-
χεται δὲ ἀσφαλείαις αὐτοφυέσι, δυσείσβολος οὖσα καὶ πλήθεσιν ἀ-
πραγμάτευτος, διὰ τὸ στενὰς εἶναι τὰς παρόδους, κρημνῶν παρακει-
μένων καὶ φαράγγων βαθειῶν, ἔτι δὲ τραχείας οὔσης πάσης τῆς πε-
ριεχούσης πᾶσαν τὴν χώραν ὀρεινῆς.

119 Ἐλέγετο δὲ καὶ ἐκ τῶν παρακειμένων ὀρέων τῆς Ἀραβίας μέταλ-
λα χαλκοῦ καὶ σιδήρου συνίστασθαι πρότερον. ἐκλέλειπται δὲ ταῦτα,
καθ' ὃν ἐπεκράτησαν Πέρσαι χρόνον, τῶν τότε προστατούντων ποιη-
σαμένων διαβολήν, ὡς ἄχρηστος ἡ κατεργασία γίνεται καὶ πολυδάπα-
120 νος, ὅπως μὴ διὰ τὴν μεταλλείαν τῶν εἰρημένων συμβῇ καὶ τὴν χώ-
ραν καταφθείρεσθαι, καὶ σχεδὸν διὰ τὴν ἐκείνων δυναστείαν ἀλλο-
τριωθῆναι, παρεύρεσιν λαβόντων εἰς τοὺς τόπους εἰσόδου, διὰ τοῦτο
τὴν διαβολὴν γεγονέναι ταύτην.

Ὅσον οὖν καὶ περὶ τούτων ἔδει, κεφαλαιωδῶς σεσήμαγκά σοι, ὦ
Φιλόκρατες ἀδελφέ· τὰ δὲ τῆς ἑρμηνείας ἑπομένως δηλώσομεν.

121 Ἐπιλέξας γὰρ τοὺς ἀρίστους ἄνδρας καὶ παιδείᾳ διαφέροντας, ἅ-
τε δὴ γονέων τετευχότας ἐνδόξων, οἵτινες οὐ μόνον τὴν τῶν ἰουδαϊ-
κῶν γραμμάτων ἕξιν περιεποίησαν αὐτοῖς, ἀλλὰ καὶ τῆς τῶν ἑλληνι-
122 κῶν ἐφρόντισαν οὐ παρέργως κατασκευῆς· διὸ καὶ πρὸς τὰς πρε-
σβείας εὔθετοι καθεστήκεισαν, καὶ τοῦτ' ἐπετέλουν ὅτε δέοι, καὶ πρὸς
τὰς ὁμιλίας καὶ τὰς ἐπερωτήσεις τὰς διὰ τοῦ Νόμου μεγάλην εὐφυΐαν
εἶχον, τὸ μέσον ἐζηλωκότες κατάστημα –τοῦτο γὰρ κάλλιστόν ἐστιν–,
ἀποτεθειμένοι τὸ τραχὺ καὶ βάρβαρον τῆς διανοίας, ὁμοίως δὲ καὶ τὸ
κατοίεσθαι καὶ νομίζειν ὑπερφρονεῖν ἑτέρους ὑπερβεβηκότες, τὴν δ'
ὁμιλίαν καὶ τὸ συνακούειν καὶ πρὸς ἕκαστον ἀποκρίνεσθαι δεόντως
παραδεδεγμένοι, καὶ πάντες ταῦτα συντηροῦντες καὶ μᾶλλον ἐν τού-

τοις βουλόμενοι ὑπερφέρειν ἕτερος ἑτέρου, καὶ τοῦ καθηγουμένου πά-
123 ντες ἄξιοι καὶ τῆς περὶ αὐτὸν ἀρετῆς. νοῆσαι δ' ἦν, ὡς ἠγάπησαν τὸν Ἐλεάζαρον δυσαποσπάστως ἔχοντες, καὶ ἐκεῖνος αὐτούς· χωρὶς καὶ τοῦ πρὸς τὸν βασιλέα γεγραφέναι περὶ τῆς ἀποκαταστάσεως αὐτῶν πολλὰ παρεκάλεσε τὸν Ἀνδρέαν ποιῆσαι, συναντιλαμβάνεσθαι παρα-
124 καλῶν, καθ' ὃ ἂν δυνώμεθα. καὶ ἡμῶν ἐπαγγελλομένων εὖ φροντίσειν περὶ τούτων, ἔφη καὶ λίαν διαγωνιᾶν· εἰδέναι γάρ, ὅτι φιλάγαθος ὢν ὁ βασιλεὺς πάντων μέγιστον ἡγεῖται τὸ μεταπέμπεσθαι, καθ' ὃν ἂν τόπον ὀνομασθῇ τις ἄνθρωπος διαφέρων ἀγωγῇ καὶ φρονήσει παρ' ἑτέ-
125 ρους. μετείληφα γὰρ καλῶς αὐτὸν λέγειν, ὅτι περὶ ἑαυτὸν ἔχων ἄνδρας δικαίους καὶ σώφρονας τὴν μεγίστην ἂν φυλακὴν τῆς βασιλείας ἕξειν, συμβουλευόντων παρρησίᾳ πρὸς τὸ συμφέρον τῶν φίλων· ὃ δὴ
126 σύνεστι τοῖς ἀποστελλομένοις ὑπ' αὐτοῦ. καὶ δι' ὅρκων ἐπιστοῦτο, μὴ προΐεσθαι τοὺς ἀνθρώπους, εἴ τις ἑτέρα χρεία πρὸς τὰ κατ' ἰδίαν αὐτῷ κατεπείγοι, πρὸς δὲ τὴν κοινὴν πᾶσι τοῖς πολίταις ἐπανόρθωσιν ἐ-
127 ξαποστέλλειν αὐτούς. τὸ γὰρ καλῶς ζῆν ἐν τῷ τὰ νόμιμα συντηρεῖν εἶναι· τοῦτο δὲ ἐπιτελεῖσθαι διὰ τῆς ἀκροάσεως πολλῷ μᾶλλον ἢ διὰ τῆς ἀναγνώσεως. προτιθέμενος οὖν ταῦτα καὶ τὰ τούτοις παραπλήσια φανερὸς ἦν τὴν διάθεσιν, οἷον ἦν πρὸς αὐτούς.

128 Ἄξιον δὲ ἐπιμνησθῆναι <διὰ> βραχέων τῶν ὑποδειχθέντων ὑπ' αὐτοῦ πρὸς τὰ δι' ἡμῶν ἐπιζητηθέντα. νομίζω γὰρ τοὺς πολλοὺς περιεργίαν ἔχειν τινὰ τῶν ἐν τῇ νομοθεσίᾳ περί τε τῶν βρωτῶν καὶ ποτῶν καὶ τῶν νομιζομένων ἀκαθάρτων εἶναι κνωδάλων.

129 Πυνθανομένων γὰρ ἡμῶν διὰ τί, μιᾶς καταβολῆς οὔσης, τὰ μὲν ἀκάθαρτα νομίζεται πρὸς βρῶσιν, τὰ δὲ καὶ πρὸς τὴν ἁφήν –δεισιδαιμόνως γὰρ τὰ πλεῖστα τὴν νομοθεσίαν ἔχειν, ἐν δὲ τούτοις πάλιν δει-
130 σιδαιμόνως– πρὸς ταῦτα οὕτως ἐνήρξατο· Θεωρεῖς, ἔφη, τὰς ἀναστροφὰς καὶ τὰς ὁμιλίας, οἷον ἐνεργάζονται πρᾶγμα, διότι κακοῖς ὁμιλήσαντες διαστροφὰς ἐπιλαμβάνουσιν ἄνθρωποι, καὶ ταλαίπωροι δι' ὅλου τοῦ ζῆν εἰσιν· ἐὰν δὲ σοφοῖς καὶ φρονίμοις συζῶσιν, ἐξ ἀγνοίας
131 ἐπανορθώσεως εἰς τὸν βίον ἔτυχον. διαστειλάμενος οὖν τὰ τῆς εὐσεβείας καὶ δικαιοσύνης πρῶτον ὁ νομοθέτης ἡμῶν, καὶ διδάξας ἕκαστα περὶ τούτων, οὐκ ἀπαγορευτικῶς μόνον ἀλλ' ἐνδεικτικῶς, καὶ τὰς βλάβας προδηλώσας καὶ τὰς ὑπὸ τοῦ θεοῦ γινομένας ἐπιπομπὰς τοῖς
132 αἰτίοις – προϋπέδειξε γὰρ πάντων πρῶτον ὅτι μόνος ὁ θεός ἐστι, καὶ διὰ πάντων ἡ δύναμις αὐτοῦ φανερὰ γίνεται, πεπληρωμένου παντὸς τόπου τῆς δυναστείας, καὶ οὐθὲν αὐτὸν λανθάνει τῶν ἐπὶ γῆς γινομένων ὑπ' ἀνθρώπων κρυφίως, ἀλλ' ὅσα ποιεῖ τις αὐτῷ φανερὰ καθέ-
133 στηκε, καὶ τὰ μέλλοντα γίνεσθαι – ταῦτ' οὖν ἐξεργαζόμενος ἀκριβῶς καὶ πρόδηλα θεὶς ἔδειξεν ὅτι, κἂν ἐννοηθῇ τις κακίαν ἐπιτελεῖν, οὐκ ἂν λάθοι, μὴ ὅτι καὶ πράξας, διὰ πάσης τῆς νομοθεσίας τὸ τοῦ θεοῦ δυνατὸν ἐνδεικνύμενος.

134 [Ποιησάμενος οὖν τὴν καταρχὴν ταύτην, καὶ δείξας ὅτι πάντες οἱ λοιποὶ παρ' ἡμᾶς ἄνθρωποι πολλοὺς θεοὺς εἶναι νομίζουσιν, αὐτοὶ δυ-
135 ναμικώτεροι πολλῷ καθεστῶτες ὧν σέβονται ματαίως – ἀγάλματα

γὰρ ποιήσαντες ἐκ λίθων καὶ ξύλων, εἰκόνας φασὶν εἶναι τῶν ἐξευρό-
ντων τι πρὸς τὸ ζῆν αὐτοῖς χρήσιμον, οἷς προσκυνοῦσι, παρὰ πόδας
136 ἔχοντες τὴν ἀναισθησίαν. εἴτε γὰρ κατ' ἐκεῖνό τις θεοῖ, κατὰ τὴν ἐξεύ-
ρεσιν, παντελῶς ἀνόητον· τῶν γὰρ ἐν τῇ κτίσει λαβόντες τινὰ συνέθη-
καν καὶ προσυπέδειξαν εὔχρηστα, τὴν κατασκευὴν αὐτῶν οὐ ποιήσα-
137 ντες αὐτοί· διὸ κενὸν καὶ μάταιον τοὺς ὁμοίους ἀποθεοῦν. καὶ γὰρ ἔτι
καὶ νῦν εὑρηματικώτεροι καὶ πολυμαθέστεροι τῶν ἀνθρώπων τῶν
πρίν εἰσι πολλοί, καὶ οὐκ ἂν φθάνοιεν αὐτοὺς προσκυνοῦντες. καὶ νο-
μίζουσιν οἱ ταῦτα διαπλάσαντες καὶ μυθοποιήσαντες τῶν Ἑλλήνων οἱ
138 σοφώτατοι καθεστάναι. τῶν γὰρ ἄλλων πολυματαίων τί δεῖ καὶ λέ-
γειν, Αἰγυπτίων τε καὶ τῶν παραπλησίων, οἵτινες ἐπὶ θηρία καὶ τῶν
ἑρπετῶν τὰ πλεῖστα καὶ κνωδάλων τὴν ἀπέρεισιν πεποίηνται, καὶ ταῦ-
139 τα προσκυνοῦσι, καὶ θύουσι τούτοις καὶ ζῶσι καὶ τελευτήσασι; συνθε-
ωρήσας οὖν ἕκαστα σοφὸς ὢν ὁ νομοθέτης, ὑπὸ θεοῦ κατεσκευασμέ-
νος εἰς ἐπίγνωσιν τῶν ἁπάντων, περιέφραξεν ἡμᾶς ἀδιακόποις χάρα-
ξι καὶ σιδηροῖς τείχεσιν, ὅπως μηθενὶ τῶν ἄλλων ἐθνῶν ἐπιμισγώμε-
θα κατὰ μηδέν, ἁγνοὶ καθεστῶτες κατὰ σῶμα καὶ κατὰ ψυχήν, ἀπολε-
λυμένοι ματαίων δοξῶν, τὸν μόνον θεὸν καὶ δυνατὸν σεβόμενοι παρ'
140 ὅλην τὴν πᾶσαν κτίσιν. ὅθεν οἱ Αἰγυπτίων καθηγεμόνες ἱερεῖς, ἐγκε-
κυφότες εἰς πολλὰ καὶ <πολλῶν> μετεσχηκότες πραγμάτων, ἀνθρώ-
πους θεοῦ προσονομάζουσιν ἡμᾶς· ὃ τοῖς λοιποῖς οὐ πρόσεστιν, εἰ μή
τις σέβεται τὸν κατὰ ἀλήθειαν θεόν, ἀλλ' εἰσὶν ἄνθρωποι βρωτῶν καὶ
ποτῶν καὶ σκέπης· ἡ γὰρ πᾶσα διάθεσις αὐτῶν ἐπὶ ταῦτα καταφεύγει.
141 τοῖς δὲ παρ' ἡμῶν ἐν οὐδενὶ ταῦτα λελόγισται, περὶ δὲ τῆς τοῦ θεοῦ
142 δυναστείας δι' ὅλου τοῦ ζῆν ἡ σκέψις αὐτοῖς ἐστιν. ὅπως οὖν μηθενὶ
συναλισγούμενοι μηδ' ὁμιλοῦντες φαύλοις διαστροφὰς λαμβάνωμεν,
πάντοθεν ἡμᾶς περιέφραξεν ἁγνείαις καὶ διὰ βρωτῶν καὶ ποτῶν καὶ ἁ-
143 φῶν καὶ ἀκοῆς καὶ ὁράσεως νομικῶς. τὸ γὰρ καθόλου πάντα πρὸς
τὸν φυσικὸν λόγον ὅμοια καθέστηκεν, ὑπὸ μιᾶς δυνάμεως οἰκονομού-
μενα, καὶ καθ' ἓν ἕκαστον ἔχει λόγον βαθύν, ἀφ' ὧν ἀπεχόμεθα κατὰ
τὴν χρῆσιν, καὶ οἷς συγχρώμεθα. χάριν δὲ ὑποδείγματος ἓν ἢ δεύτε-
144 ρον ἐπιδραμὼν σοι σημανῶ. μὴ γὰρ εἰς τὸν καταπεπτωκότα λόγον ἔλ-
θῃς, ὅτι μυῶν καὶ γαλῆς ἢ τῶν τοιούτων χάριν περιεργίαν ποιούμενος
ἐνομοθέτει ταῦτα Μωϋσῆς· ἀλλὰ πρὸς ἁγνὴν ἐπίσκεψιν καὶ τρόπων ἐ-
145 ξαρτισμὸν δικαιοσύνης ἕνεκεν σεμνῶς πάντα ἀνατέτακται. τῶν γὰρ
πτηνῶν οἷς χρώμεθα πάντα ἥμερα καθέστηκε καὶ διαφέρει καθαριότη-
τι, πυροῖς καὶ ὀσπρίοις χρώμενα πρὸς τὴν τροφήν, οἷον περιστεραὶ
146 τρυγόνες ἄττακοι πέρδικες ἔτι δὲ χῆνες καὶ τὰ ἄλλα ὅσα τοιαῦτα. περὶ
ὧν δὲ ἀπηγόρευται πτηνῶν, εὑρήσεις ἄγριά τε καὶ σαρκοφάγα καὶ κα-
ταδυναστεύοντα τῇ περὶ ἑαυτὰ δυνάμει τὰ λοιπά, καὶ τὴν τροφὴν ἔχο-
ντα δαπάνησιν τῶν προειρημένων ἡμέρων μετὰ ἀδικίας· οὐ μόνον δὲ
ταῦτα, ἀλλὰ καὶ τοὺς ἄρνας καὶ ἐρίφους ἁναρπάζουσι, καὶ τοὺς ἀν-
147 θρώπους δὲ ἀδικοῦσι νεκρούς τε καὶ ζῶντας. παράσημον οὖν ἔθετο
διὰ τούτων, ἀκάθαρτα προσονομάσας, ὅτι δέον ἐστὶ κατὰ ψυχήν, οἷς
ἡ νομοθεσία διατέτακται, δικαιοσύνῃ συγχρῆσθαι καὶ μηδένα καταδυ-

ναστεύειν, πεποιθότας ἰσχύι τῇ καθ' ἑαυτούς, μηδὲ ἀφαιρεῖσθαι μηδέν, ἀλλ' ἐκ δικαίου τὰ τοῦ βίου κυβερνᾶν, ὡς τὰ τῶν προειρημένων πτηνῶν ἥμερα ζῷα τὰ φυόμενα τῶν ὀσπρίων ἐπὶ γῆς δαπανᾷ, καὶ οὐ καταδυναστεύει πρὸς τὴν ἐπαναίρεσιν τῶν συγγενικῶν].

148 Διὰ τῶν τοιούτων οὖν παραδέδωκεν ὁ νομοθέτης σημειοῦσθαι τοῖς συνετοῖς, εἶναι δικαίους τε καὶ μηδὲν ἐπιτελεῖν βίᾳ, μηδὲ τῇ περὶ
149 ἑαυτοὺς ἰσχύι πεποιθότας ἑτέρους καταδυναστεύειν. ὅπου γὰρ οὐδ' ἅψασθαι καθῆκε τῶν προειρημένων διὰ τὴν περὶ ἕκαστα διάθεσιν, πῶς οὐ φυλακτέον παντάπασι τοὺς τρόπους εἰς τοῦτο κατακλασθῆ-
150 ναι; πάντα οὖν τὰ τῆς συγχωρήσεως ἡμῖν ἐπὶ τούτων καὶ τῶν κτηνῶν τροπολογῶν ἐκτέθειται. τὸ γὰρ διχηλεύειν καὶ διαστέλλειν ὁπλῆς ὄνυχας σημεῖόν ἐστι τοῦ διαστέλλειν ἕκαστα τῶν πράξεων ἐπὶ τὸ καλῶς
151 ἔχον· ἡ γὰρ ἰσχὺς τῶν ὅλων σωμάτων μετ' ἐνεργείας ἀπέρεισιν ἐπὶ τοὺς ὤμους ἔχει καὶ τὰ σκέλη. μετὰ διαστολῆς οὖν ἅπαντα ἐπιτελεῖν πρὸς δικαιοσύνην ἀναγκάζει τῷ σημειοῦσθαι διὰ τούτων· ἔτι δὲ καὶ
152 διότι παρὰ πάντας ἀνθρώπους διεστάλμεθα. [οἱ γὰρ πλείονες τῶν λοιπῶν ἀνθρώπων ἑαυτοὺς μολύνουσιν ἐπιμισγόμενοι, συντελοῦντες μεγάλην ἀδικίαν, καὶ χῶραι καὶ πόλεις ὅλαι σεμνύνονται ἐπὶ τούτοις. οὐ μόνον γὰρ πρὸς ἄρσενας προσάγουσιν, ἀλλὰ καὶ τεκούσας ἔτι δὲ καὶ
153 θυγατέρας μολύνουσιν. ἡμεῖς δὲ ἀπὸ τούτων διεστάλμεθα]. περὶ ὃν δέ ἐστιν ὁ προειρημένος τῆς διαστολῆς τρόπος, περὶ τοῦτον εἶναι καὶ τὸν τῆς μνήμης κεχαρακτήρικεν. πάντα γὰρ ὅσα διχηλεῖ καὶ μηρυκι-
154 σμὸν ἀνάγει σαφῶς τοῖς νοοῦσιν ἐκτίθεται τὸ τῆς μνήμης. ἡ γὰρ ἀνα-
155 μηρύκισις οὐθὲν ἕτερον, ἀλλὰ τῆς ζωῆς καὶ συστάσεως ἐπίμνησις. τὸ γὰρ ζῆν διὰ τῆς τροφῆς συνεστάναι νομίζει. διὸ παρακελεύεται καὶ διὰ τῆς γραφῆς ὁ λέγων οὕτω· Μνείᾳ μνησθήσῃ Κυρίου τοῦ ποιήσαντος ἐν σοὶ τὰ μεγάλα καὶ θαυμαστά. κατανοούμενα γὰρ καὶ μεγάλα καὶ ἔνδοξα φαίνεται· πρῶτον μὲν ἡ σύμπηξις τοῦ σώματος καὶ ἡ τῆς
156 τροφῆς διοίκησις καὶ ἡ περὶ ἕκαστον μέλος διαστολή· πολλῷ δὲ μᾶλλον ἡ τῶν αἰσθήσεων διακόσμησις, διανοίας ἐνέργημα καὶ κίνησις ἀόρατος, ἥ τε ὀξύτης τοῦ πρὸς ἕκαστόν τι πράσσειν καὶ τεχνῶν εὕρεσις
157 ἀπέραντον περιέχει τρόπον. διὸ παρακελεύεται μνείαν ἔχειν, ὡς συντηρεῖται τὰ προειρημένα θείᾳ δυνάμει σὺν κατασκευῇ. πάντα γὰρ χρόνον καὶ τόπον ὥρικε πρὸς τὸ διὰ παντὸς μνημονεύειν τοῦ κρατοῦντος θεοῦ
158 καὶ συντηροῦντος. καὶ γὰρ ἐπὶ τῶν βρωτῶν καὶ ποτῶν ἀπαρξαμένους εὐθέως τότε συγχρῆσθαι κελεύει. καὶ μὴν καὶ ἐκ τῶν περιβολαίων παράσημον ἡμῖν μνείας δέδωκεν, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν πυλῶν καὶ θυρῶν προστέταχε μὲν ἡμῖν τιθέναι τὰ λόγια, πρὸς τὸ μνείαν εἶναι θεοῦ·
159 καὶ ἐπὶ τῶν χειρῶν δὲ διαρρήδην τὸ σημεῖον κελεύει περιῆφθαι, σαφῶς ἀποδεικνὺς ὅτι πᾶσαν ἐνέργειαν μετὰ δικαιοσύνης ἐπιτελεῖν δεῖ, μνήμην ἔχοντας τῆς ἑαυτῶν κατασκευῆς, ἐπὶ πᾶσι δὲ τὸν περὶ θεοῦ φό-
160 βον. κελεύει δὲ καὶ κοιταζομένους καὶ διανισταμένους μελετᾶν τὰς τοῦ θεοῦ κατασκευάς, οὐ μόνον λόγῳ, ἀλλὰ καὶ διαλήψει θεωροῦντας τὴν κίνησιν καὶ ὑπόληψιν ἑαυτῶν, ὅταν εἰς ὕπνον ἔρχωνται, καὶ τὴν ἔγερσιν, ὡς θεία τίς ἐστι καὶ ἀκατάληπτος τούτων ἡ μετάθεσις.

Δέδεικται δέ σοι καὶ τὸ περισσὸν τῆς εὐλογίας τῆς κατὰ τὴν δια-
161 στολὴν καὶ μνείαν, ὡς ἐξεθέμεθα τὴν διχηλίαν καὶ τὸν μηρυκισμόν. οὐ
γὰρ εἰκῇ καὶ κατὰ τὸ ἐμπεσὸν εἰς ψυχὴν νενομοθέτηται, πρὸς δ' ἀλή-
θειαν καὶ σημείωσιν ὀρθοῦ λόγου. διατάξας γὰρ ἐπὶ βρωτῶν καὶ πο-
162 τῶν καὶ τῶν κατὰ τὰς ἁφὰς ἕκαστα, κελεύει μηθὲν εἰκῇ μήτε πράσσειν
μήτε ἀκούειν, μήτε τῇ τοῦ λόγου δυναστείᾳ συγχρωμένους ἐπὶ τὴν ἀ-
δικίαν τρέπεσθαι. καὶ ἐπὶ τῶν κνωδάλων δὲ ταὐτὸ ἔστιν εὑρεῖν. κακο-
163 ποιητικὸς γὰρ ὁ τρόπος ἐστὶ καὶ γαλῆς καὶ μυῶν καὶ τῶν τούτοις ὁ-
μοίων, ὅσα διηγόρευται. πάντα γὰρ λυμαίνονται καὶ κακοποιοῦσι μύ-
164 ες, οὐ μόνον πρὸς τὴν ἑαυτῶν τροφήν, ἀλλὰ καὶ εἰς τὸ παντελῶς ἄ-
χρηστον γίνεσθαι ἀνθρώπῳ, ὅ τι ἂν δή ποτ' οὖν ἐπιβάληται κακο-
ποιεῖν. [τό τε τῆς γαλῆς γένος ἰδιάζον ἐστί· χωρὶς γὰρ τοῦ προειρημέ-
165 νου ἔχει λυμαντικὸν κατάστημα· διὰ γὰρ τῶν ὤτων συλλαμβάνει, τε-
κνοποιεῖ δὲ τῷ στόματι. καὶ διὰ τοῦτο ὁ τοιοῦτος τρόπος τῶν ἀνθρώ-
166 πων ἀκάθαρτός ἐστιν· ὅσα γὰρ δι' ἀκοῆς λαβόντες, ταῦτα τῷ λόγῳ
σωματοποιήσαντες, κακοῖς ἑτέρους ἐνεκύλισαν, ἀκαθαρσίαν οὐ τὴν
τυχοῦσαν ἐπετέλεσαν, μιανθέντες αὐτοὶ παντάπασι τῷ τῆς ἀσεβείας
μολυσμῷ. καλῶς δὲ ποιῶν ὁ βασιλεὺς ἡμῶν τοὺς τοιούτους ἀναιρεῖ,
καθὼς μεταλαμβάνομεν].

Ἐγὼ δ' εἶπα· Τοὺς ἐμφανιστὰς οἴομαί σε λέγειν· καὶ γὰρ αἰκίαις
167 καὶ θανάτοις ἐπαλγέσιν αὐτοὺς περιβάλλει συνεχῶς. ὁ δέ· Τούτους
γὰρ καὶ λέγω· ἡ γὰρ ἐπαγρύπνησις ἀνθρώπων ἀπωλείᾳ ἀνόσιος. ὁ δὲ
168 νόμος ἡμῶν κελεύει μήτε λόγῳ μήτε ἔργῳ μηδένα κακοποιεῖν. καὶ πε-
ρὶ τούτων οὖν, ὅσον ἐπὶ βραχὺ διεξελθεῖν προσυπεδείξαμέν σοι ὅτι
πάντα κεκανόνισται πρὸς δικαιοσύνην, καὶ οὐδὲν εἰκῇ κατατέτακται
διὰ τῆς γραφῆς οὐδὲ μυθωδῶς, ἀλλ' ἵνα δι' ὅλου τοῦ ζῆν καὶ ἐν ταῖς
πράξεσιν ἀσκῶμεν δικαιοσύνην πρὸς πάντας ἀνθρώπους, μεμνημένοι
τοῦ δυναστεύοντος θεοῦ. περὶ βρωτῶν οὖν καὶ τῶν ἀκαθάρτων ἑρπε-
169 τῶν καὶ κνωδάλων καὶ πᾶς λόγος ἀνατείνει πρὸς δικαιοσύνην καὶ τὴν
τῶν ἀνθρώπων δικαίαν συναναστροφήν.

Ἐμοὶ μὲν οὖν καλῶς ἐνόμιζε περὶ ἑκάστων ἀπολογεῖσθαι· καὶ γὰρ
170 ἐπὶ τῶν προσφερομένων ἔλεγε μόσχων τε καὶ κριῶν καὶ χιμάρρων, ὅ-
τι δεῖ ταῦτα ἐκ βουκολίων καὶ ποιμνίων λαμβάνοντας ἥμερα θυσιά-
ζειν, καὶ μηθὲν ἄγριον, ὅπως οἱ προσφέροντες τὰς θυσίας μηθὲν ὑπε-
ρήφανον ἑαυτοῖς συνιστορῶσι, σημειώσει κεχρημένοι τοῦ διατάξα-
ντος. τῆς γὰρ ἑαυτοῦ ψυχῆς τοῦ παντὸς τρόπου τὴν προσφορὰν ποιεῖ-
ται ὁ τὴν θυσίαν προσάγων. καὶ περὶ τούτων οὖν νομίζω τὰ τῆς ὁμι-
171 λίας ἄξια λόγου καθεστάναι· διὸ τὴν σεμνότητα καὶ φυσικὴν διάνοιαν
τοῦ νόμου προῆγμαι διασαφῆσαί σοι, Φιλόκρατες, δι' ἣν ἔχεις φιλομά-
θειαν.

Ὁ δὲ Ἐλεάζαρος ποιησάμενος θυσίαν καὶ τοὺς ἄνδρας ἐπιλέξας
172 καὶ πολλὰ δῶρα τῷ βασιλεῖ κατασκευάσας προέπεμψεν ἡμᾶς μετὰ ἀ-
σφαλείας πολλῆς. ὡς δὲ παρεγενήθημεν εἰς Ἀλεξάνδρειαν, προσηγγέ-
173 λη τῷ βασιλεῖ περὶ τῆς ἀφίξεως ἡμῶν. παρειμένοι δ' εἰς τὴν αὐλὴν Ἀν-
δρέας τε καὶ ἐγώ, φιλοφρόνως ἠσπασάμεθα τὸν βασιλέα καὶ τὰς ἐπι-

στολὰς ἀποδεδώκαμεν τὰς παρὰ τοῦ Ἐλεαζάρου. περὶ πολλοῦ δὲ
174 ποιούμενος τοῖς ἀπεσταλμένοις ἀνδράσιν ἐντυχεῖν, ἐκέλευσε τοὺς λοι-
ποὺς πάντας ἀπολῦσαι τοὺς ἐπὶ τῶν χρειῶν, καλεῖν δὲ τοὺς ἀνθρώ-
πους. οὗ πᾶσι παραδόξου φανέντος –διὰ τὸ κατὰ ἔθος εἶναι, πε-
175 μπταίους εἰς πρόσωπον ἔρχεσθαι βασιλεῖ τοὺς περὶ χρηματισμὸν ἀφι-
κνουμένους, τοὺς δὲ παρὰ βασιλέων ἢ πόλεων ἐν ὑπεροχαῖς μόλις ἐν
τριάκοντα εἰς τὴν αὐλὴν παρίεσθαι– τοὺς δὲ ἥκοντας τιμῆς καταξιῶν
μείζονος, καὶ τὴν ὑπεροχὴν κρίνων τοῦ πέμψαντος, ἀπολύσας οὓς ἐ-
νόμιζε περισσούς, ὑπέμενε περιπατῶν, ἕως ἂν παραγινομένους ἀσπά-
σηται. παρελθόντων δὲ σὺν τοῖς ἀπεσταλμένοις δώροις καὶ ταῖς δια-
176 φόροις διφθέραις, ἐν αἷς <ἦν> ἡ νομοθεσία γεγραμμένη χρυσογρα-
φίᾳ τοῖς ἰουδαϊκοῖς γράμμασι, θαυμασίως εἰργασμένου τοῦ ὑμένος,
καὶ τῆς πρὸς ἄλληλα συμβολῆς ἀνεπαισθήτου κατεσκευασμένης, ὡς
εἶδεν ὁ βασιλεὺς τοὺς ἄνδρας, ἐπηρώτα περὶ τῶν βιβλίων. ὡς δὲ ἀπε-
177 κάλυψαν αὐτὰ τῶν ἀνειλημάτων καὶ τοὺς ὑμένας ἀνείλιξαν, πολὺν ἐπι-
στὰς χρόνον καὶ προσκυνήσας σχεδὸν ἑπτάκις εἶπεν· Εὐχαριστῶ μέν,
ἄνδρες, ὑμῖν, τῷ δ' ἀποστείλαντι μᾶλλον, μέγιστον δὲ τῷ θεῷ οὗτινός
ἐστι τὰ λόγια ταῦτα. ὁμοθυμαδὸν δὲ πάντων εἰπόντων ὑπὸ μίαν φω-
178 νήν, τῶν τε παραγεγονότων καὶ τῶν συμπαρόντων 'Εὖ βασιλεῦ',
προήχθη δακρῦσαι τῇ χαρᾷ πεπληρωμένος. ἡ γὰρ τῆς ψυχῆς ἔντασις
καὶ τὸ τῆς τιμῆς ὑπερτεῖνον δακρύειν ἀναγκάζει κατὰ τὰς ἐπιτυχίας.
179 κελεύσας δὲ εἰς τάξιν ἀποδοῦναι τὰ τεύχη, τὸ τηνικαῦτα ἀσπασάμε-
νος τοὺς ἄνδρας εἶπε· Δίκαιον ἦν, θεοσεβεῖς ἄνδρες, ὧν χάριν ὑμᾶς
μετεπεμψάμην, ἐκείνοις πρῶτον σεβασμὸν ἀποδοῦναι, μετὰ ταῦτα τὴν
δεξιὰν ὑμῖν προτεῖναι· διὸ πεποίηκα τοῦτο πρῶτον. μεγάλην δὲ τέθει-
180 μαι τὴν ἡμέραν ταύτην ἐν ᾗ παραγεγόνατε καὶ κατ' ἐνιαυτὸν ἐπίσημος
ἔσται πάντα τὸν τῆς ζωῆς ἡμῶν χρόνον· συντέτευχε γὰρ καὶ τὰ κατὰ
τὴν νίκην ἡμῖν προσπεπτωκέναι τῆς πρὸς Ἀντίγονον ναυμαχίας. διὸ
καὶ δειπνῆσαι σήμερον μεθ' ὑμῶν βουλήσομαι. πάντα δ' ὑμῖν, εἶπε,
181 παρέσται καθηκόντως οἷς συγχρήσησθε κἀμοὶ μεθ' ὑμῶν. τῶν δὲ ἀ-
σμενισάντων ἐκέλευσε καταλύματα δοθῆναι τὰ κάλλιστα πλησίον τῆς
ἄκρας αὐτοῖς, καὶ τὰ κατὰ τὸ συμπόσιον ἑτοιμάζειν.

Ὁ δὲ ἀρχεδέατρος Νικάνωρ Δωρόθεον προσκαλεσάμενος, ὃς ἦν
182 ἐπὶ τούτων ἀποτεταγμένος, ἐκέλευσε τὴν ἑτοιμασίαν εἰς ἕκαστον ἐπι-
τελεῖν. ἦν γὰρ οὕτω διατεταγμένον ὑπὸ τοῦ βασιλέως, ὃ μένον ἔτι καὶ
νῦν ὁρᾷς· ὅσαι γὰρ πόλεις ἔθεσιν ἰδίοις συγχρῶνται πρὸς τὰ ποτὰ καὶ
βρωτὰ καὶ στρωμνάς, τοσοῦτοι καὶ προεστῶτες ἦσαν· καὶ κατὰ τοὺς
ἐθισμοὺς οὕτως ἐσκευάζετο, ὅταν παραγένοιντο πρὸς τοὺς βασιλεῖς,
ἵνα κατὰ μηθὲν δυσχεραίνοντες ἱλαρῶς διεξάγωσιν· ὃ καὶ περὶ τού-
τους ἐγεγόνει. προσεχέστατος γὰρ ὢν ἄνθρωπος ὁ Δωρόθεος εἶχε
183 τὴν τῶν τοιούτων προστασίαν. συνέστρωσε δὲ πάντα τὰ δι' αὐτοῦ
χειριζόμενα, πρὸς τὰς τοιαύτας ὑποδοχὰς διαμεμερισμένα. διμερῆ τε
ἐποίησε τὰ τῶν κλισιῶν, καθὼς προσέταξεν ὁ βασιλεύς· τοὺς γὰρ ἡμί-
σεις ἐκέλευσεν ἀνὰ χεῖρα κατακλῖναι, τοὺς δὲ λοιποὺς μετὰ τὴν ἑαυ-
τοῦ κλισίαν, οὐδὲν ἐλλιπὼν εἰς τὸ τιμᾶν τοὺς ἄνδρας. ὡς δὲ κατεκλί-

184 θησαν, ἐκέλευσε τῷ Δωροθέῳ τοῖς ἐθισμοῖς οἷς χρῶνται πάντες οἱ παραγινόμενοι πρὸς αὐτὸν ἀπὸ τῆς Ἰουδαίας οὕτως ἐπιτελεῖν. διὸ τοὺς ἱεροκήρυκας καὶ θύτας καὶ τοὺς ἄλλους, οἷς ἔθος ἦν τὰς κατευχὰς ποιεῖσθαι, παρῃτήσατο· τῶν δὲ παραγεγονότων σὺν ἡμῖν Ἐλισσαῖον, ὄντα τῶν ἱερέων πρεσβύτερον, παρεκάλεσε ποιήσασθαι κατευχήν, ὃς ἀξιολόγως στὰς εἶπε· Πληρώσαι σε, βασιλεῦ, πάντων τῶν ἀ-
185 γαθῶν ὧν ἔκτισεν ὁ παντοκράτωρ θεός· καὶ δῴη σοι ταῦτ' ἔχειν καὶ γυναικὶ καὶ τέκνοις καὶ τοῖς ὁμονοοῦσι πάντα ἀνέκλειπτα τὸν τῆς ζωῆς χρόνον. εἰπόντος δὲ ταῦτα τούτου κατερράγη κρότος μετὰ κραυ-
186 γῆς καὶ χαρᾶς εὐφροσύνου πλείονα χρόνον· καὶ τὸ τηνικαῦτα πρὸς τὸ τέρπεσθαι διὰ τῶν ἡτοιμασμένων ἐτράπησαν, τῶν λειτουργιῶν ἁπασῶν διὰ τῆς τοῦ Δωροθέου συντάξεως ἐπιτελουμένων· ἐν οἷς καὶ βασιλικοὶ παῖδες ἦσαν, καὶ τῶν τιμωμένων ὑπὸ τοῦ βασιλέως.

Ὅτε δὲ καιρὸν ἔλαβεν ἐκ διαστήματος, ἠρώτησε τὸν ἔχοντα τὴν
187 πρώτην ἀνάκλισιν –ἦσαν γὰρ καθ' ἡλικίαν τὴν ἀνάπτωσιν πεποιημένοι– Πῶς ἂν τὴν βασιλείαν μέχρι τέλους ἄπταιστον ἔχων διατελοῖ. βραχὺ δὲ ἐπισχὼν εἶπεν· Οὕτως ἂν μάλιστα διευθύνοις, μιμούμενος
188 τὸ τοῦ θεοῦ διὰ παντὸς ἐπιεικές. μακροθυμίᾳ γὰρ χρώμενος, καὶ κολάζων τοὺς αἰτίους ἐπιεικέστερον <ἢ> καθώς εἰσιν ἄξιοι, μετατιθεὶς ἐκ τῆς κακίας καὶ εἰς μετάνοιαν ἄξεις. ἐπαινέσας δὲ ὁ βασιλεύς, τὸν ἐ-
189 χόμενον ἠρώτα Πῶς ἂν ἕκαστα πράττοι. ὁ δὲ ἀπεκρίθη <ὅτι> Τὸ δίκαιον εἰ πρὸς ἅπαντας διατηροῖ, καλῶς τὰ ἕκαστα πράξει, διαλαμβάνων ὅτι πᾶν ἐννόημα σαφές ἐστι θεῷ· καταρχὴν δὲ θείου φόβου λαμβάνων ἐν οὐδενὶ διαπίπτοις. καὶ τοῦτον δὲ εὖ μάλα παραδεξάμενος ἕ-
190 τερον ἐπηρώτα Πῶς ἂν εὐνόους ἑαυτῷ ἔχοι τοὺς φίλους. κἀκεῖνος εἶπεν· Εἰ θεωροίησαν πολλήν σε πρόνοιαν ποιούμενον ὧν ἄρχεις ὄχλων· σὺ δὲ τοῦτο πράξεις ἐπιβλέπων ὡς ὁ θεὸς εὐεργετεῖ τὸ τῶν ἀνθρώπων γένος, ὁ ὑγίειαν αὐτοῖς καὶ τροφὴν καὶ τὰ λοιπὰ κατὰ καιρὸν παρασκευάζων ἅπαντα. συνεπιμαρτυρήσας δὲ τούτῳ, τὸν ἐχόμενον ἠ-
191 ρώτα Πῶς ἂν ἐν τοῖς χρηματισμοῖς καὶ διακρίσεσιν εὐφημίας τυγχάνοι καὶ ὑπὸ τῶν ἀποτυγχανόντων. ὁ δὲ εἶπεν· Εἰ πᾶσιν ἴσος γένοιο τῷ λόγῳ, καὶ μηδὲν ὑπερηφάνως μηδὲ τῇ περὶ σεαυτὸν ἰσχύι πράσσοις κατὰ τῶν ἁμαρτανόντων. τοῦτο δὲ ποιήσεις τὴν διάταξιν βλέπων τὴν
192 ὑπὸ τοῦ θεοῦ· τὰ γὰρ ἱκετευόμενα συντελεῖσθαι τοῖς ἀξίοις, τοῖς δὲ ἀποτυγχάνουσιν ἢ δι' ὀνείρων ἢ πράξεων σημαίνεσθαι τὸ βλαβλερὸν αὐτοῖς, οὐ κατὰ τὰς ἁμαρτίας οὐδὲ κατὰ τὴν μεγαλωσύνην τῆς ἰσχύος τύπτοντος αὐτούς, ἀλλ' ἐπιεικείᾳ χρωμένου τοῦ θεοῦ. εὖ δὲ καὶ τοῦ-
193 τον κατεπαινέσας, ἠρώτα τὸν ἑξῆς Πῶς ἂν ἐν ταῖς πολεμικαῖς χρείαις ἀήττητος εἴη. ὁ δὲ εἶπεν· Εἰ μὴ πεποιθὼς ὑπάρχοι τοῖς ὄχλοις μηδὲ ταῖς δυνάμεσιν, ἀλλὰ τὸν θεὸν ἐπικαλοῖτο διὰ πάντων, ἵνα τὰς ἐπιβολὰς αὐτῷ κατευθύνῃ δικαίως διεξάγοντι πάντα. ἀποδεξάμενος δὲ καὶ
194 τοῦτον, τὸν ἕτερον ἠρώτα Πῶς ἂν φοβερὸς εἴη τοῖς ἐχθροῖς. ὁ δὲ εἶπεν· Εἰ τῇ τῶν ὅπλων καὶ δυνάμεων παρασκευῇ πολλῇ χρώμενος εἰδείη ταῦτα ὄντα κενὰ ἐπὶ πλείονα χρόνον πρὸς τὸ συμπέρασμα δρᾶν τι· καὶ γὰρ ὁ θεὸς διδοὺς ἀνοχὰς καὶ ἐνδεικνύμενος τὰ τῆς δυνα-

στείας φόβον ἐγκατασκευάζει πάσῃ διανοίᾳ. καὶ τοῦτον δὲ ἐπαινέσας,
195 εἶπε πρὸς τὸν ἐχόμενον Τί κάλλιστον αὐτῷ πρὸς τὸ ζῆν ἂν εἴη; κἀκεῖνος ἔφη· Τὸ γινώσκειν ὅτι θεὸς δυναστεύει τῶν ἁπάντων, καὶ ἐπὶ τῶν καλλίστων πράξεων οὐκ αὐτοὶ κατευθύνομεν τὰ βουλευθέντα· θεὸς δὲ τελειοῖ τὰ πάντων καὶ καθηγεῖται δυναστεύων. ἐπιφωνήσας δὲ καὶ
196 τούτῳ καλῶς λέγειν, τὸν ἕτερον ἠρώτα Πῶς ἂν ἀκέραια συντηρήσας ἅπαντα τοῖς ἐγγόνοις τὴν αὐτὴν παραδιδοῖ διάθεσιν ἐπὶ τέλει. ὁ δὲ εἶπεν· Εὐχόμενος ἀεὶ πρὸς τὸν θεὸν ἀγαθὰς ἐπινοίας λαμβάνειν πρὸς τὰ μέλλοντα πράσσεσθαι, καὶ τοῖς ἐγγόνοις παρακελευόμενος μὴ ἐκπλήττεσθαι τῇ δόξῃ μηδὲ τῷ πλούτῳ· θεὸν γὰρ εἶναι τὸν χαριζόμενον ταῦτα, καὶ οὐ δι' ἑαυτοὺς ἔχειν τὴν ὑπεροχὴν ἁπάντων. ἐπιμαρτυρήσας
197 δὲ τούτοις, τοῦ μετὰ ταῦτα ἐπυνθάνετο Πῶς ἂν τὰ συμβαίνοντα μετρίως φέροι. ἐκεῖνος δὲ ἔφησεν· Εἰ πρόληψιν λαμβάνοις ὅτι γεγόνασιν ὑπὸ τοῦ θεοῦ πάντες ἄνθρωποι μετασχεῖν τῶν μεγίστων κακῶν, ὡσαύτως δὲ καὶ ἀγαθῶν, καὶ οὐκ ἔστιν ἄνθρωπον ὄντα τούτων ἀμιγῆ γενέσθαι· ὁ θεὸς δὲ τὴν εὐψυχίαν δίδωσιν, ὃν ἱκετεύειν ἀναγκαῖον. φι-
198 λοφρονηθεὶς δὲ καὶ τοῦτον, Καλῶς εἶπεν ἅπαντας ἀποφαίνεσθαι· ἐπερωτήσας δὲ ἔτι ἕνα καταλήξω τὸ νῦν ἔχον, ἵνα καὶ πρὸς τὸ τέρπεσθαι τραπέντες ἡδέως διεξάγωμεν· ἐν δὲ ταῖς μετὰ ταῦτα ἐξ ἡμέραις καὶ παρὰ τῶν λοιπῶν ἑξῆς μαθήσομαί τι πλέον. εἶτ' ἐπηρώτα τὸν ἄνδρα·
199 Τί πέρας ἀνδρίας ἐστίν; ὁ δὲ εἶπεν· Εἰ τὸ βουλευθὲν ὀρθῶς ἐν ταῖς τῶν κινδύνων πράξεσιν ἐπιτελοῖτο κατὰ πρόθεσιν. τελειοῦται δὲ ὑπὸ τοῦ θεοῦ πάντα σοι καλῶς βουλευομένῳ, βασιλεῦ, συμφερόντως. ἐπι-
200 φωνησάντων δὲ πάντων καὶ κρότῳ σημηναμένων, πρὸς τοὺς φιλοσόφους εἶπεν ὁ βασιλεὺς –οὐκ ὀλίγοι γὰρ παρῆσαν τούτοις–· Οἴομαι διαφέρειν τοὺς ἄνδρας ἀρετῇ καὶ συνιέναι πλεῖον, οἵτινες ἐκ τοῦ καιροῦ τοιαύτας ἐρωτήσεις λαμβάνοντες, ὡς δέον ἐστὶν ἀποκέκρινται, πάντες ἀπὸ θεοῦ τοῦ λόγου τὴν καταρχὴν ποιούμενοι. Μενέδημος δὲ
201 ὁ Ἐρετριεὺς φιλόσοφος εἶπε· Ναί, βασιλεῦ· προνοίᾳ γὰρ τῶν ὅλων διοικουμένων, καὶ ὑπειληφότων ὀρθῶς τοῦτο, ὅτι θεόκτιστόν ἐστιν ἄνθρωπος, ἀκολουθεῖ πᾶσαν δυναστείαν καὶ λόγου καλλονὴν ἀπὸ θεοῦ κατάρχεσθαι. τοῦ δὲ βασιλέως ἐπινεύσαντος τὰ περὶ τούτων ἔλη-
202 ξεν, ἐτράπησαν δὲ πρὸς εὐφροσύνην. ἐπιλαβούσης δὲ τῆς ἑσπέρας τὸ συμπόσιον ἐλύθη.

Τῇ δὲ μετὰ ταῦτα πάλιν κατὰ τὴν αὐτὴν διάταξιν τὰ τῆς ἀναπτώ-
203 σεως καὶ συμποσίας ἐπετελεῖτο. καθὸ δὲ ἐνόμιζεν ὁ βασιλεὺς εὔκαιρον εἶναι πρὸς τὸ πυνθάνεσθαί τι τῶν ἀνδρῶν, ἐπηρώτα τοὺς ἑξῆς τῶν ἀποκεκριμένων τῇ προτέρᾳ ἡμέρᾳ. πρὸς τὸν ἑνδέκατον δὲ ἤρξα-
204 το τὴν κοινολογίαν ποιεῖσθαι. δέκα γὰρ ἦσαν οἱ ἠρωτημένοι τῇ προτέρᾳ. σιγῆς δὲ γενομένης ἐπυνθάνετο· Πῶς ἂν πλούσιος διαμένοι. βρα-
205 χὺ δὲ ἐπισχὼν ὁ τὴν ἐρώτησιν ἐκδεχόμενος εἶπεν· Εἰ μηδὲν ἀνάξιον τῆς ἀρχῆς μηδὲ ἀσελγὲς πράσσοι, μηδὲ δαπάνην εἰς τὰ κενὰ καὶ μάταια συντελοῖ, τοὺς <δὲ> ὑποτεταγμένους εὐεργεσίᾳ πρὸς εὔνοιαν ἄγοι τὴν ἑαυτοῦ· καὶ γὰρ ὁ θεὸς πᾶσιν αἴτιος ἀγαθῶν ἐστιν, ᾧ κατακολουθεῖν ἀναγκαῖον. ἐπαινέσας δὲ ὁ βασιλεὺς τοῦτον, ἕτερον ἐπηρώ-

206 τα Πῶς ἂν τὴν ἀλήθειαν διατηροῖ. ὁ δὲ πρὸς τοῦτο ἀπεκρίθη· Γινώσκων ὅτι μεγάλην αἰσχύνην ἐπιφέρει τὸ ψεῦδος πᾶσιν ἀνθρώποις, πολλῷ δὲ μᾶλλον τοῖς βασιλεῦσιν· ἐξουσίαν γὰρ ἔχοντες ὃ βούλονται πράσσειν, τίνος ἕνεκεν ἂν ψεύσαιντο; προσλαμβάνειν δὲ δεῖ τοῦτό σε, βασιλεῦ, διότι φιλαλήθης ὁ θεός ἐστιν. ἀποδεξάμενος δὲ εὖ μάλα καὶ
207 τοῦτον, <ἐπὶ τὸν ἕτερον> ἐπιβλέψας εἶπε· Τί ἐστι σοφίας διδαχή; ὁ δὲ ἀπεφήνατο· Καθὼς οὐ βούλει σεαυτῷ τὰ κακὰ παρεῖναι, μέτοχος δὲ τῶν ἀγαθῶν ὑπάρχειν ἁπάντων, εἰ πράσσοις τοῦτο πρὸς τοὺς ὑποτεταγμένους καὶ τοὺς ἁμαρτάνοντας, εἰ τοὺς καλοὺς καὶ ἀγαθοὺς τῶν ἀνθρώπων ἐπιεικέστερον νουθετοῖς· καὶ γὰρ ὁ θεὸς τοὺς ἀνθρώπους ἅπαντας ἐπιεικείᾳ ἄγει. ἐπαινέσας αὐτόν, τῷ μετ' αὐτὸν εἶπε Πῶς ἂν
208 φιλάνθρωπος εἴη; κἀκεῖνος ἔφη· Θεωρῶν ὡς ἐν πολλῷ χρόνῳ καὶ κακοπαθείαις μεγίσταις αὔξει τε καὶ γεννᾶται τὸ τῶν ἀνθρώπων γένος· ὅθεν οὔτε εὐκόπως δεῖ κολάζειν, οὔτε αἰκίαις περιβάλλειν· γινώσκων ὅτι τὸ τῶν ἀνθρώπων ζῆν ἐν ὀδύναις τε καὶ τιμωρίαις καθέστηκεν. ἐπινοῶν οὖν ἕκαστα πρὸς τὸν ἔλεον τραπήσῃ· καὶ γὰρ ὁ θεὸς ἐλεήμων ἐστίν. ἀποδεξάμενος δὲ τοῦτον, ἐπυνθάνετο τοῦ κατὰ τὸ ἑξῆς· Τίς ἀ-
209 ναγκαιότατος τρόπος βασιλείας; Τὸ συντηρεῖν, εἶπεν, αὐτὸν ἀδωροδόκητον, καὶ νήφειν τὸ πλεῖον μέρος τοῦ βίου, καὶ δικαιοσύνην προτιμᾶν, καὶ τοὺς τοιούτους φιλοποιεῖσθαι· καὶ γὰρ ὁ θεὸς φιλοδίκαιός ἐστιν. ἐπισημήνας καὶ τοῦτον, πρὸς τὸν ἕτερον εἶπε· Τί τὸ τῆς εὐσε-
210 βείας ἐστὶ κατάστημα; ἐκεῖνος δὲ ἔφη· Τὸ διαλαμβάνειν ὅτι πάντα διὰ παντὸς ὁ θεὸς ἐνεργεῖ καὶ γινώσκει, καὶ οὐθὲν ἂν λάθοι ἄδικον ποιήσας ἢ κακὸν ἐργασάμενος ἄνθρωπος· ὡς γὰρ θεὸς εὐεργετεῖ τὸν ὅλον κόσμον, οὕτω καὶ σὺ μιμούμενος ἀπρόσκοπος ἂν εἴης. ἐπιφωνήσας
211 δὲ τούτῳ, πρὸς τὸν ἕτερον εἶπε· Τίς ὅρος τοῦ βασιλεύειν ἐστίν; ὁ δὲ ἔφη· Τὸ καλῶς ἄρχειν ἑαυτοῦ, καὶ μὴ τῷ πλούτῳ καὶ τῇ δόξῃ φερόμενον ὑπερήφανον καὶ ἄσχημόν τι ἐπιθυμῆσαι, εἰ καλῶς λογίζοιο· πάντα γάρ σοι πάρεστιν ὅσα δέον. ὁ θεὸς δὲ ἀπροσδεής ἐστι καὶ ἐπιεικής. καὶ σὺ καθόσον ἄνθρωπος ἐννόει, καὶ μὴ πολλῶν ὀρέγου, τῶν δὲ ἱκανῶν πρὸς τὸ βασιλεύειν. κατεπαινέσας δὲ αὐτόν, ἐπηρώτα τὸν ἕτερον
212 Πῶς ἂν τὰ κάλλιστα διαλογίζοιτο; ἀπεκρίθη δὲ ἐκεῖνος· Εἰ τὸ δίκαιον ἐπὶ παντὸς προβάλλοι συνεχῶς καὶ νομίζοι τὴν ἀδικίαν τοῦ ζῆν στέρησιν εἶναι· καὶ γὰρ ὁ θεὸς διὰ παντὸς τοῖς δικαίοις ἀγαθὰ προσημαίνει μέγιστα. τοῦτον δὲ ἐπαινέσας εἶπε πρὸς τὸν ἑξῆς Πῶς ἂν ἐν τοῖς
213 ὕπνοις ἀτάραχος εἴη. ὁ δὲ ἔφη· Δυσαπολόγητον ἠρώτηκας πρᾶγμα. συναναφέρειν γὰρ οὐ δυνάμεθα ἐν τούτοις τοῖς κατὰ τὸν ὕπνον ἑαυτούς, ἀλλὰ περιεχόμεθα ἀλογίστῳ κατὰ τάδε αἰσθήσει. πάσχομεν γὰρ
214 κατὰ τὴν ψυχὴν ἐπὶ τοῖς ὑποπίπτουσιν ὡς θεωρουμένοις· ἀλογιστοῦμεν δέ, καθόσον ὑπολαμβάνομεν καὶ ἐπὶ πέλαγος καὶ ἐν πλοίοις ἢ πολεῖν ἢ πέτασθαι φερομένους καὶ διαίρειν εἰς ἑτέρους τόπους, καὶ τοιαῦτα ἕτερα, καίτοι ταῦθ' ὑπολαμβάνομεν καθεστάναι. πλὴν ὅσον ἔ-
215 μοιγε ἐφικτόν, οὕτω διείληφα· κατὰ πάντα τρόπον σέ, βασιλεῦ, καὶ τὰ λεγόμενα καὶ τὰ πραττόμενα πρὸς εὐσέβειαν ἐπανάγειν, ὅπως ἑαυτῷ συνιστορῇς ὅτι τὸ κατ' ἀρετὴν συντηρῶν οὔτε χαρίζεσθαι προαιρῇ

παρὰ λόγον, οὐδὲ ἐξουσίᾳ χρώμενος τὸ δίκαιον αἵρεις. ἐπὶ πλεῖον
216 γάρ, ἐν οἷς ἕκαστος πράγμασιν ἐγρηγορὼς τὴν διαγωγὴν ποιεῖται,
καὶ καθ' ὕπνον ἐν τοῖς αὐτοῖς ἡ διάνοια τὴν ἀναστροφὴν ἔχει, θεὸς δὲ
πάντα διαλογισμὸν καὶ πρᾶξιν ἐπὶ τὰ κάλλιστα τρεπομένην κατευθύνει
καὶ ἐγρηγορότος καὶ ἐν ὕπνῳ. διὸ καὶ περὶ σὲ διὰ παντός ἐστιν εὐστά-
θεια. κατευφημήσας δὲ καὶ τοῦτον, εἶπε πρὸς ἕτερον· Ἐπεὶ σὺ δέκα-
217 τος τὴν ἀπόκρισιν ἔχεις, ὡς ἂν ἀποφήνῃ, πρὸς τὸ δεῖπνον τραπησό-
μεθα. ἠρώτα δέ· Πῶς ἂν μηδὲν ἀνάξιον ἑαυτῶν πράσσοιμεν; ὁ δὲ εἶ-
218 πεν· Ἐπίβλεπε διὰ παντὸς εἰς τὴν σεαυτοῦ δόξαν καὶ τὴν ὑπεροχήν, ἵ-
να τούτοις ἀκόλουθα καὶ λέγῃς καὶ διανοῇ, γινώσκων ὅτι πάντες ὧν
ἄρχεις περὶ σοῦ καὶ διανοοῦνται καὶ λαλοῦσιν. οὐ γὰρ ἐλάχιστόν σε
219 δεῖ τῶν ὑποκριτῶν φαίνεσθαι· τὸ γὰρ πρόσωπον, ὃ δέον αὐτούς ἐστιν
ὑποκρίνεσθαι, τοῦτο συνθεωροῦντες ἀκόλουθα πάντα πράσσουσι· σὺ
δὲ οὐχ ὑπόκρισιν ἔχεις, ἀλλ' ἀληθῶς βασιλεύεις, θεοῦ δόντος σοι κα-
ταξίως τῶν τρόπων τὴν ἡγεμονίαν. τοῦ δὲ βασιλέως εὖ μάλα συγκρο-
220 τήσαντος μετὰ φιλοφροσύνης ἐπὶ πλείονα χρόνον, τοὺς ἀνθρώπους
καθυπνοῦν παρεκάλουν. καὶ τὰ μὲν πρὸς τούτους ὡς ἔληξεν ἐπὶ τὴν ἑ-
ξῆς ἐτράπησαν τῆς συμποσίας διάταξιν.

Τῇ δὲ ἐχομένῃ, τῆς αὐτῆς διατάξεως γενηθείσης, ὅτε καιρὸν ὑπε-
221 λάμβανεν ὁ βασιλεὺς εἶναι τοῦ πυνθάνεσθαί τι τῶν ἀνδρῶν, ἠρώτα
τὸν πρῶτον τῶν ἀπολιπόντων πρὸς τὴν ἑξῆς ἐρώτησιν· Τίς ἐστιν ἀρ-
χὴ κρατίστη; ἐκεῖνος δὲ ἔφη· Τὸ κρατεῖν ἑαυτοῦ καὶ μὴ συγκαταφέρε-
222 σθαι ταῖς ὁρμαῖς. πᾶσι γὰρ ἀνθρώποις φυσικὸν εἶναι τὸ πρός τι τὴν
διάνοιαν ῥέπειν· τοῖς μὲν οὖν πολλοῖς ἐπὶ τὰ βρωτὰ καὶ ποτὰ καὶ τὰς
223 ἡδονὰς εἰκός ἐστι κεκλίσθαι, τοῖς δὲ βασιλεῦσιν ἐπὶ χώρας κατάκτη-
σιν, κατὰ τὸ τῆς δόξης μέγεθος· πλὴν ἐν πᾶσι μετριότης καλόν. ἃ δὲ ὁ
θεὸς δίδωσι, ταῦτα λαμβάνων σύνεχε· τῶν δ' ἀνεφίκτων μὴ ἐπιθύμει.
τοῖς δὲ ῥηθεῖσιν ἀρεσθείς, πρὸς τὸν ἐχόμενον εἶπε Πῶς ἂν ἐκτὸς εἴη
224 φθόνου. διαλιπὼν δὲ ἐκεῖνος ἔφη· Πρῶτον εἰ νοήσαι ὅτι ὁ θεὸς πᾶσι
μερίζει δόξαν τε καὶ πλούτου μέγεθος τοῖς βασιλεῦσι, καὶ οὐδεὶς παρ'
ἑαυτοῦ βασιλεύς ἐστι· πάντες γὰρ θέλουσι μετασχεῖν ταύτης τῆς δό-
ξης, ἀλλ' οὐ δύνανται· θεοῦ γάρ ἐστι δόμα. ἐπαινέσας δὲ τὸν ἄνδρα
225 διὰ πλειόνων, ἐπηρώτα τὸν ἕτερον Πῶς ἂν καταφρονοίη τῶν ἐχθρῶν.
ὁ δὲ εἶπεν· Ἡσκηκὼς πρὸς πάντας ἀνθρώπους εὔνοιαν καὶ κατεργα-
σάμενος φιλίας, λόγον οὐθενὸς ἂν ἔχοις· τὸ δὲ κεχαριτῶσθαι πρὸς
πάντας ἀνθρώπους καὶ καλὸν δῶρον εἰληφέναι παρὰ θεοῦ τοῦτ' ἔστι
κράτιστον. συναινέσας δὲ τούτοις, τὸν ἑξῆς ἐκέλευσεν ἀποκριθῆναι,
226 πρὸς αὐτὸν εἰπών Πῶς ἂν δοξαζόμενος διαμένοι. εἶπε δέ· Τῇ προθυ-
μίᾳ καὶ ταῖς χάρισι πρὸς τοὺς ἄλλους μεταδοτικὸς ὢν καὶ μεγαλομε-
ρὴς οὐδέποτ' ἂν ἀπολίποι δόξης· ἵνα δὲ τὰ προειρημένα σοι διαμένῃ,
τὸν θεὸν ἐπικαλοῦ διὰ παντός. εὐφημήσας δὲ τοῦτον, ἕτερον ἠρώτα
227 Πρὸς τίνα δεῖ φιλότιμον εἶναι. ἐκεῖνος δὲ ἔφη· Πρὸς τοὺς φιλικῶς ἔχο-
ντας ἡμῖν οἴονται πάντες ὅτι πρὸς τούτους δέον· ἐγὼ δ' ὑπολαμβάνω
πρὸς τοὺς ἀντιδοξοῦντας φιλοτιμίαν δεῖν χαριστικὴν ἔχειν, ἵνα τούτῳ
τῷ τρόπῳ μετάγωμεν αὐτοὺς ἐπὶ τὸ καθῆκον καὶ συμφέρον ἑαυτοῖς.

δεῖ δὲ τὸν θεὸν λιτανεύειν, ἵνα ταῦτ' ἐπιτελῆται· τὰς γὰρ ἁπάντων διανοίας κρατεῖ. συνομολογήσας δὲ τούτοις τὸν ἕκτον ἐκέλευσεν ἀποφή-
228 νασθαι πυνθανόμενος Τίσι δεῖ χαρίζεσθαι. ἐκεῖνος δ' ἀπεκρίθη· Γονεῦσι διὰ παντός, καὶ γὰρ ὁ θεὸς πεποίηται ἐντολὴν μεγίστην περὶ τῆς τῶν γονέων τιμῆς. ἑπομένως δὲ τὴν τῶν φίλων ἐγκρίνει διάθεσιν, προσονομάσας ἴσον τῇ ψυχῇ τὸν φίλον. σὺ δὲ καλῶς ποιεῖς ἅπαντας ἀνθρώπους εἰς φιλίαν πρὸς ἑαυτὸν καθιστῶν. παρακαλέσας δὲ καὶ
229 τοῦτον, ἐπυνθάνετο καὶ τοῦ μετέπειτα· Τί καλλονῆς ἄξιόν ἐστιν; ὁ δὲ εἶπεν· Εὐσέβεια. καὶ γὰρ αὕτη καλλονή τίς ἐστι πρωτεύουσα. τὸ δὲ δυνατὸν αὐτῆς ἐστιν ἀγάπη· αὕτη γὰρ θεοῦ δόσις ἐστίν· ἣν καὶ σὺ κέκτησαι πάντα περιέχων ἐν αὐτῇ τὰ ἀγαθά. λίαν δὲ φιλοφρόνως ἐπι-
230 κροτήσας, εἶπε πρὸς τὸν ἕτερον Πῶς ἂν πταίσας πάλιν τῆς αὐτῆς κρατήσαι δόξης. ὁ δὲ ἔφη· Σὲ μὲν οὐ δυνατόν ἐστι πταῖσαι, πᾶσι γὰρ χάριτας ἔσπαρκας, αἳ βλαστάνουσιν εὔνοιαν, ἣ τὰ μέγιστα τῶν ὅπλων κατισχύουσα περιλαμβάνει τὴν μεγίστην ἀσφάλειαν· εἰ δέ τινες πταίουσιν, ἐφ' οἷς πταίουσιν, οὐκέτι χρὴ ταῦτα πράσσειν, ἀλλὰ φιλίαν κα-
231 τακτησομένους δικαιοπραγεῖν. θεοῦ δὲ δῶρον ἀγαθῶν ἐργάτην εἶναι καὶ μὴ τῶν ἐναντίων. συναρεσθεὶς δὲ τούτοις, πρὸς τὸν ἕτερον εἶπε
232 Πῶς ἂν ἐκτὸς γένοιτο λύπης. ὁ δὲ ἔφησεν· Εἰ μηδένα βλάπτοι, πάντας δὲ ὠφελοῖ, τῇ δικαιοσύνῃ κατακολουθῶν· τοὺς γὰρ ἀπ' αὐτῆς καρποὺς ἀλυπίαν κατασκευάζειν. ἱκετεύειν δὲ <δεῖ> τὸν θεόν, ἵνα μὴ τὰ
233 παρὰ τὴν προαίρεσιν ἡμῶν ἀνακύπτοντα βλάπτῃ, λέγω δὴ οἷον θάνατοί τε καὶ νόσοι καὶ λῦπαι καὶ τὰ τοιαῦτα. εὐσεβεῖ δὲ σοὶ καθεστῶτι
234 τούτων οὐδὲν ἂν προσέλθοι. καλῶς δὲ καὶ τοῦτον ἐπαινέσας, τὸν δέκατον ἠρώτα· Τί μέγιστόν ἐστι δόξης; ὁ δὲ εἶπε· Τὸ τιμᾶν τὸν θεόν· τοῦτο δ' ἐστὶν οὐ δώροις οὐδὲ θυσίαις, ἀλλὰ ψυχῆς καθαρότητι καὶ διαλήψεως ὁσίας, καθὼς ὑπὸ τοῦ θεοῦ πάντα κατασκευάζεται καὶ διοικεῖται κατὰ τὴν αὐτοῦ βούλησιν· ἣν καὶ σὺ διατελεῖς ἔχων γνώμην, ᾗ πάρεστι σημειοῦσθαι πᾶσιν ἐκ τῶν ὑπὸ σοῦ συντετελεσμένων καὶ συντελουμένων. μετὰ μείζονος δὲ φωνῆς πάντας αὐτοὺς ὁ βασι-
235 λεὺς ἠσπάζετο καὶ παρεκάλει, συνεπιφωνούντων τῶν παρόντων, μάλιστα δὲ τῶν φιλοσόφων. καὶ γὰρ ταῖς ἀγωγαῖς καὶ τῷ λόγῳ πολὺ προέχοντες αὐτῶν ἦσαν, ὡς ἂν ἀπὸ θεοῦ τὴν καταρχὴν ποιούμενοι. μετὰ δὲ ταῦτα ὁ βασιλεὺς εἰς τὸ φιλοφρονεῖσθαι προῆλθε διὰ τῶν προπόσεων.

Τῇ δὲ ἐπιούσῃ κατὰ τὰ αὐτὰ τῆς διατάξεως τοῦ συμποσίου γενο-
236 μένης, καθὼς εὔκαιρον ἐγένετο τῷ βασιλεῖ, τοὺς ἑξῆς ἠρώτα τῶν προαποκεκριμένων, εἶπε δὲ τῷ πρώτῳ· Τὸ φρονεῖν εἰ διδακτόν ἐστιν; ὁ δ' εἶπε· Ψυχῆς ἐστι κατασκευὴ διὰ θείας δυνάμεως ἐπιδέχεσθαι πᾶν τὸ καλόν, ἀποστρέφεσθαι δὲ τἀναντία. συνομολογήσας δέ, τὸν ἐχόμε-
237 νον ἠρώτα· Τί πρὸς ὑγείαν μάλιστα συντείνει; ἐκεῖνος δὲ ἔφη· Σωφροσύνη· ταύτης δὲ οὐκ ἔστι τυχεῖν, ἐὰν μὴ θεὸς κατασκευάσῃ τὴν διάνοιαν εἰς τοῦτο. παρακαλέσας δὲ τοῦτον, πρὸς τὸν ἕτερον ἔφη Πῶς
238 ἂν γονεῦσι τὰς ἀξίας ἀποδῷη χάριτας. ὁ δὲ εἶπε· Μηδὲν αὐτοὺς λυπήσας· τοῦτο δ' οὐκ ἔστιν, εἰ μὴ θεὸς τῆς διανοίας ἡγεμὼν γένοιτο πρὸς

τὰ κάλλιστα. προσεπινεύσας δὲ τούτῳ, τὸν ἑξῆς ἠρώτα Πῶς ἂν φιλή-
239 κοος εἴη. ἐκεῖνος δὲ εἶπε· Διαλαμβάνων ὅτι πάντα συμφέρει γινώ-
σκειν, ὅπως ἂν πρὸς τὰ συμβαίνοντα ἐκλεγόμενός τι τῶν ἠκροαμέ-
νων ἀνθυποτιθεὶς πρὸς τὰ τῶν καιρῶν ἀντιπράσσηται, σὺν χειραγω-
γίᾳ θεοῦ· τοῦτο δ' ἐστίν, αἱ τῶν πράξεων τελειώσεις ὑπ' αὐτοῦ. τοῦ-
240 τον δὲ ἐπαινέσας, πρὸς τὸν ἕτερον εἶπε Πῶς ἂν μηθὲν παράνομον
πράσσοι. πρὸς τοῦτο ἔφησε· Γινώσκων ὅτι τὰς ἐπινοίας ὁ θεὸς ἔδωκε
τοῖς νομοθετήσασι πρὸς τὸ σῴζεσθαι τοὺς βίους τῶν ἀνθρώπων, ἀ-
κόλουθος εἴης ἂν αὐτοῖς. ἀποδεξάμενος δὲ αὐτόν, πρὸς ἕτερον εἶπε·
241 Τίς ὠφέλεια συγγενείας ἐστίν; ὁ δὲ ἀπεφήνατο· Ἐὰν τοῖς συμβαίνουσι
νομίζωμεν ἀτυχοῦσι μὲν ἐλαττοῦσθαι, καὶ κακοπαθῶμεν ὡς αὐτοί,
φαίνεται τὸ συγγενὲς ὅσον ἰσχῦόν ἐστι –τελουμένων δὲ τούτων καὶ
242 δόξα καὶ προκοπὴ παρὰ τοῖς τοιούτοις ὑπάρξει· τὸ γὰρ συνεργὲς εὐ-
νόως γινόμενον ὡς ἐξ ἑαυτοῦ ἀδιάλυτον πρὸς ἅπαντα– μετὰ δὲ εὐη-
μερίας, μηδὲν προσδεῖσθαι τῶν ἐκείνων· ἀλλὰ δέον <θεὸν> ἱκετεύ-
ειν, πάντα ἀγαθοποιεῖν. ὡσαύτως δὲ ἐκείνοις ἀποδεξάμενος αὐτόν,
243 ἄλλον ἠρώτα· Πῶς ἀφοβία γίνεται; εἶπε δέ· Συνιστορούσης τῆς δια-
νοίας μηδὲν κακὸν πεπραχέναι, θεοῦ κατευθύνοντος εἰς τὸ καλῶς ἅ-
παντα βουλεύεσθαι. τούτῳ δὲ ἐπιφωνήσας, πρὸς ἄλλον εἶπε Πῶς ἂν
244 προχείρως ἔχοι τὸν ὀρθὸν λόγον. ὁ δὲ εἶπεν· Εἰ τὰ τῶν ἀνθρώπων ἀ-
τυχήματα διὰ παντὸς ἐπιβλέποι, γινώσκων ὅτι ὁ θεὸς ἀφαιρεῖται τὰς
εὐημερίας, ἑτέρους δὲ δοξάζων εἰς τὸ τιμᾶσθαι προάγει. καλῶς δὲ καὶ
245 τοῦτον ἀποδεξάμενος, τὸν ἑξῆς ἀποκριθῆναι παρεκάλει Πῶς ἂν μὴ εἰς
ῥᾳθυμίαν, μηδὲ ἐπὶ τὰς ἡδονὰς τρέποιτο. ὁ δέ· Προχείρως ἔχων, εἶ-
πεν, ὅτι μεγάλης βασιλείας κατάρχει καὶ πολλῶν ὄχλων ἀφηγεῖται,
καὶ οὐ δεῖ περὶ ἕτερόν τι τὴν διάνοιαν εἶναι, τῆς δὲ τούτων ἐπιμελείας
φροντίζειν· θεὸν δὲ ἀξιοῦν, ὅπως μηθὲν ἐλλίπῃ τῶν καθηκόντων. ἐ-
246 παινέσας δὲ καὶ τοῦτον, τὸν δέκατον ἠρώτα Πῶς <ἂν> ἐπιγινώσκοι
τοὺς δόλῳ τινὶ πρὸς αὐτὸν πράσσοντας. ὁ δὲ ἀπεφήνατο πρὸς τοῦτο·
Εἰ παρατηροῖτο τὴν ἀγωγὴν ἐλευθέριον οὖσαν, καὶ τὴν εὐταξίαν δια-
μένουσαν ἐν τοῖς ἀσπασμοῖς καὶ συμβουλίαις καὶ τῇ λοιπῇ συναναστροφῇ τῶν σὺν αὐτῷ, καὶ μηθὲν ὑπερτείνοντας τοῦ δέοντος ἐν ταῖς φιλοφρονήσεσι καὶ τοῖς λοιποῖς τοῖς κατὰ τὴν ἀγωγήν. θεὸς δὲ τὴν
247 διάνοιαν ἄξει σοι, βασιλεῦ, πρὸς τὰ κάλλιστα. ὁ δὲ βασιλεὺς συγκρο-
τήσας πάντας τ' ἐπαινέσας κατ' ὄνομα, καὶ τῶν παρόντων ταὐτὰ
ποιούντων, ἐπὶ τὸ μέλπειν ἐτράπησαν.

Τῇ δὲ ἐχομένῃ τὸν καιρὸν λαβὼν ἐπηρώτα τὸν ἑξῆς· Τίς ἐστιν ἀ-
248 μέλεια μεγίστη; πρὸς τοῦτ' ἔφη· Εἰ τέκνων ἄφροντίς τις εἴη, καὶ μὴ κα-
τὰ πάντα τρόπον ἀγαγεῖν σπεύδοι· εὐχόμεθα γὰρ ἀεὶ πρὸς τὸν θεόν,
οὐχ οὕτω περὶ ἑαυτῶν ὡς περὶ τῶν ἐγγόνων, ἵνα παρῇ πάντα αὐτοῖς
τὰ ἀγαθά. τὸ δὲ ἐπιδεῖσθαι παιδία σωφροσύνης μετασχεῖν, θεοῦ δυνά-
μει τοῦτο γίνεται. φήσας δὲ εὐλογεῖν, ἄλλον ἠρώτα Πῶς ἂν φιλόπα-
249 τρις εἴη; Προτιθέμενος, εἶπεν, ὅτι καλὸν ἐν ἰδίᾳ καὶ ζῆν καὶ τελευτᾶν.
ἡ δὲ ξενία τοῖς μὲν πένησι καταφρόνησιν ἐργάζεται, τοῖς δὲ πλουσίοις
ὄνειδος, ὡς διὰ κακίαν ἐκπεπτωκόσιν. εὐεργετῶν οὖν ἅπαντας, κα-

θὼς συνεχῶς τοῦτ' ἐπιτελεῖς, θεοῦ διδόντος σοὶ πρὸς πάντας χάριν, φιλόπατρις φανήσῃ. τούτου δὲ ἀκούσας τοῦ κατὰ τὸ ἑξῆς ἐπυνθάνετο
250 Πῶς <ἂν> ἁρμόσαι γυναικί. <Γινώσκων> ὅτι μὲν θρασύ ἐστιν, ἔφη, τὸ θῆλυ γένος, καὶ δραστικὸν ἐφ' ὃ βούλεται πρᾶγμα, καὶ μεταπῖπτον εὐκόπως διὰ παραλογισμοῦ, καὶ τῇ φύσει κατεσκεύασται ἀσθενές· δέον δ' ἐστὶ κατὰ τὸ ὑγιὲς χρῆσθαι, καὶ μὴ πρὸς ἔριν ἀντιπράσσειν. κατορθοῦται γὰρ βίος, ὅταν ὁ κυβερνῶν εἰδῇ πρὸς τίνα σκοπὸν
251 δεῖ τὴν διέξοδον ποιεῖσθαι. θεοῦ δ' ἐπικλήσει καὶ βίος κυβερνᾶται κατὰ πάντα. συνανθομολογησάμενος δὲ τούτῳ, τὸν ἑξῆς ἠρώτα Πῶς
252 <ἂν> ἀναμάρτητος εἴη. ὁ δὲ ἔφη· Σεμνῶς ἅπαντα πράσσων καὶ μετὰ διαλογισμοῦ καὶ μὴ πειθόμενος διαβολαῖς, ἀλλ' αὐτὸς ὢν δοκιμαστὴς τῶν λεγομένων καὶ κρίσει κατευθύνων τὰ τῶν ἐντεύξεων καὶ διὰ κρίσεως ἐπιτελῶν ταῦτα ἀναμάρτητος, ἔφησεν, ἂν εἴης, ὦ βασιλεῦ. τὸ δ' ἐπινοεῖν ταῦτα καὶ ἐν τούτοις ἀναστρέφεσθαι θείας δυνάμεώς ἐστιν ἔργον. διαχυθεὶς δὲ τοῖς εἰρημένοις, τὸν ἕτερον ἠρώτα Πῶς ἂν ἐκτὸς
253 θυμοῦ γένοιτο. πρὸς τοῦτ' εἶπε· Γινώσκων ὅτι πάντων ἐξουσίαν ἔχει καί, εἰ χρήσαιτο θυμῷ, θάνατον ἐπιφέρει· ὅπερ ἀνωφελὲς καὶ ἀλγεινόν ἐστιν, εἰ τὸ ζῆν ἀφελεῖται πολλῶν, διὰ τὸ κύριον εἶναι. πάντων δ' ὑπη-
254 κόων ὄντων καὶ μηδενὸς ἐναντιουμένου, τίνος χάριν θυμωθήσεται; γινώσκειν δὲ δεῖ ὅτι θεὸς τὸν πάντα κόσμον διοικεῖ μετ' εὐμενείας καὶ χωρὶς ὀργῆς ἁπάσης· τούτῳ δὲ κατακολουθεῖν ἀναγκαῖόν ἐστί σε, ἔφησεν, ὦ βασιλεῦ. καλῶς δὲ ἀποκεκρίσθαι φήσας τοῦτον, ἐπυνθάνετο
255 τοῦ μετέπειτα· Τί ἐστιν εὐβουλία; Τὸ καλῶς ἅπαντα πράσσειν, ἀπεφήνατο, μετὰ διαλογισμοῦ, κατὰ τὴν βουλὴν παρατιθέντα καὶ <τὰ> βλαβερὰ τῶν κατὰ τὸ ἐναντίον τοῦ λόγου διάστημα, ἵνα πρὸς ἕκαστον ἐπινοήσαντες ὦμεν εὖ βεβουλευμένοι, καὶ τὸ προτεθὲν ἡμῖν ἐπιτελῆται. τὸ δ' αὖ κράτιστον, θεοῦ δυναστείᾳ πᾶν βούλευμα τελείωσιν ἕξει σοι τὴν εὐσέβειαν ἀσκοῦντι. κατωρθωκέναι δὲ καὶ τοῦτον εἰπών, ἄλ-
256 λον ἠρώτα· Τί ἐστι φιλοσοφία; Τὸ καλῶς διαλογίζεσθαι πρὸς ἕκαστον τῶν συμβαινόντων, ἀπεφήνατο, καὶ μὴ ἐκφέρεσθαι ταῖς ὁρμαῖς, ἀλλὰ τὰς βλάβας καταμελετᾶν τὰς ἐκ τῶν ἐπιθυμιῶν ἐκβαινούσας, καὶ τὰ πρὸς τὸν καιρὸν πράσσειν δεόντως μετριοπαθῆ καθεστῶτα. ἵνα δ' ἐπίστασιν τούτων λαμβάνωμεν, θεραπεύειν δεῖ τὸν θεόν. ἐπισημήνας
257 δὲ καὶ τοῦτον, ἕτερον ἠρώτα Πῶς ἂν ἀποδοχῆς ἐν ξενιτείᾳ τυγχάνοι. πᾶσιν ἴσος γινόμενος, ἔφη, καὶ μᾶλλον ἥττων ἢ καθυπερέχων φαινόμενος πρὸς οὓς ξενιτεύει. κοινῶς γὰρ ὁ θεὸς τὸ ταπεινούμενον προσδέχεται κατὰ φύσιν, καὶ τὸ τῶν ἀνθρώπων γένος τοὺς ὑποτασσομένους φιλανθρωπεῖ. ἐπιμαρτυρήσας δὲ τούτοις, ἄλλον ἠρώτα Πῶς
258 <ἃ> ἂν κατασκευάσῃ καὶ μετὰ τοῦτο διαμένῃ; πρὸς τοῦτ' εἶπεν· Εἰ μεγάλα καὶ σεμνὰ ταῖς ποιήσεσιν ἐπιτελοῖ, πρὸς τὸ φείσασθαι τοὺς θεωροῦντας διὰ τὴν καλλονήν, καὶ μηθένα τῶν κατεργαζομένων τὰ τοιαῦτα παραπέμποι, μηδὲ τοὺς ἄλλους ἀμισθὶ συντελεῖν ἀναγκάζοι τὰ πρὸς τὴν χρείαν. διανοούμενος γὰρ ὡς θεὸς πολυωρεῖ τὸ τῶν ἀν-
259 θρώπων γένος, χορηγῶν αὐτοῖς καὶ ὑγίειαν καὶ εὐαισθησίαν καὶ τὰ λοιπά, καὶ αὐτὸς ἀκόλουθόν τι πράξει τῶν κακοπαθειῶν ἀποδιδοὺς

τὴν ἀντάμειψιν. τὰ γὰρ ἐκ δικαιοσύνης τελούμενα, ταῦτα καὶ διαμένει.
260 εὖ δὲ καὶ τοῦτον εἰρηκέναι φήσας, τὸν δέκατον ἠρώτα· Τί ἐστι σοφίας καρπός; ὁ δὲ εἶπε· Τὸ μὴ συνιστορεῖν ἑαυτῷ κακὸν πεπραχότι, τὸν δὲ βίον ἐν ἀληθείᾳ διεξάγειν. ἐκ τούτων γὰρ κρατίστη χαρὰ καὶ ψυχῆς
261 εὐστάθειά σοι γίνεται, μέγιστε βασιλεῦ, καὶ ἐλπίδες ἐπὶ θεῷ καλαὶ κρατοῦντί σοι τῆς ἀρχῆς εὐσεβῶς. ὡς δὲ συνήκουσαν πάντες, ἐπεφώνησαν σὺν κρότῳ πλείονι. καὶ μετὰ ταῦτα πρὸς τὸ προπιεῖν ὁ βασιλεὺς ἐτράπη, χαρᾷ πεπληρωμένος.

Τῇ δ' ἑξῆς καθὼς πρότερον ἡ διάταξις ἦν τῶν κατὰ τὸν πότον ἐ-
262 πιτελουμένων, καιροῦ δὲ γενομένου τοὺς ἀπολιπόντας ὁ βασιλεὺς ἐπηρώτα. πρὸς τὸν πρῶτον δὲ ἔφη· Πῶς ἂν μὴ τραπείη τις εἰς ὑπερηφανίαν; ἀπεκρίθη δέ· Εἰ τὴν ἰσότητα τηροῖ, καὶ παρ' ἕκαστον ἑαυτὸν ὑ-
263 πομιμνῄσκοι, καθὼς ἄνθρωπος ὢν ἀνθρώπων ἡγεῖται. καὶ ὁ θεὸς τοὺς ὑπερηφάνους καθαιρεῖ, τοὺς δὲ ἐπιεικεῖς καὶ ταπεινοὺς ὑψοῖ. πα-
264 ρακαλέσας δὲ αὐτόν, τὸν ἑξῆς ἐπηρώτα Τίσι δεῖ συμβούλοις χρῆσθαι. Τοῖς διὰ πολλῶν, ἔφη, πεπειραμένοις πραγμάτων καὶ τὴν εὔνοιαν συντηροῦσιν ἀκέραιον πρὸς αὐτὸν καὶ τῶν τρόπων ὅσοι μετέχουσιν αὐτῷ. θεοῦ δὲ ἐπιφάνεια γίνεται πρὸς τὰ τοιαῦτα τοῖς ἀξίοις. ἐπαινέσας
265 δὲ αὐτόν, ἄλλον ἠρώτα· Τίς ἐστι βασιλεῖ κτῆσις ἀναγκαιοτάτη; Τῶν ὑποτεταγμένων φιλανθρωπία καὶ ἀγάπησις, ἀπεκρίνατο. διὰ γὰρ τούτων ἄλυτος εὐνοίας δεσμὸς γίνεται. τὸ δὲ γίνεσθαι κατὰ προαίρεσιν ταῦτα ὁ θεὸς ἐπιτελεῖ. κατεπαινέσας δὲ αὐτόν, ἑτέρου διεπυνθάνετο·
266 Τί πέρας ἐστὶ λόγου; κἀκεῖνος δὲ ἔφησε· Τὸ πεῖσαι τὸν ἀντιλέγοντα, διὰ τῆς ὑποτεταγμένης τάξεως τὰς βλάβας ἐπιδεικνύντα. οὕτω γὰρ λήψῃ τὸν ἀκροατὴν οὐκ ἀντικείμενος, συγχρώμενος δὲ ἐπαίνῳ πρὸς τὸ πεῖσαι. θεοῦ δὲ ἐνεργείᾳ κατευθύνεται πειθώ. εὖ δὲ λέγειν φήσας
267 αὐτόν, ἕτερον ἠρώτα Πῶς ἄν, παμμιγῶν ὄχλων ὄντων ἐν τῇ βασιλείᾳ, τούτοις ἁρμόσαι. Τὸ πρέπον ἑκάστῳ συνυποκρινόμενος, εἶπε, καθηγεμόνα λαμβάνων δικαιοσύνην· ὡς καὶ ποιεῖς θεοῦ σοι διδόντος εὖ λογίζεσθαι. φιλοφρονηθεὶς δὲ τούτῳ, πρὸς τὸν ἕτερον εἶπεν· Ἐπὶ τίσι
268 δεῖ λυπεῖσθαι; πρὸς ταῦτα ἀπεκρίθη· Τὰ συμβαίνοντα τοῖς φίλοις, ὅταν θεωρῶμεν πολυχρόνια καὶ ἀνέκφευκτα γινόμενα. τελευτήσασι μὲν γὰρ καὶ κακῶν ἀπολελυμένοις οὐχ ὑπογράφει λύπην ὁ λόγος· ἀλλὰ ἐφ' ἑαυτοὺς ἀναφέροντες καὶ τὸ πρὸς ἑαυτοὺς συμφέρον λυποῦνται πάντες ἄνθρωποι. τὸ δ' ἐκφυγεῖν πᾶν κακὸν θεοῦ δυνάμει γίνεται. ὡς
269 ἔδει δὲ φήσας αὐτὸν ἀποκρίνεσθαι, πρὸς ἕτερον εἶπε· Πῶς ἀδοξία γίνεται; ἐκεῖνος δὲ ἔφησεν· Ὅταν ὑπερηφανία καθηγῆται καὶ θράσος ἄληκτον, ἀτιμασμὸς ἐπιφύεται καὶ δόξης ἀναίρεσις. θεὸς δὲ δόξης πάσης κυριεύει ῥέπων οὗ βούλεται. καὶ τούτῳ δ' ἐπικυρώσας τὰ τῆς ἀ-
270 ποκρίσεως, τὸν ἑξῆς ἠρώτα· Τίσι δεῖ πιστεύειν ἑαυτόν; Τοῖς διὰ τὴν εὔνοιαν, εἶπε, συνοῦσί σοι, καὶ μὴ διὰ τὸν φόβον μηδὲ διὰ πολυωρίαν, ἐπανάγουσι πάντα πρὸς τὸ κερδαίνειν. τὸ μὲν γὰρ ἀγαπήσεως σημεῖον, τὸ δὲ δυσνοίας καὶ καιροτηρησίας· ὃς γὰρ ἐπὶ τὸ πλεονεκτεῖν ὁρμᾶται, προδότης πέφυκε. σὺ δὲ πάντας εὐνόους ἔχεις θεοῦ σοι καλὴν βουλὴν διδόντος. σοφῶς δὲ αὐτὸν εἰπὼν ἀποκεκρίσθαι, ἑτέρῳ εἶ-

271 πε· Τί βασιλείαν διατηρεῖ; πρὸς τοῦτ' ἔφη· Μέριμνα καὶ φροντίς, ὡς οὐδὲν κακουργηθήσεται διὰ τῶν ἀποτεταγμένων εἰς τοὺς ὄχλους ταῖς χρείαις· καθὼς σὺ τοῦτο πράσσεις θεοῦ σοι τὴν σεμνὴν ἐπίνοιαν διδόντος. θαρσύνας δὲ τοῦτον, ἕτερον ἐπηρώτα· Τί διαφυλάσσει χάριτα
272 καὶ τιμήν; ὁ δὲ εἶπεν· Ἀρετή. καλῶν γὰρ ἔργων ἐστὶν ἐπιτέλεια, τὸ δὲ κακὸν ἀποτρίβεται καθὼς σὺ διατηρεῖς τὴν πρὸς ἅπαντας καλοκαγαθίαν παρὰ θεοῦ δῶρον τοῦτ' ἔχων. κεχαρισμένως δὲ καὶ τοῦτον ἀπο-
273 δεξάμενος, τὸν ἑνδέκατον ἐπηρώτα –διὰ τὸ δύο πλεονάζειν τῶν ἑβδομήκοντα– Πῶς ἂν κατὰ ψυχὴν καὶ ἐν τοῖς πολέμοις εἰρηνικῶς ἔχοι. ὁ δὲ ἀπεφήνατο· Διαλαμβάνων ὅτι κακὸν οὐδὲν εἴργασται τῶν ὑποτεταγμένων οὐθενί, πάντες δὲ ἀγωνιοῦνται περὶ τῶν εὐεργετημάτων, εἰδότες, κἂν ἐκ τοῦ ζῆν ἀποτρέχωσιν, ἐπιμελητήν σε τῶν βίων. οὐ γὰρ
274 διαλείπεις ἐπανορθῶν ἅπαντας τοῦ θεοῦ σοι καλοφροσύνην δεδωκότος. ἐπισημήνας δὲ κρότῳ πάντας αὐτοὺς ἀπεδέξατο φιλοφρονούμενος, καὶ προπίνων ἑκάστῳ πλεῖόν τι πρὸς τὸ τερφθῆναι <ἐτράπη>, μετ' εὐφροσύνης τοῖς ἀνδράσι συνὼν καὶ χαρᾶς πλείονος.

Τῇ ἑβδόμῃ δὲ τῶν ἡμερῶν, πλείονος παρασκευῆς γενομένης,
275 προσπαραγινομένων πλειόνων ἑτέρων ἀπὸ τῶν πόλεων –ἦσαν γὰρ ἱκανοὶ πρέσβεις–, ἐπηρώτησεν ὁ βασιλεὺς καιροῦ γενομένου τὸν πρωτεύοντα τῶν ἀπολιπόντων τῆς ἐρωτήσεως Πῶς ἂν ἀπαραλόγιστος εἴη. ἐκεῖνος δὲ ἔφη· Δοκιμάζων καὶ τὸν λέγοντα καὶ τὸ λεγόμενον καὶ
276 περὶ τίνος λέγει, καὶ ἐν πλείονι χρόνῳ τὰ αὐτὰ δι' ἑτέρων τρόπων ἐπερωτῶν. τὸ δὲ νοῦν ἔχειν ὀξὺν καὶ δύνασθαι κρίνειν ἕκαστα θεοῦ δώρημα καλόν ἐστιν· ὡς σὺ τοῦτο κέκτησαι, βασιλεῦ. κρότῳ δὲ ἐπισημη-
277 νάμενος ὁ βασιλεύς, ἕτερον ἐπηρώτα· Διὰ τί τὴν ἀρετὴν οὐ παραδέχονται τῶν ἀνθρώπων οἱ πλείονες; Ὅτι φυσικῶς ἅπαντες, εἶπεν, ἀκρατεῖς καὶ ἐπὶ τὰς ἡδονὰς τρεπόμενοι γεγόνασιν· ὧν χάριν ἀδικία πέφυκε καὶ τὸ τῆς πλεονεξίας χῦμα. τὸ δὲ τῆς ἀρετῆς κατάστημα κωλύει
278 τοὺς ἐπιφερομένους ἐπὶ τὴν ἡδονοκρασίαν, ἐγκράτειαν δὲ κελεύει καὶ δικαιοσύνην προτιμᾶν. ὁ δὲ θεὸς πάντων ἡγεῖται τούτων. Εὖ δὲ ἀπο-
279 κεκρίσθαι τοῦτον εἰπὼν ὁ βασιλεύς, τὸν μετ' αὐτὸν ἠρώτα· Τίσι δεῖ κατακολουθεῖν τοὺς βασιλεῖς; ὁ δὲ ἔφη· Τοῖς νόμοις, ἵνα δικαιοπραγοῦντες ἀνακτῶνται τοὺς βίους τῶν ἀνθρώπων· καθὼς σὺ τοῦτο πράσσων ἀένναον μνήμην καταβέβλησαι σεαυτοῦ, θείῳ προστάγματι κατακολουθῶν. εἰπὼν δὲ καὶ τοῦτον καλῶς λέγειν, τὸν ἐχόμενον ἠρώ-
280 τα· Τίνας δεῖ καθιστάνειν στρατηγούς; ὁ δὲ εἶπεν· Ὅσοι μισοπονηρίαν ἔχουσι, καὶ τὴν ἀγωγὴν αὐτοῦ μιμούμενοι, πρὸς τὸ διὰ παντὸς εὐδοξίαν ἔχειν αὐτούς, τὰ δίκαια πράσσουσι· καθὼς σὺ τοῦτο ἐπιτελεῖς, εἶπε, μέγιστε βασιλεῦ, θεοῦ σοι στέφανον δικαιοσύνης δεδωκότος. ἀπο-
281 δεξάμενος δὲ αὐτὸν μετὰ φωνῆς ἐπὶ τὸν ἐχόμενον ἐπιβλέψας εἶπε· Τίνας δεῖ καθιστάνειν ἐπὶ τῶν δυνάμεων ἄρχοντας; ὁ δὲ ἀπεφήνατο· Τοὺς ἀνδρίᾳ διαφέροντας καὶ δικαιοσύνῃ καὶ περὶ πολλοῦ ποιουμένους τὸ σῴζειν τοὺς ἄνδρας ἢ τὸ νικᾶν, τῷ θράσει παραβάλλοντας τὸ ζῆν. ὡς γὰρ ὁ θεὸς εὖ ἐργάζεται πᾶσι, καὶ σὺ τοῦτον μιμούμενος εὐεργετεῖς τοὺς ὑπὸ σεαυτόν. ὁ δὲ ἀποκεκρίσθαι φήσας αὐτὸν εὖ, ἄλλον

282 ἠρώτα· Τίνα θαυμάζειν ἄξιόν ἐστιν ἄνθρωπον; ὁ δὲ ἔφη· Τὸν κεχορη-
γημένον δόξῃ καὶ πλούτῳ καὶ δυνάμει, καὶ ψυχὴν ἴσον πᾶσιν ὄντα·
καθὼς σὺ τοῦτο ποιῶν ἀξιοθαύμαστος εἶ τοῦ θεοῦ σοι διδόντος εἰς
ταῦτα τὴν ἐπιμέλειαν. ἐπιφωνήσας δὲ καὶ τούτῳ, πρὸς τὸν ἕτερον εἶ-
283 πεν· Ἐν τίσι δεῖ πράγμασι τοὺς βασιλεῖς τὸν πλείω χρόνον διάγειν; ὁ
δὲ εἶπεν· Ἐν ταῖς ἀναγνώσεσι καὶ ἐν ταῖς τῶν πορειῶν ἀπογραφαῖς
διατρίβειν, ὅσαι πρὸς τοὺς βασιλεῖς ἀναγεγραμμέναι τυγχάνουσι
πρὸς ἐπανόρθωσιν καὶ διαμονὴν ἀνθρώπων. ὃ σὺ πράσσων ἀνέφι-
κτον ἄλλοις δόξαν κέκτησαι θεοῦ σοι τὰ βουλήματα συντελοῦντος. ἐ-
284 νεργῶς δὲ καὶ τοῦτον προσειπών, ἕτερον ἠρώτα· Τίνας δεῖ ποιεῖσθαι
τὰς διαγωγὰς ἐν ταῖς ἀνέσεσι καὶ ῥᾳθυμίαις; ὁ δὲ ἔφη· Θεωρεῖν ὅσα
παίζεται μετὰ περιστολῆς καὶ πρὸ ὀφθαλμῶν τιθέναι τὰ τοῦ βίου μετ'
εὐσχημοσύνης καὶ καταστολῆς γινόμενα βίῳ συμφέρον καὶ καθῆκον·
ἔνεστι γὰρ καὶ ἐν τούτοις ἐπισκευή τις. πολλάκις γὰρ καὶ ἐκ τῶν ἐλα-
285 χίστων αἱρετόν τι δείκνυται. σὺ δὲ πᾶσαν ἠσκηκὼς καταστολὴν διὰ
τῶν ἐνεργειῶν φιλοσοφεῖς διὰ καλοκαγαθίαν ὑπὸ θεοῦ τιμώμενος.
Εὐαρεστήσας δὲ τοῖς προειρημένοις πρὸς τὸν ἕνατον εἶπε Πῶς δεῖ
286 διὰ τῶν συμποσίων διεξάγειν. ὁ δὲ ἔφησε· Παραλαμβάνοντα τοὺς φι-
λομαθεῖς καὶ δυναμένους ὑπομιμνήσκειν τὰ χρήσιμα τῇ βασιλείᾳ καὶ
τοῖς τῶν ἀρχομένων βίοις –ἐμμελέστερον ἢ μουσικώτερον οὐκ ἂν εὕ-
ροις τι τούτων· οὗτοι γὰρ θεοφιλεῖς εἰσι πρὸς τὰ κάλλιστα πεπαιδευ-
287 κότες τὰς διανοίας–, καθὼς καὶ σὺ τοῦτο πράσσεις, ὡς ἂν ὑπὸ θεοῦ
σοι κατευθυνομένων ἁπάντων. διαχυθεὶς δὲ ἐπὶ τοῖς εἰρημένοις, ἐπυν-
288 θάνετο τοῦ μετέπειτα· Τί κάλλιστόν ἐστι τοῖς ὄχλοις, ἐξ ἰδιώτου βασι-
λέα κατασταθῆναι ἐπ' αὐτῷ, ἢ ἐκ βασιλέως βασιλέα; ἐκεῖνος δὲ ἔφη·
289 Τὸν ἄριστον τῇ φύσει. καὶ γὰρ ἐκ βασιλέων βασιλεῖς γινόμενοι πρὸς
τοὺς ὑποτεταγμένους ἀνήμεροί τε καὶ σκληροὶ καθίστανται· πολλῷ δὲ
μᾶλλον καί τινες τῶν ἰδιωτῶν, καὶ κακῶς πεπειραμένοι καὶ πενίας με-
τεσχηκότες, ἄρξαντες ὄχλων χαλεπώτεροι τῶν ἀνοσίων τυράννων ἐ-
ξέβησαν. ἀλλὰ ὡς προεῖπον, ἦθος χρηστὸν καὶ παιδείας κεκοινωνη-
290 κὸς δυνατὸν ἄρχειν ἐστί· καθὼς σὺ βασιλεὺς μέγας ὑπάρχεις, οὐ το-
σοῦτον τῇ δόξῃ τῆς ἀρχῆς καὶ πλούτῳ προσσχών, ὅσον ἐπιεικείᾳ καὶ
φιλανθρωπίᾳ πάντας ἀνθρώπους ὑπερῆρκας τοῦ θεοῦ σοι δεδωρημέ-
νου ταῦτα. ἐπὶ πλείονα χρόνον καὶ τοῦτον ἐπαινέσας, τὸν ἐπὶ πᾶσιν ἠ-
291 ρώτα· Τί μέγιστόν ἐστι βασιλείας; πρὸς τοῦτο εἶπε· Τὸ διὰ παντὸς ἐν
εἰρήνῃ καθεστάναι τοὺς ὑποτεταγμένους, καὶ κομίζεσθαι τὸ δίκαιον
ταχέως ἐν ταῖς διακρίσεσι. ταῦτα δὲ γίνεται διὰ τὸν ἡγούμενον, ὅταν
292 μισοπόνηρος ᾖ καὶ φιλάγαθος καὶ περὶ πολλοῦ ποιούμενος ψυχὴν ἀν-
θρώπου σῴζειν· καθὼς καὶ σὺ μέγιστον κακὸν ἥγησαι τὴν ἀδικίαν, δι-
καίως δὲ πάντα κυβερνῶν ἀένναον τὴν περὶ σεαυτὸν δόξαν κατε-
σκεύασας, τοῦ θεοῦ σοι διδόντος ἔχειν ἁγνὴν καὶ ἀμιγῆ παντὸς κα-
κοῦ τὴν διάνοιαν.

Καταλήξαντος δὲ τούτου κατερράγη κρότος μετὰ φωνῆς καὶ χα-
293 ρᾶς ἐπὶ πλείονα χρόνον. ὡς δὲ ἐπαύσατο, ὁ βασιλεὺς λαβὼν ποτήριον
ἐπεχέατο καὶ τῶν παρόντων ἁπάντων καὶ τῶν εἰρημένων λόγων. ἐπὶ

πᾶσι δὲ εἶπε· Τὰ μέγιστά μοι γέγονεν ἀγαθὰ παραγενηθέντων ὑμῶν· πολλὰ γὰρ ὠφέληται, καταβεβλημένων ὑμῶν διδαχὴν ἐμοὶ πρὸς τὸ
294 βασιλεύειν. ἑκάστῳ δὲ τρία τάλαντα προσέταξεν ἀργυρίου δοθῆναι καὶ τὸν ἀποκαταστήσοντα παῖδα. συνεπιφωνησάντων δὲ πάντων, χαρᾶς ἐπληρώθη τὸ συμπόσιον, ἀδιαλείπτως τοῦ βασιλέως εἰς εὐφροσύνην τραπέντος.

Ἐγὼ δὲ εἰ πεπλεόνακα τούτοις, ὦ Φιλόκρατες, συγγνώμην ἔχειν.
295 τεθαυμακὼς γὰρ τοὺς ἄνδρας ὑπὲρ τὸ δέον, ὡς ἐκ τοῦ καιροῦ τὰς ἀποκρίσεις ἐποιοῦντο πολλοῦ χρόνου δεομένας, καὶ τοῦ μὲν ἐρωτῶ-
296 ντος μεμεριμνηκότος ἕκαστα, τῶν δὲ ἀποκρινομένων καταλλήλως ἐχόντων τὰ πρὸς τὰς ἐρωτήσεις, ἄξιοι θαυμασμοῦ κατεφαίνοντό μοι καὶ τοῖς παροῦσι, μάλιστα δὲ τοῖς φιλοσόφοις. οἴομαι δὲ καὶ πᾶσι τοῖς παραληψομένοις τὴν ἀναγραφὴν ἄπιστον φανεῖται. ψεύσασθαι μὲν οὖν
297 οὐ καθῆκόν ἐστι περὶ τῶν ἀναγραφομένων· εἰ δὲ καί τι παραβαίην, οὐχ ὅσιον ἐν τούτοις· ἀλλ', ὡς γέγονεν, οὕτω διασαφοῦμεν ἀφοσιούμενοι πᾶν ἁμάρτημα. διόπερ ἐπειράθην ἀποδεξάμενος αὐτῶν τὴν τοῦ λόγου δύναμιν παρὰ τῶν ἀναγραφομένων ἕκαστα τῶν γινομένων ἔν τε τοῖς χρηματισμοῖς τοῦ βασιλέως καὶ ταῖς συμποσίαις μεταλαβεῖν. ἔ-
298 θος γάρ ἐστι, καθὼς καὶ σὺ γινώσκεις, ἀφ' ἧς ἂν ὁ βασιλεὺς ἄρξηται χρηματίζειν, μέχρι οὗ κατακοιμηθῇ, πάντα ἀναγράφεσθαι τὰ λεγόμενα καὶ πρασσόμενα, καλῶς γινομένου καὶ συμφερόντως. τῇ γὰρ ἐπιούσῃ
299 τὰ τῇ πρότερον πεπραγμένα καὶ λελαλημένα πρὸ τοῦ χρηματισμοῦ παραναγινώσκεται καί, εἴ τι μὴ δεόντως γέγονε, διορθώσεως τυγχάνει τὸ πεπραγμένον. πάντ' οὖν ἀκριβῶς παρὰ τῶν ἀναγεγραμμένων, ὡς
300 ἐλέχθη, μεταλαβόντες κατακεχωρίκαμεν, εἰδότες ἣν ἔχεις φιλομάθειαν εἰς τὰ χρήσιμα.

Μετὰ δὲ τρεῖς ἡμέρας ὁ Δημήτριος παραλαβὼν αὐτούς, καὶ διελ-
301 θὼν τὸ τῶν ἑπτὰ σταδίων ἀνάχωμα τῆς θαλάσσης πρὸς τὴν νῆσον, καὶ διαβὰς τὴν γέφυραν, καὶ προσελθὼν ὡς ἐπὶ τὰ βόρεια μέρη, συνέδριον ποιησάμενος εἰς κατεσκευασμένον οἶκον παρὰ τὴν ἠιόνα, διαπρεπῶς ἔχοντα καὶ πολλῆς ἡσυχίας ἔφεδρον, παρεκάλει τοὺς ἄνδρας τὰ τῆς ἑρμηνείας ἐπιτελεῖν, παρόντων ὅσα πρὸς τὴν χρείαν ἔδει καλῶς. οἱ δὲ ἐπετέλουν ἕκαστα σύμφωνα ποιοῦντες πρὸς ἑαυτοὺς ταῖς
302 ἀντιβολαῖς· τὸ δὲ ἐκ τῆς συμφωνίας γινόμενον πρεπόντως ἀναγραφῆς οὕτως ἐτύγχανε παρὰ τοῦ Δημητρίου. καὶ μέχρι μὲν ὥρας ἑνάτης τὰ
303 τῆς συνεδρίας ἐγίνετο· μετὰ δὲ ταῦτα περὶ τὴν τοῦ σώματος θεραπείαν ἀπελύοντο γίνεσθαι, χορηγουμένων αὐτοῖς δαψιλῶς ὧν προῃροῦντο πάντων. ἐκτὸς δὲ καὶ καθ' ἡμέραν, ὅσα βασιλεῖ παρεσκευάζε-
304 το, καὶ τούτοις ὁ Δωρόθεος ἐπετέλει· προστεταγμένον γὰρ ἦν αὐτῷ διὰ τοῦ βασιλέως. ἅμα δὲ τῇ πρωΐᾳ παρεγίνοντο εἰς τὴν αὐλὴν καθ' ἡμέραν, καὶ ποιησάμενοι τὸν ἀσπασμὸν τοῦ βασιλέως, ἀπελύοντο πρὸς τὸν ἑαυτῶν τόπον. ὡς δὲ ἔθος ἐστὶ πᾶσι τοῖς Ἰουδαίοις, ἀπονιψάμενοι
305 τῇ θαλάσσῃ τὰς χεῖρας, ὡς ἂν εὔξωνται πρὸς τὸν θεόν, ἐτρέποντο πρὸς τὴν ἀνάγνωσιν καὶ τὴν ἑκάστου διασάφησιν. ἐπηρώτησα δὲ καὶ
306 τοῦτο· Τίνος χάριν ἀπονιζόμενοι τὰς χεῖρας τὸ τηνικαῦτα εὔχονται;

διεσάφουν δὲ ὅτι μαρτύριόν ἐστι τοῦ μηδὲν εἰργάσθαι κακόν· πᾶσα γὰρ ἐνέργεια διὰ τῶν χειρῶν γίνεται· καλῶς καὶ ὁσίως μεταφέροντες ἐπὶ τὴν δικαιοσύνην καὶ τὴν ἀλήθειαν πάντα. καθὼς δὲ προειρήκαμεν,
307 οὕτω καθ' ἑκάστην εἰς τὸν τόπον, ἔχοντα τερπνότητα διὰ τὴν ἡσυχίαν καὶ καταύγειαν, συναγόμενοι τὸ προκείμενον ἐπετέλουν. συνέτυχε δὲ οὕτως, ὥστε ἐν ἡμέραις ἑβδομήκοντα δυσὶ τελειωθῆναι τὰ τῆς μεταγραφῆς, οἱονεὶ κατὰ πρόθεσίν τινα τοῦ τοιούτου γεγενημένου. τελείω-
308 σιν δὲ ὅτε ἔλαβε, συναγαγὼν ὁ Δημήτριος τὸ πλῆθος τῶν Ἰουδαίων εἰς τὸν τόπον, οὗ καὶ τὰ τῆς ἑρμηνείας ἐτελέσθη, παρανέγνω πᾶσι, παρόντων καὶ τῶν διερμηνευσάντων, οἵτινες μεγάλης ἀποδοχῆς καὶ παρὰ τοῦ πλήθους ἔτυχον, ὡς ἂν μεγάλων ἀγαθῶν παραίτιοι γεγονότες. ὡσαύτως δὲ καὶ τὸν Δημήτριον ἀποδεξάμενοι παρεκάλεσαν μετα-
309 δοῦναι τοῖς ἡγουμένοις αὐτῶν, μεταγράψαντα τὸν πάντα νόμον. κα-
310 θὼς δὲ ἀνεγνώσθη τὰ τεύχη, στάντες οἱ ἱερεῖς καὶ τῶν ἑρμηνέων οἱ πρεσβύτεροι καὶ τῶν ἀπὸ τοῦ πολιτεύματος οἵ τε ἡγούμενοι τοῦ πλήθους εἶπον· Ἐπεὶ καλῶς καὶ ὁσίως διηρμήνευται καὶ κατὰ πᾶν ἠκριβωμένως, καλῶς ἔχον ἐστὶν ἵνα διαμείνῃ ταῦθ' οὕτως ἔχοντα, καὶ μὴ γένηται μηδεμία διασκευή. πάντων δ' ἐπιφωνησάντων τοῖς εἰρημέ-
311 νοις, ἐκέλευσαν διαράσασθαι, καθὼς ἔθος αὐτοῖς ἐστιν, εἴ τις διασκευάσει προστιθεὶς ἢ μεταφέρων τι τὸ σύνολον τῶν γεγραμμένων ἢ ποιούμενος ἀφαίρεσιν, καλῶς τοῦτο πράσσοντες, ἵνα διὰ παντὸς ἀέννα καὶ μένοντα φυλάσσηται.

Προσφωνηθέντων δὲ καὶ τούτων τῷ βασιλεῖ μεγάλως ἐχάρη· τὴν
312 γὰρ πρόθεσιν ἣν εἶχεν ἀσφαλῶς ἔδοξε τετελειῶσθαι. παρανεγνώσθη δὲ αὐτῷ καὶ πάντα, καὶ λίαν ἐξεθαύμασε τὴν τοῦ νομοθέτου διάνοιαν. καὶ πρὸς τὸν Δημήτριον εἶπε· Πῶς τηλικούτων συντετελεσμένων οὐδεὶς ἐπεβάλετο τῶν ἱστορικῶν ἢ ποιητῶν ἐπιμνησθῆναι; ἐκεῖνος δὲ ἔ-
313 φη· Διὰ τὸ σεμνὴν εἶναι τὴν νομοθεσίαν καὶ διὰ θεοῦ γεγονέναι· καὶ τῶν ἐπιβαλλομένων τινὲς ὑπὸ τοῦ θεοῦ πληγέντες τῆς ἐπιβολῆς ἀπέστησαν. καὶ γὰρ ἔφησεν ἀκηκοέναι Θεοπόμπου, διότι μέλλων τινὰ
314 τῶν προηρμηνευμένων ἐπισφαλέστερον ἐκ τοῦ νόμου προσιστορεῖν ταραχὴν λάβοι τῆς διανοίας πλεῖον ἡμερῶν τριάκοντα· κατὰ δὲ τὴν ἄνεσιν ἐξιλάσκεσθαι τὸν θεὸν σαφὲς αὐτῷ γενέσθαι τίνος χάριν τὸ συμβαῖνόν ἐστι. δι' ὀνείρου δὲ σημανθέντος, ὅτι τὰ θεῖα βούλεται περιερ-
315 γασάμενος εἰς κοινοὺς ἀνθρώπους ἐκφέρειν, ἀποσχόμενον δὲ οὕτως ἀποκαταστῆναι. καὶ παρὰ Θεοδέκτου δὲ τοῦ τῶν τραγῳδιῶν ποιητοῦ
316 μετέλαβον ἐγὼ ὅτι παραφέρειν μέλλοντός τι τῶν ἀναγεγραμμένων ἐν τῇ βίβλῳ πρός τι δρᾶμα τὰς ὄψεις ἀπεγλαυκώθη· καὶ λαβὼν ὑπόνοιαν ὅτι διὰ τοῦτ' αὐτῷ τὸ σύμπτωμα γέγονεν, ἐξιλασάμενος τὸν θεὸν ἐν πολλαῖς ἡμέραις ἀποκατέστη.

Μεταλαβὼν δὲ ὁ βασιλεύς, καθὼς προεῖπον, περὶ τούτων τὰ πα-
317 ρὰ τοῦ Δημητρίου, προσκυνήσας ἐκέλευσε μεγάλην ἐπιμέλειαν ποιεῖσθαι τῶν βιβλίων καὶ συντηρεῖν ἁγνῶς. παρακαλέσας δὲ καὶ τοὺς ἑρ-
318 μηνεῖς ἵνα παραγίνωνται πυκνότερον πρὸς αὐτόν, ἐὰν ἀποκατασταθῶσιν εἰς τὴν Ἰουδαίαν, –δίκαιον γὰρ εἶπε τὴν ἐκπομπὴν αὐτῶν γενέ-

σθαι· παραγενηθέντας δέ, ὡς θέμις, ἕξειν αὐτοὺς φίλους, καὶ πολυδω-
ρίας τῆς μεγίστης τεύξασθαι παρ' αὐτοῦ. τὰ δὲ πρὸς τὴν ἐκπομπὴν
319 αὐτῶν ἐκέλευσεν ἑτοιμάζειν, μεγαλομερῶς τοῖς ἀνδράσι χρησάμενος.
ἑκάστῳ γὰρ στολὰς ἔδωκε τῶν κρατίστων τρεῖς καὶ χρυσίου τάλαντα
δύο καὶ κυλίκιον ταλάντου καὶ τρικλίνου πᾶσαν κατάστρωσιν. ἔπεμψε
320 δὲ καὶ τῷ Ἐλεαζάρῳ μετὰ τῆς ἐκπομπῆς αὐτῶν ἀργυρόποδας κλίνας
δέκα καὶ τὰ ἀκόλουθα πάντα καὶ κυλικεῖον ταλάντων τριάκοντα καὶ
στολὰς δέκα καὶ πορφύραν καὶ στέφανον διαπρεπῆ καὶ βυσσίνων ὀθο-
νίων ἱστοὺς δύο πρὸς ἀνάθεσιν. ἔγραψε δὲ καὶ παρακαλῶν ἵνα, ἐάν τι-
321 νες τῶν ἀνδρῶν προαιρῶνται πρὸς αὐτὸν ἀνακομισθῆναι, μὴ κωλύσῃ,
περὶ πολλοῦ ποιούμενος τοῖς πεπαιδευμένοις συνεῖναι, καὶ εἰς τοιού-
τους τὸν πλοῦτον κατατίθεσθαι δαψιλῶς, καὶ οὐκ εἰς μάταια.

Σὺ δέ, καθὼς ἐπηγγειλάμην, ἀπέχεις τὴν διήγησιν, ὦ Φιλόκρα-
322 τες. τέρπειν γὰρ οἴομαί σε ταῦτα ἢ τὰ τῶν μυθολόγων βιβλία. νένευ-
κας γὰρ πρὸς περιεργίαν τῶν δυναμένων ὠφελεῖν διάνοιαν, καὶ ἐν
τούτοις τὸν πλείονα χρόνον διατελεῖς. πειράσομαι δὲ καὶ τὰ λοιπὰ
τῶν ἀξιολόγων ἀναγράφειν, ἵνα διαπορευόμενος αὐτὰ κομίζῃ τοῦ
βουλήματος τὸ κάλλιστον ἔπαθλον.

2. Περὶ Ἰουδαίων

(ἀπόσπασμα)

«Ἀριστέας δέ φησιν ἐν τῷ *Περὶ Ἰουδαίων* τὸν Ἠσαῦ γήμαντα
1 Βασσάραν υἱὸν ἐν Ἐδὼμ γεννῆσαι Ἰώβ· κατοικεῖν δὲ τοῦτον ἐν τῇ Αὐ-
σίτιδι χώρᾳ ἐπὶ τοῖς ὅροις τῆς Ἰδουμαίας καὶ Ἀραβίας. γενέσθαι δ'
αὐτὸν δίκαιον καὶ πολύκτηνον· κτήσασθαι γὰρ αὐτὸν πρόβατα μὲν ἑ-
πτακισχίλια, καμήλους δὲ τρισχιλίας, ζεύγη βοῶν πεντακόσια, ὄνους
θηλείας νομάδας πεντακοσίας· εἶχε δὲ καὶ γεωργίας ἱκανάς.

Τοῦτον δὲ τὸν Ἰὼβ πρότερον Ἰωβὰβ ὀνομάζεσθαι. πειράζοντα δ'
2 αὐτὸν τὸν θεὸν ἐμμεῖναι, μεγάλαις δὲ περιβαλεῖν αὐτὸν ἀτυχίαις. πρῶ-
τον μὲν γὰρ αὐτοῦ τούς τε ὄνους καὶ τοὺς βοῦς ὑπὸ λῃστῶν ἀπολέ-
σθαι, εἶτα τὰ πρόβατα ὑπὸ πυρὸς ἐκ τοῦ οὐρανοῦ πεσόντος κατακαῆ-
ναι σὺν τοῖς ποιμέσι· μετ' οὐ πολὺ δὲ καὶ τὰς καμήλους ὑπὸ λῃστῶν
ἀπελαθῆναι· εἶτα τὰ τέκνα αὐτοῦ ἀποθανεῖν, πεσούσης τῆς οἰκίας· αὐ-
θημερὸν δὲ αὐτοῦ καὶ τὸ σῶμα ἑλκῶσαι. φαύλως δὲ αὐτοῦ διακειμέ-
3 νου ἐλθεῖν εἰς ἐπίσκεψιν Ἐλίφαν τὸν Θεμανιτῶν βασιλέα καὶ Βαλδὰδ
τὸν Σαυχαίων τύραννον καὶ Σωφὰρ τὸν Μιναίων βασιλέα, ἐλθεῖν δὲ
καὶ Ἐλιούν τὸν Βαραχιὴλ τὸν Ζωβίτην· παρακαλούμενον δὲ φάναι καὶ
χωρὶς παρακλήσεως ἐμμενεῖν αὐτὸν ἔν τε τῇ εὐσεβείᾳ καὶ τοῖς δει-
νοῖς. τὸν δὲ θεὸν ἀγασθέντα τὴν εὐψυχίαν αὐτοῦ τῆς τε νόσου αὐτὸν
4 ἀπολῦσαι καὶ πολλῶν κύριον ὑπάρξεων ποιῆσαι».

Ἀλέξανδρος Πολυΐστωρ, στὸν Εὐσέβιο, Εὐ. πρ. 9,25,1-4

2. ΨΑΛΜΟΣ ΕΙΣ ΔΑΥΪΔ

Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου
καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου·
ἐποίμαινον τὰ πρόβατα τοῦ πατρός μου.

Αἱ χεῖρές μου ἐποίησαν ὄργανον
καὶ οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον·
καὶ τίς ἀναγγελεῖ τῷ Κυρίῳ μου;

Αὐτὸς ἐξαπέστειλε τὸν ἄγγελον αὐτοῦ
καὶ ἦρέ με ἐκ τῶν προβάτων τοῦ πατρός μου·
καὶ ἔχρισέ με ἐν τῷ ἐλαίῳ τῆς χρίσεως αὐτοῦ.

Οἱ ἀδελφοί μου καλοὶ καὶ μεγάλοι,
καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς Κύριος.

Ἐξῆλθον εἰς συνάντησιν τῷ ἀλλοφύλῳ,
καὶ ἐπικατηράσατό με ἐν τοῖς εἰδώλοις αὐτοῦ.

Ἐγὼ δὲ σπασάμενος τὴν παρ' αὐτοῦ μάχαιραν,
ἀπεκεφάλισα αὐτὸν καὶ ἦρα ὄνειδος ἐξ υἱῶν Ἰσραήλ.

3. ΣΟΦΙΑ ΙΗΣΟΥ

ΠΡΟΛΟΓΟΣ ΜΕΤΑΦΡΑΣΤΟΥ

1 Πολλῶν καὶ μεγάλων ἡμῖν διὰ τοῦ Νόμου καὶ τῶν Προφη-
τῶν καὶ τῶν ἄλλων τῶν κατ' αὐτοὺς Ἠκολουθηκότων δεδομέ-
νων, ὑπὲρ ὧν δέον ἐστὶν ἐπαινεῖν τὸν Ἰσραὴλ παιδείας καὶ σο-
φίας, καὶ ὡς οὐ μόνον αὐτοὺς τοὺς ἀναγινώσκοντας δέον ἐ-
στὶν ἐπιστήμονας γίνεσθαι, ἀλλὰ καὶ τοῖς ἐκτὸς δύνασθαι τοὺς
φιλομαθοῦντας χρησίμους εἶναι καὶ λέγοντας καὶ γράφοντας,
ὁ πάππος μου Ἰησοῦς ἐπὶ πλεῖον ἑαυτὸν δοὺς εἴς τε τὴν τοῦ
Νόμου καὶ τῶν Προφητῶν καὶ τῶν ἄλλων πατρίων Βιβλίων ἀ-
νάγνωσιν καὶ ἐν τούτοις ἱκανὴν ἕξιν περιποιησάμενος, προή-
χθη καὶ αὐτὸς συγγράψαι τι τῶν εἰς παιδείαν καὶ σοφίαν ἀνη-
κόντων, ὅπως οἱ φιλομαθεῖς, καὶ τούτων ἔνοχοι γενόμενοι,
2 πολλῷ μᾶλλον ἐπιπροσθῶσι διὰ τῆς ἐννόμου βιώσεως. παρα-
κέκλησθε οὖν μετ' εὐνοίας καὶ προσοχῆς τὴν ἀνάγνωσιν ποιεῖ-
σθαι καὶ συγγνώμην ἔχειν ἐφ' οἷς ἂν δοκῶμεν τῶν κατὰ τὴν
ἑρμηνείαν πεφιλοπονημένων τισὶ τῶν λέξεων ἀδυναμεῖν· οὐ
γὰρ ἰσοδυναμεῖ αὐτὰ ἐν ἑαυτοῖς ἑβραϊστὶ λεγόμενα καὶ ὅταν
3 μεταχθῇ εἰς ἑτέραν γλῶσσαν. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ αὐ-
τὸς ὁ Νόμος καὶ αἱ Προφητεῖαι καὶ τὰ λοιπὰ τῶν Βιβλίων οὐ
4 μικρὰν ἔχει τὴν διαφορὰν ἐν ἑαυτοῖς λεγόμενα. ἐν γὰρ τῷ ὀ-
γδόῳ καὶ τριακοστῷ ἔτει ἐπὶ τοῦ Εὐεργέτου βασιλέως παραγε-
νηθεὶς εἰς Αἴγυπτον καὶ συγχρονίσας, εὑρὼν οὐ μικρᾶς παι-
δείας ἀφόμοιον, ἀναγκαιότατον ἐθέμην αὐτὸς προσενέγκασθαί
τινα σπουδὴν καὶ φιλοπονίαν τοῦ μεθερμηνεῦσαι τήνδε τὴν βί-
βλον, πολλὴν ἀγρυπνίαν καὶ ἐπιστήμην προσενεγκάμενος ἐν
τῷ διαστήματι τοῦ χρόνου πρὸς τὸ ἐπὶ πέρας ἀγαγόντα τὸ βι-
βλίον ἐκδόσθαι καὶ τοῖς ἐν τῇ παροικίᾳ βουλομένοις φιλομα-
θεῖν, προκατασκευαζομένους τὰ ἤθη ἐννόμως βιοτεύειν.

ΙΗΣΟΥ ΥΙΟΥ ΣΙΡΑΧ ΣΟΦΙΑ

I 1 Πᾶσα σοφία παρὰ Κυρίου 1 I
καὶ μετ' αὐτοῦ ἐστιν εἰς τὸν αἰῶνα.
2 ἄμμον θαλασσῶν καὶ σταγόνας ὑετοῦ 2
καὶ ἡμέρας αἰῶνος τίς ἐξαριθμήσει;
3 ὕψος οὐρανοῦ καὶ πλάτος γῆς 3
καὶ ἄβυσσον καὶ σοφίαν τίς ἐξιχνιάσει;
4 προτέρα πάντων ἔκτισται σοφία 4
καὶ σύνεσις φρονήσεως ἐξ αἰῶνος.
5 ῥίζα σοφίας τίνι ἀπεκαλύφθη; 6
καὶ τὰ πανουργεύματα αὐτῆς τίς ἔγνω;
6 εἷς ἐστιν σοφός, φοβερὸς σφόδρα, 8
καθήμενος ἐπὶ τοῦ θρόνου αὐτοῦ.
7 Κύριος αὐτὸς ἔκτισεν αὐτὴν 9
καὶ εἶδε καὶ ἐξηρίθμησεν αὐτὴν
8 καὶ ἐξέχεεν αὐτὴν ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ,
μετὰ πάσης σαρκὸς κατὰ τὴν δόσιν αὐτοῦ, 10
καὶ ἐχορήγησεν αὐτὴν τοῖς ἀγαπῶσιν αὐτόν.
9 φόβος Κυρίου δόξα καὶ καύχημα 11
καὶ εὐφροσύνη καὶ στέφανος ἀγαλλιάματος.
10 φόβος Κυρίου τέρψει καρδίαν 12
καὶ δώσει εὐφροσύνην καὶ χαρὰν καὶ μακροημέρευσιν.
11 τῷ φοβουμένῳ τὸν Κύριον εὖ ἔσται ἐπ' ἐσχάτων, 13
καὶ ἐν ἡμέρᾳ τελευτῆς αὐτοῦ εὐλογηθήσεται.
12 ἀρχὴ σοφίας φοβεῖσθαι τὸν Κύριον, 14
καὶ μετὰ πιστῶν ἐν μήτρᾳ συνεκτίσθη αὐτοῖς.
13 μετὰ ἀνθρώπων θεμέλιον αἰῶνος ἐνόσσευσεν 15
καὶ μετὰ τοῦ σπέρματος αὐτῶν ἐμπιστευθήσεται.
14 πλησμονὴ σοφίας φοβεῖσθαι τὸν Κύριον 16
καὶ μεθύσκει αὐτοὺς ἀπὸ τῶν καρπῶν αὐτῆς·
15 πάντα τὸν οἶκον αὐτῶν ἐμπλήσει ἐπιθυμημάτων 17
καὶ τὰ ἀποδοχεῖα ἀπὸ τῶν γενημάτων αὐτῆς.
16 στέφανος σοφίας φόβος Κυρίου 18
ἀναθάλλων εἰρήνην καὶ ὑγίειαν ἰάσεως.
17 καὶ εἶδε καὶ ἐξηρίθμησεν αὐτήν, 19
ἐπιστήμην καὶ γνῶσιν συνέσεως ἐξώμβρησεν
καὶ δόξαν κρατούντων αὐτῆς ἀνύψωσε.
18 ῥίζα σοφίας φοβεῖσθαι τὸν Κύριον, 20
καὶ οἱ κλάδοι αὐτῆς μακροημέρευσις.

19 οὐ δυνήσεται θυμὸς ἄδικος δικαιωθῆναι· 22
ἡ γὰρ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ πτῶσις αὐτῷ.
20 ἕως καιροῦ ἀνθέξεται μακρόθυμος, 23
καὶ ὕστερον αὐτῷ ἀναδώσει εὐφροσύνη·
21 ἕως καιροῦ κρύψει τοὺς λόγους αὐτοῦ, 24
καὶ χείλη πολλῶν ἐκδιηγήσεται σύνεσιν αὐτοῦ.
22 ἐν θησαυροῖς σοφίας παραβολαὶ ἐπιστήμης, 25
βδέλυγμα δὲ ἁμαρτωλῷ θεοσέβεια.
23 ἐπιθυμήσας σοφίαν διατήρησον ἐντολάς, 26
καὶ Κύριος χορηγήσει σοι αὐτήν.
24 σοφία γὰρ καὶ παιδεία φόβος Κυρίου, 27
καὶ ἡ εὐδοκία αὐτοῦ πίστις καὶ πρᾳότης.
25 μὴ ἀπειθήσῃς φόβῳ Κυρίου 28
καὶ μὴ προσέλθῃς αὐτῷ ἐν καρδίᾳ δισσῇ.

2 1 Μὴ ὑποκριθῇς ἐν στόμασιν ἀνθρώπων 29
καὶ ἐν τοῖς χείλεσί σου πρόσεχε.
2 μὴ ἐξύψου σεαυτόν, ἵνα μὴ πέσῃς 30
καὶ ἐπαγάγῃς τῇ ψυχῇ σου ἀτιμίαν,
3 καὶ ἀποκαλύψει Κύριος τὰ κρυπτά σου
καὶ ἐν μέσῳ συναγωγῆς καταβαλεῖ σε,
4 ὅτι οὐ προσῆλθες φόβῳ Κυρίου
καὶ ἡ καρδία σου πλήρης δόλου.

3 1 Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ, 1 **2**
ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν·
2 εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον 2
καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς·
3 κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς, 3
ἵνα αὐξηθῇς ἐπ' ἐσχάτων σου.
4 πᾶν, ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι 4
καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον·
5 ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς 5
καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως.
6 πίστευσον αὐτῷ, καὶ ἀντιλήψεταί σου· 6
εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ' αὐτόν.

4 1 Οἱ φοβούμενοι τὸν Κύριον, ἀναμείνατε τὸ ἔλεος αὐτοῦ 7
καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε.
2 οἱ φοβούμενοι Κύριον, πιστεύσατε αὐτῷ, 8
καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν.
3 οἱ φοβούμενοι Κύριον, ἐλπίσατε εἰς ἀγαθὰ 9
καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἔλεος.
4 ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· 10
τίς ἐνεπίστευσε Κυρίῳ καὶ κατῃσχύνθη;
5 ἢ τίς ἐνέμεινε τῷ φόβῳ αὐτοῦ καὶ ἐγκατελείφθη;

ἢ τίς ἐπεκαλέσατο αὐτόν, καὶ ὑπερεῖδεν αὐτόν;
6 διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος 11
καὶ ἀφίησιν ἁμαρτίας καὶ σῴζει ἐν καιρῷ θλίψεως.

5 1 Οὐαὶ καρδίαις δειλαῖς καὶ χερσὶ παρειμέναις 12
καὶ ἁμαρτωλῷ ἐπιβαίνοντι ἐπὶ δύο τρίβους.
2 οὐαὶ καρδίᾳ παρειμένῃ, ὅτι οὐ πιστεύει· 13
διὰ τοῦτο οὐ σκεπασθήσεται.
3 οὐαὶ ὑμῖν τοῖς ἀπολωλεκόσι τὴν ὑπομονήν· 14
καὶ τί ποιήσετε, ὅταν ἐπισκέπτηται ὁ Κύριος;
4 οἱ φοβούμενοι Κύριον οὐκ ἀπειθήσουσι ῥημάτων αὐτοῦ, 15
καὶ οἱ ἀγαπῶντες αὐτὸν συντηρήσουσι τὰς ὁδοὺς αὐτοῦ.
5 οἱ φοβούμενοι Κύριον ζητήσουσιν εὐδοκίαν αὐτοῦ, 16
καὶ οἱ ἀγαπῶντες αὐτὸν ἐμπλησθήσονται τοῦ νόμου.
6 οἱ φοβούμενοι Κύριον ἑτοιμάζουσι καρδίας αὐτῶν 17
καὶ ἐνώπιον αὐτοῦ ταπεινώσουσι τὰς ψυχὰς αὐτῶν.
7 ἐμπεσούμεθα εἰς χεῖρας Κυρίου 18
καὶ οὐκ εἰς χεῖρας ἀνθρώπων·
8 ὡς γὰρ ἡ μεγαλωσύνη αὐτοῦ,
οὕτω καὶ τὸ ἔλεος αὐτοῦ.

6 1 Ἐμοῦ τοῦ πατρὸς ἀκούσατε, τέκνα, 1 **3**
καὶ οὕτω ποιήσατε, ἵνα σωθῆτε·
2 ὁ γὰρ Κύριος ἐδόξασε πατέρα ἐπὶ τέκνοις 2
καὶ κρίσιν μητρὸς ἐστερέωσεν ἐφ' υἱοῖς.
3 ὁ τιμῶν πατέρα ἐξιλάσκεται ἁμαρτίας, 3
καὶ ὡς ὁ ἀποθησαυρίζων ὁ δοξάζων μητέρα αὐτοῦ. 4
4 ὁ τιμῶν πατέρα εὐφρανθήσεται ὑπὸ τέκνων 5
καὶ ἐν ἡμέρᾳ προσευχῆς αὐτοῦ εἰσακουσθήσεται.
5 ὁ δοξάζων πατέρα μακροημερεύσει, 6
καὶ ὁ εἰσακούων Κυρίου ἀναπαύσει μητέρα αὐτοῦ·
καὶ ὡς δεσπόταις δουλεύσει ἐν τοῖς γεννήσασιν αὐτόν. 7
6 ἐν ἔργῳ καὶ λόγῳ τίμα τὸν πατέρα σου, 8
ἵνα ἐπέλθῃ σοι εὐλογία παρ' αὐτοῦ·
7 εὐλογία γὰρ πατρὸς στηρίζει οἴκους τέκνων, 9
κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια.
8 μὴ δοξάζου ἐν ἀτιμίᾳ πατρός σου, 10
οὐ γάρ ἐστί σοι δόξα πατρὸς ἀτιμία·
9 ἡ γὰρ δόξα ἀνθρώπου ἐκ τιμῆς πατρὸς αὐτοῦ, 11
καὶ ὄνειδος τέκνοις μήτηρ ἐν ἀδοξίᾳ.
10 τέκνον, ἀντιλαβοῦ ἐν γήρᾳ πατρός σου 12
καὶ μὴ λυπήσῃς αὐτὸν ἐν τῇ ζωῇ αὐτοῦ·
11 κἂν ἀπολείπῃ σύνεσιν, συγγνώμην ἔχε 13
καὶ μὴ ἀτιμάσῃς αὐτὸν ἐν πάσῃ ἰσχύι σου.
12 ἐλεημοσύνη γὰρ πατρὸς οὐκ ἐπιλησθήσεται 14
καὶ ἀντὶ ἁμαρτιῶν προσανοικοδομηθήσεταί σοι.

13 ἐν ἡμέρᾳ θλίψεώς σου ἀναμνησθήσεταί σου· 15
ὡς εὐδία ἐπὶ παγετῷ, οὕτως ἀναλυθήσονταί σου αἱ ἁμαρτίαι.
14 ὡς βλάσφημος ὁ ἐγκαταλιπὼν πατέρα, 16
καὶ κεκατηραμένος ἀπὸ Κυρίου ὁ παροργίζων μητέρα αὐτοῦ.

7 1 Τέκνον, ἐν πραΰτητι τὰ ἔργα σου διέξαγε, 17
καὶ ὑπὸ ἀνθρώπου δεκτοῦ ἀγαπηθήσῃ.
2 ὅσῳ μέγας εἶ, τοσούτῳ ταπείνου σεαυτόν, 18
καὶ ἔναντι Κυρίου εὑρήσεις χάριν·
3 ὅτι μεγάλη ἡ δυναστεία τοῦ Κυρίου 20
καὶ ὑπὸ τῶν ταπεινῶν δοξάζεται.
4 χαλεπώτερά σου μὴ ζήτει 21
καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε·
5 ἃ προσετάγη σοι, ταῦτα διανοοῦ, 22
οὐ γάρ ἐστί σοι χρεία τῶν κρυπτῶν.
6 ἐν τοῖς περισσοῖς τῶν ἔργων σου μὴ περιεργάζου· 23
πλείονα γὰρ συνέσεως ἀνθρώπων ὑπεδείχθη σοι.
7 πολλοὺς γὰρ ἐπλάνησεν ἡ ὑπόληψις αὐτῶν, 24
καὶ ὑπόνοια πονηρὰ ὠλίσθησε διανοίας αὐτῶν.

8 1 Καρδία σκληρὰ βαρυνθήσεται ἐπ' ἐσχάτων, 26
καὶ ὁ ἀγαπῶν κίνδυνον ἐν αὐτῷ ἀπολεῖται.
2 καρδία σκληρὰ βαρυνθήσεται πόνοις, 27
καὶ ὁ ἁμαρτωλὸς προσθήσει ἁμαρτίαν ἐφ' ἁμαρτίαις.
3 ἐπαγωγῇ ὑπερηφάνου οὐκ ἔστιν ἴασις· 28
φυτὸν γὰρ πονηρίας ἐρρίζωκεν ἐν αὐτῷ.
4 καρδία συνετοῦ διανοηθήσεται παραβολήν, 29
καὶ οὖς ἀκροατοῦ ἐπιθυμία σοφοῦ.

9 1 Πῦρ φλογιζόμενον ἀποσβέσει ὕδωρ, 30
καὶ ἐλεημοσύνη ἐξιλάσεται ἁμαρτίας.
2 ὁ ἀνταποδιδοὺς χάριτας μέμνηται εἰς τὰ μετὰ ταῦτα 31
καὶ ἐν καιρῷ πτώσεως αὐτοῦ εὑρήσει στήριγμα.
3 τέκνον, τὴν ζωὴν τοῦ πτωχοῦ μὴ ἀποστερήσῃς 1 **4**
καὶ μὴ παρελκύσῃς ὀφθαλμοὺς ἐπιδεεῖς.
4 ψυχὴν πεινῶσαν μὴ λυπήσῃς 2
καὶ μὴ παροργίσῃς ἄνδρα ἐν ἀπορίᾳ αὐτοῦ.
5 καρδίαν παρωργισμένην μὴ προσταράξῃς 3
καὶ μὴ παρελκύσῃς δόσιν προσδεομένου.
6 ἱκέτην θλιβόμενον μὴ ἀπαναίνου 4
καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ πτωχοῦ.
7 ἀπὸ δεομένου μὴ ἀποστρέψῃς ὀφθαλμὸν 5
καὶ μὴ δῷς τόπον ἀνθρώπῳ καταράσασθαί σε·
8 καταρωμένου γάρ σε ἐν πικρίᾳ ψυχῆς αὐτοῦ 6
τῆς δεήσεως αὐτοῦ ἐπακούσεται ὁ ποιήσας αὐτόν.
9 προσφιλῆ συναγωγῇ σεαυτὸν ποίει 7

καὶ μεγιστᾶνι ταπείνου τὴν κεφαλήν σου.
10 κλῖνον πτωχῷ τὸ οὖς σου 8
καὶ ἀποκρίθητι αὐτῷ εἰρηνικὰ ἐν πραΰτητι.
11 ἐξελοῦ ἀδικούμενον ἐκ χειρὸς ἀδικοῦντος 9
καὶ μὴ ὀλιγοψυχήσῃς ἐν τῷ κρίνειν σε.
12 γίνου ὀρφανοῖς ὡς πατὴρ 10
καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν·
13 καὶ ἔσῃ ὡς υἱὸς ὑψίστου,
καὶ ἀγαπήσει σε μᾶλλον ἢ μήτηρ σου.

10 1 Ἡ σοφία υἱοὺς αὐτῆς ἀνύψωσε 11
καὶ ἐπιλαμβάνεται τῶν ζητούντων αὐτήν.
2 ὁ ἀγαπῶν αὐτὴν ἀγαπᾷ ζωήν, 12
καὶ οἱ ὀρθρίζοντες πρὸς αὐτὴν ἐμπλησθήσονται εὐφροσύνης.
3 ὁ κρατῶν αὐτῆς κληρονομήσει δόξαν, 13
καὶ οὗ εἰσπορεύεται, εὐλογεῖ Κύριος.
4 οἱ λατρεύοντες αὐτῇ λειτουργήσουσιν ἁγίῳ, 14
καὶ τοὺς ἀγαπῶντας αὐτὴν ἀγαπᾷ ὁ Κύριος.
5 ὁ ὑπακούων αὐτῆς κρινεῖ ἔθνη, 15
καὶ ὁ προσέχων αὐτῇ κατασκηνώσει πεποιθώς.
6 ἐὰν ἐμπιστεύσῃ, κατακληρονομήσει αὐτήν, 16
καὶ ἐν κατασχέσει ἔσονται αἱ γενεαὶ αὐτοῦ·
7 ὅτι διεστραμμένως πορεύσεται μετ' αὐτοῦ ἐν πρώτοις, 17
φόβον καὶ δειλίαν ἐπάξει ἐπ' αὐτόν·
8 καὶ βασανίσει αὐτὸν ἐν παιδείᾳ αὐτῆς,
ἕως οὗ ἐμπιστεύσῃ τῇ ψυχῇ αὐτοῦ·
9 καὶ πειράσει αὐτὸν ἐν τοῖς δικαιώμασιν αὐτῆς,
καὶ πάλιν ἐπανήξει κατ' εὐθεῖαν πρὸς αὐτὸν καὶ εὐφρανεῖ αὐτόν, 18
καὶ ἀποκαλύψει αὐτῷ τὰ κρυπτὰ αὐτῆς.
10 ἐὰν ἀποπλανηθῇ, ἐγκαταλείψει αὐτὸν 19
καὶ παραδώσει αὐτὸν εἰς χεῖρας πτώσεως αὐτοῦ.

11 1 Συντήρησον καιρὸν καὶ φύλαξαι ἀπὸ πονηροῦ 20
καὶ περὶ τῆς ψυχῆς σου μὴ αἰσχυνθῇς·
2 ἔστι γὰρ αἰσχύνη ἐπάγουσα ἁμαρτίαν, 21
καὶ ἔστι αἰσχύνη δόξα καὶ χάρις.
3 μὴ λάβῃς πρόσωπον κατὰ τῆς ψυχῆς σου 22
καὶ μὴ ἐντραπῇς εἰς πτῶσίν σου.
4 μὴ κωλύσῃς λόγον ἐν καιρῷ χρείας· 23
ἐν γὰρ λόγῳ γνωσθήσεται σοφία 24
καὶ παιδεία ἐν ῥήματι γλώσσης.
5 μὴ ἀντίλεγε τῇ ἀληθείᾳ 25
καὶ περὶ τῆς ἀπαιδευσίας σου ἐντράπηθι.
6 μὴ αἰσχυνθῇς ὁμολογῆσαι ἐφ' ἁμαρτίαις σου 26
καὶ μὴ βιάζου ῥοῦν ποταμοῦ.
7 μὴ ὑποστρώσῃς ἀνθρώπῳ μωρῷ σεαυτὸν 27

καὶ μὴ λάβῃς πρόσωπον δυνάστου.
8 ἕως θανάτου ἀγώνισαι περὶ τῆς ἀληθείας, 28
καὶ Κύριος ὁ θεὸς πολεμήσει ὑπὲρ σοῦ.
9 μὴ γίνου θρασὺς ἐν γλώσσῃ σου 29
καὶ νωθρὸς καὶ παρειμένος ἐν τοῖς ἔργοις σου.
10 μὴ ἴσθι ὡς λέων ἐν τῷ οἴκῳ σου 30
καὶ φαντασιοκοπῶν ἐν τοῖς οἰκέταις σου.
11 μὴ ἔστω ἡ χείρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν 31
καὶ ἐν τῷ ἀποδιδόναι συνεσταλμένη.
12 μὴ ἔπεχε ἐπὶ τοῖς χρήμασί σου 1 **5**
καὶ μὴ εἴπῃς Αὐτάρκη μοί ἐστιν.
13 μὴ ἐξακολούθει τῇ ψυχῇ σου καὶ τῇ ἰσχύι σου 2
πορεύεσθαι ἐν ἐπιθυμίαις καρδίας σου·
14 καὶ μὴ εἴπῃς Τίς με δυναστεύσει; 3
ὁ γὰρ Κύριος ἐκδικῶν ἐκδικήσει.
15 μὴ εἴπῃς Ἥμαρτον, καὶ τί μοι ἐγένετο; 4
ὁ γὰρ Κύριός ἐστι μακρόθυμος.
16 περὶ ἐξιλασμοῦ μὴ ἄφοβος γίνου 5
προσθεῖναι ἁμαρτίαν ἐφ' ἁμαρτίαις·
17 καὶ μὴ εἴπῃς Ὁ οἰκτιρμὸς αὐτοῦ πολύς, 6
τὸ πλῆθος τῶν ἁμαρτιῶν μου ἐξιλάσεται·
18 ἔλεος γὰρ καὶ ὀργὴ παρ' αὐτῷ,
καὶ ἐπὶ ἁμαρτωλοὺς καταπαύσει ὁ θυμὸς αὐτοῦ.
19 μὴ ἀνάμενε ἐπιστρέψαι πρὸς Κύριον 7
καὶ μὴ ὑπερβάλλου ἡμέραν ἐξ ἡμέρας·
20 ἐξάπινα γὰρ ἐξελεύσεται ὀργὴ Κυρίου,
καὶ ἐν καιρῷ ἐκδικήσεως ἐξολῇ.
21 μὴ ἔπεχε ἐπὶ χρήμασιν ἀδίκοις· 8
οὐδὲν γὰρ ὠφελήσει σε ἐν ἡμέρᾳ ἐπαγωγῆς.
22 καὶ μὴ λίκμα ἐν παντὶ ἀνέμῳ 9
καὶ μὴ πορεύου ἐν πάσῃ ἀτραπῷ·
οὕτως ὁ ἁμαρτωλὸς ὁ δίγλωσσος.
23 ἴσθι ἐστηριγμένος ἐν συνέσει σου, 10
καὶ εἷς ἔστω σου ὁ λόγος.
24 γίνου ταχὺς ἐν ἀκροάσει σου 11
καὶ ἐν μακροθυμίᾳ φθέγγου ὑπόκρισιν.
25 εἰ ἔστι σοι σύνεσις, ἀποκρίθητι τῷ πλησίον· 12
εἰ δὲ μή, ἡ χείρ σου ἔστω ἐπὶ τῷ στόματί σου.
26 δόξα καὶ ἀτιμία ἐν λαλιᾷ, 13
καὶ γλῶσσα ἀνθρώπου πτῶσις αὐτῷ.
27 μὴ κληθῇς ψίθυρος 14
καὶ τῇ γλώσσῃ σου μὴ ἐνέδρευε·
28 ἐπὶ γὰρ τῷ κλέπτῃ ἐστὶν αἰσχύνη
καὶ κατάγνωσις πονηρὰ ἐπὶ διγλώσσου.
29 ἐν μεγάλῳ καὶ ἐν μικρῷ μὴ ἀγνόει 15

καὶ ἀντὶ φίλου μὴ γίνου ἐχθρός·
30 ὄνομα γὰρ πονηρὸν αἰσχύνην καὶ ὄνειδος κληρονομήσει·
οὕτως ὁ ἁμαρτωλὸς ὁ δίγλωσσος.
31 μὴ ἐπάρῃς σεαυτὸν ἐν βουλῇ ψυχῆς σου, 2 **6**
ἵνα μὴ διαρπαγῇ ὡς ταῦρος ἡ ψυχή σου·
32 τὰ φύλλα σου καταφάγεσαι καὶ τοὺς καρπούς σου ἀπολέσεις 3
καὶ ἀφήσεις σεαυτὸν ὡς ξύλον ξηρόν.
33 ψυχὴ πονηρὰ ἀπολεῖ τὸν κτησάμενον αὐτὴν 4
καὶ ἐπίχαρμα ἐχθρῶν ποιήσει αὐτόν.

12 1 Λάρυγξ γλυκὺς πληθυνεῖ φίλους αὐτοῦ, 5
καὶ γλῶσσα εὔλαλος πληθυνεῖ εὐπροσήγορα.
2 οἱ εἰρηνεύοντές σοι ἔστωσαν πολλοί, 6
οἱ δὲ σύμβουλοί σου εἷς ἀπὸ χιλίων.
3 εἰ κτᾶσαι φίλον, ἐν πειρασμῷ κτῆσαι αὐτὸν 7
καὶ μὴ ταχὺ ἐμπιστεύσῃς αὐτῷ.
4 ἔστι γὰρ φίλος ἐν καιρῷ αὐτοῦ 8
καὶ οὐ μὴ παραμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σου.
5 καὶ ἔστι φίλος μετατιθέμενος εἰς ἔχθραν 9
καὶ μάχην ὀνειδισμοῦ σου ἀποκαλύψει.
6 καὶ ἔστι φίλος κοινωνὸς τραπεζῶν 10
καὶ οὐ μὴ παραμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σου·
7 ἐν τοῖς ἀγαθοῖς σου ἔσται ὡς σὺ 11
καὶ ἐπὶ τοὺς οἰκέτας σου παρρησιάσεται·
8 ἐὰν ταπεινωθῇς, ἔσται κατὰ σοῦ 12
καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσεται.
9 ἀπὸ τῶν ἐχθρῶν σου διαχωρίσθητι 13
καὶ ἀπὸ τῶν φίλων σου πρόσεχε.
10 φίλος πιστὸς σκέπη κραταιά, 14
ὁ δὲ εὑρὼν αὐτὸν εὗρε θησαυρόν.
11 φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα, 15
καὶ οὐκ ἔστι σταθμὸς τῆς καλλονῆς αὐτοῦ.
12 φίλος πιστὸς φάρμακον ζωῆς, 16
καὶ οἱ φοβούμενοι Κύριον εὑρήσουσιν αὐτόν.
13 ὁ φοβούμενος Κύριον εὐθυνεῖ φιλίαν αὐτοῦ, 17
ὅτι κατ' αὐτὸν οὕτω καὶ ὁ πλησίον αὐτοῦ.

13 1 Τέκνον, ἐκ νεότητός σου ἐπίλεξαι παιδείαν, 18
καὶ ἕως πολιῶν εὑρήσεις σοφίαν.
2 ὡς ὁ ἀροτριῶν καὶ ὁ σπείρων πρόσελθε αὐτῇ 19
καὶ ἀνάμενε τοὺς ἀγαθοὺς καρποὺς αὐτῆς·
3 ἐν γὰρ τῇ ἐργασίᾳ αὐτῆς ὀλίγον κοπιάσεις
καὶ ταχὺ φάγεσαι τῶν γενημάτων αὐτῆς.
4 ὡς τραχεῖά ἐστι σφόδρα τοῖς ἀπαιδεύτοις, 20
καὶ οὐκ ἐμμένει ἐν αὐτῇ ἀκάρδιος·
5 ὡς λίθος δοκιμασίας ἰσχυρὸς ἔσται ἐπ' αὐτῷ, 21

καὶ οὐ χρονιεῖ ἀπορρῖψαι αὐτήν.
6 σοφία γὰρ κατὰ τὸ ὄνομα αὐτῆς ἐστιν 22
καὶ οὐ πολλοῖς ἐστι φανερά.
7 ἄκουσον, τέκνον, καὶ ἔκδεξαι γνώμην μου 23
καὶ μὴ ἀπαναίνου τὴν συμβουλίαν μου·
8 καὶ εἰσένεγκον τοὺς πόδας σου εἰς τὰς πέδας αὐτῆς 24
καὶ εἰς τὸν κλοιὸν αὐτῆς τὸν τράχηλόν σου·
9 ὑπόθες τὸν ὦμόν σου καὶ βάσταξον αὐτὴν 25
καὶ μὴ προσοχθίσῃς τοῖς δεσμοῖς αὐτῆς·
10 ἐν πάσῃ ψυχῇ σου πρόσελθε αὐτῇ 26
καὶ ἐν ὅλῃ δυνάμει σου συντήρησον τὰς ὁδοὺς αὐτῆς·
11 ἐξίχνευσον καὶ ζήτησον, καὶ γνωσθήσεταί σοι, 27
καὶ ἐγκρατὴς γενόμενος μὴ ἀφῇς αὐτήν·
12 ἐπ' ἐσχάτων γὰρ εὑρήσεις τὴν ἀνάπαυσιν αὐτῆς, 28
καὶ στραφήσεταί σοι εἰς εὐφροσύνην·
13 καὶ ἔσονταί σοι αἱ πέδαι εἰς σκέπην ἰσχύος 29
καὶ οἱ κλοιοὶ αὐτῆς εἰς στολὴν δόξης.
14 κόσμος γὰρ χρύσεός ἐστιν ἐπ' αὐτῆς, 30
καὶ οἱ δεσμοὶ αὐτῆς κλῶσμα ὑακίνθινον·
15 στολὴν δόξης ἐνδύσῃ αὐτὴν 31
καὶ στέφανον ἀγαλλιάματος περιθήσεις σεαυτῷ.

14 1 Ἐὰν θέλῃς, τέκνον, παιδευθήσῃ, 32
καὶ ἐὰν ἐπιδῷς τὴν ψυχήν σου, πανοῦργος ἔσῃ·
2 ἐὰν ἀγαπήσῃς ἀκούειν, ἐκδέξῃ, 33
καὶ ἐὰν κλίνῃς τὸ οὖς σου, σοφὸς ἔσῃ.
3 ἐν πλήθει πρεσβυτέρων στῆθι· 34
καὶ τίς σοφός; αὐτῷ προσκολλήθητι.
4 πᾶσαν διήγησιν θείαν θέλε ἀκροᾶσθαι, 35
καὶ παροιμίαι συνέσεως μὴ ἐκφευγέτωσάν σε.
5 ἐὰν ἴδῃς συνετόν, ὄρθριζε πρὸς αὐτόν, 36
καὶ βαθμοὺς θυρῶν αὐτοῦ ἐκτριβέτω ὁ πούς σου.
6 διανοοῦ ἐν τοῖς προστάγμασι Κυρίου 37
καὶ ἐν ταῖς ἐντολαῖς αὐτοῦ μελέτα διὰ παντός·
7 αὐτὸς στηριεῖ τὴν καρδίαν σου,
καὶ ἡ ἐπιθυμία τῆς σοφίας δοθήσεταί σοι.

15 1 Μὴ ποίει κακά, καὶ οὐ μή σε καταλάβῃ κακόν· 1 **7**
ἀπόστηθι ἀπὸ ἀδίκου, καὶ ἐκκλινεῖ ἀπὸ σοῦ. 2
2 υἱέ, μὴ σπεῖρε ἐπ' αὔλακας ἀδικίας, 3
καὶ οὐ μὴ θερίσῃς αὐτὰ ἑπταπλασίως.
3 μὴ ζήτει παρὰ Κυρίου ἡγεμονίαν 4
μηδὲ παρὰ βασιλέως καθέδραν δόξης.
4 μὴ δικαιοῦ ἔναντι Κυρίου 5
καὶ παρὰ βασιλεῖ μὴ σοφίζου.
5 μὴ ζήτει γενέσθαι κριτής, 6

μὴ οὐκ ἰσχύσεις ἐξᾶραι ἀδικίας,
6 μήποτε εὐλαβηθῇς ἀπὸ προσώπου δυνάστου
καὶ θήσεις σκάνδαλον ἐν εὐθύτητί σου.
7 μὴ ἁμάρτανε εἰς πλῆθος πόλεως 7
καὶ μὴ καταβάλῃς σεαυτὸν ἐν ὄχλῳ.
8 μὴ καταδεσμεύσῃς δὶς ἁμαρτίαν· 8
ἐν γὰρ τῇ μιᾷ οὐκ ἀθῷος ἔσῃ.
9 μὴ εἴπῃς Τῷ πλήθει τῶν δώρων μου ἐπόψεται 9
καὶ ἐν τῷ προσενέγκαι με θεῷ ὑψίστῳ προσδέξεται.
10 μὴ ὀλιγοψυχήσῃς ἐν τῇ προσευχῇ σου 10
καὶ ἐλεημοσύνην ποιῆσαι μὴ παρίδῃς.
11 μὴ καταγέλα ἄνθρωπον ὄντα ἐν πικρίᾳ ψυχῆς αὐτοῦ· 11
ἔστι γὰρ ὁ ταπεινῶν καὶ ἀνυψῶν.
12 μὴ ἀροτρία ψεῦδος ἐπ' ἀδελφῷ σου 12
μηδὲ φίλῳ τὸ ὅμοιον ποίει.
13 μὴ θέλε ψεύδεσθαι πᾶν ψεῦδος· 13
ὁ γὰρ ἐνδελεχισμὸς αὐτοῦ οὐκ εἰς ἀγαθόν.
14 μὴ ἀδολέσχει ἐν πλήθει πρεσβυτέρων 14
καὶ μὴ δευτερώσῃς λόγον ἐν προσευχῇ σου.
15 μὴ μισήσῃς ἐπίπονον ἐργασίαν 15
καὶ γεωργίαν ὑπὸ ὑψίστου ἐκτισμένην.
16 μὴ προσλογίζου σεαυτὸν ἐν πλήθει ἁμαρτωλῶν· 16
μνήσθητι ὅτι ὀργὴ οὐ χρονιεῖ.
17 ταπείνωσον σφόδρα τὴν ψυχήν σου, 17
ὅτι ἐκδίκησις ἀσεβοῦς πῦρ καὶ σκώληξ.

16 1 Μὴ ἀλλάξῃς φίλον ἕνεκεν διαφόρου 18
μηδὲ ἀδελφὸν γνήσιον ἐν χρυσίῳ Σουφίρ.
2 μὴ ἀστόχει γυναικὸς σοφῆς καὶ ἀγαθῆς· 19
ἡ γὰρ χάρις αὐτῆς ὑπὲρ τὸ χρυσίον.
3 μὴ κακώσῃς οἰκέτην ἐργαζόμενον ἐν ἀληθείᾳ 20
μηδὲ μίσθιον διδόντα τὴν ψυχὴν αὐτοῦ·
4 οἰκέτην συνετὸν ἀγαπάτω σου ἡ ψυχή, 21
μὴ στερήσῃς αὐτὸν ἐλευθερίας.
5 κτήνη σοί ἐστιν; ἐπισκέπτου αὐτά· 22
καὶ εἰ ἔστι σοι χρήσιμα, ἐμμενέτω σοι.
6 τέκνα σοί ἐστιν; παίδευσον αὐτὰ 23
καὶ κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτῶν.
7 θυγατέρες σοί εἰσιν; πρόσεχε τῷ σώματι αὐτῶν 24
καὶ μὴ ἱλαρώσῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σου.
8 ἔκδου θυγατέρα, καὶ ἔσῃ τετελεκὼς ἔργον μέγα, 25
καὶ ἀνδρὶ συνετῷ δώρησαι αὐτήν.
9 γυνή σοί ἐστι κατὰ ψυχήν; μὴ ἐκβάλῃς αὐτήν· 26
καὶ μισουμένῃ μὴ ἐμπιστεύσῃς σεαυτόν.

17 1 Ἐν ὅλῃ καρδίᾳ σου δόξασον τὸν πατέρα σου 27

καὶ μητρὸς ὠδῖνας μὴ ἐπιλάθῃ·
2 μνήσθητι ὅτι δι' αὐτῶν ἐγεννήθης, 28
καὶ τί ἀνταποδώσεις αὐτοῖς καθὼς αὐτοὶ σοί;
3 ἐν ὅλῃ ψυχῇ σου εὐλαβοῦ τὸν Κύριον 29
καὶ τοὺς ἱερεῖς αὐτοῦ θαύμαζε.
4 ἐν ὅλῃ δυνάμει ἀγάπησον τὸν ποιήσαντά σε 30
καὶ τοὺς λειτουργοὺς αὐτοῦ μὴ ἐγκαταλίπῃς.
5 φοβοῦ τὸν Κύριον καὶ δόξασον ἱερέα 31
καὶ δὸς τὴν μερίδα αὐτῷ, καθὼς ἐντέταλταί σοι,
6 ἀπαρχὴν καὶ περὶ πλημμελείας καὶ δόσιν βραχιόνων
καὶ θυσίαν ἁγιασμοῦ καὶ ἀπαρχὴν ἁγίων.

18 1 Καὶ πτωχῷ ἔκτεινον τὴν χεῖρά σου, 32
ἵνα τελειωθῇ ἡ εὐλογία σου.
2 χάρις δόματος ἔναντι παντὸς ζῶντος, 33
καὶ ἐπὶ νεκρῷ μὴ ἀποκωλύσῃς χάριν.
3 μὴ ὑστέρει ἀπὸ κλαιόντων 34
καὶ μετὰ πενθούντων πένθησον.
4 μὴ ὄκνει ἐπισκέπτεσθαι ἄρρωστον ἄνθρωπον· 35
ἐκ γὰρ τῶν τοιούτων ἀγαπηθήσῃ.
5 ἐν πᾶσι τοῖς λόγοις σου μιμνήσκου τὰ ἔσχατά σου, 36
καὶ εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις.

19 1 Μὴ διαμάχου μετὰ ἀνθρώπου δυνάστου, 1 **8**
μήποτε ἐμπέσῃς εἰς τὰς χεῖρας αὐτοῦ.
2 μὴ ἔριζε μετὰ ἀνθρώπου πλουσίου, 2
μήποτε ἀντιστήσῃ σου τὴν ὁλκήν·
3 πολλοὺς γὰρ ἀπώλεσε τὸ χρυσίον
καὶ καρδίας βασιλέων ἐξέκλινεν.
4 μὴ διαμάχου μετὰ ἀνθρώπου γλωσσώδους 3
καὶ μὴ ἐπιστοιβάσῃς ἐπὶ τὸ πῦρ αὐτοῦ ξύλα.
5 μὴ πρόσπαιζε ἀπαιδεύτῳ, 4
ἵνα μὴ ἀτιμάζωνται οἱ πρόγονοί σου.
6 μὴ ὀνείδιζε ἄνθρωπον ἀποστρέφοντα ἀπὸ ἁμαρτίας· 5
μνήσθητι ὅτι πάντες ἐσμὲν ἐν ἐπιτίμοις.
7 μὴ ἀτιμάσῃς ἄνθρωπον ἐν γήρᾳ αὐτοῦ· 6
καὶ γὰρ ἐξ ἡμῶν γηράσκουσιν.
8 μὴ ἐπίχαιρε ἐπὶ νεκρῷ· 7
μνήσθητι ὅτι πάντες τελευτῶμεν.
9 μὴ παρίδῃς διήγημα σοφῶν 8
καὶ ἐν ταῖς παροιμίαις αὐτῶν ἀναστρέφου·
10 ὅτι παρ' αὐτῶν μαθήσῃ παιδείαν
καὶ λειτουργῆσαι μεγιστᾶσιν.
11 μὴ ἀστόχει διηγήματος γερόντων, 9
καὶ γὰρ αὐτοὶ ἔμαθον παρὰ τῶν πατέρων αὐτῶν·
12 ὅτι παρ' αὐτῶν μαθήσῃ σύνεσιν

καὶ ἐν καιρῷ χρείας δοῦναι ἀπόκρισιν.
13 μὴ ἔκκαιε ἄνθρακας ἁμαρτωλοῦ, 10
μὴ ἐμπυρισθῇς ἐν πυρὶ φλογὸς αὐτοῦ.
14 μὴ ἐξαναστῇς ἀπὸ προσώπου ὑβριστοῦ, 11
ἵνα μὴ ἐγκαθίσῃ ὡς ἔνεδρον τῷ στόματί σου.
15 μὴ δανείσῃς ἀνθρώπῳ ἰσχυροτέρῳ σου· 12
καὶ ἐὰν δανείσῃς, ὡς ἀπολωλεκὼς γίνου.
16 μὴ ἐγγυήσῃ ὑπὲρ δύναμίν σου· 13
καὶ ἐὰν ἐγγυήσῃ, ὡς ἀποτίσων φρόντιζε.
17 μὴ δικάζου μετὰ κριτοῦ· 14
κατὰ γὰρ τὴν δόξαν αὐτοῦ κρινοῦσιν αὐτῷ.
18 μετὰ τολμηροῦ μὴ πορεύου ἐν ὁδῷ, 15
ἵνα μὴ βαρύνηται κατὰ σοῦ·
19 αὐτὸς γὰρ κατὰ τὸ θέλημα αὐτοῦ ποιήσει,
καὶ τῇ ἀφροσύνῃ αὐτοῦ συναπολῇ.
20 μετὰ θυμώδους μὴ ποιήσῃς μάχην 16
καὶ μὴ διαπορεύου μετ' αὐτοῦ τὴν ἔρημον·
21 ὅτι ὡς οὐδὲν ἐν ὀφθαλμοῖς αὐτοῦ αἷμα,
καὶ ὅπου οὐκ ἔστι βοήθεια, καταβαλεῖ σε.
22 μετὰ μωροῦ μὴ συμβουλεύου· 17
οὐ γὰρ δυνήσεται λόγον στέρξαι.
23 ἐνώπιον ἀλλοτρίου μὴ ποιήσῃς κρυπτόν· 18
οὐ γὰρ γινώσκεις τί τέξεται.
24 παντὶ ἀνθρώπῳ μὴ ἔκφαινε σὴν καρδίαν, 19
καὶ μὴ ἀναφερέτω σοι χάριν.

20 1 Μὴ ζήλου γυναῖκα τοῦ κόλπου σου 1 **9**
μηδὲ διδάξῃς ἐπὶ σεαυτὸν παιδείαν πονηράν.
2 μὴ δῷς γυναικὶ τὴν ψυχήν σου 2
ἐπιβῆναι αὐτὴν ἐπὶ τὴν ἰσχύν σου.
3 μὴ ὑπάντα γυναικὶ ἑταιριζομένῃ, 3
μήποτε ἐμπέσῃς εἰς τὰς παγίδας αὐτῆς.
4 μετὰ ψαλλούσης μὴ ἐνδελέχιζε, 4
μήποτε ἁλῷς ἐν τοῖς ἐπιχειρήμασιν αὐτῆς.
5 παρθένον μὴ καταμάνθανε, 5
μήποτε σκανδαλισθῇς ἐν τοῖς ἐπιτιμίοις αὐτῆς.
6 μὴ δῷς πόρναις τὴν ψυχήν σου, 6
ἵνα μὴ ἀπολέσῃς τὴν κληρονομίαν σου.
7 μὴ περιβλέπου ἐν ῥύμαις πόλεως 7
καὶ ἐν ταῖς ἐρήμοις αὐτῆς μὴ πλανῶ.
8 ἀπόστρεψον ὀφθαλμὸν ἀπὸ γυναικὸς εὐμόρφου 8
καὶ μὴ καταμάνθανε κάλλος ἀλλότριον·
9 ἐν κάλλει γυναικὸς πολλοὶ ἐπλανήθησαν,
καὶ ἐκ τούτου φιλία ὡς πῦρ ἀνακαίεται.
10 μετὰ ὑπάνδρου γυναικὸς μὴ κάθου τὸ σύνολον 9

καὶ μὴ συμβολοκοπήσῃς μετ' αὐτῆς ἐν οἴνῳ,
11 μήποτε ἐκκλίνῃ ἡ ψυχή σου ἐπ' αὐτὴν
καὶ τῷ πνεύματί σου ὀλίσθῃς εἰς ἀπώλειαν.

21 1 Μὴ ἐγκαταλίπῃς φίλον ἀρχαῖον, 10
ὁ γὰρ πρόσφατος οὐκ ἔστιν ἔπισος αὐτῷ·
2 οἶνος νέος φίλος νέος·
ἐὰν παλαιωθῇ, μετ' εὐφροσύνης πίεσαι αὐτόν.
3 μὴ ζηλώσῃς δόξαν ἁμαρτωλοῦ· 11
οὐ γὰρ οἶδας τί ἔσται ἡ καταστροφὴ αὐτοῦ.
4 μὴ εὐδοκήσῃς ἐν εὐδοκίᾳ ἀσεβῶν· 12
μνήσθητι ὅτι ἕως ᾅδου οὐ μὴ δικαιωθῶσιν.
5 μακρὰν ἄπεχε ἀπὸ ἀνθρώπου, ὃς ἔχει ἐξουσίαν τοῦ φονεύειν, 13
καὶ οὐ μὴ ὑποπτεύσῃς φόβον θανάτου·
6 κἂν προσέλθῃς, μὴ πλημμελήσῃς,
ἵνα μὴ ἀφέληται τὴν ζωήν σου·
7 ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις
καὶ ἐπὶ ἐπάλξεων πόλεως περιπατεῖς.
8 κατὰ τὴν ἰσχύν σου στόχασαι τοὺς πλησίον 14
καὶ μετὰ σοφῶν συμβουλεύου.
9 μετὰ συνετῶν ἔστω ὁ διαλογισμός σου 15
καὶ πᾶσα διήγησίς σου ἐν νόμῳ ὑψίστου.
10 ἄνδρες δίκαιοι ἔστωσαν σύνδειπνοί σου, 16
καὶ ἐν φόβῳ κυρίου ἔστω τὸ καύχημά σου.
11 ἐν χειρὶ τεχνιτῶν ἔργον ἐπαινεθήσεται, 17
καὶ ὁ ἡγούμενος λαοῦ σοφὸς ἐν λόγῳ αὐτοῦ.
12 φοβερὸς ἐν πόλει αὐτοῦ ἀνὴρ γλωσσώδης, 18
καὶ ὁ προπετὴς ἐν λόγῳ αὐτοῦ μισηθήσεται.

22 1 Κριτὴς σοφὸς παιδεύσει τὸν λαὸν αὐτοῦ, 1 **10**
καὶ ἡγεμονία συνετοῦ τεταγμένη ἔσται.
2 κατὰ τὸν κριτὴν τοῦ λαοῦ οὕτω καὶ οἱ λειτουργοὶ αὐτοῦ, 2
καὶ κατὰ τὸν ἡγούμενον τῆς πόλεως πάντες οἱ κατοικοῦνες αὐτήν.
3 βασιλεὺς ἀπαίδευτος ἀπολεῖ τὸν λαὸν αὐτοῦ, 3
καὶ πόλις οἰκισθήσεται ἐν συνέσει δυναστῶν.
4 ἐν χειρὶ Κυρίου ἡ ἐξουσία τῆς γῆς, 4
καὶ τὸν χρήσιμον ἐγερεῖ εἰς καιρὸν ἐπ' αὐτῆς.
5 ἐν χειρὶ Κυρίου εὐοδία ἀνδρός, 5
καὶ προσώπῳ γραμματέως ἐπιθήσει δόξαν αὐτοῦ.

23 1 Ἐπὶ παντὶ ἀδικήματι μὴ μηνιάσῃς τῷ πλησίον 6
καὶ μὴ πρᾶσσε μηδὲν ἐν ἔργοις ὕβρεως.
2 μισητὴ ἔναντι Κυρίου καὶ ἀνθρώπων ὑπερηφανία, 7
καὶ ἐξ ἀμφοτέρων πλημμελὴς ἡ ἀδικία.
3 βασιλεία ἀπὸ ἔθνους εἰς ἔθνος μετάγεται 8
δι' ἀδικίας καὶ ὕβρεις καὶ χρήματα.

24 1 Τί ὑπερηφανεύεται γῆ καὶ σποδός; 9
ὅτι ἐν ζωῇ ἔρριψα τὰ ἐντόσθια αὐτοῦ.
2 μακρὸν ἀρρώστημα, σκώπτει ἰατρός· 10
καὶ βασιλεὺς σήμερον, καὶ αὔριον τελευτήσει.
3 ἐν γὰρ τῷ ἀποθανεῖν ἄνθρωπον 11
κληρονομήσει ἑρπετὰ καὶ θηρία καὶ σκώληκας.
4 ἀρχὴ ὑπερηφανίας ἀνθρώπου ἀφίστασθαι ἀπὸ Κυρίου, 12
καὶ ἀπὸ τοῦ ποιήσαντος αὐτὸν ἀπέστη ἡ καρδία αὐτοῦ.
5 ὅτι ἀρχὴ ὑπερηφανίας ἁμαρτία, 13
καὶ ὁ κρατῶν αὐτῆς ἐξομβρήσει βδέλυγμα·
6 διὰ τοῦτο παρεδόξασε Κύριος τὰς ἐπαγωγὰς
καὶ κατέστρεψεν εἰς τέλος αὐτούς.
7 θρόνους ἀρχόντων καθεῖλεν ὁ Κύριος 14
καὶ ἐκάθισε πραεῖς ἀντ' αὐτῶν·
8 ῥίζας ἐθνῶν ἐξέτιλεν ὁ Κύριος 15
καὶ ἐφύτευσε ταπεινοὺς ἀντ' αὐτῶν·
9 χώρας ἐθνῶν κατέστρεψεν ὁ Κύριος 16
καὶ ἀπώλεσεν αὐτὰς ἕως θεμελίων γῆς·
10 ἐξῆρεν ἐξ αὐτῶν καὶ ἀπώλεσεν αὐτοὺς 17
καὶ κατέπαυσεν ἀπὸ γῆς τὸ μνημόσυνον αὐτῶν.
11 οὐκ ἔκτισται ἀνθρώποις ὑπερηφανία 18
οὐδὲ ὀργὴ θυμοῦ γεννήμασι γυναικῶν.

25 1 Σπέρμα ἔντιμον ποῖον; σπέρμα ἀνθρώπου. 19
σπέρμα ἔντιμον ποῖον; οἱ φοβούμενοι τὸν Κύριον.
2 σπέρμα ἄτιμον ποῖον; σπέρμα ἀνθρώπου.
σπέρμα ἄτιμον ποῖον; οἱ παραβαίνοντες ἐντολάς.
3 ἐν μέσῳ ἀδελφῶν ὁ ἡγούμενος αὐτῶν ἔντιμος, 20
καὶ οἱ φοβούμενοι κύριον ἐν ὀφθαλμοῖς αὐτοῦ.
4 πλούσιος καὶ ἔνδοξος καὶ πτωχός, 22
τὸ καύχημα αὐτῶν φόβος Κυρίου.
5 οὐ δίκαιον ἀτιμάσαι πτωχὸν συνετόν, 23
καὶ οὐ καθήκει δοξάσαι ἄνδρα ἁμαρτωλόν.
6 μεγιστὰν καὶ κριτὴς καὶ δυνάστης δοξασθήσεται, 24
καὶ οὐκ ἔστιν αὐτῶν τις μείζων τοῦ φοβουμένου τὸν Κύριον.
7 οἰκέτῃ σοφῷ ἐλεύθεροι λειτουργήσουσιν, 25
καὶ ἀνὴρ ἐπιστήμων οὐ γογγύσει.

26 1 Μὴ σοφίζου ποιῆσαι τὸ ἔργον σου 26
καὶ μὴ δοξάζου ἐν καιρῷ στενοχωρίας σου.
2 κρείσσων ἐργαζόμενος καὶ περισσεύων ἐν πᾶσιν 27
ἢ περιπατῶν δοξαζόμενος καὶ ἀπορῶν ἄρτων.
3 τέκνον, ἐν πραΰτητι δόξασον τὴν ψυχήν σου 28
καὶ δὸς αὐτῇ τιμὴν κατὰ τὴν ἀξίαν αὐτῆς.
4 τὸν ἁμαρτάνοντα εἰς τὴν ψυχὴν αὐτοῦ τίς δικαιώσει; 29
καὶ τίς δοξάσει τὸν ἀτιμάζοντα τὴν ζωὴν αὐτοῦ;

5 πτωχὸς δοξάζεται δι' ἐπιστήμην αὐτοῦ, 30
καὶ πλούσιος δοξάζεται διὰ τὸν πλοῦτον αὐτοῦ.
6 ὁ δεδοξασμένος ἐν πτωχείᾳ, καὶ ἐν πλούτῳ ποσαχῶς; 31
καὶ ὁ ἄδοξος ἐν πλούτῳ, καὶ ἐν πτωχείᾳ ποσαχῶς;
7 σοφία ταπεινοῦ ἀνυψώσει κεφαλὴν αὐτοῦ 1 **11**
καὶ ἐν μέσῳ μεγιστάνων καθίσει αὐτόν.

27 1 Μὴ αἰνέσῃς ἄνδρα ἐν κάλλει αὐτοῦ 2
καὶ μὴ βδελύξῃ ἄνθρωπον ἐν ὁράσει αὐτοῦ.
2 μικρὰ ἐν πετεινοῖς μέλισσα, 3
καὶ ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐτῆς.
3 ἐν περιβολῇ ἱματίων μὴ καυχήσῃ 4
καὶ ἐν ἡμέρᾳ δόξης μὴ ἐπαίρου·
4 ὅτι θαυμαστὰ τὰ ἔργα Κυρίου,
καὶ κρυπτὰ τὰ ἔργα αὐτοῦ ἀνθρώποις.
5 πολλοὶ τύραννοι ἐκάθισαν ἐπὶ ἐδάφους, 5
ὁ δὲ ἀνυπονόητος ἐφόρεσε διάδημα.
6 πολλοὶ δυνάσται ἠτιμάσθησαν σφόδρα, 6
καὶ ἔνδοξοι παρεδόθησαν εἰς χεῖρας ἑτέρων.

28 1 Πρὶν ἐξετάσῃς, μὴ μέμψῃ· 7
νόησον πρῶτον καὶ τότε ἐπιτίμα.
2 πρὶν ἢ ἀκοῦσαι μὴ ἀποκρίνου 8
καὶ ἐν μέσῳ λόγων μὴ παρεμβάλλου.
3 περὶ πράγματος, οὗ οὐκ ἔστι σοι χρεία, μὴ ἔριζε 9
καὶ ἐν κρίσει ἁμαρτωλῶν μὴ συνέδρευε.

29 1 Τέκνον, μὴ περὶ πολλὰ ἔστωσαν αἱ πράξεις σου· 10
ἐὰν πληθύνῃς, οὐκ ἀθῳωθήσῃ·
2 καὶ ἐὰν διώκῃς, οὐ μὴ καταλάβῃς·
καὶ οὐ μὴ ἐκφύγῃς διαδράς.
3 ἔστι κοπιῶν καὶ πονῶν καὶ σπεύδων, 11
καὶ τόσῳ μᾶλλον ὑστερεῖται.
4 ἔστι νωθρὸς προσδεόμενος ἀντιλήψεως, 12
ὑστερῶν ἰσχύι καὶ πτωχείᾳ περισσεύει·
5 οἱ ὀφθαλμοὶ Κυρίου ἐπέβλεψαν αὐτῷ εἰς ἀγαθά,
καὶ ἀνώρθωσεν αὐτὸν ἐκ ταπεινώσεως αὐτοῦ·
6 ἀνύψωσε κεφαλὴν αὐτοῦ, 13
καὶ ἀπεθαύμασαν ἐπ' αὐτῷ πολλοί.
7 ἀγαθὰ καὶ κακά, ζωὴ καὶ θάνατος, 14
πτωχεία καὶ πλοῦτος παρὰ Κυρίου ἐστίν.
8 δόσις Κυρίου παραμένει εὐσεβέσι, 17
καὶ ἡ εὐδοκία αὐτοῦ εἰς τὸν αἰῶνα εὐοδωθήσεται.

30 1 Ἔστι πλουτῶν ἀπὸ προσοχῆς καὶ σφιγγίας αὐτοῦ, 18
καὶ αὕτη ἡ μερὶς τοῦ μισθοῦ αὐτοῦ·
2 ἐν τῷ εἰπεῖν αὐτὸν Εὗρον ἀνάπαυσιν 19

καὶ νῦν φάγομαι ἐκ τῶν ἀγαθῶν μου.
3 οὐκ οἶδε τίς καιρὸς παρελεύσεται
καὶ καταλείψει αὐτὰ ἑτέροις καὶ ἀποθανεῖται.

31 1 Στῆθι ἐν διαθήκῃ σου καὶ ὁμίλει ἐν αὐτῇ 20
καὶ ἐν τῷ ἔργῳ σου παλαιώθητι.
2 μὴ θαύμαζε ἐν ἔργοις ἁμαρτωλοῦ, 21
πίστευε δὲ Κυρίῳ καὶ ἔμμενε τῷ πόνῳ σου·
3 ὅτι κοῦφον ἐν ὀφθαλμοῖς Κυρίου
διὰ τάχους ἐξάπινα πλουτίσαι πένητα.
4 εὐλογία Κυρίου ἐν μισθῷ εὐσεβοῦς, 22
καὶ ἐν ὥρᾳ ταχινῇ ἀναθάλλει εὐλογίαν αὐτοῦ.
5 μὴ εἴπῃς Τίς ἐστί μου χρεία, 23
καὶ τίνα ἀπὸ τοῦ νῦν ἔσται μου τὰ ἀγαθά;
6 μὴ εἴπῃς Αὐτάρκη μοί ἐστι, 24
καὶ τί ἀπὸ τοῦ νῦν κακωθήσομαι;
7 ἐν ἡμέρᾳ ἀγαθῶν ἀμνησία κακῶν, 25
καὶ ἐν ἡμέρᾳ κακῶν οὐ μνησθήσεται ἀγαθῶν·
8 ὅτι κοῦφον ἔναντι Κυρίου ἐν ἡμέρᾳ τελευτῆς 26
ἀποδοῦναι ἀνθρώπῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ.
9 κάκωσις ὥρας ἐπιλησμονὴν ποιεῖ τρυφῆς, 27
καὶ ἐν συντελείᾳ ἀνθρώπου ἀποκάλυψις ἔργων αὐτοῦ.
10 πρὸ τελευτῆς μὴ μακάριζε μηδένα, 28
καὶ ἐν τέκνοις αὐτοῦ γνωσθήσεται ἀνήρ.

32 1 Μὴ πάντα ἄνθρωπον εἴσαγε εἰς τὸν οἶκόν σου· 29
πολλὰ γὰρ τὰ ἔνεδρα τοῦ δολίου.
2 πέρδιξ θηρευθεὶς ἐν καρτάλλῳ, οὕτω καρδία ὑπερηφάνου, 30
καὶ ὡς ὁ κατάσκοπος ἐπιβλέπει πτῶσιν·
3 τὰ γὰρ ἀγαθὰ εἰς κακὰ μεταστρέφων ἐνεδρεύει 31
καὶ ἐν τοῖς αἱρετοῖς ἐπιθήσει μῶμον.
4 ἀπὸ σπινθῆρος πυρὸς πληθύνεται ἀνθρακιά, 32
καὶ ἄνθρωπος ἁμαρτωλὸς εἰς αἷμα ἐνεδρεύει.
5 πρόσεχε ἀπὸ κακούργου, πονηρὰ γὰρ τεκταίνει, 33
μήποτε μῶμον εἰς τὸν αἰῶνα δῷ σοι.
6 ἐνοίκισον ἀλλότριον, καὶ διαστρέψει σε ἐν ταραχαῖς 34
καὶ ἀπαλλοτριώσει σε τῶν ἰδίων σου.

33 1 Ἐὰν εὖ ποιῇς, γνῶθι τίνι ποιεῖς, 1 **12**
καὶ ἔσται χάρις τοῖς ἀγαθοῖς σου.
2 εὖ ποίησον εὐσεβεῖ, καὶ εὑρήσεις ἀνταπόδομα, 2
καὶ εἰ μὴ παρ' αὐτοῦ, ἀλλὰ παρὰ τοῦ ὑψίστου.
3 οὐκ ἔσται ἀγαθὰ τῷ ἐνδελεχίζοντι εἰς κακὰ 3
καὶ τῷ ἐλεημοσύνην μὴ χαριζομένῳ.
4 δὸς τῷ εὐσεβεῖ καὶ μὴ ἀντιλάβῃ τοῦ ἁμαρτωλοῦ. 4
εὖ ποίησον ταπεινῷ καὶ μὴ δῷς ἀσεβεῖ· 5

5 ἐμπόδισον τοὺς ἄρτους αὐτοῦ καὶ μὴ δῷς αὐτῷ,
ἵνα μὴ ἐν αὐτοῖς σε δυναστεύσῃ·
6 διπλάσια γὰρ κακὰ εὑρήσεις
ἐν πᾶσιν ἀγαθοῖς, οἷς ἂν ποιήσῃς αὐτῷ.
7 ὅτι καὶ ὁ ὕψιστος ἐμίσησεν ἁμαρτωλοὺς 6
καὶ τοῖς ἀσεβέσιν ἀποδώσει ἐκδίκησιν.
8 δὸς τῷ ἀγαθῷ καὶ μὴ ἀντιλάβῃ τοῦ ἁμαρτωλοῦ. 7

34 1 Οὐκ ἐκδικηθήσεται ἐν ἀγαθοῖς ὁ φίλος, 8
καὶ οὐ κρυβήσεται ἐν κακοῖς ὁ ἐχθρός.
2 ἐν ἀγαθοῖς ἀνδρὸς οἱ ἐχθροὶ αὐτοῦ ἐν λύπῃ, 9
καὶ ἐν τοῖς κακοῖς αὐτοῦ ὁ φίλος διαχωρισθήσεται.
3 μὴ πιστεύσῃς τῷ ἐχθρῷ σου εἰς τὸν αἰῶνα· 10
ὡς γὰρ ὁ χαλκὸς ἰοῦται, οὕτως ἡ πονηρία αὐτοῦ·
4 καὶ ἐὰν ταπεινωθῇ καὶ πορεύηται συγκεκυφώς, 11
ἐπίστησον τὴν ψυχήν σου καὶ φύλαξαι ἀπ' αὐτοῦ·
5 καὶ ἔσῃ αὐτῷ ὡς ἐκμεμαχὼς ἔσοπτρον
καὶ γνώσῃ ὅτι οὐκ εἰς τέλος κατίωται.
6 μὴ στήσῃς αὐτὸν παρὰ σεαυτῷ, 12
μὴ ἀνατρέψας σε στῇ ἐπὶ τὸν τόπον σου·
7 μὴ καθίσῃς αὐτὸν ἐκ δεξιῶν σου,
μήποτε ζητήσῃ τὴν καθέδραν σου,
8 καὶ ἐπ' ἐσχάτων ἐπιγνώσῃ τοὺς λόγους μου
καὶ ἐπὶ τῶν ῥημάτων μου κατανυγήσῃ.
9 τίς ἐλεήσει ἐπαοιδὸν ὀφιόδηκτον 13
καὶ πάντας τοὺς προσάγοντας θηρίοις;
10 οὕτω τὸν προσπορευόμενον ἀνδρὶ ἁμαρτωλῷ 14
καὶ συμφυρόμενον ἐν ταῖς ἁμαρτίαις αὐτοῦ.
11 ὥραν μετὰ σοῦ διαμενεῖ, 15
καὶ ἐὰν ἐκκλίνῃς, οὐ μὴ καρτερήσῃ.
12 ἐν τοῖς χείλεσιν αὐτοῦ γλυκανεῖ ὁ ἐχθρὸς 16
καὶ ἐν τῇ καρδίᾳ αὐτοῦ βουλεύσεται ἀνατρέψαι σε εἰς βόθρον·
13 ἐν ὀφθαλμοῖς αὐτοῦ δακρύσει ὁ ἐχθρός,
καὶ ἐὰν εὕρῃ καιρόν, οὐκ ἐμπλησθήσεται ἀφ' αἵματος.
14 κακὰ ἐὰν ὑπαντήσῃ σοι, εὑρήσεις αὐτὸν πρότερον ἐκεῖ σου, 17
καὶ ὡς βοηθῶν ὑποσχάσει πτέρναν σου·
15 τὴν κεφαλὴν αὐτοῦ κινήσει καὶ ἐπικροτήσει ταῖς χερσὶν αὐτοῦ 18
καὶ πολλὰ διαψιθυρίσει καὶ ἀλλοιώσει τὸ πρόσωπον αὐτοῦ.

35 1 Ὁ ἁπτόμενος πίσσης μολυνθήσεται, 1 **13**
καὶ ὁ κοινωνῶν ὑπερηφάνῳ ὁμοιωθήσεται αὐτῷ.
2 βάρος ὑπὲρ σὲ μὴ ἄρῃς 2
καὶ ἰσχυροτέρῳ σου καὶ πλουσιωτέρῳ μὴ κοινώνει.
3 τί κοινωνήσει χύτρα πρὸς λέβητα;
αὕτη προσκρούσει, καὶ αὕτη συντριβήσεται.
4 πλούσιος ἠδίκησε, καὶ αὐτὸς προσενεβριμήσατο· 3

πτωχὸς ἠδίκηται, καὶ αὐτὸς προσδεηθήσεται.
5 ἐὰν χρησιμεύσῃς, ἐργᾶται ἐν σοί· 4
καὶ ἐὰν ὑστερήσῃς, καταλείψει σε.
6 ἐὰν ἔχῃς, συμβιώσεταί σοι, 5
καὶ ἀποκενώσει σε, καὶ αὐτὸς οὐ πονέσει.
7 χρείαν ἔσχηκέ σου, καὶ ἀποπλανήσει σε 6
καὶ προσγελάσεταί σοι καὶ δώσει σοι ἐλπίδα·
8 λαλήσει σοι καλὰ καὶ ἐρεῖ Τίς ἡ χρεία σου;
καὶ αἰσχυνεῖ σε ἐν τοῖς βρώμασιν αὐτοῦ, 7
9 ἕως οὗ ἀποκενώσῃ σε δὶς ἢ τρίς,
καὶ ἐπ' ἐσχάτων καταμωκήσεταί σου·
10 μετὰ ταῦτα ὄψεταί σε καὶ καταλείψει σε
καὶ τὴν κεφαλὴν αὐτοῦ κινήσει ἐπὶ σοί.
11 πρόσεχε μὴ ἀποπλανηθῇς 8
καὶ μὴ ταπεινωθῇς ἐν ἀφροσύνῃ σου.

36 1 Προσκαλεσαμένου σε δυνάστου ὑποχωρῶν γίνου, 9
καὶ τόσῳ μᾶλλόν σε προσκαλέσεται·
2 μὴ ἔμπιπτε, μὴ ἀπωσθῇς, 10
καὶ μὴ μακρὰν ἀφίστῃ, ἵνα μὴ ἐπιλησθῇς.
3 μὴ ἔπεχε ἰσηγορεῖσθαι μετ' αὐτοῦ 11
καὶ μὴ πίστευε τοῖς πλείοσι λόγοις αὐτοῦ·
4 ἐκ πολλῆς γὰρ λαλιᾶς πειράσει σε
καὶ ὡς προσγελῶν ἐξετάσει σε.
5 ἀνελεήμων ὁ μὴ συντηρῶν λόγους 12
καὶ οὐ μὴ φείσηται περὶ κακώσεως καὶ δεσμῶν.
6 συντήρησον καὶ πρόσεχε σφοδρῶς, 13
ὅτι μετὰ τῆς πτώσεώς σου περιπατεῖς.

37 1 Πᾶν ζῷον ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ 15
καὶ πᾶς ἄνθρωπος τὸν πλησίον αὐτοῦ·
2 πᾶσα σὰρξ κατὰ γένος συνάγεται, 16
καὶ τῷ ὁμοίῳ αὐτοῦ προσκολληθήσεται ἀνήρ.
3 τί κοινωνήσει λύκος ἀμνῷ; 17
οὕτως ἁμαρτωλὸς πρὸς εὐσεβῆ.
4 τίς εἰρήνη ὑαίνῃ πρὸς κύνα; 18
καὶ τίς εἰρήνη πλουσίῳ πρὸς πένητα;
5 κυνήγια λεόντων ὄναγροι ἐν ἐρήμῳ· 19
οὕτω νομαὶ πλουσίων πτωχοί.

38 1 Βδέλυγμα ὑπερηφάνῳ ταπεινότης· 20
οὕτω βδέλυγμα πλουσίῳ πτωχός.
2 πλούσιος σαλευόμενος στηρίζεται ὑπὸ φίλων, 21
ταπεινὸς δὲ πεσὼν προσαπωθεῖται ὑπὸ φίλων.
3 πλουσίου σφαλέντος πολλοὶ ἀντιλήπτορες· 22
ἐλάλησεν ἀπόρρητα, καὶ ἐδικαίωσαν αὐτόν.

4 ταπεινὸς ἔσφαλε, καὶ προσεπετίμησαν αὐτῷ·
ἐφθέγξατο σύνεσιν, καὶ οὐκ ἐδόθη αὐτῷ τόπος.
5 πλούσιος ἐλάλησε, καὶ πάντες ἐσίγησαν 23
καὶ τὸν λόγον αὐτοῦ ἀνύψωσαν ἕως τῶν νεφελῶν.
6 πτωχὸς ἐλάλησε καὶ εἶπαν Τίς οὗτος;
κἂν προσκόψῃ, προσανατρέψουσιν αὐτόν.
7 ἀγαθὸς ὁ πλοῦτος, ᾧ μή ἐστιν ἁμαρτία, 24
καὶ πονηρὰ ἡ πτωχεία ἐν στόματι ἀσεβοῦς.

39 1 Καρδία ἀνθρώπου ἀλλοιοῖ τὸ πρόσωπον αὐτοῦ, 25
ἐάν τε εἰς ἀγαθὰ ἐάν τε εἰς κακά.
2 ἴχνος καρδίας ἐν ἀγαθοῖς πρόσωπον ἱλαρόν, 26
καὶ εὕρεσις παραβολῶν διαλογισμοὶ μετὰ κόπων.

40 1 Μακάριος ἀνήρ, ὃς οὐκ ὠλίσθησεν ἐν τῷ στόματι αὐτοῦ 1 **14**
καὶ οὐ κατενύγη ἐν λύπῃ ἁμαρτιῶν·
2 μακάριος οὗ οὐ κατέγνω ἡ ψυχὴ αὐτοῦ, 2
καὶ ὃς οὐκ ἔπεσεν ἀπὸ τῆς ἐλπίδος αὐτοῦ.

41 1 Ἀνδρὶ μικρολόγῳ οὐ καλὸς ὁ πλοῦτος, 3
καὶ ἀνθρώπῳ βασκάνῳ ἵνα τί χρήματα;
2 ὁ συνάγων ἀπὸ τῆς ψυχῆς αὐτοῦ συνάγει ἄλλοις, 4
καὶ ἐν τοῖς ἀγαθοῖς αὐτοῦ τρυφήσουσιν ἕτεροι.
3 ὁ πονηρὸς ἑαυτῷ τίνι ἀγαθὸς ἔσται; 5
καὶ οὐ μὴ εὐφρανθήσεται ἐν τοῖς χρήμασιν αὐτοῦ.
4 τοῦ βασκαίνοντος ἑαυτὸν οὐκ ἔστι πονηρότερος, 6
καὶ τοῦτο ἀνταπόδομα τῆς κακίας αὐτοῦ·
5 κἂν εὖ ποιῇ, ἐν λήθῃ ποιεῖ, 7
καὶ ἐπ' ἐσχάτων ἐκφαίνει τὴν κακίαν αὐτοῦ.
6 πονηρὸς ὁ βασκαίνων ὀφθαλμῷ, 8
ἀποστρέφων πρόσωπον καὶ ὑπερορῶν ψυχάς.
7 πλεονέκτου ὀφθαλμὸς οὐκ ἐμπίμπλαται μερίδι, 9
καὶ ἀδικία πονηρὰ ἀναξηραίνει ψυχήν.
8 ὀφθαλμὸς πονηρὸς φθονερὸς ἐπ' ἄρτῳ 10
καὶ ἐλλιπὴς ἐπὶ τῆς τραπέζης αὐτοῦ.

42 1 Τέκνον, καθὼς ἐὰν ἔχῃς, εὖ ποίει σεαυτὸν 11
καὶ προσφορὰς Κυρίῳ ἀξίως πρόσαγε·
2 μνήσθητι ὅτι θάνατος οὐ χρονιεῖ 12
καὶ διαθήκη ᾅδου οὐχ ὑπεδείχθη σοι·
3 πρίν σε τελευτῆσαι εὖ ποίει φίλῳ 13
καὶ κατὰ τὴν ἰσχύν σου ἔκτεινον καὶ δὸς αὐτῷ.
4 μὴ ἀφυστερήσῃς ἀπὸ ἀγαθῆς ἡμέρας, 14
καὶ μερὶς ἐπιθυμίας ἀγαθῆς μή σε παρελθέτω.
5 οὐχὶ ἑτέρῳ καταλείψεις τοὺς πόνους σου 15
καὶ τοὺς κόπους σου εἰς διαίρεσιν κλήρου;
6 δὸς καὶ λάβε καὶ ἀπότισον τὴν ψυχήν σου, 16

ὅτι οὐκ ἔστιν ἐν ᾅδου ζητῆσαι τρυφήν.
7 πᾶσα σὰρξ ὡς ἱμάτιον παλαιοῦται· 17
ἡ γὰρ διαθήκη ἀπ' αἰῶνος Θανάτῳ ἀποθανῇ.
8 ὡς φύλλον θάλλον ἐπὶ δένδρου δασέος, 18
τὰ μὲν καταβάλλει. ἄλλα δὲ φύει·
9 οὕτω γενεὰ σαρκὸς καὶ αἵματος,
ἡ μὲν τελευτᾷ, ἑτέρα δὲ γεννᾶται.
10 πᾶν ἔργον σηπόμενον ἐκλείπει, 19
καὶ ὁ ἐργαζόμενος αὐτὸ μετ' αὐτοῦ ἀπελεύσεται.

43 1 Μακάριος ἀνήρ, ὃς ἐν σοφίᾳ μελετήσει 20
καὶ ὃς ἐν συνέσει αὐτοῦ διαλεχθήσεται,
2 ὁ διανοούμενος τὰς ὁδοὺς αὐτῆς ἐν καρδίᾳ αὐτοῦ 21
καὶ ἐν τοῖς ἀποκρύφοις αὐτῆς ἐννοηθήσεται.
3 ἔξελθε ὀπίσω αὐτῆς ὡς ἰχνευτὴς 22
καὶ ἐν ταῖς ὁδοῖς αὐτῆς ἐνέδρευε.
4 ὁ παρακύπτων διὰ τῶν θυρίδων αὐτῆς 23
καὶ ἐπὶ τῶν θυρωμάτων αὐτῆς ἀκροάσεται,
5 ὁ καταλύων σύνεγγυς τοῦ οἴκου αὐτῆς 24
καὶ πήξει πάσσαλον ἐν τοῖς τοίχοις αὐτῆς,
6 στήσει τὴν σκηνὴν αὐτοῦ κατὰ χεῖρας αὐτῆς 25
καὶ καταλύσει ἐν καταλύματι ἀγαθῶν,
7 θήσει τὰ τέκνα αὐτοῦ ἐν τῇ σκέπῃ αὐτῆς 26
καὶ ὑπὸ τοὺς κλάδους αὐτῆς αὐλισθήσεται,
8 σκεπασθήσεται ὑπ' αὐτῆς ἀπὸ καύματος 27
καὶ ἐν τῇ δόξῃ αὐτῆς καταλύσει.
9 ὁ φοβούμενος Κύριον ποιήσει αὐτό, 1 **15**
καὶ ὁ ἐγκρατὴς τοῦ Νόμου καταλήψεται αὐτήν·
10 καὶ ὑπαντήσεται αὐτῷ ὡς μήτηρ 2
καὶ ὡς γυνὴ παρθενίας προσδέξεται αὐτόν·
11 ψωμιεῖ αὐτὸν ἄρτον συνέσεως 3
καὶ ὕδωρ σοφίας ποτίσει αὐτόν·
12 στηριχθήσεται ἐπ' αὐτὴν καὶ οὐ μὴ κλιθῇ, 4
καὶ ἐπ' αὐτῆς ἐφέξει καὶ οὐ μὴ καταισχυνθῇ·
13 καὶ ὑψώσει αὐτὸν παρὰ τοὺς πλησίον αὐτοῦ 5
καὶ ἐν μέσῳ ἐκκλησίας ἀνοίξει τὸ στόμα αὐτοῦ·
14 εὐφροσύνην καὶ στέφανον ἀγαλλιάματος εὑρήσει 6
καὶ ὄνομα αἰῶνος κατακληρονομήσει.
15 οὐ μὴ καταλήψονται αὐτὴν ἄνθρωποι ἀσύνετοι, 7
καὶ ἄνδρες ἁμαρτωλοὶ οὐ μὴ ἴδωσιν αὐτήν·
16 μακράν ἐστιν ὑπερηφανίας, 8
καὶ ἄνδρες ψεῦσται οὐ μὴ μνησθήσονται αὐτῆς.

44 1 Οὐχ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ, 9
ὅτι οὐ παρὰ Κυρίου ἀπεστάλη·
2 ἐν γὰρ σοφίᾳ ῥηθήσεται αἶνος, 10

καὶ ὁ Κύριος εὐοδώσει αὐτόν.
3 μὴ εἴπῃς ὅτι Διὰ Κύριον ἀπέστην· 11
ἃ γὰρ ἐμίσησεν, οὐ ποιήσει.
4 μὴ εἴπῃς ὅτι Αὐτός με ἐπλάνησεν· 12
οὐ γὰρ χρείαν ἔχει ἀνδρὸς ἁμαρτωλοῦ.
5 πᾶν βδέλυγμα ἐμίσησεν ὁ Κύριος, 13
καὶ οὐκ ἔστιν ἀγαπητὸν τοῖς φοβουμένοις αὐτόν.
6 αὐτὸς ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον 14
καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβόλου αὐτοῦ.
7 ἐὰν θέλῃς, συντηρήσεις ἐντολὰς 15
καὶ πίστιν ποιήσεις εὐδοκίας.
8 παρέθηκέ σοι πῦρ καὶ ὕδωρ· 16
οὗ ἐὰν θέλῃς, ἐκτενεῖς τὴν χεῖρά σου.
9 ἔναντι ἀνθρώπων ἡ ζωὴ καὶ ὁ θάνατος, 17
καὶ ὃ ἐὰν εὐδοκήσῃ, δοθήσεται αὐτῷ.
10 ὅτι πολλὴ ἡ σοφία τοῦ Κυρίου· 18
ἰσχυρὸς ἐν δυναστείᾳ καὶ βλέπων τὰ πάντα,
11 καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν, 19
καὶ αὐτὸς ἐπιγνώσεται πᾶν ἔργον ἀνθρώπου.
12 οὐκ ἐνετείλατο οὐδενὶ ἀσεβεῖν 20
καὶ οὐκ ἔδωκεν ἄνεσιν οὐδενὶ ἁμαρτάνειν.

45 1 Μὴ ἐπιθύμει τέκνων πλῆθος ἀχρήστων 1 **16**
μηδὲ εὐφραίνου ἐπὶ υἱοῖς ἀσεβέσιν·
2 ἐὰν πληθύνωσι, μὴ εὐφραίνου ἐπ' αὐτοῖς, 2
εἰ μή ἐστι φόβος Κυρίου μετ' αὐτῶν.
3 μὴ ἐμπιστεύσῃς τῇ ζωῇ αὐτῶν 3
καὶ μὴ ἔπεχε ἐπὶ τὸ πλῆθος αὐτῶν·
4 κρείσσων γὰρ εἷς ἢ χίλιοι
καὶ ἀποθανεῖν ἄτεκνον ἢ ἔχειν τέκνα ἀσεβῆ.
5 ἀπὸ γὰρ ἑνὸς συνετοῦ συνοικισθήσεται πόλις, 4
φυλὴ δὲ ἀνόμων ἐρημωθήσεται.
6 πολλὰ τοιαῦτα ἑώρακεν ὁ ὀφθαλμός μου, 5
καὶ ἰσχυρότερα τούτων ἀκήκοε τὸ οὖς μου.

46 1 Ἐν συναγωγῇ ἁμαρτωλῶν ἐκκαυθήσεται πῦρ, 6
καὶ ἐν ἔθνει ἀπειθεῖ ἐξεκαύθη ὀργή.
2 οὐκ ἐξιλάσατο περὶ τῶν ἀρχαίων γιγάντων, 7
οἳ ἀπέστησαν τῇ ἰσχύι αὐτῶν·
3 οὐκ ἐφείσατο περὶ τῆς παροικίας Λώτ, 8
οὓς ἐβδελύξατο διὰ τὴν ὑπερηφανίαν αὐτῶν·
4 οὐκ ἠλέησεν ἔθνος ἀπωλείας 9
τοὺς ἐξηρμένους ἐν ἁμαρτίαις αὐτῶν
5 καὶ οὕτως ἑξακοσίας χιλιάδας πεζῶν 10
τοὺς ἐπισυναχθέντας ἐν σκληροκαρδίᾳ αὐτῶν.
6 κἂν ᾖ εἷς σκληροτράχηλος, 11

θαυμαστὸν τοῦτο εἰ ἀθῳωθήσεται·
7 ἔλεος γὰρ καὶ ὀργὴ παρ' αὐτῷ,
δυνάστης ἐξιλασμῶν καὶ ἐκχέων ὀργήν.
8 κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ, οὕτω καὶ πολὺς ὁ ἔλεγχος αὐτοῦ· 12
ἄνδρα κατὰ τὰ ἔργα αὐτοῦ κρίνει.
9 οὐκ ἐκφεύξεται ἐν ἁρπάγματι ἁμαρτωλός, 13
καὶ οὐ μὴ καθυστερήσει ὑπομονὴ εὐσεβοῦς.
10 πάσῃ ἐλεημοσύνῃ ποιήσει τόπον, 14
ἕκαστος κατὰ τὰ ἔργα αὐτοῦ εὑρήσει.

47 1 Μὴ εἴπῃς ὅτι Ἀπὸ Κυρίου κρυβήσομαι, 17
καὶ ἐξ ὕψους τίς μου μνησθήσεται;
2 ἐν λαῷ πλείονι οὐ μὴ γνωσθῶ,
τίς γὰρ ἡ ψυχή μου ἐν ἀμετρήτῳ κτίσει;
3 ἰδοὺ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ, 18
ἄβυσσος καὶ γῆ ἐν τῇ ἐπισκοπῇ αὐτοῦ σαλευθήσονται·
4 ἅμα τὰ ὄρη καὶ τὰ θεμέλια τῆς γῆς 19
ἐν τῷ ἐπιβλέψαι εἰς αὐτὰ τρόμῳ συσσείονται.
5 καὶ ἐπ' αὐτοῖς οὐ διανοηθήσεται καρδία, 20
καὶ τὰς ὁδοὺς αὐτοῦ τίς ἐνθυμηθήσεται;
6 καὶ καταιγίς, ἣν οὐκ ὄψεται ἄνθρωπος, 21
τὰ δὲ πλείονα τῶν ἔργων αὐτοῦ ἐν ἀποκρύφοις.
7 ἔργα δικαιοσύνης τίς ἀναγγελεῖ; 22
ἢ τίς ὑπομενεῖ; μακρὰν γὰρ ἡ διαθήκη.
8 ἐλαττούμενος καρδίᾳ διανοεῖται ταῦτα, 23
καὶ ἀνὴρ ἄφρων καὶ πλανώμενος διανοεῖται μωρά.

48 1 Ἄκουσόν μου, τέκνον, καὶ μάθε ἐπιστήμην 24
καὶ ἐπὶ τῶν λόγων μου πρόσεχε τῇ καρδίᾳ σου·
2 ἐκφανῶ ἐν σταθμῷ παιδείαν 25
καὶ ἐν ἀκριβείᾳ ἀπαγγελῶ ἐπιστήμην.
3 ἐν κρίσει Κυρίου τὰ ἔργα αὐτοῦ ἀπ' ἀρχῆς, 26
καὶ ἀπὸ ποιήσεως αὐτῶν διέστειλε μερίδας αὐτῶν.
4 ἐκόσμησεν εἰς αἰῶνα τὰ ἔργα αὐτοῦ 27
καὶ τὰς ἀρχὰς αὐτῶν εἰς γενεὰς αὐτῶν·
5 οὔτε ἐπείνασαν οὔτε ἐκοπίασαν
καὶ οὐκ ἐξέλιπον ἀπὸ τῶν ἔργων αὐτῶν·
6 ἕκαστος τὸν πλησίον αὐτοῦ οὐκ ἐξέθλιψεν, 28
καὶ ἕως αἰῶνος οὐκ ἀπειθήσουσι τοῦ ῥήματος αὐτοῦ.
7 καὶ μετὰ ταῦτα Κύριος εἰς τὴν γῆν ἐπέβλεψε 29
καὶ ἐνέπλησεν αὐτὴν τῶν ἀγαθῶν αὐτοῦ·
8 ψυχῇ παντὸς ζῴου ἐκάλυψε τὸ πρόσωπον αὐτῆς, 30
καὶ εἰς αὐτὴν ἡ ἀποστροφὴ αὐτῶν.

49 1 Κύριος ἔκτισεν ἐκ γῆς ἄνθρωπον 1 **17**
καὶ πάλιν ἀπέστρεψεν αὐτὸν εἰς αὐτήν.

2 ἡμέρας ἀριθμοῦ καὶ καιρὸν ἔδωκεν αὐτοῖς 2
καὶ ἔδωκεν αὐτοῖς ἐξουσίαν τῶν ἐπ' αὐτῆς.
3 καθ' ἑαυτὸν ἐνέδυσεν αὐτοὺς ἰσχὺν 3
καὶ κατ' εἰκόνα αὐτοῦ ἐποίησεν αὐτούς.
4 ἔθηκε τὸν φόβον αὐτοῦ ἐπὶ πάσης σαρκὸς 4
καὶ κατακυριεύειν θηρίων καὶ πετεινῶν.
5 διαβούλιον καὶ γλῶσσαν καὶ ὀφθαλμούς, 6
ὦτα καὶ καρδίαν ἔδωκε διανοεῖσθαι αὐτοῖς.
6 ἐπιστήμην συνέσεως ἐνέπλησεν αὐτοὺς 7
καὶ ἀγαθὰ καὶ κακὰ ὑπέδειξεν αὐτοῖς.
7 ἔθηκε τὸν ὀφθαλμὸν αὐτοῦ ἐπὶ τὰς καρδίας αὐτῶν 8
δεῖξαι αὐτοῖς τὸ μεγαλεῖον τῶν ἔργων αὐτοῦ,
8 καὶ ὄνομα ἁγιασμοῦ αἰνέσουσιν, 10
ἵνα διηγῶνται τὰ μεγαλεῖα τῶν ἔργων αὐτοῦ.
9 προσέθηκεν αὐτοῖς ἐπιστήμην 11
καὶ νόμον ζωῆς ἐκληροδότησεν αὐτοῖς.
10 διαθήκην αἰῶνος ἔστησε μετ' αὐτῶν 12
καὶ τὰ κρίματα αὐτοῦ ὑπέδειξεν αὐτοῖς.
11 μεγαλεῖον δόξης εἶδον οἱ ὀφθαλμοὶ αὐτῶν, 13
καὶ δόξαν φωνῆς αὐτοῦ ἤκουσε τὸ οὖς αὐτῶν.
12 καὶ εἶπεν αὐτοῖς Προσέχετε ἀπὸ παντὸς ἀδίκου· 14
καὶ ἐνετείλατο αὐτοῖς ἑκάστῳ περὶ τοῦ πλησίον.
13 αἱ ὁδοὶ αὐτῶν ἐναντίον αὐτοῦ διὰ παντός, 15
οὐ κρυβήσονται ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ.
14 ἑκάστῳ ἔθνει κατέστησεν ἡγούμενον, 17
καὶ μερὶς Κυρίου Ἰσραήλ ἐστιν.
15 ἅπαντα τὰ ἔργα αὐτῶν ὡς ὁ ἥλιος ἐναντίον αὐτοῦ, 19
καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐνδελεχεῖς ἐπὶ τὰς ὁδοὺς αὐτῶν.
16 οὐκ ἐκρύβησαν αἱ ἀδικίαι αὐτῶν ἀπ' αὐτοῦ, 20
καὶ πᾶσαι αἱ ἁμαρτίαι αὐτῶν ἔναντι Κυρίου.
17 ἐλεημοσύνη ἀνδρὸς ὡς σφραγὶς μετ' αὐτοῦ, 22
καὶ χάριν ἀνθρώπου ὡς κόρην συντηρήσει.
18 μετὰ ταῦτα ἐξαναστήσεται καὶ ἀνταποδώσει αὐτοῖς 23
καὶ τὸ ἀνταπόδομα αὐτῶν εἰς κεφαλὴν αὐτῶν ἀποδώσει·
19 πλὴν μετανοοῦσιν ἔδωκεν ἐπάνοδον 24
καὶ παρεκάλεσεν ἐκλείποντας ὑπομονήν.

50 1 Ἐπίστρεφε ἐπὶ Κύριον καὶ ἀπόλειπε ἁμαρτίας, 25
δεήθητι κατὰ πρόσωπον καὶ σμίκρυνον πρόσκομμα·
2 ἐπάναγε ἐπὶ ὕψιστον καὶ ἀπόστρεφε ἀπὸ ἀδικίας 26
καὶ σφόδρα μίσησον βδέλυγμα.
3 ὑψίστῳ τίς αἰνέσει ἐν ᾅδου 27
ἀντὶ ζώντων καὶ διδόντων ἀνθομολόγησιν;
4 ἀπὸ νεκροῦ ὡς μηδὲ ὄντος ἀπόλλυται ἐξομολόγησις· 28
ζῶν καὶ ὑγιὴς αἰνέσει τὸν Κύριον.

5 ὡς μεγάλη ἡ ἐλεημοσύνη τοῦ Κυρίου 29
καὶ ἐξιλασμὸς τοῖς ἐπιστρέφουσιν ἐπ' αὐτόν.
6 οὐ γὰρ δύναται πάντα εἶναι ἐν ἀνθρώποις, 30
ὅτι οὐκ ἀθάνατος υἱὸς ἀνθρώπου.

51 1 Τί φωτεινότερον ἡλίου; καὶ τοῦτο ἐκλείπει· 31
καὶ πονηρὸν ἐνθυμηθήσεται σὰρξ καὶ αἷμα.
2 δύναμιν ὕψους οὐρανοῦ αὐτὸς ἐπισκέπτεται, 32
καὶ ἄνθρωποι πάντες γῆ καὶ σποδός.

52 1 Ὁ ζῶν εἰς τὸν αἰῶνα ἔκτισε τὰ πάντα κοινῇ· 1 **18**
Κύριος μόνος δικαιωθήσεται. 2
2 οὐθενὶ ἐξεποίησεν ἐξαγγεῖλαι τὰ ἔργα αὐτοῦ· 4
καὶ τίς ἐξιχνεύσει τὰ μεγαλεῖα αὐτοῦ;
3 κράτος μεγαλωσύνης αὐτοῦ τίς ἐξαριθμήσεται; 5
καὶ τίς προσθήσει ἐκδιηγήσασθαι τὰ ἐλέη αὐτοῦ;
4 οὐκ ἔστιν ἐλαττῶσαι οὐδὲ προσθεῖναι, 6
καὶ οὐκ ἔστιν ἐξιχνιάσαι τὰ θαυμάσια τοῦ Κυρίου·
5 ὅταν συντελέσῃ ἄνθρωπος, τότε ἄρχεται· 7
καὶ ὅταν παύσηται, τότε ἀπορηθήσεται.

53 1 Τί ἄνθρωπος, καὶ τί ἡ χρῆσις αὐτοῦ; 8
τί τὸ ἀγαθὸν αὐτοῦ, καὶ τί τὸ κακὸν αὐτοῦ;
2 ἀριθμὸς ἡμερῶν ἀνθρώπου 9
πολλὰ ἔτη ἑκατόν·
3 ὡς σταγὼν ὕδατος ἀπὸ θαλάσσης καὶ ψῆφος ἄμμου, 10
οὕτως ὀλίγα ἔτη ἐν ἡμέρᾳ αἰῶνος.
4 διὰ τοῦτο ἐμακροθύμησε Κύριος ἐπ' αὐτοῖς 11
καὶ ἐξέχεεν ἐπ' αὐτοὺς τὸ ἔλεος αὐτοῦ.
5 εἶδε καὶ ἐπέγνω τὴν καταστροφὴν αὐτῶν ὅτι πονηρά· 12
διὰ τοῦτο ἐπλήθυνεν τὸν ἐξιλασμὸν αὐτοῦ.
6 ἔλεος ἀνθρώπου ἐπὶ τὸν πλησίον αὐτοῦ, 13
ἔλεος δὲ Κυρίου ἐπὶ πᾶσαν σάρκα·
7 ἐλέγχων καὶ παιδεύων καὶ διδάσκων
καὶ ἐπιστρέφων ὡς ποιμὴν τὸ ποίμνιον αὐτοῦ.
8 τοὺς ἐκδεχομένους παιδείαν ἐλεεῖ 14
καὶ τοὺς κατασπεύδοντας ἐπὶ τὰ κρίματα αὐτοῦ.

54 1 Τέκνον, ἐν ἀγαθοῖς μὴ δῷς μῶμον 15
καὶ ἐν πάσῃ δόσει λύπην λόγων.
2 οὐχὶ καύσωνα ἀναπαύσει δρόσος; 16
οὕτω κρείσσων λόγος ἢ δόσις.
3 οὐκ ἰδοὺ λόγος ὑπὲρ δόμα ἀγαθόν; 17
καὶ ἀμφότερα παρὰ ἀνδρὶ κεχαριτωμένῳ.
4 μωρὸς ἀχαρίστως ὀνειδιεῖ, 18
καὶ δόσις βασκάνου ἐκτήκει ὀφθαλμούς.

55 1 Πρὶν ἢ λαλῆσαι μάνθανε 19
καὶ πρὸ ἀρρωστίας θεραπεύου.
2 πρὸ κρίσεως ἐξέταζε σεαυτόν, 20
καὶ ἐν ὥρᾳ ἐπισκοπῆς εὑρήσεις ἐξιλασμόν.
3 πρὶν ἀρρωστῆσαί σε ταπεινώθητι 21
καὶ ἐν καιρῷ ἁμαρτημάτων δεῖξον ἐπιστροφήν.
4 μὴ ἐμποδισθῇς τοῦ ἀποδοῦναι εὐχὴν εὐκαίρως 22
καὶ μὴ μείνῃς ἕως θανάτου δικαιωθῆναι.
5 πρὶν εὔξασθαι ἑτοίμασον σεαυτὸν 23
καὶ μὴ γίνου ὡς ἄνθρωπος πειράζων τὸν Κύριον.
6 μνήσθητι θυμοῦ ἐν ἡμέραις τελευτῆς 24
καὶ καιρὸν ἐκδικήσεως ἐν ἀποστροφῇ προσώπου.
7 μνήσθητι καιρὸν λιμοῦ ἐν καιρῷ πλησμονῆς, 25
πτωχείαν καὶ ἔνδειαν ἐν ἡμέραις πλούτου.
8 ἀπὸ πρωΐθεν ἕως ἑσπέρας μεταβάλλει καιρός, 26
καὶ πάντα ἐστὶ ταχινὰ ἔναντι Κυρίου.

56 1 Ἄνθρωπος σοφὸς ἐν παντὶ εὐλαβηθήσεται 27
καὶ ἐν ἡμέραις ἁμαρτιῶν προσέξει ἀπὸ πλημμελείας.
2 πᾶς συνετὸς ἔγνω σοφίαν 28
καὶ τῷ εὑρόντι αὐτὴν δώσει ἐξομολόγησιν.
3 συνετοὶ ἐν λόγοις καὶ αὐτοὶ ἐσοφίσαντο 29
καὶ ἀνώμβρησαν παροιμίας ἀκριβεῖς.

57 1 Ὀπίσω τῶν ἐπιθυμιῶν σου μὴ πορεύου 30
καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου·
2 ἐὰν χορηγήσῃς τῇ ψυχῇ σου εὐδοκίαν ἐπιθυμίας, 31
ποιήσει σε ἐπίχαρμα τῶν ἐχθρῶν σου.
3 μὴ εὐφραίνου ἐπὶ πολλῇ τρυφῇ, 32
μὴ προσδεθῇς συμβολῇ αὐτῆς.
4 μὴ γίνου πτωχὸς συμβολοκοπῶν ἐκ δανεισμοῦ, 33
καὶ οὐδέν σοί ἐστιν ἐν μαρσιπίῳ.

58 1 Ἐργάτης μέθυσος οὐ πλουτισθήσεται· 1 **19**
ὁ ἐξουθενῶν τὰ ὀλίγα κατὰ μικρὸν πεσεῖται.
2 οἶνος καὶ γυναῖκες ἀποστήσουσι συνετούς, 2
καὶ ὁ κολλώμενος πόρναις τολμηρότερος ἔσται·
3 σῆτες καὶ σκώληκες κληρονομήσουσιν αὐτόν, 3
καὶ ψυχὴ τολμηρὰ ἐξαρθήσεται.

59 1 Ὁ ταχὺ ἐμπιστεύων κοῦφος καρδίᾳ, 4
καὶ ὁ ἁμαρτάνων εἰς ψυχὴν αὐτοῦ πλημμελήσει.
2 ὁ εὐφραινόμενος καρδίᾳ καταγνωσθήσεται, 5
καὶ ὁ μισῶν λαλιὰν ἐλαττονοῦται κακίᾳ. 6
3 μηδέποτε δευτερώσῃς λόγον, 7
καὶ οὐθέν σοι οὐ μὴ ἐλαττονωθῇ.
4 ἐν φίλῳ καὶ ἐχθρῷ μὴ διηγοῦ, 8

καὶ εἰ μή ἐστί σοι ἁμαρτία, μὴ ἀποκάλυπτε·
5 ἀκήκοε γάρ σου καὶ ἐφυλάξατό σε, 9
καὶ ἐν καιρῷ μισήσει σε.
6 ἀκήκοας λόγον; συναποθανέτω σοι· 10
θάρσει, οὐ μή σε ῥήξει.
7 ἀπὸ προσώπου λόγου ὠδινήσει μωρὸς 11
ὡς ἀπὸ προσώπου βρέφους ἡ τίκτουσα.
8 βέλος πεπηγὸς ἐν μηρῷ σαρκός, 12
οὕτω λόγος ἐν κοιλίᾳ μωροῦ.

60 1 Ἔλεγξον φίλον, μήποτε οὐκ ἐποίησε, 13
καὶ εἴ τι ἐποίησε, μήποτε προσθῇ.
2 ἔλεγξον τὸν πλησίον, μήποτε οὐκ εἶπεν, 14
καὶ εἰ εἴρηκεν, ἵνα μὴ δευτερώσῃ.
3 ἔλεγξον φίλον, πολλάκις γὰρ γίνεται διαβολή, 15
καὶ μὴ παντὶ λόγῳ πίστευε.
4 ἔστιν ὀλισθαίνων καὶ οὐκ ἀπὸ ψυχῆς, 16
καὶ τίς οὐχ ἥμαρτεν ἐν τῇ γλώσσῃ αὐτοῦ;
5 ἔλεγξον τὸν πλησίον σου πρὶν ἢ ἀπειλῆσαι 17
καὶ δὸς τόπον νόμῳ ὑψίστου.

61 1 Πᾶσα σοφία φόβος Κυρίου, 20
καὶ ἐν πάσῃ σοφίᾳ ποίησις νόμου.
2 οὐκ ἔστι σοφία πονηρίας ἐπιστήμη, 22
καὶ οὐκ ἔστιν ὅπου βουλὴ ἁμαρτωλῶν φρόνησις.
3 ἔστι πανουργία καὶ αὕτη βδέλυγμα, 23
καὶ ἔστιν ἄφρων ἐλαττούμενος σοφίᾳ·
4 κρείττων ἡττώμενος ἐν συνέσει ἔμφοβος 24
ἢ περισσεύων ἐν φρονήσει καὶ παραβαίνων νόμον.
5 ἔστι πανουργία ἀκριβὴς καὶ αὕτη ἄδικος, 25
καὶ ἔστι διαστρέφων χάριν τοῦ ἐκφᾶναι κρῖμα.
6 ἔστι πονηρευόμενος συγκεκυφὼς μελανίᾳ, 26
καὶ τὰ ἐντὸς αὐτοῦ πλήρη δόλου·
7 συγκύφων πρόσωπον καὶ ἐθελοκωφῶν, 27
ὅπου οὐκ ἐπεγνώσθη, προφθάσει σε·
8 καὶ ἐὰν ὑπὸ ἐλαττώματος ἰσχύος κωλυθῇ ἁμαρτεῖν, 28
ἐὰν εὕρῃ καιρόν, κακοποιήσει.
9 ἀπὸ ὁράσεως ἐπιγνωσθήσεται ἀνήρ, 29
καὶ ἀπὸ ἀπαντήσεως προσώπου ἐπιγνωσθήσεται νοήμων·
10 στολισμὸς ἀνδρὸς καὶ γέλως ὀδόντων 30
καὶ βήματα ἀνθρώπου ἀναγγελεῖ τὰ περὶ αὐτοῦ.

62 1 Ἔστιν ἔλεγχος ὃς οὐκ ἔστιν ὡραῖος, 1 **20**
καὶ ἔστι σιωπῶν καὶ αὐτὸς φρόνιμος.
2 ὡς καλὸν ἐλέγξαι ἢ θυμοῦσθαι, 2
καὶ ὁ ἀνθομολογούμενος ἀπὸ ἐλαττώσεως κωλυθήσεται. 3

3 ἐπιθυμία εὐνούχου ἀποπαρθενῶσαι νεᾶνιν, 4
οὕτως ὁ ποιῶν ἐν βίᾳ κρίματα.
4 ἔστι σιωπῶν εὑρισκόμενος σοφός, 5
καὶ ἔστι μισητὸς ἀπὸ πολλῆς λαλιᾶς.
5 ἔστι σιωπῶν, οὐ γὰρ ἔχει ἀπόκρισιν, 6
καὶ ἔστι σιωπῶν εἰδὼς καιρόν.
6 ἄνθρωπος σοφὸς σιγήσει ἕως καιροῦ, 7
ὁ δὲ λαπιστὴς καὶ ἄφρων ὑπερβήσεται καιρόν.
7 ὁ πλεονάζων λόγῳ βδελυχθήσεται, 8
καὶ ὁ ἐνεξουσιαζόμενος μισηθήσεται.

63 1 Ἔστιν εὐοδία ἐν κακοῖς ἀνδρί, 9
καὶ ἔστιν εὕρεμα εἰς ἐλάττωσιν.
2 ἔστι δόσις, ἣ οὐ λυσιτελήσει σοι, 10
καὶ ἔστι δόσις, ἧς τὸ ἀνταπόδομα διπλοῦν.
3 ἔστιν ἐλάττωσις ἕνεκεν δόξης, 11
καὶ ἔστιν ὃς ἀπὸ ταπεινώσεως ἦρε κεφαλήν.
4 ἔστιν ἀγοράζων πολλὰ ὀλίγου 12
καὶ ἀποτιννύων αὐτὰ ἑπταπλάσιον.
5 ὁ σοφὸς ἐν λόγοις ἑαυτὸν προσφιλῆ ποιήσει, 13
χάριτες δὲ μωρῶν ἐκχυθήσονται.
6 δόσις ἄφρονος οὐ λυσιτελήσει σοι, 14
οἱ γὰρ ὀφθαλμοὶ αὐτοῦ ἀνθ' ἑνὸς πολλοὶ
7 ὀλίγα δώσει καὶ πολλὰ ὀνειδίσει 15
καὶ ἀνοίξει τὸ στόμα αὐτοῦ ὡς κήρυξ·
8 σήμερον δανιεῖ καὶ αὔριον ἀπαιτήσει,
μισητὸς ἄνθρωπος ὁ τοιοῦτος.
9 μωρὸς ἐρεῖ Οὐχ ὑπάρχει μοι φίλος, 16
καὶ οὐκ ἔστι χάρις τοῖς ἀγαθοῖς μου·
10 οἱ ἔσθοντες τὸν ἄρτον αὐτοῦ φαῦλοι γλώσσῃ, 17
ποσάκις καὶ ὅσοι καταγελάσονται αὐτοῦ;

64 1 Ὀλίσθημα ἀπὸ ἐδάφους μᾶλλον ἢ ἀπὸ γλώσσης, 18
οὕτω πτῶσις κακῶν κατὰ σπουδὴν ἥξει.
2 ἄνθρωπος ἄχαρις, μῦθος ἄκαιρος· 19
ἐν στόματι ἀπαιδεύτων ἐνδελεχισθήσεται.
3 ἀπὸ στόματος μωροῦ ἀποδοκιμασθήσεται παραβολή· 20
οὐ γὰρ μὴ εἴπῃ αὐτὴν ἐν καιρῷ αὐτῆς.

65 1 Ἔστι κωλυόμενος ἁμαρτάνειν ἀπὸ ἐνδείας, 21
καὶ ἐν τῇ ἀναπαύσει αὐτοῦ οὐ κατανυγήσεται.
2 ἔστιν ἀπολλύων τὴν ψυχὴν αὐτοῦ δι' αἰσχύνην, 22
καὶ ἀπὸ ἄφρονος προσώπου ἀπολεῖ αὐτήν.
3 ἔστι χάριν αἰσχύνης ἐπαγγελλόμενος φίλῳ, 23
καὶ ἐκτήσατο αὐτὸν ἐχθρὸν δωρεάν.
4 μῶμος πονηρὸς ἐν ἀνθρώπῳ ψεῦδος, 24

ἐν στόματι ἀπαιδεύτων ἐνδελεχισθήσεται.
5 αἱρετὸν κλέπτης ἢ ὁ ἐνδελεχίζων ψεύδει, 25
ἀμφότεροι δὲ ἀπώλειαν κληρονομήσουσιν.
6 ἦθος ἀνθρώπου ψευδοῦς ἀτιμία, 26
καὶ ἡ αἰσχύνη αὐτοῦ μετ' αὐτοῦ ἐνδελεχῶς.

66 1 Ὁ σοφὸς ἐν λόγοις προάξει ἑαυτόν, 27
καὶ ἄνθρωπος φρόνιμος ἀρέσει μεγιστᾶσιν.
2 ὁ ἐργαζόμενος γῆν ἀνυψώσει θημωνιὰν αὐτοῦ, 28
καὶ ὁ ἀρέσκων μεγιστᾶσιν ἐξιλάσεται ἀδικίαν.
3 ξένια καὶ δῶρα ἀποτυφλοῖ ὀφθαλμοὺς σοφῶν 29
καὶ ὡς φιμὸς ἐν στόματι ἀποτρέπει ἐλεγμούς.
4 σοφία κεκρυμμένη καὶ θησαυρὸς ἀφανής, 30
τίς ὠφέλεια ἐν ἀμφοτέροις;
5 κρείσσων ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ 31
ἢ ἄνθρωπος ἀποκρύπτων τὴν σοφίαν αὐτοῦ.

67 1 Τέκνον, ἥμαρτες; μὴ προσθῇς μηκέτι 1 **21**
καὶ περὶ τῶν προτέρων σου δεήθητι.
2 ὡς ἀπὸ προσώπου ὄφεως φεῦγε ἀπὸ ἁμαρτίας· 2
ἐὰν γὰρ προσέλθῃς, δήξεταί σε·
3 ὀδόντες λέοντος οἱ ὀδόντες αὐτῆς
ἀναιροῦντες ψυχὰς ἀνθρώπων.
4 ὡς ῥομφαία δίστομος πᾶσα ἀνομία, 3
τῇ πληγῇ αὐτῆς οὐκ ἔστιν ἴασις.
5 καταπληγμὸς καὶ ὕβρις ἐρημώσουσι πλοῦτον· 4
οὕτως οἶκος ὑπερηφάνου ἐρημωθήσεται.
6 δέησις πτωχοῦ ἐκ στόματος ἕως ὠτίων αὐτοῦ, 5
καὶ τὸ κρῖμα αὐτοῦ κατὰ σπουδὴν ἔρχεται.
7 μισῶν ἐλεγμὸν ἐν ἴχνει ἁμαρτωλοῦ, 6
καὶ ὁ φοβούμενος Κύριον ἐπιστρέψει ἐν καρδίᾳ.
8 γνωστὸς μακρόθεν ὁ δυνατὸς ἐν γλώσσῃ, 7
ὁ δὲ νοήμων οἶδεν ἐν τῷ ὀλισθαίνειν αὐτόν.
9 ὁ οἰκοδομῶν τὴν οἰκίαν αὐτοῦ ἐν χρήμασιν ἀλλοτρίοις 8
ὡς συνάγων αὐτοῦ τοὺς λίθους εἰς χειμῶνα.
10 στυππίον συνηγμένον συναγωγὴ ἀνόμων, 9
καὶ συντέλεια αὐτῶν φλὸξ πυρός.
11 ὁδὸς ἁμαρτωλῶν ὡμαλισμένη ἐκ λίθων, 10
καὶ ἐπ' ἐσχάτων αὐτῆς βόθρος ᾅδου.

68 1 Ὁ φυλάσσων νόμον κατακρατεῖ τοῦ ἐννοήματος αὐτοῦ, 11
καὶ συντέλεια τοῦ φόβου Κυρίου σοφία.
2 οὐ παιδευθήσεται ὃς οὐκ ἔστι πανοῦργος, 12
ἔστι δὲ πανουργία πληθύνουσα πικρίαν.
3 γνῶσις σοφοῦ ὡς κατακλυσμὸς πληθυνθήσεται 13
καὶ ἡ βουλὴ αὐτοῦ ὡς πηγὴ ζωῆς.

4 ἔγκατα μωροῦ ὡς ἀγγεῖον συντετριμμένον 14
καὶ πᾶσαν γνῶσιν οὐ κρατήσει.
5 λόγον σοφὸν ἐὰν ἀκούσῃ ἐπιστήμων, 15
αἰνέσει αὐτὸν καὶ ἐπ' αὐτὸν προσθήσει·
6 ἤκουσεν ὁ σπαταλῶν, καὶ ἀπήρεσεν αὐτῷ,
καὶ ἀπέστρεψεν αὐτὸν ὀπίσω τοῦ νώτου αὐτοῦ.
7 ἐξήγησις μωροῦ ὡς ἐν ὁδῷ φορτίον, 16
ἐπὶ δὲ χείλους συνετοῦ εὑρεθήσεται χάρις.
8 στόμα φρονίμου ζητηθήσεται ἐν ἐκκλησίᾳ, 17
καὶ τοὺς λόγους αὐτοῦ διανοηθήσονται ἐν καρδίᾳ.

69 1 Ὡς οἶκος ἠφανισμένος οὕτω μωρῷ σοφία, 18
καὶ γνῶσις ἀσυνέτου ἀδιεξέταστοι λόγοι.
2 πέδαι ἐν ποσὶν ἀνοήτου παιδεία 19
καὶ ὡς χειροπέδαι ἐπὶ χειρὸς δεξιᾶς.
3 μωρὸς ἐν γέλωτι ἀνυψοῖ φωνὴν αὐτοῦ, 20
ἀνὴρ δὲ πανοῦργος μόλις ἡσυχῇ μειδιάσει.
4 ὡς κόσμος χρυσοῦς φρονίμῳ παιδεία 21
καὶ ὡς χλιδὼν ἐπὶ βραχίονι δεξιῷ.
5 ποὺς μωροῦ ταχὺς εἰς οἰκίαν, 22
ἄνθρωπος δὲ πολύπειρος αἰσχυνθήσεται ἀπὸ προσώπου.
6 ἄφρων ἀπὸ θύρας παρακύπτει εἰς οἰκίαν, 23
ἀνὴρ δὲ πεπαιδευμένος ἔξω στήσεται.
7 ἀπαιδευσία ἀνθρώπου ἀκροᾶσθαι παρὰ θύραν, 24
ὁ δὲ φρόνιμος βαρυνθήσεται ἀτιμίᾳ.
8 χείλη ἀλλοτρίων ἐν τούτοις διηγήσονται, 25
λόγοι δὲ φρονίμων ἐν ζυγῷ σταθήσονται.
9 ἐν στόματι μωρῶν ἡ καρδία αὐτῶν, 26
καρδία δὲ σοφῶν στόμα αὐτῶν.
10 ἐν τῷ καταρᾶσθαι ἀσεβῆ τὸν σατανᾶν 27
αὐτὸς καταρᾶται τὴν ἑαυτοῦ ψυχήν.
11 μολύνει τὴν ἑαυτοῦ ψυχὴν ὁ ψιθυρίζων 28
καὶ ἐν παροικήσει μισηθήσεται.

70 1 Λίθῳ ἠρδαλωμένῳ συνεβλήθη ὀκνηρός, 1 **22**
καὶ πᾶς ἐκσυριεῖ ἐπὶ τῇ ἀτιμίᾳ αὐτοῦ.
2 βολβίτῳ κοπρίων συνεβλήθη ὀκνηρός, 2
πᾶς ὁ ἀναιρούμενος αὐτὸν ἐκτινάξει χεῖρα.
3 αἰσχύνη πατρὸς ἐν γεννήσει ἀπαιδεύτου, 3
θυγάτηρ δὲ ἐπ' ἐλαττώσει γίνεται.
4 θυγάτηρ φρονίμη κληρονομήσει ἄνδρα αὐτῆς, 4
καὶ καταισχύνουσα εἰς λύπην γεννήσαντος·
5 πατέρα καὶ ἄνδρα καταισχύνει ἡ θρασεῖα 5
καὶ ὑπὸ ἀμφοτέρων ἀτιμασθήσεται.

71 1 Μουσικὰ ἐν πένθει ἄκαιρος διήγησις, 6

μάστιγες δὲ καὶ παιδεία ἐν παντὶ καιρῷ σοφίας.
2 συγκολλῶν ὄστρακον ὁ διδάσκων μωρόν, 9
ἐξεγείρων καθεύδοντα ἐκ βαθέος ὕπνου.
3 διηγούμενος νυστάζοντι ὁ διηγούμενος μωρῷ, 10
καὶ ἐπὶ συντελείᾳ ἐρεῖ Τί ἐστιν;
4 ἐπὶ νεκρῷ κλαῦσον, ἐξέλιπε γὰρ φῶς, 11
καὶ ἐπὶ μωρῷ κλαῦσον, ἐξέλιπε γὰρ σύνεσιν·
5 ἥδιον κλαῦσον ἐπὶ νεκρῷ, ὅτι ἀνεπαύσατο,
τοῦ δὲ μωροῦ ὑπὲρ θάνατον ἡ ζωὴ πονηρά.
6 πένθος νεκροῦ ἑπτὰ ἡμέραι, 12
μωροῦ δὲ καὶ ἀσεβοῦς πᾶσαι αἱ ἡμέραι τῆς ζωῆς αὐτοῦ.
7 μετὰ ἄφρονος μὴ πληθύνῃς λόγον 13
καὶ πρὸς ἀσύνετον μὴ πορεύου·
8 φύλαξαι ἀπ' αὐτοῦ, ἵνα μὴ κόπον ἔχῃς
καὶ οὐ μὴ μολυνθῇς ἐν τῷ ἐντιναγμῷ αὐτοῦ·
9 ἔκκλινον ἀπ' αὐτοῦ καὶ εὑρήσεις ἀνάπαυσιν
καὶ οὐ μὴ ἀκηδιάσῃς ἐν τῇ ἀπονοίᾳ αὐτοῦ.
10 ὑπὲρ μόλιβον τί βαρυνθήσεται; 14
καὶ τί αὐτῷ ὄνομα ἀλλ' ἢ μωρός;
11 ἄμμον καὶ ἅλα καὶ βῶλον σιδήρου 15
εὔκοπον ὑπενεγκεῖν ἢ ἄνθρωπον ἀσύνετον.

72 1 Ἰμάντωσις ξυλίνη ἐνδεδεμένη εἰς οἰκοδομὴν 16
ἐν συσσεισμῷ οὐ διαλυθήσεται·
2 οὕτω καρδία ἐστηριγμένη ἐπὶ διανοήματος βουλῆς
ἐν καιρῷ οὐ δειλιάσει.
3 καρδία ἡδρασμένη ἐπὶ διανοίας συνέσεως 17
ὡς κόσμος ψαμμωτὸς τοίχου ξυστοῦ.
4 χάρακες ἐπὶ μετεώρου κείμενοι 18
κατέναντι ἀνέμου οὐ μὴ ὑπομείνωσιν·
5 οὕτω καρδία δειλὴ ἐπὶ διανοήματος μωροῦ
κατέναντι παντὸς φόβου οὐ μὴ ὑπομείνῃ.

73 1 Ὁ νύσσων ὀφθαλμὸν κατάξει δάκρυα, 19
καὶ νύσσων καρδίαν ἐκφαίνει αἴσθησιν.
2 ὁ βάλλων λίθον ἐπὶ πετεινὰ ἀποσοβεῖ αὐτά, 20
καὶ ὁ ὀνειδίζων φίλον διαλύσει φιλίαν.
3 ἐπὶ φίλον ἐὰν σπάσῃς ῥομφαίαν, 21
μὴ ἀπελπίσῃς, ἔστι γὰρ ἐπάνοδος·
4 ἐπὶ φίλον ἐὰν ἀνοίξῃς στόμα, 22
μὴ εὐλαβηθῇς, ἔστιν γὰρ διαλλαγή·
5 πλὴν ὀνειδισμοῦ καὶ ὑπερηφανίας
καὶ μυστηρίου ἀποκαλύψεως καὶ πληγῆς δολίας,
ἐν τούτοις ἀποφεύξεται πᾶς φίλος.
6 πίστιν κτῆσαι ἐν πτωχείᾳ μετὰ τοῦ πλησίον,
ἵνα ἐν τοῖς ἀγαθοῖς αὐτοῦ ὁμοῦ πλησθῇς· 23

7 ἐν καιρῷ θλίψεως διάμενε αὐτῷ,
ἵνα ἐν τῇ κληρονομίᾳ αὐτοῦ συγκληρονομήσῃς.
8 πρὸ πυρὸς ἀτμὶς καμίνου καὶ καπνός·
οὕτω πρὸ αἱμάτων λοιδορίαι. 24
9 φίλον σκεπάσαι οὐκ αἰσχυνθήσομαι
καὶ ἀπὸ προσώπου αὐτοῦ οὐ μὴ κρυβῶ, 25
10 καὶ εἰ κακά μοι συμβήσεται δι' αὐτόν,
πᾶς ὁ ἀκούων φυλάξεται ἀπ' αὐτοῦ. 26
11 τίς δώσει ἐπὶ στόμα μου φυλακὴν
καὶ ἐπὶ τῶν χειλέων μου σφραγῖδα πανοῦργον, 27
12 ἵνα μὴ πέσω ἀπ' αὐτῆς
καὶ ἡ γλῶσσά μου ἀπολέσῃ με;

74 1 Κύριε πάτερ καὶ δέσποτα τῆς ζωῆς μου, 1 **23**
μὴ ἐγκαταλίπῃς με ἐν βουλῇ αὐτῶν,
μὴ ἀφῇς με πεσεῖν ἐν αὐτοῖς.
2 τίς ἐπιστήσει ἐπὶ τοῦ διανοήματός μου μάστιγας 2
καὶ ἐπὶ τῆς καρδίας μου παιδείαν σοφίας,
3 ἵνα ἐπὶ τοῖς ἀγνοήμασίν μου μὴ φείσωνται
καὶ οὐ μὴ παρῇ τὰ ἁμαρτήματα αὐτῶν,
4 ὅπως μὴ πληθυνθῶσιν αἱ ἄγνοιαί μου 3
καὶ αἱ ἁμαρτίαι μου πλεονάσωσι
5 καὶ πεσοῦμαι ἔναντι τῶν ὑπεναντίων
καὶ ἐπιχαρεῖταί μοι ὁ ἐχθρός μου;
6 Κύριε πάτερ καὶ θεὲ τῆς ζωῆς μου, 4
μετεωρισμὸν ὀφθαλμῶν μὴ δῷς μοι
καὶ ἐπιθυμίαν ἀπόστρεψον ἀπ' ἐμοῦ· 5
7 κοιλίας ὄρεξις καὶ συνουσιασμὸς μὴ καταλαβέτωσάν με, 6
καὶ ψυχῇ ἀναιδεῖ μὴ παραδῷς με.

75 1 Παιδείαν στόματος ἀκούσατε, τέκνα, 7
καὶ ὁ φυλάσσων οὐ μὴ ἁλῷ.
2 ἐν τοῖς χείλεσιν αὐτοῦ καταληφθήσεται ἁμαρτωλός, 8
καὶ λοίδορος καὶ ὑπερήφανος σκανδαλισθήσονται ἐν αὐτοῖς.
3 ὅρκῳ μὴ ἐθίσῃς τὸ στόμα σου 9
καὶ ὀνομασίᾳ τοῦ ἁγίου μὴ συνεθισθῇς·
4 ὥσπερ γὰρ οἰκέτης ἐξεταζόμενος ἐνδελεχῶς 10
ἀπὸ μώλωπος οὐκ ἐλαττωθήσεται,
5 οὕτω καὶ ὁ ὀμνύων καὶ ὀνομάζων διὰ παντὸς
ἀπὸ ἁμαρτίας οὐ μὴ καθαρισθῇ.
6 ἀνὴρ πολύορκος πλησθήσεται ἀνομίας, 11
καὶ οὐκ ἀποστήσεται ἀπὸ τοῦ οἴκου αὐτοῦ μάστιξ·
7 ἐὰν πλημμελήσῃ, ἁμαρτία αὐτοῦ ἐπ' αὐτῷ,
κἂν ὑπερίδῃ, ἥμαρτε δισσῶς·
8 καὶ εἰ διὰ κενῆς ὤμοσεν, οὐ δικαιωθήσεται,
πλησθήσεται γὰρ ἐπαγωγῶν ὁ οἶκος αὐτοῦ.

76 1 Ἔστι λέξις ἀντιπαραβεβλημένη θανάτῳ, 12
μὴ εὑρεθήτω ἐν κληρονομίᾳ Ἰακώβ·
2 ἀπὸ γὰρ εὐσεβῶν ταῦτα πάντα ἀποστήσεται,
καὶ ἐν ἁμαρτίαις οὐκ ἐγκυλισθήσονται.
3 ἀπαιδευσίαν ἀσυρῆ μὴ συνεθίσῃς τὸ στόμα σου· 13
ἔστι γὰρ ἐν αὐτῇ λόγος ἁμαρτίας.
4 μνήσθητι πατρὸς καὶ μητρός σου, 14
ἀνὰ μέσον γὰρ μεγιστάνων συνεδρεύεις,
5 μήποτε ἐπιλάθῃ ἐνώπιον αὐτῶν
καὶ τῷ ἐθισμῷ σου μωρανθῇς
6 καὶ θελήσεις εἰ μὴ ἐγεννήθης
καὶ τὴν ἡμέραν τοῦ τοκετοῦ σου καταράσῃ.
7 ἄνθρωπος συνεθιζόμενος λόγοις ὀνειδισμοῦ 15
ἐν πάσαις ταῖς ἡμέραις αὐτοῦ οὐ μὴ παιδευθῇ.

77 1 Δύο εἴδη πληθύνουσιν ἁμαρτίας, 16
καὶ τὸ τρίτον ἐπάξει ὀργήν·
2 ψυχὴ θερμὴ ὡς πῦρ καιόμενον, 17
οὐ μὴ σβεσθῇ ἕως ἂν καταποθῇ·
3 ἄνθρωπος πόρνος ἐν σώματι σαρκὸς αὐτοῦ,
οὐ μὴ παύσηται ἕως ἂν ἐκκαύσῃ πῦρ·
4 ἀνθρώπῳ πόρνῳ πᾶς ἄρτος ἡδύς,
οὐ μὴ κοπάσῃ ἕως ἂν τελευτήσῃ.
5 ἄνθρωπος παραβαίνων ἀπὸ τῆς κλίνης αὐτοῦ 18
λέγων ἐν τῇ ψυχῇ αὐτοῦ Τίς με ὁρᾷ;
6 σκότος κύκλῳ μου, καὶ οἱ τοῖχοί με καλύπτουσιν,
καὶ οὐθείς με ὁρᾷ· τί εὐλαβοῦμαι;
7 τῶν ἁμαρτιῶν μου οὐ μὴ μνησθήσεται ὁ ὕψιστος,
καὶ ὀφθαλμοὶ ἀνθρώπων ὁ φόβος αὐτοῦ, 19
8 καὶ οὐκ ἔγνω ὅτι ὀφθαλμοὶ Κυρίου
μυριοπλασίως ἡλίου φωτεινότεροι
9 ἐπιβλέποντες πάσας ὁδοὺς ἀνθρώπων
καὶ κατανοοῦντες εἰς ἀπόκρυφα μέρη.
10 πρὶν ἢ κτισθῆναι τὰ πάντα ἔγνωσται αὐτῷ, 20
οὕτω καὶ μετὰ τὸ συντελεσθῆναι.
11 οὗτος ἐν πλατείαις πόλεως ἐκδικηθήσεται, 21
καὶ οὗ οὐχ ὑπενόησε, πιασθήσεται.
12 οὕτω καὶ γυνὴ καταλιποῦσα τὸν ἄνδρα 22
καὶ παριστῶσα κληρονόμον ἐξ ἀλλοτρίου.
13 πρῶτον μὲν γὰρ ἐν νόμῳ ὑψίστου ἠπείθησεν, 23
δεύτερον εἰς ἄνδρα αὐτῆς ἐπλημμέλησεν,
14 καὶ τὸ τρίτον ἐν πορνείᾳ ἐμοιχεύθη
καὶ ἐξ ἀλλοτρίου ἀνδρὸς τέκνα παρέστησεν.
15 αὕτη εἰς ἐκκλησίαν ἐξαχθήσεται, 24
καὶ ἐπὶ τὰ τέκνα αὐτῆς ἐπισκοπὴ ἔσται.

16 οὐ διαδώσουσι τὰ τέκνα αὐτῆς εἰς ῥίζαν, 25
καὶ οἱ κλάδοι αὐτῆς οὐκ οἴσουσι καρπόν.
17 καταλείψει εἰς κατάραν τὸ μνημόσυνον αὐτῆς, 26
καὶ τὸ ὄνειδος αὐτῆς οὐκ ἐξαλειφθήσεται,
18 καὶ ἐπιγνώσονται οἱ καταλειφθέντες 27
ὅτι οὐθὲν κρεῖττον φόβου Κυρίου
καὶ οὐθὲν γλυκύτερον τοῦ προσέχειν ἐντολαῖς Κυρίου.

78 1 Ἡ σοφία αἰνέσει ψυχὴν αὐτῆς 1 **24**
καὶ ἐν μέσῳ λαοῦ αὐτῆς καυχήσεται·
2 ἐν ἐκκλησίᾳ ὑψίστου στόμα αὐτῆς ἀνοίξει 2
καὶ ἔναντι δυνάμεως αὐτοῦ καυχήσεται·
3 Ἐγὼ ἀπὸ στόματος ὑψίστου ἐξῆλθον 3
καὶ ὡς ὁμίχλη κατεκάλυψα γῆν·
4 ἐγὼ ἐν ὑψηλοῖς κατεσκήνωσα, 4
καὶ ὁ θρόνος μου ἐν στύλῳ νεφέλης·
5 γῦρον οὐρανοῦ ἐκύκλωσα μόνη 5
καὶ ἐν βάθει ἀβύσσων περιεπάτησα·
6 ἐν κύμασι θαλάσσης καὶ ἐν πάσῃ τῇ γῇ 6
καὶ ἐν παντὶ λαῷ καὶ ἔθνει ἐκτησάμην.
7 μετὰ τούτων πάντων ἀνάπαυσιν ἐζήτησα 7
καὶ ἐν κληρονομίᾳ τίνος αὐλισθήσομαι.
8 τότε ἐνετείλατό μοι ὁ κτίστης ἁπάντων, 8
καὶ ὁ κτίσας με κατέπαυσεν <εἰς> τὴν σκηνήν μου
9 καὶ εἶπεν Ἐν Ἰακὼβ κατασκήνωσον
καὶ ἐν Ἰσραὴλ κατακληρονομήθητι.
10 πρὸ τοῦ αἰῶνος ἀπ' ἀρχῆς ἔκτισέ με, 9
καὶ ἕως αἰῶνος οὐ μὴ ἐκλίπω.
11 ἐν σκηνῇ ἁγίᾳ ἐνώπιον αὐτοῦ ἐλειτούργησα 10
καὶ οὕτως ἐν Σιὼν ἐστηρίχθην·
12 ἐν πόλει ἠγαπημένῃ ὁμοίως με κατέπαυσε, 11
καὶ ἐν Ἰερουσαλὴμ ἡ ἐξουσία μου·
13 καὶ ἐρρίζωσα ἐν λαῷ δεδοξασμένῳ, 12
ἐν μερίδι Κυρίου, κληρονομίας αὐτοῦ.
14 ὡς κέδρος ἀνυψώθην ἐν τῷ Λιβάνῳ 13
καὶ ὡς κυπάρισσος ἐν ὄρεσιν Ἁερμών·
15 ὡς φοῖνιξ ἀνυψώθην ἐν Ἐγγαδὶ 14
καὶ ὡς φυτὰ ῥόδου ἐν Ἰεριχώ,
16 ὡς ἐλαία εὐπρεπὴς ἐν πεδίῳ,
καὶ ἀνυψώθην ὡς πλάτανος.
17 ὡς κιννάμωμον καὶ ἀσπάλαθος ἀρωμάτων δέδωκα ὀσμὴν 15
καὶ ὡς σμύρνα ἐκλεκτὴ διέδωκα εὐωδίαν,
18 ὡς χαλβάνη καὶ ὄνυξ καὶ στακτὴ
καὶ ὡς λιβάνου ἀτμὶς ἐν σκηνῇ.
19 ἐγὼ ὡς τερέμινθος ἐξέτεινα κλάδους μου, 16

καὶ οἱ κλάδοι μου κλάδοι δόξης καὶ χάριτος.
20 ἐγὼ ὡς ἄμπελος ἐβλάστησα χάριν, 17
καὶ τὰ ἄνθη μου καρπὸς δόξης καὶ πλούτου.
21 προσέλθετε πρός με, οἱ ἐπιθυμοῦντές μου, 19
καὶ ἀπὸ τῶν γενημάτων μου ἐμπλήσθητε·
22 τὸ γὰρ μνημόσυνόν μου ὑπὲρ μέλι γλυκύ, 20
καὶ ἡ κληρονομία μου ὑπὲρ μέλιτος κηρίον.
23 οἱ ἐσθίοντές με ἔτι πεινάσουσι, 21
καὶ οἱ πίνοντές με ἔτι διψήσουσιν.
24 ὁ ὑπακούων μου οὐκ αἰσχυνθήσεται, 22
καὶ οἱ ἐργαζόμενοι ἐν ἐμοὶ οὐχ ἁμαρτήσουσι.

79 1 Ταῦτα πάντα Βίβλος Διαθήκης θεοῦ ὑψίστου, 23
νόμος ὃν ἐνετείλατο ἡμῖν Μωϋσῆς
2 κληρονομία <ἐν> συναγωγαῖς Ἰακώβ,
ὁ πιμπλῶν ὡς Φισὼν σοφίαν 25
καὶ ὡς Τίγρης ἐν ἡμέραις νέων,
3 ὁ ἀναπληρῶν ὡς Εὐφράτης σύνεσιν 26
καὶ ὡς Ἰορδάνης ἐν ἡμέραις θερισμοῦ,
4 ὁ ἐκφαίνων ὡς φῶς παιδείαν, 27
ὡς Γηὼν ἐν ἡμέραις τρυγήτου.
5 οὐ συνετέλεσεν ὁ πρῶτος γνῶναι αὐτήν, 28
καὶ οὕτως ὁ ἔσχατος οὐκ ἐξιχνίασεν αὐτήν·
6 ἀπὸ γὰρ θαλάσσης ἐπληθύνθη διανόημα αὐτῆς 29
καὶ ἡ βουλὴ αὐτῆς ἀπὸ ἀβύσσου μεγάλης.
7 κἀγὼ ὡς διῶρυξ ἀπὸ ποταμοῦ 30
καὶ ὡς ὑδραγωγὸς ἐξῆλθον εἰς παράδεισον·
8 εἶπα Ποτιῶ μου τὸν κῆπον 31
καὶ μεθύσω μου τὴν πρασιάν·
9 καὶ ἰδοὺ ἐγένετό μοι ἡ διῶρυξ εἰς ποταμόν,
καὶ ὁ ποταμός μου ἐγένετο εἰς θάλασσαν.
10 ἔτι παιδείαν ὡς ὄρθρον φωτιῶ 32
καὶ ἐκφανῶ αὐτὰ ἕως εἰς μακράν·
11 ἔτι διδασκαλίαν ὡς προφητείαν ἐκχεῶ 33
καὶ καταλείψω αὐτὴν εἰς γενεὰς αἰώνων.
12 ἴδετε ὅτι οὐκ ἐμοὶ μόνῳ ἐκοπίασα, 34
ἀλλ' ἅπασι τοῖς ἐκζητοῦσιν αὐτήν.

80 1 Ἐν τρισὶν ὡραΐσθην καὶ ἀνέστην ὡραία 1 **25**
ἔναντι Κυρίου καὶ ἀνθρώπων·
2 ὁμόνοια ἀδελφῶν, καὶ φιλία τῶν πλησίον,
καὶ γυνὴ καὶ ἀνὴρ ἑαυτοῖς συμπεριφερόμενοι.
3 τρία δὲ εἴδη ἐμίσησεν ἡ ψυχή μου 2
καὶ προσώχθισα σφόδρα τῇ ζωῇ αὐτῶν·
4 πτωχὸν ὑπερήφανον, πλούσιον ψεύστην,
καὶ γέροντα μοιχὸν ἐλαττούμενον συνέσει.

81 1 Ἐν νεότητι οὐ συναγήοχας, 3
καὶ πῶς ἂν εὕροις ἐν τῷ γήρᾳ σου;
2 ὡς ὡραῖον πολιαῖς κρίσις 4
καὶ πρεσβυτέροις ἐπιγνῶναι βουλήν.
3 ὡς ὡραία γερόντων σοφία 5
καὶ δεδοξασμένος διανόημα καὶ βουλή.
4 στέφανος γερόντων πολυπειρία, 6
καὶ τὸ καύχημα αὐτῶν φόβος Κυρίου.
5 ἐννέα ὑπονοήματα ἐμακάρισα ἐν καρδίᾳ 7
καὶ τὸ δέκατον ἐρῶ ἐπὶ γλώσσης·
6 ἄνθρωπος εὐφραινόμενος ἐπὶ τέκνοις,
ζῶν καὶ βλέπων ἐπὶ πτώσει ἐχθρῶν·
7 μακάριος ὁ συνοικῶν γυναικὶ συνετῇ, 8
καὶ ὃς ἐν γλώσσῃ οὐκ ὠλίσθησε,
καὶ ὃς οὐκ ἐδούλευσεν ἀναξίῳ ἑαυτοῦ·
8 μακάριος ὃς εὗρε φρόνησιν, 9
καὶ ὁ διηγούμενος εἰς ὦτα ἀκουόντων·
9 ὡς μέγας ὁ εὑρὼν σοφίαν· 10
ἀλλ' οὐκ ἔστιν ὑπὲρ τὸν φοβούμενον τὸν Κύριον·
10 φόβος Κυρίου ὑπὲρ πᾶν ὑπερέβαλεν, 11
ὁ κρατῶν αὐτοῦ τίνι ὁμοιωθήσεται;

82 1 Πᾶσαν πληγὴν καὶ μὴ πληγὴν καρδίας, 13
καὶ πᾶσαν πονηρίαν καὶ μὴ πονηρίαν γυναικός·
2 πᾶσαν ἐπαγωγὴν καὶ μὴ ἐπαγωγὴν μισούντων, 14
καὶ πᾶσαν ἐκδίκησιν καὶ μὴ ἐκδίκησιν ἐχθρῶν.
3 οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως, 15
καὶ οὐκ ἔστι θυμὸς ὑπὲρ θυμὸν ἐχθροῦ.
4 συνοικῆσαι λέοντι καὶ δράκοντι εὐδοκήσω 16
ἢ συνοικῆσαι μετὰ γυναικὸς πονηρᾶς.
5 πονηρία γυναικὸς ἀλλοιοῖ τὴν ὅρασιν αὐτῆς 17
καὶ σκοτοῖ τὸ πρόσωπον αὐτῆς ὡς ἄρκος·
6 ἀνὰ μέσον τῶν πλησίον αὐτοῦ ἀναπεσεῖται ὁ ἀνὴρ αὐτῆς 18
καὶ ἀκουσίως ἀνεστέναξε πικρά.
7 μικρὰ πᾶσα κακία πρὸς κακίαν γυναικός, 19
κλῆρος ἁμαρτωλοῦ ἐπιπέσοι αὐτῇ.
8 ἀνάβασις ἀμμώδης ἐν ποσὶ πρεσβυτέρου, 20
οὕτω γυνὴ γλωσσώδης ἀνδρὶ ἡσύχῳ.
9 μὴ προσπέσῃς ἐπὶ κάλλος γυναικὸς 21
καὶ γυναῖκα μὴ ἐπιποθήσῃς.
10 ὀργὴ καὶ ἀναίδεια καὶ αἰσχύνη μεγάλη 22
γυνὴ ἐὰν ἐπιχορηγῇ τῷ ἀνδρὶ αὐτῆς.
11 καρδία ταπεινὴ καὶ πρόσωπον σκυθρωπὸν 23
καὶ πληγὴ καρδίας γυνὴ πονηρά·
12 χεῖρες παρειμέναι καὶ γόνατα παραλελυμένα

ἥτις οὐ μακαριεῖ τὸν ἄνδρα αὐτῆς.
13 ἀπὸ γυναικὸς ἀρχὴ ἁμαρτίας, 24
καὶ δι' αὐτὴν ἀποθνῄσκομεν πάντες.
14 μὴ δῷς ὕδατι διέξοδον 25
μηδὲ γυναικὶ πονηρᾷ παρρησίαν·
15 εἰ μὴ πορεύεται κατὰ χεῖράς σου, 26
ἀπὸ τῶν σαρκῶν σου ἀπότεμε αὐτήν.

83 1 Γυναικὸς ἀγαθῆς μακάριος ὁ ἀνήρ, 1 **26**
καὶ ἀριθμὸς τῶν ἡμερῶν αὐτοῦ διπλάσιος.
2 γυνὴ ἀνδρεία εὐφραίνει τὸν ἄνδρα αὐτῆς, 2
καὶ τὰ ἔτη αὐτοῦ πληρώσει ἐν εἰρήνῃ.
3 γυνὴ ἀγαθὴ μερὶς ἀγαθή, 3
ἐν μερίδι φοβουμένων Κύριον δοθήσεται·
4 πλουσίου δὲ καὶ πτωχοῦ καρδία ἀγαθή, 4
ἐν παντὶ καιρῷ πρόσωπον ἱλαρόν.
5 ἀπὸ τριῶν εὐλαβήθη ἡ καρδία μου, 5
καὶ ἐπὶ τῷ τετάρτῳ προσώπῳ ἐδεήθην·
6 διαβολὴν πόλεως, καὶ ἐκκλησίαν ὄχλου,
καὶ καταψευσμόν, ὑπὲρ θάνατον πάντα μοχθηρά.
7 ἄλγος καρδίας καὶ πένθος γυνὴ ἀντίζηλος ἐπὶ γυναικὶ 6
καὶ μάστιξ γλώσσης πᾶσιν ἐπικοινωνοῦσα.
8 βουζύγιον σαλευόμενον γυνὴ πονηρά, 7
ὁ κρατῶν αὐτῆς ὡς ὁ δρασσόμενος σκορπίου.
9 ὀργὴ μεγάλη γυνὴ μέθυσος 8
καὶ ἀσχημοσύνην αὐτῆς οὐ συγκαλύψει.
10 πορνεία γυναικὸς ἐν μετεωρισμοῖς ὀφθαλμῶν 9
καὶ ἐν τοῖς βλεφάροις αὐτῆς γνωσθήσεται.
11 ἐπὶ θυγατρὶ ἀδιατρέπτῳ στερέωσον φυλακήν, 10
ἵνα μὴ εὑροῦσα ἄνεσιν ἑαυτῇ χρήσηται·

84 1 Ὀπίσω ἀναιδοῦς ὀφθαλμοῦ φύλαξαι 11
καὶ μὴ θαυμάσῃς, ἐὰν εἰς σὲ πλημμελήσῃ·
2 ὡς διψῶν ὁδοιπόρος τὸ στόμα ἀνοίξει 12
καὶ ἀπὸ παντὸς ὕδατος τοῦ σύνεγγυς πίεται,
3 κατέναντι παντὸς πασσάλου καθήσεται
καὶ ἔναντι βέλους ἀνοίξει φαρέτραν.
4 χάρις γυναικὸς τέρψει τὸν ἄνδρα αὐτῆς, 13
καὶ τὰ ὀστᾶ αὐτοῦ πιανεῖ ἡ ἐπιστήμη αὐτῆς.
5 δόσις Κυρίου γυνὴ σιγηρά, 14
καὶ οὐκ ἔστιν ἀντάλλαγμα πεπαιδευμένης ψυχῆς·
6 χάρις ἐπὶ χάριτι γυνὴ αἰσχυντηρά, 15
καὶ οὐκ ἔστι σταθμὸς πᾶς ἄξιος ἐγκρατοῦς ψυχῆς.
7 ἥλιος ἀνατέλλων ἐν ὑψίστοις Κυρίου 16
καὶ κάλλος ἀγαθῆς γυναικὸς ἐν κόσμῳ οἰκίας αὐτῆς·
8 λύχνος ἐκλάμπων ἐπὶ λυχνίας ἁγίας 17

καὶ κάλλος προσώπου ἐπὶ ἡλικίᾳ στασίμῃ·
9 στῦλοι χρύσεοι ἐπὶ βάσεως ἀργυρᾶς 18
καὶ πόδες ὡραῖοι ἐπὶ στέρνοις εὐσταθοῦς.

85 1 Τέκνον ἀκμὴν ἡλικίας σου συντήρησον ὑγιῆ, 19
καὶ μὴ δῷς ἀλλοτρίοις τὴν ἰσχύν σου.
2 ἀναζητήσας παντὸς πεδίου εὔγειον κλῆρον, 20
σπεῖρε τὰ ἴδια σπέρματα πεποιθὼς τῇ εὐγενείᾳ σου.
3 οὕτω τὰ γενήματά σου περιόντα, 21
καὶ παρρησίαν εὐγενείας ἔχοντα μεγαλυνοῦσι.
4 γυνὴ μισθία ἴση σιάλῳ λογισθήσεται, 22
ὕπανδρος δὲ πύργος θανάτου τοῖς χρωμένοις λογισθήσεται.
5 γυνὴ ἀσεβὴς ἀνόμῳ μερὶς δοθήσεται, 23
εὐσεβὴς δὲ δίδοται τῷ φοβουμένῳ τὸν Κύριον.
6 γυνὴ ἀσχήμων ἀτιμίαν κατατρίψει, 24
θυγάτηρ δὲ εὐσχήμων καὶ τὸν ἄνδρα ἐντραπήσεται.
7 γυνὴ ἀδιάτρεπτος ὡς κύων λογισθήσεται, 25
ἡ δὲ ἔχουσα αἰσχύνην τὸν Κύριον φοβηθήσεται.
8 γυνὴ ἄνδρα ἴδιον τιμῶσα σοφὴ πᾶσι φανήσεται, 26
ἀτιμάζουσα δὲ ἐν ὑπερηφανίᾳ ἀσεβὴς πᾶσι γνωσθήσεται.
9 γυναικὸς ἀγαθῆς μακάριος ὁ ἀνήρ, 26a
ὁ γὰρ ἀριθμὸς τῶν ἐτῶν αὐτοῦ διπλάσιος ἔσται.
10 γυνὴ μεγαλόφωνος καὶ γλωσσώδης, 27
ὡς σάλπιγξ πολέμων εἰς τροπὴν θεωρηθήσεται,
11 ἀνθρώπου δὲ παντὸς ψυχὴ ὁμοιότροπος τούτοις,
πολέμου ἀκαταστασίαις τὴν ψυχὴν διαιτηθήσεται.

86 1 Ἐπὶ δυσὶ λελύπηται ἡ καρδία μου, 28
καὶ ἐπὶ τῷ τρίτῳ θυμός μοι ἐπῆλθεν·
2 ἀνὴρ πολεμιστὴς ὑστερῶν δι' ἔνδειαν,
καὶ ἄνδρες συνετοὶ ἐὰν σκυβαλισθῶσιν,
ἐπανάγων ἀπὸ δικαιοσύνης ἐπὶ ἁμαρτίαν·
3 ὁ Κύριος ἑτοιμάσει εἰς ῥομφαίαν αὐτόν.

87 1 Μόλις ἐξελεῖται ἔμπορος ἀπὸ πλημμελείας, 29
καὶ οὐ δικαιωθήσεται κάπηλος ἀπὸ ἁμαρτίας.
2 χάριν διαφόρου πολλοὶ ἥμαρτον, 1 **27**
καὶ ὁ ζητῶν πληθῦναι ἀποστρέψει ὀφθαλμόν.
3 ἀνὰ μέσον ἁρμῶν λίθων πατήσεται πάσσαλος, 2
καὶ ἀνὰ μέσον πράσεως καὶ ἀγορασμοῦ συντριβήσεται ἁμαρτία.
4 ἐὰν μὴ ἐν φόβῳ Κυρίου κρατήσῃ κατὰ σπουδήν, 3
ἐν τάχει καταστραφήσεται αὐτοῦ ὁ οἶκος.

88 1 Ἐν σείσματι κοσκίνου διαμένει κοπρία, 4
οὕτω σκύβαλα ἀνθρώπου ἐν λογισμῷ αὐτοῦ.
2 σκεύη κεραμέως δοκιμάζει κάμινος, 5
καὶ πειρασμὸς ἀνθρώπου ἐν διαλογισμῷ αὐτοῦ.

3 γεώργιον ξύλου ἐκφαίνει ὁ καρπὸς αὐτοῦ, 6
οὕτω λόγος ἐνθυμήματος καρδίας ἀνθρώπου.
4 πρὸ λογισμοῦ μὴ ἐπαινέσῃς ἄνδρα· 7
οὗτος γὰρ πειρασμὸς ἀνθρώπων.

89 1 Ἐὰν διώκῃς τὸ δίκαιον, καταλήψῃ, 8
καὶ ἐνδύσῃ αὐτὸ ὡς ποδήρη δόξης.
2 πετεινὰ πρὸς τὰ ὅμοια αὐτοῖς καταλύσει, 9
καὶ ἀλήθεια πρὸς τοὺς ἐργαζομένους αὐτὴν ἐπανήξει.
3 λέων θήραν ἐνεδρεύει, 10
οὕτως ἁμαρτία ἐργαζομένους ἄδικα.
4 διήγησις εὐσεβοῦς διὰ παντὸς σοφία, 11
ὁ δὲ ἄφρων ὡς σελήνη ἀλλοιοῦται.
5 εἰς μέσον ἀσυνέτων συντήρησον καιρόν, 12
εἰς μέσον δὲ διανοουμένων ἐνδελέχιζε.
6 διήγησις μωρῶν προσόχθισμα, 13
καὶ ὁ γέλως αὐτῶν ἐν σπατάλῃ ἁμαρτίας.
7 λαλιὰ πολυόρκου ἀνορθώσει τρίχας, 14
καὶ ἡ μάχη αὐτῶν ἐμφραγμὸς ὠτίων.
8 ἔκχυσις αἵματος μάχη ὑπερηφάνων, 15
καὶ ἡ διαλοιδόρησις αὐτῶν ἀκοὴ μοχθηρά.

90 1 Ὁ ἀποκαλύπτων μυστήρια ἀπώλεσε πίστιν 16
καὶ οὐ μὴ εὕρῃ φίλον πρὸς τὴν ψυχὴν αὐτοῦ.
2 στέρξον φίλον καὶ πιστώθητι μετ' αὐτοῦ· 17
ἐὰν δὲ ἀποκαλύψῃς τὰ μυστήρια αὐτοῦ,
μὴ καταδιώξῃς ὀπίσω αὐτοῦ.
3 καθὼς γὰρ ἀπώλεσεν ἄνθρωπος τὸν νεκρὸν αὐτοῦ, 18
οὕτως ἀπώλεσας τὴν φιλίαν τοῦ πλησίον· 19
4 καὶ ὡς πετεινὸν ἐκ χειρός σου ἀπέλυσας,
οὕτως ἀφῆκας τὸν πλησίον καὶ οὐ θηρεύσεις αὐτόν. 20
5 μὴ αὐτὸν διώξῃς, ὅτι μακρὰν ἀπέστη
καὶ ἐξέφυγεν ὡς δορκὰς ἐκ παγίδος. 21
6 ὅτι τραῦμα ἔστι καταδῆσαι
καὶ λοιδορίας ἔστι διαλλαγή,
7 ὁ δὲ ἀποκαλύψας μυστήρια ἀπήλπισε. 22

91 1 Διανεύων ὀφθαλμῷ τεκταίνει κακά, 23
καὶ οὐδεὶς αὐτὰ ἀποστήσει ἀπ' αὐτοῦ·
2 ἀπέναντι τῶν ὀφθαλμῶν σου γλυκανεῖ τὸ στόμα αὐτοῦ
καὶ ἐπὶ τῶν λόγων σου ἐκθαυμάσει,
3 ὕστερον δὲ διαστρέψει τὸ στόμα αὐτοῦ
καὶ ἐν τοῖς λόγοις σου δώσει σκάνδαλον. 24
4 πολλὰ ἐμίσησα καὶ οὐχ ὡμοίωσα αὐτῷ,
καὶ ὁ Κύριος μισήσει αὐτόν. 25
5 ὁ βάλλων λίθον εἰς ὕψος ἐπὶ κεφαλὴν αὐτοῦ βάλλει,

καὶ πληγὴ δολία διελεῖ τραύματα. 26
6 ὁ ὀρύσσων βόθρον εἰς αὐτὸν ἐμπεσεῖται,
καὶ ὁ ἱστῶν παγίδα ἐν αὐτῇ ἁλώσεται. 27
7 ὁ ποιῶν πονηρὰ εἰς αὐτὰ κυλισθήσεται,
καὶ οὐ μὴ ἐπιγνῷ πόθεν ἥκει αὐτῷ. 28
8 ἐμπαιγμὸς καὶ ὀνειδισμὸς ὑπερηφάνῳ,
καὶ ἡ ἐκδίκησις ὡς λέων ἐνεδρεύσει αὐτόν. 29
9 παγίδι ἁλώσονται οἱ εὐφραινόμενοι πτώσει εὐσεβῶν,
καὶ ὀδύνη καταναλώσει αὐτοὺς πρὸ τοῦ θανάτου αὐτῶν. 30
10 μῆνις καὶ ὀργή, καὶ ταῦτά ἐστι βδελύγματα,
καὶ ἀνὴρ ἁμαρτωλὸς ἐγκρατὴς ἔσται αὐτῶν.

92 1 Ὁ ἐκδικῶν παρὰ Κυρίου εὑρήσει ἐκδίκησιν, 1 **28**
καὶ τὰς ἁμαρτίας αὐτοῦ διατηρῶν διατηρήσει.
2 ἄφες ἀδίκημα τῷ πλησίον σου, 2
καὶ τότε δεηθέντος σου αἱ ἁμαρτίαι σου λυθήσονται.
3 ἄνθρωπος ἀνθρώπῳ συντηρεῖ ὀργήν, 3
καὶ παρὰ Κυρίου ζητεῖ ἴασιν;
4 ἐπ' ἄνθρωπον ὅμοιον αὐτῷ οὐκ ἔχει ἔλεος, 4
καὶ περὶ τῶν ἁμαρτιῶν αὐτοῦ δεῖται;
5 αὐτὸς σὰρξ ὢν διατηρεῖ μῆνιν, 5
τίς ἐξιλάσεται τὰς ἁμαρτίας αὐτοῦ;
6 μνήσθητι τὰ ἔσχατα καὶ παῦσαι ἐχθραίνων, 6
καταφθορὰν καὶ θάνατον, καὶ ἔμμενε ἐντολαῖς.
7 μνήσθητι ἐντολῶν καὶ μὴ μηνίσῃς τῷ πλησίον, 7
καὶ διαθήκην ὑψίστου καὶ πάριδε ἄγνοιαν.
8 ἀπόσχου ἀπὸ μάχης, καὶ ἐλαττώσεις ἁμαρτίας· 8
ἄνθρωπος γὰρ θυμώδης ἐκκαύσει μάχην·
9 καὶ ἀνὴρ ἁμαρτωλὸς ταράξει φίλους 9
καὶ ἀνὰ μέσον εἰρηνευόντων ἐμβαλεῖ διαβολήν.
10 κατὰ τὴν ὕλην τοῦ πυρὸς οὕτως ἐκκαυθήσεται, 10
καὶ κατὰ τὴν στερέωσιν τῆς μάχης ἐκκαυθήσεται·
11 κατὰ τὴν ἰσχὺν τοῦ ἀνθρώπου ὁ θυμὸς αὐτοῦ ἔσται,
καὶ κατὰ τὸν πλοῦτον ἀνυψώσει ὀργὴν αὐτοῦ.
12 ἔρις κατασπευδομένη ἐκκαίει πῦρ, 11
καὶ μάχη κατασπεύδουσα ἐκχέει αἷμα.
13 ἐὰν φυσήσῃς εἰς σπινθῆρα, ἐκκαήσεται, 12
καὶ ἐὰν πτύσῃς ἐπ' αὐτόν, σβεσθήσεται·
14 καὶ ἀμφότερα ἐκ τοῦ στόματός σου ἐκπορεύεται.

93 1 Ψίθυρον καὶ διγλωσσίαν καταράσασθε· 13
πολλοὺς γὰρ εἰρηνεύοντας ἀπώλεσε.
2 γλῶσσα τρίτη πολλοὺς ἐσάλευσε 14
καὶ διέστησεν αὐτοὺς ἀπὸ ἔθνους εἰς ἔθνος
3 καὶ πόλεις ὀχυρὰς καθεῖλε
καὶ οἰκίας μεγιστάνων κατέστρεψε.

4 γλῶσσα τρίτη γυναῖκας ἀνδρείας ἐξέβαλε 15
καὶ ἐστέρησεν αὐτὰς τῶν πόνων αὐτῶν.
5 ὁ προσέχων αὐτῇ οὐ μὴ εὕρῃ ἀνάπαυσιν 16
οὐδὲ κατασκηνώσει μεθ' ἡσυχίας.
6 πληγὴ μάστιγος ποιεῖ μώλωπα, 17
πληγὴ δὲ γλώσσης συγκλάσει ὀστᾶ.
7 πολλοὶ ἔπεσαν ἐν στόματι μαχαίρας, 18
καὶ οὐχ ὡς οἱ πεπτωκότες διὰ γλῶσσαν.
8 μακάριος ὁ σκεπασθεὶς ἀπ' αὐτῆς, 19
ὃς οὐ διῆλθεν ἐν τῷ θυμῷ αὐτῆς,
9 ὃς οὐχ εἵλκυσεν τὸν ζυγὸν αὐτῆς
καὶ ἐν τοῖς δεσμοῖς αὐτῆς οὐκ ἐδέθη·
10 ὁ γὰρ ζυγὸς αὐτῆς ζυγὸς σιδηροῦς, 20
καὶ οἱ δεσμοὶ αὐτῆς δεσμοὶ χάλκεοι·
11 θάνατος πονηρὸς ὁ θάνατος αὐτῆς, 21
καὶ λυσιτελὴς μᾶλλον ὁ ᾅδης αὐτῆς.
12 οὐ μὴ κρατήσῃ εὐσεβῶν, 22
καὶ ἐν τῇ φλογὶ αὐτῆς οὐ καήσονται.
13 οἱ καταλείποντες Κύριον ἐμπεσοῦνται εἰς αὐτήν, 23
καὶ ἐν αὐτοῖς ἐκκαήσεται καὶ οὐ μὴ σβεσθῇ·
14 ἐπαποσταλήσεται αὐτοῖς ὡς λέων
καὶ ὡς πάρδαλις λυμανεῖται αὐτούς.
15 ἴδε περίφραξον τὸ κτῆμά σου ἀκάνθαις, 24
τὸ ἀργύριόν σου καὶ τὸ χρυσίον κατάδησον·
16 τοῖς λόγοις σου ποίησον ζυγὸν καὶ σταθμὸν 25
καὶ τῷ στόματί σου ποίησον θύραν καὶ μοχλόν.
17 πρόσεχε μήπως ὀλισθήσῃς ἐν αὐτῇ, 26
μὴ πέσῃς κατέναντι ἐνεδρεύοντος.

94 1 Ὁ ποιῶν ἔλεος δανιεῖ τῷ πλησίον, 1 **29**
καὶ ὁ ἐπισχύων τῇ χειρὶ αὐτοῦ τηρεῖ ἐντολάς.
2 δάνεισον τῷ πλησίον ἐν καιρῷ χρείας αὐτοῦ 2
καὶ πάλιν ἀπόδος τῷ πλησίον εἰς τὸν καιρόν·
3 στερέωσον λόγον καὶ πιστώθητι μετ' αὐτοῦ, 3
καὶ ἐν παντὶ καιρῷ εὑρήσεις τὴν χρείαν σου.
4 πολλοὶ ὡς εὕρημα ἐνόμισαν δάνος 4
καὶ παρέσχον κόπον τοῖς βοηθήσασιν αὐτοῖς.
5 ἕως οὗ λάβῃ, καταφιλήσει χεῖρας αὐτοῦ 5
καὶ ἐπὶ τῶν χρημάτων τοῦ πλησίον ταπεινώσει φωνήν·
6 καὶ ἐν καιρῷ ἀποδόσεως παρελκύσει χρόνον
καὶ ἀποδώσει λόγους ἀκηδίας
καὶ τὸν καιρὸν αἰτιάσεται.
7 ἐὰν ἰσχύσῃ, μόλις κομίσεται τὸ ἥμισυ 6
καὶ λογιεῖται αὐτὸ ὡς εὕρημα·
8 εἰ δὲ μή, ἀπεστέρησεν αὐτὸν τῶν χρημάτων αὐτοῦ,

καὶ ἐκτήσατο αὐτὸν ἐχθρὸν δωρεάν·
9 κατάρας καὶ λοιδορίας ἀποδώσει αὐτῷ
καὶ ἀντὶ δόξης ἀποδώσει αὐτῷ ἀτιμίαν.
10 πολλοὶ οὐ χάριν πονηρίας ἀπέστρεψαν, 7
ἀποστερηθῆναι δωρεὰν εὐλαβήθησαν.
11 πλὴν ἐπὶ ταπεινῷ μακροθύμησον 8
καὶ ἐπ' ἐλεημοσύνῃ μὴ παρελκύσῃς αὐτόν.
12 χάριν ἐντολῆς ἀντιλαβοῦ πένητος 9
καὶ κατὰ τὴν ἔνδειαν αὐτοῦ μὴ ἀποστρέψῃς αὐτὸν κενόν.
13 ἀπόλεσον ἀργύριον δι' ἀδελφὸν καὶ φίλον, 10
καὶ μὴ ἰωθήτω ὑπὸ τὸν λίθον εἰς ἀπώλειαν.
14 θὲς τὸν θησαυρόν σου κατ' ἐντολὰς ὑψίστου, 11
καὶ λυσιτελήσει σοι μᾶλλον ἢ τὸ χρυσίον.
15 σύγκλεισον ἐλεημοσύνην ἐν τοῖς ταμιείοις σου, 12
καὶ αὕτη ἐξελεῖταί σε ἐκ πάσης κακώσεως·
16 ὑπὲρ ἀσπίδα κράτους καὶ ὑπὲρ δόρυ ὁλκῆς 13
κατέναντι ἐχθροῦ πολεμήσει ὑπὲρ σοῦ.

95 1 Ἀνὴρ ἀγαθὸς ἐγγυήσεται τὸν πλησίον, 14
καὶ ὁ ἀπολωλεκὼς αἰσχύνην ἐγκαταλείψει αὐτόν.
2 χάριτας ἐγγύου μὴ ἐπιλάθῃ· 15
ἔδωκε γὰρ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ σοῦ.
3 ἀγαθὰ ἐγγύου ἀνατρέψει ἁμαρτωλός, 16
καὶ ἀχάριστος ἐν διανοίᾳ ἐγκαταλείψει ῥυσάμενον.
4 ἐγγύη πολλοὺς ἀπώλεσε κατευθύνοντας 17
καὶ ἐσάλευσεν αὐτοὺς ὡς κῦμα θαλάσσης·
5 ἄνδρας δυνατοὺς ἀπῴκισε, 18
καὶ ἐπλανήθησαν ἐν ἔθνεσιν ἀλλοτρίοις.
6 ἁμαρτωλὸς ἐμπεσὼν εἰς ἐγγύην 19
καὶ διώκων ἐργολαβίας ἐμπεσεῖται εἰς κρίσεις.
7 ἀντιλαβοῦ τοῦ πλησίον κατὰ δύναμίν σου 20
καὶ πρόσεχε σεαυτῷ μὴ ἐμπέσῃς.

96 1 Ἀρχὴ ζωῆς ὕδωρ καὶ ἄρτος καὶ ἱμάτιον 21
καὶ οἶκος καλύπτων ἀσχημοσύνην.
2 κρείσσων βίος πτωχοῦ ὑπὸ σκέπην δοκῶν 22
ἢ ἐδέσματα λαμπρὰ ἐν ἀλλοτρίοις.
3 ἐπὶ μικρῷ καὶ μεγάλῳ εὐδοκίαν ἔχε, 23
καὶ ὀνειδισμὸν παροικίας οὐ μὴ ἀκούσῃς.
4 ζωὴ πονηρὰ ἐξ οἰκίας εἰς οἰκίαν, 24
καὶ οὗ παροικήσεις, οὐκ ἀνοίξεις στόμα·
5 ξενιεῖς καὶ ποτιεῖς εἰς ἀχάριστα 25
καὶ πρὸς τούτοις πικρὰ ἀκούσῃ·
6 Πάρελθε, πάροικε, κόσμησον τράπεζαν, 26
καὶ εἴ τι ἐν τῇ χειρί σου, ψώμισόν με·
7 ἔξελθε, πάροικε, ἀπὸ προσώπου δόξης, 27

ἐπεξένωταί μοι ὁ ἀδελφός, χρεία τῆς οἰκίας.
8 βαρέα ταῦτα ἀνθρώπῳ ἔχοντι φρόνησιν, 28
ἐπιτίμησις οἰκίας καὶ ὀνειδισμὸς δανειστοῦ.

97 1 Ὁ ἀγαπῶν τὸν υἱὸν αὐτοῦ ἐνδελεχήσει μάστιγας αὐτῷ, 1 **30**
ἵνα εὐφρανθῇ ἐπ' ἐσχάτων αὐτοῦ·
2 ὁ παιδεύων τὸν υἱὸν αὐτοῦ ὀνήσεται ἐπ' αὐτῷ 2
καὶ ἀνὰ μέσον γνωρίμων ἐπ' αὐτῷ καυχήσεται·
3 ὁ διδάσκων τὸν υἱὸν αὐτοῦ παραζηλώσει τὸν ἐχθρὸν 3
καὶ ἔναντι φίλων ἐπ' αὐτῷ ἀγαλλιάσεται.
4 ἐτελεύτησεν αὐτοῦ ὁ πατήρ, καὶ ὡς οὐκ ἀπέθανεν· 4
ὅμοιον γὰρ αὐτῷ κατέλιπεν μετ' αὐτόν.
5 ἐν τῇ ζωῇ αὐτοῦ εἶδε καὶ εὐφράνθη 5
καὶ ἐν τῇ τελευτῇ αὐτοῦ οὐκ ἐλυπήθη·
6 ἐναντίον ἐχθρῶν κατέλιπεν ἔκδικον 6
καὶ τοῖς φίλοις ἀνταποδιδόντα χάριν.
7 περιψύχων υἱὸν καταδεσμεύσει τραύματα αὐτοῦ, 7
καὶ ἐπὶ πάσῃ βοῇ ταραχθήσεται σπλάγχνα αὐτοῦ.
8 ἵππος ἀδάμαστος ἐκβαίνει σκληρός, 8
καὶ υἱὸς ἀνειμένος ἐκβαίνει προαλής.
9 τιθήνησον τέκνον, καὶ ἐκθαμβήσει σε· 9
σύμπαιξον αὐτῷ, καὶ λυπήσει σε.
10 μὴ συγγελάσῃς αὐτῷ, ἵνα μὴ συνοδυνηθῇς, 10
καὶ ἐπ' ἐσχάτων γομφιάσεις τοὺς ὀδόντας σου.
11 μὴ δῷς αὐτῷ ἐξουσίαν ἐν νεότητι· 11
θλάσον τὰς πλευρὰς αὐτοῦ, ὡς ἔστι νήπιος, 12
μήποτε σκληρυνθεὶς ἀπειθήσῃ σοι.
12 παίδευσον τὸν υἱόν σου καὶ ἔργασαι ἐν αὐτῷ, 13
ἵνα μὴ ἐν τῇ ἀσχημοσύνῃ αὐτοῦ προσκόψῃς.

98 1 Κρείσσων πτωχὸς ὑγιὴς καὶ ἰσχύων τῇ ἕξει 14
ἢ πλούσιος μεμαστιγωμένος εἰς σῶμα αὐτοῦ.
2 ὑγίεια καὶ εὐεξία βελτίων παντὸς χρυσίου, 15
καὶ σῶμα εὔρωστον ἢ ὄλβος ἀμέτρητος.
3 οὐκ ἔστι πλοῦτος βελτίων ὑγιείας σώματος, 16
καὶ οὐκ ἔστιν εὐφροσύνη ὑπὲρ χαρὰν καρδίας.
4 κρείσσων θάνατος ὑπὲρ ζωὴν πικρὰν 17
καὶ ἀνάπαυσις αἰῶνος ἢ ἀρρώστημα ἔμμονον.
5 ἀγαθὰ ἐκκεχυμένα ἐπὶ στόματι κεκλεισμένῳ 18
θέματα βρωμάτων παρακείμενα ἐπὶ τάφῳ.
6 τί συμφέρει κάρπωσις εἰδώλῳ; 19
οὔτε γὰρ ἔδεται οὔτε μὴ ὀσφρανθῇ·
7 οὕτως ὁ ἐκδιωκόμενος ὑπὸ κυρίου·
βλέπων ἐν ὀφθαλμοῖς καὶ στενάζων, 20
ὥσπερ εὐνοῦχος περιλαμβάνων παρθένον καὶ στενάζων.

99 1 Μὴ δῷς εἰς λύπην τὴν ψυχήν σου 21
καὶ μὴ θλίψῃς σεαυτὸν ἐν βουλῇ σου.
2 εὐφροσύνη καρδίας ζωὴ ἀνθρώπου, 22
καὶ ἀγαλλίαμα ἀνδρὸς μακροημέρευσις.
3 ἀγάπα τὴν ψυχήν σου καὶ παρακάλει τὴν καρδίαν σου 23
καὶ λύπην μακρὰν ἀπόστησον ἀπὸ σοῦ·
4 πολλοὺς γὰρ ἀπώλεσεν ἡ λύπη,
καὶ οὐκ ἔστιν ὠφέλεια ἐν αὐτῇ.
5 ζῆλος καὶ θυμὸς ἐλαττοῦσιν ἡμέρας, 24
καὶ πρὸ καιροῦ γῆρας ἄγει μέριμνα.
6 λαμπρὰ καρδία καὶ ἀγαθὴ ἐπὶ ἐδέσμασι 25
τῶν βρωμάτων αὐτῆς ἐπιμελήσεται.

100 1 Ἀγρυπνία πλούτου ἐκτήκει σάρκας, 1 **31**
καὶ ἡ μέριμνα αὐτοῦ ἀφιστᾷ ὕπνον.
2 μέριμνα ἀγρυπνίας ἀποστήσει νυσταγμόν, 2
καὶ ἀρρώστημα βαρὺ ἐκνήψει ὕπνον.
3 ἐκοπίασε πλούσιος ἐν συναγωγῇ χρημάτων 3
καὶ ἐν τῇ ἀναπαύσει ἐμπίμπλαται τῶν τρυφημάτων αὐτοῦ.
4 ἐκοπίασε πτωχὸς ἐν ἐλαττώσει βίου 4
καὶ ἐν τῇ ἀναπαύσει ἐπιδεὴς γίνεται.
5 ὁ ἀγαπῶν χρυσίον οὐ δικαιωθήσεται, 5
καὶ ὁ διώκων διάφορα ἐν αὐτοῖς πλανηθήσεται.
6 πολλοὶ ἐδόθησαν εἰς πτῶμα χάριν χρυσίου, 6
καὶ ἐγενήθη ἡ ἀπώλεια αὐτῶν κατὰ πρόσωπον αὐτῶν.
7 ξύλον προσκόμματός ἐστι τοῖς ἐνθουσιάζουσιν αὐτῷ, 7
καὶ πᾶς ἄφρων ἁλώσεται ἐν αὐτῷ.
8 μακάριος πλούσιος, ὃς εὑρέθη ἄμωμος 8
καὶ ὃς ὀπίσω χρυσίου οὐκ ἐπορεύθη·
9 τίς ἐστιν; καὶ μακαριοῦμεν αὐτόν· 9
ἐποίησε γὰρ θαυμάσια ἐν λαῷ αὐτοῦ.
10 τίς ἐδοκιμάσθη ἐν αὐτῷ καὶ ἐτελειώθη; 10
καὶ ἔσται αὐτῷ εἰς καύχησιν.
11 τίς ἐδύνατο παραβῆναι καὶ οὐ παρέβη,
καὶ ποιῆσαι κακὰ καὶ οὐκ ἐποίησε;
12 στερεωθήσεται τὰ ἀγαθὰ αὐτοῦ, 11
καὶ τὰς ἐλεημοσύνας αὐτοῦ ἐκδιηγήσεται ἐκκλησία.

101 1 Ἐπὶ τραπέζης μεγάλης ἐκάθισας; 12
μὴ ἀνοίξῃς ἐπ' αὐτῆς φάρυγγά σου
2 καὶ μὴ εἴπῃς Πολλά γε τὰ ἐπ' αὐτῆς·
μνήσθητι ὅτι κακὸν ὀφθαλμὸς πονηρός· 13
3 πονηρότερον ὀφθαλμοῦ τί ἔκτισται;
διὰ τοῦτο ἀπὸ παντὸς προσώπου δακρύει.
4 οὗ ἐὰν ἐπιβλέψῃ, μὴ ἐκτείνῃς χεῖρα 14
καὶ μὴ συνθλίβου αὐτῷ ἐν τρυβλίῳ.

5 νόει τὰ τοῦ πλησίον ἐκ σεαυτοῦ 15
καὶ ἐπὶ παντὶ πράγματι διανοοῦ.
6 φάγε ὡς ἄνθρωπος τὰ παρακείμενά σοι 16
καὶ μὴ διαμασῶ, μὴ μισηθῇς.
7 παῦσαι πρῶτος χάριν παιδείας 17
καὶ μὴ ἀπληστεύου, μήποτε προσκόψῃς·
8 καὶ εἰ ἀνὰ μέσον πλειόνων ἐκάθισας, 18
πρότερος αὐτῶν μὴ ἐκτείνῃς τὴν χεῖρά σου.

102 1 Ὡς ἱκανὸν ἀνθρώπῳ πεπαιδευμένῳ τὸ ὀλίγον, 19
καὶ ἐπὶ τῆς κοίτης αὐτοῦ οὐκ ἀσθμαίνει.
2 ὕπνος ὑγιείας ἐπὶ ἐντέρῳ μετρίῳ· 20
ἀνέστη πρωΐ, καὶ ἡ ψυχὴ αὐτοῦ μετ' αὐτοῦ.
3 πόνος ἀγρυπνίας καὶ χολέρας
καὶ στρόφος μετὰ ἀνδρὸς ἀπλήστου·
4 καὶ εἰ ἐβιάσθης ἐν ἐδέσμασιν, 21
ἀνάστα ἔμεσον πόρρω, καὶ ἀναπαύσῃ.
5 ἄκουσόν μου, τέκνον, καὶ μὴ ἐξουδενώσῃς με, 22
καὶ ἐπ' ἐσχάτων εὑρήσεις τοὺς λόγους μου·
6 ἐν πᾶσι τοῖς ἔργοις σου γίνου ἐντρεχής,
καὶ πᾶν ἀρρώστημα οὐ μή σοι ἀπαντήσῃ.
7 λαμπρὸν ἐπ' ἄρτοις εὐλογήσει χείλη, 23
καὶ ἡ μαρτυρία τῆς καλλονῆς αὐτοῦ πιστή.
8 πονηρῷ ἐπ' ἄρτῳ διαγογγύσει πόλις, 24
καὶ ἡ μαρτυρία τῆς πονηρίας αὐτοῦ ἀκριβής.

103 1 Ἐν οἴνῳ μὴ ἀνδρίζου· 25
πολλοὺς γὰρ ἀπώλεσεν ὁ οἶνος.
2 κάμινος δοκιμάζει στόμωμα ἐν βαφῇ, 26
οὕτως οἶνος καρδίας ἐν μάχῃ ὑπερηφάνων.
3 ἔπισον ζωῆς οἶνος ἀνθρώποις, 27
ἐὰν πίνῃς αὐτὸν ἐν μέτρῳ αὐτοῦ.
4 τίς ζωὴ ἐλασσουμένῳ οἴνῳ;
καὶ αὐτὸς ἔκτισται εἰς εὐφροσύνην ἀνθρώποις.
5 ἀγαλλίαμα καρδίας καὶ εὐφροσύνη ψυχῆς 28
οἶνος πινόμενος ἐν καιρῷ αὐτάρκης·
6 πικρία ψυχῆς οἶνος πινόμενος πολὺς 29
ἐν ἐρεθισμῷ καὶ ἀντιπτώματι.
7 πληθύνει μέθη θυμὸν ἄφρονος εἰς πρόσκομμα 30
ἐλαττῶν ἰσχὺν καὶ προσποιῶν τραύματα.
8 ἐν συμποσίῳ οἴνου μὴ ἐλέγξῃς τὸν πλησίον 31
καὶ μὴ ἐξουθενήσῃς αὐτὸν ἐν εὐφροσύνῃ αὐτοῦ·
9 λόγον ὀνειδισμοῦ μὴ εἴπῃς αὐτῷ
καὶ μὴ αὐτὸν θλίψῃς ἐν ἀπαιτήσει.

104 1 Ἡγούμενόν σε κατέστησαν; μὴ ἐπαίρου· 1 **32**

γίνου ἐν αὐτοῖς ὡς εἷς ἐξ αὐτῶν.
2 φρόντισον αὐτῶν καὶ οὕτω κάθισον,
καὶ πᾶσαν τὴν χρείαν σου ποιήσας ἀνάπεσε· 2
3 ἵνα εὐφρανθῇς δι' αὐτοὺς
καὶ εὐκοσμίας χάριν λάβῃς στέφανον.

105 1 Λάλησον, πρεσβύτερε, πρέπει γάρ σοι, 3
ἐν ἀκριβεῖ ἐπιστήμῃ καὶ μὴ ἐμποδίσῃς μουσικά.
2 ὅπου ἀκρόαμα, μὴ ἐκχέῃς λαλιὰν 4
καὶ ἀκαίρως μὴ σοφίζου.
3 σφραγὶς ἄνθρακος ἐπὶ κόσμῳ χρυσῷ 5
σύγκριμα μουσικῶν ἐν συμποσίῳ οἴνου·
4 ἐν κατασκευάσματι χρυσῷ σφραγὶς σμαράγδου 6
μέλος μουσικῶν ἐφ' ἡδεῖ οἴνῳ.

106 1 Λάλησον, νεανίσκε, εἰ χρεία σου, 7
μόλις δὶς ἐὰν ἐπερωτηθῇς·
2 κεφαλαίωσον λόγον, ἐν ὀλίγοις πολλά· 8
γίνου ὡς γινώσκων καὶ ἅμα σιωπῶν.
3 ἐν μέσῳ μεγιστάνων μὴ ἐξισάζου 9
καὶ ἑτέρου λέγοντος μὴ πολλὰ ἀδολέσχει.
4 πρὸ βροντῆς κατασπεύδει ἀστραπή, 10
καὶ πρὸ αἰσχυντηροῦ προελεύσεται χάρις.
5 ἐν ὥρᾳ ἐξεγείρου καὶ μὴ οὐράγει, 11
ἀπότρεχε εἰς οἶκον καὶ μὴ ῥᾳθύμει·
6 ἐκεῖ παῖζε καὶ ποίει τὰ ἐνθυμήματά σου 12
καὶ μὴ ἁμάρτῃς λόγῳ ὑπερηφάνῳ.
7 καὶ ἐπὶ τούτοις εὐλόγησον τὸν ποιήσαντά σε 13
καὶ μεθύσκοντά σε ἀπὸ τῶν ἀγαθῶν αὐτοῦ.

107 1 Ὁ φοβούμενος Κύριον ἐκδέξεται παιδείαν, 14
καὶ οἱ ὀρθρίζοντες εὑρήσουσιν εὐδοκίαν.
2 ὁ ζητῶν νόμον ἐμπλησθήσεται αὐτοῦ, 15
καὶ ὁ ὑποκρινόμενος σκανδαλισθήσεται ἐν αὐτῷ.
3 οἱ φοβούμενοι Κύριον εὑρήσουσι κρῖμα 16
καὶ δικαιώματα ὡς φῶς ἐξάψουσιν.
4 ἄνθρωπος ἁμαρτωλὸς ἐκκλινεῖ ἐλεγμὸν 17
καὶ κατὰ τὸ θέλημα αὐτοῦ εὑρήσει σύγκριμα.

108 1 Ἀνὴρ βουλῆς οὐ μὴ παρίδῃ διανόημα, 18
ἀλλότριος καὶ ὑπερήφανος οὐ καταπτήξει φόβον.
2 ἄνευ βουλῆς μηθὲν ποιήσῃς 19
καὶ ἐν τῷ ποιῆσαί σε μὴ μεταμελοῦ.
3 ἐν ὁδῷ ἀντιπτώματος μὴ πορεύου 20
καὶ μὴ προσκόψῃς ἐν λιθώδεσιν.
4 μὴ πιστεύσῃς ἐν ὁδῷ ἀπροσκόπῳ 21
καὶ ἀπὸ τῶν τέκνων σου φύλαξαι. 22

5 ἐν παντὶ ἔργῳ πίστευε τῇ ψυχῇ σου· 23
καὶ γὰρ τοῦτό ἐστι τήρησις ἐντολῶν.
6 ὁ πιστεύων νόμῳ προσέχει ἐντολαῖς, 24
καὶ ὁ πεποιθὼς Κυρίῳ οὐκ ἐλαττωθήσεται.

109 1 Τῷ φοβουμένῳ Κύριον οὐκ ἀπαντήσει κακόν, 1 **33**
ἀλλ' ἐν πειρασμῷ καὶ πάλιν ἐξελεῖται.
2 ἀνὴρ σοφὸς οὐ μισήσει νόμον, 2
ὁ δὲ ὑποκρινόμενος ἐν αὐτῷ ὡς ἐν καταιγίδι πλοῖον.
3 ἄνθρωπος συνετὸς ἐμπιστεύσει νόμῳ, 3
καὶ ὁ νόμος αὐτῷ πιστὸς ὡς ἐρώτημα δήλων.
4 ἑτοίμασον λόγον καὶ οὕτως ἀκουσθήσῃ, 4
σύνδησον παιδείαν καὶ ἀποκρίθητι.
5 τροχὸς ἁμάξης σπλάγχνα μωροῦ, 5
καὶ ὡς ἄξων στρεφόμενος ὁ διαλογισμὸς αὐτοῦ.
6 ἵππος εἰς ὀχείαν ὡς φίλος μωκός, 6
ὑποκάτω παντὸς ἐπικαθημένου χρεμετίζει.

110 1 Διὰ τί ἡμέρα ἡμέρας ὑπερέχει, 7
καὶ πᾶν φῶς ἡμέρας ἐνιαυτοῦ ἀφ' ἡλίου;
2 ἐν γνώσει Κυρίου διεχωρίσθησαν, 8
καὶ ἠλλοίωσε καιροὺς καὶ ἑορτάς·
3 ἀπ' αὐτῶν ἀνύψωσε καὶ ἡγίασε 9
καὶ ἐξ αὐτῶν ἔθηκεν εἰς ἀριθμὸν ἡμερῶν.
4 καὶ ἄνθρωποι πάντες ἀπὸ ἐδάφους, 10
καὶ ἐκ γῆς ἐκτίσθη Ἀδάμ·
5 ἐν πλήθει ἐπιστήμης Κύριος διεχώρισεν αὐτοὺς 11
καὶ ἠλλοίωσε τὰς ὁδοὺς αὐτῶν·
6 ἐξ αὐτῶν εὐλόγησε καὶ ἀνύψωσε 12
καὶ ἐξ αὐτῶν ἡγίασε καὶ πρὸς αὐτὸν ἤγγισεν·
7 ἀπ' αὐτῶν κατηράσατο καὶ ἐταπείνωσε
καὶ ἀνέστρεψεν αὐτοὺς ἀπὸ στάσεως αὐτῶν.
8 ὡς πηλὸς κεραμέως ἐν χειρὶ αὐτοῦ 13
–πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κατὰ τὴν εὐδοκίαν αὐτοῦ–,
9 οὕτως ἄνθρωποι ἐν χειρὶ τοῦ ποιήσαντος αὐτοὺς
ἀποδοῦναι αὐτοῖς κατὰ τὴν κρίσιν αὐτοῦ.
10 ἀπέναντι τοῦ κακοῦ τὸ ἀγαθόν, 14
καὶ ἀπέναντι τοῦ θανάτου ἡ ζωή,
11 οὕτως ἀπέναντι εὐσεβοῦς ἁμαρτωλός·
καὶ οὕτως ἔμβλεψον εἰς πάντα τὰ ἔργα τοῦ ὑψίστου, 15
δύο δύο, ἓν κατέναντι τοῦ ἑνός.

111 1 Κἀγὼ ἔσχατος ἠγρύπνησα 16
ὡς καλαμώμενος ὀπίσω τρυγητῶν·
2 ἐν εὐλογίᾳ Κυρίου ἔφθασα 17
καὶ ὡς τρυγῶν ἐπλήρωσα ληνόν.

3 κατανοήσατε ὅτι οὐκ ἐμοὶ μόνῳ ἐκοπίασα, 18
ἀλλὰ πᾶσι τοῖς ζητοῦσιν παιδείαν.
4 ἀκούσατέ μου, μεγιστᾶνες λαοῦ, 19
καὶ οἱ ἡγούμενοι ἐκκλησίας, ἐνωτίσασθε.

112 1 Υἱῷ καὶ γυναικί, ἀδελφῷ καὶ φίλῳ 20
μὴ δῷς ἐξουσίαν ἐπὶ σὲ ἐν ζωῇ σου·
2 καὶ μὴ δῷς ἑτέρῳ τὰ χρήματά σου,
ἵνα μὴ μεταμεληθεὶς δέῃ περὶ αὐτῶν.
3 ἕως ἔτι ζῇς καὶ πνοὴ ἐν σοί, 21
μὴ ἀλλάξῃς σεαυτὸν ἐν πάσῃ σαρκί·
4 κρεῖσσον γάρ ἐστι τὰ τέκνα δεηθῆναί σου 22
ἢ σὲ ἐμβλέπειν εἰς χεῖρας υἱῶν σου.
5 ἐν πᾶσι τοῖς ἔργοις σου γίνου ὑπεράγων, 23
μὴ δῷς μῶμον ἐν τῇ δόξῃ σου.
6 ἐν ἡμέρᾳ συντελείας ἡμερῶν ζωῆς σου 24
καὶ ἐν καιρῷ τελευτῆς διάδος κληρονομίαν.

113 1 Χορτάσματα καὶ ῥάβδος καὶ φορτία ὄνῳ, 25
ἄρτος καὶ παιδεία καὶ ἔργον οἰκέτῃ.
2 ἔργασαι ἐν παιδί, καὶ εὑρήσεις ἀνάπαυσιν· 26
ἄνες χεῖρας αὐτῷ, καὶ ζητήσει ἐλευθερίαν.
3 ζυγὸς καὶ ἱμὰς τράχηλον κάμψουσι, 27
καὶ οἰκέτῃ κακούργῳ στρέβλαι καὶ βάσανοι·
4 ἔμβαλε αὐτὸν εἰς ἐργασίαν, ἵνα μὴ ἀργῇ, 28
πολλὴν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία·
5 εἰς ἔργα κατάστησον, καθὼς πρέπει αὐτῷ, 29
κἂν μὴ πειθαρχῇ, βάρυνον τὰς πέδας αὐτοῦ.
6 καὶ μὴ περισσεύσῃς ἐπὶ πάσῃ σαρκὶ 30
καὶ ἄνευ κρίσεως μὴ ποιήσῃς μηδέν.
7 εἰ ἔστι σοι οἰκέτης, ἔστω ὡς σύ, 31
ὅτι ἐν αἵματι ἐκτήσω αὐτόν·
8 εἰ ἔστι σοι οἰκέτης, ἄγε αὐτὸν ὡς ἀδελφόν, 32
ὅτι ὡς ἡ ψυχή σου ἐπιδεήσεις αὐτῷ·
9 ἐὰν κακώσῃς αὐτὸν καὶ ἀπάρας ἀποδρᾷ, 33
ἐν ποίᾳ ὁδῷ ζητήσεις αὐτόν;

114 1 Κεναὶ ἐλπίδες καὶ ψευδεῖς ἀσυνέτῳ ἀνδρί, 1 **34**
καὶ ἐνύπνια ἀναπτεροῦσιν ἄφρονας.
2 ὡς δρασσόμενος σκιᾶς καὶ διώκων ἄνεμον 2
οὕτως ὁ ἐπέχων ἐνυπνίοις·
3 τοῦτο κατὰ τούτου ὅρασις ἐνυπνίων, 3
κατέναντι προσώπου ὁμοίωμα προσώπου.
4 ἀπὸ ἀκαθάρτου τί καθαρισθήσεται; 4
καὶ ἀπὸ ψευδοῦς τί ἀληθεύσει;
5 μαντεῖαι καὶ οἰωνισμοὶ καὶ ἐνύπνια μάταιά ἐστι, 5

καὶ ὡς ὠδινούσης φαντάζεται καρδία·
6 ἐὰν μὴ παρὰ ὑψίστου ἀποσταλῇ ἐν ἐπισκοπῇ, 6
μὴ δῷς εἰς αὐτὰ τὴν καρδίαν σου·
7 πολλοὺς γὰρ ἐπλάνησε τὰ ἐνύπνια, 7
καὶ ἐξέπεσον ἐλπίζοντες ἐπ' αὐτοῖς.
8 ἄνευ ψεύδους συντελεσθήσεται νόμος, 8
καὶ σοφία στόματι πιστῷ τελείωσις.

115 1 Ἀνὴρ πεπλανημένος ἔγνω πολλά, 9
καὶ ὁ πολύπειρος ἐκδιηγήσεται σύνεσιν·
2 ὃς οὐκ ἐπειράθη, ὀλίγα οἶδεν, 10
ὁ δὲ πεπλανημένος πληθυνεῖ πανουργίαν.
3 πολλὰ ἑώρακα ἐν τῇ ἀποπλανήσει μου, 11
καὶ πλείονα τῶν λόγων μου σύνεσίς μου·
4 πλεονάκις ἕως θανάτου ἐκινδύνευσα 12
καὶ διεσώθην τούτων χάριν.
5 πνεῦμα φοβουμένων Κύριον ζήσεται· 13
ἡ γὰρ ἐλπὶς αὐτῶν ἐπὶ τὸν σῴζοντα αὐτούς.
6 ὁ φοβούμενος Κύριον οὐδὲν εὐλαβηθήσεται 14
καὶ οὐ μὴ δειλιάσῃ, ὅτι αὐτὸς ἐλπὶς αὐτοῦ.
7 φοβουμένου τὸν Κύριον μακαρία ἡ ψυχή· 15
τίνι ἐπέχει; καὶ τίς αὐτοῦ στήριγμα;
8 οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς ἀγαπῶντας αὐτόν, 16
ὑπερασπισμὸς δυναστείας καὶ στήριγμα ἰσχύος,
9 σκέπη ἀπὸ καύσωνος καὶ σκέπη ἀπὸ μεσημβρίας,
φυλακὴ ἀπὸ προσκόμματος καὶ βοήθεια ἀπὸ πτώσεως,
10 ἀνυψῶν ψυχὴν καὶ φωτίζων ὀφθαλμούς, 17
ἴασιν διδούς, ζωὴν καὶ εὐλογίαν.

116 1 Θυσιάζων ἐξ ἀδίκου προσφορὰ μεμωμημένη, 18
καὶ οὐκ εἰς εὐδοκίαν δωρήματα ἀνόμων.
2 οὐκ εὐδοκεῖ ὁ ὕψιστος ἐν προσφοραῖς ἀσεβῶν 19
οὐδὲ ἐν πλήθει θυσιῶν ἐξιλάσκεται ἁμαρτίας.
3 θύων υἱὸν ἔναντι τοῦ πατρὸς αὐτοῦ 20
ὁ προσάγων θυσίαν ἐκ χρημάτων πενήτων.
4 ἄρτος ἐπιδεομένων ζωὴ πτωχῶν, 21
ὁ ἀποστερῶν αὐτὴν ἄνθρωπος αἱμάτων.
5 φονεύων τὸν πλησίον ὁ ἀφαιρούμενος ἐμβίωσιν, 22
καὶ ἐκχέων αἷμα ὁ ἀποστερῶν μισθὸν μισθίου.
6 εἷς οἰκοδομῶν, καὶ εἷς καθαιρῶν· 23
τί ὠφέλησαν πλεῖον ἢ κόπους;
7 εἷς εὐχόμενος, καὶ εἷς καταρώμενος· 24
τίνος φωνῆς εἰσακούσεται ὁ δεσπότης;
8 βαπτιζόμενος ἀπὸ νεκροῦ καὶ πάλιν ἁπτόμενος αὐτοῦ, 25
τί ὠφέλησεν ἐν τῷ λουτρῷ αὐτοῦ;
9 οὕτως ἄνθρωπος νηστεύων ἐπὶ τῶν ἁμαρτιῶν αὐτοῦ 26

καὶ πάλιν πορευόμενος καὶ τὰ αὐτὰ ποιῶν·
10 τῆς προσευχῆς αὐτοῦ τίς εἰσακούσεται;
καὶ τί ὠφέλησεν ἐν τῷ ταπεινωθῆναι αὐτόν;

117 1 Ὁ συντηρῶν νόμον πλεονάζει προσφορᾶς, 1 **35**
θυσιάζων σωτηρίου ὁ προσέχων ἐντολαῖς.
2 ἀνταποδιδοὺς χάριν προσφέρων σεμίδαλιν, 2
καὶ ὁ ποιῶν ἐλεημοσύνην θυσιάζων αἰνέσεως.
3 εὐδοκία Κυρίου ἀποστῆναι ἀπὸ πονηρίας, 3
καὶ ἐξιλασμὸς ἀποστῆναι ἀπὸ ἀδικίας.
4 μὴ ὀφθῇς ἐν προσώπῳ Κυρίου κενός· 4
πάντα γὰρ ταῦτα χάριν ἐντολῆς.
5 προσφορὰ δικαίου λιπαίνει θυσιαστήριον, 5
καὶ ἡ εὐωδία αὐτῆς ἔναντι ὑψίστου.
6 θυσία ἀνδρὸς δικαίου δεκτή, 6
καὶ τὸ μνημόσυνον αὐτῆς οὐκ ἐπιλησθήσεται.
7 ἐν ἀγαθῷ ὀφθαλμῷ δόξασον τὸν Κύριον 7
καὶ μὴ σμικρύνῃς ἀπαρχὴν χειρῶν σου.
8 ἐν πάσῃ δόσει ἱλάρωσον τὸ πρόσωπόν σου 8
καὶ ἐν εὐφροσύνῃ ἁγίασον δεκάτην.
9 δὸς ὑψίστῳ κατὰ τὴν δόσιν αὐτοῦ 9
καὶ ἐν ἀγαθῷ ὀφθαλμῷ καθ' εὕρεμα χειρός·
10 ὅτι Κύριος ἀνταποδιδούς ἐστι 10
καὶ ἑπταπλάσια ἀνταποδώσει σοι.

118 1 Μὴ δωροκόπει, οὐ γὰρ προσδέξεται, 11
καὶ μὴ ἔπεχε θυσίᾳ ἀδίκῳ·
2 ὅτι Κύριος κριτής ἐστι, 12
καὶ οὐκ ἔστι παρ' αὐτῷ δόξα προσώπου.
3 οὐ λήψεται πρόσωπον ἐπὶ πτωχοῦ 13
καὶ δέησιν ἠδικημένου εἰσακούσεται·
4 οὐ μὴ ὑπερίδῃ ἱκετείαν ὀρφανοῦ 14
καὶ χήραν, ἐὰν ἐκχέῃ λαλιάν·
5 οὐχὶ δάκρυα χήρας ἐπὶ σιαγόνα καταβαίνει 15
καὶ ἡ καταβόησις ἐπὶ τῷ καταγαγόντι αὐτά;
6 θεραπεύων ἐν εὐδοκίᾳ δεχθήσεται, 16
καὶ ἡ δέησις αὐτοῦ ἕως νεφελῶν συνάψει·
7 προσευχὴ ταπεινοῦ νεφέλας διῆλθε, 17
καὶ ἕως συνεγγίσῃ, οὐ μὴ παρακληθῇ·
8 καὶ οὐ μὴ ἀποστῇ, ἕως ἐπισκέψηται ὁ ὕψιστος 18
καὶ κρινεῖ δικαίοις καὶ ποιήσει κρίσιν.
9 καὶ ὁ Κύριος οὐ μὴ βραδυνεῖ 19
οὐδὲ μὴ μακροθυμήσῃ ἐπ' αὐτοῖς.
10 ἕως ἂν συντρίψῃ ὀσφὺν ἀνελεημόνων 20
καὶ τοῖς ἔθνεσιν ἀνταποδώσει ἐκδίκησιν,
11 ἕως ἐξάρῃ πλῆθος ὑβριστῶν 21

καὶ σκῆπτρα ἀδίκων συντρίψῃ,
12 ἕως ἀνταποδῷ ἀνθρώπῳ κατὰ τὰς πράξεις αὐτοῦ 22
καὶ τὰ ἔργα τῶν ἀνθρώπων κατὰ τὰ ἐνθυμήματα αὐτῶν,
13 ἕως κρίνῃ τὴν κρίσιν τοῦ λαοῦ αὐτοῦ 23
καὶ εὐφρανεῖ αὐτοὺς ἐν τῷ ἐλέει αὐτοῦ.
14 ὡραῖον ἔλεος ἐν καιρῷ θλίψεως αὐτοῦ 24
ὡς νεφέλαι ὑετοῦ ἐν καιρῷ ἀβροχίας.

119 1 Ἐλέησον ἡμᾶς, δέσποτα ὁ θεὸς πάντων, καὶ ἐπίβλεψον 1 **36**
καὶ ἐπίβαλε τὸν φόβον σου ἐπὶ πάντα τὰ ἔθνη·
2 ἔπαρον τὴν χεῖρά σου ἐπὶ ἔθνη ἀλλότρια, 2
καὶ ἰδέτωσαν τὴν δυναστείαν σου.
3 ὥσπερ ἐνώπιον αὐτῶν ἡγιάσθης ἐν ἡμῖν, 3
οὕτως ἐνώπιον ἡμῶν μεγαλυνθείης ἐν αὐτοῖς·
4 καὶ ἐπιγνώτωσάν σε, καθάπερ καὶ ἡμεῖς ἐπέγνωμεν 4
ὅτι οὐκ ἔστι θεὸς πλὴν σοῦ, Κύριε.
5 ἐγκαίνισον σημεῖα καὶ ἀλλοίωσον θαυμάσια, 5
δόξασον χεῖρα καὶ βραχίονα δεξιόν·
6 ἔγειρον θυμὸν καὶ ἔκχεον ὀργήν, 6
ἔξαρον ἀντίδικον καὶ ἔκτριψον ἐχθρόν.
7 σπεῦσον καιρὸν καὶ μνήσθητι ὁρκισμοῦ, 7
καὶ ἐκδιηγησάσθωσαν τὰ μεγαλεῖά σου.
8 ἐν ὀργῇ πυρὸς καταβρωθήτω ὁ σῳζόμενος, 8
καὶ οἱ κακοῦντες τὸν λαόν σου εὕροισαν ἀπώλειαν.
9 σύντριψον κεφαλὰς ἀρχόντων ἐχθρῶν 9
λεγόντων Οὐκ ἔστιν πλὴν ἡμῶν.
10 συνάγαγε πάσας φυλὰς Ἰακὼβ 10
καὶ κατακληρονόμησον αὐτοὺς καθὼς ἀπ' ἀρχῆς.
11 ἐλέησον λαόν, Κύριε, κεκλημένον ἐπ' ὀνόματί σου 11
καὶ Ἰσραήλ, ὃν πρωτογόνῳ ὡμοίωσας.
12 οἰκτίρησον πόλιν ἁγιάσματός σου, 12
Ἰερουσαλὴμ τόπον καταπαύματός σου·
13 πλῆσον Σιὼν ἀρεταλογίας σου 13
καὶ ἀπὸ τῆς δόξης σου τὸν λαόν σου.
14 δὸς μαρτύριον τοῖς ἐν ἀρχῇ κτίσμασί σου 14
καὶ ἔγειρον προφητείας τὰς ἐπ' ὀνόματί σου·
15 δὸς μισθὸν τοῖς ὑπομένουσί σε, 15
καὶ οἱ προφῆταί σου ἐμπιστευθήτωσαν.
16 εἰσάκουσον, Κύριε, δεήσεως τῶν ἱκετῶν σου 16
κατὰ τὴν εὐλογίαν Ἀαρὼν περὶ τοῦ λαοῦ σου,
17 καὶ γνώσονται πάντες οἱ ἐπὶ τῆς γῆς 17
ὅτι σὺ Κύριος εἶ ὁ θεὸς τῶν αἰώνων.

120 1 Πᾶν βρῶμα φάγεται κοιλία, 18
ἔστι δὲ βρῶμα βρώματος κάλλιον.
2 <ὡς> φάρυγξ γεύεται βρώματα θήρας, 19

οὕτω καρδία συνετὴ λόγους ψευδεῖς.
3 καρδία στρεβλὴ δώσει λύπην, 20
καὶ ἄνθρωπος πολύπειρος ἀνταποδώσει αὐτῷ.
4 πάντα ἄρρενα ἐπιδέξεται γυνή, 21
ἔστι δὲ θυγάτηρ θυγατρὸς κρείσσων.
5 κάλλος γυναικὸς ἱλαρύνει πρόσωπον 22
καὶ ὑπὲρ πᾶσαν ἐπιθυμίαν ἀνθρώπου ὑπεράγει·
6 εἰ ἔστιν ἐπὶ γλώσσης αὐτῆς ἔλεος καὶ πραΰτης, 23
οὐκ ἔστιν ὁ ἀνὴρ αὐτῆς καθ' υἱοὺς ἀνθρώπων.
7 ὁ κτώμενος γυναῖκα ἐνάρχεται κτήσεως, 24
βοηθὸν κατ' αὐτὸν καὶ στῦλον ἀναπαύσεως.
8 οὗ οὐκ ἔστι φραγμός, διαρπαγήσεται κτῆμα· 25
καὶ οὗ οὐκ ἔστι γυνή, στενάξει πλανώμενος.
9 τίς γὰρ πιστεύσει εὐζώνῳ λῃστῇ 26
ἀφαλλομένῳ ἐκ πόλεως εἰς πόλιν;
10 οὕτως ἀνθρώπῳ μὴ ἔχοντι νοσσιὰν 27
καὶ καταλύοντι οὗ ἐὰν ὀψίσῃ.

121 1 Πᾶς φίλος ἐρεῖ Ἐφιλίασα κἀγώ· 1 **37**
ἀλλ' ἔστι φίλος ὀνόματι μόνον φίλος.
2 οὐχὶ λύπη ἔνι ἕως θανάτου 2
ἑταῖρος καὶ φίλος τρεπόμενος εἰς ἔχθραν;
3 ὦ πονηρὸν ἐνθύμημα, πόθεν ἐνεκυλίσθης 3
καλύψαι τὴν ξηρὰν ἐν δολιότητι;
4 ἑταῖρος φίλου ἐν εὐφροσύνῃ ἥδεται 4
καὶ ἐν καιρῷ θλίψεως ἔσται ἀπέναντι·
5 ἑταῖρος φίλῳ συμπονεῖ χάριν γαστρός, 5
ἔναντι πολέμου λήψεται ἀσπίδα.
6 μὴ ἐπιλάθῃ φίλου ἐν τῇ ψυχῇ σου 6
καὶ μὴ ἀμνημονήσῃς αὐτοῦ ἐν χρήμασί σου.

122 1 Πᾶς σύμβουλος ἐξαίρει βουλήν, 7
ἀλλ' ἔστι συμβουλεύων εἰς ἑαυτόν.
2 ἀπὸ συμβούλου φύλαξον τὴν ψυχήν σου 8
καὶ γνῶθι πρότερον τίς αὐτοῦ χρεία
–καὶ γὰρ αὐτὸς ἑαυτῷ βουλεύσεται–,
3 μήποτε βάλῃ ἐπὶ σοὶ κλῆρον
καὶ εἴπῃ σοι Καλὴ ἡ ὁδός σου, 9
4 καὶ στήσεται ἐξ ἐναντίας ἰδεῖν τὸ συμβησόμενόν σοι.
5 μὴ βουλεύου μετὰ τοῦ ὑποβλεπομένου σε 10
καὶ ἀπὸ τῶν ζηλούντων σε κρύψον βουλήν,
6 μετὰ γυναικὸς περὶ τῆς ἀντιζήλου αὐτῆς 11
καὶ μετὰ δειλοῦ περὶ πολέμου,
7 μετὰ ἐμπόρου περὶ μεταβολίας
καὶ μετ' ἀγοράζοντος περὶ πράσεως,
8 μετὰ βασκάνου περὶ εὐχαριστίας

καὶ μετ᾽ ἀνελεήμονος περὶ χρηστοηθείας,
9 μετὰ ὀκνηροῦ περὶ παντὸς ἔργου
καὶ μετὰ μισθίου ἐπετείου περὶ συντελείας,
10 οἰκέτῃ ἀργῷ περὶ πολλῆς ἐργασίας,
μὴ ἔπεχε ἐπὶ τούτοις περὶ πάσης συμβουλίας·
11 ἀλλ᾽ ἢ μετὰ ἀνδρὸς εὐσεβοῦς ἐνδελέχιζε, 12
ὃν ἂν ἐπιγνῷς συντηροῦντα ἐντολάς,
12 ὃς ἐν τῇ ψυχῇ αὐτοῦ κατὰ τὴν ψυχήν σου,
καὶ ἐὰν πταίσῃς, συναλγήσει σοι.
13 καὶ βουλὴν καρδίας στῆσον, 13
οὐ γὰρ ἔστι σοι πιστότερος αὐτῆς·
14 ψυχὴ γὰρ ἀνδρὸς ἀπαγγέλλειν ἐνίοτε εἴωθεν 14
ἢ ἑπτὰ σκοποὶ ἐπὶ μετεώρου καθήμενοι ἐπὶ σκοπῆς.
15 καὶ ἐπὶ πᾶσι τούτοις δεήθητι ὑψίστου, 15
ἵνα εὐθύνῃ ἐν ἀληθείᾳ τὴν ὁδόν σου.

123 1 Ἀρχὴ παντὸς ἔργου λόγος, 16
καὶ πρὸ πάσης πράξεως βουλή.
2 ἴχνος ἀλλοιώσεως καρδίας 17
τέσσαρα μέρη ἀνατέλλει,
3 ἀγαθὸν καὶ κακόν, ζωὴ καὶ θάνατος, 18
καὶ ἡ κυριεύουσα ἐνδελεχῶς αὐτῶν γλῶσσά ἐστιν.
4 ἔστιν ἀνὴρ πανοῦργος πολλῶν παιδευτής, 19
καὶ τῇ ἰδίᾳ ψυχῇ ἐστιν ἄχρηστος.
5 ἔστι σοφιζόμενος ἐν λόγοις μισητός, 20
οὗτος πάσης τροφῆς καθυστερήσει·
6 οὐ γὰρ ἐδόθη αὐτῷ παρὰ Κυρίου χάρις, 21
ὅτι πάσης σοφίας ἐστερήθη.
7 ἔστι σοφὸς τῇ ἰδίᾳ ψυχῇ, 22
καὶ οἱ καρποὶ τῆς συνέσεως αὐτοῦ ἐπὶ στόματος πιστοί.
8 ἀνὴρ σοφὸς τὸν ἑαυτοῦ λαὸν παιδεύσει, 23
καὶ οἱ καρποὶ τῆς συνέσεως αὐτοῦ πιστοί.
9 ἀνὴρ σοφὸς πλησθήσεται εὐλογίας, 24
καὶ μακαριοῦσιν αὐτὸν πάντες οἱ ὁρῶντες.
10 ζωὴ ἀνδρὸς ἐν ἀριθμῷ ἡμερῶν, 25
καὶ αἱ ἡμέραι τοῦ Ἰσραὴλ ἀναρίθμητοι.
11 ὁ σοφὸς ἐν τῷ λαῷ αὐτοῦ κληρονομήσει πίστιν, 26
καὶ τὸ ὄνομα αὐτοῦ ζήσεται εἰς τὸν αἰῶνα.

124 1 Τέκνον, ἐν ζωῇ σου πείρασον τὴν ψυχήν σου 27
καὶ ἴδε τί πονηρὸν αὐτῇ καὶ μὴ δῷς αὐτῇ·
2 οὐ γὰρ πάντα πᾶσι συμφέρει, 28
καὶ οὐ πᾶσα ψυχὴ ἐν παντὶ εὐδοκεῖ.
3 μὴ ἀπληστεύου ἐν πάσῃ τρυφῇ 29
καὶ μὴ ἐκχυθῇς ἐπὶ ἐδεσμάτων·
4 ἐν πολλοῖς γὰρ βρώμασιν ἔσται νόσος, 30

καὶ ἡ ἀπληστία ἐγγιεῖ ἕως χολέρας·
5 δι' ἀπληστίαν πολλοὶ ἐτελεύτησαν, 31
ὁ δὲ προσέχων προσθήσει ζωήν.

125 1 Τίμα ἰατρὸν πρὸς τὰς χρείας αὐτοῦ τιμαῖς αὐτοῦ, 1 **38**
καὶ γὰρ αὐτὸν ἔκτισε Κύριος·
2 παρὰ γὰρ ὑψίστου ἐστὶν ἴασις, 2
καὶ παρὰ βασιλέως λήψεται δόμα.
3 ἐπιστήμη ἰατροῦ ἀνυψώσει κεφαλὴν αὐτοῦ, 3
καὶ ἔναντι μεγιστάνων θαυμασθήσεται.
4 Κύριος ἔκτισεν ἐκ γῆς φάρμακα, 4
καὶ ἀνὴρ φρόνιμος οὐ προσοχθιεῖ αὐτοῖς.
5 οὐκ ἀπὸ ξύλου ἐγλυκάνθη ὕδωρ 5
εἰς τὸ γνωσθῆναι τὴν ἰσχὺν αὐτοῦ;
6 καὶ αὐτὸς ἔδωκεν ἀνθρώποις ἐπιστήμην 6
ἐνδοξάζεσθαι ἐν τοῖς θαυμασίοις αὐτοῦ·
7 ἐν αὐτοῖς ἐθεράπευσε καὶ ἦρε τὸν πόνον αὐτοῦ, 7
μυρεψὸς ἐν τούτοις ποιήσει μῖγμα,
8 καὶ οὐ μὴ συντελεσθῇ ἔργα αὐτοῦ, 8
καὶ εἰρήνη παρ' αὐτοῦ ἐστιν ἐπὶ προσώπου τῆς γῆς.

126 1 Τέκνον, ἐν ἀρρωστήματί σου μὴ παράβλεπε, 9
ἀλλ' εὖξαι Κυρίῳ, καὶ αὐτὸς ἰάσεταί σε·
2 ἀπόστησον πλημμέλειαν καὶ εὔθυνον χεῖρας 10
καὶ ἀπὸ πάσης ἁμαρτίας καθάρισον καρδίαν·
3 δὸς εὐωδίαν καὶ μνημόσυνον σεμιδάλεως 11
καὶ λίπανον προσφορὰν ὡς μὴ ὑπάρχων.
4 καὶ ἰατρῷ δὸς τόπον, καὶ γὰρ αὐτὸν ἔκτισε Κύριος, 12
καὶ μὴ ἀποστήτω σου, καὶ γὰρ αὐτοῦ χρεία.
5 ἔστι καιρὸς ὅτε καὶ ἐν χερσὶν αὐτῶν εὐοδία, 13
καὶ γὰρ αὐτοὶ Κυρίου δεηθήσονται, 14
6 ἵνα εὐοδώσῃ αὐτοῖς ἀνάπαυσιν
καὶ ἴασιν χάριν ἐμβιώσεως.
7 ὁ ἁμαρτάνων ἔναντι τοῦ ποιήσαντος αὐτὸν 15
ἐμπέσοι εἰς χεῖρας ἰατροῦ.

127 1 Τέκνον, ἐπὶ νεκρῷ κατάγαγε δάκρυα 16
καὶ ὡς δεινὰ πάσχων ἔναρξαι θρήνου,
2 κατὰ δὲ τὴν κρίσιν αὐτοῦ περίστειλον τὸ σῶμα αὐτοῦ
καὶ μὴ ὑπερίδῃς τὴν ταφὴν αὐτοῦ.
3 πίκρανον κλαυθμὸν καὶ θέρμανον κοπετὸν 17
καὶ ποίησον τὸ πένθος κατὰ τὴν ἀξίαν αὐτοῦ
4 ἡμέραν μίαν καὶ δύο χάριν διαβολῆς
καὶ παρακλήθητι λύπης ἕνεκα·
5 ἀπὸ λύπης γὰρ ἐκβαίνει θάνατος, 18
καὶ λύπη καρδίας κάμψει ἰσχύν.

6 ἐν ἐπαγωγῇ παραμένει καὶ λύπη, 19
καὶ βίος πτωχοῦ κατὰ καρδίας.
7 μὴ δῷς εἰς λύπην τὴν καρδίαν σου, 20
ἀπόστησον αὐτὴν μνησθεὶς τὰ ἔσχατα·
8 μὴ ἐπιλάθῃ, οὐ γάρ ἐστιν ἐπάνοδος, 21
καὶ τοῦτον οὐκ ὠφελήσεις καὶ σεαυτὸν κακώσεις.
9 μνήσθητι τὸ κρῖμά μου, ὅτι οὕτω καὶ τὸ σόν· 22
ἐμοὶ ἐχθὲς καὶ σοὶ σήμερον.
10 ἐν ἀναπαύσει νεκροῦ κατάπαυσον τὸ μνημόσυνον αὐτοῦ 23
καὶ παρακλήθητι ἐν αὐτῷ ἐν ἐξόδῳ πνεύματος αὐτοῦ.

128 1 Σοφία γραμματέως ἐν εὐκαιρίᾳ σχολῆς, 24
καὶ ὁ ἐλασσούμενος πράξει αὐτοῦ σοφισθήσεται.
2 τί σοφισθήσεται ὁ κρατῶν ἀρότρου 25
καὶ καυχώμενος ἐν δόρατι κέντρου,
3 βόας ἐλαύνων καὶ ἀναστρεφόμενος ἐν ἔργοις αὐτῶν,
καὶ ἡ διήγησις αὐτοῦ ἐν υἱοῖς ταύρων;
4 καρδίαν αὐτοῦ δώσει ἐκδοῦναι αὔλακας, 26
καὶ ἡ ἀγρυπνία αὐτοῦ εἰς χορτάσματα δαμάλεων.
5 οὕτω πᾶς τέκτων καὶ ἀρχιτέκτων, 27
ὅστις νύκτωρ ὡς ἡμέρας διάγει·
6 οἱ γλύφοντες γλύμματα σφραγίδων,
καὶ ἡ ἐπιμονὴ αὐτοῦ ἀλλοιῶσαι ποικιλίαν·
7 καρδίαν αὐτοῦ δώσει ἐξομοιῶσαι ζωγραφίαν,
καὶ ἡ ἀγρυπνία αὐτοῦ τελέσαι ἔργον.
8 οὕτω χαλκεὺς καθήμενος ἐγγὺς ἄκμονος 28
καὶ καταμανθάνων ἔργα σιδήρου·
9 ἀτμὶς πυρὸς τήξει σάρκας αὐτοῦ,
καὶ ἐν θέρμῃ καμίνου διαμαχήσεται·
10 φωνῇ σφύρης κλινεῖ τὸ οὖς αὐτοῦ,
καὶ κατέναντι ὁμοιώματος σκεύους οἱ ὀφθαλμοὶ αὐτοῦ·
11 καρδίαν αὐτοῦ δώσει εἰς συντέλειαν ἔργων,
καὶ ἡ ἀγρυπνία αὐτοῦ κοσμῆσαι ἐπὶ συντελείας.
12 οὕτω κεραμεὺς καθήμενος ἐν ἔργῳ αὐτοῦ 29
καὶ συστρέφων ἐν ποσὶν αὐτοῦ τροχόν,
13 ὃς ἐν μερίμνῃ κεῖται διὰ παντὸς ἐπὶ τὸ ἔργον αὐτοῦ,
καὶ ἐναρίθμιος πᾶσα ἡ ἐργασία αὐτοῦ·
14 ἐν βραχίονι αὐτοῦ τυπώσει πηλὸν 30
καὶ πρὸ ποδῶν κάμψει ἰσχὺν αὐτοῦ·
15 καρδίαν ἐπιδώσει συντελέσαι τὸ χρῖσμα,
καὶ ἡ ἀγρυπνία αὐτοῦ καθαρίσαι κάμινον.
16 πάντες οὗτοι εἰς χεῖρας αὐτῶν ἐνεπίστευσαν, 31
καὶ ἕκαστος ἐν τῷ ἔργῳ αὐτοῦ σοφίζεται·
17 ἄνευ αὐτῶν οὐκ οἰκισθήσεται πόλις, 32
καὶ οὐ παροικήσουσιν οὐδὲ περιπατήσουσιν.

18 ἀλλ' εἰς βουλὴν λαοῦ οὐ ζητηθήσονται 33
καὶ ἐν ἐκκλησίᾳ οὐχ ὑπεραλοῦνται·
19 ἐπὶ δίφρον δικαστοῦ οὐ καθιοῦνται
καὶ διαθήκην κρίματος οὐ διανοηθήσονται.
20 οὐδὲ μὴ ἐκφάνωσιν παιδείαν καὶ κρῖμα 34
καὶ ἐν παραβολαῖς οὐχ εὑρεθήσονται,
21 ἀλλὰ κτίσμα αἰῶνος στηρίξουσιν,
καὶ ἡ δέησις αὐτῶν ἐν ἐργασίᾳ τέχνης.

129 1 Πλὴν τοῦ ἐπιδιδόντος τὴν ψυχὴν αὐτοῦ 1 **39**
καὶ διανοουμένου ἐν νόμῳ ὑψίστου,
2 σοφίαν πάντων ἀρχαίων ἐκζητήσει
καὶ ἐν προφητείαις ἀσχοληθήσεται,
3 διήγησιν ἀνδρῶν ὀνομαστῶν συντηρήσει 2
καὶ ἐν στροφαῖς παραβολῶν συνεισελεύσεται,
4 ἀπόκρυφα παροιμιῶν ἐκζητήσει 3
καὶ ἐν αἰνίγμασι παραβολῶν ἀναστραφήσεται.
5 ἀνὰ μέσον μεγιστάνων ὑπηρετήσει 4
καὶ ἔναντι ἡγουμένων ὀφθήσεται·
6 ἐν γῇ ἀλλοτρίων ἐθνῶν διελεύσεται,
ἀγαθὰ γὰρ καὶ κακὰ ἐν ἀνθρώποις ἐπείρασε.
7 τὴν καρδίαν αὐτοῦ ἐπιδώσει ὀρθρίσαι 5
πρὸς Κύριον τὸν ποιήσαντα αὐτὸν
8 καὶ ἔναντι ὑψίστου δεηθήσεται·
καὶ ἀνοίξει στόμα αὐτοῦ ἐν προσευχῇ
καὶ περὶ τῶν ἁμαρτιῶν αὐτοῦ δεηθήσεται.
9 ἐὰν Κύριος ὁ μέγας θελήσῃ, 6
πνεύματι συνέσεως ἐμπλησθήσεται·
10 αὐτὸς ἀνομβρήσει ῥήματα σοφίας αὐτοῦ
καὶ ἐν προσευχῇ ἐξομολογήσεται Κυρίῳ.
11 αὐτὸς κατευθυνεῖ βουλὴν αὐτοῦ καὶ ἐπιστήμην 7
καὶ ἐν τοῖς ἀποκρύφοις αὐτοῦ διανοηθήσεται.
12 αὐτὸς ἐκφανεῖ παιδείαν διδασκαλίας αὐτοῦ 8
καὶ ἐν νόμῳ διαθήκης Κυρίου καυχήσεται.
13 αἰνέσουσι τὴν σύνεσιν αὐτοῦ πολλοί, 9
καὶ ἕως τοῦ αἰῶνος οὐκ ἐξαλειφθήσεται.
14 οὐκ ἀποστήσεται τὸ μνημόσυνον αὐτοῦ,
καὶ τὸ ὄνομα αὐτοῦ ζήσεται εἰς γενεὰς γενεῶν.
15 τὴν σοφίαν αὐτοῦ διηγήσονται ἔθνη, 10
καὶ τὸν ἔπαινον αὐτοῦ ἐξαγγελεῖ ἐκκλησία.
16 ἐὰν ἐμμείνῃ, ὄνομα καταλείψει ἢ χίλιοι, 11
καὶ ἐὰν ἀναπαύσηται, ἐκποιεῖ αὐτῷ.

130 1 Ἔτι διανοηθεὶς ἐκδιηγήσομαι 12
καὶ ὡς διχομηνία ἐπληρώθην.
2 εἰσακούσατέ μου, υἱοὶ ὅσιοι, καὶ βλαστήσατε 13

ὡς ῥόδον φυόμενον ἐπὶ ῥεύματος ὑγροῦ
3 καὶ ὡς λίβανος εὐωδιάσατε ὀσμὴν 14
καὶ ἀνθήσατε ἄνθος ὡς κρίνον.
4 διάδοτε ὀσμὴν καὶ αἰνέσατε ᾆσμα,
εὐλογήσατε Κύριον ἐπὶ πᾶσι τοῖς ἔργοις,
5 δότε τῷ ὀνόματι αὐτοῦ μεγαλωσύνην 15
καὶ ἐξομολογήσασθε ἐν αἰνέσει αὐτοῦ,
6 ἐν ᾠδαῖς χειλέων καὶ ἐν κινύραις,
καὶ οὕτως ἐρεῖτε ἐν ἐξομολογήσει·
7 Τὰ ἔργα Κυρίου πάντα ὅτι καλὰ σφόδρα, 16
καὶ πᾶν πρόσταγμα ἐν καιρῷ αὐτοῦ ἔσται·
8 οὐκ ἔστιν εἰπεῖν Τί τοῦτο; εἰς τί τοῦτο;
πάντα γὰρ ἐν καιρῷ αὐτοῦ ζητηθήσεται.
9 ἐν λόγῳ αὐτοῦ ἔστη ὡς θημωνιὰ ὕδωρ 17
καὶ ἐν ῥήματι στόματος αὐτοῦ ἀποδοχεῖα ὑδάτων.
10 ἐν προστάγματι αὐτοῦ πᾶσα ἡ εὐδοκία, 18
καὶ οὐκ ἔστιν ὃς ἐλαττώσει τὸ σωτήριον αὐτοῦ.
11 ἔργα πάσης σαρκὸς ἐνώπιον αὐτοῦ, 19
καὶ οὐκ ἔστι κρυβῆναι ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ·
12 ἀπὸ τοῦ αἰῶνος εἰς τὸν αἰῶνα ἐπέβλεψε, 20
καὶ οὐθέν ἐστι θαυμάσιον ἐναντίον αὐτοῦ.
13 οὐκ ἔστιν εἰπεῖν Τί τοῦτο; εἰς τί τοῦτο; 21
πάντα γὰρ εἰς χρείας αὐτῶν ἔκτισται.
14 ἡ εὐλογία αὐτοῦ ὡς ποταμὸς ἐπεκάλυψε 22
καὶ ὡς κατακλυσμὸς ξηρὰν ἐμέθυσεν·
15 οὕτως ὀργὴν αὐτοῦ ἔθνη κληρονομήσει, 23
ὡς μετέστρεψεν ὕδατα εἰς ἅλμην.
16 αἱ ὁδοὶ αὐτοῦ τοῖς ὁσίοις εὐθεῖαι, 24
οὕτω τοῖς ἀνόμοις προσκόμματα.
17 ἀγαθὰ τοῖς ἀγαθοῖς ἔκτισται ἀπ' ἀρχῆς, 25
οὕτω τοῖς ἁμαρτωλοῖς κακά.
18 ἀρχὴ πάσης χρείας εἰς ζωὴν ἀνθρώπου, 26
ὕδωρ καὶ πῦρ καὶ σίδηρος καὶ ἅλας
19 καὶ σεμίδαλις πυροῦ καὶ γάλα καὶ μέλι,
αἷμα σταφυλῆς καὶ ἔλαιον καὶ ἱμάτιον·
20 ταῦτα πάντα τοῖς εὐσεβέσιν εἰς ἀγαθά, 27
οὕτω τοῖς ἁμαρτωλοῖς τραπήσεται εἰς κακά.

131 1 Ἔστι πνεύματα, ἃ εἰς ἐκδίκησιν ἔκτισται 28
καὶ ἐν θυμῷ αὐτοῦ ἐστερέωσε μάστιγας αὐτῶν·
2 ἐν καιρῷ συντελείας ἰσχὺν ἐκχεοῦσι
καὶ τὸν θυμὸν τοῦ ποιήσαντος αὐτοὺς κοπάσουσι.
3 πῦρ καὶ χάλαζα καὶ λιμὸς καὶ θάνατος, 29
πάντα ταῦτα εἰς ἐκδίκησιν ἔκτισται·
4 θηρίων ὀδόντες καὶ σκορπίοι καὶ ἔχεις 30

καὶ ῥομφαία ἐκδικοῦσα εἰς ὄλεθρον ἀσεβεῖς·
5 ἐν τῇ ἐντολῇ αὐτοῦ εὐφρανθήσονται 31
καὶ ἐπὶ τῆς γῆς εἰς χρείας ἑτοιμασθήσονται
καὶ ἐν καιροῖς αὐτῶν οὐ παραβήσονται λόγον.
6 διὰ τοῦτο ἐξ ἀρχῆς ἐστηρίχθην 32
καὶ διενοήθην καὶ ἐν γραφῇ ἀφῆκα·
7 Τὰ ἔργα Κυρίου πάντα ἀγαθὰ 33
καὶ πᾶσαν χρείαν ἐν ὥρᾳ αὐτῆς χορηγήσει,
8 καὶ οὐκ ἔστιν εἰπεῖν Τοῦτο τούτου πονηρότερον, 34
πάντα γὰρ ἐν καιρῷ εὐδοκιμηθήσεται.
9 καὶ νῦν ἐν πάσῃ καρδίᾳ καὶ στόματι ὑμνήσατε 35
καὶ εὐλογήσατε τὸ ὄνομα Κυρίου.

132 1 Ἀσχολία μεγάλη ἔκτισται παντὶ ἀνθρώπῳ 1 **40**
καὶ ζυγὸς βαρὺς ἐπὶ υἱοὺς Ἀδὰμ
2 ἀφ' ἡμέρας ἐξόδου ἐκ γαστρὸς μητρὸς αὐτῶν
ἕως ἡμέρας ἐπιστροφῆς εἰς μητέρα πάντων·
3 τοὺς διαλογισμοὺς αὐτῶν καὶ φόβον καρδίας, 2
ἐπίνοια προσδοκίας, ἡμέρα τελευτῆς.
4 ἀπὸ καθημένου ἐπὶ θρόνου ἐνδόξου 3
καὶ ἕως τεταπεινωμένου ἐν γῇ καὶ σποδῷ,
5 ἀπὸ φοροῦντος ὑακίνθινον καὶ στέφανον 4
καὶ ἕως περιβαλλομένου ὠμόλινον
6 θυμὸς καὶ ζῆλος καὶ ταραχὴ καὶ σάλος
καὶ φόβος θανάτου καὶ μηνίαμα καὶ ἔρις.
7 καὶ ἐν καιρῷ ἀναπαύσεως ἐπὶ κοίτης 5
ὕπνος νυκτὸς ἀλλοιοῖ γνῶσιν αὐτοῦ·
8 ὀλίγον ὡς οὐδὲν ἐν ἀναπαύσει, 6
καὶ ἀπ' ἐκείνου ἐν ὕπνοις ὡς ἐν ἡμέρᾳ σκοπιᾶς
9 τεθορυβημένος ἐν ὁράσει καρδίας αὐτοῦ
ὡς ἐκπεφευγὼς ἀπὸ προσώπου πολέμου.
10 ἐν καιρῷ χρείας αὐτοῦ ἐξηγέρθη 7
καὶ ἀποθαυμάζων εἰς οὐδένα φόβον.
11 μετὰ πάσης σαρκὸς ἀπὸ ἀνθρώπου ἕως κτήνους, 8
καὶ ἐπὶ ἁμαρτωλῶν ἑπταπλάσια πρὸς ταῦτα.
12 θάνατος καὶ αἷμα καὶ ἔρις καὶ ῥομφαία, 9
ἐπαγωγαί, λιμὸς καὶ σύντριμμα καὶ μάστιξ.
13 ἐπὶ τοὺς ἀνόμους ἐκτίσθη ταῦτα πάντα, 10
καὶ δι' αὐτοὺς ἐγένετο ὁ κατακλυσμός.
14 πάντα, ὅσα ἀπὸ γῆς, εἰς γῆν ἀναστρέφει, 11
καὶ ἀπὸ ὑδάτων εἰς θάλασσαν ἀνακάμπτει.

133 1 Πᾶν δῶρον καὶ ἀδικία ἐξαλειφθήσεται, 12
καὶ πίστις εἰς τὸν αἰῶνα στήσεται.
2 χρήματα ἀδίκων ὡς ποταμὸς ξηρανθήσεται 13
καὶ ὡς βροντὴ μεγάλη ἐν ὑετῷ ἐξηχήσει·

3 ἐν τῷ ἀνοῖξαι αὐτὸν χεῖρας εὐφρανθήσεται, 14
οὕτως οἱ παραβαίνοντες εἰς συντέλειαν ἐκλείψουσιν.
4 ἔκγονα ἀσεβῶν οὐ πληθυνεῖ κλάδους, 15
καὶ ῥίζαι ἀκάθαρτοι ἐπ' ἀκροτόμου πέτρας·
5 ἄχι ἐπὶ παντὸς ὕδατος καὶ χείλους ποταμοῦ 16
πρὸ παντὸς χόρτου ἐκτιλήσεται.
6 χάρις ὡς παράδεισος ἐν εὐλογίαις, 17
καὶ ἐλεημοσύνη εἰς τὸν αἰῶνα διαμενεῖ.

134 1 Ζωὴ αὐτάρκους καὶ ἐργάτου γλυκανθήσεται, 18
καὶ ὑπὲρ ἀμφότερα ὁ εὑρίσκων θησαυρόν.
2 τέκνα καὶ οἰκοδομὴ πόλεως στηρίζουσιν ὄνομα, 19
καὶ ὑπὲρ ἀμφότερα γυνὴ ἄμωμος λογίζεται.
3 οἶνος καὶ μουσικὰ εὐφραίνουσι καρδίαν, 20
καὶ ὑπὲρ ἀμφότερα ἀγάπησις σοφίας.
4 αὐλὸς καὶ ψαλτήριον ἡδύνουσι μέλη, 21
καὶ ὑπὲρ ἀμφότερα γλῶσσα ἡδεῖα.
5 χάριν καὶ κάλλος ἐπιθυμήσει ὀφθαλμὸς 22
καὶ ὑπὲρ ἀμφότερα χλόην σπόρου.
6 φίλος καὶ ἑταῖρος εἰς καιρὸν ἀπαντῶντες, 23
καὶ ὑπὲρ ἀμφότερα γυνὴ μετὰ ἀνδρός.
7 ἀδελφοὶ καὶ βοήθεια εἰς καιρὸν θλίψεως, 24
καὶ ὑπὲρ ἀμφότερα ἐλεημοσύνη ῥύσεται.
8 χρυσίον καὶ ἀργύριον ἐπιστήσουσι πόδα, 25
καὶ ὑπὲρ ἀμφότερα βουλὴ εὐδοκιμεῖται.
9 χρήματα καὶ ἰσχὺς ἀνυψώσουσι καρδίαν, 26
καὶ ὑπὲρ ἀμφότερα φόβος Κυρίου·
10 οὐκ ἔστιν ἐν φόβῳ Κυρίου ἐλάττωσις,
καὶ οὐκ ἔστιν ἐπιζητῆσαι ἐν αὐτῷ βοήθειαν·
11 φόβος Κυρίου ὡς παράδεισος εὐλογίας, 27
καὶ ὑπὲρ πᾶσαν δόξαν ἐκάλυψεν αὐτόν.

135 1 Τέκνον, ζωὴν ἐπαιτήσεως μὴ βιώσῃς· 28
κρεῖσσον ἀποθανεῖν ἢ ἐπαιτεῖν.
2 ἀνὴρ βλέπων εἰς τράπεζαν ἀλλοτρίαν, 29
οὐκ ἔστιν αὐτοῦ ὁ βίος ἐν λογισμῷ ζωῆς,
ἀλισγήσει ψυχὴν αὐτοῦ ἐν ἐδέσμασιν ἀλλοτρίοις·
3 ἀνὴρ δὲ ἐπιστήμων καὶ πεπαιδευμένος φυλάξεται.
4 ἐν στόματι ἀναιδοῦς γλυκανθήσεται ἐπαίτησις, 30
καὶ ἐν κοιλίᾳ αὐτοῦ πῦρ καήσεται.

136 1 Ὦ θάνατε, ὡς πικρόν σου τὸ μνημόσυνόν ἐστιν 1 **41**
ἀνθρώπῳ εἰρηνεύοντι ἐν τοῖς ὑπάρχουσιν αὐτοῦ,
2 ἀνδρὶ ἀπερισπάστῳ καὶ εὐοδουμένῳ ἐν πᾶσι
καὶ ἔτι ἰσχύοντι ἐπιδέξασθαι τροφήν!
3 ὦ θάνατε, καλόν σου τὸ κρῖμά ἐστιν 2

ἀνθρώπῳ ἐπιδεομένῳ καὶ ἐλασσουμένῳ ἰσχύι,
4 ἐσχατογήρῳ καὶ περισπωμένῳ περὶ πάντων
καὶ ἀπειθοῦντι καὶ ἀπολωλεκότι ὑπομονήν.
5 μὴ εὐλαβοῦ κρῖμα θανάτου, 3
μνήσθητι προτέρων σου καὶ ἐσχάτων·
6 τοῦτο τὸ κρῖμα παρὰ Κυρίου πάσῃ σαρκί, 4
καὶ τί ἀπαναίνῃ ἐν εὐδοκίᾳ ὑψίστου;
7 εἴτε δέκα εἴτε ἑκατὸν εἴτε χίλια ἔτη,
οὐκ ἔστιν ἐν ᾅδου ἐλεγμὸς ζωῆς.

137 1 Τέκνα βδελυκτὰ γίνεται τέκνα ἁμαρτωλῶν 5
καὶ συναναστρεφόμενα παροικίαις ἀσεβῶν.
2 τέκνων ἁμαρτωλῶν ἀπολεῖται κληρονομία, 6
καὶ μετὰ τοῦ σπέρματος αὐτῶν ἐνδελεχιεῖ ὄνειδος.
3 πατρὶ ἀσεβεῖ μέμψεται τέκνα, 7
ὅτι δι' αὐτὸν ὀνειδισθήσονται.
4 οὐαὶ ὑμῖν, ἄνδρες ἀσεβεῖς, 8
οἵτινες ἐγκατελίπετε νόμον θεοῦ ὑψίστου·
5 καὶ ἐὰν γεννηθῆτε, εἰς κατάραν γεννηθήσεσθε, 9
καὶ ἐὰν ἀποθάνητε, εἰς κατάραν μερισθήσεσθε.
6 πάντα, ὅσα ἐκ γῆς, εἰς γῆν ἀπελεύσεται, 10
οὕτως ἀσεβεῖς ἀπὸ κατάρας εἰς ἀπώλειαν.

138 1 Πένθος ἀνθρώπων ἐν σώμασιν αὐτῶν, 11
ὄνομα δὲ ἁμαρτωλῶν οὐκ ἀγαθὸν ἐξαλειφθήσεται.
2 φρόντισον περὶ ὀνόματος, αὐτὸ γάρ σοι διαμενεῖ 12
ἢ χίλιοι μεγάλοι θησαυροὶ χρυσίου.
3 ἀγαθῆς ζωῆς ἀριθμὸς ἡμερῶν, 13
καὶ ἀγαθὸν ὄνομα εἰς αἰῶνα διαμενεῖ.

139 1 Παιδείαν ἐν εἰρήνῃ συντηρήσατε, τέκνα· 14
σοφία δὲ κεκρυμμένη καὶ θησαυρὸς ἀφανής,
2 τίς ὠφέλεια ἐν ἀμφοτέροις;
3 κρείσσων ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ 15
ἢ ἄνθρωπος ἀποκρύπτων τὴν σοφίαν αὐτοῦ.

140 1 Τοιγαροῦν ἐντράπητε ἐπὶ τῷ ῥήματί μου· 16
2 οὐ γάρ ἐστι πᾶσαν αἰσχύνην διαφυλάξαι καλόν,
καὶ οὐ πάντα πᾶσιν ἐν πίστει εὐδοκιμεῖται.
3 αἰσχύνεσθε ἀπὸ πατρὸς καὶ μητρὸς περὶ πορνείας 17
καὶ ἀπὸ ἡγουμένου καὶ δυνάστου περὶ ψεύδους,
4 ἀπὸ κριτοῦ καὶ ἄρχοντος περὶ πλημμελείας 18
καὶ ἀπὸ συναγωγῆς καὶ λαοῦ περὶ ἀνομίας,
5 ἀπὸ κοινωνοῦ καὶ φίλου περὶ ἀδικίας 19
καὶ ἀπὸ τόπου, οὗ παροικεῖς, περὶ κλοπῆς,
6 ἀπὸ ἀληθείας θεοῦ καὶ διαθήκης 20
καὶ ἀπὸ πήξεως ἀγκῶνος ἐπ' ἄρτοις,

7 ἀπὸ σκορακισμοῦ λήψεως καὶ δόσεως 21
καὶ ἀπὸ ἀσπαζομένων περὶ σιωπῆς,
8 ἀπὸ ὁράσεως γυναικὸς ἑταίρας 22
καὶ ἀπὸ ἀποστροφῆς προσώπου συγγενοῦς,
9 ἀπὸ ἀφαιρέσεως μερίδος καὶ δόσεως 23
καὶ ἀπὸ κατανοήσεως γυναικὸς ὑπάνδρου,
10 ἀπὸ περιεργίας παιδίσκης αὐτοῦ 24
καὶ μὴ ἐπιστῇς ἐπὶ τὴν κοίτην αὐτῆς,
11 ἀπὸ φίλων περὶ λόγων ὀνειδισμοῦ 25
καὶ μετὰ τὸ δοῦναι μὴ ὀνείδιζε,
12 ἀπὸ δευτερώσεως καὶ λόγου ἀκοῆς 26
καὶ ἀπὸ καλύψεως λόγων κρυφίων·
13 καὶ ἔσῃ αἰσχυντηρὸς ἀληθινῶς 27
καὶ εὑρίσκων χάριν ἔναντι παντὸς ἀνθρώπου.

141 1 Μὴ περὶ τούτων αἰσχυνθῇς 1 **42**
καὶ μὴ λάβῃς πρόσωπον τοῦ ἁμαρτάνειν·
2 περὶ νόμου ὑψίστου καὶ διαθήκης 2
καὶ περὶ κρίματος δικαιῶσαι τὸν ἀσεβῆ,
3 περὶ λόγου κοινωνοῦ καὶ ὁδοιπόρων 3
καὶ περὶ δόσεως κληρονομίας ἑταίρων,
4 περὶ ἀκριβείας ζυγοῦ καὶ σταθμίων 4
καὶ περὶ κτήσεως πολλῶν καὶ ὀλίγων,
5 περὶ διαφόρου πράσεως ἐμπόρων 5
καὶ περὶ παιδείας τέκνων πολλῆς
6 καὶ οἰκέτῃ πονηρῷ πλευρὰν αἱμάξαι·
7 ἐπὶ γυναικὶ πονηρᾷ καλὸν σφραγίς, 6
καὶ ὅπου χεῖρες πολλαί, κλεῖσον·
8 ὃ ἐὰν παραδιδῷς, ἐν ἀριθμῷ καὶ σταθμῷ, 7
καὶ δόσις καὶ λῆψις, πάντα ἐν γραφῇ·
9 περὶ παιδείας ἀνοήτου καὶ μωροῦ 8
καὶ ἐσχατογήρου κρινομένου πρὸς νέους·
10 καὶ ἔσῃ πεπαιδευμένος ἀληθινῶς
καὶ δεδοκιμασμένος ἔναντι παντὸς ζῶντος.

142 1 Θυγάτηρ πατρὶ ἀπόκρυφος ἀγρυπνία, 9
καὶ ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον·
2 ἐν νεότητι αὐτῆς, μήποτε παρακμάσῃ,
καὶ συνῳκηκυῖα, μήποτε μισηθῇ·
3 ἐν παρθενίᾳ, μήποτε βεβηλωθῇ 10
καὶ ἐν τοῖς πατρικοῖς αὐτῆς ἔγκυος γένηται·
4 μετὰ ἀνδρὸς οὖσα, μήποτε παραβῇ,
καὶ συνῳκηκυῖα, μήποτε στειρωθῇ.
5 ἐπὶ θυγατρὶ ἀδιατρέπτῳ στερέωσον φυλακήν, 11
μήποτε ποιήσῃ σε ἐπίχαρμα ἐχθροῖς,
6 λαλιὰν ἐν πόλει καὶ ἔκκλητον λαοῦ,

καὶ καταισχύνῃ σε ἐν πλήθει πολλῶν.
7 παντὶ ἀνθρώπῳ μὴ ἔμβλεπε ἐν κάλλει 12
καὶ ἐν μέσῳ γυναικῶν μὴ συνέδρευε·
8 ἀπὸ γὰρ ἱματίων ἐκπορεύεται σὴς 13
καὶ ἀπὸ γυναικὸς πονηρία γυναικός.
9 κρείσσων πονηρία ἀνδρὸς ἢ ἀγαθοποιὸς γυνή, 14
καὶ γυνὴ καταισχύνουσα εἰς ὀνειδισμόν.

143 1 Μνησθήσομαι δὴ τὰ ἔργα Κυρίου, 15
καὶ ἃ ἑώρακα, ἐκδιηγήσομαι·
2 ἐν λόγοις Κυρίου τὰ ἔργα αὐτοῦ.
3 ἥλιος φωτίζων κατὰ πᾶν ἐπέβλεψε, 16
καὶ τῆς δόξης Κυρίου πλῆρες τὸ ἔργον αὐτοῦ.
4 οὐκ ἐξεποίησε τοῖς ἁγίοις Κυρίου 17
ἐκδιηγήσασθαι πάντα τὰ θαυμάσια αὐτοῦ,
5 ἃ ἐστερέωσε Κύριος ὁ παντοκράτωρ
στηριχθῆναι ἐν δόξῃ αὐτοῦ τὸ πᾶν.
6 ἄβυσσον καὶ καρδίαν ἐξίχνευσε 18
καὶ ἐν πανουργεύμασιν αὐτῶν διενοήθη·
7 ἔγνω γὰρ ὁ ὕψιστος πᾶσαν εἴδησιν
καὶ ἐνέβλεψεν εἰς σημεῖον αἰῶνος,
8 ἀπαγγέλλων τὰ παρεληλυθότα καὶ τὰ ἐσόμενα 19
καὶ ἀποκαλύπτων ἴχνη ἀποκρύφων.
9 οὐ παρῆλθεν αὐτὸν πᾶν διανόημα, 20
οὐκ ἐκρύβη ἀπ' αὐτοῦ οὐδὲ εἷς λόγος.
10 τὰ μεγαλεῖα τῆς σοφίας αὐτοῦ ἐκόσμησεν, 21
ὡς ἔστι πρὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα.
11 οὔτε προσετέθη οὔτε ἠλαττώθη,
καὶ οὐ προσεδεήθη οὐδενὸς συμβούλου.
12 ὡς πάντα τὰ ἔργα αὐτοῦ ἐπιθυμητὰ 22
καὶ ὡς σπινθῆρός ἐστι θεωρῆσαι·
13 πάντα ταῦτα ζῇ καὶ μένει εἰς τὸν αἰῶνα 23
ἐν πάσαις χρείαις καὶ πάντα ὑπακούει.
14 πάντα δισσά, ἓν κατέναντι τοῦ ἑνός, 24
καὶ οὐκ ἐποίησεν οὐδὲν ἐλλεῖπον·
15 ἓν τοῦ ἑνὸς ἐστερέωσε τὰ ἀγαθά, 25
καὶ τίς πλησθήσεται ὁρῶν δόξαν αὐτοῦ;

144 1 Γαυρίαμα ὕψους στερέωμα καθαριότητος, 1
εἶδος οὐρανοῦ ἐν ὁράματι δόξης.
2 ἥλιος ἐν ὀπτασίᾳ διαγγέλλων ἐν ἐξόδῳ 2
σκεῦος θαυμαστόν, ἔργον ὑψίστου·
3 ἐν μεσημβρίᾳ αὐτοῦ ἀναξηραίνει χώραν, 3
καὶ ἐναντίον καύματος αὐτοῦ τίς ὑποστήσεται;
4 κάμινον φυσῶν ἐν ἔργοις καύματος, 4
τριπλασίως ἥλιος ἐκκαίων ὄρη·

5 ἀτμίδας πυρώδεις ἐκφυσῶν
καὶ ἐκλάμπων ἀκτῖνας ἀμαυροῖ ὀφθαλμούς.
6 μέγας Κύριος ὁ ποιήσας αὐτόν, 5
καὶ ἐν λόγοις αὐτοῦ κατέσπευσε πορείαν.
7 καὶ ἡ σελήνη ἐν πᾶσιν εἰς καιρὸν αὐτῆς, 6
ἀνάδειξιν χρόνων καὶ σημεῖον αἰῶνος·
8 ἀπὸ σελήνης σημεῖον ἑορτῆς, 7
φωστὴρ μειούμενος ἐπὶ συντελείας.
9 μὴν κατὰ τὸ ὄνομα αὐτῆς ἐστιν 8
αὐξανόμενος θαυμαστῶς ἐν ἀλλοιώσει,
10 σκεῦος παρεμβολῶν ἐν ὕψει,
ἐν στερεώματι οὐρανοῦ ἐκλάμπων.
11 κάλλος οὐρανοῦ δόξα ἄστρων, 9
κόσμος φωτίζων ἐν ὑψίστοις Κυρίου·
12 ἐν λόγοις ἁγίου στήσονται κατὰ κρῖμα 10
καὶ οὐ μὴ ἐκλυθῶσιν ἐν φυλακαῖς αὐτῶν.
13 ἴδε τόξον καὶ εὐλόγησον τὸν ποιήσαντα αὐτὸ 11
σφόδρα ὡραῖον ἐν τῷ αὐγάσματι αὐτοῦ·
14 ἐγύρωσεν οὐρανὸν ἐν κυκλώσει δόξης, 12
χεῖρες ὑψίστου ἐτάνυσαν αὐτό.
15 προστάγματι αὐτοῦ κατέσπευσε χιόνα 13
καὶ ταχύνει ἀστραπὰς κρίματος αὐτοῦ·
16 διὰ τοῦτο ἠνεῴχθησαν θησαυροί, 14
καὶ ἐξέπτησαν νεφέλαι ὡς πετεινά·
17 ἐν μεγαλείῳ αὐτοῦ ἴσχυσε νεφέλας, 15
καὶ διεθρύβησαν λίθοι χαλάζης·
18 καὶ ἐν ὀπτασίᾳ αὐτοῦ σαλευθήσεται ὄρη, 16
ἐν θελήματι αὐτοῦ πνεύσεται νότος.
19 φωνὴ βροντῆς αὐτοῦ ὠνείδισε γῆν 17
καὶ καταιγὶς βορέου καὶ συστροφὴ πνεύματος.
20 ὡς πετεινὰ καθιπτάμενα πάσσει χιόνα, 18
καὶ ὡς ἀκρὶς καταλύουσα ἡ κατάβασις αὐτῆς·
21 κάλλος λευκότητος αὐτῆς ἐκθαυμάσει ὀφθαλμός,
καὶ ἐπὶ τοῦ ὑετοῦ αὐτῆς ἐκστήσεται καρδία.
22 καὶ πάχνην ὡς ἅλα ἐπὶ γῆς χέει, 19
καὶ παγεῖσα γίνεται σκολόπων ἄκρα.
23 ψυχρὸς ἄνεμος βορέης πνεύσει, 20
καὶ παγήσεται κρύσταλλος ἐφ' ὕδατος·
24 ἐπὶ πᾶσαν συναγωγὴν ὕδατος καταλύσει,
καὶ ὡς θώρακα ἐνδύσεται τὸ ὕδωρ.
25 καταφάγεται ὄρη καὶ ἔρημον ἐκκαύσει 21
καὶ ἀποσβέσει χλόην ὡς πῦρ.
26 ἴασις πάντων κατὰ σπουδὴν ὁμίχλη, 22
δρόσος ἀπαντῶσα ἀπὸ καύσωνος ἱλαρώσει.
27 λογισμῷ αὐτοῦ ἐκόπασεν ἄβυσσον 23

καὶ ἐφύτευσεν ἐν αὐτῇ νήσους.
28 οἱ πλέοντες τὴν θάλασσαν διηγοῦνται τὸν κίνδυνον αὐτῆς, 24
καὶ ἀκοαῖς ὠτίων ἡμῶν θαυμάζομεν·
29 καὶ ἐκεῖ τὰ παράδοξα καὶ θαυμάσια ἔργα, 25
ποικιλία παντὸς ζῴου, κτίσις κητῶν.
30 δι' αὐτὸν εὐοδοῖ ἄγγελος αὐτοῦ, 26
καὶ ἐν λόγῳ αὐτοῦ σύγκειται τὰ πάντα.

145 1 Πολλὰ ἐροῦμεν καὶ οὐ μὴ ἀφικώμεθα, 27
καὶ συντέλεια λόγων Τὸ πᾶν ἐστιν αὐτός.
2 δοξάζοντες ποῦ ἰσχύσομεν; 28
αὐτὸς γὰρ ὁ μέγας παρὰ πάντα τὰ ἔργα αὐτοῦ.
3 φοβερὸς Κύριος καὶ σφόδρα μέγας, 29
καὶ θαυμαστὴ ἡ δυναστεία αὐτοῦ.
4 δοξάζοντες Κύριον ὑψώσατε 30
καθ' ὅσον ἂν δύνησθε, ὑπερέξει γὰρ καὶ ἔτι·
5 καὶ ὑψοῦντες αὐτὸν πληθύνατε ἐν ἰσχύι,
μὴ κοπιᾶτε, οὐ γὰρ μὴ ἀφίκησθε.
6 τίς ἑώρακεν αὐτὸν καὶ ἐκδιηγήσεται; 31
καὶ τίς μεγαλυνεῖ αὐτὸν καθώς ἐστι;
7 πολλὰ ἀπόκρυφά ἐστι μείζονα τούτων, 32
ὀλίγα γὰρ ἑωράκαμεν τῶν ἔργων αὐτοῦ·
8 πάντα γὰρ ἐποίησεν ὁ Κύριος 33
καὶ τοῖς εὐσεβέσιν ἔδωκε σοφίαν

146 1 Αἰνέσωμεν δὴ ἄνδρας ἐνδόξους 1 **44**
καὶ τοὺς πατέρας ἡμῶν τῇ γενέσει·
2 πολλὴν δόξαν ἔκτισεν ὁ Κύριος, 2
τὴν μεγαλωσύνην αὐτοῦ ἀπ' αἰῶνος.
3 κυριεύοντες ἐν ταῖς βασιλείαις αὐτῶν 3
καὶ ἄνδρες ὀνομαστοὶ ἐν δυνάμει·
4 βουλεύοντες ἐν συνέσει αὐτῶν,
ἀπηγγελκότες ἐν προφητείαις·
5 ἡγούμενοι λαοῦ ἐν διαβουλίοις 4
καὶ συνέσει γραμματείας λαοῦ,
σοφοὶ λόγοι ἐν παιδείᾳ αὐτῶν·
6 ἐκζητοῦντες μέλη μουσικῶν 5
καὶ διηγούμενοι ἔπη ἐν γραφῇ·
7 ἄνδρες πλούσιοι κεχορηγημένοι ἰσχύι, 6
εἰρηνεύοντες ἐν κατοικίαις αὐτῶν·
8 πάντες οὗτοι ἐν γενεαῖς ἐδοξάσθησαν, 7
καὶ ἐν ταῖς ἡμέραις αὐτῶν καύχημα.
9 εἰσὶν αὐτῶν οἳ κατέλιπον ὄνομα 8
τοῦ ἐκδιηγήσασθαι ἐπαίνους·
10 καί εἰσιν ὧν οὐκ ἔστι μνημόσυνον 9
καὶ ἀπώλοντο ὡς οὐχ ὑπάρξαντες

11 καὶ ἐγένοντο ὡς οὐ γεγονότες
καὶ τὰ τέκνα αὐτῶν μετ’ αὐτούς.
12 ἀλλ’ ἢ οὗτοι ἄνδρες ἐλέους, 10
ὧν αἱ δικαιοσύναι οὐκ ἐπελήσθησαν·
13 μετὰ τοῦ σπέρματος αὐτῶν διαμενεῖ, 11
ἀγαθὴ κληρονομία ἔκγονα αὐτῶν·
14 ἐν ταῖς διαθήκαις ἔστη τὸ σπέρμα αὐτῶν 12
καὶ τὰ τέκνα αὐτῶν δι’ αὐτούς·
15 ἕως αἰῶνος μενεῖ σπέρμα αὐτῶν, 13
καὶ ἡ δόξα αὐτῶν οὐκ ἐξαλειφθήσεται·
16 τὰ σώματα αὐτῶν ἐν εἰρήνῃ ἐτάφη, 14
καὶ τὸ ὄνομα αὐτῶν ζῇ εἰς γενεάς·
17 σοφίαν αὐτῶν διηγήσονται λαοί, 15
καὶ τὸν ἔπαινον ἐξαγγέλλει ἐκκλησία.
18 Ἐνὼχ εὐηρέστησε Κυρίῳ καὶ μετετέθη 16
ὑπόδειγμα μετανοίας ταῖς γενεαῖς.
19 Νῶε εὑρέθη τέλειος δίκαιος, 17
ἐν καιρῷ ὀργῆς ἐγένετο ἀντάλλαγμα·
20 διὰ τοῦτον ἐγενήθη κατάλειμμα τῇ γῇ,
ὅτε ἐγένετο κατακλυσμός·
21 διαθῆκαι αἰῶνος ἐτέθησαν πρὸς αὐτόν, 18
ἵνα μὴ ἐξαλειφθῇ κατακλυσμῷ πᾶσα σάρξ.
22 Ἀβραὰμ μέγας πατὴρ πλήθους ἐθνῶν, 19
καὶ οὐχ εὑρέθη ὅμοιος ἐν τῇ δόξῃ·
23 ὃς συνετήρησε νόμον ὑψίστου 20
καὶ ἐγένετο ἐν διαθήκῃ μετ’ αὐτοῦ·
24 ἐν σαρκὶ αὐτοῦ ἔστησε διαθήκην
καὶ ἐν πειρασμῷ εὑρέθη πιστός·
25 διὰ τοῦτο ἐν ὅρκῳ ἔστησεν αὐτῷ 21
ἐνευλογηθῆναι ἔθνη ἐν σπέρματι αὐτοῦ,
26 πληθῦναι αὐτὸν ὡς χοῦν τῆς γῆς
καὶ ὡς ἄστρα ἀνυψῶσαι τὸ σπέρμα αὐτοῦ
27 καὶ κατακληρονομῆσαι αὐτοὺς
ἀπὸ θαλάσσης ἕως θαλάσσης
καὶ ἀπὸ ποταμοῦ ἕως ἄκρου τῆς γῆς.
28 Καὶ ἐν τῷ Ἰσαὰκ ἔστησεν οὕτως 22
δι’ Ἀβραὰμ τὸν πατέρα αὐτοῦ.
29 Εὐλογίαν πάντων ἀνθρώπων καὶ διαθήκην 23
κατέπαυσεν ἐπὶ κεφαλὴν Ἰακώβ·
30 ἐπέγνω αὐτὸν ἐν εὐλογίαις αὐτοῦ
καὶ ἔδωκεν αὐτῷ ἐν κληρονομίᾳ·
31 καὶ διέστειλε μερίδας αὐτοῦ,
ἐν φυλαῖς ἐμέρισε δεκαδύο.
32 Καὶ ἐξήγαγεν ἐξ αὐτοῦ ἄνδρα ἐλέους 1 **45**
εὑρίσκοντα χάριν ἐν ὀφθαλμοῖς πάσης σαρκὸς

33 ἠγαπημένον ὑπὸ θεοῦ καὶ ἀνθρώπων
Μωϋσῆν, οὗ τὸ μνημόσυνον ἐν εὐλογίαις·
34 ὡμοίωσεν αὐτὸν δόξῃ ἁγίων 2
καὶ ἐμεγάλυνεν αὐτὸν ἐν φόβοις ἐχθρῶν·
35 ἐν λόγοις αὐτοῦ σημεῖα κατέπαυσεν, 3
ἐδόξασεν αὐτὸν κατὰ πρόσωπον βασιλέων·
36 ἐνετείλατο αὐτῷ πρὸς λαὸν αὐτοῦ
καὶ ἔδειξεν αὐτῷ τῆς δόξης αὐτοῦ·
37 ἐν πίστει καὶ πραΰτητι αὐτὸν ἡγίασεν, 4
ἐξελέξατο αὐτὸν ἐκ πάσης σαρκός·
38 ἠκούτισεν αὐτὸν τῆς φωνῆς αὐτοῦ 5
καὶ εἰσήγαγεν αὐτὸν εἰς τὸν γνόφον,
39 καὶ ἔδωκεν αὐτῷ κατὰ πρόσωπον ἐντολάς,
νόμον ζωῆς καὶ ἐπιστήμης,
40 διδάξαι τὸν Ἰακὼβ διαθήκην
καὶ κρίματα αὐτοῦ τὸν Ἰσραήλ.
41 Ἀαρὼν ὕψωσεν ἅγιον ὅμοιον αὐτῷ 6
ἀδελφὸν αὐτοῦ ἐκ φυλῆς Λευΐ·
42 ἔστησεν αὐτὸν διαθήκην αἰῶνος 7
καὶ ἔδωκεν αὐτῷ ἱερατείαν λαοῦ·
43 ἐμακάρισεν αὐτὸν ἐν εὐκοσμίᾳ
καὶ περιέζωσεν αὐτὸν περιστολὴν δόξης·
44 ἐνέδυσεν αὐτὸν συντέλειαν καυχήματος 8
καὶ ἐστερέωσεν αὐτὸν σκεύεσιν ἰσχύος,
45 περισκελῆ καὶ ποδήρη καὶ ἐπωμίδα,
καὶ ἐκύκλωσεν αὐτὸν ῥοΐσκοις, 9
46 χρυσοῖς κώδωσι πλείστοις κυκλόθεν,
ἠχῆσαι φωνὴν ἐν βήμασιν αὐτοῦ,
47 ἀκουστὸν ποιῆσαι ἦχον ἐν ναῷ
εἰς μνημόσυνον υἱοῖς λαοῦ αὐτοῦ·
48 στολῇ ἁγίᾳ, χρυσῷ καὶ ὑακίνθῳ 10
καὶ πορφύρᾳ, ἔργῳ ποικιλτοῦ,
49 λογείῳ κρίσεως, δήλοις ἀληθείας,
κεκλωσμένῃ κόκκῳ, ἔργῳ τεχνίτου,
50 λίθοις πολυτελέσι γλύμματος σφραγῖδος 11
ἐν δέσει χρυσίου, ἔργῳ λιθουργοῦ,
51 εἰς μνημόσυνον ἐν γραφῇ κεκολαμμένῃ
κατ' ἀριθμὸν φυλῶν Ἰσραήλ·
52 στέφανον χρυσοῦν ἐπάνω κιδάρεως, 12
ἐκτύπωμα σφραγῖδος ἁγιάσματος,
53 καύχημα τιμῆς, ἔργον ἰσχύος,
ἐπιθυμήματα ὀφθαλμῶν κοσμούμενα·
54 ὡραῖα πρὸ αὐτοῦ οὐ γέγονε τοιαῦτα, 13
ὡς αἰῶνος οὐκ ἐνεδύσατο ἀλλογενὴς
55 πλὴν τῶν υἱῶν αὐτοῦ μόνον

καὶ τὰ ἔκγονα αὐτοῦ διὰ παντός.
56 θυσίαι αὐτοῦ ὁλοκαρπωθήσονται 14
καθ' ἡμέραν ἐνδελεχῶς δίς.
57 ἐπλήρωσε Μωϋσῆς τὰς χεῖρας 15
καὶ ἔχρισεν αὐτὸν ἐν ἐλαίῳ ἁγίῳ·
58 ἐγενήθη αὐτῷ εἰς διαθήκην αἰῶνος
καὶ τῷ σπέρματι αὐτοῦ ἐν ἡμέραις οὐρανοῦ
59 λειτουργεῖν αὐτῷ ἅμα καὶ ἱερατεύειν
καὶ εὐλογεῖν τὸν λαὸν αὐτοῦ ἐν τῷ ὀνόματι.
60 ἐξελέξατο αὐτὸν ἀπὸ παντὸς ζῶντος 16
προσαγαγεῖν κάρπωσιν Κυρίῳ,
61 θυμίαμα καὶ εὐωδίαν εἰς μνημόσυνον,
ἐξιλάσκεσθαι περὶ τοῦ λαοῦ σου.
62 ἔδωκεν αὐτῷ ἐν ἐντολαῖς αὐτοῦ 17
ἐξουσίαν ἐν διαθήκαις κριμάτων
63 διδάξαι τὸν Ἰακὼβ τὰ μαρτύρια
καὶ ἐν νόμῳ αὐτοῦ φωτίσαι Ἰσραήλ.
64 ἐπισυνέστησαν αὐτῷ ἀλλότριοι 18
καὶ ἐζήλωσαν αὐτὸν ἐν τῇ ἐρήμῳ,
65 ἄνδρες οἱ περὶ Δαθὰν καὶ Ἀβιρὼν
καὶ ἡ συναγωγὴ Κορὲ ἐν θυμῷ καὶ ὀργῇ·
66 εἶδε Κύριος καὶ οὐκ εὐδόκησε, 19
καὶ συνετελέσθησαν ἐν θυμῷ ὀργῆς·
67 ἐποίησεν αὐτοῖς τέρατα
καταναλῶσαι ἐν πυρὶ φλογὸς αὐτοῦ.
68 καὶ προσέθηκεν Ἀαρὼν δόξαν 20
καὶ ἔδωκεν αὐτῷ κληρονομίαν·
69 ἀπαρχὰς πρωτογενημάτων ἐμέρισεν αὐτῷ,
ἄρτον πρώτοις ἡτοίμασε πλησμονήν·
70 καὶ γὰρ θυσίας Κυρίου φάγονται, 21
ἃς ἔδωκεν αὐτῷ τε καὶ τῷ σπέρματι αὐτοῦ.
71 πλὴν ἐν γῇ λαοῦ οὐ κληρονομήσει, 22
καὶ μερὶς οὐκ ἔστιν αὐτῷ ἐν λαῷ·
72 αὐτὸς γὰρ μερίς σου καὶ κληρονομία.
73 Καὶ Φινεὲς υἱὸς Ἐλεάζαρ τρίτος εἰς δόξαν 23
ἐν τῷ ζηλῶσαι αὐτὸν ἐν φόβῳ Κυρίου
74 καὶ στῆναι αὐτὸν ἐν τροπῇ λαοῦ
ἐν ἀγαθότητι προθυμίας ψυχῆς αὐτοῦ·
75 καὶ ἐξιλάσατο περὶ τοῦ Ἰσραήλ.
διὰ τοῦτο ἐστάθη αὐτῷ διαθήκη εἰρήνης 24
76 προστατεῖν ἁγίων καὶ λαοῦ αὐτοῦ,
ἵνα αὐτῷ ᾖ καὶ τῷ σπέρματι αὐτοῦ
77 ἱερωσύνης μεγαλεῖον εἰς τοὺς αἰῶνας,
78 κληρονομία Ἀαρὼν καὶ τῷ σπέρματι αὐτοῦ. 25
79 δῴη ὑμῖν σοφίαν ἐν καρδίᾳ ὑμῶν 26

κρίνειν τὸν λαὸν αὐτοῦ ἐν δικαιοσύνῃ,
80 ἵνα μὴ ἀφανισθῇ τὰ ἀγαθὰ αὐτῶν
καὶ τὴν δόξαν αὐτῶν εἰς γενεὰς αὐτῶν.
81 Κραταιὸς ἐν πολέμῳ Ἰησοῦς Ναυὴ 1 **46**
καὶ διάδοχος Μωϋσῆ ἐν προφητείαις,
82 ὃς ἐγένετο κατὰ τὸ ὄνομα αὐτοῦ
μέγας ἐπὶ σωτηρίᾳ ἐκλεκτῶν αὐτοῦ
83 ἐκδικῆσαι ἐπεγειρομένους ἐχθρούς,
ὅπως κατακληρονομήσῃ τὸν Ἰσραήλ.
84 ὡς ἐδοξάσθη ἐν τῷ ἐπᾶραι χεῖρας αὐτοῦ 2
καὶ ἐν τῷ ἐκτεῖναι ῥομφαίαν ἐπὶ πόλεις.
85 τίς πρότερος αὐτοῦ οὕτως ἔστη; 3
τοὺς γὰρ πολέμους Κυρίου αὐτὸς ἐπήγαγεν.
86 οὐχὶ ἐν χειρὶ αὐτοῦ ἐνεποδίσθη ὁ ἥλιος 4
καὶ μία ἡμέρα ἐγενήθη πρὸς δύο;
87 ἐπεκαλέσατο τὸν ὕψιστον δυνάστην 5
ἐν τῷ θλῖψαι αὐτὸν ἐχθροὺς κυκλόθεν,
88 καὶ ἐπήκουσεν αὐτοῦ μέγας Κύριος
ἐν λίθοις χαλάζης δυνάμεως κραταιᾶς·
89 κατέρραξεν ἐπ' ἔθνος πόλεμον 6
καὶ ἐν καταβάσει ἀπώλεσεν ἀνθεστηκότας,
90 ἵνα γνῶσιν ἔθνη πανοπλίαν αὐτοῦ
ὅτι ἐναντίον Κυρίου ὁ πόλεμος αὐτοῦ.
91 καὶ γὰρ ἐπηκολούθησεν ὀπίσω δυνάστου 7
καὶ ἐν ἡμέραις Μωϋσέως ἐποίησεν ἔλεος
92 αὐτὸς καὶ Χάλεβ υἱὸς Ἰεφοννὴ
ἀντιστῆναι ἔναντι ἐκκλησίας
93 κωλῦσαι λαὸν ἀπὸ ἁμαρτίας
καὶ κοπάσαι γογγυσμὸν πονηρίας.
94 καὶ αὐτοὶ δύο ὄντες διεσώθησαν 8
ἀπὸ ἑξακοσίων χιλιάδων πεζῶν
95 εἰσαγαγεῖν αὐτοὺς εἰς κληρονομίαν
εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι.
96 Καὶ ἔδωκεν ὁ Κύριος τῷ Χάλεβ ἰσχύν, 9
καὶ ἕως γήρους διέμεινεν αὐτῷ,
97 ἐπιβῆναι αὐτὸν ἐπὶ τὸ ὕψος τῆς γῆς,
καὶ τὸ σπέρμα αὐτοῦ κατέσχε κληρονομίαν,
98 ὅπως ἴδωσι πάντες οἱ υἱοὶ Ἰσραὴλ 10
ὅτι καλὸν τὸ πορεύεσθαι ὀπίσω Κυρίου.
99 Καὶ οἱ κριταί, ἕκαστος τῷ αὐτοῦ ὀνόματι, 11
100 ὅσων οὐκ ἐξεπόρνευσεν ἡ καρδία
καὶ ὅσοι οὐκ ἀπεστράφησαν ἀπὸ Κυρίου,
εἴη τὸ μνημόσυνον αὐτῶν ἐν εὐλογίαις·
101 τὰ ὀστᾶ αὐτῶν ἀναθάλλοι ἐκ τοῦ τόπου αὐτῶν 12
καὶ τὸ ὄνομα αὐτῶν ἀντικαταλλασσόμενον

ἐφ' υἱοῖς δεδοξασμένων αὐτῶν.
102 Ἠγαπημένος ὑπὸ Κυρίου αὐτοῦ Σαμουὴλ 13
προφήτης Κυρίου κατέστησε βασιλείαν
καὶ ἔχρισεν ἄρχοντας ἐπὶ τὸν λαὸν αὐτοῦ·
103 ἐν νόμῳ Κυρίου ἔκρινε συναγωγήν, 14
καὶ ἐπεσκέψατο Κύριος τὸν Ἰακώβ·
104 ἐν πίστει αὐτοῦ ἠκριβάσθη προφήτης 15
καὶ ἐγνώσθη ἐν ῥήμασιν αὐτοῦ πιστὸς ὁράσεως.
105 καὶ ἐπεκαλέσατο τὸν Κύριον δυνάστην 16
ἐν τῷ θλῖψαι ἐχθροὺς αὐτοῦ κυκλόθεν
ἐν προσφορᾷ ἀρνὸς γαλαθηνοῦ·
106 καὶ ἐβρόντησεν ἀπ' οὐρανοῦ ὁ Κύριος 17
καὶ ἐν ἤχῳ μεγάλῳ ἀκουστὴν ἐποίησεν τὴν φωνὴν αὐτοῦ
107 καὶ ἐξέτριψεν ἡγουμένους Τυρίων 18
καὶ πάντας ἄρχοντας Φιλιστιίμ.
108 καὶ πρὸ καιροῦ κοιμήσεως αἰῶνος 19
ἐπεμαρτύρατο ἔναντι Κυρίου καὶ χριστοῦ αὐτοῦ·
109 Χρήματα καὶ ἕως ὑποδημάτων
ἀπὸ πάσης σαρκὸς οὐκ εἴληφα·
110 καὶ οὐκ ἐνεκάλεσεν αὐτῷ ἄνθρωπος.
111 καὶ μετὰ τὸ ὑπνῶσαι αὐτὸν προεφήτευσε 20
καὶ ὑπέδειξε βασιλεῖ τὴν τελευτὴν αὐτοῦ
112 καὶ ἀνύψωσεν ἐκ γῆς τὴν φωνὴν αὐτοῦ
ἐν προφητείᾳ ἐξαλεῖψαι ἀνομίαν λαοῦ.
113 Καὶ μετὰ τοῦτον ἀνέστη Νάθαν 1 **47**
προφητεύειν ἐν ἡμέραις Δαυΐδ.
114 Ὥσπερ στέαρ ἀφωρισμένον ἀπὸ σωτηρίου, 2
οὕτω Δαυΐδ ἀπὸ τῶν υἱῶν Ἰσραήλ.
115 .....
116 καὶ διαθήκη τῷ Δαυΐδ 25 **45**
υἱῷ Ἰεσσαὶ ἐκ φυλῆς Ἰούδα
117 κληρονομία βασιλέως υἱοῦ ἐξ αὐτοῦ μόνου·
118 ἐν λέουσιν ἔπαιξεν ὡς ἐν ἐρίφοις 3 **47**
καὶ ἐν ἄρκοις ὡς ἐν ἄρνασι προβάτων.
119 ἐν νεότητι αὐτοῦ οὐχὶ ἀπέκτεινε γίγαντα 4
καὶ ἐξῆρεν ὀνειδισμὸν ἐκ λαοῦ
120 ἐν τῷ ἐπᾶραι χεῖρα ἐν λίθῳ σφενδόνης
καὶ καταβαλεῖν γαυρίαμα τοῦ Γολιάθ;
121 ἐπεκαλέσατο γὰρ Κύριον τὸν ὕψιστον 5
καὶ ἔδωκεν ἐν τῇ δεξιᾷ αὐτοῦ κράτος,
122 ἐξᾶραι ἄνθρωπον δυνατὸν ἐν πολέμῳ
ἀνυψῶσαι κέρας λαοῦ αὐτοῦ.
123 οὕτως ἐν μυριάσιν ἐδόξασαν αὐτὸν 6
καὶ ᾔνεσαν αὐτὸν ἐν εὐλογίαις Κυρίου
ἐν τῷ φέρεσθαι αὐτῷ διάδημα δόξης·

124 ἐξέτριψε γὰρ ἐχθροὺς κυκλόθεν 7
καὶ ἐξουδένωσε Φιλιστιὶμ τοὺς ὑπεναντίους,
ἕως σήμερον συνέτριψεν αὐτῶν κέρας.
125 ἐν παντὶ ἔργῳ αὐτοῦ ἔδωκεν ἐξομολόγησιν 8
ἁγίῳ ὑψίστῳ ῥήματι δόξης·
126 ἐν πάσῃ καρδίᾳ αὐτοῦ ὕμνησε
καὶ ἠγάπησε τὸν ποιήσαντα αὐτόν.
127 καὶ ἔστησε ψαλτῳδοὺς κατέναντι τοῦ θυσιαστηρίου 9
καὶ ἐξ ἠχοῦς αὐτῶν γλυκαίνειν μέλη·
128 ἔδωκεν ἐν ἑορταῖς εὐπρέπειαν 10
καὶ ἐκόσμησε καιροὺς μέχρι συντελείας
129 ἐν τῷ αἰνεῖν αὐτοὺς τὸ ἅγιον ὄνομα αὐτοῦ
καὶ ἀπὸ πρωΐας ἠχεῖν τὸ ἁγίασμα.
130 Κύριος ἀφεῖλεν τὰς ἁμαρτίας αὐτοῦ 11
καὶ ἀνύψωσεν εἰς αἰῶνα τὸ κέρας αὐτοῦ
131 καὶ ἔδωκεν αὐτῷ διαθήκην βασιλέων
καὶ θρόνον δόξης ἐν τῷ Ἰσραήλ.
132 Μετὰ τοῦτον ἀνέστη υἱὸς ἐπιστήμων 12
καὶ δι' αὐτὸν κατέλυσεν ἐν πλατυσμῷ·
133 Σαλωμὼν ἐβασίλευσεν ἐν ἡμέραις εἰρήνης, 13
ᾧ ὁ θεὸς κατέπαυσε κυκλόθεν,
134 ἵνα στήσῃ οἶκον ἐπ' ὀνόματι αὐτοῦ
καὶ ἑτοιμάσῃ ἁγίασμα εἰς τὸν αἰῶνα.
135 ὡς ἐσοφίσθης ἐν νεότητί σου 14
καὶ ἐνεπλήσθης ὡς ποταμὸς συνέσεως.
136 γῆν ἐπεκάλυψεν ἡ ψυχή σου, 15
καὶ ἐνέπλησας ἐν παραβολαῖς αἰνιγμάτων·
137 εἰς Νήσους πόρρω ἀφίκετο τὸ ὄνομά σου, 16
καὶ ἠγαπήθης ἐν τῇ εἰρήνῃ σου·
138 ἐν ᾠδαῖς καὶ παροιμίαις καὶ παραβολαῖς 17
καὶ ἐν ἑρμηνείαις ἀπεθαύμασάν σε χῶραι.
139 ἐν ὀνόματι Κυρίου τοῦ θεοῦ 18
τοῦ ἐπικεκλημένου θεοῦ Ἰσραὴλ
140 συνήγαγες ὡς κασσίτερον τὸ χρυσίον
καὶ ὡς μόλιβον ἐπλήθυνας ἀργύριον.
141 παρανέκλινας τὰς λαγόνας σου γυναιξὶ 19
καὶ ἐνεξουσιάσθης ἐν τῷ σώματί σου·
142 ἔδωκας μῶμον ἐν τῇ δόξῃ σου 20
καὶ ἐβεβήλωσας τὸ σπέρμα σου
143 ἐπαγαγεῖν ὀργὴν ἐπὶ τὰ τέκνα σου
καὶ κατανυγῆναι ἐπὶ τῇ ἀφροσύνῃ σου
144 γενέσθαι δίχα τυραννίδα 21
καὶ ἐξ Ἐφραΐμ ἄρξαι βασιλείαν ἀπειθῆ.
145 ὁ δὲ Κύριος οὐ μὴ καταλίπῃ τὸ ἔλεος αὐτοῦ 22
καὶ οὐ μὴ διαφθείρῃ ἀπὸ τῶν λόγων αὐτοῦ

146 οὐδὲ μὴ ἐξαλείψῃ ἐκλεκτοῦ αὐτοῦ ἔκγονα
καὶ σπέρμα τοῦ ἀγαπήσαντος αὐτὸν οὐ μὴ ἐξάρῃ·
147 καὶ τῷ Ἰακὼβ ἔδωκε κατάλειμμα
καὶ τῷ Δαυῖδ ἐξ αὐτοῦ ῥίζαν.
148 Καὶ ἀνεπαύσατο Σαλωμὼν μετὰ τῶν πατέρων αὐτοῦ 23
καὶ κατέλιπε μετ' αὐτὸν ἐκ τοῦ σπέρματος αὐτοῦ
149 λαοῦ ἀφροσύνην καὶ ἐλασσούμενον συνέσει
Ῥοβοάμ, ὃς ἀπέστησε λαὸν ἐκ βουλῆς αὐτοῦ.
150 καὶ Ἱεροβοὰμ υἱὸς Ναβάτ, ὃς ἐξήμαρτεν τὸν Ἰσραὴλ 24
καὶ ἔδωκε τῷ Ἐφραΐμ ὁδὸν ἁμαρτίας·
151 καὶ ἐπληθύνθησαν αἱ ἁμαρτίαι αὐτῶν σφόδρα
ἀποστῆσαι αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν·
152 καὶ πᾶσαν πονηρίαν ἐξεζήτησαν, 25
ἕως ἐκδίκησις ἔλθῃ ἐπ' αὐτούς.
153 Καὶ ἀνέστη Ἠλίας προφήτης ὡς πῦρ, 1 **48**
καὶ ὁ λόγος αὐτοῦ ὡς λαμπὰς ἐκαίετο·
154 ὃς ἐπήγαγεν ἐπ' αὐτοὺς λιμὸν 2
καὶ τῷ ζήλῳ αὐτοῦ ὠλιγοποίησεν αὐτούς·
155 ἐν λόγῳ Κυρίου ἀνέσχεν οὐρανόν, 3
κατήγαγεν οὕτω τρὶς πῦρ.
156 ὡς ἐδοξάσθης, Ἠλία, ἐν θαυμασίοις σου· 4
καὶ τίς ὅμοιός σοι καυχᾶσθαι;
157 ὁ ἐγείρας νεκρὸν ἐκ θανάτου 5
καὶ ἐξ ᾅδου ἐν λόγῳ ὑψίστου·
158 ὁ καταγαγὼν βασιλεῖς εἰς ἀπώλειαν 6
καὶ δεδοξασμένους ἀπὸ κλίνης αὐτῶν·
159 ἀκούων ἐν Σινὰ ἐλεγμὸν 7
καὶ ἐν Χωρὴβ κρίματα ἐκδικήσεως·
160 ὁ χρίων βασιλεῖς εἰς ἀνταπόδομα 8
καὶ προφήτας διαδόχους μετ' αὐτόν·
161 ὁ ἀναληφθεὶς ἐν λαίλαπι πυρὸς 9
ἐν ἅρματι ἵππων πυρίνων·
162 ὁ καταγραφεὶς ἐν ἐλεγμοῖς εἰς καιροὺς 10
κοπάσαι ὀργὴν πρὸ θυμοῦ,
163 ἐπιστρέψαι καρδίαν πατρὸς πρὸς υἱὸν
καὶ καταστῆσαι φυλὰς Ἰακώβ.
164 μακάριοι οἱ ἰδόντες σε 11
καὶ οἱ ἐν ἀγαπήσει κεκοιμημένοι·
165 καὶ γὰρ ἡμεῖς ζωῇ ζησόμεθα.
166 Ἠλίας ὃς ἐν λαίλαπι ἐσκεπάσθη, 12
Καὶ Ἐλισαιὲ ἐνεπλήσθη πνεύματος αὐτοῦ·
167 καὶ ἐν ἡμέραις αὐτοῦ οὐκ ἐσαλεύθη ὑπὸ ἄρχοντος,
καὶ οὐ κατεδυνάστευσεν αὐτὸν οὐδείς.
168 πᾶς λόγος οὐχ ὑπερῆρεν αὐτόν, 13
καὶ ἐν κοιμήσει ἐπροφήτευσε τὸ σῶμα αὐτοῦ·

169 καὶ ἐν ζωῇ αὐτοῦ ἐποίησε τέρατα, 14
καὶ ἐπὶ τελευτῇ θαυμάσια τὰ ἔργα αὐτοῦ.
170 Ἐν πᾶσι τούτοις οὐ μετενόησεν ὁ λαὸς 15
καὶ οὐκ ἀπέστησαν ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν,
171 ἕως ἐπρονομεύθησαν ἀπὸ γῆς αὐτῶν
καὶ διεσκορπίσθησαν ἐν πάσῃ τῇ γῇ.
172 καὶ κατελείφθη ὁ λαὸς ὀλιγοστός, 16
καὶ ἄρχων ἐν τῷ οἴκῳ Δαυΐδ·
173 τινὲς μὲν αὐτῶν ἐποίησαν τὸ ἀρεστόν,
τινὲς δὲ ἐπλήθυναν ἁμαρτίας.
.....
174 Ἐζεκίας ὠχύρωσε τὴν πόλιν αὐτοῦ 17
καὶ εἰσήγαγεν εἰς μέσον αὐτῆς ὕδωρ,
175 ὤρυξε σιδήρῳ ἀκρότομον
καὶ ᾠκοδόμησε κρήνας εἰς ὕδατα.
176 ἐν ἡμέραις αὐτοῦ ἀνέβη Σενναχηρὶμ 18
καὶ ἀπέστειλε Ῥαψάκην, καὶ ἀπῆρε·
177 καὶ ἐπῆρε χεῖρα αὐτοῦ ἐπὶ Σιὼν
καὶ ἐμεγαλαύχησεν ἐν ὑπερηφανίᾳ αὐτοῦ.
178 τότε ἐσαλεύθησαν καρδίαι καὶ χεῖρες αὐτῶν, 19
καὶ ὠδίνησαν ὡς αἱ τίκτουσαι·
179 καὶ ἐπεκαλέσαντο τὸν Κύριον τὸν ἐλεήμονα 20
ἐκπετάσαντες τὰς χεῖρας αὐτῶν πρὸς αὐτόν.
180 καὶ ὁ ἅγιος ἐξ οὐρανοῦ ταχὺ ἐπήκουσεν αὐτῶν
καὶ ἐλυτρώσατο αὐτοὺς ἐν χειρὶ Ἠσαΐου·
181 ἐπάταξε τὴν παρεμβολὴν τῶν Ἀσσυρίων, 21
καὶ ἐξέτριψεν αὐτοὺς ὁ ἄγγελος αὐτοῦ.
182 ἐποίησε γὰρ Ἐζεκίας τὸ ἀρεστὸν Κυρίῳ 22
καὶ ἐνίσχυσεν ἐν ὁδοῖς Δαυΐδ τοῦ πατρὸς αὐτοῦ.
183 Ἃς ἐνετείλατο Ἠσαΐας ὁ προφήτης
ὁ μέγας καὶ πιστὸς ἐν ὁράσει αὐτοῦ.
184 ἐν ταῖς ἡμέραις αὐτοῦ ἀνεπόδισεν ὁ ἥλιος 23
καὶ προσέθηκε ζωὴν βασιλεῖ.
185 πνεύματι μεγάλῳ εἶδε τὰ ἔσχατα 24
καὶ παρεκάλεσε τοὺς πενθοῦντας ἐν Σιών.
186 ἕως τοῦ αἰῶνος ὑπέδειξε τὰ ἐσόμενα 25
καὶ τὰ ἀπόκρυφα πρὶν ἢ παραγενέσθαι αὐτά.
187 Μνημόσυνον Ἰωσίου εἰς σύνθεσιν θυμιάματος 1 **49**
ἐσκευασμένον ἔργῳ μυρεψοῦ·
188 ἐν παντὶ στόματι ὡς μέλι γλυκανθήσεται
καὶ ὡς μουσικὰ ἐν συμποσίῳ οἴνου.
189 αὐτὸς κατευθύνθη ἐν ἐπιστροφῇ λαοῦ 2
καὶ ἐξῆρε βδελύγματα ἀνομίας·
190 κατεύθυνε πρὸς Κύριον τὴν καρδίαν αὐτοῦ, 3
ἐν ἡμέραις ἀνόμων κατίσχυσε τὴν εὐσέβειαν.

191 Πάρεξ Δαυΐδ καὶ Ἐζεκίου καὶ Ἰωσίου 4
πάντες πλημμέλειαν ἐπλημμέλησαν·
192 κατέλιπον γὰρ τὸν νόμον τοῦ ὑψίστου,
οἱ βασιλεῖς Ἰούδα ἐξέλιπον·
193 ἔδωκαν γὰρ τὸ κέρας αὐτῶν ἑτέροις 5
καὶ τὴν δόξαν αὐτῶν ἔθνει ἀλλοτρίῳ.
194 Ἐνεπύρισαν ἐκλεκτὴν πόλιν ἁγιάσματος 6
καὶ ἠρήμωσαν τὰς ὁδοὺς αὐτῆς.
.....
195 ἐν χειρὶ Ἱερεμίου· ἐκάκωσαν γὰρ αὐτόν, 7
καὶ αὐτὸς ἐν μήτρᾳ ἡγιάσθη προφήτης
196 ἐκριζοῦν καὶ κακοῦν καὶ ἀπολλύειν,
ὡσαύτως οἰκοδομεῖν καὶ καταφυτεύειν.
197 Ἰεζεκιὴλ ὃς εἶδεν ὅρασιν δόξης, 8
ἣν ὑπέδειξεν αὐτῷ ἐπὶ ἅρματος χερουβίν·
198 καὶ γὰρ ἐμνήσθη τῶν ἐχθρῶν ἐν ὄμβρῳ 9
καὶ ἀγαθῶσαι τοὺς εὐθύνοντας ὁδούς.
.....
199 Καὶ τῶν δώδεκα προφητῶν τὰ ὀστᾶ 10
ἀναθάλλοι ἐκ τοῦ τόπου αὐτῶν·
200 παρεκάλεσαν γὰρ τὸν Ἰακὼβ
καὶ ἐλυτρώσαντο αὐτοὺς ἐν πίστει ἐλπίδος.
.....
201 Πῶς μεγαλύνωμεν τὸν Ζοροβάβελ; 11
καὶ αὐτὸς ὡς σφραγὶς ἐπὶ δεξιᾶς χειρός.
202 Οὕτως Ἰησοῦς υἱὸς Ἰωσεδέκ, 12
οἳ ἐν ἡμέραις αὐτῶν ᾠκοδόμησαν οἶκον
203 καὶ ἀνύψωσαν ναὸν ἅγιον Κυρίῳ
ἡτοιμασμένον εἰς δόξαν αἰῶνος.
.....
204 Καὶ Νεεμίου ἐπὶ πολὺ τὸ μνημόσυνον 13
τοῦ ἐγείραντος ἡμῖν τείχη πεπτωκότα
205 καὶ στήσαντος πύλας καὶ μοχλοὺς
καὶ ἀνεγείραντος τὰ οἰκόπεδα ἡμῶν.
206 Οὐδεὶς ἐκτίσθη ἐπὶ τῆς γῆς τοιοῦτος οἷος Ἐνώχ· 14
καὶ γὰρ αὐτὸς ἀνελήφθη ἀπὸ τῆς γῆς.
207 Οὐδὲ ὡς Ἰωσὴφ ἐγεννήθη ἀνὴρ 15
ἡγούμενος ἀδελφῶν, στήριγμα λαοῦ,
καὶ τὰ ὀστᾶ αὐτοῦ ἐπεσκέπησαν.
208 Σὴμ καὶ Σὴθ ἐν ἀνθρώποις ἐδοξάσθησαν, 16
καὶ ὑπὲρ πᾶν ζῷον ἐν τῇ κτίσει Ἀδάμ.

147 1 Σίμων Ὀνίου υἱὸς ἱερεὺς ὁ μέγας, 1 **50**
2 ὃς ἐν ζωῇ αὐτοῦ ὑπέρραψεν οἶκον
καὶ ἐν ἡμέραις αὐτοῦ ἐστερέωσε ναόν·

3 καὶ ὑπ᾽ αὐτοῦ ἐθεμελιώθη ὕψος διπλῆς, 2
ἀνάλημμα ὑψηλὸν περιβόλου ἱεροῦ·
4 ἐν ἡμέραις αὐτοῦ ἐλατομήθη ἀποδοχεῖον ὑδάτων, 3
λάκκος ὡσεὶ θαλάσσης τὸ περίμετρον·
5 ὁ φροντίζων τοῦ λαοῦ αὐτοῦ ἀπὸ πτώσεως 4
καὶ ἐνισχύσας πόλιν ἐν πολιορκήσει.
6 ὡς ἐδοξάσθη ἐν περιστροφῇ λαοῦ, 5
ἐν ἐξόδῳ οἴκου καταπετάσματος·
7 ὡς ἀστὴρ ἑωθινὸς ἐν μέσῳ νεφελῶν, 6
ὡς σελήνη πλήρης ἐν ἡμέραις,
8 ὡς ἥλιος ἐκλάμπων ἐπὶ ναὸν ὑψίστου 7
καὶ ὡς τόξον φωτίζον ἐν νεφέλαις δόξης,
9 ὡς ἄνθος ῥόδων ἐν ἡμέραις νέων, 8
ὡς κρίνα ἐπ᾽ ἐξόδῳ ὕδατος,
10 ὡς βλαστὸς Λιβάνου ἐν ἡμέραις θέρους,
ὡς πῦρ καὶ λίβανος ἐπὶ πυρείου, 9
11 ὡς σκεῦος χρυσίου ὁλοσφύρητον
κεκοσμημένον παντὶ λίθῳ πολυτελεῖ,
12 ὡς ἐλαία ἀναθάλλουσα καρποὺς 10
καὶ ὡς κυπάρισσος ὑψουμένη ἐν νεφέλαις.
13 ἐν τῷ ἀναλαμβάνειν αὐτὸν στολὴν δόξης 11
καὶ ἐνδιδύσκεσθαι αὐτὸν συντέλειαν καυχήματος,
14 ἐν ἀναβάσει θυσιαστηρίου ἁγίου
ἐδόξασε περιβολὴν ἁγιάσματος·
15 ἐν δὲ τῷ δέχεσθαι μέλη ἐκ χειρῶν ἱερέων, 12
καὶ αὐτὸς ἑστὼς παρ᾽ ἐσχάρᾳ βωμοῦ,
16 κυκλόθεν αὐτοῦ στέφανος ἀδελφῶν
ὡς βλάστημα κέδρων ἐν τῷ Λιβάνῳ
17 καὶ ἐκύκλωσαν αὐτὸν ὡς στελέχη φοινίκων,
καὶ πάντες οἱ υἱοὶ Ἀαρὼν ἐν δόξῃ αὐτῶν 13
18 καὶ προσφορὰ Κυρίου ἐν χερσὶν αὐτῶν
ἔναντι πάσης ἐκκλησίας Ἰσραήλ,
19 καὶ συντέλειαν λειτουργῶν ἐπὶ βωμῶν 14
κοσμῆσαι προσφορὰν ὑψίστου παντοκράτορος,
20 ἐξέτεινεν ἐπὶ σπονδείου χεῖρα αὐτοῦ 15
καὶ ἔσπεισεν ἐξ αἵματος σταφυλῆς,
21 ἐξέχεεν εἰς θεμέλια θυσιαστηρίου
ὀσμὴν εὐωδίας ὑψίστῳ παμβασιλεῖ.
22 τότε ἀνέκραγον οἱ υἱοὶ Ἀαρών, 16
ἐν σάλπιγξιν ἐλαταῖς ἤχησαν,
23 ἀκουστὴν ἐποίησαν φωνὴν μεγάλην
εἰς μνημόσυνον ἔναντι ὑψίστου·
24 τότε πᾶς ὁ λαὸς κοινῇ κατέσπευσαν 17
καὶ ἔπεσαν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν
25 προσκυνῆσαι τῷ Κυρίῳ αὐτῶν

παντοκράτορι θεῷ ὑψίστῳ·
26 καὶ ᾔνεσαν οἱ ψαλτῳδοὶ ἐν φωναῖς αὐτῶν, 18
ἐν πλείστῳ ἤχῳ ἐγλυκάνθη μέλος·
27 καὶ ἐδεήθη ὁ λαὸς Κυρίου ὑψίστου 19
ἐν προσευχῇ κατέναντι ἐλεήμονος,
28 ἕως συντελεσθῇ κόσμος Κυρίου
καὶ τὴν λειτουργίαν αὐτοῦ ἐτελείωσαν.
29 τότε καταβὰς ἐπῆρε χεῖρας αὐτοῦ 20
ἐπὶ πᾶσαν ἐκκλησίαν υἱῶν Ἰσραὴλ
30 δοῦναι εὐλογίαν Κυρίου ἐκ χειλέων αὐτοῦ
καὶ ἐν ὀνόματι αὐτοῦ καυχήσασθαι·
31 καὶ ἐδευτέρωσαν ἐν προσκυνήσει 21
ἐπιδέξασθαι τὴν εὐλογίαν παρὰ ὑψίστου.

148 1 Καὶ νῦν εὐλογήσατε τὸν θεὸν πάντων 22
τὸν μεγάλα ποιοῦντα πάντῃ,
2 τὸν ὑψοῦντα ἡμέρας ἡμῶν ἐκ μήτρας
καὶ ποιοῦντα μεθ' ἡμῶν κατὰ τὸ ἔλεος αὐτοῦ.
3 δῴη ἡμῖν εὐφροσύνην καρδίας 23
καὶ γενέσθαι εἰρήνην ἐν ἡμέραις ἡμῶν
ἐν Ἰσραὴλ κατὰ τὰς ἡμέρας τοῦ αἰῶνος·
4 ἐμπιστεῦσαι μεθ' ἡμῶν τὸ ἔλεος αὐτοῦ 24
καὶ ἐν ταῖς ἡμέραις ἡμῶν λυτρωσάσθω ἡμᾶς.

149 1 Ἐν δυσὶν ἔθνεσι προσώχθισεν ἡ ψυχή μου, 25
καὶ τὸ τρίτον οὐκ ἔστιν ἔθνος·
2 οἱ καθήμενοι ἐν ὄρει Σαμαρείας καὶ Φιλιστιὶμ 26
καὶ ὁ λαὸς ὁ μωρὸς ὁ κατοικῶν ἐν Σικίμοις.

150 1 Παιδείαν συνέσεως καὶ ἐπιστήμης 27
ἐχάραξεν ἐν τῷ βιβλίῳ τούτῳ
2 Ἰησοῦς υἱὸς Σιρὰχ ὁ Ἰεροσολυμίτης,
ὃς ἀνώμβρησε σοφίαν ἀπὸ καρδίας αὐτοῦ.
3 μακάριος ὃς ἐν τούτοις ἀναστραφήσεται, 28
καὶ θεὶς αὐτὰ ἐπὶ καρδίαν αὐτοῦ σοφισθήσεται·
4 ἐὰν γὰρ αὐτὰ ποιήσῃ, πρὸς πάντα ἰσχύσει· 29
ὅτι φῶς Κυρίου τὸ ἴχνος αὐτοῦ.

* * *

151 1 Ἐξομολογήσομαί σοι, Κύριε βασιλεῦ, 1 **51**
καὶ αἰνέσω σε θεὸν τὸν σωτῆρά μου,
2 ἐξομολογοῦμαι τῷ ὀνόματί σου,
ὅτι σκεπαστὴς καὶ βοηθὸς ἐγένου μοι 2
3 καὶ ἐλυτρώσω τὸ σῶμά μου ἐξ ἀπωλείας
καὶ ἐκ παγίδος διαβολῆς γλώσσης,
4 ἀπὸ χειλέων ἐργαζομένων ψεῦδος

καὶ ἔναντι τῶν παρεστηκότων
5 ἐγένου βοηθὸς καὶ ἐλυτρώσω με
κατὰ τὸ πλῆθος ἐλέους καὶ ὀνόματός σου 3
6 ἐκ βρυγμῶν ἑτοίμων εἰς βρῶμα,
ἐκ χειρὸς ζητούντων τὴν ψυχήν μου,
7 ἐκ πλειόνων θλίψεων, ὧν ἔσχον,
8 ἀπὸ πνιγμοῦ πυρᾶς κυκλόθεν 4
καὶ ἐκ μέσου πυρός, οὗ οὐκ ἐξέκαυσα,
9 ἐκ βάθους κοιλίας ᾅδου 5
καὶ ἀπὸ γλώσσης ἀκαθάρτου καὶ λόγου ψευδοῦς.
10 βασιλεῖ διαβολὴ γλώσσης ἀδίκου. 6
11 ἤγγισεν ἕως θανάτου ἡ ψυχή μου,
καὶ ἡ ζωή μου ἦν σύνεγγυς ᾅδου κάτω.
12 περιέσχον με πάντοθεν, καὶ οὐκ ἦν ὁ βοηθῶν· 7
ἐνέβλεπον εἰς ἀντίληψιν ἀνθρώπων, καὶ οὐκ ἦν.
13 καὶ ἐμνήσθην τοῦ ἐλέους σου, Κύριε, 8
καὶ τῆς ἐργασίας σου τῆς ἀπ' αἰῶνος,
14 ὅτι ἐξαιρῇ τοὺς ὑπομένοντάς σε
καὶ σῴζεις αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν.
15 καὶ ἀνύψωσα ἀπὸ γῆς ἱκετείαν μου 9
καὶ ὑπὲρ θανάτου ῥύσεως ἐδεήθην·
16 ἐπεκαλεσάμην Κύριον πατέρα κυρίου μου 10
μή με ἐγκαταλιπεῖν ἐν ἡμέραις θλίψεως,
ἐν καιρῷ ὑπερηφανιῶν ἀβοηθησίας·
17 αἰνέσω τὸ ὄνομά σου ἐνδελεχῶς
καὶ ὑμνήσω ἐν ἐξομολογήσει.
18 καὶ εἰσηκούσθη ἡ δέησίς μου· 11
19 ἔσωσας γάρ με ἐξ ἀπωλείας
καὶ ἐξείλου με ἐκ καιροῦ πονηροῦ.
20 διὰ τοῦτο ἐξομολογήσομαί σοι καὶ αἰνέσω σε 12
καὶ εὐλογήσω τῷ ὀνόματι Κυρίου.

152 1 Ἔτι ὢν νεώτερος πρὶν ἢ πλανηθῆναί με 13
ἐζήτησα σοφίαν προφανῶς ἐν προσευχῇ μου.
2 ἔναντι ναοῦ ἠξίουν περὶ αὐτῆς 14
καὶ ἕως ἐσχάτων ἐκζητήσω αὐτήν.
3 ἐξ ἄνθους ὡς περκαζούσης σταφυλῆς 15
εὐφράνθη ἡ καρδία μου ἐν αὐτῇ.
4 ἐπέβη ὁ πούς μου ἐν εὐθύτητι,
ἐκ νεότητός μου ἴχνευον αὐτήν.
5 ἔκλινα ὀλίγον τὸ οὖς μου καὶ ἐδεξάμην 16
καὶ πολλὴν εὗρον ἐμαυτῷ παιδείαν.
6 προκοπὴ ἐγένετό μοι ἐν αὐτῇ· 17
τῷ διδόντι μοι σοφίαν δώσω δόξαν.

7 διενοήθην γὰρ τοῦ ποιῆσαι αὐτὴν 18
καὶ ἐζήλωσα τὸ ἀγαθὸν καὶ οὐ μὴ αἰσχυνθῶ.
8 διαμεμάχηται ἡ ψυχή μου ἐν αὐτῇ 19
καὶ ἐν ποιήσει νόμου διηκριβασάμην.
9 τὰς χεῖράς μου ἐξεπέτασα πρὸς ὕψος
καὶ τὰ ἀγνοήματα αὐτῆς ἐπένθησα.
10 τὴν ψυχήν μου κατεύθυνα εἰς αὐτὴν 20
καὶ ἐν καθαρισμῷ εὗρον αὐτήν.
11 καρδίαν ἐκτησάμην μετ' αὐτῆς ἀπ' ἀρχῆς·
διὰ τοῦτο οὐ μὴ ἐγκαταλειφθῶ.
12 καὶ ἡ κοιλία μου ἐταράχθη τοῦ ἐκζητῆσαι αὐτήν· 21
διὰ τοῦτο ἐκτησάμην ἀγαθὸν κτῆμα.
13 ἔδωκε Κύριος γλῶσσάν μοι μισθόν μου, 22
καὶ ἐν αὐτῇ αἰνέσω αὐτόν.
14 ἐγγίσατε πρός με, ἀπαίδευτοι, 23
καὶ αὐλίσθητε ἐν οἴκῳ παιδείας.
15 τί ὅτι ὑστερεῖσθαι λέγετε ἐν τούτοις 24
καὶ αἱ ψυχαὶ ὑμῶν διψῶσι σφόδρα;
16 ἤνοιξα τὸ στόμα μου καὶ ἐλάλησα· 25
Κτήσασθε ἑαυτοῖς ἄνευ ἀργυρίου.
17 τὸν τράχηλον ὑμῶν ὑπόθετε ὑπὸ ζυγόν, 26
καὶ ἐπιδεξάσθω ἡ ψυχὴ ὑμῶν παιδείαν.
18 ἐγγύς ἐστιν εὑρεῖν αὐτήν.
19 ἴδετε ἐν ὀφθαλμοῖς ὑμῶν ὅτι ὀλίγον ἐκοπίασα 27
καὶ εὗρον ἐμαυτῷ πολλὴν ἀνάπαυσιν.
20 μετάσχετε παιδείας ἐν πολλῷ ἀριθμῷ ἀργυρίου 28
καὶ πολὺν χρυσὸν κτήσασθε ἐν αὐτῇ.
21 εὐφρανθείη ἡ ψυχὴ ὑμῶν ἐν τῷ ἐλέει αὐτοῦ, 29
καὶ μὴ αἰσχυνθείητε ἐν αἰνέσει αὐτοῦ.
22 ἐργάζεσθε τὸ ἔργον ὑμῶν πρὸ καιροῦ, 30
καὶ δώσει τὸν μισθὸν ὑμῶν ἐν καιρῷ αὐτοῦ.

4. ΜΑΚΚΑΒΑΪΚΑΙ ΕΠΙΣΤΟΛΑΙ

ΕΠΙΣΤΟΛΗ Α΄

1 Οἱ ἐν Ἰεροσολύμοις καὶ οἱ ἐν τῇ Ἰουδαίᾳ καὶ ἡ γερουσία 10 I
καὶ Ἰούδας Ἀριστοβούλῳ διδασκάλῳ Πτολεμαίου τοῦ βασιλέ-
ως, ὄντι δὲ ἀπὸ τοῦ τῶν χριστῶν ἱερέων γένους, καὶ τοῖς ἐν
Αἰγύπτῳ Ἰουδαίοις χαίρειν καὶ ὑγιαίνειν.
2 Ἐκ μεγάλων κινδύνων ἀπὸ τοῦ θεοῦ σεσωσμένοι μεγά- 11
λως εὐχαριστοῦμεν αὐτῷ, ὡς ἂν πρὸς βασιλέα παρατασσόμε-
νοι· αὐτὸς γὰρ ἐξέβρασε τοὺς παραταξαμένους ἐν τῇ ἁγίᾳ πό- 12
3 λει. εἰς γὰρ τὴν Περσίδα γενόμενος ὁ ἡγεμὼν καὶ ἡ περὶ αὐτὸν 13
ἀνυπόστατος δοκοῦσα εἶναι δύναμις, κατεκόπησαν ἐν τῷ τῆς
Ναναίας ἱερῷ, παραλογισμῷ χρησαμένων τῶν περὶ τὴν Να-
ναίαν ἱερέων. ὡς γὰρ συνοικήσων αὐτῇ παρεγένετο εἰς τὸν 14
τόπον ὅ τε Ἀντίοχος καὶ οἱ σὺν αὐτῷ φίλοι χάριν τοῦ λαβεῖν
τὰ χρήματα εἰς φερνῆς λόγον· καὶ προθέντων αὐτὰ τῶν ἱερέων 15
τῆς Ναναίας κἀκείνου προσελθόντος μετ' ὀλίγων εἰς τὸν πε-
ρίβολον τοῦ τεμένους, συγκλείσαντες τὸ ἱερόν, ὡς εἰσῆλθεν 16
Ἀντίοχος, ἀνοίξαντες τὴν τοῦ φατνώματος κρυπτὴν θύραν,
βάλλοντες πέτρους συνεκεραύνωσαν τὸν ἡγεμόνα καὶ μέλη
ποιήσαντες καὶ τὰς κεφαλὰς ἀφελόντες τοῖς ἔξω παρέρριψαν.
4 κατὰ πάντα εὐλογητὸς ἡμῶν ὁ θεός, ὃς παρέδωκε τοὺς ἀσεβή- 17
σαντας. μέλλοντες οὖν ἄγειν ἐν τῷ Χασελεῦ πέμπτῃ καὶ εἰκάδι 18
τὸν καθαρισμὸν τοῦ ἱεροῦ, δέον ἡγησάμεθα διασαφῆσαι ὑμῖν,
ἵνα καὶ αὐτοὶ ἄγητε <τὴν ἡμέραν> τῆς σκηνοπηγίας καὶ τοῦ
πυρός, ὅτε Νεεμίας οἰκοδομήσας τό τε ἱερὸν καὶ τὸ θυσιαστή-
ριον ἀνήνεγκε θυσίαν*. προσευχὴν δὲ ἐποιήσαντο οἱ ἱερεῖς δα- 23
πανωμένης τῆς θυσίας, οἵ τε ἱερεῖς καὶ πάντες, καταρχομένου
5 Ἰωνάθου, τῶν δὲ λοιπῶν ἐπιφωνούντων ὡς Νεεμίας. ἦν δὲ ἡ 24
προσευχὴ τὸν τρόπον ἔχουσα τοῦτον· «Κύριε Κύριε ὁ θεὸς ὁ
πάντων κτίστης, ὁ φοβερὸς καὶ ἰσχυρὸς καὶ δίκαιος καὶ ἐλεή- 25
μων, ὁ μόνος βασιλεὺς καὶ χρηστός, ὁ μόνος χορηγός, ὁ μό-
νος δίκαιος καὶ παντοκράτωρ καὶ αἰώνιος, ὁ διασῴζων τὸν Ἰσ-
ραὴλ ἐκ παντὸς κακοῦ, ὁ ποιήσας τοὺς πατέρας ἐκλεκτοὺς καὶ
ἁγιάσας αὐτούς, πρόσδεξαι τὴν θυσίαν ὑπὲρ παντὸς τοῦ λαοῦ 26
σου Ἰσραὴλ καὶ διαφύλαξον τὴν μερίδα σου καὶ καθαγίασον.
ἐπισυνάγαγε τὴν διασπορὰν ἡμῶν, ἐλευθέρωσον τοὺς δου- 27
λεύοντας ἐν τοῖς ἔθνεσι, τοὺς ἐξουθενημένους καὶ βδελυκτοὺς
ἔπιδε, καὶ γνώτωσαν τὰ ἔθνη, ὅτι σὺ εἶ ὁ θεὸς ἡμῶν. βασάνι- 28

σον τοὺς καταδυναστεύοντας καὶ ἐξυβρίζοντας ἐν ὑπερηφα- 29
νίᾳ. καταφύτευσον τὸν λαόν σου εἰς τὸν τόπον τὸν ἅγιόν σου,
καθὼς εἶπε Μωϋσῆς. οἱ δὲ ἱερεῖς ἐπέψαλλον τοὺς ὕμνους. 30

6 Ἐξηγοῦντο δὲ καὶ ἐν ταῖς ἀναγραφαῖς** καὶ ἐν τοῖς ὑπο- 13 **2**
μνηματισμοῖς τοῖς κατὰ τὸν Νεεμίαν τὰ αὐτὰ καὶ ὡς καταβαλ-
λόμενος βιβλιοθήκην ἐπισυνήγαγε τὰ περὶ τῶν βασιλέων καὶ
προφητῶν καὶ τὰ τοῦ Δαυῖδ καὶ ἐπιστολὰς βασιλέων περὶ ἀνα-
θεμάτων, ὡσαύτως δὲ καὶ Ἰούδας τὰ διαπεπτωκότα διὰ τὸν 14
πόλεμον τὸν γεγονότα ἡμῖν ἐπισυνήγαγε πάντα, καὶ ἔστι παρ'
ἡμῖν· ὧν οὖν ἐὰν χρείαν ἔχητε, τοὺς ἀποκομιοῦντας ὑμῖν ἀπο- 15
στέλλετε.

7 Μέλλοντες οὖν ἄγειν τὸν καθαρισμὸν ἐγράψαμεν ὑμῖν· κα- 16
λῶς οὖν ποιήσετε ἄγοντες τὰς ἡμέρας. ὁ δὲ θεὸς ὁ σώσας τὸν 17
πάντα λαὸν αὐτοῦ καὶ ἀποδοὺς τὴν κληρονομίαν πᾶσι καὶ τὸ
βασίλειον καὶ τὸ ἱεράτευμα καὶ τὸν ἁγιασμόν, καθὼς ἐπηγγεί- 18
λατο διὰ τοῦ Νόμου. ἐλπίζομεν γὰρ ἐπὶ τῷ θεῷ ὅτι ταχέως ἡ-
μᾶς ἐλεήσει καὶ ἐπισυνάξει ἐκ τῆς ὑπὸ τὸν οὐρανὸν εἰς τὸν ἅ-
γιον τόπον. ἐξείλετο γὰρ ἡμᾶς ἐκ μεγάλων κακῶν καὶ τὸν τό-
πον ἐκαθάρισε.

ΣΧΟΛΙΑ

* Καὶ γὰρ ὅτε εἰς τὴν Περσικὴν ἤγοντο οἱ πατέρες ἡμῶν, οἱ τότε 19 **1**
εὐσεβεῖς ἱερεῖς λαβόντες ἀπὸ τοῦ πυρὸς τοῦ θυσιαστηρίου λαθραίως,
κατέκρυψαν ἐν κοιλώματι φρέατος τάξιν ἔχοντος ἀνύδρου, ἐν ᾧ κατη-
σφαλίσαντο, ὥστε πᾶσιν ἄγνωστον εἶναι τὸν τόπον. διελθόντων δὲ ἐ- 20
τῶν ἱκανῶν, ὅτε ἔδοξε τῷ θεῷ, ἀποσταλεὶς Νεεμίας ὑπὸ τοῦ βασιλέ-
ως τῆς Περσίδος τοὺς ἐκγόνους τῶν ἱερέων τῶν ἀποκρυψάντων ἔ-
πεμψεν ἐπὶ τὸ πῦρ· ὡς δὲ διεσάφησαν ἡμῖν μὴ εὑρηκέναι πῦρ, ἀλλὰ ὕ- 21
δωρ παχύ, ἐκέλευσεν αὐτοὺς ἀποβάψαντας φέρειν. ὡς δὲ ἀνηνέχθη τὰ
τῶν θυσιῶν, ἐκέλευσε τοὺς ἱερεῖς Νεεμίας ἐπιρρᾶναι τῷ ὕδατι τά τε
ξύλα καὶ τὰ ἐπικείμενα. ὡς δὲ ἐγένετο τοῦτο καὶ χρόνος διῆλθεν ὅ τε 22
ἥλιος ἀνέλαμψε, πρότερον ἐπινεφὴς ὤν, ἀνήφθη <τε> πυρὰ μεγάλη
ὥστε θαυμάσαι πάντας.

.....

καθὼς δὲ ἀνηλώθη τὰ τῆς θυσίας καὶ τὸ περιλειπόμενον ὕδωρ, ὁ Νεε- 31
μίας ἐκέλευσε λίθους μείζονας κατασχεῖν. ὡς δὲ τοῦτο ἐγενήθη, φλὸξ 32
ἀνήφθη· τοῦ δὲ ἀπὸ τοῦ θυσιαστηρίου ἀντιλάμψαντος φωτὸς ἐδαπανή-
θη. ὡς δὲ φανερὸν ἐγενήθη τὸ πρᾶγμα, καὶ διηγγέλη τῷ βασιλεῖ τῶν 33
Περσῶν ὅτι εἰς τὸν τόπον, οὗ τὸ πῦρ ἀπέκρυψαν οἱ μεταχθέντες ἱερεῖς
τὸ ὕδωρ ἐφάνη, ἀφ' οὗ καὶ οἱ περὶ τὸν Νεεμίαν ἥγνισαν τὰ τῆς θυσίας,
περιφράξας δὲ ὁ βασιλεὺς ἱερὸν ἐποίησε, δοκιμάσας τὸ πρᾶγμα. καὶ 34 35
οἷς ἐχαρίζετο ὁ βασιλεὺς πολλὰ διάφορα ἐλάμβανε καὶ μετεδίδου. προ- 36
σηγόρευσαν δὲ οἱ περὶ τὸν Νεεμίαν τοῦτο Νέφθαρ, ὃ διερμηνεύεται
Καθαρισμός· καλεῖται δὲ παρὰ τοῖς πολλοῖς Νεφθαεί.

** Εὑρίσκεται δὲ ἐν ταῖς Ἀπογραφαῖς Ἱερεμίας ὁ προφήτης ὅτι ἐ- 1 **2**

κέλευσε τοῦ πυρὸς λαβεῖν τοὺς μεταγινομένους, ὡς σεσήμανται, καὶ 2
ὡς ἐνετείλατο τοῖς μεταγενομένοις ὁ προφήτης, δοὺς αὐτοῖς τὸν Νό-
μον, ἵνα μὴ ἐπιλάθωνται τῶν προσταγμάτων τοῦ Κυρίου καὶ ἵνα μὴ ἀ-
ποπλανηθῶσι ταῖς διανοίαις βλέποντες ἀγάλματα χρυσᾶ καὶ ἀργυρᾶ 3
καὶ τὸν περὶ αὐτὰ κόσμον· καὶ ἕτερα τοιαῦτα λέγων παρεκάλει μὴ ἀπο- 4
στῆναι τὸν Νόμον ἀπὸ τῆς καρδίας αὐτῶν. ἦν δὲ ἐν τῇ γραφῇ ὡς τὴν
σκηνὴν καὶ τὴν κιβωτὸν ἐκέλευσεν ὁ προφήτης χρηματισμοῦ γενηθέ-
ντος αὐτῷ συνακολουθεῖν· ὡς δὲ ἐξῆλθεν εἰς τὸ ὄρος, οὗ ὁ Μωϋσῆς 5
ἀναβὰς ἐθεάσατο τὴν τοῦ θεοῦ κληρονομίαν. καὶ ἐλθὼν ὁ Ἱερεμίας εὗ-
ρεν οἶκον ἀντρώδη καὶ τὴν σκηνὴν καὶ τὴν κιβωτὸν καὶ τὸ θυσιαστή- 6
ριον τοῦ θυμιάματος εἰσήνεγκεν ἐκεῖ καὶ τὴν θύραν ἐνέφραξε. καὶ προ-
σελθόντες τινὲς τῶν συνακολουθούντων, ὥστε ἐπισημήνασθαι τὴν ὁ- 7
δόν, καὶ οὐκ ἠδυνήθησαν εὑρεῖν. ὡς δὲ ὁ Ἱερεμίας ἔγνω, μεμψάμενος
αὐτοῖς εἶπεν ὅτι καὶ ἄγνωστος ὁ τόπος ἔσται, ἕως ἂν συναγάγῃ ὁ θε- 8
ὸς ἐπισυναγωγὴν τοῦ λαοῦ καὶ ἵλεως γένηται· καὶ τότε ὁ Κύριος ἀνα-
δείξει ταῦτα, καὶ ὀφθήσεται ἡ δόξα τοῦ Κυρίου καὶ ἡ νεφέλη, ὡς καὶ ἐ-
πὶ Μωϋσῆ ἐδηλοῦτο, ὡς καὶ ὁ Σαλωμὼν ἠξίωσεν ἵνα ὁ τόπος καθαγια- 9
σθῇ μεγάλως. διεσαφεῖτο δὲ καὶ ὡς σοφίαν ἔχων ἀνήνεγκε θυσίαν ἐ- 10
γκαινισμοῦ καὶ τῆς τελειώσεως τοῦ ἱεροῦ. καθὼς καὶ Μωϋσῆς προ-
σηύξατο πρὸς Κύριον, καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ τὰ τῆς θυ-
σίας ἐδαπάνησεν, οὕτω καὶ Σαλωμὼν προσηύξατο, καὶ καταβὰν τὸ 11
πῦρ ἀνήλωσε τὰ ὁλοκαυτώματα. καὶ εἶπε Μωϋσῆς· διὰ τὸ μὴ βεβρῶ- 12
σθαι τὸ περὶ τῆς ἁμαρτίας, ἀνηλώθη. ὡσαύτως καὶ Σαλωμὼν τὰς ὀ-
κτὼ ἡμέρας ἤγαγεν.

ΕΠΙΣΤΟΛΗ Β΄

1 Τοῖς ἀδελφοῖς τοῖς κατ' Αἴγυπτον Ἰουδαίοις χαίρειν· οἱ ἀ- 1 I
δελφοὶ οἱ ἐν Ἱεροσολύμοις Ἰουδαῖοι καὶ οἱ ἐν τῇ χώρᾳ τῆς Ἰου-
δαίας εἰρήνην ἀγαθήν.
2 Ἀγαθοποιήσαι ὑμῖν ὁ θεὸς καὶ μνησθείη τῆς διαθήκης αὐ- 2
τοῦ τῆς πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν δούλων αὐ-
τοῦ τῶν πιστῶν· καὶ δώῃ ὑμῖν καρδίαν πᾶσιν εἰς τὸ σέβεσθαι 3
αὐτὸν καὶ ποιεῖν αὐτοῦ τὰ θελήματα καρδίᾳ μεγάλῃ καὶ ψυχῇ
βουλομένῃ· καὶ διανοίξαι τὴν καρδίαν ὑμῶν ἐν τῷ Νόμῳ αὐ- 4
τοῦ καὶ ἐν τοῖς προστάγμασι καὶ εἰρήνην ποιήσαι καὶ ἐπακού- 5
σαι ὑμῶν τῶν δεήσεων καὶ καταλλαγείη ὑμῖν καὶ μὴ ὑμᾶς ἐ-
γκαταλίποι ἐν καιρῷ πονηρῷ. καὶ νῦν ὧδέ ἐσμεν προσευχόμε- 6
3 νοι περὶ ὑμῶν. βασιλεύοντος Δημητρίου ἔτους ἑκατοστοῦ ἑξη- 7
κοστοῦ ἐνάτου, ἡμεῖς οἱ Ἰουδαῖοι γεγράφαμεν ὑμῖν ἐν τῇ θλί-
ψει καὶ ἐν τῇ ἀκμῇ τῇ ἐπελθούσῃ ἡμῖν ἐν τοῖς ἔτεσι τούτοις,
ἀφ' οὗ ἀπέστη Ἰάσων καὶ οἱ μετ' αὐτοῦ ἀπὸ τῆς ἁγίας γῆς καὶ
τῆς βασιλείας καὶ ἐνεπύρισαν τὸν πυλῶνα καὶ ἐξέχεαν αἷμα ἀ- 8
θῷον· καὶ ἐδεήθημεν τοῦ Κυρίου καὶ εἰσηκούσθημεν καὶ προ-
σηνέγκαμεν θυσίαν καὶ σεμίδαλιν καὶ ἐξήψαμεν τοὺς λύχνους
καὶ προεθήκαμεν τοὺς ἄρτους. καὶ νῦν ἵνα ἄγητε τὰς ἡμέρας 9
τῆς σκηνοπηγίας τοῦ Χασελεῦ μηνός. ἔτους ἑκατοστοῦ ὀ-
γδοηκοστοῦ καὶ ὀγδόου.

5. ΤΑ ΚΑΤΑ ΙΟΥΔΑΝ ΤΟΝ ΜΑΚΚΑΒΑΙΟΝ

1 1 Τὰ κατὰ τὸν Ἰούδαν τὸν Μακκαβαῖον καὶ τοὺς τούτου ἀ- 19 **2**
δελφοὺς καὶ τὸν τοῦ ἱεροῦ τοῦ μεγάλου καθαρισμὸν καὶ τὸν
τοῦ βωμοῦ ἐγκαινισμόν, ἔτι τε τοὺς πρὸς Ἀντίοχον τὸν Ἐπιφα- 20
νῆ καὶ τὸν τούτου υἱὸν Εὐπάτορα πολέμους καὶ τὰς ἐξ οὐρα- 21
νοῦ γενομένας ἐπιφανείας τοῖς ὑπὲρ τοῦ Ἰουδαϊσμοῦ φιλοτί-
μως ἀνδραγαθήσασιν, ὥστε τὴν ὅλην χώραν ὀλίγους ὄντας
λεηλατεῖν καὶ τὰ βάρβαρα πλήθη διώκειν, καὶ τὸ περιβόητον 22
καθ' ὅλην τὴν οἰκουμένην ἱερὸν ἀνακομίσασθαι καὶ τὴν πόλιν
ἐλευθερῶσαι καὶ τοὺς μέλλοντας καταλύεσθαι νόμους ἐπανορ-
θῶσαι, τοῦ Κυρίου μετὰ πάσης ἐπιεικείας ἵλεω γενομένου αὐ-
τοῖς, τὰ ὑπὸ Ἰάσονος τοῦ Κυρηναίου δεδηλωμένα διὰ πέντε 23
2 βιβλίων πειρασόμεθα δι' ἑνὸς συντάγματος ἐπιτεμεῖν. συνορῶ- 24
ντες γὰρ τὸ χῦμα τῶν ἀριθμῶν καὶ τὴν οὖσαν δυσχέρειαν τοῖς
θέλουσιν εἰσκυκλεῖσθαι τοῖς τῆς ἱστορίας διηγήμασι διὰ τὸ
πλῆθος τῆς ὕλης, ἐφροντίσαμεν τοῖς μὲν βουλομένοις ἀναγι- 25
νώσκειν ψυχαγωγίαν, τοῖς δὲ φιλοφρονοῦσιν εἰς τὸ διὰ μνή-
μης ἀναλαβεῖν εὐκοπίαν, πᾶσι δὲ τοῖς ἐντυγχάνουσιν ὠφέ-
3 λειαν. καὶ ἡμῖν μὲν τοῖς τὴν κακοπάθειαν ἐπιδεδεγμένοις τῆς ἐ- 26
πιτομῆς οὐ ῥᾴδιον, ἱδρῶτος δὲ καὶ ἀγρυπνίας τὸ πρᾶγμα, κα- 27
θάπερ τῷ παρασκευάζοντι συμπόσιον καὶ ζητοῦντι τὴν ἑτέρων
λυσιτέλειαν οὐκ εὐχερὲς μέν, ὅμως διὰ τὴν τῶν πολλῶν εὐχα-
ριστίαν ἡδέως τὴν κακοπάθειαν ὑποίσομεν, τὸ μὲν διακριβοῦν 28
περὶ ἑκάστων τῷ συγγραφεῖ παραχωρήσαντες, τὸ δὲ ἐπιπο-
4 ρεύεσθαι τοῖς ὑπογραμμοῖς τῆς ἐπιτομῆς διαπονοῦντες. καθά- 29
περ γὰρ τῆς καινῆς οἰκίας ἀρχιτέκτονι τῆς ὅλης καταβολῆς
φροντιστέον, τῷ δὲ ἐγκαίειν καὶ ζωγραφεῖν ἐπιχειροῦντι τὰ ἐ-
πιτήδεια πρὸς διακόσμησιν ἐξεταστέον, οὕτω δοκῶ καὶ ἐπὶ ἡ-
μῶν. τὸ μὲν ἐμβατεύειν καὶ περίπατον ποιεῖσθαι λόγον καὶ πο- 30
λυπραγμονεῖν ἐν τοῖς κατὰ μέρος τῷ τῆς ἱστορίας ἀρχηγέτῃ
καθήκει· τὸ δὲ σύντομον τῆς λέξεως μεταδιώκειν καὶ τὸ ἐξερ- 31
γατικὸν τῆς πραγματείας παραιτεῖσθαι τῷ τὴν μετάφρασιν
5 ποιουμένῳ συγχωρητέον. ἐντεῦθεν οὖν ἀρξώμεθα τῆς διηγή- 32
σεως, τοῖς προειρημένοις τοσοῦτον ἐπιζεύξαντες· εὔηθες γὰρ
τὸ μὲν πρὸ τῆς ἱστορίας πλεονάζειν, τὴν δὲ ἱστορίαν ἐπιτεμεῖν.
2 1 Τῆς ἁγίας τοίνυν πόλεως κατοικουμένης μετὰ πάσης εἰρή- **3**

νης καὶ τῶν νόμων ἔτι κάλλιστα συντηρουμένων διὰ τὴν Ὀ-
νίου τοῦ ἀρχιερέως εὐσέβειάν τε καὶ μισοπονηρίαν, συνέβαινε 2
καὶ αὐτοὺς τοὺς βασιλεῖς τιμᾶν τὸν τόπον, καὶ τὸ ἱερὸν ἀπο-
στολαῖς ταῖς κρατίσταις δοξάζειν, ὥστε καὶ Σέλευκον τὸν τῆς 3
Ἀσίας βασιλέα χορηγεῖν ἐκ τῶν ἰδίων προσόδων πάντα τὰ
πρὸς τὰς λειτουργίας τῶν θυσιῶν ἐπιβάλλοντα δαπανήματα.
2 Σίμων δέ τις ἐκ τῆς Βενιαμὶν φυλῆς προστάτης τοῦ ἱεροῦ καθε- 4
σταμένος διηνέχθη τῷ ἀρχιερεῖ περὶ τῆς κατὰ τὴν πόλιν ἀγο-
ρανομίας· καὶ νικῆσαι τὸν Ὀνίαν μὴ δυνάμενος, ἦλθε πρὸς Ἀ- 5
πολλώνιον Θρασαίου τὸν κατ' ἐκεῖνον τὸν καιρὸν Κοίλης Συ-
ρίας καὶ Φοινίκης στρατηγὸν καὶ προσήγγειλε περὶ τοῦ χρημά- 6
των ἀμυθήτων γέμειν τὸ ἐν Ἱεροσολύμοις γαζοφυλάκιον, ὥ-
στε τὸ πλῆθος τῶν διαφόρων ἀναρίθμητον εἶναι, καὶ μὴ προ-
σήκειν αὐτὰ πρὸς τὸν τῶν θυσιῶν λόγον, εἶναι δὲ δυνατὸν ὑ-
3 πὸ τὴν τοῦ βασιλέως ἐξουσίαν πεσεῖν ἅπαντα ταῦτα. συμμίξας 7
δὲ ὁ Ἀπολλώνιος τῷ βασιλεῖ περὶ τῶν μηνυθέντων αὐτῷ χρη-
μάτων ἐνεφάνισεν· ὁ δὲ προχειρισάμενος Ἡλιόδωρον τὸν ἐπὶ
τῶν πραγμάτων ἀπέστειλε δοὺς ἐντολὰς τὴν τῶν προειρημέ-
3 1 νων χρημάτων ἐκκομιδὴν ποιήσασθαι. εὐθέως δὲ ὁ Ἡλιόδω- 8
ρος ἐποιεῖτο τὴν πορείαν, τῇ μὲν ἐμφάσει ὡς τὰς κατὰ Κοίλην
Συρίαν καὶ Φοινίκην πόλεις ἐφοδεύσων, τῷ πράγματι δὲ τὴν
τοῦ βασιλέως πρόθεσιν ἐπιτελέσων. παραγενηθεὶς δὲ εἰς Ἱερο- 9
σόλυμα καὶ φιλοφρόνως ὑπὸ τοῦ ἀρχιερέως τῆς πόλεως ἀπο-
δεχθείς, ἀνέθετο περὶ τοῦ γεγονότος ἐμφανισμοῦ, καὶ τίνος ἕ-
νεκεν πάρεστι διεσάφησεν· ἐπυνθάνετο δέ, εἰ ταῖς ἀληθείαις
2 ταῦτα οὕτως ἔχοντα τυγχάνει. τοῦ δὲ ἀρχιερέως ὑποδείξαντος 10
παραθήκας εἶναι χηρῶν τε καὶ ὀρφανῶν, τινὰ δὲ καὶ Ὑρκανοῦ 11
τοῦ Τωβίου σφόδρα ἀνδρὸς ἐν ὑπεροχῇ κειμένου –οὐχ ὥσπερ
ἦν διαβάλλων ὁ δυσεβὴς Σίμων– τὰ δὲ πάντα ἀργυρίου τετρα-
κόσια τάλαντα, χρυσίου δὲ διακόσια· ἀδικηθῆναι δὲ τοὺς πεπι- 12
στευκότας τῇ τοῦ τόπου ἁγιωσύνῃ καὶ τῇ τοῦ τετιμημένου κα-
τὰ τὸν σύμπαντα κόσμον ἱεροῦ σεμνότητι καὶ ἀσυλίᾳ παντε-
3 λῶς ἀμήχανον εἶναι. ὁ δὲ Ἡλιόδωρος, δι' ἃς εἶχε βασιλικὰς ἐ- 13
ντολάς, πάντως ἔλεγεν εἰς τὸ βασιλικὸν ἀναληπτέα ταῦτα εἶ-
ναι. ταξάμενος δὲ ἡμέραν εἰσῄει τὴν περὶ τούτων ἐπίσκεψιν οἰ- 14
κονομήσων· ἦν δὲ οὐ μικρὰ καθ' ὅλην τὴν πόλιν ἀγωνία. οἱ δὲ 15
ἱερεῖς πρὸ τοῦ θυσιαστηρίου ἐν ταῖς ἱερατικαῖς στολαῖς ῥίψα-
ντες ἑαυτούς, ἐπεκαλοῦντο εἰς οὐρανὸν τὸν περὶ παραθήκης
νομοθετήσαντα τοῖς παρακαταθεμένοις ταῦτα σῷα διαφυλάξαι.
4 ἦν δὲ ὁρῶντα τὴν τοῦ ἀρχιερέως ἰδέαν τιτρώσκεσθαι τὴν διά- 16
νοιαν· ἡ γὰρ ὄψις καὶ τὸ τῆς χρόας παρηλλαγμένον ἐνέφαινε
τὴν κατὰ ψυχὴν ἀγωνίαν. περιεκέχυτο γὰρ περὶ τὸν ἄνδρα δέ- 17
ος τι καὶ φρικασμὸς σώματος, δι' ὧν πρόδηλον ἐγίνετο τοῖς
θεωροῦσι τὸ κατὰ καρδίαν ἐνεστὼς ἄλγος. οἱ δὲ ἐκ τῶν οἰ- 18
κιῶν ἀγεληδὸν ἐξεπήδων ἐπὶ πάνδημον ἱκετείαν, διὰ τὸ μέλ-

5 λειν εἰς καταφρόνησιν ἔρχεσθαι τὸν τόπον. ὑπεζωσμέναι δὲ ὑ- 19
πὸ τοὺς μαστοὺς αἱ γυναῖκες σάκκους κατὰ τὰς ὁδοὺς ἐπλή-
θυον· αἱ δὲ κατάκλειστοι τῶν παρθένων, αἱ μὲν συνέτρεχον ἐ-
πὶ τοὺς πυλῶνας, αἱ δὲ ἐπὶ τὰ τείχη, τινὲς δὲ διὰ τῶν θυρίδων
διεξέκυπτον· πᾶσαι δὲ προτείνουσαι τὰς χεῖρας εἰς τὸν οὐρα- 20
νὸν ἐποιοῦντο τὴν λιτανείαν· ἐλεεῖν δ' ἦν τὴν τοῦ πλήθους 21
παμμιγῆ πρόπτωσιν τήν τε τοῦ μεγάλου διαγωνιῶντος ἀρχιε-
6 ρέως προσδοκίαν. οἱ μὲν οὖν ἐπεκαλοῦντο τὸν παντοκράτορα 22
θεὸν τὰ πεπιστευμένα τοῖς πεπιστευκόσι σῷα διαφυλάσσειν
μετὰ πάσης ἀσφαλείας, ὁ δὲ Ἡλιόδωρος τὸ διεγνωσμένον ἐ- 23
πετέλει. αὐτόθι δὲ αὐτοῦ σὺν τοῖς δορυφόροις κατὰ τὸ γαζο- 24
φυλάκιον ἤδη παρόντος, ὁ τῶν πατέρων Κύριος καὶ πάσης ἐ-
ξουσίας δυνάστης ἐπιφάνειαν μεγάλην ἐποίησεν, ὥστε πάντας
τοὺς κατατολμήσαντας συνελθεῖν, καταπλαγέντας τὴν τοῦ θε-
οῦ δύναμιν, εἰς ἔκλυσιν καὶ δειλίαν τραπῆναι. ὤφθη γάρ τις ἵπ- 25
πος αὐτοῖς φοβερὸν ἔχων τὸν ἐπιβάτην καὶ καλλίστῃ σαγῇ
διακεκοσμημένος, φερόμενος δὲ ῥύδην ἐνέσεισε τῷ Ἡλιοδώ-
ρῳ τὰς ἐμπροσθίους ὁπλάς· ὁ δὲ ἐπικαθήμενος ἐφαίνετο χρυ-
σῆν πανοπλίαν ἔχων. ἕτεροι δὲ δύο προεφάνησαν αὐτῷ νεα- 26
νίαι τῇ ῥώμῃ μὲν ἐκπρεπεῖς, κάλλιστοι δὲ τῇ δόξῃ, διαπρεπεῖς
δὲ τὴν περιβολήν, οἳ καὶ παραστάντες ἐξ ἑκατέρου μέρους ἐ-
μαστίγουν αὐτὸν ἀδιαλείπτως, πολλὰς ἐπιρριπτοῦντες αὐτῷ
7 πληγάς. ἄφνω δὲ πεσόντα πρὸς τὴν γῆν καὶ πολλῷ σκότει πε- 27
ριχυθέντα συναρπάσαντες καὶ εἰς φορεῖον ἐνθέντες τὸν ἄρτι 28
μετὰ πολλῆς παραδρομῆς καὶ πάσης δορυφορίας εἰς τὸ προει-
ρημένον εἰσελθόντα γαζοφυλάκιον ἔφερον ἀβοήθητον ἑαυτῷ
καθεστῶτα, φανερῶς τὴν τοῦ θεοῦ δυναστείαν ἐπεγνωκότες.
καὶ ὁ μὲν διὰ τὴν θείαν ἐνέργειαν ἄφωνος καὶ πάσης ἐστερημέ- 29
νος ἐλπίδος καὶ σωτηρίας ἔρριπτο, οἱ δὲ τὸν Κύριον εὐλόγουν 30
τὸν παραδοξάζοντα τὸν ἑαυτοῦ τόπον, καὶ τὸ μικρῷ πρότερον
δέους καὶ ταραχῆς γέμον ἱερὸν τοῦ παντοκράτορος ἐπιφανέ-
4 1 ντος Κυρίου χαρᾶς καὶ σωφροσύνης ἐπεπλήρωτο. ταχὺ δέ τι- 31
νες τῶν τοῦ Ἡλιοδώρου συνήθων ἠξίουν τὸν Ὀνίαν ἐπικαλέ-
σασθαι τὸν ὕψιστον καὶ τὸ ζῆν χαρίσασθαι τῷ παντελῶς ἐν ἐ-
σχάτῃ πνοῇ κειμένῳ. ὕποπτος δὲ γενόμενος ὁ ἀρχιερεύς, μή- 32
ποτε διάληψιν ὁ βασιλεὺς σχῇ κακουργίαν τινὰ περὶ τὸν Ἡλιό-
δωρον ὑπὸ τῶν Ἰουδαίων συντετελέσθαι, προσήγαγε θυσίαν
ὑπὲρ τῆς τοῦ ἀνδρὸς σωτηρίας. ποιουμένου δὲ τοῦ ἀρχιερέως 33
τὸν ἱλασμόν, οἱ αὐτοὶ νεανίαι πάλιν ἐνεφάνησαν τῷ Ἡλιοδώ-
ρῳ ἐν ταῖς αὐταῖς ἐσθήσεσιν ἐστολισμένοι καὶ στάντες εἶπον·
πολλὰς τῷ Ὀνίᾳ τῷ ἀρχιερεῖ χάριτας ἔχε, διὰ γὰρ αὐτόν σοι
κεχάρισται τὸ ζῆν ὁ Κύριος· σὺ δὲ ὑπ' αὐτοῦ μεμαστιγωμένος 34
διάγγελλε πᾶσι τὸ μεγαλεῖον τοῦ θεοῦ κράτος. ταῦτα δὲ εἰπό-
2 ντες ἀφανεῖς ἐγένοντο. ὁ δὲ Ἡλιόδωρος θυσίαν ἀνενέγκας τῷ 35
Κυρίῳ καὶ εὐχὰς μεγίστας εὐξάμενος τῷ τὸ ζῆν περιποιήσαντι

καὶ τὸν Ὀνίαν ἀποδεξάμενος, ἀνεστρατοπέδευσε πρὸς τὸν βα-
σιλέα. ἐξεμαρτύρει δὲ πᾶσιν ἅπερ ἦν ὑπ' ὄψιν τεθεαμένος ἔργα 36
τοῦ μεγίστου θεοῦ. τοῦ δὲ βασιλέως ἐπερωτήσαντος τὸν Ἡλιό- 37
δωρον ποῖός τις εἴη ἐπιτήδειος ἔτι ἅπαξ διαπεμφθῆναι εἰς Ἱε-
ροσόλυμα, ἔφησεν· Εἴ τινα ἔχεις πολέμιον ἢ πραγμάτων ἐπί- 38
βουλον, πέμψον αὐτὸν ἐκεῖ, καὶ μεμαστιγωμένον αὐτὸν προσ-
δέξῃ, ἐάν περ καὶ διασωθείη, διὰ τὸ περὶ τὸν τόπον ἀληθῶς εἶ-
ναί τινα θεοῦ δύναμιν· αὐτὸς γὰρ ὁ τὴν κατοικίαν ἐπουράνιον 39
ἔχων, ἐπόπτης ἐστὶ καὶ βοηθὸς ἐκείνου τοῦ τόπου καὶ τοὺς
παραγινομένους ἐπὶ κακώσει τύπτων ἀπόλλυσι. καὶ τὰ μὲν κα- 40
τὰ Ἡλιόδωρον καὶ τὴν τοῦ γαζοφυλακίου τήρησιν οὕτως ἐχώ-
ρησεν.

5 1 Ὁ δὲ προειρημένος Σίμων, ὁ τῶν χρημάτων καὶ τῆς πα- **4**
τρίδος ἐνδείκτης γεγονώς, ἐκακολόγει τὸν Ὀνίαν, ὡς αὐτός
τε εἴη τὸν Ἡλιόδωρον ἐπισεσεικὼς καὶ τῶν κακῶν δημιουρ-
γὸς καθεστηκώς, καὶ τὸν εὐεργέτην τῆς πόλεως καὶ τὸν κηδε- 2
μόνα τῶν ὁμοεθνῶν καὶ ζηλωτὴν τῶν νόμων ἐπίβουλον τῶν
2 πραγμάτων ἐτόλμα λέγειν. τῆς δὲ ἔχθρας ἐπὶ τοσοῦτον προ- 3
βαινούσης, ὥστε καὶ διά τινος τῶν ὑπὸ τοῦ Σίμωνος δεδοκι-
μασμένων φόνους συντελεῖσθαι, συνορῶν ὁ Ὀνίας τὸ χαλε- 4
πὸν τῆς φιλονεικίας καὶ Ἀπολλώνιον τὸν Μενεσθέως τὸν Κοί-
λης Συρίας καὶ Φοινίκης στρατηγὸν συναύξονra τὴν κακίαν
τοῦ Σίμωνος, πρὸς τὸν βασιλέα διεκομίσθη οὐ γινόμενος τῶν 5
πολιτῶν κατήγορος, τὸ δὲ συμφέρον κοινῇ καὶ κατ' ἰδίαν πα-
ντὶ τῷ πλήθει σκοπῶν· ἑώρα γὰρ ἄνευ βασιλικῆς προνοίας ἀ- 6
δύνατον εἶναι τυχεῖν εἰρήνης ἔτι τὰ πράγματα καὶ τὸν Σίμωνα
παῦλαν οὐ ληψόμενον τῆς ἀνοίας.

6 1 Μεταλλάξαντος δὲ τὸν βίον Σελεύκου καὶ παραλαβόντος 7
τὴν βασιλείαν Ἀντιόχου τοῦ προσαγορευθέντος Ἐπιφανοῦς,
ὑπενόθευσεν Ἰάσων ὁ ἀδελφὸς Ὀνίου τὴν ἀρχιερωσύνην, ἐ- 8
παγγειλάμενος τῷ βασιλεῖ δι' ἐντεύξεως ἀργυρίου τάλαντα ἑ-
ξήκοντα πρὸς τοῖς τριακοσίοις καὶ προσόδου τινὸς ἄλλης τά-
λαντα ὀγδοήκοντα. πρὸς δὲ τούτοις ὑπισχνεῖτο καὶ ἕτερα δια- 9
γράψαι πεντήκοντα πρὸς τοῖς ἑκατόν, ἐὰν συγχωρηθῇ διὰ τῆς
ἐξουσίας αὐτοῦ γυμνάσιον καὶ ἐφηβεῖον αὐτῷ συστήσασθαι
2 καὶ τοὺς ἐν Ἱεροσολύμοις Ἀντιοχεῖς ἀναγράψαι. ἐπινεύσαντος 10
δὲ τοῦ βασιλέως καὶ τῆς ἀρχῆς κρατήσας, εὐθέως ἐπὶ τὸν ἑλ-
ληνικὸν χαρακτῆρα τοὺς ὁμοφύλους μετῆγε καὶ τὰ κείμενα 11
τοῖς Ἰουδαίοις φιλάνθρωπα βασιλικὰ διὰ Ἰωάννου τοῦ πατρὸς
Εὐπολέμου, τοῦ ποιησαμένου τὴν πρεσβείαν ὑπὲρ φιλίας καὶ
συμμαχίας πρὸς τοὺς Ῥωμαίους, παρώσατο. καὶ τὰς μὲν νομί-
μους καταλύων πολιτείας, παρανόμους ἐθισμοὺς ἐκαίνιζεν· ἀ- 12
σμένως γὰρ ὑπ' αὐτὴν τὴν ἀκρόπολιν γυμνάσιον καθίδρυσε
καὶ τοὺς κρατίστους τῶν ἐφήβων ὑποτάσσων ὑπὸ πέτασον ἦ-
3 γεν. ἦν δ' οὕτως ἀκμή τις ἑλληνισμοῦ καὶ πρόσβασις ἀλλοφυ- 13

λισμοῦ διὰ τὴν τοῦ ἀσεβοῦς καὶ οὐκ ἀρχιερέως Ἰάσονος ὑπερ-
βάλλουσαν ἀναγνείαν, ὥστε μηκέτι περὶ τὰς τοῦ θυσιαστηρίου 14
λειτουργίας προθύμους εἶναι τοὺς ἱερεῖς, ἀλλὰ τοῦ μὲν ναοῦ
καταφρονοῦντες καὶ τῶν θυσιῶν ἀμελοῦντες ἔσπευδον μετέ-
χειν τῆς ἐν παλαίστρᾳ παρανόμου χορηγίας μετὰ τὴν τοῦ δί-
σκου πρόκλησιν, καὶ τὰς μὲν πατρῴας τιμὰς ἐν οὐδενὶ τιθέμε- 15
νοι, τὰς δὲ ἑλληνικὰς δόξας καλλίστας ἡγούμενοι. ὧν χάριν 16
περιέσχεν αὐτοὺς χαλεπὴ περίστασις, καὶ ὧν ἐζήλουν τὰς ἀ-
γωγὰς καὶ καθάπαν ἤθελον ἐξομοιοῦσθαι, τούτους πολεμίους
καὶ τιμωρητὰς ἔσχον· ἀσεβεῖν γὰρ εἰς τοὺς θείους νόμους οὐ 17
7 1 ῥᾴδιον, ἀλλὰ ταῦτα ὁ ἀκόλουθος καιρὸς δηλώσει. ἀγομένου 18
δὲ πενταετηρικοῦ ἀγῶνος ἐν Τύρῳ καὶ τοῦ βασιλέως παρό-
ντος, ἀπέστειλεν Ἰάσων ὁ μιαρὸς θεωροὺς ἀπὸ Ἱεροσολύμων 19
Ἀντιοχεῖς ὄντας παρακομίζοντας ἀργυρίου δραχμὰς τριακο-
σίας εἰς τὴν τοῦ Ἡρακλέους θυσίαν, ἃς καὶ ἠξίωσαν οἱ παρα-
κομίσαντες μὴ χρῆσθαι πρὸς θυσίαν διὰ τὸ μὴ καθήκειν, εἰς ἑ-
τέραν δὲ καταθέσθαι δαπάνην. ἔπεσεν οὖν ταῦτα διὰ μὲν τὸν 20
ἀποστείλαντα εἰς τὴν τοῦ Ἡρακλέους θυσίαν, ἕνεκεν δὲ τῶν
2 παρακομιζόντων εἰς τὰς τῶν τριήρων κατασκευάς. ἀποσταλέ- 21
ντος δὲ εἰς Αἴγυπτον Ἀπολλωνίου τοῦ Μενεσθέως διὰ τὰ
πρωτοκλίσια Πτολεμαίου τοῦ Φιλομήτορος βασιλέως, μεταλα-
βὼν Ἀντίοχος ἀλλότριον αὐτὸν τῶν αὐτῶν γεγονέναι πραγμά-
των, τῆς καθ' αὐτὸν ἀσφαλείας ἐφρόντιζεν· ὅθεν εἰς Ἰόππην
παραγενόμενος κατήντησεν εἰς Ἱεροσόλυμα. μεγαλοπρεπῶς 22
δὲ ὑπὸ τοῦ Ἰάσονος καὶ τῆς πόλεως παραδεχθείς, μετὰ δᾳδου-
χίας καὶ βοῶν εἰσπεπόρευται, εἶθ' οὕτως εἰς τὴν Φοινίκην κα-
8 1 τεστρατοπέδευσε. μετὰ δὲ τριετῆ χρόνον ἀπέστειλεν Ἰάσων 23
Μενέλαον, τὸν τοῦ προσημαινομένου Σίμωνος ἀδελφόν, παρα-
κομίζοντα τὰ χρήματα τῷ βασιλεῖ καὶ περὶ πραγμάτων ἀνα-
γκαίων ὑπομνηματισμοὺς τελέσοντα. ὁ δὲ συσταθεὶς τῷ βασι- 24
λεῖ καὶ δοξάσας αὐτὸν τῷ προσώπῳ τῆς ἐξουσίας, εἰς ἑαυτὸν
κατήντησε τὴν ἀρχιερωσύνην, ὑπερβαλὼν τὸν Ἰάσονα τάλα-
ντα ἀργυρίου τριακόσια. λαβὼν δὲ τὰς βασιλικὰς ἐντολὰς πα- 25
ρεγένετο, τῆς μὲν ἀρχιερωσύνης οὐδὲν ἄξιον φέρων, θυμοὺς
2 δὲ ὠμοῦ τυράννου καὶ θηρὸς βαρβάρου ὀργὰς ἔχων. καὶ ὁ μὲν 26
Ἰάσων ὁ τὸν ἴδιον ἀδελφὸν ὑπονοθεύσας, ὑπονοθευθεὶς ὑφ' ἑ-
τέρου, φυγὰς εἰς τὴν Ἀμμανῖτιν χώραν συνήλαστο. ὁ δὲ Μενέ- 27
λαος τῆς μὲν ἀρχῆς ἐκράτει, τῶν δὲ ἐπηγγελμένων τῷ βασιλεῖ
χρημάτων οὐδὲν εὐτάκτει· ποιουμένου δὲ τὴν ἀπαίτησιν Σω-
στράτου τοῦ τῆς ἀκροπόλεως ἐπάρχου, πρὸς τοῦτον γὰρ ἦν ἡ 28
τῶν φόρων πρᾶξις, δι' ἣν αἰτίαν οἱ δύο ὑπὸ τοῦ βασιλέως
προσεκλήθησαν, καὶ ὁ μὲν Μενέλαος ἀπέλιπε τῆς ἀρχιερωσύ- 29
νης διάδοχον Λυσίμαχον τὸν ἑαυτοῦ ἀδελφόν, Σώστρατος δὲ
3 Κράτητα τὸν ἐπὶ τῶν Κυπρίων. τοιούτων δὲ συνεστηκότων, 30
συνέβη Ταρσεῖς καὶ Μαλλώτας στασιάζειν διὰ τὸ Ἀντιοχίδι τῇ

παλλακῇ τοῦ βασιλέως ἐν δωρεᾷ δεδόσθαι. θᾶττον οὖν ὁ βασι- 31
λεὺς ἧκε καταστεῖλαι τὰ πράγματα, καταλιπὼν τὸν διαδεχόμε-
νον Ἀδρόνικον τῶν ἐν ἀξιώματι κειμένων. νομίσας δὲ ὁ Μενέ- 32
λαος εἰληφέναι καιρὸν εὐφυῆ, χρυσώματά τινα τῶν τοῦ ἱεροῦ
νοσφισάμενος ἐχαρίσατο τῷ Ἀνδρονίκῳ καὶ ἕτερα ἐτύγχανε
πεπρακὼς εἴς τε Τύρον καὶ τὰς κύκλῳ πόλεις. ἃ καὶ σαφῶς ἐ- 33
πεγνωκὼς ὁ Ὀνίας, παρήλεγχεν ἀποκεχωρηκὼς εἰς ἄσυλον
τόπον ἐπὶ Δάφνης τῆς πρὸς Ἀντιόχειαν κειμένης. ὅθεν ὁ Με- 34
νέλαος λαβὼν ἰδίᾳ τὸν Ἀνδρόνικον, παρεκάλει χειρώσασθαι
4 τὸν Ὀνίαν. ὁ δὲ παραγενόμενος ἐπὶ τὸν Ὀνίαν καὶ πεισθεὶς ἐ-
πὶ δόλῳ καὶ δεξιὰς μεθ' ὅρκων δούς, καίπερ ἐν ὑποψίᾳ κείμε-
νος, ἔπεισεν ἐκ τοῦ ἀσύλου προελθεῖν, ὃν καὶ παραχρῆμα πα-
ρέκλεισεν οὐκ αἰδεσθεὶς τὸ δίκαιον. δι' ἣν αἰτίαν οὐ μόνον Ἰου- 35
δαῖοι, πολλοὶ δὲ καὶ τῶν ἄλλων ἐθνῶν ἐδείναζον καὶ ἐδυσφό-
ρουν ἐπὶ τῷ τοῦ ἀνδρὸς ἀδίκῳ φόνῳ. τοῦ δὲ βασιλέως ἐπα- 36
νελθόντος ἀπὸ τῶν κατὰ Κιλικίαν τόπων, ἐνετύγχανον οἱ κατὰ
πόλιν Ἰουδαῖοι, συμμισοπονηρούντων καὶ τῶν Ἑλλήνων ὑπὲρ
9 1 τοῦ παρὰ λόγον τὸν Ὀνίαν ἀπεκτάνθαι. ψυχικῶς οὖν ὁ Ἀντίο- 37
χος ἐπιλυπηθεὶς καὶ τραπεὶς εἰς ἔλεον καὶ δακρύσας διὰ τὴν
τοῦ μετηλλαχότος σωφροσύνην καὶ πολλὴν εὐταξίαν καὶ πυ- 38
ρωθεὶς τοῖς θυμοῖς, παραχρῆμα τὴν τοῦ Ἀνδρονίκου πορφύ-
ραν περιελόμενος καὶ τοὺς χιτῶνας περιρρήξας, περιαγαγὼν
καθ' ὅλην τὴν πόλιν, ἐπ' αὐτὸν τὸν τόπον, οὗπερ εἰς τὸν Ὀ-
νίαν ἠσέβησεν, ἐκεῖ τὸν μιαιφόνον ἀπεκόσμησε, τοῦ Κυρίου
τὴν ἀξίαν αὐτῷ κόλασιν ἀποδόντος. γενομένων δὲ πολλῶν ἱε- 39
ροσυλημάτων κατὰ τὴν πόλιν ὑπὸ τοῦ Λυσιμάχου μετὰ τῆς
Μενελάου γνώμης καὶ διαδοθείσης ἔξω τῆς φήμης, ἐπισυνή-
2 χθη τὸ πλῆθος ἐπὶ τὸν Λυσίμαχον, χρυσωμάτων ἤδη πολλῶν 40
διενηνεγμένων. ἐπεγειρομένων δὲ τῶν ὄχλων καὶ ταῖς ὀργαῖς
διεμπιμπλαμένων, καθοπλίσας ὁ Λυσίμαχος πρὸς τρισχιλίους,
κατήρξατο χειρῶν ἀδίκων, προηγησαμένου τινὸς Τυράννου
προβεβηκότος τὴν ἡλικίαν, οὐδὲν δὲ ἧττον καὶ τὴν ἄνοιαν. συ- 41
νιδόντες δὲ καὶ τὴν ἐπίθεσιν τοῦ Λυσιμάχου, συναρπάσαντες
οἱ μὲν πέτρους οἱ δὲ ξύλων πάχη, τινὲς δὲ ἐκ τῆς παρακειμέ-
νης σποδοῦ δρασσόμενοι, φύρδην ἐνετίνασσον εἰς τοὺς περὶ 42
τὸν Λυσίμαχον· δι' ἣν αἰτίαν πολλοὺς μὲν αὐτῶν τραυματίας ἐ-
ποίησαν, τινὰς δὲ καὶ κατέβαλον, πάντας δὲ εἰς φυγὴν συνήλα-
3 σαν, αὐτὸν δὲ τὸν ἱερόσυλον παρὰ τὸ γαζοφυλάκιον ἐχειρώ- 43
σαντο. περὶ δὲ τούτων ἐνέστη κρίσις πρὸς τὸν Μενέλαον. κα- 44
ταντήσαντος δὲ τοῦ βασιλέως εἰς Τύρον, ἐπ' αὐτοῦ τὴν δικαιο-
λογίαν ἐποιήσαντο οἱ πεμφθέντες ἄνδρες τρεῖς ὑπὸ τῆς γερου- 45
σίας. ἤδη δὲ λελειμμένος ὁ Μενέλαος ἐπηγγείλατο χρήματα ἱ-
κανὰ τῷ Πτολεμαίῳ τῷ Δορυμένους πρὸς τὸ πεῖσαι τὸν βασι- 46
λέα. ὅθεν ἀπολαβὼν ὁ Πτολεμαῖος εἴς τι περίστυλον ὡς ἀνα-
ψύξοντα τὸν βασιλέα μετέθηκε, καὶ τὸν μὲν τῆς ὅλης κακίας αἴ- 47

τιον Μενέλαον ἀπέλυσε τῶν κατηγορημάτων, τοῖς δὲ ταλαιπώ-
ροις, οἵτινες, εἰ καὶ ἐπὶ Σκυθῶν ἔλεγον, ἀπελύθησαν ἂν ἀκατά-
4 γνωστοι, τούτοις θάνατον ἐπέκρινε. ταχέως οὖν τὴν ἄδικον 48
ζημίαν ὑπέσχον οἱ ὑπὲρ πόλεως καὶ δήμων καὶ τῶν ἱερῶν
σκευῶν προαγορεύσαντες. δι' ἣν αἰτίαν καὶ Τύριοι μισοπονη- 49
ρήσαντες τὰ πρὸς τὴν κηδείαν αὐτῶν μεγαλοπρεπῶς ἐχορήγη- 50
σαν. ὁ δὲ Μενέλαος διὰ τὰς τῶν κρατούντων πλεονεξίας ἔμε-
νεν ἐπὶ τῆς ἀρχῆς ἐπιφυόμενος τῇ κακίᾳ, μέγας τῶν πολιτῶν
ἐπίβουλος καθεστώς.

10 1 Περὶ δὲ τὸν καιρὸν τοῦτον τὴν δευτέραν ἔφοδον ὁ Ἀντίο- **5**
χος εἰς Αἴγυπτον ἐστείλατο. συνέβη δὲ καθ' ὅλην τὴν πόλιν 2
σχεδὸν ἐφ' ἡμέρας τεσσαράκοντα φαίνεσθαι διὰ τοῦ ἀέρος
τρέχοντας ἱππεῖς διαχρύσους στολὰς ἔχοντας καὶ λόγχας
σπειρηδὸν ἐξωπλισμένους καὶ ἴλας ἵππων διατεταγμένας καὶ 3
προσβολὰς γινομένας καὶ καταδρομὰς ἑκατέρων καὶ ἀσπίδων
κινήσεις καὶ καμάκων πλήθη καὶ μαχαιρῶν σπασμοὺς καὶ βε-
λῶν βολὰς καὶ χρυσῶν κόσμων ἐκλάμψεις καὶ παντοίους θω-
ρακισμούς. διὸ πάντες ἠξίουν ἐπ' ἀγαθῷ τὴν ἐπιφάνειαν γενέ- 4
2 σθαι. γενομένης δὲ λαλιᾶς ψευδοῦς ὡς μετηλλαχότος τὸν βίον 5
Ἀντιόχου, παραλαβὼν ὁ Ἰάσων οὐκ ἐλάττους τῶν χιλίων,
αἰφνιδίως ἐπὶ τὴν πόλιν συνετελέσατο ἐπίθεσιν· τῶν δὲ ἐπὶ τῷ
τείχει συνελασθέντων καὶ τέλος ἤδη καταλαμβανομένης τῆς
πόλεως, ὁ Μενέλαος εἰς τὴν ἀκρόπολιν ἐφυγάδευσεν. ὁ δὲ Ἰά- 6
σων ἐποιεῖτο σφαγὰς τῶν πολιτῶν τῶν ἰδίων ἀφειδῶς, οὐ
συννοῶν τὴν εἰς τοὺς συγγενεῖς εὐημερίαν δυσημερίαν εἶναι
τὴν μεγίστην· δοκῶν δὲ πολεμίων καὶ οὐχ ὁμοεθνῶν τρόπαια
καταβάλλεσθαι, τῆς μὲν ἀρχῆς οὐκ ἐκράτησε, τὸ δὲ τέλος τῆς 7
ἐπιβουλῆς αἰσχύνην λαβών, φυγὰς πάλιν εἰς τὴν Ἀμμανῖτιν ἀ-
3 πῆλθε. πέρας οὖν κακῆς ἀναστροφῆς ἔτυχεν ἐγκλεισθεὶς πρὸς 8
Ἀρέταν τὸν τῶν Ἀράβων τύραννον, πόλιν ἐκ πόλεως φεύγων,
διωκόμενος ὑπὸ πάντων καὶ στυγούμενος ὡς τῶν νόμων ἀπο-
στάτης καὶ βδελυσσόμενος ὡς πατρίδος καὶ πολιτῶν δήμιος,
εἰς Αἴγυπτον ἐξεβράσθη. καὶ ὁ συχνοὺς τῆς πατρίδος ἀποξε- 9
νώσας ἐπὶ ξένης ἀπώλετο πρὸς Λακεδαιμονίους ἀναχθεὶς ὡς
διὰ τὴν συγγένειαν τευξόμενος σκέπης. καὶ ὁ πλῆθος ἀτάφων 10
ἐκρίψας ἀπένθητος ἐγενήθη καὶ κηδείας οὐδ' ἡστινοσοῦν οὔτε
πατρῴου τάφου μετέσχε.

11 1 Προσπεσόντων δὲ τῷ βασιλεῖ περὶ τῶν γεγονότων διέλα- 11
βεν ἀποστατεῖν τὴν Ἰουδαίαν. ὅθεν ἀναζεύξας ἐξ Αἰγύπτου τε-
θηριωμένος τῇ ψυχῇ, ἔλαβε τὴν μὲν πόλιν δορυάλωτον, καὶ ἐ- 12
κέλευσε τοῖς στρατιώταις κόπτειν ἀφειδῶς τοὺς ἐμπίπτοντας
καὶ τοὺς εἰς τὰς οἰκίας ἀναβαίνοντας κατασφάζειν. ἐγίνοντο 13
δὲ νέων καὶ πρεσβυτέρων ἀναιρέσεις, ἀνδρῶν τε καὶ γυναι-
κῶν καὶ τέκνων ἀφανισμός, παρθένων τε καὶ νηπίων σφαγαί.
ὀκτὼ δὲ μυριάδες ἐν ταῖς πάσαις ἡμέραις τρισὶ κατεφθάρησαν· 14

τέσσαρες μὲν ἐκ χειρῶν νομαῖς, οὐχ ἧττον δὲ τῶν ἐσφαγμέ-
2 νων ἐπράθησαν. οὐκ ἀρκεσθεὶς δὲ τούτοις κατετόλμησεν εἰς 15
τὸ πάσης τῆς γῆς ἁγιώτατον ἱερὸν εἰσελθεῖν, ὁδηγὸν ἔχων τὸν
Μενέλαον, τὸν καὶ τῶν νόμων καὶ τῆς πατρίδος προδότην γε-
γονότα καὶ ταῖς μιαραῖς χερσὶ τὰ ἱερὰ σκεύη λαμβάνων καὶ τὰ 16
ὑπ' ἄλλων βασιλέων ἀνατεθέντα πρὸς αὔξησιν καὶ δόξαν τοῦ
τόπου καὶ τιμὴν ταῖς βεβήλοις χερσὶ συσσύρων ἐπεδίδου. καὶ
3 ἐμετεωρίζετο τὴν διάνοιαν ὁ Ἀντίοχος, οὐ συνορῶν ὅτι διὰ 17
τὰς ἁμαρτίας τῶν τὴν πόλιν οἰκούντων ἀπώργισται βραχέως
ὁ δεσπότης, διὸ γέγονε περὶ τὸν τόπον παρόρασις. εἰ δὲ μὴ 18
συνέβαινε προσενέχεσθαι πολλοῖς ἁμαρτήμασι, καθάπερ ὁ Ἡ-
λιόδωρος ὁ πεμφθεὶς ὑπὸ Σελεύκου τοῦ βασιλέως ἐπὶ τὴν ἐπί-
σκεψιν τοῦ γαζοφυλακίου, οὗτος προαχθεὶς παραχρῆμα μαστι-
γωθεὶς ἀνετράπη τοῦ θράσους. ἀλλ' οὐ διὰ τὸν τόπον τὸ ἔ- 19
θνος, ἀλλὰ διὰ τὸ ἔθνος τὸν τόπον ὁ Κύριος ἐξελέξατο. διόπερ 20
καὶ αὐτὸς ὁ τόπος συμμετασχὼν τῶν τοῦ ἔθνους δυσπετημά-
των γενομένων, ὕστερον εὐεργετημάτων ὑπὸ τοῦ Κυρίου ἐ-
κοινώνησε, καὶ ὁ καταληφθεὶς ἐν τῇ τοῦ παντοκράτορος ὀργῇ
πάλιν ἐν τῇ τοῦ μεγάλου δεσπότου καταλλαγῇ μετὰ πάσης δό-
4 ξης ἐπανωρθώθη. ὁ γοῦν Ἀντίοχος ὀκτακόσια πρὸς τοῖς χι- 21
λίοις ἀπενεγκάμενος ἐκ τοῦ ἱεροῦ τάλαντα θᾶττον εἰς Ἀντιό-
χειαν ἐχωρίσθη, οἰόμενος ἀπὸ τῆς ὑπερηφανίας τὴν μὲν γῆν
πλωτὴν καὶ τὸ πέλαγος πορευτὸν θέσθαι διὰ τὸν μετεωρισμὸν
τῆς καρδίας. κατέλιπε δὲ καὶ ἐπιστάτας τοῦ κακοῦν τὸ γένος, 22
ἐν μὲν Ἱεροσολύμοις Φίλιππον τὸ μὲν γένος Φρύγα, τὸν δὲ
τρόπον βαρβαρώτερον ἔχοντα τοῦ καταστήσαντος, ἐν δὲ Γαρι- 23
ζὶν Ἀνδρόνικον, πρὸς δὲ τούτοις Μενέλαον, ὃς χείριστα τῶν
ἄλλων ὑπερῄρετο τοῖς πολίταις, ἀπεχθῆ δὲ πρὸς τοὺς πολίτας
5 Ἰουδαίους ἔχων διάθεσιν. ἔπεμψε δὲ τὸν μυσάρχην Ἀπολλώ- 24
νιον μετὰ στρατεύματος δισμυρίων πρὸς τοῖς δισχιλίοις, προ-
στάξας τοὺς ἐν ἡλικίᾳ πάντας κατασφάξαι, τὰς δὲ γυναῖκας
καὶ νεωτέρους πωλεῖν. οὗτος δὲ παραγενόμενος εἰς Ἱεροσόλυ- 25
μα καὶ τὸν εἰρηνικὸν ὑποκριθείς, ἐπέσχεν ἕως τῆς ἁγίας ἡμέ-
ρας τοῦ σαββάτου καὶ λαβὼν ἀργοῦντας τοὺς Ἰουδαίους τοῖς
ὑφ' ἑαυτὸν ἐξοπλησίαν παρήγγειλε καὶ τοὺς ἐξελθόντας πά- 26
ντας ἐπὶ τὴν θεωρίαν συνεξεκέντησε καὶ εἰς τὴν πόλιν σὺν
τοῖς ὅπλοις εἰσδραμὼν ἱκανὰ κατέστρωσε πλήθη.
6 Ἰούδας δὲ ὁ Μακκαβαῖος δέκατός που γενηθεὶς καὶ ἀνα- 27
χωρήσας εἰς τὴν ἔρημον, θηρίων τρόπον ἐν τοῖς ὄρεσι διέζη
σὺν τοῖς μετ' αὐτοῦ, καὶ τὴν χορτώδη τροφὴν σιτούμενοι δι-
ετέλουν πρὸς τὸ μὴ μετασχεῖν τοῦ μολυσμοῦ.
12 1 Μετ' οὐ πολὺν δὲ χρόνον ἐξαπέστειλεν ὁ βασιλεὺς γέρο- **6**
ντα Ἀθήναιον ἀναγκάζειν τοὺς Ἰουδαίους μεταβαίνειν ἐκ τῶν
πατρῴων νόμων καὶ τοῖς τοῦ θεοῦ νόμοις μὴ πολιτεύεσθαι,
μολῦναι δὲ καὶ τὸν ἐν Ἱεροσολύμοις νεὼν καὶ προσονομάσαι 2

Διὸς Ὀλυμπίου, καὶ τὸν ἐν Γαριζίν, καθὼς ἐτύγχανον οἱ τὸν
τόπον οἰκοῦντες, Διὸς Ξενίου. χαλεπὴ δὲ καὶ τοῖς ὅλοις ἦν καὶ 3
δυσχερὴς ἡ ἐπίτασις τῆς κακίας. τὸ μὲν γὰρ ἱερὸν ἀσωτίας καὶ 4
κώμων ἐπεπλήρωτο ὑπὸ τῶν ἐθνῶν ῥαθυμούντων μεθ' ἑταιρῶν καὶ ἐν τοῖς ἱεροῖς περιβόλοις γυναιξὶ πλησιαζόντων, ἔτι
δὲ τὰ μὴ καθήκοντα ἔνδον φερόντων. τὸ δὲ θυσιαστήριον τοῖς 5
2 ἀποδιεσταλμένοις ἀπὸ τῶν νόμων ἀθεμίτοις ἐπεπλήρωτο. ἦν 6
δ' οὔτε σαββατίζειν οὔτε πατρῷας ἑορτὰς διαφυλάττειν οὔτε
ἁπλῶς Ἰουδαῖον ὁμολογεῖν εἶναι. ἤγοντο δὲ μετὰ πικρᾶς ἀνά- 7
γκης εἰς τὴν κατὰ μῆνα τοῦ βασιλέως γενέθλιον ἡμέραν ἐπὶ
σπλαγχνισμόν· γενομένης δὲ Διονυσίων ἑορτῆς ἠναγκάζοντο
οἱ Ἰουδαῖοι κισσοὺς ἔχοντες πομπεύειν τῷ Διονύσῳ. ψήφισμα 8
δὲ ἐξέπεσεν εἰς τὰς ἀστυγείτονας πόλεις ἑλληνίδας Πτολεμαίου ὑποτιθεμένου τὴν αὐτὴν ἀγωγὴν κατὰ τῶν Ἰουδαίων ἄγειν καὶ σπλαγχνίζειν, τοὺς δὲ μὴ προαιρουμένους μεταβαί- 9
3 νειν ἐπὶ τὰ ἑλληνικὰ κατασφάζειν. παρῆν οὖν ὁρᾶν τὴν ἐνεστῶσαν ταλαιπωρίαν. δύο γὰρ γυναῖκες ἀνηνέχθησαν περιτε- 10
τμηκυῖαι τὰ τέκνα αὐτῶν· τούτων δὲ ἐκ τῶν μαστῶν κρεμάσαντες τὰ βρέφη καὶ δημοσίᾳ περιαγαγόντες αὐτὰς τὴν πόλιν κατὰ τοῦ τείχους ἐκρήμνισαν. ἕτεροι δὲ πλησίον συνδραμόντες 11
εἰς τὰ σπήλαια λεληθότως ἄγειν τὴν ἑβδομάδα, μηνυθέντες τῷ Φιλίππῳ συνεφλογίσθησαν διὰ τὸ εὐλαβῶς ἔχειν βοηθῆσαι ἑαυτοῖς κατὰ τὴν δόξαν τῆς σεμνοτάτης ἡμέρας.

13 1 Παρακαλῶ οὖν τοὺς ἐντυγχάνοντας τῇδε τῇ βίβλῳ, μὴ 12
συστέλλεσθαι διὰ τὰς συμφοράς, λογίζεσθαι δὲ τὰς τιμωρίας μὴ πρὸς ὄλεθρον, ἀλλὰ πρὸς παιδείαν τοῦ γένους ἡμῶν εἶναι· καὶ γὰρ τὸ μὴ πολὺν χρόνον ἐᾶσθαι τοὺς δυσσεβοῦντας, ἀλλ' 13
εὐθέως περιπίπτειν ἐπιτιμίοις, μεγάλης εὐεργεσίας σημεῖον ἐ-
2 στιν. οὐ γὰρ καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἐθνῶν ἀναμένει μα- 14
κροθυμῶν ὁ δεσπότης μέχρι τοῦ καταντήσαντας αὐτοὺς πρὸς ἐκπλήρωσιν ἁμαρτιῶν κολάσαι, οὕτω καὶ ἐφ' ἡμῶν ἔκρινεν εἶναι, ἵνα μὴ πρὸς τέλος ἀφικομένων ἡμῶν τῶν ἁμαρτιῶν ὕστε- 15
ρον ἡμᾶς ἐκδικῇ. διόπερ οὐδέποτε μὲν τὸν ἔλεον αὐτοῦ ἀφ' ἡ- 16
μῶν ἀφίστησι, παιδεύων δὲ μετὰ συμφορᾶς οὐκ ἐγκαταλείπει τὸν ἑαυτοῦ λαόν. πλὴν ἕως ὑπομνήσεως ταῦθ' ἡμῖν εἰρήσθω· 17
δι' ὀλίγων δ' ἐλευστέον ἐπὶ τὴν διήγησιν.

14 1 Ἐλεάζαρός τις τῶν πρωτευόντων γραμματέων, ἀνὴρ ἤδη 18
προβεβηκὼς τὴν ἡλικίαν καὶ τὴν πρόσοψιν τοῦ προσώπου κάλλιστος τυγχάνων, ἀναχανὼν ἠναγκάζετο φαγεῖν ὕειον κρέας. ὁ δὲ τὸν μετ' εὐκλείας θάνατον μᾶλλον ἢ τὸν μετὰ μύσους 19
βίον ἀναδεξάμενος, αὐθαιρέτως ἐπὶ τὸ τύμπανον προσῆγε,
προπτύσας δὲ καθ' ὃν ἔδει τρόπον προσέρχεσθαι τοὺς ὑπομέ- 20
νοντας ἀμύνεσθαι, ὧν οὐ θέμις γεύσασθαι διὰ τὴν πρὸς τὸ ζῆν
2 φιλοσοργίαν. οἱ δὲ πρὸς τῷ παρανόμῳ σπλαγχνισμῷ τεταγ- 21
μένοι διὰ τὴν ἐκ τῶν παλαιῶν χρόνων πρὸς τὸν ἄνδρα γνῶσιν

ἀπολαβόντες αὐτὸν κατ' ἰδίαν παρεκάλουν ἐνέγκαντα κρέα,
οἷς καθῆκον αὐτῷ χρήσασθαι, δι' αὐτοῦ παρασκευασθέντα, ὑ-
ποκριθῆναι δὲ ὡς ἐσθίοντα τὰ ὑπὸ τοῦ βασιλέως προστεταγ-
μένα τῶν ἀπὸ τῆς θυσίας κρεῶν, ἵνα τοῦτο πράξας ἀπολυθῇ 22
τοῦ θανάτου καὶ διὰ τὴν ἀρχαίαν πρὸς αὐτοὺς φιλίαν τύχῃ φι-
3 λανθρωπίας. ὁ δὲ λογισμὸν ἀστεῖον ἀναλαβὼν καὶ ἄξιον τῆς ἡ- 23
λικίας καὶ τῆς τοῦ γήρως ὑπεροχῆς καὶ τῆς ἐπικτήτου καὶ ἐπι-
φανοῦς πολιᾶς καὶ τῆς ἐκ παιδὸς καλλίστης ἀναστροφῆς, μᾶλ-
λον δὲ τῆς ἁγίας καὶ θεοκτίστου νομοθεσίας ἀκολούθως ἀπε-
4 φήνατο, ταχέως λέγων προπέμπειν εἰς τὸν ᾅδην. οὐ γὰρ τῆς ἡ- 24
μετέρας ἡλικίας ἄξιόν ἐστιν ὑποκριθῆναι, ἵνα πολλοὶ τῶν νέων
ὑπολαβόντες Ἐλεάζαρον τὸν ἐνενηκονταετῆ μεταβεβηκέναι εἰς
ἀλλοφυλισμὸν καὶ αὐτοὶ διὰ τὴν ἐμὴν ἀπόκρισιν καὶ διὰ τὸ μι- 25
κρὸν καὶ ἀκαριαῖον ζῆν πλανηθῶσι δι' ἐμέ, καὶ μύσος καὶ κηλῖ-
δα τοῦ γήρως κατακτήσομαι. εἰ γὰρ καὶ ἐπὶ τοῦ παρόντος ἐξε- 26
λοῦμαι τὴν ἐξ ἀνθρώπων τιμωρίαν, ἀλλὰ τὰς τοῦ παντοκράτο-
ρος χεῖρας οὔτε ζῶν οὔτε ἀποθανὼν ἐκφεύξομαι. διόπερ ἀν- 27
δρείως μὲν νῦν διαλλάξας τὸν βίον τοῦ μὲν γήρως ἄξιος φανή-
σομαι, τοῖς δὲ νέοις ὑπόδειγμα γενναῖον καταλελοιπὼς εἰς τὸ 28
προθύμως καὶ γενναίως ὑπὲρ τῶν σεμνῶν καὶ ἁγίων νόμων ἀ-
πευθανατίζειν. τοσαῦτα δὲ εἰπὼν ἐπὶ τὸ τύμπανον εὐθέως ἦλ-
5 θε. τῶν δὲ ἀγόντων τὴν μικρῷ πρότερον εὐμένειαν πρὸς αὐ- 29
τὸν εἰς δυσμένειαν μεταβαλόντων διὰ τὸ τοὺς προειρημένους
λόγους, ὡς αὐτοὶ διελάμβανον, ἀπόνοιαν εἶναι, μέλλων δὲ ταῖς 30
πληγαῖς τελευτᾶν, ἀναστενάξας εἶπε· τῷ Κυρίῳ τῷ τὴν ἁγίαν
γνῶσιν ἔχοντι φανερόν ἐστιν ὅτι δυνάμενος ἀπολυθῆναι τοῦ
θανάτου, σκληρὰς ὑποφέρω κατὰ τὸ σῶμα ἀλγηδόνας μαστι-
γούμενος, κατὰ ψυχὴν δὲ ἡδέως διὰ τὸν αὐτοῦ φόβον ταῦτα
πάσχω. καὶ οὗτος οὖν τοῦτον τὸν τρόπον μετήλλαξεν, οὐ μό- 31
νον τοῖς νέοις, ἀλλὰ καὶ τοῖς πλείστοις τοῦ ἔθνους τὸν ἑαυτοῦ
θάνατον ὑπόδειγμα γενναιότητος καὶ μνημόσυνον ἀρετῆς κα-
ταλιπών.

15 1 Συνέβη δὲ καὶ ἑπτὰ ἀδελφοὺς μετὰ τῆς μητρὸς συλληφθέ- **7**
ντας ἀναγκάζεσθαι ὑπὸ τοῦ βασιλέως ἀπὸ τῶν ἀθεμίτων ὑ-
2 είων κρεῶν ἐφάπτεσθαι μάστιξι καὶ νευραῖς αἰκιζομένους. εἷς 2
δὲ αὐτῶν γενόμενος προήγορος οὕτως ἔφη· Τί μέλλεις ἐρωτᾶν
καὶ μανθάνειν παρ' ἡμῶν; ἕτοιμοι γὰρ ἀποθνῄσκειν ἐσμὲν ἢ
παραβαίνειν τοὺς πατρίους νόμους. ἔκθυμος δὲ γενόμενος ὁ 3
βασιλεὺς προσέταξε τήγανα καὶ λέβητας ἐκπυροῦν. τῶν δὲ πα- 4
ραχρῆμα ἐκπυρωθέντων, παραχρῆμα τὸν γενόμενον αὐτῶν
προήγορον προσέταξε γλωσσοτομεῖν καὶ περισκυθίσαντες ἀ-
κρωτηριάζειν, τῶν λοιπῶν ἀδελφῶν καὶ τῆς μητρὸς συνορώ-
3 ντων. ἄχρηστον δὲ αὐτὸν τοῖς ὅλοις γενόμενον ἐκέλευσε τῇ 5
πυρᾷ προσάγειν ἔμπνουν καὶ τηγανίζειν. τῆς δὲ ἀτμίδος ἐφ' ἱ-
κανὸν διαδιδούσης τοῦ τηγάνου, ἀλλήλους παρεκάλουν σὺν

τῇ μητρὶ γενναίως τελευτᾶν λέγοντες οὕτω· Κύριος ὁ θεὸς ἐ- 6
φορᾷ καὶ ταῖς ἀληθείαις ἐφ' ἡμῖν παρακαλεῖται, καθάπερ διὰ
τῆς κατὰ πρόσωπον ἀντιμαρτυρούσης ᾠδῆς διεσάφησε Μωϋ-
4 σῆς λέγων· Καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται. με- 7
ταλλάξαντος δὲ τοῦ πρώτου τὸν τρόπον τοῦτον, τὸν δεύτερον
ἦγον ἐπὶ τὸν ἐμπαιγμὸν καὶ τὸ τῆς κεφαλῆς δέρμα σὺν ταῖς
θριξὶ περισύραντες ἐπηρώτων· Εἰ φάγεσαι πρὸ τοῦ τιμωρηθῆ-
ναι τὸ σῶμα κατὰ μέλος; ὁ δὲ ἀποκριθεὶς τῇ πατρίῳ φωνῇ εἶ- 8
πεν· Οὐχί· διόπερ καὶ οὗτος τὴν ἑξῆς ἔλαβε βάσανον ὡς ὁ
πρῶτος. ἐν ἐσχάτῃ δὲ πνοῇ γενόμενος εἶπε· Σὺ μὲν ἀλάστωρ 9
ἐκ τοῦ παρόντος ἡμᾶς ζῆν ἀπολύεις, ὁ δὲ τοῦ κόσμου βασι-
λεὺς ἀποθανόντας ἡμᾶς ὑπὲρ τῶν αὐτοῦ νόμων εἰς αἰώνιον ἀ-
5 ναβίωσιν ζωῆς ἡμᾶς ἀναστήσει. μετὰ δὲ τοῦτον ὁ τρίτος ἐνε- 10
παίζετο καὶ τὴν γλῶσσαν αἰτηθεὶς ταχέως προέβαλε καὶ τὰς
χεῖρας εὐθαρσῶς προέτεινε καὶ γενναίως εἶπεν· Ἐξ οὐρανοῦ 11
ταῦτα κέκτημαι καὶ διὰ τοὺς αὐτοῦ νόμους ὑπερορῶ ταῦτα καὶ
παρ' αὐτοῦ ταῦτα πάλιν ἐλπίζω κομίσασθαι· ὥστε αὐτὸν τὸν 12
βασιλέα καὶ τοὺς σὺν αὐτῷ ἐκπλήσσεσθαι τὴν τοῦ νεανίσκου
6 ψυχήν, ὡς ἐν οὐδενὶ τὰς ἀλγηδόνας ἐτίθετο. καὶ τούτου δὲ με- 13
ταλλάξαντος, τὸν τέταρτον ὡσαύτως ἐβασάνιζον αἰκιζόμενοι.
καὶ γενόμενος πρὸς τὸ τελευτᾶν οὕτως ἔφη· Αἱρετὸν μεταλ- 14
λάσσοντα ὑπ' ἀνθρώπων τὰς ὑπὸ τοῦ θεοῦ προσδοκᾶν ἐλπί-
δας πάλιν ἀναστήσεσθαι ὑπ' αὐτοῦ· σοὶ μὲν γὰρ ἀνάστασις εἰς
7 ζωὴν οὐκ ἔσται. ἐχομένως δὲ τὸν πέμπτον προσάγοντες ᾐκί- 15
ζοντο. ὁ δὲ πρὸς αὐτὸν ἰδὼν εἶπεν· Ἐξουσίαν ἐν ἀνθρώποις ἔ- 16
χων φθαρτὸς ὤν, ὃ θέλεις ποιεῖς· μὴ δόκει δὲ τὸ γένος ἡμῶν
ὑπὸ τοῦ θεοῦ καταλελεῖφθαι. σὺ δὲ καρτέρει καὶ θεώρει τὸ με- 17
γαλεῖον αὐτοῦ κράτος, ὡς σὲ καὶ τὸ σπέρμα σου βασανίσει.
8 μετὰ δὲ τοῦτον ἦγον τὸν ἕκτον, καὶ μέλλων ἀποθνῄσκειν ἔφη· 18
Μὴ πλανῶ μάτην, ἡμεῖς γὰρ δι' ἑαυτοὺς ταῦτα πάσχομεν ἁ-
μαρτάνοντες εἰς τὸν ἑαυτῶν θεόν, διὸ ἄξια θαυμασμοῦ γέγονε.
9 σὺ δὲ μὴ νομίσῃς ἀθῷος ἔσεσθαι θεομαχεῖν ἐπιχειρήσας. ὑπε- 19 20
ραγόντως δὲ ἡ μήτηρ θαυμαστὴ καὶ μνήμης ἀγαθῆς ἀξία, ἥτις
ἀπολλυμένους υἱοὺς ἑπτὰ συνορῶσα μιᾶς ὑπὸ καιρὸν ἡμέρας
εὐψύχως ἔφερε διὰ τὰς ἐπὶ Κύριον ἐλπίδας. ἕκαστον δὲ αὐτῶν 21
παρεκάλει τῇ πατρίῳ φωνῇ γενναίῳ πεπληρωμένη φρονήματι
καὶ τὸν θῆλυν λογισμὸν ἄρσενι θυμῷ διεγείρασα, λέγουσα
πρὸς αὐτούς· Οὐκ οἶδ' ὅπως εἰς τὴν ἐμὴν ἐφάνητε κοιλίαν, οὐ- 22
δὲ ἐγὼ τὸ πνεῦμα καὶ τὴν ζωὴν ὑμῖν ἐχαρισάμην, καὶ τὴν ἑκά-
10 στου στοιχείωσιν οὐκ ἐγὼ διερρύθμισα. τοιγαροῦν ὁ τοῦ κό- 23
σμου κτίστης, ὁ πλάσας ἀνθρώπου γένεσιν καὶ πάντων ἐξευ-
ρὼν γένεσιν καὶ τὸ πνεῦμα καὶ τὴν ζωὴν ὑμῖν πάλιν ἀποδώσει
μετ' ἐλέους, ὡς νῦν ὑπερορᾶτε ἑαυτοὺς διὰ τοὺς αὐτοῦ νό-
11 μους. ὁ δὲ Ἀντίοχος οἰόμενος καταφρονεῖσθαι καὶ τὴν ὀνειδί- 24
ζουσαν ὑφορώμενος φωνήν, ἔτι τοῦ νεωτέρου περιόντος, οὐ

μόνον διὰ λόγων ἐποιεῖτο τὴν παράκλησιν, ἀλλὰ καὶ δι' ὅρκων
ἐπίστου ἅμα πλουτιεῖν καὶ μακαριστὸν ποιήσειν μεταθέμενον
ἀπὸ τῶν πατρίων νόμων καὶ φίλον ἕξειν καὶ χρείας ἐμπιστεύ-
σειν. τοῦ δὲ νεανίου μηδεμῶς προσέχοντος, προσκαλεσάμε- 25
νος ὁ βασιλεὺς τὴν μητέρα παρῄνει τοῦ μειρακίου γενέσθαι
σύμβουλον ἐπὶ σωτηρίᾳ. πολλὰ δὲ αὐτοῦ παραινέσαντος ἐπε- 26
12 δέξατο πείσειν τὸν υἱόν. προσκύψασα δὲ αὐτῷ, χλευάσασα 27
τὸν ὠμὸν τύραννον οὕτως ἔφησε τῇ πατρῴᾳ φωνῇ· Υἱέ, ἐλέη-
σόν με τὴν ἐν γαστρὶ περιενέγκασάν σε μῆνας ἐννέα καὶ θηλά-
σασάν σε ἔτη τρία καὶ ἐκθρέψασάν σε καὶ ἀγαγοῦσαν εἰς τὴν
ἡλικίαν ταύτην καὶ τροφοφορήσασαν. ἀξιῶ σε, τέκνον, ἀναβλέ- 28
ψαντα εἰς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτοῖς πάντα ἰδό-
ντα, γνῶναι ὅτι ἐξ οὐκ ὄντων ἐποίησεν αὐτὰ ὁ θεός, καὶ τὸ
τῶν ἀνθρώπων γένος οὕτω γεγένηται. μὴ φοβηθῇς τὸν δήμιον 29
τοῦτον, ἀλλὰ τῶν ἀδελφῶν ἄξιος γενόμενος, ἐπίδεξαι τὸν θά-
νατον, ἵνα ἐν τῷ ἐλέει σὺν τοῖς ἀδελφοῖς σου κομίσωμαί σε. ἔ-
13 τι δὲ ταύτης καταλεγούσης ὁ νεανίας εἶπε· Τίνα μένετε; οὐχ ὑ- 30
πακούω τοῦ προστάγματος τοῦ βασιλέως, τοῦ δὲ προστάγμα-
τος ἀκούω τοῦ Νόμου τοῦ δοθέντος τοῖς πατράσιν ἡμῶν διὰ
Μωϋσέως. σὺ δὲ πάσης κακίας εὑρετὴς γενόμενος εἰς τοὺς Ἑ- 31
βραίους, οὐ μὴ διαφύγῃς τὰς χεῖρας τοῦ θεοῦ. ἡμεῖς γὰρ διὰ 32
τὰς ἑαυτῶν ἁμαρτίας πάσχομεν. εἰ δὲ χάριν ἐπιπλήξεως καὶ 33
παιδείας ὁ ζῶν Κύριος ἡμῶν βραχέως ἐπώργισται, καὶ πάλιν
καταλλαγήσεται τοῖς ἑαυτοῦ δούλοις. σὺ δέ, ὦ ἀνόσιε καὶ πά- 34
ντων ἀνθρώπων μιαρώτατε, μὴ μάτην μετεωρίζου φρυαττόμε-
νος ἀδήλοις ἐλπίσιν, ἐπὶ τοὺς δούλους αὐτοῦ ἐπαιρόμενος χεῖ-
ρα· οὔπω γὰρ τὴν τοῦ παντοκράτορος ἐπόπτου θεοῦ κρίσιν 35
14 ἐκπέφευγας. οἱ μὲν γὰρ νῦν ἡμέτεροι ἀδελφοὶ βραχὺν ὑπενέ- 36
γκαντες πόνον ἀεννάου ζωῆς ὑπὸ διαθήκην θεοῦ πεπτώκασι·
σὺ δὲ τῇ τοῦ θεοῦ κρίσει δίκαια τὰ πρόστιμα τῆς ὑπερηφανίας
ἀποίσῃ. ἐγὼ δὲ καθάπερ οἱ ἀδελφοί μου καὶ σῶμα καὶ ψυχὴν 37
προδίδωμι περὶ τῶν πατρίων νόμων, ἐπικαλούμενος τὸν θεὸν
ἵλεων ταχὺ τῷ ἔθνει γενέσθαι καὶ σὲ μετὰ ἐτασμῶν καὶ μαστί-
γων ἐξομολογήσασθαι, διότι μόνος αὐτὸς θεός ἐστιν, ἐν ἐμοὶ 38
δὲ καὶ τοῖς ἀδελφοῖς μου στῆναι τὴν τοῦ παντοκράτορος ὀρ-
15 γὴν τὴν ἐπὶ τὸ σύμπαν ἡμῶν γένος δικαίως ἐπηγμένην. ἔκθυ- 39
μος δὲ γενόμενος ὁ βασιλεύς, τούτῳ παρὰ τοὺς ἄλλους χειρί-
στως ἀπήντησε πικρῶς φέρων ἐπὶ τῷ μυκτηρισμῷ. καὶ οὗτος 40
οὖν καθαρὸς τὸν βίον, μετήλλαξε παντελῶς ἐπὶ τῷ Κυρίῳ πε-
16 ποιθώς. ἐσχάτη δὲ τῶν υἱῶν ἡ μήτηρ ἐτελεύτησε. τὰ μὲν οὖν 41 42
περὶ τοὺς σπλαγχνισμοὺς καὶ τὰς ὑπερβαλλούσας αἰκίας ἐπὶ
τοσοῦτον δεδηλώσθω.

16 1 Ἰούδας δὲ ὁ Μακκαβαῖος καὶ οἱ σὺν αὐτῷ παρεισπορευό- **8**
μενοι λεληθότως εἰς τὰς κώμας προσεκαλοῦντο τοὺς συγγε-
νεῖς καὶ τοὺς μεμενηκότας ἐν τῷ ἰουδαϊσμῷ προσλαβόμενοι

συνήγαγον εἰς ἑξακισχιλίους. καὶ ἐπεκαλοῦντο τὸν Κύριον ἐ- 2
πιδεῖν ἐπὶ τὸν ὑπὸ πάντων καταπατούμενον λαόν, οἰκτεῖραι δὲ
καὶ τὸν ναὸν τὸν ὑπὸ τῶν ἀσεβῶν ἀνθρώπων βεβηλωθέντα, ἐ- 3
λεῆσαι δὲ καὶ τὴν καταφθειρομένην πόλιν καὶ μέλλουσαν ἰσό-
πεδον γίνεσθαι καὶ τῶν καταβοώντων πρὸς αὐτὸν αἱμάτων εἰ-
σακοῦσαι, μνησθῆναι δὲ καὶ τῆς τῶν ἀναμαρτήτων νηπίων πα- 4
ρανόμου ἀπωλείας καὶ περὶ τῶν γενομένων εἰς τὸ ὄνομα αὐ-
2 τοῦ βλασφημιῶν καὶ μισοπονηρῆσαι. γενόμενος δὲ ἐν συστή- 5
ματι ὁ Μακκαβαῖος ἀνυπόστατος ἤδη τοῖς ἔθνεσιν ἐγίνετο, τῆς
ὀργῆς τοῦ Κυρίου εἰς ἔλεον τραπείσης, πόλεις δὲ καὶ κώμας 6
ἀπροσδοκήτως ἐρχόμενος ἐνεπίμπρα καὶ τοὺς ἐπικαίρους τό-
πους ἀπολαμβάνων οὐκ ὀλίγους τῶν πολεμίων ἐνίκα τροπού-
μενος μάλιστα τὰς νύκτας πρὸς τὰς τοιαύτας ἐπιβουλὰς συ- 7
νεργοὺς ἐλάμβανε. καὶ λαλιά τις τῆς εὐανδρίας αὐτοῦ διεχεῖτο
πανταχῇ.

17 1 Συνορῶν δὲ ὁ Φίλιππος κατὰ μικρὸν εἰς προκοπὴν ἐρχό- 8
μενον τὸν ἄνδρα, πυκνότερον δὲ ἐν ταῖς εὐημερίαις προβαίνο-
ντα, πρὸς Πτολεμαῖον τὸν Κοίλης Συρίας καὶ Φοινίκης στρα-
τηγὸν ἔγραψεν ἐπιβοηθεῖν τοῖς τοῦ βασιλέως πράγμασιν. ὁ δὲ 9
ταχέως προχειρισάμενος Νικάνορα τὸν τοῦ Πατρόκλου τῶν
πρώτων φίλων ἀπέστειλεν ὑποτάξας παμφύλων ἔθνη οὐκ ἐ-
λάττους τῶν δισμυρίων τὸ σύμπαν τῶν Ἰουδαίων ἐξᾶραι γέ-
νος· συνέστησε δὲ αὐτῷ καὶ Γοργίαν ἄνδρα στρατηγὸν καὶ ἐν
2 πολεμικαῖς χρείαις πεῖραν ἔχοντα. διεστήσατο δὲ ὁ Νικάνωρ 10
τὸν φόρον τῷ βασιλεῖ τοῖς Ῥωμαίοις ὄντα ταλάντων δισχιλίων
ἐκ τῆς τῶν Ἰουδαίων αἰχμαλωσίας ἐκπληρώσειν. εὐθέως δὲ 11
εἰς τὰς παραθαλασσίους πόλεις ἀπέστειλε προσκαλούμενος
ἐπ' ἀγορασμὸν Ἰουδαϊκῶν σωμάτων, ὑπισχνούμενος ἐνενήκο-
ντα σώματα ταλάντου παραχωρήσειν, οὐ προσδεχόμενος τὴν
παρὰ τοῦ παντοκράτορος μέλλουσαν παρακολουθήσειν ἐπ' αὐ-
3 τῷ δίκην. τῷ δὲ Ἰούδᾳ προσέπεσε περὶ τῆς τοῦ Νικάνορος ἐ- 12
φόδου· καὶ μεταδόντος αὐτοῦ τοῖς σὺν αὐτῷ τὴν παρουσίαν
τοῦ στρατοπέδου, οἱ δειλανδροῦντες καὶ ἀπιστοῦντες τὴν τοῦ 13
θεοῦ δίκην διεδίδρασκον καὶ ἐξετόπιζον ἑαυτούς. οἱ δὲ τὰ πε- 14
ριλελειμμένα πάντα ἐπώλουν, ὁμοῦ δὲ τὸν Κύριον ἠξίουν ῥύ-
σασθαι τοὺς ὑπὸ τοῦ δυσσεβοῦς Νικάνορος πρὶν συντυχεῖν
πεπραμένους· καὶ εἰ μὴ δι' αὐτούς, ἀλλὰ διὰ τὰς πρὸς τοὺς πα- 15
τέρας αὐτῶν διαθήκας καὶ ἕνεκεν τῆς ἐπ' αὐτοὺς ἐπικλήσεως
18 1 τοῦ σεμνοῦ καὶ μεγαλοπρεποῦς ὀνόματος αὐτοῦ. συναγαγὼν 16
δὲ ὁ Μακκαβαῖος τοὺς περὶ αὐτὸν ὄντας τὸν ἀριθμὸν ἑξακισχι-
λίους παρεκάλει μὴ καταπλαγῆναι τοὺς πολεμίους, μηδὲ εὐλα-
βεῖσθαι τὴν τῶν ἀδίκως παραγινομένων ἐπ' αὐτοὺς ἐθνῶν πο-
λυπληθίαν, ἀγωνίσασθαι δὲ γενναίως πρὸ ὀφθαλμῶν λαβόντας 17
τὴν ἀνόμως εἰς τὸν ἅγιον τόπον συντετελεσμένην ὑπ' αὐτῶν
ὕβριν καὶ τὸν τῆς ἐμπεπαιγμένης πόλεως αἰκισμόν, ἔτι δὲ τὴν

τῆς προγονικῆς πολιτείας κατάλυσιν. οἱ μὲν γὰρ ὅπλοις πεποί- 18
θασιν ἅμα καὶ τόλμαις, ἔφησεν, ἡμεῖς δὲ ἐπὶ τῷ παντοκράτορι
θεῷ, δυναμένῳ καὶ τοὺς ἐρχομένους ἐφ' ἡμᾶς καὶ τὸν ὅλον κό-
2 σμον ἐν ἑνὶ νεύματι καταβαλεῖν, πεποίθαμεν. προσαναλεξάμε- 19
νος δὲ αὐτοῖς καὶ τὰς ἐπὶ τῶν προγόνων γενομένας ἀντιλήψεις
καὶ τὴν ἐπὶ Σενναχηρίμ, ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδες ὡς
ἀπώλοντο, καὶ τὴν ἐν τῇ Βαβυλωνίᾳ τὴν πρὸς τοὺς Γαλάτας 20
παράταξιν γενομένην, ὡς οἱ πάντες ἐπὶ τὴν χρείαν ἦλθον ὀκτα-
κισχίλιοι σὺν Μακεδόσι τετρακισχιλίοις, τῶν Μακεδόνων ἀπο-
ρουμένων, οἱ ὀκτακισχίλιοι τὰς δώδεκα μυριάδας ἀπώλεσαν
διὰ τὴν γενομένην αὐτοῖς ἀπ' οὐρανοῦ βοήθειαν, καὶ ὠφέλειαν
3 πολλὴν ἔλαβον. ἐφ' οἷς εὐθαρσεῖς αὐτοὺς παραστήσας καὶ ἑ- 21
τοίμους ὑπὲρ τῶν νόμων καὶ τῆς πατρίδος ἀποθνῄσκειν, τε-
τραμερές τι τὸ στράτευμα ἐποίησε. τάξας καὶ τοὺς ἀδελφοὺς 22
αὐτοῦ προηγουμένους ἑκατέρας τάξεως, Σίμωνα καὶ Ἰώσηφον
καὶ Ἰωνάθαν, ὑποτάξας ἑκάστῳ χιλίους πρὸς τοῖς πεντακο-
σίοις, ἔτι δὲ καὶ Ἐλεάζαρον, παραναγνοὺς τὴν Ἱερὰν Βίβλον 23
καὶ δοὺς σύνθημα θεοῦ βοηθείας τῆς πρώτης σπείρας αὐτὸς
4 προηγούμενος, συνέβαλε τῷ Νικάνορι. γενομένου δὲ αὐτοῖς 24
τοῦ παντοκράτορος συμμάχου, κατέσφαξαν τῶν πολεμίων ὑ-
πὲρ τοὺς ἐνακισχιλίους, τραυματίας δὲ καὶ τοῖς μέλεσιν ἀνα-
πήρους τὸ πλεῖστον μέρος τῆς τοῦ Νικάνορος στρατιᾶς ἐποίη-
σαν, πάντας δὲ φυγεῖν ἠνάγκασαν. τὰ δὲ χρήματα τῶν παραγε- 25
γονότων ἐπὶ τὸν ἀγορασμὸν αὐτῶν ἔλαβον· συνδιώξαντες δὲ
αὐτοὺς ἐφ' ἱκανὸν ἀνέλυσαν ὑπὸ τῆς ὥρας συγκλειόμενοι. ἦν
γὰρ ἡ πρὸ τοῦ σαββάτου, δι' ἣν αἰτίαν οὐκ ἐμακροθύμησαν κα- 26
5 τατρέχοντες αὐτούς. ὁπλολογήσαντες δὲ αὐτοὺς καὶ τὰ σκῦλα 27
ἐκδύσαντες τῶν πολεμίων περὶ τὸ σάββατον ἐγίνοντο, περισ-
σῶς εὐλογοῦντες καὶ ἐξομολογούμενοι τῷ Κυρίῳ τῷ διασώ-
σαντι αὐτοὺς εἰς τὴν ἡμέραν ταύτην, ἀρχὴν ἐλέους τάξαντος
αὐτοῖς.

19 1 Μετὰ δὲ τὸ σάββατον τοῖς ᾐκισμένοις καὶ ταῖς χήραις καὶ 28
ὀρφανοῖς μερίσαντες ἀπὸ τῶν σκύλων, τὰ λοιπὰ αὐτοὶ καὶ τὰ
παιδία ἐμερίσαντο. ταῦτα δὲ διαπραξάμενοι καὶ κοινὴν ἱκε- 29
τείαν ποιησάμενοι, τὸν ἐλεήμονα Κύριον ἠξίουν εἰς τέλος κα-
ταλλαγῆναι τοῖς αὐτοῦ δούλοις. καὶ τοῖς περὶ Τιμόθεον καὶ 30
Βακχίδην συνερίσαντες ὑπὲρ τοὺς δισμυρίους αὐτῶν ἀνεῖλον
καὶ ὀχυρωμάτων ὑψηλῶν εὖ μάλα ἐγκρατεῖς ἐγένοντο καὶ λά-
φυρα πλεῖστα ἐμερίσαντο ἰσομοίρους ἑαυτοὺς καὶ τοῖς ᾐκισμέ-
νοις καὶ ὀρφανοῖς καὶ χήραις, ἔτι δὲ καὶ πρεσβυτέροις ποιήσα-
2 ντες. ὁπλολογήσαντες δὲ αὐτοὺς ἐπιμελῶς πάντα συνέθηκαν 31
εἰς τοὺς ἐπικαίρους τόπους, τὰ δὲ λοιπὰ τῶν σκύλων ἤνεγκαν
εἰς Ἱεροσόλυμα. τὸν δὲ φυλάρχην τῶν περὶ Τιμόθεον ἀνεῖλον, 32
ἀνοσιώτατον ἄνδρα καὶ πολλὰ τοὺς Ἰουδαίους ἐπιλελυπηκό-
τα. ἐπινίκια δὲ ἄγοντες ἐν τῇ πατρίδι, τοὺς ἐμπρήσαντας τοὺς 33

ἱεροὺς πυλῶνας, Καλλισθένην καί τινας ἄλλους, ὑφῆψαν εἰς ἓν
οἰκίδιον πεφευγότας, οἵτινες ἄξιον τῆς δυσσεβείας ἐκομίσαντο
3 μισθόν. ὁ δὲ τρισαλιτήριος Νικάνωρ, ὁ τοὺς χιλίους ἐμπόρους 34
ἐπὶ τὴν πρᾶσιν τῶν Ἰουδαίων ἀγαγών, ταπεινωθεὶς ὑπὸ τῶν 35
κατ' αὐτὸν νομιζομένων ἐλαχίστων εἶναι, τῇ τοῦ Κυρίου βοη-
θείᾳ τὴν δοξικὴν ἀποθέμενος ἐσθῆτα, διὰ τῆς μεσογείου, δρα-
πέτου τρόπον, ἔρημον ἑαυτὸν ποιήσας, ἧκεν εἰς Ἀντιόχειαν ὑ-
4 περάγαν δυσημερήσας ἐπὶ τῇ τοῦ στρατοῦ διαφθορᾷ. καὶ ὁ 36
τοῖς Ῥωμαίοις ἀναδεξάμενος φόρον ἀπὸ τῆς τῶν ἐν Ἱεροσολύ-
μοις αἰχμαλωσίας κατορθώσασθαι, κατήγγελλεν ὑπέρμαχον ἔ-
χειν τὸν θεὸν τοὺς Ἰουδαίους καὶ διὰ τὸν τρόπον τοῦτον ἀ-
τρώτους εἶναι τοὺς Ἰουδαίους, διὰ τὸ ἀκολουθεῖν τοῖς ὑπ' αὐ-
τοῦ προστεταγμένοις νόμοις.

20 1 Περὶ δὲ τὸν καιρὸν ἐκεῖνον ἐτύγχανεν Ἀντίοχος ἀναλελυ- **9**
κὼς ἀκόσμως ἐκ τῶν κατὰ τὴν Περσίδα τόπων. εἰσεληλύθει 2
γὰρ εἰς τὴν λεγομένην Περσέπολιν καὶ ἐπεχείρησεν ἱεροσυλεῖν
καὶ τὴν πόλιν συνέχειν. διὸ δὴ τῶν πληθῶν ὁρμησάντων ἐπὶ
τὴν τῶν ὅπλων βοήθειαν ἐτράπησαν, καὶ συνέβη τροπωθέντα
τὸν Ἀντίοχον ὑπὸ τῶν ἐγχωρίων ἀσχήμονα τὴν ἀναζυγὴν ποι-
2 ήσασθαι. ὄντι δὲ αὐτῷ κατ' Ἐκβάτανα προσέπεσε τὰ κατὰ Νι- 3
κάνορα καὶ τοὺς περὶ Τιμόθεον γεγονότα. ἐπαρθεὶς δὲ τῷ θυ- 4
μῷ ᾤετο καὶ τὴν τῶν πεφυγαδευκότων αὐτὸν κακίαν εἰς τοὺς
Ἰουδαίους ἐναπερείσασθαι. διὸ συνέταξε τὸν ἁρματηλάτην ἀ-
διαλείπτως ἐλαύνοντα κατανύειν τὴν πορείαν, τῆς ἐξ οὐρανοῦ
δὴ κρίσεως συνούσης αὐτῷ· οὕτω γὰρ ὑπερηφάνως εἶπε· Πο-
λυάνδριον Ἰουδαίων Ἱεροσόλυμα ποιήσω παραγενόμενος ἐ-
3 κεῖ. ὁ δὲ παντεπόπτης Κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ ἐπάταξεν αὐ- 5
τὸν ἀνιάτῳ καὶ ἀοράτῳ πληγῇ· ἄρτι δὲ αὐτοῦ καταλήξαντος
τὸν λόγον, ἔλαβεν αὐτὸν ἀνήκεστος τῶν σπλάγχνων ἀλγηδὼν
καὶ πικραὶ τῶν ἔνδον βάσανοι, πάνυ δικαίως τὸν πολλαῖς καὶ 6
ξενιζούσαις συμφοραῖς ἑτέρων σπλάγχνα βασανίσαντα. ὁ δ' 7
οὐδαμῶς τῆς ἀγερωχίας ἔληγεν· ἔτι δὲ καὶ τῆς ὑπερηφανίας ἐ-
πεπλήρωτο, πῦρ πνέων τοῖς θυμοῖς ἐπὶ τοὺς Ἰουδαίους καὶ
4 κελεύων ἐποξύνειν τὴν πορείαν. συνέβη δὲ καὶ πεσεῖν αὐτὸν
ἀπὸ τοῦ ἅρματος φερομένου ῥοίζῳ καὶ δυσχερεῖ πτώματι πε-
ριπεσόντα πάντα τὰ μέλη τοῦ σώματος ἀποστρεβλοῦσθαι. ὁ δ' 8
ἄρτι δοκῶν τοῖς τῆς θαλάσσης κύμασιν ἐπιτάσσειν διὰ τὴν ὑ-
πὲρ ἄνθρωπον ἀλαζονείαν καὶ πλάστιγγι τὰ τῶν ὀρέων οἰόμε-
νος ὕψη στήσειν, κατὰ γῆν γενόμενος ἐν φορείῳ παρεκομίζε-
το, φανερὰν τοῦ θεοῦ πᾶσι τὴν δύναμιν ἐνδεικνύμενος, ὥστε 9
καὶ ἐκ τοῦ σώματος τοῦ δυσσεβοῦς σκώληκας ἀναζεῖν, καὶ
ζῶντος ἐν ὀδύναις καὶ ἀλγηδόσι τὰς σάρκας αὐτοῦ διαπίπτειν,
ὑπὸ δὲ τῆς ὀσμῆς αὐτοῦ πᾶν τὸ στρατόπεδον βαρύνεσθαι τῇ
5 σαπρίᾳ. καὶ τὸν μικρῷ πρότερον τῶν οὐρανίων ἄστρων ἅπτε- 10
σθαι δοκοῦντα παρακομίζειν οὐδεὶς ἐδύνατο διὰ τὸ τῆς ὀσμῆς

ἀφόρητον βάρος. ἐνταῦθα οὖν ἤρξατο τὸ πολὺ τῆς ὑπερηφα- 11
νίας λήγειν ὑποτεθραυσμένος καὶ εἰς ἐπίγνωσιν ἔρχεσθαι θείᾳ
6 μάστιγι κατὰ στιγμὴν ἐπιτεινόμενος ταῖς ἀλγηδόσι. καὶ μηδὲ 12
τῆς ὀσμῆς ἑαυτοῦ δυνάμενος ἀνέχεσθαι ταῦτ' ἔφη· Δίκαιον ὑ-
ποτάσσεσθαι τῷ θεῷ καὶ μὴ θνητὸν ὄντα ἰσόθεα φρονεῖν ὑπε-
ρηφάνως. ηὔχετο δὲ ὁ μιαρὸς πρὸς τὸν οὐκέτι αὐτὸν ἐλεήσο- 13
ντα δεσπότην, οὕτω λέγων τὴν μὲν ἁγίαν πόλιν, ἣν σπεύδων 14
παρεγίνετο ἰσόπεδον ποιῆσαι καὶ πολυάνδριον οἰκοδομῆσαι,
ἐλευθέραν ἀναδεῖξαι· τοὺς δὲ Ἰουδαίους, οὓς διεγνώκει μηδὲ 15
ταφῆς ἀξιῶσαι, οἰωνοβρώτους δὲ σὺν τοῖς νηπίοις ἐκρίψειν
θηρίοις, πάντας αὐτοὺς ἴσους Ἀθηναίοις ποιήσειν· ὃν δὲ πρό- 16
τερον ἐσκύλευεν ἅγιον νεὼν καλλίστοις ἀναθήμασι κοσμήσειν
καὶ τὰ ἱερὰ σκεύη πολυπλάσια πάντα ἀποδώσειν, τὰς δὲ ἐπι-
βαλλούσας πρὸς τὰς θυσίας συντάξεις ἐκ τῶν ἰδίων προσό-
δων χορηγήσειν· πρὸς δὲ τούτοις καὶ Ἰουδαῖον ἔσεσθαι καὶ 17
πάντα τόπον οἰκητὸν ἐπελεύσεσθαι καταγγέλλοντα τὸ τοῦ θε-
21 1 οῦ κράτος. οὐδαμῶς δὲ ληγόντων τῶν πόνων, ἐπεληλύθει γὰρ 18
ἐπ' αὐτὸν δικαία ἡ τοῦ θεοῦ κρίσις, τὰ κατ' αὐτὸν ἀπελπίσας,
ἔγραψε πρὸς τοὺς Ἰουδαίους τὴν ὑπογεγραμμένην ἐπιστολήν,
ἱκετηρίας τάξιν ἔχουσαν, περιέχουσαν δὲ οὕτω· «Τοῖς χρη- 19
στοῖς Ἰουδαίοις τοῖς πολίταις πολλὰ χαίρειν καὶ ὑγιαίνειν καὶ
εὖ πράττειν βασιλεὺς καὶ στρατηγὸς Ἀντίοχος. εἰ ἔρρωσθε καὶ 20
τὰ τέκνα καὶ τὰ ἴδια κατὰ γνώμην ἐστὶν ὑμῖν, εὔχομαι μὲν τῷ
θεῷ τὴν μεγίστην χάριν, εἰς οὐρανὸν τὴν ἐλπίδα ἔχων, κἀγὼ 21
δὲ ἀσθενῶς διεκείμην, ὑμῶν τὴν τιμὴν καὶ τὴν εὔνοιαν ἂν ἐ-
2 μνημόνευον φιλοστόργως. ἐπανάγων ἐκ τῶν περὶ τὴν Περσίδα
τόπων καὶ περιπεσὼν ἀσθενείᾳ δυσχέρειαν ἐχούσῃ, ἀνα-
γκαῖον ἡγησάμην φροντίσαι τῆς κοινῆς πάντων ἀσφαλείας.
οὐκ ἀπογινώσκων τὰ κατ' ἐμαυτόν, ἀλλὰ ἔχων πολλὴν ἐλπίδα 22
ἐκφεύξεσθαι τὴν ἀσθένειαν, θεωρῶν δὲ ὅτι καὶ ὁ πατήρ, καθ' 23
οὓς καιροὺς εἰς τοὺς ἄνω τόπους ἐστρατοπέδευσεν, ἀνέδειξε
τὸν διαδεξόμενον, οὕτως ἐάν τι παράδοξον ἀποβαίνῃ ἢ καὶ 24
προσαγγελθῇ τι δυσχερές, εἰδότες οἱ κατὰ τὴν χώραν ᾧ κατα-
3 λέλειπται τὰ πράγματα, μὴ ἐπιταράσσωνται. πρὸς δὲ τούτοις 25
κατανοῶν τοὺς παρακειμένους δυνάστας καὶ γειτνιῶντας τῇ
βασιλείᾳ τοῖς καιροῖς ἐπέχοντας καὶ προσδεχομένους τὸ ἀπο-
βησόμενον, ἀναδέδειχα τὸν υἱόν μου Ἀντίοχον βασιλέα, ὃν
πολλάκις ἀνατρέχων εἰς τὰς ἐπάνω σατραπίας τοῖς πλείστοις
ὑμῶν παρακατετιθέμην καὶ συνίστων· γέγραφα δὲ πρὸς αὐτὸν
τὰ ὑπογεγραμμένα. παρακαλῶ οὖν ὑμᾶς καὶ ἀξιῶ, μεμνημέ- 26
νους τῶν εὐεργεσιῶν κοινῇ καὶ κατ' ἰδίαν, ἕκαστον συντηρεῖν
τὴν οὖσαν εὔνοιαν εἰς ἐμὲ καὶ τὸν υἱόν μου· πέπεισμαι γὰρ αὐ- 27
τὸν ἐπιεικῶς καὶ φιλανθρώπως παρακολουθοῦντα τῇ ἐμῇ προ-
4 αιρέσει συμπεριενεχθήσεσθαι ὑμῖν». ὁ μὲν οὖν ἀνδροφόνος 28
καὶ βλάσφημος τὰ χείριστα παθών, ὡς ἑτέρους διέθηκεν, ἐπὶ

ξένης ἐν τοῖς ὄρεσιν οἰκτίστῳ μόρῳ κατέστρεψε τὸν βίον. παρεκομίζετο δὲ τὸ σῶμα Φίλιππος ὁ σύντροφος αὐτοῦ, ὃς καὶ διευλαβηθεὶς τὸν υἱὸν Ἀντιόχου, πρὸς Πτολεμαῖον τὸν Φιλομήτορα εἰς Αἴγυπτον διεκομίσθη. 29

22 1 Μακκαβαῖος δὲ καὶ οἱ σὺν αὐτῷ, τοῦ Κυρίου προάγοντος αὐτούς, τὸ μὲν ἱερὸν ἐκομίσαντο καὶ τὴν πόλιν, τοὺς δὲ κατὰ τὴν ἀγορὰν βωμοὺς ὑπὸ τῶν ἀλλοφύλων δεδημιουργημένους, ἔτι δὲ τεμένη καθεῖλον. καὶ τὸν νεὼν καθαρίσαντες ἕτερον θυσιαστήριον ἐποίησαν καὶ πυρώσαντες λίθους καὶ πῦρ ἐκ τούτων λαβόντες, ἀνήνεγκαν θυσίαν μετὰ διετῆ χρόνον καὶ θυμίαμα καὶ λύχνους καὶ τῶν ἄρτων τὴν πρόθεσιν ἐποιήσαντο. ταῦτα δὲ ποιήσαντες ἠξίωσαν τὸν Κύριον πεσόντες ἐπὶ κοιλίαν μηκέτι περιπεσεῖν τοιούτοις κακοῖς, ἀλλ' ἐάν ποτε καὶ ἁμάρτωσιν, ὑπ' αὐτοῦ μετ' ἐπιεικείας παιδεύεσθαι καὶ μὴ βλασφήμοις
2 καὶ βαρβάροις ἔθνεσι παραδίδοσθαι. ἐν ᾗ δὲ ἡμέρᾳ ὁ νεὼς ὑπὸ ἀλλοφύλων ἐβεβηλώθη, συνέβη κατὰ τὴν αὐτὴν ἡμέραν τὸν καθαρισμὸν γενέσθαι τοῦ ναοῦ, τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ αὐτοῦ μηνός, ὅς ἐστι Χασελεῦ. καὶ μετ' εὐφροσύνης ἦγον ἡμέρας ὀκτὼ σκηνωμάτων τρόπον, μνημονεύοντες ὡς πρὸ μικροῦ χρόνου τὴν τῶν σκηνῶν ἑορτὴν ἐν τοῖς ὄρεσι καὶ ἐν τοῖς σπηλαίοις θηρίων τρόπον ἦσαν νεμόμενοι. διὸ θύρσους καὶ κλάδους ὡραίους, ἔτι δὲ φοίνικας ἔχοντες ὕμνους ἀνέφερον
3 τῷ εὐοδώσαντι καθαρισθῆναι τὸν ἑαυτοῦ τόπον. ἐδογμάτισαν δὲ μετὰ κοινοῦ προστάγματος καὶ ψηφίσματος παντὶ τῷ τῶν Ἰουδαίων ἔθνει κατ' ἐνιαυτὸν ἄγειν τάσδε τὰς ἡμέρας. καὶ τὰ μὲν τῆς Ἀντιόχου τοῦ προσαγορευθέντος Ἐπιφανοῦς τελευτῆς οὕτως εἶχε. 1 10 2 5 6 7 8 9

23 1 Νυνὶ δὲ τὰ κατὰ τὸν Εὐπάτορα Ἀντίοχον, υἱὸν δὲ τοῦ ἀσεβοῦς γενόμενον δηλώσομεν, αὐτὰ συντέμνοντες τὰ τῶν πολέμων κακά. αὐτὸς γὰρ παραλαβὼν <τὴν> βασιλείαν ἀνέδειξεν ἐπὶ τῶν πραγμάτων Λυσίαν τινά, Κοίλης δὲ Συρίας καὶ Φοινίκης στρατηγὸν πρώταρχον. Πτολεμαῖος γὰρ ὁ καλούμενος Μάκρων τὸ δίκαιον συντηρεῖν προηγούμενος εἰς τοὺς Ἰουδαίους διὰ τὴν γεγονυῖαν εἰς αὐτοὺς ἀδικίαν ἐπειρᾶτο τὰ πρὸς
2 αὐτοὺς εἰρηνικῶς διεξάγειν. ὅθεν κατηγορούμενος ἀπὸ τῶν φίλων πρὸς τὸν Εὐπάτορα καὶ προδότης παρέκαστα ἀκούων διὰ τὸ τὴν Κύπρον ἐμπιστευθέντα ὑπὸ τοῦ Φιλομήτορος ἐκλιπεῖν καὶ πρὸς Ἀντίοχον τὸν Ἐπιφανῆ ἀναχωρῆσαι μήτ' εὐγενῆ τὴν ἐξουσίαν ἔχων, ὑπ' ἀθυμίας φαρμακεύσας ἑαυτὸν ἐξέλιπε τὸν βίον. 10 11 12 13

24 1 Γοργίας δὲ γενόμενος στρατηγὸς τῶν τόπων ἐξενοτρόφει καὶ παρέκαστα πρὸς τοὺς Ἰουδαίους ἐπολεμοτρόφει. ὁμοῦ δὲ τούτῳ καὶ οἱ Ἰδουμαῖοι ἐγκρατεῖς ἐπικαίρων ὀχυρωμάτων ὄντες ἐγύμναζον τοὺς Ἰουδαίους, καὶ τοὺς φυγαδευθέντας ἀπὸ Ἱεροσολύμων προσλαβόμενοι πολεμοτροφεῖν ἐπεχείρουν. οἱ 14 15 16

δὲ περὶ τὸν Μακκαβαῖον ποιησάμενοι λιτανείαν καὶ ἀξιώσα-
ντες τὸν θεὸν σύμμαχον αὐτοῖς γενέσθαι, ἐπὶ τὰ τῶν Ἰδου-
μαίων ὀχυρώματα ὥρμησαν, οἷς καὶ προσβαλόντες εὐρώστως 17
ἐγκρατεῖς ἐγένοντο τῶν τόπων πάντας τε τοὺς ἐπὶ τῷ τείχει
μαχομένους ἠμύναντο κατέσφαζόν τε τοὺς ἐμπίπτοντας, ἀνεῖ-
2 λον δὲ οὐχ ἧττον τῶν δισμυρίων. συμφυγόντων δὲ οὐκ ἔλατ- 18
τον τῶν ἑνακισχιλίων εἰς δύο πύργους ὀχυροὺς εὖ μάλα καὶ
πάντα τὰ πρὸς πολιορκίαν ἔχοντας, ὁ Μακκαβαῖος εἰς ἐπείγο- 19
ντας τόπους ἀπολιπὼν Σίμωνα καὶ Ἰώσηφον, ἔτι δὲ καὶ Ζακ-
χαῖον καὶ τοὺς σὺν αὐτῷ ἱκανοὺς πρὸς τὴν τούτων πολιορ-
3 κίαν, αὐτὸς ἐχωρίσθη. οἱ δὲ περὶ τὸν Σίμωνα φιλαργυρήσα- 20
ντες ὑπό τινων τῶν ἐν τοῖς πύργοις ἐπείσθησαν ἀργυρίῳ· ἑ-
πτάκις δὲ μυρίας δραχμὰς λαβόντες εἴασάν τινας διαρρυῆναι.
προσαγγελθέντος δὲ τῷ Μακκαβαίῳ περὶ τοῦ γεγονότος, συ- 21
ναγαγὼν τοὺς ἡγουμένους τοῦ λαοῦ κατηγόρησεν ὡς ἀργυ-
ρίου πεπράκασι τοὺς ἀδελφούς, τοὺς πολεμίους κατ' αὐτῶν ἀ-
πολύσαντες. τούτους μὲν οὖν προδότας γενομένους ἀπέκτεινε 22
καὶ παραχρῆμα τοὺς δύο πύργους κατελάβετο. τοῖς δὲ ὅπλοις 23
τὰ πάντα ἐν ταῖς χερσὶν εὐοδούμενος ἀπώλεσεν ἐν τοῖς δυσὶν
ὀχυρώμασι πλείους τῶν δισμυρίων.

25 1 Τιμόθεος δὲ ὁ πρότερον ἡττηθεὶς ὑπὸ τῶν Ἰουδαίων συ- 24
ναγαγὼν ξένας δυνάμεις παμπληθεῖς καὶ τοὺς τῆς Ἀσίας γε-
νομένους ἵππους συναθροίσας οὐκ ὀλίγους, παρῆν ὡς δορυά-
λωτον ληψόμενος τὴν Ἰουδαίαν. οἱ δὲ περὶ τὸν Μακκαβαῖον 25
συνεγγίζοντος αὐτοῦ, πρὸς ἱκετείαν τοῦ θεοῦ ἐτράπησαν γῇ
τὰς κεφαλὰς καταπάσαντες καὶ τὰς ὀσφύας σάκκοις ζώσα-
ντες, ἐπὶ τὴν ἀπέναντι τοῦ θυσιαστηρίου κρηπῖδα προσπεσό- 26
ντες, ἠξίουν ἵλεων αὐτοῖς γενόμενον ἐχθρεῦσαι τοῖς ἐχθροῖς
αὐτῶν καὶ ἀντικεῖσθαι τοῖς ἀντικειμένοις, καθὼς ὁ Νόμος δια-
2 σαφεῖ. γενόμενοι δὲ ἀπὸ τῆς δεήσεως, ἀναλαβόντες τὰ ὅπλα 27
προῆγον ἀπὸ τῆς πόλεως ἐπὶ πλεῖον· συνεγγίσαντες δὲ τοῖς
πολεμίοις ἐφ' ἑαυτῶν ἦσαν. ἄρτι δὲ τῆς ἀνατολῆς διαδεχομέ- 28
νης προσέβαλον ἑκάτεροι, οἱ μὲν ἔγγυον ἔχοντες εὐημερίας
καὶ νίκης μετ' ἀρετῆς τὴν ἐπὶ τὸν Κύριον καταφυγήν, οἱ δὲ κα-
θηγεμόνα τῶν ἀγώνων ταττόμενοι τὸν θυμόν. γενομένης δὲ 29
καρτερᾶς μάχης, ἐφάνησαν τοῖς ὑπεναντίοις ἐξ οὐρανοῦ ἐφ'
ἵππων χρυσοχαλίνων ἄνδρες πέντε διαπρεπεῖς καὶ ἀφηγούμε-
νοι τῶν Ἰουδαίων, οἳ καὶ τὸν Μακκαβαῖον μέσον λαβόντες καὶ 30
σκεπάζοντες ταῖς ἑαυτῶν πανοπλίαις ἄτρωτον διεφύλαττον,
εἰς δὲ τοὺς ὑπεναντίους τοξεύματα καὶ κεραυνοὺς ἐξερρίπτουν· διὸ συγχυθέντες ἀορασίᾳ κατεκόπτοντο ταραχῆς πε-
πληρωμένοι. κατεσφάγησαν δὲ δισμύριοι πρὸς τοῖς πεντακο- 31
σίοις, ἱππεῖς δὲ ἑξακόσιοι. αὐτὸς δὲ ὁ Τιμόθεος συνέφυγεν εἰς 32
Γάζαρα λεγόμενον ὀχύρωμα, εὖ μάλα φρούριον, στρατηγοῦ-
26 1 ντος ἐκεῖ Χαιρέου. οἱ δὲ περὶ τὸν Μακκαβαῖον ἄσμενοι περιε- 33

κάθισαν τὸ φρούριον ἡμέρας τέσσαρας. οἱ δὲ ἔνδον τῇ ἐρυμνό- 34
τητι τοῦ τόπου πεποιθότες ὑπεράγαν ἐβλασφήμουν καὶ λόγους
ἀθεμίτους προΐεντο. ὑποφαινούσης δὲ τῆς πέμπτης ἡμέρας, εἴ- 35
κοσι νεανίαι τῶν περὶ τὸν Μακκαβαῖον πυρωθέντες τοῖς θυ-
μοῖς διὰ τὰς βλασφημίας, προσβαλόντες τῷ τείχει ἀρρενωδῶς
καὶ θηριώδει θυμῷ τὸν ἐμπίπτοντα ἔκοπτον. ἕτεροι δὲ ὁμοίως 36
προσαναβάντες ἐν τῷ περισπασμῷ πρὸς τοὺς ἔνδον, ἐνεπί-
μπρων τοὺς πύργους καὶ πυρὰς ἀνάψαντες ζῶντας τοὺς βλα-
2 σφήμους κατέκαιον. οἱ δὲ τὰς πύλας διέκοπτον, εἰσδεξάμενοι
δὲ τὴν λοιπὴν τάξιν προκατελάβοντο τὴν πόλιν, καὶ τὸν Τιμό- 37
θεον ἀποκεκρυμμένον ἔν τινι λάκκῳ κατέσφαξαν καὶ τὸν τού-
του ἀδελφὸν Χαιρέαν καὶ τὸν Ἀπολλοφάνη. ταῦτα δὲ διαπρα- 38
ξάμενοι μεθ' ὕμνων καὶ ἐξομολογήσεων εὐλόγουν τῷ Κυρίῳ
τῷ μεγάλως εὐεργετοῦντι τὸν Ἰσραὴλ καὶ τὸ νῖκος αὐτοῖς δι-
δόντι.

27 1 Μετ' ὀλίγον δὲ παντελῶς χρόνον Λυσίας ἐπίτροπος τοῦ **11**
βασιλέως καὶ συγγενὴς καὶ ἐπὶ τῶν πραγμάτων λίαν βαρέως
φέρων ἐπὶ τοῖς γεγονόσι, συναθροίσας περὶ τὰς ὀκτὼ μυριά- 2
δας καὶ τὴν ἵππον πᾶσαν, παρεγένετο ἐπὶ τοὺς Ἰουδαίους λο-
γιζόμενος τὴν μὲν πόλιν Ἕλλησιν οἰκητήριον ποιήσειν, τὸ δὲ 3
ἱερὸν ἀργυρολόγητον, καθὼς τὰ λοιπὰ τῶν ἐθνῶν τεμένη,
πρατὴν δὲ τὴν ἀρχιερωσύνην κατ' ἔτος ποιήσειν, οὐδαμῶς ἐ- 4
πιλογιζόμενος τὸ τοῦ θεοῦ κράτος, πεφρενωμένος δὲ ταῖς μυ-
ριάσι τῶν πεζῶν καὶ ταῖς χιλιάσι τῶν ἱππέων καὶ τοῖς ἐλέφασι
2 τοῖς ὀγδοήκοντα. εἰσελθὼν δὲ εἰς τὴν Ἰουδαίαν καὶ συνεγγί- 5
σας Βεθσούρᾳ, ὄντι μὲν ἐρυμνῷ χωρίῳ, ἀπὸ δὲ Ἱεροσολύμων
ἀπέχοντι ὡσεὶ σταδίους πέντε, τοῦτο ἔθλιβεν. ὡς δὲ μετέλα- 6
βον οἱ περὶ τὸν Μακκαβαῖον πολιορκοῦντα αὐτὸν τὰ ὀχυρώμα-
τα, μετ' ὀδυρμῶν καὶ δακρύων ἱκέτευον σὺν τοῖς ὄχλοις τὸν
Κύριον ἀγαθὸν ἄγγελον ἀποστεῖλαι πρὸς σωτηρίαν τῷ Ἰσ-
ραήλ. αὐτὸς δὲ πρῶτος ὁ Μακκαβαῖος ἀναλαβὼν τὰ ὅπλα προ- 7
ετρέψατο τοὺς ἄλλους, ἅμα αὐτῷ διακινδυνεύοντας ἐπιβοηθεῖν
τοῖς ἀδελφοῖς αὐτῶν· ὁμοῦ δὲ καὶ προθύμως ἐξώρμησαν. αὐ- 8
τόθι δὲ καὶ πρὸς τοῖς Ἱεροσολύμοις ὄντων, ἐφάνη προηγούμε-
νος αὐτῶν ἔφιππος ἐν λευκῇ ἐσθῆτι, πανοπλίαν χρυσῆν κρα-
3 δαίνων. ὁμοῦ δὲ πάντες εὐλόγησαν τὸν ἐλεήμονα θεὸν καὶ ἐ- 9
περρώσθησαν ταῖς ψυχαῖς, οὐ μόνον ἀνθρώπους ἀλλὰ καὶ θῆ-
ρας τοὺς ἀγριωτάτους καὶ σιδηρᾶ τείχη τιτρώσκειν ὄντες ἕτοι-
μοι, προῆγον ἐν διασκευῇ τὸν ἀπ' οὐρανοῦ σύμμαχον ἔχοντες, 10
ἐλεήσαντος αὐτοὺς τοῦ Κυρίου. λεοντηδὸν δὲ ἐντινάξαντες εἰς 11
τοὺς πολεμίους κατέστρωσαν αὐτοὺς χιλίους πρὸς τοῖς μυ-
ρίοις, ἱππεῖς δὲ ἑξακοσίους πρὸς τοῖς χιλίοις· τοὺς δὲ πάντας
ἠνάγκασαν φυγεῖν. οἱ πλείονες δὲ αὐτῶν τραυματίαι γυμνοὶ 12
διεσώθησαν, καὶ αὐτὸς δὲ ὁ Λυσίας αἰσχρῶς φεύγων διεσώ-
4 θη. οὐκ ἄνους δὲ ὑπάρχων, πρὸς ἑαυτὸν ἀντιβάλλων τὸ γεγο- 13

νὸς περὶ ἑαυτὸν ἐλάσσωμα καὶ συννοήσας ἀνικήτους εἶναι
τοὺς Ἑβραίους, τοῦ πάντα δυναμένου θεοῦ συμμαχοῦντος αὐ-
τοῖς, προσαποστείλας ἔπεισε συλλύσεσθαι ἐπὶ πᾶσι τοῖς δι- 14
καίοις, καὶ διότι καὶ τὸν βασιλέα πείσειν φίλον αὐτοῖς ἀναγκά-
ζειν γενέσθαι. ἐπένευσε δὲ ὁ Μακκαβαῖος ἐπὶ πᾶσιν, οἷς ὁ Λυ- 15
σίας παρεκάλει, τοῦ συμφέροντος φροντίζων· ὅσα γὰρ ὁ Μακ-
καβαῖος ἐπέδωκε τῷ Λυσίᾳ διὰ γραπτῶν περὶ τῶν Ἰουδαίων,
28 1 συνεχώρησεν ὁ βασιλεύς. ἦσαν γὰρ αἱ γεγραμμέναι τοῖς Ἰου- 16
δαίοις ἐπιστολαί, παρὰ μὲν Λυσίου περιέχουσαι τὸν τρόπον
τοῦτον· «Λυσίας τῷ πλήθει τῶν Ἰουδαίων χαίρειν. Ἰωάννης 17
καὶ Ἀβεσσαλὼμ οἱ πεμφθέντες παρ' ὑμῶν, ἐπιδόντες τὸν ὑπο-
γεγραμμένον χρηματισμόν, ἠξίουν περὶ τῶν δι' αὐτοῦ σημαι-
νομένων. ὅσα μὲν οὖν ἔδει καὶ τῷ βασιλεῖ προσενεχθῆναι, διε- 18
σάφησα· ἃ δὲ ἦν ἐνδεχόμενα, συνεχώρησεν. ἐὰν μὲν οὖν συ- 19
ντηρήσητε τὴν εἰς τὰ πράγματα εὔνοιαν, καὶ εἰς τὸ λοιπὸν πει-
ράσομαι παραίτιος ὑμῖν ἀγαθῶν γενέσθαι. ὑπὲρ δὲ τῶν κατὰ 20
μέρος ἐντέταλμαι τούτοις τε καὶ τοῖς παρ' ἐμοῦ διαλεχθῆναι ὑ-
μῖν. ἔρρωσθε. ἔτους ἑκατοστοῦ τεσσαρακοστοῦ ὀγδόου, Διο- 21
σκορινθίου τετράδι καὶ εἰκάδι».

2 Ἡ δὲ τοῦ βασιλέως ἐπιστολὴ περιεῖχεν οὕτω· «Βασιλεὺς 22
Ἀντίοχος τῷ ἀδελφῷ Λυσίᾳ χαίρειν. τοῦ πατρὸς ἡμῶν εἰς θε- 23
οὺς μεταστάντος, βουλόμενοι τοὺς ἐκ τῆς βασιλείας ἀταρά-
χους ὄντας γενέσθαι πρὸς τὴν τῶν ἰδίων ἐπιμέλειαν, ἀκηκοό- 24
τες τοὺς Ἰουδαίους μὴ συνευδοκοῦντας τῇ τοῦ πατρὸς ἐπὶ τὰ
ἑλληνικὰ μεταθέσει, ἀλλὰ τὴν ἑαυτῶν ἀγωγὴν αἱρετίζοντας καὶ
διὰ τοῦτο ἀξιοῦντας συγχωρηθῆναι αὐτοῖς τὰ νόμιμα αὐτῶν·
αἱρούμενοι οὖν καὶ τοῦτο τὸ ἔθνος ἐκτὸς ταραχῆς εἶναι, κρίνο- 25
μεν τό τε ἱερὸν αὐτοῖς ἀποκατασταθῆναι καὶ πολιτεύεσθαι κα-
τὰ τὰ ἐπὶ τῶν προγόνων αὐτῶν ἔθη. εὖ οὖν ποιήσεις διαπεμ- 26
ψάμενος πρὸς αὐτοὺς καὶ δοὺς δεξιάς, ὅπως εἰδότες τὴν ἡμε-
τέραν προαίρεσιν εὔθυμοί τε ὦσι καὶ ἡδέως διαγίνωνται πρὸς
τὴν τῶν ἰδίων ἀντίληψιν».

3 Πρὸς δὲ τὸ ἔθνος ἡ τοῦ βασιλέως ἐπιστολὴ τοιαύτη ἦν· 27
«Βασιλεὺς Ἀντίοχος τῇ γερουσίᾳ τῶν Ἰουδαίων καὶ τοῖς ἄλ-
λοις Ἰουδαίοις χαίρειν. εἰ ἔρρωσθε, εἴη ἂν ὡς βουλόμεθα· καὶ 28
αὐτοὶ δὲ ὑγιαίνομεν. ἐνεφάνισεν ἡμῖν ὁ Μενέλαος βούλεσθαι 29
κατελθόντας ὑμᾶς γίνεσθαι πρὸς τοῖς ἰδίοις. τοῖς οὖν καταπο- 30
ρευομένοις μέχρι τριακάδος Ξανθικοῦ ὑπάρξει δεξιὰ μετὰ τῆς
ἀδείας χρῆσθαι τοὺς Ἰουδαίους τοῖς ἑαυτῶν δαπανήμασι καὶ 31
νόμοις, καθὰ καὶ τὸ πρότερον, καὶ οὐδεὶς αὐτῶν κατ' οὐδένα
τρόπον παρενοχληθήσεται περὶ τῶν ἠγνοημένων. πέπομφα δὲ 32
καὶ τὸν Μενέλαον παρακαλέσοντα ὑμᾶς. ἔρρωσθε. ἔτους ἑκα- 33
τοστοῦ τεσσαρακοστοῦ ὀγδόου, Ξανθικοῦ πέμπτῃ καὶ δεκάτῃ».

29 1 Ἔπεμψαν δὲ καὶ οἱ Ῥωμαῖοι πρὸς αὐτοὺς ἐπιστολὴν ἔχου- 34

σαν οὕτω· «Κόιντος Μέμμιος, Τίτος Μάνλιος, πρεσβῦται ‘Ρω-
μαίων, τῷ δήμῳ τῶν Ἰουδαίων χαίρειν. ὑπὲρ ὧν Λυσίας ὁ 35
συγγενὴς τοῦ βασιλέως συνεχώρησεν ὑμῖν, καὶ ἡμεῖς συνευ-
δοκοῦμεν. ἃ δὲ ἔκρινε προσανενεχθῆναι τῷ βασιλεῖ, πέμψατέ 36
τινα παραχρῆμα ἐπισκεψάμενοι περὶ τούτων, ἵνα ἐκθῶμεν ὡς
2 καθήκει ὑμῖν· ἡμεῖς γὰρ προσάγομεν πρὸς Ἀντιόχειαν. διὸ 37
σπεύσατε καὶ πέμψατέ τινας, ὅπως καὶ ἡμεῖς ἐπιγνῶμεν ὁ-
ποίας ἐστὲ γνώμης. ὑγιαίνετε. ἔτους ἑκατοστοῦ τεσσαρακο- 38
στοῦ ὀγδόου, Ξανθικοῦ πέμπτῃ καὶ δεκάτῃ».

30 1 Γενομένων τῶν συνθηκῶν τούτων, ὁ μὲν Λυσίας ἀπῄει **12**
πρὸς τὸν βασιλέα, οἱ δὲ Ἰουδαῖοι περὶ τὴν γεωργίαν ἐγίνοντο.
τῶν δὲ κατὰ τόπον στρατηγῶν Τιμόθεος καὶ Ἀπολλώνιος ὁ 2
τοῦ Γενναίου, ἔτι δὲ Ἱερώνυμος καὶ Δημοφῶν, πρὸς δὲ τού-
τοις Νικάνωρ ὁ Κυπριάρχης οὐκ εἴων αὐτοὺς εὐσταθεῖς καὶ
2 τὰ τῆς ἡσυχίας ἄγειν. Ἰοππῖται δὲ τηλικοῦτο συνετέλεσαν τὸ 3
δυσσέβημα· παρακαλέσαντες τοὺς σὺν αὐτοῖς οἰκοῦντας Ἰου-
δαίους ἐμβῆναι εἰς τὰ παρασταθέντα ὑπ’ αὐτῶν σκάφη σὺν γυ-
ναιξὶ καὶ τέκνοις ὡς μηδεμιᾶς ἐνεστώσης πρὸς αὐτοὺς δυσμε-
νείας, κατὰ δὲ τὸ κοινὸν τῆς πόλεως ψήφισμα, καὶ τούτων ἐπι- 4
δεξαμένων ὡς ἂν εἰρηνεύειν θελόντων καὶ μηδὲν ὕποπτον ἐχό-
ντων, ἐπαναχθέντας αὐτοὺς ἐβύθισαν ὄντας οὐκ ἔλαττον τῶν
3 διακοσίων. μεταλαβὼν δὲ Ἰούδας τὴν γεγονυῖαν εἰς τοὺς ὁμο- 5
εθνεῖς ὠμότητα, παραγγείλας τοῖς περὶ αὐτὸν ἀνδράσι καὶ ἐπι- 6
καλεσάμενος τὸν δίκαιον κριτὴν θεόν, παρεγένετο ἐπὶ τοὺς
μιαιοφόνους τῶν ἀδελφῶν· καὶ τὸν μὲν λιμένα νύκτωρ ἐνέπρη-
σε καὶ τὰ σκάφη κατέφλεξε, τοὺς δὲ ἐκεῖ συμφυγόντας ἐξεκέ-
ντησε. τοῦ δὲ χωρίου συγκλεισθέντος, ἀνέλυσεν ὡς πάλιν ἥ- 7
4 ξων καὶ τὸ σύμπαν τῶν Ἰοππιτῶν ἐκριζῶσαι πολίτευμα. μετα- 8
λαβὼν δὲ καὶ τοὺς ἐν Ἰαμνείᾳ τὸν αὐτὸν ἐπιτελεῖν βουλομέ-
νους τρόπον τοῖς παροικοῦσιν Ἰουδαίοις, καὶ τοῖς Ἰαμνίταις 9
νυκτὸς ἐπιβαλὼν ὑφῆψε τὸν λιμένα σὺν τῷ στόλῳ, ὥστε φαί-
νεσθαι τὰς αὐγὰς τοῦ φέγγους εἰς τὰ Ἱεροσόλυμα, σταδίων ὄ-
ντων διακοσίων τεσσαράκοντα.

31 1 Ἐκεῖθεν δὲ ἀποσπασθέντων σταδίους ἐννέα, ποιουμένων 10
τὴν πορείαν ἐπὶ τὸν Τιμόθεον, προσέβαλον Ἄραβες αὐτῷ οὐκ
ἐλάττους τῶν πεντακισχιλίων, ἱππεῖς δὲ πεντακόσιοι. γενομέ- 11
νης δὲ καρτερᾶς μάχης καὶ τῶν περὶ τὸν Ἰούδαν διὰ τὴν παρὰ
τοῦ θεοῦ βοήθειαν εὐημερησάντων, ἐλαττωθέντες οἱ νομάδες
Ἄραβες ἠξίουν δοῦναι τὸν Ἰούδαν δεξιὰν αὐτοῖς, ὑπισχνούμε-
νοι καὶ βοσκήματα δώσειν καὶ ἐν τοῖς λοιποῖς ὠφελήσειν αὐ-
2 τούς. Ἰούδας δὲ ὑπολαβὼν ὡς ἀληθῶς ἐν πολλοῖς αὐτοὺς 12
χρησίμους, ἐπεχώρησεν εἰρήνην ἄξειν πρὸς αὐτούς· καὶ λαβό-
ντες δεξιὰς εἰς τὰς σκηνὰς αὐτῶν ἐχωρίσθησαν.

32 1 Ἐπέβαλε δὲ καὶ ἐπί τινα πόλιν γεφυροῦν ὀχυρὰν καὶ τείχε- 13
σι περιπεφραγμένην καὶ παμμιγέσιν ἔθνεσι κατοικουμένην, ὅ-

νομα δὲ Κάσπιν. οἱ δ' ἔνδον πεποιθότες τῇ τῶν τειχέων ἐρυ- 14
μνότητι τῇ τε τῶν βρωμάτων παραθέσει, ἀναγωγότερον ἐχρῶ-
ντο τοῖς περὶ τὸν Ἰούδαν λοιδοροῦντες καὶ προσέτι βλασφη-
2 μοῦντες καὶ λαλοῦντες ἃ μὴ θέμις. οἱ δὲ περὶ τὸν Ἰούδαν ἐπι- 15
καλεσάμενοι τὸν μέγαν τοῦ κόσμου δυνάστην, τὸν ἄτερ κριῶν
καὶ μηχανῶν ὀργανικῶν κατακρημνίσαντα τὴν Ἰεριχὼ κατὰ
τοὺς Ἰησοῦ χρόνους, ἐνέσεισαν θηριωδῶς τῷ τείχει. καταλα- 16
βόμενοί τε τὴν πόλιν τῇ τοῦ θεοῦ θελήσει, ἀμυθήτους ἐποιήσα-
ντο σφαγάς, ὥστε τὴν παρακειμένην λίμνην, τὸ πλάτος ἔχου-
σαν σταδίων δύο, κατάρρυτον αἵματι πεπληρωμένην φαίνε-
σθαι.

33 1 Ἐκεῖθεν δὲ ἀποσπάσαντες σταδίους ἑπτακοσίους πεντή- 17
κοντα διήνυσαν εἰς τὸν Χάρακα πρὸς τοὺς λεγομένους Τουβι-
ηνοὺς Ἰουδαίους. καὶ Τιμόθεον μὲν ἐπὶ τῶν τόπων οὐ κατέλα- 18
βον, ἄπρακτόν τε ἀπὸ τῶν τόπων ἐκλελυκότα, καταλελοιπότα
δὲ φρουρὰν ἔν τινι τόπῳ καὶ μάλα ὀχυράν. Δοσίθεος δὲ καὶ 19
Σωσίπατρος τῶν περὶ τὸν Μακκαβαῖον ἡγεμόνων ἐξοδεύσα-
ντες ἀπώλεσαν τοὺς ὑπὸ Τιμοθέου καταλειφθέντας ἐν τῷ ὀχυ-
2 ρώματι πλείους τῶν μυρίων ἀνδρῶν. ὁ δὲ Μακκαβαῖος διατά- 20
ξας τὴν ἑαυτοῦ στρατιὰν σπειρηδόν, κατέστησεν αὐτοὺς ἐπὶ
τῶν σπειρῶν καὶ ἐπὶ τὸν Τιμόθεον ὥρμησεν ἔχοντα περὶ αὐ-
τὸν μυριάδας δώδεκα πεζῶν, ἱππεῖς δὲ χιλίους πρὸς τοῖς πε-
ντακοσίοις. τὴν δὲ ἔφοδον μεταλαβὼν Ἰούδα, ὁ Τιμόθεος προ- 21
σεξαπέστειλε τὰς γυναῖκας καὶ τὰ τέκνα καὶ τὴν ἄλλην ἀπο-
σκευὴν εἰς τὸ λεγόμενον Καρνίον· ἦν γὰρ δυσπολιόρκητον καὶ
δυσπρόσιτον τὸ χωρίον διὰ τὴν πάντων τῶν τόπων στενότη-
3 τα. ἐπιφανείσης δὲ τῆς Ἰούδα σπείρας πρώτης καὶ γενομένου 22
δέους ἐπὶ τοὺς πολεμίους, φόβου τε ἐκ τῆς τοῦ πάντα ἐφορῶ-
ντος ἐπιφανείας γενομένου ἐπ' αὐτούς, εἰς φυγὴν ὥρμησαν
ἄλλος ἀλλαχῇ φερόμενος, ὥστε πολλάκις ὑπὸ τῶν ἰδίων βλά-
πτεσθαι καὶ ταῖς τῶν ξιφῶν ἀκμαῖς ἀναπείρεσθαι. ἐποιεῖτο δὲ 23
τὸν διωγμὸν εὐτονώτερον Ἰούδας συγκεντῶν τοὺς ἀλιτηρίους
4 διέφθειρέ τε εἰς μυριάδας τρεῖς ἀνδρῶν. αὐτὸς δὲ ὁ Τιμόθεος 24
ἐμπεσὼν τοῖς περὶ τὸν Δοσίθεον καὶ Σωσίπατρον, ἠξίου μετὰ
πολλῆς γοητείας ἐξαφεῖναι σῷον αὐτὸν διὰ τὸ πλειόνων μὲν
γονεῖς, ὧν δὲ ἀδελφοὺς ἔχειν καὶ τούτους ἀλογηθῆναι συμβή-
σεται, εἰ ἀποθάνοι. πιστώσαντος δὲ αὐτοῦ διὰ πλειόνων τὸν ὁ- 25
ρισμὸν ἀποκαταστήσειν τούτους ἀπημάντους, ἀπέλυσαν αὐ-
τὸν ἕνεκα τῆς τῶν ἀδελφῶν σωτηρίας.

34 1 Ἐξελθὼν δὲ ἐπὶ τὸ Καρνίον καὶ τὸ Ἀταργατεῖον κατέσφα- 26
ξε μυριάδας σωμάτων δύο καὶ πεντακισχιλίους. μετὰ δὲ τὴν 27
τούτων τροπὴν καὶ ἀπώλειαν ἐπεστράτευσεν Ἰούδας καὶ ἐπὶ
Ἐφρὼν πόλιν ὀχυράν, ἐν ᾗ κατῴκει Λυσίας καὶ πάμφυλα πλή-
θη· νεανίαι δὲ πρὸ τῶν τειχῶν καθεστῶτες ῥωμαλέοι ἀπεμάχο-
ντο εὐρώστως, ἔνθα δὲ ὀργάνων καὶ βελῶν πολλαὶ παραθέ-

σεις ὑπῆρχον ἐπικαλεσάμενοι τὸν δυνάστην τὸν μετὰ κράτους 28
συντρίβοντα τὰς τῶν πολεμίων ἀλκάς, ἔλαβον τὴν πόλιν ὑπο-
χείριον καὶ κατέστρωσαν τῶν ἔνδον εἰς μυριάδας δύο καὶ πε-
2 ντακισχιλίους. ἀναζεύξαντες δὲ ἐκεῖθεν ὥρμησαν ἐπὶ Σκυθῶν 29
πόλιν ἀπέχουσαν ἀπὸ Ἱεροσολύμων σταδίους ἑξακοσίους. ἀ-
πομαρτυρησάντων δὲ τῶν ἐκεῖ κατοικούντων Ἰουδαίων, ἣν οἱ 30
Σκυθοπολῖται ἔσχον πρὸς αὐτοὺς εὔνοιαν καὶ ἐν τοῖς τῆς ἀτυ-
χίας καιροῖς, ἥμερον ἀπάντησιν ἐποιοῦντο. εὐχαριστήσαντες 31
αὐτοῖς καὶ προσπαρακαλέσαντες καὶ εἰς τὰ λοιπὰ πρὸς τὸ γέ-
νος εὐμενεῖς εἶναι, παρεγένοντο εἰς Ἱεροσόλυμα τῆς τῶν ἑ-
βδομάδων ἑορτῆς οὔσης ὑπογύου.

35 1 Μετὰ δὲ τὴν λεγομένην Πεντηκοστὴν ὥρμησαν ἐπὶ Γορ- 32
γίαν τὸν τῆς Ἰδουμαίας στρατηγόν. ἐξῆλθε δὲ μετὰ πεζῶν τρι- 33
σχιλίων, ἱππέων δὲ τετρακοσίων, καὶ παραταξαμένων συνέβη 34
πεσεῖν ὀλίγους τῶν Ἰουδαίων. Δοσίθεος δέ τις τῶν τοῦ Βακή- 35
νορος, ἔφιππος ἀνὴρ καὶ καρτερός, εἴχετο τοῦ Γοργίου καὶ λα-
βόμενος τῆς χλαμύδος ἦγεν αὐτὸν εὐρώστως καὶ βουλόμενος
τὸν κατάρατον λαβεῖν ζωγρίαν, τῶν ἱππέων Θρᾳκῶν τινος ἐ-
πενεχθέντος αὐτῷ καὶ τὸν ὦμον καθελόντος διέφυγεν ὁ Γορ-
2 γίας εἰς Μαρισά. τῶν δὲ περὶ τὸν Ἔσδριν ἐπὶ πλεῖον μαχομέ- 36
νων καὶ κατακόπων ὄντων, ἐπικαλεσάμενος ὁ Ἰούδας τὸν Κύ-
ριον σύμμαχον φανῆναι καὶ προοδηγὸν τοῦ πολέμου, καταρξά- 37
μενος τῇ πατρίῳ φωνῇ τὴν μεθ' ὕμνων κραυγήν, ἀναβοήσας
καὶ ἐνσείσας ἀπροσδοκήτως τοῖς περὶ τὸν Γοργίαν, τροπὴν
αὐτῶν ἐποιήσατο.

36 1 Ἰούδας δὲ ἀναλαβὼν τὸ στράτευμα ἦγεν εἰς Ὀδολλὰμ πό- 38
λιν· τῆς δὲ ἑβδομάδος ἐπιβαλλούσης, κατὰ τὸν ἐθισμὸν ἁγνι-
σθέντες αὐτόθι τὸ σάββατον διήγαγον. τῇ δὲ ἐχομένῃ ἦλθον οἱ 39
περὶ τὸν Ἰούδαν καθ' ὃν τρόπον τὸ τῆς χρείας ἐγεγόνει, τὰ
τῶν προπεπτωκότων σώματα ἀνακομίσασθαι καὶ μετὰ τῶν
συγγενῶν ἀποκαταστῆσαι εἰς τοὺς πατρῴους τάφους. εὗρον 40
δὲ ἑκάστου τῶν τεθνηκότων ὑπὸ τοὺς χιτῶνας ἱερώματα τῶν
ἀπὸ Ἰαμνείας εἰδώλων, ἀφ' ὧν ὁ νόμος ἀπείργει τοὺς Ἰου-
δαίους· τοῖς δὲ πᾶσι σαφὲς ἐγένετο διὰ τήνδε τὴν αἰτίαν τούσ-
2 δε πεπτωκέναι. πάντες οὖν εὐλογήσαντες τὰ τοῦ δικαιοκρίτου 41
Κυρίου τοῦ τὰ κεκρυμμένα φανερὰ ποιοῦντος, εἰς ἱκετείαν ἐ- 42
τράπησαν ἀξιώσαντες τὸ γεγονὸς ἁμάρτημα τελείως ἐξαλει-
φθῆναι. ὁ δὲ γενναῖος Ἰούδας παρεκάλεσε τὸ πλῆθος συντη-
ρεῖν ἑαυτοὺς ἀναμαρτήτους εἶναι, ὑπ' ὄψιν ἑωρακότας τὰ γε-
3 γονότα διὰ τὴν τῶν προπεπτωκότων ἁμαρτίαν. ποιησάμενός 43
τε κατ' ἀνδραλογίαν κατασκευάσματα εἰς ἀργυρίου δραχμὰς
δισχιλίας, ἀπέστειλεν εἰς Ἱεροσόλυμα προσαγαγεῖν περὶ ἁμαρ-
τίας θυσίαν, πάνυ καλῶς καὶ ἀστείως πράττων ὑπὲρ ἀναστά-
σεως διαλογιζόμενος· εἰ γὰρ μὴ τοὺς προπεπτωκότας ἀναστῆ- 44
ναι προσεδόκα, περισσὸν ἂν ἦν καὶ ληρῶδες ὑπὲρ νεκρῶν

προσεύχεσθαι. εἶτ' ἐμβλέπων τοῖς μετ' εὐσεβείας κοιμωμένοις 45
κάλλιστον ὑποκείμενον χαριστήριον, ὁσία καὶ εὐσεβὴς ἡ ἐπί-
νοια· ὅθεν περὶ τῶν τεθνηκότων τὸν ἐξιλασμὸν ἐποιήσαντο
τῆς ἁμαρτίας ἀπολυθῆναι.

37 1 Τῷ δὲ ἐνάτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει προ- **13**
σέπεσε τοῖς περὶ τὸν Ἰούδαν Ἀντίοχον τὸν Εὐπάτορα παραγε-
νέσθαι σὺν πλήθεσιν ἐπὶ τὴν Ἰουδαίαν καὶ σὺν αὐτῷ Λυσίαν 2
τὸν ἐπίτροπον καὶ ἐπὶ τῶν πραγμάτων, ἕκαστον ἔχοντα δύνα-
μιν Ἑλληνικὴν πεζῶν μυριάδας ἕνδεκα καὶ ἱππεῖς πεντακισχι-
λίους τριακοσίους καὶ ἐλέφαντας εἰκοσιδύο, ἅρματα δὲ δρεπα-
νηφόρα τριακόσια. καὶ Μενέλαος δὲ συνέμιξεν αὐτοῖς καὶ πα- 3
ρεκάλει μετὰ πολλῆς εἰρωνείας τὸν Ἀντίοχον, οὐκ ἐπὶ σωτη-
ρίᾳ τῆς πατρίδος, οἰόμενος δὲ ἐπὶ τῆς ἀρχῆς κατασταθήσε-
2 σθαι. ὁ δὲ βασιλεὺς τῶν βασιλέων ἐξήγειρε τὸν θυμὸν τοῦ Ἀ- 4
ντιόχου ἐπὶ τὸν ἀλιτήριον, καὶ Λυσίου ὑποδείξαντος τοῦτον
αἴτιον εἶναι πάντων τῶν κακῶν, προσέταξεν, ὡς ἔθος ἐστὶν ἐν
τῷ τόπῳ, προσαπολέσαι ἀγαγόντας αὐτὸν εἰς Βέροιαν. ἔστι δὲ 5
ἐν τῷ τόπῳ πύργος πεντήκοντα πηχῶν πλήρης σποδοῦ, οὗ-
τος δὲ ὄργανον εἶχε περιφερὲς πάντοθεν ἀπόκρημνον εἰς τὴν
σποδόν. ἐνταῦθα τὸν ἱεροσυλίας ἔνοχον ὄντα ἢ καί τινων ἄλ- 6
λων κακῶν ὑπεροχὴν πεποιημένον ἅπαντες προσωθοῦσιν εἰς
ὄλεθρον. τοιούτῳ μόρῳ τὸν παράνομον συνέβη θανεῖν, μηδὲ 7
τῆς γῆς τυχόντα Μενέλαον, πάνυ δικαίως. ἐπεὶ γὰρ συνετελέ- 8
σατο πολλὰ περὶ τὸν βωμὸν ἁμαρτήματα, οὗ τὸ πῦρ ἁγνὸν ἦν
καὶ ἡ σποδός, ἐν σποδῷ τὸν θάνατον ἐκομίσατο.

38 1 Τοῖς δὲ φρονήμασιν ὁ βασιλεὺς βεβαρβαρωμένος ἤρχετο 9
τὰ χείριστα τῶν ἐπὶ τοῦ πατρὸς αὐτοῦ γεγονότων ἐνδειξόμε-
νος τοῖς Ἰουδαίοις. μεταλαβὼν δὲ Ἰούδας ταῦτα παρήγγειλε 10
τῷ πλήθει δι' ἡμέρας καὶ νυκτὸς ἐπικαλεῖσθαι τὸν Κύριον, εἴ-
ποτε ἄλλοτε καὶ νῦν ἐπιβοηθεῖν τοῖς τοῦ νόμου καὶ πατρίδος
καὶ ἱεροῦ ἁγίου στερεῖσθαι μέλλουσι καὶ τὸν ἄρτι βραχέως ἀ- 11
νεψυχότα λαὸν μὴ ἐᾶσαι τοῖς δυσφήμοις ἔθνεσιν ὑποχειρίους
2 γενέσθαι. πάντων δὲ τὸ αὐτὸ ποιησάντων ὁμοῦ καὶ καταξιω- 12
σάντων τὸν ἐλεήμονα Κύριον μετὰ κλαυθμοῦ καὶ νηστειῶν καὶ
προπτώσεως ἐφ' ἡμέρας τρεῖς ἀδιαλείπτως, παρακαλέσας αὐ-
τοὺς ὁ Ἰούδας ἐκέλευσε παραγίνεσθαι. καθ' ἑαυτὸν δὲ σὺν 13
τοῖς πρεσβυτέροις γενόμενος ἐβουλεύσατο, πρὶν εἰσβαλεῖν
τοῦ βασιλέως τὸ στράτευμα εἰς τὴν Ἰουδαίαν καὶ γενέσθαι τῆς
πόλεως ἐγκρατεῖς, ἐξελθόντας κρῖναι τὰ πράγματα τῇ τοῦ Κυ-
ρίου βοηθείᾳ. δοὺς δὲ τὴν ἐπιτροπὴν τῷ κτίστῃ τοῦ κόσμου, 14
παρακαλέσας τοὺς σὺν αὐτῷ γενναίως ἀγωνίσασθαι μέχρι θα-
νάτου περὶ νόμων, περὶ ἱεροῦ, πόλεως, πατρίδος, πολιτείας, ἐ-
3 ποιήσατο περὶ Μωδεΐν τὴν στρατοπεδείαν. δοὺς δὲ τοῖς περὶ 15
αὐτὸν σύνθεμα «Θεοῦ νίκη», μετὰ νεανίσκων ἀρίστων κεκρι-
μένων ἐπιβαλὼν νύκτωρ ἐπὶ τὴν βασιλικὴν αὐλήν, ἐν τῇ πα-

ρεμβολῇ ἀνεῖλεν εἰς ἄνδρας τετρακισχιλίους καὶ τὸν πρωτεύο-
ντα τῶν ἐλεφάντων σὺν τῷ κατ' οἰκίαν ὄχλῳ συνέθηκε καὶ τὸ 16
τέλος τὴν παρεμβολὴν δέους καὶ ταραχῆς ἐπλήρωσαν καὶ ἐξέ-
λυσαν εὐημεροῦντες· ὑποφαινούσης δὲ ἤδη τῆς ἡμέρας τοῦτο 17
ἐγεγόνει διὰ τὴν ἐπαρήγουσαν αὐτῷ τοῦ Κυρίου σκέπην.

39 1 Ὁ δὲ βασιλεὺς εἰληφὼς γεῦσιν τῆς τῶν Ἰουδαίων εὐτολ- 18
μίας, κατεπείρασε διὰ μεθόδων τοὺς τόπους. καὶ ἐπὶ Βεθσούρᾳ 19
φρούριον ὀχυρὸν τῶν Ἰουδαίων προσῆγε καὶ ἐτροποῦτο,
προσέκρουεν, ἠλαττονοῦτο· τοῖς δὲ ἔνδον Ἰούδας τὰ δέοντα 20
εἰσέπεμψε. προσήγγειλε δὲ τὰ μυστήρια τοῖς πολεμίοις Ῥόδο- 21
κος ἐκ τῆς Ἰουδαϊκῆς τάξεως· ἀνεζητήθη δὲ καὶ κατελήφθη
καὶ κατεκλείσθη. ἐδευτερολόγησεν ὁ βασιλεὺς τοῖς ἐν Βεθσούρᾳ 22
δεξιὰν ἔδωκεν, ἔλαβεν, ἀπῄει, προσέβαλε τοῖς περὶ τὸν Ἰού-
δαν, ἥττων ἐγένετο, μετέλαβεν ἀπονενοῆσθαι τὸν Φίλιππον ἐν 23
Ἀντιοχείᾳ τὸν ἀπολελειμμένον ἐπὶ τῶν πραγμάτων, συνεχύθη,
τοὺς Ἰουδαίους παρεκάλεσεν, ὑπετάγη καὶ ὤμοσεν ἐπὶ πᾶσι
τοῖς δικαίοις, συνελύθη καὶ θυσίαν προσήγαγεν, ἐτίμησε τὸν
νεὼ καὶ τὸν τόπον ἐφιλανθρώπησε καὶ τὸν Μακκαβαῖον ἀπεδέ- 24
2 ξατο. κατέλιπε στρατηγὸν ἀπὸ Πτολεμαΐδος ἕως τῶν Γερρη-
νῶν Ἡγεμονίδην. ἦλθεν εἰς Πτολεμαΐδα· ἐδυσφόρουν περὶ 25
τῶν συνθηκῶν οἱ Πτολεμαεῖς, ἐδείναζον γὰρ ὑπὲρ ὧν ἠθέλη-
σαν ἀθετεῖν τὰς διαστάλσεις. προσῆλθεν ἐπὶ τὸ βῆμα Λυσίας, 26
ἀπελογήσατο ἐνδεχομένως, συνέπεισε, κατεπράυνεν, εὐμενεῖς
ἐποίησεν, ἀνέζευξεν εἰς Ἀντιόχειαν. οὕτω τὰ τοῦ βασιλέως
τῆς ἐφόδου καὶ τῆς ἀναζυγῆς ἐχώρησε.

40 1 Μετὰ δὲ τριετῆ χρόνον προσέπεσε τοῖς περὶ τὸν Ἰούδαν **14**
Δημήτριον τὸν τοῦ Σελεύκου διὰ τοῦ κατὰ Τρίπολιν λιμένος εἰ-
σπλεύσαντα μετὰ πλήθους ἰσχυροῦ καὶ στόλου κεκρατηκέναι 2
τῆς χώρας ἐπανελόμενον Ἀντίοχον καὶ τὸν τούτου ἐπίτροπον
Λυσίαν. Ἄλκιμος δέ τις προγενόμενος ἀρχιερεύς, ἑκουσίως 3
δὲ μεμολυμμένος ἐν τοῖς τῆς ἐπιμιξίας χρόνοις, συννοήσας ὅτι
καθ' ὁντιναοῦν τρόπον οὐκ ἔστιν αὐτῷ σωτηρία, οὐδὲ πρὸς ἅ-
γιον θυσιαστήριον ἔτι πρόσοδος, ἧκε πρὸς τὸν βασιλέα Δημή- 4
τριον πρώτῳ καὶ πεντηκοστῷ καὶ ἑκατοστῷ ἔτει προάγων αὐ-
τῷ στέφανον χρυσοῦν καὶ φοίνικα, πρὸς δὲ τούτοις τῶν νομι-
ζομένων θαλλῶν τοῦ ἱεροῦ, καὶ τὴν ἡμέραν ἐκείνην ἡσυχίαν ἔ-
2 σχε. καιρὸν δὲ λαβὼν τῆς ἰδίας ἀνοίας συνεργόν, προσκληθεὶς 5
εἰς συνέδριον ὑπὸ τοῦ Δημητρίου καὶ ἐπερωτηθεὶς ἐν τίνι δια-
θέσει καὶ βουλῇ καθεστήκασιν οἱ Ἰουδαῖοι, πρὸς ταῦτα ἔφη·
Οἱ λεγόμενοι τῶν Ἰουδαίων Ἀσιδαῖοι, ὧν ἀφηγεῖται Ἰούδας ὁ 6
Μακκαβαῖος, πολεμοτροφοῦσι καὶ στασιάζουσιν, οὐκ ἐῶντες
τὴν βασιλείαν εὐσταθείας τυχεῖν. ὅθεν ἀφελόμενος τὴν προγο- 7
νικὴν δόξαν, λέγω δὴ τὴν ἀρχιερωσύνην, δεῦρο νῦν ἐλήλυθα,
πρῶτον μὲν ὑπὲρ τῶν ἀνηκόντων τῷ βασιλεῖ γνησίως φρο- 8
νῶν, δεύτερον δὲ καὶ τῶν ἰδίων πολιτῶν στοχαζόμενος· τῇ

μὲν γὰρ τῶν προειρημένων ἀλογιστίᾳ τὸ σύμπαν ἡμῶν γένος
οὐ μικρῶς ἀκληρεῖ. ἕκαστα δὲ τούτων ἐπεγνωκὼς σύ, βασι- 9
λεῦ, καὶ τῆς χώρας καὶ τοῦ περιισταμένου γένους ἡμῶν προ-
νοήθητι, καθ' ἣν ἔχεις πρὸς ἅπαντας εὐαπάντητον φιλανθρω-
πίαν. ἄχρι γὰρ Ἰούδας περίεστιν, ἀδύνατον εἰρήνης τυχεῖν τὰ 10
3 πράγματα. τοιούτων δὲ ῥηθέντων ὑπὸ τούτου, θᾶττον οἱ λοι- 11
ποὶ φίλοι δυσμενῶς ἔχοντες τὰ πρὸς τὸν Ἰούδαν προσεπύρω-
σαν τὸν Δημήτριον. προσκαλεσάμενος δὲ εὐθέως Νικάνορα 12
τὸν γενόμενον ἐλεφαντάρχην, καὶ στρατηγὸν ἀναδείξας τῆς
Ἰουδαίας, ἐξαπέστειλε δοὺς ἐντολὰς αὐτὸν μὲν τὸν Ἰούδαν ἐ- 13
πανελέσθαι, τοὺς δὲ σὺν αὐτῷ σκορπίσαι, καταστῆσαι δὲ Ἄλ-
κιμον ἀρχιερέα τοῦ μεγίστου ἱεροῦ. οἱ δὲ ἐπὶ τῆς Ἰουδαίας πε- 14
φυγαδευκότες τὸν Ἰούδαν ἔθνη συνέμισγον ἀγεληδὸν τῷ Νι-
κάνορι, τὰς τῶν Ἰουδαίων ἀτυχίας καὶ συμφορὰς ἰδίας εὐημε-
ρίας δοκοῦντες ἔσεσθαι.

41 1 Ἀκούσαντες δὲ τὴν τοῦ Νικάνορος ἔφοδον καὶ τὴν ἐπίθε- 15
σιν τῶν ἐθνῶν, καταπασάμενοι γῆν ἐλιτάνευον τὸν ἄχρι αἰῶ-
νος συστήσαντα τὸν ἑαυτοῦ λαόν, ἀεὶ δὲ μετ' ἐπιφανείας ἀντι-
λαμβανόμενον τῆς ἑαυτοῦ μερίδος. προτάξαντος δὲ τοῦ ἡγου- 16
μένου ἐκεῖθεν εὐθέως ἀνέζευξαν καὶ συμμίσγουσιν αὐτοῖς ἐπὶ
κώμην Δεσσαού. Σίμων δὲ ὁ ἀδελφὸς Ἰούδα συμβεβληκὼς ἦν 17
τῷ Νικάνορι, βραχέως δὲ διὰ τὴν αἰφνίδιον τῶν ἀντιπάλων ἀ-
2 φασίαν ἐπταικώς. ὅμως δὲ ἀκούων ὁ Νικάνωρ ἦν εἶχον οἱ πε- 18
ρὶ τὸν Ἰούδαν ἀνδραγαθίαν καὶ ἐν τοῖς ὑπὲρ τῆς πατρίδος ἀ-
γῶσιν εὐψυχίαν, ὑπευλαβεῖτο τὴν κρίσιν δι' αἱμάτων ποιήσα-
σθαι. διόπερ ἔπεμψε Ποσειδώνιον καὶ Θεόδοτον καὶ Ματτα- 19
θίαν δοῦναι καὶ λαβεῖν δεξιάς. πλείονος δὲ γενομένης περὶ 20
τούτων ἐπισκέψεως καὶ τοῦ ἡγεμόνος τοῖς πλήθεσιν ἀνακοι-
νωσαμένου καὶ φανείσης ὁμοψήφου γνώμης, ἐπένευσαν ταῖς
συνθήκαις. ἐτάξαντο δὲ ἡμέραν, ἐν ᾗ κατ' ἰδίαν ἥξουσιν εἰς τὸ 21
αὐτό· καὶ προῆλθε καὶ παρ' ἑκάστου διαφόρους ἔθεσαν δί- 22
φρους· διέταξεν Ἰούδας ἐνόπλους ἑτοίμους ἐν τοῖς ἐπικαίροις
τόποις, μή ποτε ἐκ τῶν πολεμίων αἰφνιδίως κακουργία γένη-
3 ται· τὴν ἁρμόζουσαν ἐποιήσαντο κοινολογίαν. διέτριβε δὲ ὁ 23
Νικάνωρ ἐν Ἱεροσολύμοις, καὶ ἔπραττεν οὐθὲν ἄτοπον, τοὺς
δὲ συναχθέντας ἀγελαίους ὄχλους ἀπέλυσε. καὶ εἶχε τὸν Ἰού- 24
δαν διαπαντὸς ἐν προσώπῳ, ψυχικῶς τῷ ἀνδρὶ προσεκέκλιτο.
παρεκάλεσεν αὐτὸν γῆμαι καὶ παιδοποιήσασθαι· ἐγάμησεν, εὐ- 25
στάθησεν, ἐκοινώνησε βίου.

42 1 Ὁ δὲ Ἄλκιμος συνιδὼν τὴν πρὸς ἀλλήλους εὔνοιαν καὶ 26
τὰς γενομένας συνθήκας, ἀναλαβὼν ἦκε πρὸς τὸν Δημήτριον
καὶ ἔλεγε τὸν Νικάνορα ἀλλότρια φρονεῖν τῶν πραγμάτων·
τὸν γὰρ ἐπίβουλον τῆς βασιλείας Ἰούδαν διάδοχον ἀναδέδει-
χεν ἑαυτοῦ. ὁ δὲ βασιλεὺς ἔκθυμος γενόμενος καὶ ταῖς τοῦ πα- 27
μπονήρου ἐρεθισθεὶς διαβολαῖς, ἔγραψε Νικάνορι φάσκων ὑ-

πὲρ μὲν τῶν συνθηκῶν βαρέως φέρειν, κελεύων δὲ τὸν Μακ-
καβαῖον δέσμιον ἐξαποστέλλειν ταχέως εἰς Ἀντιόχειαν. προ- 28
σπεσόντων δὲ τούτων τῷ Νικάνορι συνεκέχυτο καὶ δυσφό-
ρως ἔφερεν, εἰ τὰ διεσταλμένα ἀθετήσει μηδὲν τοῦ ἀνδρὸς ἠδι-
κηκότος. ἐπεὶ δὲ τῷ βασιλεῖ ἀντιπράττειν οὐκ ἦν, εὔκαιρον ἐ- 29
2 τήρει στρατηγήματι τοῦτ' ἐπιτελέσαι. ὁ δὲ Μακκαβαῖος αὐστη- 30
ρότερον διεξάγοντα συνιδὼν τὸν Νικάνορα πρὸς αὐτὸν καὶ
τὴν εἰθισμένην ἀπάντησιν ἀγροικότερον ἐσχηκότα, νοήσας
οὐκ ἀπὸ τοῦ βελτίστου τὴν αὐστηρίαν εἶναι, συστρέψας οὐκ ὀ-
λίγους τῶν περὶ ἑαυτόν, συνεκρύπτετο τὸν Νικάνορα. συγ- 31
γνοὺς δὲ ὁ ἕτερος ὅτι γενναίως ἀπὸ τοῦ ἀνδρὸς ἐστρατήγη-
ται, παραγενόμενος ἐπὶ τὸ μέγιστον καὶ ἅγιον ἱερόν, τῶν ἱερέ-
ων τὰς καθηκούσας θυσίας προσαγόντων, ἐκέλευσε παραδι-
δόναι τὸν ἄνδρα. τῶν δὲ μεθ' ὅρκων φασκόντων μὴ γινώσκειν 32
ποῦ ποτ' ἐστὶν ὁ ζητούμενος, προτείνας τὴν δεξιὰν εἰς τὸν 33
νεὼ ταῦτα ὤμοσε· Ἐὰν μὴ δέσμιόν μοι τὸν Ἰούδαν παραδῶτε,
τόνδε τοῦ θεοῦ σηκὸν εἰς πεδίον ποιήσω καὶ τὸ θυσιαστήριον
κατασκάψω καὶ ἱερὸν ἐνταῦθα τῷ Διονύσῳ ἐπιφανὲς ἀναστή-
3 σω. τοσαῦτα δὲ εἰπὼν ἀπῆλθεν. οἱ δὲ ἱερεῖς προτείναντες τὰς 34
χεῖρας εἰς τὸν οὐρανόν, ἐπεκαλοῦντο τὸν διαπαντὸς ὑπέρμα-
χον τοῦ ἔθνους ἡμῶν ταῦτα λέγοντες· Σὺ Κύριε, τῶν ὅλων ἀ- 35
προσδεὴς ὑπάρχων, εὐδόκησας ναὸν τῆς σῆς κατασκηνώσε-
ως ἐν ἡμῖν γενέσθαι. καὶ νῦν ἅγιε παντὸς ἁγιασμοῦ Κύριε, δια- 36
τήρησον εἰς αἰῶνα ἀμίαντον τόνδε τὸν προσφάτως κεκαθαρι-
σμένον οἶκον.

43 1 Ῥαζὶς δέ τις τῶν ἀπὸ Ἱεροσολύμων πρεσβυτέρων ἐμηνύ- 37
θη τῷ Νικάνορι, ἀνὴρ φιλοπολίτης καὶ σφόδρα καλῶς ἀκούων
καὶ κατὰ τὴν εὔνοιαν πατὴρ τῶν Ἰουδαίων προσαγορευόμε-
νος. ἦν γὰρ ἐν τοῖς ἔμπροσθεν χρόνοις τῆς ἀμιξίας κρίσιν εἰ- 38
σενηνεγμένος ἰουδαϊσμοῦ, καὶ σῶμα καὶ ψυχὴν ὑπὲρ τοῦ ἰου-
δαϊσμοῦ παραβεβλημένος μετὰ πάσης ἐκτενίας. βουλόμενος δὲ 39
Νικάνωρ πρόδηλον ποιῆσαι, ἣν εἶχε πρὸς τοὺς Ἰουδαίους δυ-
σμένειαν, ἀπέστειλε στρατιώτας ὑπὲρ τοὺς πεντακοσίους συλ-
λαβεῖν αὐτόν· ἔδοξε γὰρ ἐκεῖνον συλλαβὼν τούτοις ἐργάσα- 40
2 σθαι συμφοράν. τῶν δὲ πληθῶν μελλόντων τὸν πύργον κατα- 41
λαβέσθαι καὶ τὴν αὐλαίαν θύραν βιαζομένων καὶ κελευόντων
πῦρ προσάγειν καὶ τὰς θύρας ὑφάπτειν, περικατάληπτος γενό-
μενος ὑπέθηκεν ἑαυτῷ ξίφος, εὐγενῶς θέλων ἀποθανεῖν ἤπερ 42
τοῖς ἀλιτηρίοις ὑποχείριος γενέσθαι καὶ τῆς ἰδίας εὐγενείας ἀ-
ναξίως ὑβρισθῆναι. τῇ δὲ πληγῇ μὴ κατευθικτήσας διὰ τὴν τοῦ 43
ἀγῶνος σπουδὴν καὶ τῶν ὄχλων εἴσω τῶν θυρωμάτων εἰσβα-
λόντων, ἀναδραμὼν γενναίως ἐπὶ τὸ τεῖχος, κατεκρήμνισεν ἑ-
αυτὸν ἀνδρείως εἰς τοὺς ὄχλους. τῶν δὲ ταχέως ἀναποδισά- 44
3 ντων γενομένου διαστήματος ἦλθε κατὰ μέσον τὸν κενεῶνα. ἔ- 45
τι δὲ ἔμπνους ὑπάρχων καὶ πεπυρωμένος τοῖς θυμοῖς, ἐξανα-

στὰς φερομένων κρουνηδὸν τῶν αἱμάτων καὶ δυσχερῶν ὄ-
ντων τῶν τραυμάτων, δρόμῳ τοὺς ὄχλους διελθὼν καὶ στὰς ἐ-
πί τινος πέτρας ἀπορρωγάδος, παντελῶς ἔξαιμος ἤδη γενόμε- 46
νος, προβαλὼν τὰ ἔντερα καὶ λαβὼν ἑκατέραις ταῖς χερσίν, ἐ-
νέσεισε τοῖς ὄχλοις καὶ ἐπικαλεσάμενος τὸν δεσπόζοντα τῆς
ζωῆς καὶ τοῦ πνεύματος, ταῦτα αὐτῷ πάλιν ἀποδοῦναι, τόνδε
τὸν τρόπον μετήλλαξεν.

44 1 Ὁ δὲ Νικάνωρ μεταλαβὼν τοὺς περὶ τὸν Ἰούδαν ὄντας ἐν **15**
τοῖς κατὰ Σαμάρειαν τόποις, ἐβουλεύσατο τῇ τῆς καταπαύσε-
ως ἡμέρᾳ μετὰ πάσης ἀσφαλείας αὐτοῖς ἐπιβαλεῖν. τῶν δὲ κατ' 2
ἀνάγκην συνεπομένων αὐτῷ Ἰουδαίων λεγόντων Μηδαμῶς
οὕτως ἀγρίως καὶ βαρβάρως ἀπολέσῃς, δόξαν δὲ ἀπομέρισον
τῇ προτετιμημένῃ ὑπὸ τοῦ πάντα ἐφορῶντος μεθ' ἁγιότητος ἡ-
μέρᾳ. ὁ δὲ τρισαλιτήριος ἐπηρώτησεν· Εἰ ἔστιν ἐν οὐρανῷ δυ- 3
νάστης ὁ προστεταχὼς ἄγειν τὴν τῶν σαββάτων ἡμέραν; τῶν 4
δὲ ἀποφηναμένων Ἔστιν ὁ Κύριος ζῶν αὐτὸς ἐν οὐρανῷ δυ-
νάστης ὁ κελεύσας ἀσκεῖν τὴν ἑβδομάδα. ὁ δὲ ἕτερος Κἀγώ, 5
φησί, δυνάστης ἐπὶ τῆς γῆς ὁ προστάσσων αἴρειν ὅπλα καὶ
τὰς βασιλικὰς χρείας ἐπιτελεῖν. ὅμως οὐ κατέσχεν ἐπιτελέσαι
2 τὸ σχέτλιον αὐτοῦ βούλημα. καὶ ὁ μὲν Νικάνωρ μετὰ πάσης ἀ- 6
λαζονείας ὑψαυχενῶν, διεγνώκει κοινὸν τῶν περὶ τὸν Ἰούδαν
συστήσασθαι τρόπαιον. ὁ δὲ Μακκαβαῖος ἦν ἀδιαλείπτως πε- 7
ποιθὼς μετὰ πάσης ἐλπίδος ἀντιλήψεως τεύξασθαι παρὰ τοῦ
Κυρίου καὶ παρεκάλει τοὺς σὺν αὐτῷ μὴ δειλιᾶν τὴν τῶν ἐ- 8
θνῶν ἔφοδον, ἔχοντας δὲ κατὰ νοῦν τὰ προγεγονότα αὐτοῖς
ἀπ' οὐρανοῦ βοηθήματα καὶ τὰ νῦν προσδοκᾶν τὴν παρὰ τοῦ
3 παντοκράτορος ἐσομένην αὐτοῖς νίκην καὶ βοήθειαν. καὶ παρα- 9
μυθούμενος αὐτοὺς ἐκ τοῦ Νόμου καὶ τῶν Προφητῶν, προσυ-
πομνήσας δὲ αὐτοὺς καὶ τοὺς ἀγῶνας, οὓς ἦσαν ἐκτετελεκό-
τες, προθυμοτέρους αὐτοὺς κατέστησε. καὶ τοῖς θυμοῖς διεγεί- 10
ρας αὐτοὺς παρήγγειλεν ἅμα παρεπιδεικνὺς τὴν τῶν ἐθνῶν ἀ-
θεσίαν καὶ τὴν τῶν ὅρκων παράβασιν. ἕκαστον δὲ αὐτῶν κα- 11
θοπλίσας οὐ τὴν ἀσπίδων καὶ λογχῶν ἀσφάλειαν, ὡς τὴν ἐν
τοῖς ἀγαθοῖς λόγοις παράκλησιν, καὶ προσεξηγησάμενος ὄνει-
4 ρον ἀξιόπιστον ὑπέρ τι πάντας εὔφρανεν. ἦν δὲ ἡ τούτου θεω- 12
ρία τοιάδε· Ὀνίαν τὸν γενόμενον ἀρχιερέα ἄνδρα καλὸν καὶ ἀ-
γαθόν, αἰδήμονα μὲν τὴν ἀπάντησιν, πρᾷον δὲ τὸν τρόπον καὶ
λαλιὰν προϊέμενον πρεπόντως καὶ ἐκ παιδὸς ἐκμεμελετηκότα
πάντα τὰ τῆς ἀρετῆς οἰκεῖα, τοῦτον τὰς χεῖρας προτείναντα
κατεύχεσθαι τῷ παντὶ τῶν Ἰουδαίων συστήματι. εἶθ' οὕτως ἐ- 13
πιφανῆναι ἄνδρα πολιᾷ καὶ δόξῃ διαφέροντα, θαυμαστὴν δέ τι-
να καὶ μεγαλοπρεπεστάτην εἶναι τὴν περὶ αὐτὸν ὑπεροχήν. ἀ- 14
ποκριθέντα δὲ τὸν Ὀνίαν εἰπεῖν· Ὁ φιλάδελφος οὗτός ἐστιν ὁ
πολλὰ προσευχόμενος περὶ τοῦ λαοῦ καὶ τῆς ἁγίας πόλεως Ἱε-
ρεμίας ὁ τοῦ θεοῦ προφήτης. προτείναντα δὲ τὸν Ἱερεμίαν τὴν 15

δεξιὰν παραδοῦναι τῷ Ἰούδᾳ ῥομφαίαν χρυσῆν, διδόντα δὲ
προσφωνῆσαι τάδε· Λάβε τὴν ἁγίαν ῥομφαίαν δῶρον παρὰ 16
5 τοῦ θεοῦ, δι' ἧς θραύσεις τοὺς ὑπεναντίους. παρακληθέντες 17
δὲ τοῖς Ἰούδα λόγοις πάνυ καλοῖς καὶ δυναμένοις ἐπ' ἀρετὴν
παρορμῆσαι καὶ ψυχὰς νέων ἐπανορθῶσαι, διέγνωσαν μὴ
στρατοπεδεύεσθαι, γενναίως δὲ ἐμφέρεσθαι καὶ μετὰ πάσης
εὐανδρίας ἐμπλακέντες κρῖναι τὰ πράγματα, διὰ τὸ καὶ τὴν πό-
λιν καὶ τὰ ἅγια καὶ τὸ ἱερὸν κινδυνεύειν. ἦν γὰρ ὁ περὶ γυναι- 18
κῶν καὶ τέκνων, ἔτι δὲ ἀδελφῶν καὶ συγγενῶν ἐν ἥττονι μέρει
κείμενος αὐτοῖς ἀγών, μέγιστος δὲ καὶ πρῶτος ὁ περὶ τοῦ κα-
6 θηγιασμένου ναοῦ φόβος. ἦν δὲ καὶ τοῖς ἐν τῇ πόλει κατειλημ- 19
μένοις οὐ πάρεργος ἀγωνία ταρασσομένοις τῆς ἐν ὑπαίθρῳ
προσβολῆς. καὶ πάντων ἤδη προσδοκώντων τὴν ἐσομένην 20
κρίσιν καὶ ἤδη συμμιξάντων τῶν πολεμίων καὶ τῆς στρατιᾶς ἐ-
κταγείσης καὶ τῶν θηρίων ἐπὶ μέρος εὔκαιρον ἀποκατασταθέ-
ντων τῆς τε ἵππου κατὰ κέρας τεταγμένης, συνιδὼν ὁ Μακκα- 21
βαῖος τὴν τῶν πληθῶν παρουσίαν καὶ τῶν ὅπλων τὴν ποικίλην
παρασκευὴν τήν τε τῶν θηρίων ἀγριότητα, προτείνας τὰς χεῖ-
ρας εἰς τὸν οὐρανὸν ἐπεκαλέσατο τὸν τερατοποιὸν Κύριον,
τὸν κατόπτην, γινώσκων ὅτι οὐκ ἔστι δι' ὅπλων ἡ νίκη, καθὼς
7 δὲ ἂν αὐτῷ κριθείη, τοῖς ἀξίοις περιποιεῖται τὴν νίκην. ἔλεγε 22
δὲ ἐπικαλούμενος τόνδε τὸν τρόπον· «Σὺ Δέσποτα, ἀπέστει-
λας τὸν ἄγγελόν σου ἐπὶ Ἐζεκίου τοῦ βασιλέως τῆς Ἰουδαίας
καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς Σενναχηρὶμ εἰς ἑκατὸν ὀγδοή-
κοντα πέντε χιλιάδας· καὶ νῦν, δυνάστα τῶν οὐρανῶν, ἀπό- 23
στειλον ἄγγελον ἀγαθὸν ἔμπροσθεν ἡμῶν εἰς δέος καὶ τρόμον· 24
μεγέθει βραχίονός σου καταπλαγείησαν οἱ μετὰ βλασφημίας
παραγενόμενοι ἐπὶ τὸν ἅγιόν σου λαόν». καὶ οὗτος μὲν ἐν τού-
8 τοις ἔληξεν. οἱ δὲ περὶ τὸν Νικάνορα μετὰ σαλπίγγων καὶ 25
παιάνων προσῆλθον. οἱ δὲ περὶ τὸν Ἰούδαν μετ' ἐπικλήσεως 26
καὶ εὐχῶν συνέμιξαν τοῖς πολεμίοις. καὶ ταῖς μὲν χερσὶν ἀγω- 27
νιζόμενοι, ταῖς δὲ καρδίαις πρὸς τὸν θεὸν εὐχόμενοι κατέ-
στρωσαν οὐδὲν ἧττον μυριάδων τριῶν καὶ πεντακισχιλίων, τῇ
τοῦ θεοῦ μεγάλως εὐφρανθέντες ἐπιφανείᾳ. γενόμενοι δὲ ἀπὸ 28
τῆς χρείας καὶ μετὰ χαρᾶς ἀναλύοντες, ἐπέγνωσαν προπεπτω-
κότα Νικάνορα σὺν τῇ πανοπλίᾳ. γενομένης δὲ κραυγῆς καὶ 29
9 ταραχῆς, εὐλόγουν τὸν δυνάστην τῇ πατρίῳ φωνῇ. καὶ προσέ- 30
ταξεν ὁ καθ' ἅπαν σώματι καὶ ψυχῇ πρωταγωνιστὴς ὑπὲρ τῶν
πολιτῶν, ὁ τὴν τῆς ἡλικίας εὔνοιαν εἰς ὁμοεθνεῖς διαφυλάξας,
τὴν τοῦ Νικάνορος κεφαλὴν ἀποτεμόντας καὶ τὴν χεῖρα σὺν
τῷ ὤμῳ φέρειν εἰς Ἱεροσόλυμα. παραγενόμενος δὲ ἐκεῖ καὶ 31
συγκαλέσας τοὺς ὁμοεθνεῖς καὶ τοὺς ἱερεῖς πρὸ τοῦ θυσιαστη-
ρίου στήσας, μετεπέμψατο τοὺς ἐκ τῆς ἄκρας. καὶ ἐπιδειξάμε- 32
νος τὴν τοῦ μιαροῦ Νικάνορος κεφαλὴν καὶ τὴν χεῖρα τοῦ δυ-
σφήμου, ἣν ἐκτείνας ἐπὶ τὸν ἅγιον τοῦ παντοκράτορος οἶκον

ἐμεγαλαύχησε, καὶ τὴν γλῶσσαν τοῦ δυσσεβοῦς Νικάνορος ἐ- 33
κτεμὼν ἔφη κατὰ μέρος δώσειν τοῖς ὀρνέοις, τὰ δὲ ἐπίχειρα
10 τῆς ἀνοίας κατέναντι τοῦ ναοῦ κρεμάσαι. οἱ δὲ πάντες εἰς τὸν 34
οὐρανὸν εὐλόγησαν τὸν ἐπιφανῆ Κύριον λέγοντες· Εὐλογητὸς
ὁ διατηρήσας τὸν ἑαυτοῦ τόπον ἀμίαντον. ἐξέδησε δὲ τὴν τοῦ 35
Νικάνορος κεφαλὴν ἐκ τῆς ἄκρας ἐπίδηλον πᾶσι καὶ φανερὸν
τῆς τοῦ Κυρίου βοηθείας σημεῖον. καὶ ἐδογμάτισαν πάντες με- 36
τὰ κοινοῦ ψηφίσματος μηδαμῶς ἐᾶσαι ἀπαρασήμαντον τήνδε
τὴν ἡμέραν, ἔχειν δὲ ἐπίσημον τὴν τρισκαιδεκάτην τοῦ δωδε-
κάτου μηνός –Ἀδὰρ λέγεται τῇ συριακῇ φωνῇ– πρὸ μιᾶς ἡμέ-
ρας τῆς μαρδοχαϊκῆς ἡμέρας.

45 1 Τῶν οὖν κατὰ Νικάνορα χωρησάντων οὕτω καὶ ἀπ' ἐκεί- 37
νων τῶν καιρῶν κρατηθείσης τῆς πόλεως ὑπὸ τῶν Ἑβραίων,
καὶ αὐτὸς αὐτόθι καταπαύσω τὸν λόγον. καὶ εἰ μὲν καλῶς καὶ 38
εὐθίκτως τῇ συντάξει, τοῦτο καὶ αὐτὸς ἤθελον· εἰ δὲ εὐτελῶς
2 καὶ μετρίως, τοῦτο ἐφικτὸν ἦν μοι. καθάπερ γὰρ οἶνον κατὰ 39
μόνας πίνειν, ὡσαύτως δὲ καὶ ὕδωρ πάλιν πολέμιον· ὃν δὲ
τρόπον οἶνος ὕδατι συγκερασθεὶς ἡδὺς καὶ ἐπιτερπῆ τὴν χάριν
ἀποτελεῖ, οὕτω καὶ τὸ τῆς κατασκευῆς τοῦ λόγου τέρπει τὰς
ἀκοὰς τῶν ἐντυγχανόντων τῇ συντάξει. ἐνταῦθα δὲ ἔσται ἡ τε-
λευτή.

6. ΒΙΒΛΟΣ ΤΟΥ ΟΙΚΟΥ ΤΩΝ ΒΑΣΙΛΕΩΝ ΤΟΥ ΘΕΟΥ

Α

1 1 Καὶ ἐγένετο μετὰ τὸ πατάξαι Ἀλέξανδρον τὸν Φιλίππου τὸν Μακεδόνα, ὃς ἐξῆλθεν ἐκ τῆς γῆς Χεττιίμ, καὶ ἐπάταξε τὸν Δαρεῖον βασιλέα Περσῶν καὶ Μήδων καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ πρότερος ἐπὶ τὴν Ἑλλάδα. καὶ συνεστήσατο πολέμους 2 πολλοὺς καὶ ἐκράτησεν ὀχυρωμάτων πολλῶν καὶ ἔσφαξε βασιλεῖς τῆς γῆς· καὶ διῆλθεν ἕως ἄκρων τῆς γῆς καὶ ἔλαβε σκῦ- 3 λα πλήθους ἐθνῶν. καὶ ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ, καὶ ὑψώθη, καὶ ἐπήρθη ἡ καρδία αὐτοῦ. καὶ συνήγαγε δύναμιν 4 ἰσχυρὰν σφόδρα καὶ ἦρξε χωρῶν καὶ ἐθνῶν καὶ τυράννων, καὶ 2 ἐγένοντο αὐτῷ εἰς φόρον. καὶ μετὰ ταῦτα ἔπεσεν ἐπὶ τὴν κοί- 5 την καὶ ἔγνω ὅτι ἀποθνῄσκει. καὶ ἐκάλεσε τοὺς παῖδας αὐτοῦ 6 τοὺς ἐνδόξους τοὺς συντρόφους αὐτοῦ ἀπὸ νεότητος καὶ διεῖλεν αὐτοῖς τὴν βασιλείαν αὐτοῦ ἔτι ζῶντος αὐτοῦ. καὶ ἐβασί- 7 λευσεν Ἀλέξανδρος ἔτη δώδεκα καὶ ἀπέθανε. καὶ ἐπεκράτη- 8 σαν οἱ παῖδες αὐτοῦ ἕκαστος ἐν τῷ τόπῳ αὐτοῦ. καὶ ἐπέθεντο 9 πάντες διαδήματα μετὰ τὸ ἀποθανεῖν αὐτὸν καὶ οἱ υἱοὶ αὐτῶν 3 ὀπίσω αὐτῶν ἔτη πολλὰ καὶ ἐπλήθυναν κακὰ ἐν τῇ γῇ. καὶ ἐ- 10 ξῆλθεν ἐξ αὐτῶν ῥίζα ἁμαρτωλὸς Ἀντίοχος Ἐπιφανής, υἱὸς Ἀντιόχου βασιλέως, ὃς ἦν ὅμηρα ἐν τῇ Ῥώμῃ· καὶ ἐβασίλευσεν ἐν ἔτει ἑκατοστῷ καὶ τριακοστῷ καὶ ἑβδόμῳ βασιλείας Ἑλλήνων.

2 1 Ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθον ἐξ Ἰσραὴλ υἱοὶ παράνο- 11 μοι καὶ ἀνέπεισαν πολλοὺς λέγοντες· Πορευθῶμεν καὶ διαθώμεθα διαθήκην μετὰ τῶν ἐθνῶν τῶν κύκλῳ ἡμῶν, ὅτι ἀφ' ἧς ἐχωρίσθημεν ἀπ' αὐτῶν, εὗρεν ἡμᾶς κακὰ πολλά. καὶ ἠγαθύνθη 12 ὁ λόγος ἐν ὀφθαλμοῖς αὐτῶν, καὶ προεθυμήθησάν τινες ἀπὸ 13 τοῦ λαοῦ, καὶ ἐπορεύθησαν πρὸς τὸν βασιλέα, καὶ ἔδωκεν αὐ- 2 τοῖς ἐξουσίαν ποιῆσαι τὰ δικαιώματα τῶν ἐθνῶν. καὶ ᾠκοδό- 14 μησαν γυμνάσιον ἐν Ἱεροσολύμοις κατὰ τὰ νόμιμα τῶν ἐθνῶν καὶ ἐποίησαν ἑαυτοῖς ἀκροβυστίας καὶ ἀπέστησαν ἀπὸ διαθή- 15 κης ἁγίας καὶ ἐζευγίσθησαν τοῖς ἔθνεσι καὶ ἐπράθησαν τοῦ ποιῆσαι τὸ πονηρόν.

3 1 Καὶ ἡτοιμάσθη ἡ βασιλεία ἐναντίον Ἀντιόχου, καὶ ὑπέλα- 16 βε βασιλεῦσαι τῆς Αἰγύπτου, ὅπως βασιλεύσῃ ἐπὶ τὰς δύο βα-

σιλείας. καὶ εἰσῆλθεν εἰς Αἴγυπτον ἐν ὄχλῳ βαρεῖ, ἐν ἅρμασι 17
καὶ ἐν ἐλέφασι καὶ ἐν ἱππεῦσι καὶ ἐν στόλῳ μεγάλῳ καὶ συνε- 18
στήσαντο πόλεμον πρὸς Πτολεμαῖον βασιλέα Αἰγύπτου· καὶ ἐ-
νετράπη Πτολεμαῖος ἀπὸ προσώπου αὐτοῦ καὶ ἔφυγε, καὶ ἔπε-
σον τραυματίαι πολλοί. καὶ κατελάβοντο τὰς πόλεις τὰς ὀχυ- 19
2 ρὰς ἐν γῇ Αἰγύπτῳ, καὶ ἔλαβε τὰ σκῦλα γῆς Αἰγύπτου. καὶ ἐ- 20
πέστρεψεν Ἀντίοχος μετὰ τὸ πατάξαι Αἴγυπτον ἐν τῷ ἑκατο-
στῷ καὶ τεσσαρακοστῷ καὶ τρίτῳ ἔτει καὶ ἀνέβη ἐπὶ Ἰσραὴλ
καὶ ἀνέβη εἰς Ἰερουσαλὴμ ἐν ὄχλῳ βαρεῖ. καὶ εἰσῆλθον εἰς τὸ 21
ἅγιασμα ἐν ὑπερηφανίᾳ καὶ ἔλαβε τὸ θυσιαστήριον τὸ χρυσοῦν
καὶ τὴν λυχνίαν τοῦ φωτὸς καὶ πάντα τὰ σκεύη αὐτῆς καὶ τὴν 22
τράπεζαν τῆς προθέσεως καὶ τὰ σπονδεῖα καὶ τὰς φιάλας καὶ
τὰς θυΐσκας τὰς χρυσᾶς καὶ τὸ καταπέτασμα καὶ τοὺς στεφά-
νους καὶ τὸν κόσμον τὸν χρυσοῦν τὸν κατὰ πρόσωπον τοῦ να-
οῦ καὶ ἐλέπισε πάντα. καὶ ἔλαβε τὸ ἀργύριον καὶ τὸ χρυσίον 23
καὶ τὰ σκεύη τὰ ἐπιθυμητὰ καὶ ἔλαβε τοὺς θησαυροὺς τοὺς ὑ-
ποκρύφους, οὓς εὗρε· καὶ λαβὼν πάντα ἀπῆλθεν εἰς τὴν γῆν 24
αὐτοῦ. καὶ ἐποίησε φονοκτονίαν καὶ ἐλάλησεν ὑπερηφανίαν
3 μεγάλην. καὶ ἐγένετο πένθος μέγα ἐπὶ Ἰσραὴλ ἐν παντὶ τόπῳ 25
αὐτῶν. καὶ ἐστέναξαν ἄρχοντες καὶ πρεβύτεροι, παρθένοι καὶ 26
νεανίσκοι ἠσθένησαν, καὶ τὸ κάλλος τῶν γυναικῶν ἠλλοιώθη.
πᾶς νυμφίος ἀνέλαβε θρῆνον, καὶ καθημένη ἐν παστῷ ἐγένετο 27
ἐν πένθει. καὶ ἐσείσθη ἡ γῆ ἐπὶ τοὺς κατοικοῦντας αὐτήν, καὶ 28
πᾶς ὁ οἶκος Ἰακὼβ ἐνεδύσατο αἰσχύνην.

4 1 Καὶ μετὰ δύο ἔτη ἡμερῶν ἀπέστειλεν ὁ βασιλεὺς ἄρχοντα 29
φορολογίας εἰς τὰς πόλεις Ἰούδα, καὶ ἦλθεν εἰς Ἰερουσαλὴμ
ἐν ὄχλῳ βαρεῖ. καὶ ἐλάλησεν αὐτοῖς λόγους εἰρηνικοὺς ἐν δό- 30
λῳ, καὶ ἐνεπίστευσαν αὐτῷ. καὶ ἐπέπεσεν ἐπὶ τὴν πόλιν ἐξάπι-
να καὶ ἐπάταξεν αὐτὴν πληγὴν μεγάλην καὶ ἀπώλεσε λαὸν πο-
λὺν ἐξ Ἰσραήλ. καὶ ἔλαβε τὰ σκῦλα τῆς πόλεως καὶ ἐνεπύρι- 31
σεν αὐτὴν πυρὶ καὶ καθεῖλε τοὺς οἴκους αὐτῆς καὶ τὰ τείχη αὐ-
τῆς κύκλῳ. καὶ ᾐχμαλώτευσαν τὰς γυναῖκας καὶ τὰ τέκνα, καὶ 32
2 τὰ κτήνη ἐκληρονόμησαν. καὶ ᾠκοδόμησαν τὴν πόλιν Δαυὶδ 33
τείχει μεγάλῳ καὶ ἰσχυρῷ, πύργοις ὀχυροῖς, καὶ ἐγένετο αὐ-
τοῖς εἰς ἄκραν. καὶ ἔθηκαν ἐκεῖ ἔθνος ἁμαρτωλόν, ἄνδρας πα- 34
ρανόμους, καὶ ἐνίσχυσαν ἐν αὐτῇ. καὶ παρέθεντο ὅπλα καὶ 35
τροφὰς καὶ συναγαγόντες τὰ σκῦλα Ἰερουσαλὴμ ἀπέθεντο ἐ-
κεῖ, καὶ ἐγένοντο εἰς μεγάλην παγίδα. καὶ ἐγένετο εἰς ἔνεδρον 36
τῷ ἁγιάσματι καὶ εἰς διάβολον πονηρὸν τῷ Ἰσραὴλ διαπαντός.
καὶ ἐξέχεαν αἷμα ἀθῷον κύκλῳ τοῦ ἁγιάσματος καὶ ἐμόλυναν 37
3 τὸ ἁγίασμα. καὶ ἔφυγον οἱ κάτοικοι Ἰερουσαλὴμ δι' αὐτούς, 38
καὶ ἐγένετο κατοικία ἀλλοτρίων· καὶ ἐγένετο ἀλλοτρία τοῖς
γεννήμασιν αὐτῆς, καὶ τὰ τέκνα αὐτῆς ἐγκατέλιπον αὐτήν. τὸ 39
ἁγίασμα αὐτῆς ἠρημώθη ὡς ἔρημος, αἱ ἑορταὶ αὐτῆς ἐστράφη-
σαν εἰς πένθος, τὰ σάββατα αὐτῆς εἰς ὀνειδισμόν, ἡ τιμὴ αὐ-

τῆς εἰς ἐξουδένωσιν. κατὰ τὴν δόξαν αὐτῆς ἐπληθύνθη ἡ ἀτι- 40
μία αὐτῆς, καὶ τὸ ὕψος αὐτῆς ἐστράφη εἰς πένθος.

5 1 Καὶ ἔγραψεν ὁ βασιλεὺς Ἀντίοχος πάσῃ τῇ βασιλείᾳ αὐ- 41
τοῦ εἶναι πάντας εἰς λαὸν ἕνα καὶ ἐγκαταλιπεῖν ἕκαστον τὰ νό- 42
μιμα αὐτοῦ. καὶ ἐπεδέξατο πάντα τὰ ἔθνη κατὰ τὸν λόγον τοῦ
βασιλέως. καὶ πολλοὶ ἀπὸ Ἰσραὴλ εὐδόκησαν τῇ λατρείᾳ αὐ- 43
τοῦ καὶ ἔθυσαν τοῖς εἰδώλοις καὶ ἐβεβήλωσαν τὸ σάββατον.
καὶ ἀπέστειλεν ὁ βασιλεὺς βιβλία ἐν χειρὶ ἀγγέλων εἰς Ἱερου- 44
σαλὴμ καὶ τὰς πόλεις Ἰούδα πορευθῆναι ὀπίσω νομίμων ἀλλο-
τρίων τῆς γῆς καὶ κωλῦσαι ὁλοκαυτώματα καὶ θυσίαν καὶ 45
σπονδὴν ἐκ τοῦ ἁγιάσματος καὶ βεβηλῶσαι σάββατα καὶ ἑορ-
τὰς καὶ μιᾶναι ἁγίασμα καὶ ἁγίους, οἰκοδομῆσαι βωμοὺς καὶ 46 47
τεμένη καὶ εἰδωλεῖα καὶ θύειν ὕεια καὶ κτήνη κοινὰ καὶ ἀφιέναι 48
τοὺς υἱοὺς αὐτῶν ἀπεριτμήτους, βδελύξαι τὰς ψυχὰς αὐτῶν
ἐν παντὶ ἀκαθάρτῳ καὶ βεβηλώσει, ὥστε ἐπιλαθέσθαι τοῦ νό- 49
μου καὶ ἀλλάξαι πάντα τὰ δικαιώματα· καὶ ὃς ἂν μὴ ποιήσῃ κα- 50
2 τὰ τὸ ῥῆμα τοῦ βασιλέως, ἀποθανεῖται. κατὰ πάντας τοὺς λό- 51
γους τούτους ἔγραψε πάσῃ τῇ βασιλείᾳ αὐτοῦ καὶ ἐποίησεν ἐ-
πισκόπους ἐπὶ πάντα τὸν λαὸν καὶ ἐνετείλατο ταῖς πόλεσιν
Ἰούδα θυσιάζειν κατὰ πόλιν καὶ πόλιν. καὶ συνηθροίσθησαν ἀ- 52
πὸ τοῦ λαοῦ πρὸς αὐτοὺς πολλοί, πᾶς ὁ ἐγκαταλιπὼν τὸν Νό-
μον, καὶ ἐποίησαν κακὰ ἐν τῇ γῇ· καὶ ἔθεντο τὸν Ἰσραὴλ ἐν 53
κρύφοις ἐν παντὶ φυγαδευτηρίῳ αὐτῶν. καὶ τῇ πεντεκαιδεκάτῃ 54
ἡμέρᾳ Χασελεῦ τῷ πέμπτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ
ἔτει ᾠκοδόμησαν βδέλυγμα ἐρημώσεως ἐπὶ τὸ θυσιαστήριον
καὶ ἐν πόλεσιν Ἰούδα κύκλῳ ᾠκοδόμησαν βωμούς· καὶ ἐπὶ 55
3 τῶν θυρῶν τῶν οἰκιῶν καὶ ἐν ταῖς πλατείαις ἐθυμίων. καὶ τὰ 56
βιβλία τοῦ Νόμου, ἃ εὗρον, ἐνεπύρισαν πυρὶ κατασχίσαντες.
καὶ ὅπου εὑρίσκετο παρά τινι βιβλίον Διαθήκης, καὶ εἴ τις συ- 57
νευδόκει τῷ Νόμῳ, τὸ σύγκριμα τοῦ βασιλέως ἐθανάτου αὐ-
τόν. ἐν ἰσχύι αὐτῶν ἐποίουν οὕτω τῷ Ἰσραὴλ τοῖς εὑρισκομέ- 58
νοις ἐν παντὶ μηνὶ καὶ μηνὶ ἐν ταῖς πόλεσι. καὶ τῇ πέμπτῃ καὶ 59
εἰκάδι τοῦ μηνὸς θυσιάζοντες ἐπὶ τὸν βωμόν, ὃς ἦν ἐπὶ τοῦ θυ-
σιαστηρίου. καὶ τὰς γυναῖκας τὰς περιτετμηκυίας τὰ τέκνα αὐ- 60
τῶν ἐθανάτωσαν κατὰ τὸ πρόσταγμα καὶ ἐκρέμασαν τὰ βρέφη 61
ἐκ τῶν τραχήλων αὐτῶν, καὶ τοὺς οἴκους αὐτῶν προενόμευ-
4 σαν καὶ τοὺς περιτετμηκότας αὐτοὺς ἐθανάτωσαν. καὶ πολλοὶ 62
ἐν Ἰσραὴλ ἐκραταιώθησαν καὶ ὠχυρώθησαν ἐν ἑαυτοῖς τοῦ μὴ
φαγεῖν κοινὰ καὶ ἐπελέξαντο ἀποθανεῖν, ἵνα μὴ μιανθῶσι τοῖς 63
βρώμασι καὶ μὴ βεβηλώσωσι διαθήκην ἁγίαν, καὶ ἀπέθανον.
καὶ ἐγένετο ὀργὴ μεγάλη ἐπὶ Ἰσραὴλ σφόδρα. 64

6 1 Ἐν ταῖς ἡμέραις ἐκείναις ἀνέστη Ματταθίας υἱὸς Ἰωάννου **2**
τοῦ Συμεὼν ἱερεὺς τῶν υἱῶν Ἰωαρὶμ ἀπὸ Ἱερουσαλὴμ καὶ ἐκά-
θισεν ἐν Μωδεΐν. καὶ αὐτῷ υἱοὶ πέντε, Ἰωάννης ὁ καλούμενος 2
Γαδδίς, Σίμων ὁ καλούμενος Θασσί, Ἰούδας ὁ καλούμενος 3 4

Μακκαβαῖος, Ἐλεάζαρ ὁ καλούμενος Αὐαράν, Ἰωνάθαν ὁ κα- 5
2 λούμενος Ἀπφοῦς. καὶ εἶδε τὰς βλασφημίας τὰς γινομένας ἐν 6
Ἰούδᾳ καὶ ἐν Ἰερουσαλὴμ καὶ εἶπεν· Οἴμοι, ἱνατί τοῦτο ἐγεννή- 7
θην ἰδεῖν τὸ σύντριμμα τοῦ λαοῦ μου καὶ τὸ σύντριμμα τῆς πό-
λεως τῆς ἁγίας καὶ καθίσαι ἐκεῖ ἐν τῷ δοθῆναι αὐτὴν ἐν χειρὶ
ἐχθρῶν καὶ τὸ ἁγίασμα ἐν χειρὶ ἀλλοτρίων; ἐγένετο ὁ ναὸς αὐ- 8
τῆς ὡς ἀνὴρ ἄδοξος, τὰ σκεύη τῆς δόξης αὐτῆς αἰχμάλωτα ἀ- 9
πήχθη, ἀπεκτάνθη τὰ νήπια αὐτῆς ἐν ταῖς πλατείαις, οἱ νεανί-
σκοι αὐτῆς ἐν ῥομφαίᾳ ἐχθροῦ. ποῖον ἔθνος οὐκ ἐκληρονόμη- 10
σε βασιλείαν αὐτῆς καὶ οὐκ ἐκράτησε τῶν σκύλων αὐτῆς; πᾶς 11
ὁ κόσμος αὐτῆς ἀφῃρέθη, ἀντὶ ἐλευθέρας ἐγένετο εἰς δούλην.
καὶ ἰδοὺ τὰ ἅγια ἡμῶν καὶ ἡ καλλονὴ ἡμῶν καὶ ἡ δόξα ἡμῶν ἠ- 12
3 ρημώθη, καὶ ἐβεβήλωσαν αὐτὰ τὰ ἔθνη. ἱνατί ἡμῖν ἔτι ζῆν; καὶ 13 14
διέρρηξε Ματταθίας καὶ υἱοὶ αὐτοῦ τὰ ἱμάτια αὐτῶν καὶ περιε-
βάλοντο σάκκους καὶ ἐπένθησαν σφόδρα.

7 1 Καὶ ἦλθον οἱ παρὰ τοῦ βασιλέως οἱ καταναγκάζοντες τὴν 15
ἀποστασίαν εἰς Μωδεῖν τὴν πόλιν, ἵνα θυσιάσωσι. καὶ πολλοὶ 16
ἀπὸ Ἰσραὴλ πρὸς αὐτοὺς προσῆλθον· καὶ Ματταθίας καὶ οἱ υἱ-
οὶ αὐτοῦ συνήχθησαν. καὶ ἀπεκρίθησαν οἱ παρὰ τοῦ βασιλέως 17
καὶ εἶπον τῷ Ματταθίᾳ λέγοντες· Ἄρχων καὶ ἔνδοξος καὶ μέ-
γας εἶ ἐν τῇ πόλει ταύτῃ καὶ ἐστηριγμένος ἐν υἱοῖς καὶ ἀδελ-
φοῖς· νῦν οὖν πρόσελθε πρῶτος καὶ ποίησον τὸ πρόσταγμα 18
τοῦ βασιλέως, ὡς ἐποίησαν πάντα τὰ ἔθνη καὶ οἱ ἄνδρες Ἰού-
δα καὶ οἱ καταλειφθέντες ἐν Ἰερουσαλήμ, καὶ ἔσῃ σὺ καὶ ὁ οἶ-
κός σου τῶν φίλων τοῦ βασιλέως, καὶ σὺ καὶ οἱ υἱοί σου δοξα-
2 σθήσεσθε ἀργυρίῳ καὶ χρυσίῳ καὶ ἀποστολαῖς πολλαῖς. καὶ ἀ- 19
πεκρίθη Ματταθίας καὶ εἶπε φωνῇ μεγάλῃ· Εἰ πάντα τὰ ἔθνη τὰ
ἐν οἴκῳ τῆς βασιλείας τοῦ βασιλέως ἀκούουσιν αὐτοῦ, ἀπο-
στῆναι ἕκαστος ἀπὸ λατρείας πατέρων αὐτοῦ καὶ ᾑρετίσαντο
ἐν ταῖς ἐντολαῖς αὐτοῦ, ἀλλ' ἐγὼ καὶ οἱ υἱοί μου καὶ οἱ ἀδελφοί 20
μου πορευσόμεθα ἐν διαθήκῃ πατέρων ἡμῶν, ἵλεως ἡμῖν κατα- 21
λιπεῖν Νόμον καὶ δικαιώματα· τῶν λόγων τοῦ βασιλέως οὐκ ἀ- 22
κουσόμεθα τοῦ παρελθεῖν τὴν λατρείαν ἡμῶν δεξιὰν ἢ ἀριστε-
3 ράν. καὶ ὡς ἐπαύσατο λαλῶν τοὺς λόγους τούτους, προσῆλ- 23
θεν ἀνὴρ Ἰουδαῖος ἐν ὀφθαλμοῖς πάντων, θυσιᾶσαι ἐπὶ τοῦ
βωμοῦ τοῦ ἐν Μωδεῖν κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως. καὶ 24
εἶδε Ματταθίας καὶ ἐζήλωσε, καὶ ἐτρόμησαν οἱ νεφροὶ αὐτοῦ,
καὶ ἀνήνεγκε θυμὸν κατὰ τὸ κρῖμα καὶ δραμὼν ἔσφαξεν αὐτὸν
ἐπὶ τὸν βωμόν· καὶ τὸν ἄνδρα τοῦ βασιλέως τὸν ἀναγκάζοντα 25
θύειν ἀπέκτεινεν ἐν τῷ καιρῷ ἐκείνῳ καὶ τὸν βωμὸν καθεῖλε.
4 καὶ ἐζήλωσε τῷ νόμῳ, καθὼς ἐποίησε Φινεὲς τῷ Ζαμβρὶ υἱῷ 26
Σαλώμ. καὶ ἀνέκραξε Ματταθίας ἐν τῇ πόλει φωνῇ μεγάλῃ λέ- 27
γων· πᾶς ὁ ζηλῶν τῷ Νόμῳ καὶ ἱστῶν Διαθήκην ἐξελθέτω ὀ-
πίσω μου. καὶ ἔφυγον αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ εἰς τὰ ὄρη καὶ ἐ- 28
γκατέλιπον ὅσα εἶχον ἐν τῇ πόλει.

8 1 Τότε κατέβησαν πολλοὶ ζητοῦντες δικαιοσύνην καὶ κρῖμα 29
εἰς τὴν ἔρημον καθίσαι ἐκεῖ, αὐτοὶ καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ γυ- 30
ναῖκες αὐτῶν καὶ τὰ κτήνη αὐτῶν, ὅτι ἐπληθύνθη ἐπ' αὐτοὺς
τὰ κακά. καὶ ἀνηγγέλη τοῖς ἀνδράσι τοῦ βασιλέως καὶ ταῖς δυ- 31
νάμεσιν, αἳ ἦσαν ἐν Ἰερουσαλὴμ πόλει Δαυΐδ, ὅτι κατέβησαν
ἄνδρες, οἵτινες διεσκέδασαν τὴν ἐντολὴν τοῦ βασιλέως εἰς
2 τοὺς κρύφους ἐν τῇ ἐρήμῳ. καὶ ἔδραμον ὀπίσω αὐτῶν πολλοὶ 32
καὶ καταλαβόντες αὐτοὺς παρενέβαλον ἐπ' αὐτοὺς καὶ συνε-
στήσαντο πρὸς αὐτοὺς πόλεμον ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων
καὶ εἶπον πρὸς αὐτούς· Ἕως τοῦ νῦν ἱκανόν· ἐξέλθετε καὶ ποι- 33
ήσατε κατὰ τὸν λόγον τοῦ βασιλέως καὶ ζήσεσθε. καὶ εἶπον· 34
Οὐκ ἐξελευσόμεθα οὐδὲ ποιήσομεν τὸν λόγον τοῦ βασιλέως
τοῦ βεβηλῶσαι τὴν ἡμέραν τῶν σαββάτων. καὶ ἐτάχυναν ἐπ' 35
3 αὐτοὺς πόλεμον. καὶ οὐκ ἀπεκρίθησαν αὐτοῖς οὐδὲ λίθον ἐνε- 36
τίναξαν αὐτοῖς, οὐδὲ ἐνέφραξαν τοὺς κρύφους λέγοντες· ἀπο- 37
θάνωμεν πάντες ἐν τῇ ἁπλότητι ἡμῶν· μαρτυρεῖ ἐφ' ἡμᾶς ὁ οὐ-
ρανὸς καὶ ἡ γῆ ὅτι ἀκρίτως ἀπόλλυτε ἡμᾶς. καὶ ἀνέστησαν ἐπ' 38
αὐτοὺς ἐν τῷ πολέμῳ τοῖς σάββασι, καὶ ἀπέθανον αὐτοὶ καὶ αἱ
γυναῖκες αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν ἕως
χιλίων ψυχῶν ἀνθρώπων.

9 1 Καὶ ἔγνω Ματταθίας καὶ οἱ φίλοι αὐτοῦ καὶ ἐπένθησαν ἐπ' 39
αὐτοὺς ἕως σφόδρα. καὶ εἶπεν ἀνὴρ τῷ πλησίον αὐτοῦ· Ἐὰν 40
πάντες ποιήσωμεν ὡς οἱ ἀδελφοὶ ἡμῶν ἐποίησαν, καὶ μὴ πολε-
μήσωμεν πρὸς τὰ ἔθνη ὑπὲρ τῶν ψυχῶν ἡμῶν καὶ τῶν δικαιω-
μάτων ἡμῶν, νῦν τάχιον ἡμᾶς ἐξολοθρεύσουσιν ἀπὸ τῆς γῆς.
καὶ ἐβουλεύσαντο τῇ ἡμέρᾳ ἐκείνῃ λέγοντες· Πᾶς ἄνθρωπος, 41
ὃς ἐὰν ἔλθῃ πρὸς ἡμᾶς εἰς πόλεμον τῇ ἡμέρᾳ τῶν σαββάτων,
πολεμήσωμεν κατέναντι αὐτοῦ καὶ οὐ μὴ ἀποθάνωμεν πάντες
2 καθὼς ἀπέθανον οἱ ἀδελφοὶ ἡμῶν ἐν τοῖς κρύφοις. τότε συνή- 42
χθησαν πρὸς αὐτοὺς συναγωγὴ Ἁσιδαίων, ἰσχυροὶ δυνάμει ἀ-
πὸ Ἰσραήλ, πᾶς ὁ ἐκκλησιαζόμενος τῷ Νόμῳ· καὶ πάντες οἱ 43
φυγαδεύοντες ἀπὸ τῶν κακῶν προσετέθησαν αὐτοῖς καὶ ἐγέ-
νοντο αὐτοῖς εἰς στήριγμα. καὶ συνεστήσαντο δύναμιν καὶ ἐπά- 44
ταξαν ἁμαρτωλοὺς ἐν ὀργῇ αὐτῶν καὶ ἄνδρας ἀνόμους ἐν θυ-
3 μῷ αὐτῶν· καὶ οἱ λοιποὶ ἔφυγον εἰς τὰ ἔθνη σωθῆναι. καὶ ἐκύ- 45
κλωσε Ματταθίας καὶ οἱ φίλοι αὐτοῦ καὶ καθεῖλον τοὺς βω-
μοὺς καὶ περιέτεμον τὰ παιδάρια τὰ ἀπερίτμητα, ὅσα εὗρον ἐν 46
ὁρίοις Ἰσραήλ, ἐν ἰσχύι καὶ ἐδίωξαν τοὺς υἱοὺς τῆς ὑπερηφα- 47
νίας, καὶ κατευωδώθη τὸ ἔργον ἐν χειρὶ αὐτῶν. καὶ ἀντελάβο- 48
ντο τοῦ Νόμου ἐκ χειρὸς τῶν ἐθνῶν καὶ ἐκ χειρὸς τῶν βασιλέ-
ων καὶ οὐκ ἔδωκαν κέρας τῷ ἁμαρτωλῷ.

10 1 Καὶ ἤγγισαν αἱ ἡμέραι τοῦ Ματταθίου ἀποθανεῖν, καὶ εἶπε 49
τοῖς υἱοῖς αὐτοῦ· Νῦν ἐστηρίχθη ὑπερηφανία καὶ ἐλεγμὸς καὶ
καιρὸς καταστροφῆς καὶ ὀργὴ θυμοῦ. καὶ νῦν, τέκνα, ζηλώσα- 50
τε τῷ νόμῳ καὶ δότε τὰς ψυχὰς ὑμῶν ὑπὲρ διαθήκης πατέρων

ἡμῶν. μνήσθητε τῶν πατέρων ἡμῶν, τὰ ἔργα ἃ ἐποίησαν ἐν 51
ταῖς γενεαῖς αὐτῶν, καὶ δέξασθε δόξαν μεγάλην καὶ ὄνομα
αἰώνιον. Ἀβραὰμ οὐχὶ ἐν πειρασμῷ εὑρέθη πιστός, καὶ ἐλογί- 52
σθη αὐτῷ εἰς δικαιοσύνην; Ἰωσὴφ ἐν καιρῷ στενοχωρίας αὐ- 53
τοῦ ἐφύλαξεν ἐντολὴν καὶ ἐγένετο κύριος Αἰγύπτου. Φινεὲς ὁ 54
πατὴρ ἡμῶν ἐν τῷ ζηλῶσαι ζῆλον ἔλαβε διαθήκην ἱερωσύνης
αἰωνίας. Ἰησοῦς ἐν τῷ πληρῶσαι λόγον ἐγένετο κριτὴς ἐν Ἰσ- 55
ραήλ. Χάλεβ ἐν τῷ ἐπιμαρτύρασθαι ἐν τῇ ἐκκλησίᾳ ἔλαβε γῆς 56
κληρονομίαν. Δαυὶδ ἐν τῷ ἐλέῳ αὐτοῦ ἐκληρονόμησε θρόνον 57
βασιλείας εἰς αἰῶνα αἰῶνος. Ἠλίας ἐν τῷ ζηλῶσαι ζῆλον νό- 58
μου ἀνελήφθη ἕως εἰς τὸν οὐρανόν. Ἀνανίας Ἀζαρίας Μισαὴλ 59
πιστεύσαντες ἐσώθησαν ἐκ φλογός. Δανιὴλ ἐν τῇ ἁπλότητι αὐ- 60
2 τοῦ ἐρρύσθη ἐκ στόματος λεόντων. καὶ οὕτως ἐννοήθητε κατὰ 61
γενεὰν καὶ γενεάν, ὅτι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτὸν οὐκ ἀ-
σθενήσουσι. καὶ ἀπὸ λόγων ἀνδρὸς ἁμαρτωλοῦ μὴ φοβηθῆτε, 62
ὅτι ἡ δόξα αὐτοῦ εἰς κοπρίαν καὶ εἰς σκώληκας· σήμερον ἐ- 63
παρθήσεται καὶ αὔριον οὐ μὴ εὑρεθῇ, ὅτι ἐπέστρεψεν εἰς τὸν
χοῦν αὐτοῦ, καὶ ὁ διαλογισμὸς αὐτοῦ ἀπώλετο. καὶ ὑμεῖς τέ- 64
κνα ἰσχύσατε καὶ ἀνδρίζεσθε ἐν τῷ Νόμῳ, ὅτι ἐν αὐτῷ δοξα-
3 σθήσεσθε. καὶ ἰδοὺ Συμεὼν ὁ ἀδελφὸς ὑμῶν, οἶδα ὅτι ἀνὴρ 65
βουλῆς ἐστιν, αὐτοῦ ἀκούετε πάσας τὰς ἡμέρας, αὐτὸς ὑμῖν ἔ-
σται εἰς πατέρα. καὶ Ἰούδας Μακκαβαῖος ἰσχυρὸς δυνάμει ἐκ 66
νεότητος αὐτοῦ, οὗτος ὑμῖν ἔσται ἄρχων στρατιᾶς καὶ πολεμή-
σει πόλεμον λαῶν. καὶ ὑμεῖς προσάξατε πρὸς ὑμᾶς πάντας 67
τοὺς ποιητὰς τοῦ Νόμου καὶ ἐκδικήσατε ἐκδίκησιν τοῦ λαοῦ
ὑμῶν. ἀνταπόδοτε ἀνταπόδομα τοῖς ἔθνεσι καὶ προσέχετε εἰς 68
τὰ προστάγματα τοῦ Νόμου. καὶ εὐλόγησεν αὐτούς, καὶ προ- 69
4 σετέθη πρὸς τοὺς πατέρας αὐτοῦ. καὶ ἀπέθανεν ἐν τῷ ἕκτῳ 70
καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει, καὶ ἔθαψαν αὐτὸν οἱ υἱ-
οὶ αὐτοῦ ἐν τάφοις πατέρων αὐτῶν ἐν Μωδεΐν, καὶ ἐκόψαντο
αὐτὸν πᾶς Ἰσραὴλ κοπετὸν μέγαν.

B

11 1 Καὶ ἀνέστη Ἰούδας ὁ καλούμενος Μακκαβαῖος υἱὸς αὐτοῦ **3**
ἀντ' αὐτοῦ. καὶ ἐβοήθουν αὐτῷ πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ 2
πάντες ὅσοι ἐκολλήθησαν τῷ πατρὶ αὐτοῦ, καὶ ἐπολέμουν τὸν
πόλεμον Ἰσραὴλ μετ' εὐφροσύνης. καὶ ἐπλάτυνε δόξαν τῷ 3
λαῷ αὐτοῦ καὶ ἐνεδύσατο θώρακα ὡς γίγας καὶ συνεζώσατο
τὰ σκεύη αὐτοῦ τὰ πολεμικὰ καὶ συνεστήσατο πολέμους σκε-
πάζων παρεμβολὴν ἐν ῥομφαίᾳ. καὶ ὡμοιώθη λέοντι ἐν τοῖς 4
2 ἔργοις αὐτοῦ καὶ ὡς σκύμνος ἐρευγόμενος εἰς θήραν. καὶ ἐ- 5
δίωξεν ἀνόμους ἐξερευνῶν καὶ τοὺς ταράσσοντας τὸν λαὸν
αὐτοῦ ἐφλόγισε. καὶ συνεστάλησαν οἱ ἄνομοι ἀπὸ τοῦ φόβου 6
αὐτοῦ, καὶ πάντες οἱ ἐργάται τῆς ἀνομίας συνεταράχθησαν,

καὶ εὐωδώθη σωτηρία ἐν χειρὶ αὐτοῦ. καὶ ἐπίκρανε βασιλεῖς 7
πολλοὺς καὶ εὔφρανε τὸν Ἰακὼβ ἐν τοῖς ἔργοις αὐτοῦ, καὶ ἕως
τοῦ αἰῶνος τὸ μνημόσυνον αὐτοῦ εἰς εὐλογίαν. καὶ διῆλθεν ἐν 8
πόλεσιν Ἰούδα καὶ ἐξωλόθρευσεν ἀσεβεῖς ἐξ αὐτῆς καὶ ἀπέ-
στρεψεν ὀργὴν ἀπὸ Ἰσραὴλ καὶ ὠνομάσθη ἕως ἐσχάτου τῆς 9
γῆς καὶ συνήγαγεν ἀπολλυμένους.

12 1 Καὶ συνήγαγεν Ἀπολλώνιος ἔθνη καὶ ἀπὸ Σαμαρείας δύ- 10
ναμιν μεγάλην, τοῦ πολεμῆσαι πρὸς Ἰσραήλ. καὶ ἔγνω Ἰούδας 11
καὶ ἐξῆλθεν εἰς συνάντησιν αὐτῷ καὶ ἐπάταξεν αὐτὸν καὶ ἀπέ-
κτεινεν αὐτόν· καὶ ἔπεσον τραυματίαι πολλοί, καὶ οἱ ἐπίλοιποι
ἔφυγον. καὶ ἔλαβον τὰ σκῦλα αὐτῶν, καὶ τὴν μάχαιραν Ἀπολ- 12
λωνίου ἔλαβεν Ἰούδας καὶ ἦν πολεμῶν ἐν αὐτῇ πάσας τὰς ἡμέ-
2 ρας. καὶ ἤκουσε Σήρων ὁ ἄρχων τῆς δυνάμεως Συρίας ὅτι ἤ- 13
θροισεν Ἰούδας ἄθροισμα καὶ ἐκκλησίαν πιστῶν μετ' αὐτοῦ
ἐκπορευομένων εἰς πόλεμον, καὶ εἶπε· Ποιήσω ἐμαυτῷ ὄνομα 14
καὶ δοξασθήσομαι ἐν τῇ βασιλείᾳ καὶ πολεμήσω τὸν Ἰούδαν
καὶ τοὺς σὺν αὐτῷ τοὺς ἐξουδενοῦντας τὸν λόγον τοῦ βασιλέ-
ως. καὶ προσέθετο τοῦ ἀναβῆναι· καὶ ἀνέβη μετ' αὐτοῦ παρεμ- 15
βολὴ ἀσεβῶν ἰσχυρὰ βοηθῆσαι αὐτῷ καὶ ποιῆσαι τὴν ἐκδίκη-
σιν ἐν υἱοῖς Ἰσραήλ. καὶ ἤγγισαν ἕως ἀναβάσεως Βεθωρών, 16
3 καὶ ἐξῆλθεν Ἰούδας εἰς συνάντησιν αὐτῶν ὀλιγοστός. ὡς δὲ 17
εἶδον τὴν παρεμβολὴν ἐρχομένην εἰς συνάντησιν αὐτοῖς, εἶπον
τῷ Ἰούδᾳ· Πῶς δυνησόμεθα ὀλιγοστοὶ ὄντες πολεμῆσαι πρὸς
πλῆθος τοσοῦτον ἰσχυρόν; καὶ ἡμεῖς ἐκλελύμεθα ἀσιτοῦντες
σήμερον. καὶ εἶπεν Ἰούδας· Εὔκοπόν ἐστι συγκλεισθῆναι πολ- 18
λοὺς ἐν χερσὶν ὀλίγων, καὶ οὐκ ἔστι διαφορὰ ἐναντίον τοῦ θε-
οῦ τοῦ οὐρανοῦ σῴζειν ἐν πολλοῖς ἢ ἐν ὀλίγοις· ὅτι οὐκ ἐν 19
πλήθει δυνάμεως νίκη πολέμου ἐστίν, ἀλλ' ἢ ἐκ τοῦ οὐρανοῦ ἡ
ἰσχύς. αὐτοὶ ἔρχονται πρὸς ἡμᾶς ἐν πλήθει ὕβρεως καὶ ἀνο- 20
μίας τοῦ ἐξᾶραι ἡμᾶς καὶ τὰς γυναῖκας ἡμῶν καὶ τὰ τέκνα ἡ-
μῶν, τοῦ σκυλεῦσαι ἡμᾶς, ἡμεῖς δὲ πολεμοῦμεν περὶ τῶν ψυ- 21
χῶν ἡμῶν καὶ τῶν νομίμων ἡμῶν. καὶ αὐτὸς συντρίψει αὐτοὺς 22
4 πρὸ προσώπου ἡμῶν· ὑμεῖς δὲ μὴ φοβηθῆτε ἀπ' αὐτῶν. ὡς δὲ 23
ἐπαύσατο λαλῶν, ἐνήλατο εἰς αὐτοὺς ἄφνω, καὶ συνετρίβη Σή-
ρων καὶ ἡ παρεμβολὴ αὐτοῦ ἐνώπιον αὐτοῦ. καὶ ἐδίωκον αὐ- 24
τὸν ἐν τῇ καταβάσει Βεθωρὼν ἕως τοῦ πεδίου· καὶ ἔπεσον ἀπ'
αὐτῶν εἰς ἄνδρας ὀκτακοσίους, οἱ δὲ λοιποὶ ἔφυγον εἰς γῆν
Φιλιστιίμ. καὶ ἤρξατο ὁ φόβος Ἰούδα καὶ τῶν ἀδελφῶν αὐτοῦ 25
καὶ ἡ πτόησις ἐπιπίπτειν ἐπὶ τὰ ἔθνη τὰ κύκλῳ αὐτῶν. καὶ ἤγ- 26
γισεν ἕως τοῦ βασιλέως τὸ ὄνομα αὐτοῦ, καὶ ὑπὲρ τῶν παρα-
τάξεων Ἰούδα ἐξηγεῖτο πᾶν ἔθνος.

13 1 Ὡς δὲ ἤκουσεν Ἀντίοχος ὁ βασιλεὺς τοὺς λόγους τού- 27
τους, ὠργίσθη θυμῷ καὶ ἀπέστειλε καὶ συνήγαγε τὰς δυνάμεις
πάσας τῆς βασιλείας αὐτοῦ, παρεμβολὴν ἰσχυρὰν σφόδρα. καὶ 28
ἤνοιξε τὸ γαζοφυλάκιον αὐτοῦ καὶ ἔδωκεν ὀψώνια ταῖς δυνά-

μεσιν αὐτοῦ εἰς ἐνιαυτὸν καὶ ἐνετείλατο εἶναι αὐτοὺς ἑτοίμους
εἰς πᾶσαν χρείαν. καὶ εἶδεν ὅτι ἐξέλιπε τὸ ἀργύριον ἀπὸ τῶν 29
θησαυρῶν καὶ οἱ φόροι τῆς χώρας ὀλίγοι, χάριν τῆς διχοστα-
σίας καὶ πληγῆς, ἧς κατεσκεύασεν ἐν τῇ γῇ τοῦ ἆραι τὰ νόμι-
2 μα, ἃ ἦσαν ἀφ' ἡμερῶν τῶν πρώτων. καὶ εὐλαβήθη μὴ οὐκ ἔχῃ 30
ὡς ἅπαξ καὶ δὶς εἰς τὰς δαπάνας καὶ τὰ δόματα, ἃ ἐδίδου ἔ-
μπροσθεν δαψιλεῖ χειρὶ καὶ ἐπερίσσευσεν ὑπὲρ τοὺς βασιλεῖς
τοὺς ἔμπροσθεν, καὶ ἠπορεῖτο τῇ ψυχῇ αὐτοῦ σφόδρα καὶ ἐ- 31
βουλεύσατο τοῦ πορευθῆναι εἰς τὴν Περσίδα καὶ λαβεῖν τοὺς
φόρους τῶν χωρῶν καὶ συναγαγεῖν ἀργύριον πολύ. καὶ κατέ- 32
λιπε Λυσίαν ἄνθρωπον ἔνδοξον καὶ ἀπὸ γένους τῆς βασιλείας
ἐπὶ τῶν πραγμάτων τοῦ βασιλέως ἀπὸ τοῦ ποταμοῦ Εὐφράτου
ἕως τῶν ὁρίων Αἰγύπτου καὶ τρέφειν Ἀντίοχον τὸν υἱὸν αὐ- 33
3 τοῦ ἕως τοῦ ἐπιστρέψαι αὐτόν. καὶ παρέδωκεν αὐτῷ τὰς ἡμί- 34
σεις τῶν δυνάμεων καὶ τοὺς ἐλέφαντας καὶ ἐνετείλατο αὐτῷ
περὶ πάντων, ὧν ἐβούλετο, καὶ περὶ τῶν κατοικούντων τὴν
Ἰουδαίαν καὶ Ἰερουσαλὴμ ἀποστεῖλαι ἐπ' αὐτοὺς δύναμιν τοῦ 35
ἐκτρῖψαι καὶ ἐξᾶραι τὴν ἰσχὺν Ἰσραὴλ καὶ τὸ κατάλειμμα Ἰε-
ρουσαλὴμ καὶ ἆραι τὸ μνημόσυνον αὐτῶν ἀπὸ τοῦ τόπου καὶ 36
κατοικίσαι υἱοὺς ἀλλογενεῖς ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν καὶ κα-
4 τακληροδοτῆσαι τὴν γῆν αὐτῶν. καὶ ὁ βασιλεὺς παρέλαβε τὰς 37
ἡμίσεις τῶν δυνάμεων τὰς καταλειφθείσας καὶ ἀπῆρεν ἀπὸ Ἀ-
ντιοχείας ἀπὸ πόλεως βασιλείας αὐτοῦ, ἔτους ἑβδόμου καὶ
τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ, καὶ διεπέρασε τὸν Εὐφράτην
ποταμὸν καὶ διεπορεύετο τὰς ἐπάνω χώρας.

14 1 Καὶ ἐπέλεξε Λυσίας Πτολεμαῖον τὸν Δορυμένους καὶ Νι- 38
κάνορα καὶ Γοργίαν ἄνδρας δυνατοὺς τῶν φίλων τοῦ βασιλέ-
ως, καὶ ἀπέστειλε μετ' αὐτῶν τεσσαράκοντα χιλιάδας ἀνδρῶν 39
καὶ ἑπτακισχιλίαν ἵππον τοῦ ἐξελθεῖν εἰς γῆν Ἰούδα καὶ κατα-
φθεῖραι αὐτὴν κατὰ τὸν λόγον τοῦ βασιλέως. καὶ ἀπῆραν σὺν 40
πάσῃ τῇ δυνάμει αὐτῶν, καὶ ἦλθον καὶ παρενέβαλον πλησίον
Ἐμμαοὺς ἐν τῇ γῇ τῇ πεδινῇ. καὶ ἤκουσαν οἱ ἔμποροι τῆς χώ- 41
ρας τὸ ὄνομα αὐτῶν καὶ ἔλαβον ἀργύριον καὶ χρυσίον πολὺ
σφόδρα καὶ πέδας καὶ ἦλθον εἰς τὴν παρεμβολὴν τοῦ λαβεῖν
τοὺς υἱοὺς Ἰσραὴλ εἰς παῖδας. καὶ προσετέθησαν πρὸς αὐτοὺς
2 δύναμις Συρίας καὶ γῆς ἀλλοφύλων. καὶ εἶδεν Ἰούδας καὶ οἱ ἀ- 42
δελφοὶ αὐτοῦ, ὅτι ἐπληθύνθη τὰ κακὰ καὶ αἱ δυνάμεις παρεμ-
βάλλουσιν ἐν τοῖς ὁρίοις αὐτῶν, καὶ ἐπέγνωσαν τοὺς λόγους
τοῦ βασιλέως, οὓς ἐνετείλατο ποιῆσαι τῷ λαῷ εἰς ἀπώλειαν
καὶ συντέλειαν. καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· Ἀ- 43
ναστήσωμεν τὴν καθαίρεσιν τοῦ λαοῦ ἡμῶν καὶ πολεμήσωμεν
περὶ τοῦ λαοῦ ἡμῶν καὶ τῶν ἁγίων. καὶ συνηθροίσθη ἡ συνα- 44
γωγὴ τοῦ εἶναι ἑτοίμους εἰς πόλεμον καὶ τοῦ προσεύξασθαι
3 καὶ αἰτῆσαι ἔλεον καὶ οἰκτιρμούς. καὶ Ἰερουσαλὴμ ἦν ἀοίκητος 45
ὡς ἔρημος· οὐκ ἦν ὁ εἰσπορευόμενος καὶ ἐκπορευόμενος ἐκ

τῶν γεννημάτων αὐτῆς, καὶ τὸ ἁγίασμα καταπατούμενον, καὶ
υἱοὶ ἀλλογενῶν ἐν τῇ ἄκρᾳ, κατάλυμα τοῖς ἔθνεσι· καὶ ἐξήρθη
τέρψις ἐξ Ἰακὼβ καὶ ἐξέλιπεν αὐλὸς καὶ κινύρα. καὶ συνήχθη- 46
σαν καὶ ἦλθον εἰς Μασσηφὰ κατέναντι Ἰερουσαλήμ, ὅτι τόπος
προσευχῆς εἰς Μασσηφὰ τὸ πρότερον τῷ Ἰσραήλ. καὶ ἐνή- 47
στευσαν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ περιεβάλοντο σάκκους καὶ σπο-
δὸν ἐπὶ τὰς κεφαλὰς αὐτῶν καὶ διέρρηξαν τὰ ἱμάτια αὐτῶν.
4 καὶ ἐξεπέτασαν τὸ βιβλίον τοῦ Νόμου, περὶ ὧν ἐξηρεύνων τὰ 48
ἔθνη τὰ ὁμοιώματα τῶν εἰδώλων αὐτῶν. καὶ ἤνεγκαν τὰ ἱμάτια 49
τῆς ἱερωσύνης καὶ τὰ πρωτογενήματα καὶ τὰς δεκάτας καὶ ἤ-
γειραν τοὺς ναζιραίους, οἳ ἐπλήρωσαν τὰς ἡμέρας, καὶ ἐβόη- 50
σαν φωνῇ εἰς τὸν οὐρανὸν λέγοντες· Τί ποιήσωμεν τούτοις
καὶ ποῦ αὐτοὺς ἀπαγάγωμεν; καὶ τὰ ἅγιά σου καταπεπάτηται 51
καὶ βεβήλωται καὶ οἱ ἱερεῖς σου ἐν πένθει καὶ ταπεινώσει. καὶ 52
ἰδοὺ τὰ ἔθνη συνῆκται ἐφ' ἡμᾶς τοῦ ἐξᾶραι ἡμᾶς· σὺ οἶδας ἃ
λογίζονται ἐφ' ἡμᾶς. πῶς δυνησόμεθα ὑποστῆναι κατὰ πρό- 53
5 σωπον αὐτῶν, ἐὰν μὴ σὺ βοηθήσῃς ἡμῖν; καὶ ἐσάλπισαν ταῖς 54
σάλπιγξι καὶ ἐβόησαν φωνῇ μεγάλῃ. καὶ μετὰ τοῦτο κατέστη- 55
σεν Ἰούδας ἡγουμένους τοῦ λαοῦ χιλιάρχους καὶ ἑκατοντάρ-
χους καὶ πεντηκοντάρχους καὶ δεκάρχους. καὶ εἶπον τοῖς οἰ- 56
κοδομοῦσιν οἰκίας καὶ μνηστευομένοις γυναῖκας καὶ φυτεύου-
σιν ἀμπελῶνας καὶ δειλοῖς ἀποστρέφειν ἕκαστον εἰς τὸν οἶκον
αὐτοῦ κατὰ τὸν Νόμον. καὶ ἀπῆρεν ἡ παρεμβολή, καὶ παρενέ- 57
6 βαλε κατὰ νότον Ἐμμαούς. καὶ εἶπεν Ἰούδας· περιζώσασθε καὶ 58
γίνεσθε εἰς υἱοὺς δυνατοὺς καὶ γίνεσθε ἕτοιμοι εἰς τὸ πρωΐ
τοῦ πολεμῆσαι ἐν τοῖς ἔθνεσι τούτοις τοῖς ἐπισυνηγμένοις ἐφ'
ἡμᾶς ἐξᾶραι ἡμᾶς καὶ τὰ ἅγια ἡμῶν· ὅτι κρεῖσσον ἡμᾶς ἀποθα- 59
νεῖν ἐν τῷ πολέμῳ ἢ ἐπιδεῖν ἐπὶ τὰ κακὰ τοῦ ἔθνους ἡμῶν καὶ
τῶν ἁγίων. ὡς δ' ἂν ᾖ θέλημα ἐν οὐρανῷ, οὕτω ποιήσει. 60

15 1 Καὶ παρέλαβε Γοργίας πεντακισχιλίους ἄνδρας καὶ χιλίαν **4**
ἵππον ἐκλεκτήν, καὶ ἀπῆρεν ἡ παρεμβολὴ νυκτός, ὥστε ἐπιβα- 2
λεῖν ἐπὶ τὴν παρεμβολὴν τῶν Ἰουδαίων καὶ πατάξαι αὐτοὺς
ἄφνω· καὶ οἱ υἱοὶ τῆς ἄκρας ἦσαν αὐτῷ ὁδηγοί. καὶ ἤκουσεν 3
Ἰούδας καὶ ἀπῆρεν αὐτὸς καὶ οἱ δυνατοὶ πατάξαι τὴν δύναμιν
τοῦ βασιλέως τὴν ἐν Ἐμμαούς, ἕως ἔτι αἱ δυνάμεις ἐσκορπι- 4
σμέναι ἦσαν ἀπὸ τῆς παρεμβολῆς. καὶ ἦλθε Γοργίας εἰς τὴν 5
παρεμβολὴν Ἰούδα νυκτὸς καὶ οὐδένα εὗρε· καὶ ἐζήτει αὐτοὺς
2 ἐν τοῖς ὄρεσιν, ὅτι εἶπε· Φεύγουσιν οὗτοι ἀφ' ἡμῶν. καὶ ἅμα τῇ 6
ἡμέρᾳ ὤφθη Ἰούδας ἐν τῷ πεδίῳ ἐν τρισχιλίοις ἀνδράσι· πλὴν
καλύμματα καὶ μαχαίρας οὐκ εἶχον καθὼς ἠβούλοντο. καὶ εἶ- 7
δον παρεμβολὴν ἐθνῶν ἰσχυρὰν τεθωρακισμένην καὶ ἵππον
κυκλοῦσαν αὐτήν, καὶ οὗτοι διδακτοὶ πολέμου. καὶ εἶπεν Ἰού- 8
δας τοῖς ἀνδράσι τοῖς μετ' αὐτοῦ· Μὴ φοβεῖσθε τὸ πλῆθος αὐ-
τῶν καὶ τὸ ὅρμημα αὐτῶν μὴ δειλωθῆτε· μνήσθητε πῶς ἐσώ- 9
θησαν οἱ πατέρες ἡμῶν ἐν Θαλάσσῃ Ἐρυθρᾷ, ὅτε ἐδίωξεν αὐ-

3 τοὺς φαραὼ ἐν δυνάμει. καὶ νῦν βοήσωμεν εἰς τὸν οὐρανόν, εἴ 10
πως ἐλεήσει ἡμᾶς καὶ μνησθήσεται διαθήκης πατέρων ἡμῶν
καὶ συντρίψει τὴν παρεμβολὴν ταύτην κατὰ πρόσωπον ἡμῶν
σήμερον, καὶ γνώσεται πάντα τὰ ἔθνη ὅτι ἐστὶν ὁ λυτρούμενος 11
4 καὶ σῴζων τὸν Ἰσραήλ. καὶ ἦραν οἱ ἀλλόφυλοι τοὺς ὀφθαλ- 12
μοὺς αὐτῶν καὶ εἶδον αὐτοὺς ἐρχομένους ἐξεναντίας καὶ ἐξῆλ- 13
θον ἐκ τῆς παρεμβολῆς εἰς πόλεμον· καὶ ἐσάλπισαν οἱ μετὰ
Ἰούδα καὶ συνῆψαν καὶ συνετρίβησαν τὰ ἔθνη καὶ ἔφυγον εἰς 14
τὸ πεδίον, οἱ δὲ ἔσχατοι πάντες ἔπεσον ἐν ῥομφαίᾳ. καὶ ἐδίω- 15
ξαν αὐτοὺς ἕως Γαζηρὼν καὶ ἕως τῶν πεδίων τῆς Ἰδουμαίας
καὶ Ἀζώτου καὶ Ἰαμνείας, καὶ ἔπεσον ἐξ αὐτῶν εἰς ἄνδρας
τρισχιλίους. καὶ ἐπέστρεψεν Ἰούδας καὶ ἡ δύναμις ἀπὸ τοῦ 16
διώκειν ὄπισθεν αὐτῶν καὶ εἶπε πρὸς τὸν λαόν· Μὴ ἐπιθυμή- 17
σητε τῶν σκύλων, ὅτι πόλεμος ἐξεναντίας ἡμῶν, καὶ Γοργίας 18
καὶ ἡ δύναμις ἐν τῷ ὄρει ἐγγὺς ἡμῶν· ἀλλὰ στῆτε νῦν ἐναντίον
τῶν ἐχθρῶν ἡμῶν καὶ πολεμήσατε αὐτούς, καὶ μετὰ ταῦτα λά-
5 βετε τὰ σκῦλα μετὰ παρρησίας. ἔτι λαλοῦντος Ἰούδα ταῦτα, ὤ- 19
φθη μέρος τι ἐκκύπτον ἐκ τοῦ ὄρους· καὶ εἶδεν ὅτι τετρόπω- 20
νται, καὶ ἐμπυρίζουσι τὴν παρεμβολήν· ὁ γὰρ καπνὸς ὁ θεω-
ρούμενος ἐνεφάνιζε τὸ γεγονός. οἱ δὲ ταῦτα συνιδόντες ἐδει- 21
λώθησαν σφόδρα· συνιδόντες δὲ καὶ τὴν Ἰούδα παρεμβολὴν
ἐν τῷ πεδίῳ ἑτοίμην εἰς παράταξιν, ἔφυγον πάντες εἰς γῆν ἀλ- 22
λοφύλων. καὶ ἀνέστρεψεν Ἰούδας ἐπὶ τὴν σκυλείαν τῆς παρεμ- 23
βολῆς, καὶ ἔλαβον χρυσίον πολὺ καὶ ἀργύριον καὶ ὑάκινθον
καὶ πορφύραν θαλασσίαν καὶ πλοῦτον μέγαν. καὶ ἐπιστραφέ- 24
ντες ὕμνουν καὶ εὐλόγουν εἰς οὐρανὸν

ὅτι καλόν,

ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

καὶ ἐγένετο σωτηρία μεγάλη τῷ Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. 25
16 1 Ὅσοι δὲ τῶν ἀλλοφύλων διεσώθησαν, παραγενηθέντες ἀ- 26
πήγγειλαν τῷ Λυσίᾳ πάντα τὰ συμβεβηκότα. ὁ δὲ ἀκούσας συ- 27
νεχύθη καὶ ἠθύμει, ὅτι οὐχ οἷα ἤθελε, τοιαῦτα ἐγεγόνει τῷ Ἰσ-
ραήλ, καὶ οὐχ οἷα ἐνετείλατο αὐτῷ ὁ βασιλεύς, τοιαῦτα ἐξέβη.
καὶ ἐν τῷ ἐχομένῳ ἐνιαυτῷ συνελόχισεν ὁ Λυσίας ἀνδρῶν ἐ- 28
πιλέκτων ἑξήκοντα χιλιάδας καὶ πεντακισχιλίαν ἵππον, ὥστε
ἐκπολεμῆσαι αὐτούς. καὶ ἦλθον εἰς τὴν Ἰδουμαίαν καὶ παρενέ- 29
2 βαλον ἐν Βεθσούροις. καὶ συνήντησεν αὐτοῖς Ἰούδας ἐν δέκα
χιλιάσιν ἀνδρῶν. καὶ εἶδε τὴν παρεμβολὴν ἰσχυρὰν καὶ προ- 30
σηύξατο καὶ εἶπεν· Εὐλογητὸς εἶ ὁ σωτὴρ τοῦ Ἰσραὴλ ὁ συ-
ντρίψας τὸ ὅρμημα τοῦ δυνατοῦ ἐν χειρὶ τοῦ δούλου σου Δαυ-
ϊδ καὶ παρέδωκας τὴν παρεμβολὴν τῶν ἀλλοφύλων εἰς χεῖρας
Ἰωνάθαν υἱοῦ Σαοὺλ καὶ τοῦ αἴροντος τὰ σκεύη αὐτοῦ· οὕτω 31
σύγκλεισον τὴν παρεμβολὴν ταύτην ἐν χειρὶ λαοῦ σου Ἰσ-
ραήλ, καὶ αἰσχυνθήτωσαν ἐπὶ τῇ δυνάμει καὶ τῇ ἵππῳ αὐτῶν·
δὸς αὐτοῖς δειλίαν καὶ τῆξον θράσος ἰσχύος αὐτῶν, καὶ σαλευ- 32

θήτωσαν τῇ συντριβῇ αὐτῶν· κατάβαλε αὐτοὺς ῥομφαίᾳ ἀγα- 33
πώντων σε, καὶ αἰνεσάτωσάν σε πάντες οἱ εἰδότες τὸ ὄνομά
3 σου ἐν ὕμνοις. καὶ συνέβαλον ἀλλήλοις, καὶ ἔπεσον ἐκ τῆς πα- 34
ρεμβολῆς Λυσίου εἰς πεντακισχιλίους ἄνδρας καὶ ἔπεσον ἐξ ἐ-
ναντίας αὐτῶν. ἰδὼν δὲ Λυσίας τὴν γενομένην τροπὴν τῆς αὐ- 35
τοῦ συντάξεως, τῆς δὲ Ἰούδα τὸ γεγενημένον θάρσος καὶ ὡς
ἕτοιμοί εἰσιν ἢ ζῆν ἢ τεθνάναι γενναίως, ἀπῆρεν εἰς Ἀντιό-
χειαν καὶ ἐξενολόγει, καὶ πλεονάσας τὸν γενηθέντα στρατὸν ἐ-
λογίζετο πάλιν παραγενέσθαι εἰς τὴν Ἰουδαίαν.

17 1 Εἶπε δὲ Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ· Ἰδοὺ συνετρίβησαν 36
οἱ ἐχθροὶ ἡμῶν, ἀναβῶμεν καθαρίσαι τὰ ἅγια καὶ ἐγκαινίσαι.
καὶ συνήχθη ἡ παρεμβολὴ πᾶσα καὶ ἀνέβησαν εἰς ὄρος Σιών. 37
καὶ εἶδον τὸ ἁγίασμα ἠρημωμένον καὶ τὸ θυσιαστήριον βεβε- 38
βηλωμένον καὶ τὰς πύλας κατακεκαυμένας καὶ ἐν ταῖς αὐλαῖς
φυτὰ πεφυκότα ὡς ἐν δρυμῷ ἢ ὡς ἑνὶ τῶν ὀρέων καὶ τὰ πα-
στοφόρια καθῃρημένα. καὶ διέρρηξαν τὰ ἱμάτια αὐτῶν καὶ ἐκό- 39
ψαντο κοπετὸν μέγαν καὶ ἐπέθεντο σποδὸν ἐπὶ τὴν κεφαλὴν
αὐτῶν καὶ ἔπεσον ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν καὶ ἐσάλπισαν 40
2 ταῖς σάλπιγξι τῶν σημασιῶν καὶ ἐβόησαν εἰς τὸν οὐρανόν. τό- 41
τε ἐπέταξεν Ἰούδας ἄνδρας πολεμεῖν τοὺς ἐν τῇ ἄκρᾳ, ἕως ἂν
καθαρίσῃ τὰ ἅγια. καὶ ἐπέλεξεν ἱερεῖς ἀμώμους θελητὰς νό- 42
μου, καὶ ἐκαθάρισαν τὰ ἅγια καὶ ἦραν τοὺς λίθους τοῦ μια- 43
σμοῦ εἰς τόπον ἀκάθαρτον. καὶ ἐβουλεύσαντο περὶ τοῦ θυσια- 44
στηρίου τῆς ὁλοκαυτώσεως τοῦ βεβεβηλωμένου, τί αὐτῷ ποι- 45
ήσωσι· καὶ ἐπέπεσεν αὐτοῖς βουλὴ ἀγαθὴ καθελεῖν αὐτό, μή-
ποτε γένηται αὐτοῖς εἰς ὄνειδος, ὅτι ἐμίαναν τὰ ἔθνη αὐτό· καὶ
καθεῖλον τὸ θυσιαστήριον. καὶ ἀπέθεντο τοὺς λίθους ἐν τῷ ὄ- 46
ρει τοῦ οἴκου ἐν τόπῳ ἐπιτηδείῳ μέχρι τοῦ παραγενηθῆναι
3 προφήτην τοῦ ἀποκριθῆναι περὶ αὐτῶν. καὶ ἔλαβον λίθους ὁ- 47
λοκλήρους κατὰ τὸν νόμον καὶ ᾠκοδόμησαν τὸ θυσιαστήριον
καινὸν κατὰ τὸ πρότερον. καὶ ᾠκοδόμησαν τὰ ἅγια καὶ τὰ ἐ- 48
ντὸς τοῦ οἴκου καὶ τὰς αὐλὰς ἡγίασαν. καὶ ἐποίησαν σκεύη ἅ- 49
για καινὰ καὶ εἰσήνεγκαν τὴν λυχνίαν καὶ τὸ θυσιαστήριον τῶν
θυμιαμάτων καὶ τὴν τράπεζαν εἰς τὸν ναόν. καὶ ἐθυμίασαν ἐπὶ 50
τὸ θυσιαστήριον καὶ ἐξῆψαν τοὺς λύχνους τοὺς ἐπὶ τῆς λυ-
χνίας, καὶ ἔφαινον ἐν τῷ ναῷ. καὶ ἐπέθηκαν ἐπὶ τὴν τράπεζαν 51
ἄρτους καὶ ἐξεπέτασαν τὰ καταπετάσματα. καὶ ἐτέλεσαν πάντα
4 τὰ ἔργα, ἃ ἐποίησαν. καὶ ὤρθρισαν τὸ πρωῒ τῇ πέμπτῃ καὶ εἰ- 52
κάδι τοῦ μηνὸς τοῦ ἐνάτου (οὗτος ὁ μὴν Χασελεὺ) τοῦ ὀγδόου
καὶ τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ ἔτους καὶ ἀνήνεγκαν θυ- 53
σίαν κατὰ τὸν νόμον ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμά-
των τὸ καινόν, ὃ ἐποίησαν. κατὰ τὸν καιρὸν καὶ κατὰ τὴν ἡμέ- 54
ραν, ἐν ᾗ ἐβεβήλωσαν αὐτὰ τὰ ἔθνη, ἐν ἐκείνῃ ἐνεκαινίσθη ἐν
ᾠδαῖς καὶ κιθάραις καὶ κινύραις καὶ ἐν κυμβάλοις. καὶ ἔπεσον 55
πᾶς ὁ λαὸς ἐπὶ πρόσωπον καὶ προσεκύνησαν καὶ εὐλόγησαν

5 εἰς οὐρανὸν τὸν εὐοδώσαντα αὐτοῖς. καὶ ἐποίησαν τὸν ἐγκαι- 56
νισμὸν τοῦ θυσιαστηρίου ἡμέρας ὀκτὼ καὶ προσήνεγκαν ὁλο-
καυτώματα μετ' εὐφροσύνης καὶ ἔθυσαν θυσίαν σωτηρίου καὶ 57
αἰνέσεως. καὶ κατεκόσμησαν τὸ κατὰ πρόσωπον τοῦ ναοῦ
στεφάνοις χρυσοῖς καὶ ἀσπιδίσκαις καὶ ἐνεκαίνισαν τὰς πύλας
καὶ τὰ παστοφόρια καὶ ἐθύρωσαν αὐτά. καὶ ἐγενήθη εὐφροσύ- 58
νη μεγάλη ἐν τῷ λαῷ σφόδρα, καὶ ἀπεστράφη ὄνειδος ἐθνῶν. 59
καὶ ἔστησεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ ἐκκλησία
Ἰσραήλ, ἵνα ἄγωνται αἱ ἡμέραι ἐγκαινισμοῦ τοῦ θυσιαστηρίου
ἐν τοῖς καιροῖς αὐτῶν ἐνιαυτὸν κατ' ἐνιαυτὸν ἡμέρας ὀκτώ, ἀ-
πὸ τῆς πέμπτης καὶ εἰκάδος τοῦ μηνὸς Χασελεῦ, μετ' εὐφρο-
6 σύνης καὶ χαρᾶς. καὶ ᾠκοδόμησαν ἐν τῷ καιρῷ ἐκείνῳ τὸ ὄ- 60
ρος Σιών, κυκλόθεν τείχη ὑψηλὰ καὶ πύργους ὀχυρούς, μή ποτε
παραγενηθέντα τὰ ἔθνη καταπατήσωσιν αὐτά, ὡς ἐποίησαν
τὸ πρότερον. καὶ ἐπέταξεν ἐκεῖ δύναμιν τηρεῖν αὐτὸ καὶ ὠχύ- 61
ρωσαν αὐτὸ τηρεῖν τὴν Βεθσούραν τοῦ ἔχειν τὸν λαὸν ὀχύρω-
μα κατὰ πρόσωπον τῆς Ἰδουμαίας.

18 1 Καὶ ἐγένετο ὅτε ἤκουσαν τὰ ἔθνη κυκλόθεν ὅτι ᾠκοδομή- **5**
θη τὸ θυσιαστήριον καὶ ἐνεκαινίσθη τὸ ἁγίασμα ὡς τὸ πρότε-
ρον, καὶ ὠργίσθησαν σφόδρα καὶ ἐβουλεύσαντο τοῦ ἆραι τὸ 2
γένος Ἰακὼβ τοὺς ὄντας ἐν μέσῳ αὐτῶν καὶ ἤρξαντο τοῦ θα-
νατοῦν ἐν τῷ λαῷ καὶ ἐξαίρειν. καὶ ἐπολέμει Ἰούδας πρὸς 3
τοὺς υἱοὺς Ἠσαῦ ἐν τῇ Ἰδουμαίᾳ, τὴν Ἄκραν τὴν Ἀρβατηνήν,
ὅτι περιεκάθηντο τὸν Ἰσραήλ, καὶ ἐπάταξεν αὐτοὺς πληγὴν με-
2 γάλην καὶ συνέστειλεν αὐτοὺς καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν. καὶ 4
ἐμνήσθη τῆς κακίας υἱῶν Βασάν, οἳ ἦσαν τῷ λαῷ εἰς παγίδα
καὶ εἰς σκάνδαλον ἐν τῷ ἐνεδρεύειν αὐτοὺς ἐν ταῖς ὁδοῖς· καὶ 5
συνεκλείσθησαν ὑπ' αὐτοῦ ἐν τοῖς πύργοις, καὶ παρενέβαλεν
ἐπ' αὐτοὺς καὶ ἀνεθεμάτισεν αὐτοὺς καὶ ἐνεπύρισε τοὺς πύρ-
3 γους αὐτῆς ἐν πυρὶ σὺν πᾶσι τοῖς ἐνοῦσι. καὶ διεπέρασεν ἐπὶ 6
τοὺς υἱοὺς Ἀμμὼν καὶ εὗρε χεῖρα κραταιὰν καὶ λαὸν πολὺν
καὶ Τιμόθεον ἡγούμενον αὐτῶν· καὶ συνῆψε πρὸς αὐτοὺς πο- 7
λέμους πολλούς, καὶ συνετρίβησαν πρὸ προσώπου αὐτοῦ, καὶ
ἐπάταξεν αὐτούς. καὶ προκατελάβετο τὴν Ἰαζὴρ καὶ τὰς θυγα- 8
τέρας αὐτῆς καὶ ἀνέστρεψεν εἰς τὴν Ἰουδαίαν.

19 1 Καὶ ἐπισυνήχθησαν τὰ ἔθνη τὰ ἐν τῇ Γαλαὰδ ἐπὶ τὸν Ἰσ- 9
ραὴλ τοὺς ὄντας ἐπὶ τοῖς ὁρίοις αὐτῶν τοῦ ἐξᾶραι αὐτούς, καὶ
ἔφυγον εἰς Δάθεμα τὸ ὀχύρωμα. καὶ ἀπέστειλαν γράμματα 10
πρὸς Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ λέγοντες· Ἐπισυνηγμέ-
να ἐστὶν ἐφ' ἡμᾶς τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν τοῦ ἐξᾶραι ἡμᾶς καὶ 11
ἑτοιμάζονται ἐλθεῖν καὶ προκαταλαβέσθαι τὸ ὀχύρωμα, εἰς ὃ
κατεφύγομεν, καὶ Τιμόθεος ἡγεῖται τῆς δυνάμεως αὐτῶν· νῦν 12
οὖν ἐλθὼν ἐξελοῦ ἡμᾶς ἐκ χειρὸς αὐτῶν, ὅτι πέπτωκεν ἐξ ἡ-
μῶν πλῆθος, καὶ πάντες οἱ ἀδελφοὶ ἡμῶν οἱ ὄντες ἐν τοῖς Τω- 13
βίου τεθανάτωνται, καὶ ᾐχμαλωτίκασι τὰς γυναῖκας αὐτῶν καὶ

τὰ τέκνα καὶ τὴν ἀποσκευήν, καὶ ἀπώλεσαν ἐκεῖ ὡσεὶ μίαν χι-
2 λιαρχίαν ἀνδρῶν. ἔτι αἱ ἐπιστολαὶ ἀνεγινώσκοντο, καὶ ἰδοὺ 14
ἄγγελοι ἕτεροι παρεγένοντο ἐκ τῆς Γαλιλαίας διερρηχότες τὰ
ἱμάτια ἀπαγγέλλοντες κατὰ τὰ ῥήματα ταῦτα λέγοντες ἐπισυ- 15
νῆχθαι ἐπ' αὐτοὺς ἐκ Πτολεμαΐδος καὶ Τύρου καὶ Σιδῶνος καὶ
πάσης Γαλιλαίας ἀλλοφύλων τοῦ ἐξαναλῶσαι ἡμᾶς. ὡς δὲ ἤ- 16
κουσεν Ἰούδας καὶ ὁ λαὸς τοὺς λόγους τούτους, ἐπισυνήχθη
ἐκκλησία μεγάλη βουλεύσασθαι τί ποιήσωσι τοῖς ἀδελφοῖς αὐ-
3 τῶν, τοῖς οὖσιν ἐν θλίψει καὶ πολεμουμένοις ὑπ' αὐτῶν. καὶ εἶ- 17
πεν Ἰούδας Σίμωνι τῷ ἀδελφῷ αὐτοῦ· Ἐπίλεξον σεαυτῷ ἄν-
δρας καὶ πορεύου καὶ ῥῦσαι τοὺς ἀδελφούς σου τοὺς ἐν τῇ
Γαλιλαίᾳ· ἐγὼ δὲ καὶ Ἰωνάθαν ὁ ἀδελφός μου πορευσόμεθα εἰς
τὴν Γαλααδῖτιν. καὶ κατέλιπεν Ἰώσηφον τὸν τοῦ Ζαχαρίου καὶ 18
Ἀζαρίαν ἡγουμένους τοῦ λαοῦ μετὰ τῶν ἐπιλοίπων τῆς δυνά-
μεως ἐν τῇ Ἰουδαίᾳ εἰς τήρησιν καὶ ἐνετείλατο αὐτοῖς λέγων· 19
πρόστητε τοῦ λαοῦ τούτου καὶ μὴ συνάψητε πόλεμον πρὸς τὰ
ἔθνη ἕως τοῦ ἐπιστρέψαι ἡμᾶς. καὶ ἐμερίσθησαν Σίμωνι ἄν- 20
δρες τρισχίλιοι τοῦ πορευθῆναι εἰς τὴν Γαλιλαίαν, Ἰούδᾳ δὲ
4 ἄνδρες ὀκτακισχίλιοι εἰς τὴν Γαλααδῖτιν. καὶ ἐπορεύθη Σίμων 21
εἰς τὴν Γαλιλαίαν καὶ συνῆψε πολέμους πολλοὺς πρὸς τὰ ἔθνη,
καὶ συνετρίβη τὰ ἔθνη ἀπὸ προσώπου αὐτοῦ, καὶ ἐδίωξεν αὐ- 22
τοὺς ἕως τῆς πύλης Πτολεμαΐδος. καὶ ἔπεσον ἐκ τῶν ἐθνῶν
εἰς τρισχιλίους ἄνδρας, καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν. καὶ παρέ- 23
λαβε τοὺς ἐν τῇ Γαλιλαίᾳ καὶ ἐν Ἀρβάττοις σὺν ταῖς γυναιξὶ
καὶ τοῖς τέκνοις καὶ πάντα, ὅσα ἦν αὐτοῖς, καὶ ἤγαγεν εἰς τὴν
20 1 Ἰουδαίαν μετ' εὐφροσύνης μεγάλης. καὶ Ἰούδας ὁ Μακκαβαῖος 24
καὶ Ἰωνάθαν ὁ ἀδελφὸς αὐτοῦ διέβησαν τὸν Ἰορδάνην καὶ ἐ-
πορεύθησαν ὁδὸν τριῶν ἡμερῶν ἐν τῇ ἐρήμῳ. καὶ συνήντησαν 25
τοῖς Ναβαταίοις, καὶ ἀπήντησαν αὐτοῖς εἰρηνικῶς καὶ διηγή-
σαντο αὐτοῖς ἅπαντα τὰ συμβάντα τοῖς ἀδελφοῖς αὐτῶν ἐν τῇ
Γαλααδίτιδι. καὶ ὅτι πολλοὶ ἐξ αὐτῶν συνειλημμένοι εἰσὶν εἰς 26
Βοσόραν, ἐν Ἀλέμοις, Χασφώρ, Μακὲδ καὶ Καρναΐν, πᾶσαι αἱ
πόλεις αὗται ὀχυραὶ καὶ μεγάλαι· καὶ ἐν ταῖς λοιπαῖς πόλεσι 27
τῆς Γαλααδίτιδός εἰσι συνειλημμένοι καὶ εἰς αὔριον τάσσονται
παρεμβάλλειν ἐπὶ τὰ ὀχυρώματα καὶ καταλαβέσθαι καὶ ἐξᾶραι
2 πάντας τούτους ἐν ἡμέρᾳ μιᾷ. καὶ ἀπέστρεψεν Ἰούδας καὶ ἡ 28
παρεμβολὴ αὐτοῦ ὁδὸν εἰς τὴν ἔρημον Βοσόραν ἄφνω· καὶ κα-
τελάβετο τὴν πόλιν καὶ ἀπέκτεινε πᾶν ἀρσενικὸν ἐν στόματι
ῥομφαίας καὶ ἔλαβε πάντα τὰ σκῦλα αὐτῶν καὶ ἐνέπρησεν αὐ-
τὴν πυρί. καὶ ἀπῆρεν ἐκεῖθεν νυκτός, καὶ ἐπορεύετο ἕως ἐπὶ 29
τὸ ὀχύρωμα· καὶ ἐγένετο ἑωθινῇ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν 30
καὶ ἰδοὺ λαὸς πολύς, οὗ οὐκ ἦν ἀριθμός, αἴροντες κλίμακας
καὶ μηχανὰς καταλαβέσθαι τὸ ὀχύρωμα καὶ ἐπολέμουν αὐτούς.
3 καὶ εἶδεν Ἰούδας ὅτι ἦρκται ὁ πόλεμος καὶ ἡ κραυγὴ τῆς πόλε- 31
ως ἀνέβη εἰς τὸν οὐρανὸν σάλπιγξι καὶ φωνῇ μεγάλῃ. καὶ εἶπε 32

τοῖς ἀνδράσι τῆς δυνάμεως· πολεμήσατε σήμερον ὑπὲρ τῶν ἀ-
δελφῶν ὑμῶν. καὶ ἐξῆλθεν ἐν τρισὶν ἀρχαῖς ἐξόπισθεν αὐτῶν, 33
καὶ ἐσάλπισαν ταῖς σάλπιγξι καὶ ἐβόησαν ἐν προσευχῇ. καὶ ἐ- 34
πέγνω ἡ παρεμβολὴ Τιμοθέου ὅτι Μακκαβαῖός ἐστι, καὶ ἔφυ-
γον ἀπὸ προσώπου αὐτοῦ, καὶ ἐπάταξεν αὐτοὺς πληγὴν μεγά-
λην, καὶ ἔπεσον ἐξ αὐτῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ εἰς ὀκτακισχι-
4 λίους ἄνδρας. καὶ ἀπέκλινεν εἰς Μααφὰ καὶ ἐπολέμησεν αὐτὴν 35
καὶ προκατελάβετο αὐτὴν καὶ ἀπέκτεινε πᾶν ἀρσενικὸν αὐτῆς
καὶ ἔλαβε τὰ σκῦλα αὐτῆς καὶ ἐνέπρησεν αὐτὴν πυρί. ἐκεῖθεν 36
ἀπῆρε καὶ προκατελάβετο τὴν Χασφώρ, Μακέδ, Βοσόραν, καὶ
21 1 τὰς λοιπὰς πόλεις τῆς Γαλαα δίτιδος. μετὰ δὲ τὰ ῥήματα ταῦτα 37
συνήγαγε Τιμόθεος παρεμβολὴν ἄλλην καὶ παρενέβαλε κατὰ
πρόσωπον Ῥαφὼν πέραν τοῦ χειμάρρου. καὶ ἀπέστειλεν Ἰού- 38
δας κατασκοπεῦσαι τὴν παρεμβολήν, καὶ ἀπήγγειλαν αὐτῷ λέ-
γοντες· Ἐπισυνηγμένα εἰσὶ πρὸς αὐτοὺς πάντα τὰ ἔθνη τὰ κύ-
κλῳ ἡμῶν, δύναμις πολλὴ σφόδρα· καὶ Ἄραβας μεμίσθωνται 39
εἰς βοήθειαν αὐτοῖς καὶ παρενέβαλον πέραν τοῦ χειμάρρου ἕ-
2 τοιμοι τοῦ ἐλθεῖν ἐπὶ σὲ εἰς πόλεμον. καὶ ἐπορεύθη Ἰούδας εἰς
συνάντησιν αὐτῶν. καὶ εἶπε Τιμόθεος τοῖς ἄρχουσι τῆς δυνά- 40
μεως αὐτοῦ ἐν τῷ ἐγγίζειν Ἰούδαν καὶ τὴν παρεμβολὴν αὐτοῦ
ἐπὶ τὸν χειμάρρουν τοῦ ὕδατος· Ἐὰν διαβῇ πρὸς ἡμᾶς πρότε-
ρος, οὐ δυνησόμεθα ὑποστῆναι αὐτόν, ὅτι δυνάμενος δυνήσε-
ται πρὸς ἡμᾶς· ἐὰν δὲ δειλωθῇ καὶ παρεμβάλῃ πέραν τοῦ ποτα- 41
μοῦ, διαπεράσομεν πρὸς αὐτὸν καὶ δυνησόμεθα πρὸς αὐτόν.
3 ὡς δὲ ἤγγισεν Ἰούδας ἐπὶ τὸν χειμάρρουν τοῦ ὕδατος, ἔστησε 42
τοὺς γραμματεῖς τοῦ λαοῦ ἐπὶ τοῦ χειμάρρου καὶ ἐνετείλατο
αὐτοῖς λέγων· Μὴ ἀφῆτε πάντα ἄνθρωπον παρεμβαλεῖν, ἀλλ'
ἐρχέσθωσαν πάντες εἰς τὸν πόλεμον. καὶ διεπέρασεν ἐπ' αὐ- 43
τοὺς πρότερος καὶ πᾶς ὁ λαὸς ὄπισθεν αὐτοῦ, καὶ συνετρίβη-
σαν πρὸ προσώπου αὐτοῦ πάντα τὰ ἔθνη καὶ ἔρριψαν τὰ ὅπλα
αὐτῶν καὶ ἔφυγον εἰς τὸ τέμενος ἐν Καρναΐν. καὶ προκατελά- 44
βοντο τὴν πόλιν καὶ τὸ τέμενος ἐνεπύρισαν ἐν πυρὶ σὺν πᾶσι
τοῖς ἐν αὐτῷ· καὶ ἐτροπώθη ἡ Καρναΐν, καὶ οὐκ ἐδύναντο ἔτι
22 1 ὑποστῆναι κατὰ πρόσωπον Ἰούδα. καὶ συνήγαγεν Ἰούδας πά- 45
ντα Ἰσραὴλ τοὺς ἐν τῇ Γαλαα δίτιδι ἀπὸ μικροῦ ἕως μεγάλου
καὶ τὰς γυναῖκας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν καὶ τὴν ἀποσκευ-
ήν, παρεμβολὴν μεγάλην σφόδρα, ἐλθεῖν εἰς γῆν Ἰούδα. καὶ 46
ἦλθον ἕως Ἐφρών, καὶ αὕτη ἡ πόλις μεγάλη ἐπὶ τῆς εἰσόδου ὀ-
χυρὰ σφόδρα, οὐκ ἦν ἐκκλῖναι ἀπ' αὐτῆς δεξιὰν ἢ ἀριστεράν,
ἀλλ' ἢ διὰ μέσου αὐτῆς πορεύεσθαι· καὶ ἀπέκλεισαν αὐτοὺς οἱ 47
ἐκ τῆς πόλεως καὶ ἐνέφραξαν τὰς πύλας λίθοις. καὶ ἀπέστειλε 48
πρὸς αὐτοὺς Ἰούδας λόγοις εἰρηνικοῖς λέγων· Διελευσόμεθα
διὰ τῆς γῆς σου τοῦ ἀπελθεῖν εἰς τὴν γῆν ἡμῶν, καὶ οὐδεὶς κα-
κοποιήσει ὑμᾶς, πλὴν τοῖς ποσὶ παρελευσόμεθα· καὶ οὐκ ἠβού-
2 λοντο ἀνοῖξαι αὐτῷ. καὶ ἐπέταξεν Ἰούδας κηρῦξαι ἐν τῇ πα- 49

ρεμβολῇ τοῦ παρεμβαλεῖν ἕκαστον ἐν ᾧ ἐστι τόπῳ· καὶ παρε-
νέβαλον οἱ ἄνδρες τῆς δυνάμεως, καὶ ἐπολέμησαν τὴν πόλιν ὅ- 50
λην τὴν ἡμέραν ἐκείνην καὶ ὅλην τὴν νύκτα, καὶ παρεδόθη ἡ
πόλις ἐν χερσὶν αὐτοῦ. καὶ ἀπώλεσε πᾶν ἀρσενικὸν ἐν στόματι 51
ῥομφαίας καὶ ἐξερρίζωσεν αὐτὴν καὶ ἔλαβε τὰ σκῦλα αὐτῆς
3 καὶ διῆλθε διὰ τῆς πόλεως ἐπάνω τῶν ἀπεκταμμένων. καὶ διέ- 52
βησαν τὸν Ἰορδάνην εἰς τὸ πεδίον τὸ μέγα κατὰ πρόσωπον
Βεθσάν. καὶ ἦν Ἰούδας ἐπισυνάγων τοὺς ἐσχατίζοντας καὶ πα- 53
ρακαλῶν τὸν λαὸν κατὰ πᾶσαν τὴν ὁδόν, ἕως οὗ ἦλθον εἰς
γῆν Ἰούδα. καὶ ἀνέβησαν εἰς τὸ ὄρος Σιὼν ἐν εὐφροσύνῃ καὶ 54
χαρᾷ καὶ προσήγαγον ὁλοκαυτώματα, ὅτι οὐκ ἔπεσεν ἐξ αὐ-
τῶν οὐθεὶς ἕως τοῦ ἐπιστρέψαι ἐν εἰρήνῃ.

23 1 Καὶ ἐν ταῖς ἡμέραις, αἷς ἦν Ἰούδας καὶ Ἰωνάθαν ἐν τῇ Γα- 55
λαὰδ καὶ Σίμων ὁ ἀδελφὸς αὐτοῦ ἐν τῇ Γαλιλαίᾳ κατὰ πρόσω-
πον Πτολεμαΐδος, ἤκουσεν Ἰώσηφος ὁ τοῦ Ζαχαρίου καὶ Ἀζα- 56
ρίας ἄρχοντες τῆς δυνάμεως τῶν ἀνδραγαθιῶν καὶ τοῦ πολέ-
μου, οἷα ἐποίησαν, καὶ εἶπε· ποιήσωμεν καὶ αὐτοὶ ἑαυτοῖς ὄνο- 57
μα καὶ πορευθῶμεν πολεμῆσαι πρὸς τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν.
καὶ παρήγγειλαν τοῖς ὑπὸ τῆς δυνάμεως τῆς μετ' αὐτῶν, καὶ ἐ- 58
πορεύθησαν ἐπὶ Ἰάμνειαν. καὶ ἐξῆλθε Γοργίας ἐκ τῆς πόλεως 59
2 καὶ οἱ ἄνδρες αὐτοῦ εἰς συνάντησιν αὐτοῖς εἰς πόλεμον. καὶ ἐ- 60
τροπώθη Ἰώσηφος καὶ Ἀζαρίας, καὶ ἐδιώχθησαν ἕως τῶν ὁ-
ρίων τῆς Ἰουδαίας, καὶ ἔπεσον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ τοῦ λαοῦ
τοῦ Ἰσραὴλ εἰς δισχιλίους ἄνδρας. καὶ ἐγενήθη τροπὴ μεγάλη 61
ἐν τῷ λαῷ Ἰσραήλ, ὅτι οὐκ ἤκουσαν Ἰούδα καὶ τῶν ἀδελφῶν
αὐτοῦ, οἰόμενοι ἀνδραγαθῆσαι· αὐτοὶ δὲ οὐκ ἦσαν ἐκ τοῦ 62
σπέρματος τῶν ἀνδρῶν ἐκείνων, οἷς ἐδόθη σωτηρία Ἰσραὴλ
διὰ χειρὸς αὐτῶν. καὶ ὁ ἀνὴρ Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐ- 63
δοξάσθησαν σφόδρα ἐναντίον παντὸς Ἰσραὴλ καὶ τῶν ἐθνῶν
πάντων, οὗ ἠκούετο τὸ ὄνομα αὐτῶν· καὶ ἐπισυνήγοντο πρὸς 64
3 αὐτοὺς εὐφημοῦντες. καὶ ἐξῆλθεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐ- 65
τοῦ καὶ ἐπολέμουν τοὺς υἱοὺς Ἠσαῦ ἐν τῇ γῇ πρὸς νότον καὶ
ἐπάταξε τὴν Χεβρὼν καὶ τὰς θυγατέρας αὐτῆς καὶ καθεῖλε τὸ
ὀχύρωμα αὐτῆς καὶ τοὺς πύργους αὐτῆς ἐνέπρησε κυκλόθεν.
καὶ ἀπῆρε τοῦ πορευθῆναι εἰς γῆν ἀλλοφύλων. καὶ διεπορεύε- 66
το τὴν Σαμάρειαν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔπεσον ἱερεῖς ἐν πολέμῳ 67
βουλόμενοι ἀνδραγαθῆσαι ἐν τῷ αὐτοὺς ἐξελθεῖν εἰς πόλεμον
ἀβουλεύτως. καὶ ἐξέκλινεν Ἰούδας εἰς Ἄζωτον γῆν ἀλλοφύ- 68
λων, καὶ καθεῖλε τοὺς βωμοὺς αὐτῶν καὶ τὰ γλυπτὰ τῶν θεῶν
αὐτῶν κατέκαυσε πυρὶ καὶ ἐσκύλευσε τὰ σκῦλα τῶν πόλεων
καὶ ἐπέστρεψεν εἰς τὴν γῆν Ἰούδα.

24 1 Καὶ ὁ βασιλεὺς Ἀντίοχος διεπορεύετο τὰς ἐπάνω χώρας **6**
καὶ ἤκουσεν ὅτι ἐστὶν Ἐλυμαΐς ἐν τῇ Περσίδι πόλις ἔνδοξος
πλούτῳ ἀργυρίῳ τε καὶ χρυσίῳ· καὶ τὸ ἱερὸν τὸ ἐν αὐτῇ πλού- 2
σιον σφόδρα, καὶ ἐκεῖ καλύμματα χρυσᾶ καὶ θώρακες καὶ ὅ-

πλα, ἃ κατέλιπεν ἐκεῖ Ἀλέξανδρος ὁ Φιλίππου βασιλεὺς ὁ Μα-
κεδών, ὃς ἐβασίλευσε πρῶτος ἐν τοῖς Ἕλλησι. καὶ ἦλθε καὶ ἐ- 3
ζήτει καταλαβέσθαι τὴν πόλιν καὶ προνομεῦσαι αὐτήν, καὶ οὐκ
ἠδυνάσθη, ὅτι ἐγνώσθη ὁ λόγος τοῖς ἐκ τῆς πόλεως, καὶ ἀντέ- 4
στησαν αὐτῷ εἰς πόλεμον, καὶ ἔφυγε καὶ ἀπῆρεν ἐκεῖθεν μετὰ
2 λύπης μεγάλης ἀποστρέψαι εἰς Βαβυλῶνα. καὶ ἦλθεν ἀπαγγέλ- 5
λων τις αὐτῷ εἰς τὴν Περσίδα ὅτι τετρόπωνται αἱ παρεμβολαὶ
αἱ πορευθεῖσαι εἰς γῆν Ἰούδα, καὶ ἐπορεύθη Λυσίας δυνάμει 6
ἰσχυρᾷ ἐν πρώτοις καὶ ἐνετράπη ἀπὸ προσώπου αὐτῶν, καὶ ἐ-
πίσχυσαν ὅπλοις καὶ δυνάμει καὶ σκύλοις πολλοῖς, οἷς ἔλαβον
ἀπὸ τῶν παρεμβολῶν, ὧν ἐξέκοψαν, καὶ καθεῖλον τὸ βδέλυγ- 7
μα, ὃ ᾠκοδόμησεν ἐπὶ τὸ θυσιαστήριον τὸ ἐν Ἱερουσαλήμ, καὶ
τὸ ἁγίασμα καθὼς τὸ πρότερον ἐκύκλωσαν τείχεσιν ὑψηλοῖς
25 1 καὶ τὴν Βεθσούραν πόλιν αὐτοῦ. καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βα- 8
σιλεὺς τοὺς λόγους τούτους, ἐθαμβήθη καὶ ἐσαλεύθη σφόδρα
καὶ ἔπεσεν ἐπὶ τὴν κοίτην καὶ ἐνέπεσεν εἰς ἀρρωστίαν ἀπὸ τῆς
λύπης, ὅτι οὐκ ἐγένετο αὐτῷ καθὼς ἐνεθυμεῖτο. καὶ ἦν ἐκεῖ ἡ- 9
μέρας πλείους, ὅτι ἀνεκαινίσθη ἐπ' αὐτὸν λύπη μεγάλη, καὶ ἐ-
2 λογίσατο ὅτι ἀποθνῄσκει. καὶ ἐκάλεσε πάντας τοὺς φίλους αὐ- 10
τοῦ καὶ εἶπε πρὸς αὐτούς· Ἀφίσταται ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλ-
μῶν μου, καὶ συμπέπτωκα τῇ καρδίᾳ ἀπὸ τῆς μερίμνης, καὶ εἶ- 11
πα τῇ καρδίᾳ μου· Ἕως τίνος θλίψεως ἦλθον κλύδωνος μεγά-
λου, ἐν ᾧ νῦν εἰμι; ὅτι χρηστὸς καὶ ἀγαπώμενος ἤμην ἐν τῇ ἐ-
ξουσίᾳ μου, νῦν δὲ μιμνῄσκομαι τῶν κακῶν, ὧν ἐποίησα ἐν Ἱε- 12
ρουσαλὴμ καὶ ἔλαβον πάντα τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ
τὰ ἐν αὐτῇ καὶ ἐξαπέστειλα ἐξᾶραι τοὺς κατοικοῦντας Ἰούδα
διακενῆς. ἔγνων οὖν ὅτι χάριν τούτων εὗρόν με τὰ κακὰ ταῦ- 13
3 τα· καὶ ἰδοὺ ἀπόλλυμαι λύπῃ μεγάλῃ ἐν γῇ ἀλλοτρίᾳ. καὶ ἐκά- 14
λεσε Φίλιππον ἕνα τῶν φίλων αὐτοῦ καὶ κατέστησεν αὐτὸν ἐπὶ
πάσης τῆς βασιλείας αὐτοῦ· καὶ ἔδωκεν αὐτῷ τὸ διάδημα καὶ 15
τὴν στολὴν αὐτοῦ καὶ τὸν δακτύλιον τοῦ ἀγαγεῖν Ἀντίοχον
τὸν υἱὸν αὐτοῦ καὶ ἐκθρέψαι αὐτὸν τοῦ βασιλεύειν. καὶ ἀπέθα- 16
νεν ἐκεῖ Ἀντίοχος ὁ βασιλεὺς ἔτους ἐνάτου καὶ τεσσαρακο-
στοῦ καὶ ἑκατοστοῦ. καὶ ἐπέγνω Λυσίας ὅτι τέθνηκεν ὁ βασι- 17
λεύς, καὶ κατέστησε βασιλεύειν Ἀντίοχον τὸν υἱὸν αὐτοῦ ἀντ'
αὐτοῦ, ὃν ἐξέθρεψε νεώτερον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Εὐ-
πάτορα.
26 1 Καὶ οἱ ἐκ τῆς ἄκρας ἦσαν συγκλείοντες τὸν Ἰσραὴλ κύ- 18
κλῳ τῶν ἁγίων καὶ ζητοῦντες τὰ κακὰ δι' ὅλου καὶ στήριγμα
τοῖς ἔθνεσι. καὶ ἐλογίσατο Ἰούδας ἐξᾶραι αὐτοὺς καὶ ἐξεκκλη- 19
σίασε πάντα τὸν λαὸν τοῦ περικαθίσαι ἐπ' αὐτούς· καὶ συνή- 20
χθησαν ἅμα καὶ περιεκάθισαν ἐπ' αὐτοὺς ἔτους πεντηκοστοῦ
καὶ ἑκατοστοῦ, καὶ ἐποίησεν ἐπ' αὐτοὺς βελοστάσεις καὶ μη-
2 χανάς. καὶ ἐξῆλθον ἐξ αὐτῶν ἐκ τοῦ συγκλεισμοῦ, καὶ ἐκολλή- 21
θησαν αὐτοῖς τινες τῶν ἀσεβῶν ἐξ Ἰσραήλ, καὶ ἐπορεύθησαν 22

πρὸς τὸν βασιλέα καὶ εἶπον· Ἕως πότε οὐ ποιήσῃ κρίσιν καὶ
ἐκδικήσεις τοὺς ἀδελφοὺς ἡμῶν; ἡμεῖς εὐδοκοῦμεν δουλεύειν 23
τῷ πατρί σου καὶ πορεύεσθαι τοῖς ὑπ' αὐτοῦ λεγομένοις καὶ
κατακολουθεῖν τοῖς προστάγμασιν αὐτοῦ. καὶ περικάθηνται εἰς 24
τὴν ἄκραν υἱοὶ τοῦ λαοῦ ἡμῶν χάριν τούτου καὶ ἀλλοτριοῦνται
ἀφ' ἡμῶν· πλὴν ὅσοι εὑρίσκοντο ἀφ' ἡμῶν ἐθανατοῦντο καὶ αἱ
3 κληρονομίαι ἡμῶν διηρπάζοντο. καὶ οὐκ ἐφ' ἡμᾶς μόνον ἐξέ- 25
τειναν χεῖρα, ἀλλὰ καὶ ἐπὶ πάντα τὰ ὅρια αὐτῶν· καὶ ἰδοὺ πα- 26
ρεμβεβλήκασι σήμερον ἐπὶ τὴν ἄκραν ἐν Ἰερουσαλὴμ τοῦ κα-
ταλαβέσθαι αὐτήν· καὶ τὸ ἁγίασμα καὶ τὴν Βεθσούραν ὠχύρω-
σαν, καὶ ἐὰν μὴ προκαταλάβῃ αὐτοὺς διὰ τάχους, μείζονα τού- 27
των ποιήσουσι, καὶ ἰδοὺ <οὐ> δυνήσῃ τοῦ κατασχεῖν αὐτῶν.

27 1 Καὶ ὠργίσθη ὁ βασιλεὺς ὅτε ἤκουσε, καὶ συνήγαγε πά- 28
ντας τοὺς φίλους αὐτοῦ καὶ τοὺς ἄρχοντας τῆς δυνάμεως αὐ-
τοῦ καὶ τοὺς ἐπὶ τῶν ἡνίων· καὶ ἀπὸ βασιλειῶν ἑτέρων καὶ ἀ- 29
πὸ Νήσων θαλασσῶν ἦλθον πρὸς αὐτὸν δυνάμεις μισθωταί.
καὶ ἦν ὁ ἀριθμὸς τῶν δυνάμεων αὐτοῦ ἑκατὸν χιλιάδες τῶν 30
πεζῶν καὶ εἴκοσι χιλιάδες ἵππων καὶ ἐλέφαντες δύο καὶ τριά-
κοντα εἰδότες πόλεμον. καὶ ἦλθον διὰ τῆς Ἰδουμαίας καὶ παρε- 31
νέβαλον ἐπὶ Βεθσούραν καὶ ἐπολέμησαν ἡμέρας πολλὰς καὶ ἐ-
ποίησαν μηχανάς· καὶ ἐξῆλθον καὶ ἐνεπύρισαν αὐτὰς ἐν πυρὶ
2 καὶ ἐπολέμησαν ἀνδρωδῶς. καὶ ἀπῆρεν Ἰούδας ἀπὸ τῆς ἄκρας 32
καὶ παρενέβαλεν εἰς Βεθζαχαρία ἀπέναντι τῆς παρεμβολῆς τοῦ
βασιλέως. καὶ ὤρθρισεν ὁ βασιλεὺς τὸ πρωῒ καὶ ἀπῆρε τὴν πα- 33
ρεμβολὴν ἐν ὁρμήματι αὐτῆς κατὰ τὴν ὁδὸν Βεθζαχαρία, καὶ
διεσκευάσθησαν αἱ δυνάμεις εἰς τὸν πόλεμον καὶ ἐσάλπισαν
ταῖς σάλπιγξι. καὶ τοῖς ἐλέφασιν ἔδειξαν αἷμα σταφυλῆς καὶ 34
3 μόρων τοῦ παραστῆσαι αὐτοὺς εἰς τὸν πόλεμον. καὶ διεῖλον τὰ 35
θηρία εἰς τὰς φάλαγγας καὶ παρέστησαν ἑκάστῳ ἐλέφαντι χι-
λίους ἄνδρας τεθωρακισμένους ἐν ἁλυσιδωτοῖς, καὶ περικεφα-
λαῖαι χαλκαῖ ἐπὶ τῶν κεφαλῶν αὐτῶν, καὶ πεντακόσιοι ἵπποι
διατεταγμένοι ἑκάστῳ θηρίῳ ἐκλελεγμένοι· οὗτοι πρὸ καιροῦ, 36
οὗ ἐὰν ἦν τὸ θηρίον ἦσαν καὶ οὗ ἐὰν ἐπορεύετο ἐπορεύοντο ἅ-
μα, οὐκ ἀφίσταντο ἀπ' αὐτοῦ. καὶ πύργοι ξύλινοι ἐπ' αὐτοὺς ὀ- 37
χυροὶ σκεπαζόμενοι ἐφ' ἑκάστου θηρίου ἐζωσμένοι ἐπ' αὐτοῦ
μηχαναῖς, καὶ ἐφ' ἑκάστου ἄνδρες δυνάμεως δύο καὶ τριάκο-
ντα οἱ πολεμοῦντες ἐπ' αὐτοῖς καὶ ὁ Ἰνδὸς αὐτοῦ. καὶ τὴν ἐπί- 38
λοιπον ἵππον ἔνθεν καὶ ἔνθεν ἔστησαν ἐπὶ τὰ δύο μέρη τῆς πα-
ρεμβολῆς κατασείοντες καὶ καταφρασσόμενοι ἐν ταῖς φάραγ-
4 ξιν. ὡς δὲ ἔστιλβεν ὁ ἥλιος ἐπὶ τὰς χρυσᾶς καὶ χαλκᾶς ἀσπί- 39
δας, ἔστιλβε τὰ ὄρη ἀπ' αὐτῶν καὶ κατηύγαζεν ὡς λαμπάδες
πυρός. καὶ ἐξετάθη μέρος τι τῆς παρεμβολῆς τοῦ βασιλέως ἐπὶ 40
τὰ ὑψηλὰ ὄρη καί τινες ἐπὶ τὰ ταπεινά· καὶ ἤρχοντο ἀσφαλῶς
καὶ τεταγμένως. καί ἐσαλεύοντο πάντες οἱ ἀκούοντες φωνῆς 41
πλήθους αὐτῶν καὶ ὁδοιπορίας τοῦ πλήθους καὶ συγκρουσμοῦ

τῶν ὅπλων· ἦν γὰρ ἡ παρεμβολὴ μεγάλη σφόδρα καὶ ἰσχυρά.
28 1 καὶ ἤγγισεν Ἰούδας καὶ ἡ παρεμβολὴ αὐτοῦ εἰς παράταξιν, καὶ 42
ἔπεσον ἀπὸ τῆς παρεμβολῆς τοῦ βασιλέως ἑξακόσιοι ἄνδρες.
καὶ εἶδεν Ἐλεάζαρ ὁ Αὐαρὰν ἓν τῶν θηρίων τεθωρακισμένον 43
θώρακι βασιλικῷ, καὶ ἦν ὑπεράγον πάντα τὰ θηρία, καὶ ᾠήθη
ὅτι ἐν αὐτῷ ἐστιν ὁ βασιλεύς. καὶ ἔδωκεν ἑαυτὸν τοῦ σῶσαι 44
τὸν λαὸν αὐτοῦ καὶ περιποιῆσαι ἑαυτῷ ὄνομα αἰώνιον· καὶ ἐ- 45
πέδραμεν αὐτῷ θράσει εἰς μέσον τῆς φάλαγγος καὶ ἐθανάτου
δεξιὰ καὶ εὐώνυμα, καὶ ἐσχίζοντο ἀπ' αὐτοῦ ἔνθα καὶ ἔνθα· καὶ 46
εἰσέδυ ὑπὸ τὸν ἐλέφαντα καὶ ὑπέθηκεν αὐτῷ καὶ ἀνεῖλεν αὐ-
τόν, καὶ ἔπεσεν ἐπὶ τὴν γῆν ἐπάνω αὐτοῦ, καὶ ἀπέθανεν ἐκεῖ.
καὶ εἶδον τὴν ἰσχὺν τῆς βασιλείας καὶ τὸ ὅρμημα τῶν δυνάμε- 47
2 ων, καὶ ἐξέκλιναν ἀπ' αὐτῶν. οἱ δὲ ἐκ τῆς παρεμβολῆς τοῦ βα- 48
σιλέως ἀνέβαινον εἰς συνάντησιν αὐτῶν εἰς Ἱερουσαλήμ, καὶ
παρενέβαλεν ὁ βασιλεὺς εἰς τὴν Ἰουδαίαν καὶ εἰς τὸ ὄρος
Σιών. καὶ ἐποίησεν εἰρήνην μετὰ τῶν ἐκ Βεθσούρων, καὶ ἐξῆλ- 49
θον ἐκ τῆς πόλεως, ὅτι οὐκ ἦν αὐτοῖς ἐκεῖ διατροφὴ τοῦ συγ-
κεκλεῖσθαι ἐν αὐτῇ, ὅτι σάββατον ἦν τῇ γῇ· καὶ κατελάβετο ὁ 50
βασιλεὺς τὴν Βεθσούραν, καὶ ἀπέταξεν ἐκεῖ φρουρὰν τηρεῖν
3 αὐτήν. καὶ παρενέβαλεν ἐπὶ τὸ ἁγίασμα ἡμέρας πολλὰς καὶ ἔ- 51
στησεν ἐκεῖ βελοστάσεις καὶ μηχανὰς καὶ πυροβόλα καὶ λιθο-
βόλα καὶ σκορπίδια εἰς τὸ βάλλεσθαι βέλη καὶ σφενδόνας. καὶ 52
ἐποίησαν καὶ αὐτοὶ μηχανὰς πρὸς τὰς μηχανὰς αὐτῶν καὶ ἐπο-
λέμησαν ἡμέρας πολλάς. βρώματα δὲ οὐκ ἦν ἐν τοῖς ἀγγείοις 53
διὰ τὸ ἕβδομον ἔτος εἶναι, καὶ οἱ ἀνασῳζόμενοι εἰς τὴν Ἰου-
δαίαν ἀπὸ τῶν ἐθνῶν κατέφαγον τὸ ὑπόλειμμα τῆς παραθέσε-
ως. καὶ ὑπελείφθησαν ἐν τοῖς ἁγίοις ἄνδρες ὀλίγοι, ὅτι κατε- 54
κράτησεν αὐτῶν ὁ λιμός, καὶ ἐσκορπίσθησαν ἕκαστος εἰς τὸν
τόπον αὐτοῦ.
29 1 Καὶ ἤκουσε Λυσίας ὅτι Φίλιππος, ὃν κατέστησεν ὁ βασι- 55
λεὺς Ἀντίοχος ἔτι ζῶν ἐκθρέψαι Ἀντίοχον τὸν υἱὸν αὐτοῦ εἰς
τὸ βασιλεῦσαι αὐτόν, ἀπέστρεψεν ἀπὸ τῆς Περσίδος καὶ Μη- 56
δίας καὶ αἱ δυνάμεις αἱ πορευθεῖσαι τοῦ βασιλέως μετ' αὐτοῦ,
2 καὶ ὅτι ζητεῖ παραλαβεῖν τὰ πράγματα. καὶ κατέσπευδε τοῦ ἀ- 57
πελθεῖν καὶ εἰπεῖν πρὸς τὸν βασιλέα καὶ τοὺς ἡγεμόνας τῆς δυ-
νάμεως καὶ τοὺς ἄνδρας· Ἐκλείπομεν καθ' ἡμέραν, καὶ ἡ τρο-
φὴ ἡμῖν ὀλίγη, καὶ ὁ τόπος οὗ παρεμβάλλομέν ἐστιν ὀχυρός,
καὶ ἐπίκειται ἡμῖν τὰ τῆς βασιλείας· νῦν οὖν δῶμεν δεξιὰν τοῖς 58
ἀνθρώποις τούτοις καὶ ποιήσωμεν μετ' αὐτῶν εἰρήνην καὶ με-
τὰ παντὸς <τοῦ> ἔθνους αὐτῶν καὶ στήσωμεν αὐτοῖς τοῦ 59
πορεύεσθαι τοῖς νομίμοις αὐτῶν, ὡς τὸ πρότερον· χάριν γὰρ
τῶν νομίμων αὐτῶν, ὧν διεσκεδάσαμεν, ὠργίσθησαν καὶ ἐποί-
3 ησαν ταῦτα πάντα. καὶ ἤρεσεν ὁ λόγος ἐναντίον τοῦ βασιλέως 60
καὶ τῶν ἀρχόντων, καὶ ἀπέστειλε πρὸς αὐτοὺς εἰρηνεῦσαι, καὶ
ἐπεδέξαντο. καὶ ὤμοσεν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες· ἐ- 61

πὶ τούτοις ἐξῆλθον ἐκ τοῦ ὀχυρώματος. καὶ εἰσῆλθεν ὁ βασι- 62
λεὺς εἰς τὸ ὄρος Σιὼν καὶ εἶδε τὸ ὀχύρωμα τοῦ τόπου καὶ ἠθέ-
τησε τὸν ὁρκισμόν, ὃν ὤμοσε, καὶ ἐνετείλατο καθελεῖν τὸ τεῖ-
χος κυκλόθεν. καὶ ἀπῆρε κατὰ σπουδὴν καὶ ἀπέστρεψεν εἰς Ἀ- 63
ντιόχειαν καὶ εὗρε Φίλιππον κυριεύοντα τῆς πόλεως καὶ ἐπο-
λέμησε πρὸς αὐτόν, καὶ κατελάβετο τὴν πόλιν βίᾳ.

30 1 Ἔτους ἑνὸς καὶ πεντηκοστοῦ καὶ ἑκατοστοῦ ἐξῆλθε Δημή- **7**
τριος ὁ τοῦ Σελεύκου ἐκ Ῥώμης καὶ ἀνέβη σὺν ἀνδράσιν ὀλί-
γοις εἰς πόλιν παραθαλασσίαν καὶ ἐβασίλευσεν ἐκεῖ. καὶ ἐγένε- 2
το ὡς εἰσεπορεύετο εἰς οἶκον βασιλείας πατέρων αὐτοῦ, καὶ
συνέλαβον αἱ δυνάμεις τὸν Ἀντίοχον καὶ τὸν Λυσίαν ἀγαγεῖν
αὐτοὺς αὐτῷ. καὶ ἐγνώσθη αὐτῷ τὸ πρᾶγμα καὶ εἶπε· Μή μοι 3
δείξητε τὰ πρόσωπα αὐτῶν. καὶ ἀπέκτειναν αὐτοὺς αἱ δυνά- 4
2 μεις, καὶ ἐκάθισε Δημήτριος ἐπὶ θρόνου βασιλείας αὐτοῦ. καὶ 5
ἦλθον πρὸς αὐτὸν πάντες ἄνδρες ἄνομοι καὶ ἀσεβεῖς ἐξ Ἰσ-
ραήλ, καὶ Ἄλκιμος ἡγεῖτο αὐτῶν, βουλόμενος ἱερατεύειν. καὶ 6
κατηγόρησαν τοῦ λαοῦ πρὸς τὸν βασιλέα λέγοντες· Ἀπώλεσεν
Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ τοὺς φίλους σου, καὶ ἡμᾶς ἐσκόρ-
πισαν ἀπὸ τῆς γῆς ἡμῶν· νῦν οὖν ἀπόστειλον ἄνδρα, ᾧ πιστεύ- 7
εις, καὶ πορευθεὶς ἰδέτω τὴν ἐξολόθρευσιν πᾶσαν, ἣν ἐποίησεν
ἡμῖν καὶ τῇ χώρᾳ τοῦ βασιλέως, καὶ κολασάτω αὐτοὺς καὶ πά-
3 ντας τοὺς ἐπιβοηθοῦντας αὐτοῖς. καὶ ἐπέλεξεν ὁ βασιλεὺς τὸν 8
Βακχίδην τῶν φίλων τοῦ βασιλέως κυριεύοντα ἐν τῷ πέραν
τοῦ ποταμοῦ καὶ μέγαν ἐν τῇ βασιλείᾳ καὶ πιστὸν τῷ βασιλεῖ
καὶ ἀπέστειλεν αὐτὸν καὶ Ἄλκιμον τὸν ἀσεβῆ, καὶ ἔστησεν αὐ- 9
τῷ τὴν ἱερωσύνην καὶ ἐνετείλατο αὐτῷ ποιῆσαι τὴν ἐκδίκησιν
ἐν τοῖς υἱοῖς Ἰσραήλ. καὶ ἀπῆραν καὶ ἦλθον μετὰ δυνάμεως 10
πολλῆς εἰς γῆν Ἰούδα· καὶ ἀπέστειλεν ἀγγέλους πρὸς Ἰούδαν
καὶ τοὺς ἀδελφοὺς αὐτοῦ λόγοις εἰρηνικοῖς μετὰ δόλου. καὶ οὐ 11
προσέσχον τοῖς λόγοις αὐτῶν· εἶδον γὰρ ὅτι ἦλθον μετὰ δυνά-
4 μεως πολλῆς. καὶ ἐπισυνήχθησαν πρὸς Ἄλκιμον καὶ Βακχίδην 12
συναγωγὴ γραμματέων ἐκζητῆσαι δίκαια, καὶ πρῶτοι οἱ Ἀσι- 13
δαῖοι ἦσαν ἐν υἱοῖς Ἰσραὴλ καὶ ἐπεζήτουν παρ' αὐτῶν εἰρήνην·
εἶπαν γάρ· Ἄνθρωπος ἱερεὺς ἐκ τοῦ σπέρματος Ἀαρὼν ἦλθεν 14
ἐν ταῖς δυνάμεσι καὶ οὐκ ἀδικήσει ἡμᾶς. καὶ ἐλάλησε μετ' αὐ- 15
τῶν λόγους εἰρηνικοὺς καὶ ὤμοσεν αὐτοῖς λέγων· Οὐκ ἐκζητή-
σομεν ὑμῖν κακὸν καὶ τοῖς φίλοις ὑμῶν. καὶ ἐνεπίστευσαν αὐ- 16
τῷ, καὶ συνέλαβεν ἐξ αὐτῶν ἑξήκοντα ἄνδρας καὶ ἀπέκτεινεν
αὐτοὺς ἐν ἡμέρᾳ μιᾷ κατὰ τὸν λόγον, ὃν ἔγραψε·

5 Σάρκας ὁσίων σου 17
καὶ αἵματα αὐτῶν ἐξέχεαν κύκλῳ Ἰερουσαλήμ, 18
καὶ οὐκ ἦν αὐτοῖς ὁ θάπτων. (Ψα 78,2-3).

καὶ ἐπέπεσεν αὐτῶν ὁ φόβος καὶ ὁ τρόμος ἐπὶ πάντα τὸν λαόν,
ὅτι εἶπαν· οὐκ ἔστιν ἐν αὐτοῖς ἀλήθεια καὶ κρίσις, παρέβησαν
γὰρ τὴν στάσιν καὶ τὸν ὅρκον, ὃν ὤμοσαν. καὶ ἀπῆρε Βακχί- 19

δης ἀπὸ Ἰερουσαλὴμ καὶ παρενέβαλεν ἐν Βηθζαϊθ καὶ ἀπέστει-
λε καὶ συνέλαβε πολλοὺς ἀπὸ τῶν ἀπ' αὐτοῦ αὐτομολησάντων
ἀνδρῶν καί τινας τοῦ λαοῦ καὶ ἔθυσεν αὐτοὺς εἰς τὸ φρέαρ τὸ
μέγα. καὶ κατέστησε τὴν χώραν τῷ Ἀλκίμῳ καὶ ἀφῆκε μετ' αὐ- 20
τοῦ δύναμιν τοῦ βοηθεῖν αὐτῷ· καὶ ἀπῆλθε Βακχίδης πρὸς τὸν
6 βασιλέα. καὶ ἠγωνίσατο Ἄλκιμος περὶ τῆς ἀρχιερωσύνης, καὶ 21 22
συνήχθησαν πρὸς αὐτὸν πάντες οἱ ταράσσοντες τὸν λαὸν αὐ-
τῶν καὶ κατεκράτησαν γῆν Ἰούδα καὶ ἐποίησαν πληγὴν μεγά-
λην ἐν Ἰσραήλ. καὶ εἶδεν Ἰούδας πᾶσαν τὴν κακίαν, ἣν ἐποίη- 23
σεν Ἄλκιμος καὶ οἱ μετ' αὐτοῦ ἐν υἱοῖς Ἰσραὴλ ὑπὲρ τὰ ἔθνη,
καὶ ἐξῆλθεν εἰς πάντα τὰ ὅρια τῆς Ἰουδαίας κυκλόθεν καὶ ἐποί- 24
ησεν ἐκδίκησιν ἐν τοῖς ἀνδράσι τοῖς αὐτομολήσασι, καὶ ἀνε-
7 στάλησαν τοῦ πορεύεσθαι εἰς τὴν χώραν. ὡς δὲ εἶδεν Ἄλκι- 25
μος ὅτι ἐνίσχυσεν Ἰούδας καὶ οἱ μετ' αὐτοῦ, καὶ ἔγνω ὅτι οὐ
δύναται ὑποστῆναι αὐτούς, καὶ ἐπέστρεψε πρὸς τὸν βασιλέα
καὶ κατηγόρησεν αὐτῶν πονηρά.

31 1 Καὶ ἀπέστειλεν ὁ βασιλεὺς Νικάνορα ἕνα τῶν ἀρχόντων 26
αὐτοῦ τῶν ἐνδόξων καὶ μισοῦντα καὶ ἐχθραίνοντα τῷ Ἰσραὴλ
καὶ ἐνετείλατο αὐτῷ ἐξᾶραι τὸν λαόν. καὶ ἦλθε Νικάνωρ εἰς Ἰε- 27
ρουσαλὴμ δυνάμει πολλῇ, καὶ ἀπέστειλε πρὸς Ἰούδαν καὶ τοὺς
ἀδελφοὺς αὐτοῦ μετὰ δόλου λόγοις εἰρηνικοῖς λέγων· Μὴ ἔ- 28
στω μάχη ἀναμέσον ἐμοῦ καὶ ὑμῶν· ἥξω ἐν ἀδράσιν ὀλίγοις,
ἵνα ὑμῶν ἴδω τὰ πρόσωπα μετ' εἰρήνης. καὶ ἦλθε πρὸς Ἰού- 29
δαν, καὶ ἠσπάσαντο ἀλλήλους εἰρηνικῶς· καὶ οἱ πολέμιοι ἦσαν
2 ἕτοιμοι ἐξαρπᾶσαι τὸν Ἰούδαν. καὶ ἐγνώσθη ὁ λόγος τῷ Ἰού- 30
δᾳ ὅτι μετὰ δόλου ἦλθεν ἐπ' αὐτόν, καὶ ἐπτοήθη ἀπ' αὐτοῦ καὶ
οὐκ ἐβουλήθη ἔτι ἰδεῖν τὸ πρόσωπον αὐτοῦ. καὶ ἔγνω Νικά- 31
νωρ, ὅτι ἀπεκαλύφθη ἡ βουλὴ αὐτοῦ, καὶ ἐξῆλθεν εἰς συνάντη-
σιν τῷ Ἰούδᾳ ἐν πολέμῳ κατὰ Χαφαρσαλαμά. καὶ ἔπεσον τῶν 32
παρὰ Νικάνορος ὡσεὶ πεντακισχίλιοι ἄνδρες, καὶ ἔφυγον εἰς
τὴν πόλιν Δαυΐδ.

32 1 Καὶ μετὰ τοὺς λόγους τούτους ἀνέβη Νικάνωρ εἰς τὸ ὄ- 33
ρος Σιών. καὶ ἐξῆλθον ἀπὸ τῶν ἱερέων ἐκ τῶν ἁγίων καὶ ἀπὸ
τῶν πρεσβυτέρων τοῦ λαοῦ ἀσπάσασθαι αὐτὸν εἰρηνικῶς καὶ
δεῖξαι αὐτῷ τὴν ὁλοκαύτωσιν τὴν προσφερομένην ὑπὲρ τοῦ
βασιλέως. καὶ ἐμυκτήρισεν αὐτοὺς καὶ κατεγέλασεν αὐτῶν καὶ 34
ἐμίανεν αὐτοὺς καὶ ἐλάλησεν ὑπερηφάνως· καὶ ὤμοσε μετὰ θυ- 35
μοῦ λέγων· Ἐὰν μὴ παραδοθῇ Ἰούδας καὶ ἡ παρεμβολὴ αὐτοῦ
εἰς χεῖράς μου τὸ νῦν, καὶ ἔσται ἐὰν ἐπιστρέψω ἐν εἰρήνῃ, ἐ-
2 μπυριῶ τὸν οἶκον τοῦτον. καὶ ἐξῆλθε μετὰ θυμοῦ μεγάλου. καὶ 36
εἰσῆλθον οἱ ἱερεῖς καὶ ἔστησαν κατὰ πρόσωπον τοῦ θυσιαστη-
ρίου καὶ τοῦ ναοῦ καὶ ἔκλαυσαν καὶ εἶπον· Σύ, Κύριε, ἐξελέξω 37
τὸν οἶκον τοῦτον ἐπικληθῆναι τὸ ὄνομά σου ἐπ' αὐτῷ εἶναι οἶ-
κον προσευχῆς καὶ δεήσεως τῷ λαῷ σου· ποίησον ἐκδίκησιν 38
ἐν τῷ ἀνθρώπῳ τούτῳ καὶ ἐν τῇ παρεμβολῇ αὐτοῦ, καὶ πεσά-

τωσαν ἐν ῥομφαίᾳ· μνήσθητι τῶν δυσφημιῶν αὐτῶν καὶ μὴ
3 δῷς αὐτοῖς μονήν. καὶ ἐξῆλθε Νικάνωρ ἐξ Ἱερουσαλὴμ καὶ πα- 39
ρενέβαλεν ἐν Βεθωρών, καὶ συνήντησεν αὐτῷ δύναμις Συρίας.
καὶ Ἰούδας παρενέβαλεν ἐν Ἀδασὰ ἐν τρισχιλίοις ἀνδράσι· καὶ 40
προσηύξατο Ἰούδας καὶ εἶπεν· Οἱ παρὰ τοῦ βασιλέως Ἀσσυ- 41
ρίων ὅτε ἐδυσφήμησαν, ἐξῆλθεν ἄγγελός σου, Κύριε, καὶ ἐπά-
ταξεν ἐν αὐτοῖς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας· οὕτω σύν- 42
τριψον τὴν παρεμβολὴν ταύτην ἐνώπιον ἡμῶν σήμερον, καὶ
γνώτωσαν οἱ ἐπίλοιποι, ὅτι κακῶς ἐλάλησαν ἐπὶ τὰ ἅγιά σου,
4 καὶ κρῖνον αὐτὸν κατὰ τὴν κακίαν αὐτοῦ. καὶ συνῆψαν αἱ πα- 43
ρεμβολαὶ εἰς πόλεμον τῇ τρισκαιδεκάτῃ τοῦ μηνὸς Ἀδάρ, καὶ
συνετρίβη ἡ παρεμβολὴ Νικάνορος, καὶ ἔπεσεν αὐτὸς πρῶτος
ἐν τῷ πολέμῳ. ὡς δὲ εἶδεν ἡ παρεμβολὴ αὐτοῦ ὅτι ἔπεσε Νι- 44
κάνωρ, ῥίψαντες τὰ ὅπλα αὐτῶν ἔφυγον. καὶ κατεδίωκον αὐ- 45
τοὺς ὁδὸν ἡμέρας μιᾶς ἀπὸ Ἀδασὰ ἕως τοῦ ἐλθεῖν εἰς Γάζαρα
καὶ ἐσάλπισαν ὀπίσω αὐτῶν ταῖς σάλπιγξι τῶν σημασιῶν. καὶ 46
ἐξῆλθον ἐκ πασῶν τῶν κωμῶν τῆς Ἰουδαίας κυκλόθεν καὶ ὑ-
περεκέρων αὐτούς, καὶ ἀνέστρεψαν οὗτοι πρὸς τούτους, καὶ ἔ-
πεσον πάντες ῥομφαίᾳ, καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς.
5 καὶ ἔλαβον τὰ σκῦλα καὶ τὴν προνομήν, καὶ τὴν κεφαλὴν Νικά- 47
νορος ἀφεῖλον καὶ τὴν δεξιὰν αὐτοῦ, ἣν ἐξέτεινεν ὑπερηφά-
νως, καὶ ἤνεγκαν καὶ ἐξέτειναν παρὰ τὴν Ἱερουσαλήμ. καὶ εὐ-
φράνθη ὁ λαὸς σφόδρα καὶ ἤγαγον τὴν ἡμέραν ἐκείνην ἡμέραν 48
εὐφροσύνης μεγάλης· καὶ ἔστησαν τοῦ ἄγειν κατὰ ἐνιαυτὸν 49
τὴν ἡμέραν ταύτην τὴν τρισκαιδεκάτην τοῦ Ἀδάρ. καὶ ἡσύχα- 50
σεν ἡ γῆ Ἰούδα ἡμέρας ὀλίγας.

33 1 Καὶ ἤκουσεν Ἰούδας τὸ ὄνομα τῶν Ῥωμαίων, ὅτι εἰσὶ δυ- **8**
νατοὶ ἰσχύι καὶ αὐτοὶ εὐδοκοῦσιν ἐν πᾶσι τοῖς προστιθεμένοις
αὐτοῖς, καὶ ὅσοι ἂν προσέλθωσιν αὐτοῖς, ἱστῶσιν αὐτοῖς φι-
λίαν, καὶ ὅτι εἰσὶ δυνατοὶ ἰσχύι. καὶ διηγήσαντο αὐτῷ τοὺς πο- 2
λέμους αὐτῶν καὶ τὰς ἀνδραγαθίας, ἃς ποιοῦσιν ἐν τοῖς Γαλά-
ταις, καὶ ὅτι κατεκράτησαν αὐτῶν καὶ ἤγαγον αὐτοὺς ὑπὸ φό-
ρον, καὶ ὅσα ἐποίησαν ἐν χώρᾳ Ἱσπανίας τοῦ κατακρατῆσαι 3
τῶν μετάλλων τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου τοῦ ἐκεῖ· καὶ κα- 4
τεκράτησαν τοῦ τόπου παντὸς τῇ βουλῇ αὐτῶν καὶ τῇ μακρο-
θυμίᾳ, καὶ ὁ τόπος ἦν μακρὰν ἀπέχων ἀπ' αὐτῶν σφόδρα, καὶ
τῶν βασιλέων τῶν ἐπελθόντων ἐπ' αὐτοὺς ἀπ' ἄκρου τῆς γῆς
ἕως συνέτριψαν αὐτοὺς καὶ ἐπάταξαν ἐν αὐτοῖς πληγὴν μεγά-
2 λην, καὶ οἱ ἐπίλοιποι διδόασιν αὐτοῖς φόρον κατ' ἐνιαυτόν· καὶ 5
τὸν Φίλιππον καὶ τὸν Περσέα Κιτιέων βασιλέα καὶ τοὺς ἐπηρ-
μένους ἐπ' αὐτοὺς συνέτριψαν αὐτοὺς ἐν πολέμῳ καὶ κατεκρά-
τησαν αὐτῶν· καὶ Ἀντίοχον τὸν μέγαν βασιλέα τῆς Ἀσίας τὸν 6
πορευθέντα ἐπ' αὐτοὺς εἰς πόλεμον ἔχοντα ἑκατὸν εἴκοσιν ἐ-
λέφαντας καὶ ἵππον καὶ ἅρματα καὶ δύναμιν πολλὴν σφόδρα,
καὶ συνετρίβη ὑπ' αὐτῶν, καὶ ἔλαβον αὐτὸν ζῶντα καὶ ἔστη- 7

σαν αὐτοῖς διδόναι αὐτόν τε καὶ τοὺς βασιλεύοντας μετ' αὐτὸν
φόρον μέγαν καὶ διδόναι ὅμηρα καὶ διαστολὴν καὶ χώραν τὴν 8
Ἰνδικὴν καὶ Μηδίαν καὶ Λυδίαν καὶ ἀπὸ τῶν καλλίστων χω-
ρῶν αὐτῶν, καὶ λαβόντες αὐτὰς παρ' αὐτοῦ ἔδωκαν αὐτὰς Εὐ-
3 μένει τῷ βασιλεῖ· καὶ ὅτι οἱ ἐκ τῆς Ἑλλάδος ἐβουλεύσαντο ἐλ- 9
θεῖν καὶ ἐξᾶραι αὐτούς, καὶ ἐγνώσθη ὁ λόγος αὐτοῖς, καὶ ἀπέ- 10
στειλαν ἐπ' αὐτοὺς στρατηγὸν ἕνα καὶ ἐπολέμησαν πρὸς αὐ-
τούς, καὶ ἔπεσον ἐξ αὐτῶν τραυματίαι πολλοί, καὶ ᾐχμαλώ-
τευσαν τὰς γυναῖκας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν καὶ ἐπρονό-
μευσαν αὐτοὺς καὶ κατεκράτησαν τῆς γῆς αὐτῶν καὶ καθεῖλον
τὰ ὀχυρώματα αὐτῶν καὶ κατεδουλώσαντο αὐτοὺς ἕως τῆς ἡ-
μέρας ταύτης· καὶ τὰς ἐπιλοίπους βασιλείας καὶ τὰς νήσους, ὅ- 11
σοι ποτὲ ἀντέστησαν αὐτοῖς, κατέφθειραν καὶ ἐδούλωσαν αὐ-
τούς, μετὰ δὲ τῶν φίλων αὐτῶν καὶ τῶν ἐπαναπαυομένων αὐ- 12
τοῖς συνετήρησαν φιλίαν· καὶ κατεκράτησαν τῶν βασιλειῶν
τῶν ἐγγὺς καὶ τῶν μακράν, καὶ ὅσοι ἤκουον τὸ ὄνομα αὐτῶν,
4 ἐφοβοῦντο ἀπ' αὐτῶν. ὅσοις δ' ἂν βούλωνται βοηθεῖν καὶ βα- 13
σιλεύειν, βασιλεύουσιν· οὓς δ' ἂν βούλωνται, μεθιστῶσι· καὶ
ὑψώθησαν σφόδρα. καὶ ἐν πᾶσι τούτοις οὐκ ἐπέθετο οὐδεὶς 14
αὐτῶν διάδημα καὶ οὐ περιεβάλοντο πορφύραν ὥστε ἁδρυνθῆ-
ναι ἐν αὐτῇ· καὶ βουλευτήριον ἐποίησαν ἑαυτοῖς, καὶ καθ' ἡμέ- 15
ραν ἐβουλεύοντο τριακόσιοι καὶ εἴκοσι βουλευόμενοι διὰ πα-
ντὸς περὶ τοῦ πλήθους τοῦ εὐκοσμεῖν αὐτούς· καὶ πιστεύουσιν 16
ἑνὶ ἀνθρώπῳ τὴν ἀρχὴν αὐτῶν κατ' ἐνιαυτὸν καὶ κυριεύειν πά-
σης τῆς γῆς αὐτῶν, καὶ πάντες ἀκούουσι τοῦ ἑνός, καὶ οὐκ ἔ-
5 στι φθόνος οὐδὲ ζῆλος ἐν αὐτοῖς. καὶ ἐπέλεξεν Ἰούδας τὸν Εὐ- 17
πόλεμον υἱὸν Ἰωάννου τοῦ Ἀκκὼς καὶ Ἰάσονα υἱὸν Ἐλεαζά-
ρου καὶ ἀπέστειλεν αὐτοὺς εἰς Ῥώμην στῆσαι αὐτοῖς φιλίαν
καὶ συμμαχίαν καὶ τοῦ ἆραι τὸν ζυγὸν ἀπ' αὐτῶν, ὅτι εἶδον 18
τὴν βασιλείαν τῶν Ἑλλήνων καταδουλουμένους τὸν Ἰσραὴλ
δουλείᾳ. καὶ ἐπορεύθησαν εἰς Ῥώμην, καὶ ἡ ὁδὸς πολλὴ σφό- 19
δρα, καὶ εἰσῆλθον εἰς τὸ βουλευτήριον καὶ ἀπεκρίθησαν καὶ εἶ-
πον· Ἰούδας ὁ Μακκαβαῖος καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ τὸ πλῆ- 20
θος τῶν Ἰουδαίων ἀπέστειλαν ἡμᾶς πρὸς ὑμᾶς στῆσαι μεθ' ὑ-
μῶν συμμαχίαν καὶ εἰρήνην καὶ γραφῆναι ἡμᾶς συμμάχους καὶ
34 1 φίλους ὑμῶν. καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον αὐτῶν. καὶ τοῦτο 21 22
τὸ ἀντίγραφον τῆς ἐπιστολῆς, ἧς ἀντέγραψεν ἐπὶ δέλτοις χαλ-
καῖς καὶ ἀπέστειλεν εἰς Ἱερουσαλὴμ εἶναι παρ' αὐτοῖς ἐκεῖ
μνημόσυνον εἰρήνης καὶ συμμαχίας.

«Καλῶς γένοιτο Ῥωμαίοις καὶ τῷ ἔθνει Ἰουδαίων ἐν τῇ 23
θαλάσσῃ καὶ ἐπὶ τῆς ξηρᾶς εἰς τὸν αἰῶνα, καὶ ῥομφαία καὶ ἐ-
χθρὸς μακρυνθείη ἀπ' αὐτῶν. ἐὰν δὲ ἐνστῇ πόλεμος ἐν Ῥώμῃ 24
προτέρᾳ ἢ πᾶσι τοῖς συμμάχοις αὐτῶν ἐν πάσῃ κυριείᾳ αὐτῶν,
συμμαχήσει τὸ ἔθνος τῶν Ἰουδαίων, ὡς ἂν ὁ καιρὸς ὑπογρα- 25
φῇ αὐτοῖς καρδίᾳ πλήρει. καὶ τοῖς πολεμοῦσιν οὐ δώσουσιν 26

οὐδὲ ἐπαρκέσουσι σῖτον, ὅπλα, ἀργύριον, πλοῖα, ὡς ἔδοξε
'Ρωμαίοις· καὶ φυλάξονται τὰ φυλάγματα αὐτῶν οὐθὲν λαβό-
2 ντες. κατὰ τὰ αὐτὰ δὲ ἐὰν ἔθνει Ἰουδαίων συμβῇ προτέροις 27
πόλεμος, συμμαχήσουσιν οἱ 'Ρωμαῖοι ἐκ ψυχῆς, ὡς ἂν αὐτοῖς
ὁ καιρὸς ὑπογράφῃ· καὶ τοῖς συμμαχοῦσιν οὐ δοθήσεται σῖ- 28
τος, ὅπλα, ἀργύριον, πλοῖα, ὡς ἔδοξε 'Ρώμῃ· καὶ φυλάξονται
τὰ φυλάγματα αὐτῶν καὶ οὐ μετὰ δόλου. κατὰ τοὺς λόγους 29
τούτους ἔστησαν 'Ρωμαῖοι τῷ δήμῳ τῶν Ἰουδαίων. ἐὰν δὲ με- 30
τὰ τοὺς λόγους τούτους βουλεύσωνται οὗτοι καὶ οὗτοι προ-
σθεῖναι ἢ ἀφελεῖν, ποιήσονται ἐξ αἱρέσεως αὐτῶν, καὶ ὃ ἐὰν
3 προσθῶσιν ἢ ἀφέλωσιν, ἔσται κύρια. καὶ περὶ τῶν κακῶν, ὧν 31
ὁ βασιλεὺς Δημήτριος συντελεῖται εἰς αὐτούς, ἐγράψαμεν αὐ-
τῷ λέγοντες· Διατί ἐβάρυνας τὸν ζυγόν σου ἐπὶ τοὺς φίλους
ἡμῶν τοὺς συμμάχους Ἰουδαίους; ἐὰν οὖν ἔτι ἐντύχωσι κατὰ 32
σοῦ, ποιήσομεν αὐτοῖς τὴν κρίσιν. καὶ πολεμήσομέν σε διὰ
τῆς θαλάσσης καὶ διὰ τῆς ξηρᾶς».

35 1 Καὶ ἤκουσε Δημήτριος ὅτι ἔπεσε Νικάνωρ καὶ αἱ δυνάμεις **9**
αὐτοῦ ἐν πολέμῳ, καὶ προσέθετο τὸν Βακχίδην καὶ τὸν Ἄλκι-
μον ἐκ δευτέρου ἀποστεῖλαι εἰς γῆν Ἰούδα καὶ τὸ δεξιὸν κέρας
μετ' αὐτῶν. καὶ ἐπορεύθησαν ὁδὸν τὴν εἰς Γάλγαλα καὶ παρε- 2
νέβαλον ἐπὶ Μεσαλὼθ τὴν ἐν Ἀρβήλοις καὶ προκατελάβοντο
2 αὐτὴν καὶ ἀπώλεσαν ψυχὰς ἀνθρώπων πολλάς. καὶ τοῦ μηνὸς 3
τοῦ πρώτου ἔτους τοῦ δευτέρου καὶ πεντηκοστοῦ καὶ ἑκατο-
στοῦ παρενέβαλον ἐπὶ Ἱερουσαλήμ· καὶ ἀπῆραν καὶ ἐπορεύθη- 4
σαν εἰς Βερέαν ἐν εἴκοσι χιλιάσιν ἀνδρῶν καὶ δισχιλίᾳ ἵππῳ.
καὶ Ἰούδας ἦν παρεμβεβληκὼς ἐν Ἐλασά, καὶ τρισχίλιοι ἄν- 5
δρες ἐκλεκτοὶ μετ' αὐτοῦ. καὶ εἶδον τὸ πλῆθος τῶν δυνάμεων 6
ὅτι πολλοί εἰσι, καὶ ἐφοβήθησαν σφόδρα· καὶ ἐξερρύησαν πολ-
λοὶ ἀπὸ τῆς παρεμβολῆς· οὐ κατελείφθησαν ἐξ αὐτῶν ἀλλ' ἢ ὀ-
3 κτακόσιοι ἄνδρες. καὶ εἶδεν Ἰούδας ὅτι ἀπερρύη ἡ παρεμβολὴ 7
αὐτοῦ καὶ ὁ πόλεμος ἔθλιβεν αὐτόν, καὶ συνετρίβη τῇ καρδίᾳ,
ὅτι οὐκ εἶχε καιρὸν συναγαγεῖν αὐτούς, καὶ ἐξελύθη καὶ εἶπε 8
τοῖς καταλειφθεῖσιν· Ἀναστῶμεν καὶ ἀναβῶμεν ἐπὶ τοὺς ὑπε-
ναντίους ἡμῶν, ἐὰν ἄρα δυνώμεθα πολεμῆσαι αὐτούς. καὶ ἀπέ- 9
στρεφον αὐτὸν λέγοντες· Οὐ μὴ δυνώμεθα, ἀλλ' ἢ σῴζωμεν
τὰς ἑαυτῶν ψυχὰς τὸ νῦν καὶ ἐπιστρέψωμεν μετὰ τῶν ἀδελ-
4 φῶν ἡμῶν καὶ πολεμήσωμεν πρὸς αὐτούς, ἡμεῖς δὲ ὀλίγοι. καὶ 10
εἶπεν Ἰούδας· Μή μοι γένοιτο ποιῆσαι τὸ πρᾶγμα τοῦτο, φυ-
γεῖν ἀπ' αὐτῶν, καὶ εἰ ἤγγικεν ὁ καιρὸς ἡμῶν, καὶ ἀποθάνω-
μεν ἐν ἀνδρίᾳ χάριν τῶν ἀδελφῶν ἡμῶν καὶ μὴ καταλίπωμεν
αἰτίαν τῇ δόξῃ ἡμῶν. καὶ ἀπῆρεν ἡ δύναμις ἀπὸ τῆς παρεμβο- 11
λῆς καὶ ἔστησαν εἰς συνάντησιν αὐτοῖς, καὶ ἐμερίσθη ἡ ἵππος
εἰς δύο μέρη, καὶ οἱ σφενδονῆται καὶ οἱ τοξόται προεπορεύο-
ντο τῆς δυνάμεως, καὶ οἱ πρωταγωνισταὶ πάντες οἱ δυνατοί· 12
5 Βακχίδης δὲ ἦν ἐν τῷ δεξιῷ κέρατι. καὶ ἤγγισεν ἡ φάλαγξ ἐκ

τῶν δύο μερῶν καὶ ἐφώνουν ταῖς σάλπιγξι, καὶ ἐσάλπισαν οἱ 13
παρὰ Ἰούδαν καὶ αὐτοὶ ταῖς σάλπιγξι· καὶ ἐσαλεύθη ἡ γῆ ἀπὸ
τῆς φωνῆς τῶν παρεμβολῶν, καὶ ἐγένετο ὁ πόλεμος συνημμέ-
νος ἀπὸ πρωΐθεν ἕως ἑσπέρας. καὶ εἶδεν Ἰούδας ὅτι Βακχίδης 14
καὶ τὸ στερέωμα τῆς παρεμβολῆς ἐν τοῖς δεξιοῖς, καὶ συνῆλ-
θον αὐτῷ πάντες οἱ εὔψυχοι τῇ καρδίᾳ, καὶ συνετρίβη τὸ δε- 15
ξιὸν κέρας ἀπ' αὐτῶν, καὶ ἐδίωκεν ὀπίσω αὐτῶν ἕως Ἀζώτου
ὄρους. καὶ εἰς τὸ ἀριστερὸν κέρας εἶδον ὅτι συνετρίβη τὸ δε- 16
ξιὸν κέρας, καὶ ἐπέστρεψαν κατὰ πόδας Ἰούδα καὶ τῶν μετ'
αὐτοῦ ἐκ τῶν ὄπισθεν. καὶ ἐβαρύνθη ὁ πόλεμος, καὶ ἔπεσον 17
τραυματίαι πολλοὶ ἐκ τούτων καὶ ἐκ τούτων. καὶ Ἰούδας ἔπε- 18
6 σε, καὶ οἱ λοιποὶ ἔφυγον. καὶ ἦραν Ἰωνάθαν καὶ Σίμων Ἰούδαν 19
τὸν ἀδελφὸν αὐτῶν καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ τῶν πατέ-
ρων αὐτοῦ ἐν Μωδεΐν. καὶ ἔκλαυσαν αὐτὸν καὶ ἐκόψαντο αὐ- 20
τὸν πᾶς Ἰσραὴλ κοπετὸν μέγαν καὶ ἐπένθουν ἡμέρας πολλάς, 21
καὶ εἶπον· Πῶς ἔπεσε δυνατὸς σῴζων τὸν Ἰσραήλ; καὶ τὰ πε- 22
ρισσὰ τῶν λόγων Ἰούδα καὶ τῶν πολέμων καὶ τῶν ἀνδραγα-
θιῶν, ὧν ἐποίησε, καὶ τῆς μεγαλωσύνης αὐτῶν οὐ κατεγράφη,
πολλὰ γὰρ ἦν σφόδρα.

Γ

36 1 Καὶ ἐγένετο, μετὰ τὴν τελευτὴν Ἰούδα ἐξέκυψαν οἱ ἄνομοι 23
ἐν πᾶσι τοῖς ὁρίοις Ἰσραήλ, καὶ ἀνέτειλαν πάντες οἱ ἐργαζόμε-
νοι τὴν ἀδικίαν. ἐν ταῖς ἡμέραις ἐκείναις ἐγενήθη λιμὸς μέγας 24
σφόδρα, καὶ ηὐτομόλησεν ἡ χώρα μετ' αὐτῶν. καὶ ἐξέλεξε 25
Βακχίδης τοὺς ἀσεβεῖς ἄνδρας καὶ κατέστησεν αὐτοὺς κυ-
ρίους τῆς χώρας. καὶ ἐξεζήτουν καὶ ἐξηρεύνων τοὺς φίλους 26
Ἰούδα καὶ ἦγον αὐτοὺς πρὸς Βακχίδην, καὶ ἐξεδίκει ἐν αὐτοῖς
καὶ ἐνέπαιζεν αὐτοῖς. καὶ ἐγένετο θλῖψις μεγάλη ἐν τῷ Ἰσραήλ, 27
ἥτις οὐκ ἐγένετο ἀφ' ἧς ἡμέρας οὐκ ὤφθη προφήτης ἐν αὐ-
2 τοῖς. καὶ ἠθροίσθησαν πάντες οἱ φίλοι Ἰούδα καὶ εἶπον τῷ Ἰω- 28
νάθαν· Ἀφ' οὗ ὁ ἀδελφός σου Ἰούδας τετελεύτηκε, καὶ ἀνὴρ ὅ- 29
μοιος αὐτῷ οὐκ ἔστιν ἐξελθεῖν πρὸς τοὺς ἐχθροὺς καὶ Βακχί-
δην, καὶ ἐν τοῖς ἐχθραίνουσι τοῦ ἔθνους ἡμῶν· νῦν οὖν σε ᾑ- 30
ρετισάμεθα σήμερον τοῦ εἶναι ἀντ' αὐτοῦ ἡμῖν εἰς ἄρχοντα καὶ
ἡγούμενον, τοῦ πολεμῆσαι τὸν πόλεμον ἡμῶν. καὶ ἐπεδέξατο 31
Ἰωνάθαν ἐν τῷ καιρῷ ἐκείνῳ τὴν ἡγησιν καὶ ἀνέστη ἀντὶ Ἰού-
δα τοῦ ἀδελφοῦ αὐτοῦ.

37 1 Καὶ ἔγνω Βακχίδης καὶ ἐζήτει αὐτὸν ἀποκτεῖναι. καὶ ἔγνω 32 33
Ἰωνάθαν καὶ Σίμων ὁ ἀδελφὸς αὐτοῦ καὶ πάντες οἱ μετ' αὐτοῦ
καὶ ἔφυγον εἰς τὴν ἔρημον Θεκωὲ καὶ παρενέβαλον ἐπὶ τὸ ὕ-
δωρ λάκκου Ἀσφάρ. καὶ ἔγνω Βακχίδης τῇ ἡμέρᾳ τῶν σαββά- 34
των καὶ ἦλθεν αὐτὸς καὶ πᾶν τὸ στράτευμα αὐτοῦ πέραν τοῦ
Ἰορδάνου. καὶ ἀπέστειλεν Ἰωνάθαν τὸν ἀδελφὸν αὐτοῦ ἡγού- 35

μενον τοῦ ὄχλου καὶ παρεκάλεσε τοὺς Ναβαταίους φίλους αὐ-
τοῦ παραθέσθαι αὐτοῖς τὴν ἀποσκευὴν αὐτῶν τὴν πολλήν. καὶ 36
ἐξῆλθον υἱοὶ Ἰαμβρὶ ἐκ Μηδαβὰ καὶ συνέλαβον Ἰωάννην καὶ
2 πάντα, ὅσα εἶχε, καὶ ἀπῆλθον ἔχοντες. μετὰ δὲ τοὺς λόγους 37
τούτους ἀπήγγειλαν τῷ Ἰωνάθαν καὶ Σίμωνι τῷ ἀδελφῷ αὐ-
τοῦ ὅτι οἱ υἱοὶ Ἰαμβρὶ ποιοῦσι γάμον μέγαν καὶ ἄγουσι τὴν
νύμφην ἀπὸ Ναδαβάθ, θυγατέρα ἑνὸς τῶν μεγάλων μεγιστά-
νων Χαναὰν μετὰ παραπομπῆς μεγάλης. καὶ ἐμνήσθησαν Ἰω- 38
άννου τοῦ ἀδελφοῦ αὐτῶν καὶ ἀνέβησαν καὶ ἐκρύβησαν ὑπὸ
τὴν σκέπην τοῦ ὄρους. καὶ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ εἶ- 39
δον καὶ ἰδοὺ θροῦς καὶ ἀποσκευὴ πολλή, καὶ ὁ νυμφίος ἐξῆλθε
καὶ οἱ φίλοι αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἰς συνάντησιν αὐτῶν
μετὰ τυμπάνων καί μουσικῶν καὶ ὅπλων πολλῶν. καὶ ἐξανέ- 40
στησαν ἐπ' αὐτοὺς ἀπὸ τοῦ ἐνέδρου οἱ περὶ τὸν Ἰωνάθαν καὶ
ἀπέκτειναν αὐτούς, καὶ ἔπεσον τραυματίαι πολλοί, καὶ οἱ ἐπί-
λοιποι ἔφυγον εἰς τὸ ὄρος· καὶ ἔλαβον πάντα τὰ σκῦλα αὐτῶν.
καὶ μετεστράφη ὁ γάμος εἰς πένθος καὶ ἡ φωνὴ μουσικῶν αὐ- 41
τῶν εἰς θρῆνον. καὶ ἐξεδίκησαν τὴν ἐκδίκησιν αἵματος ἀδελ- 42
3 φοῦ αὐτῶν καὶ ἀπέστρεψαν εἰς τὸ ἕλος τοῦ Ἰορδάνου. καὶ ἤ- 43
κουσε Βακχίδης καὶ ἦλθε τῇ ἡμέρᾳ τῶν σαββάτων ἕως τῶν
κρηπίδων τοῦ Ἰορδάνου ἐν δυνάμει πολλῇ. καὶ εἶπεν Ἰωνάθαν 44
τοῖς παρ' αὐτοῦ· Ἀναστῶμεν νῦν καὶ πολεμήσωμεν ὑπὲρ τῶν
ψυχῶν ἡμῶν, οὐ γάρ ἐστι σήμερον ὡς ἐχθὲς καὶ τρίτην ἡμέ- 45
ραν· ἰδοὺ γὰρ ὁ πόλεμος ἐξεναντίας ἡμῶν καὶ ἐξόπισθεν ἡ-
μῶν, τὸ δὲ ὕδωρ τοῦ Ἰορδάνου ἔνθεν καὶ ἔνθεν καὶ ἕλος καὶ
δρυμός, οὐκ ἔστι τόπος τοῦ ἐκκλῖναι· νῦν οὖν κεκράξατε εἰς 46
4 οὐρανόν, ὅπως διασωθῆτε ἐκ χειρὸς ἐχθρῶν ὑμῶν. καὶ συνῆ- 47
ψεν ὁ πόλεμος· καὶ ἐξέτεινεν Ἰωνάθαν τὴν χεῖρα αὐτοῦ πατά-
ξαι τὸν Βακχίδην, καὶ ἐξέκλινεν ἀπ' αὐτοῦ εἰς τὰ ὀπίσω. καὶ ἐ- 48
νεπήδησεν Ἰωνάθαν καὶ οἱ μετ' αὐτοῦ εἰς τὸν Ἰορδάνην καὶ
διεκολύμβησαν εἰς τὸ πέραν, καὶ οὐ διέβησαν ἐπ' αὐτοὺς τὸν
Ἰορδάνην. καὶ διέπεσον παρὰ Βακχίδου τῇ ἡμέρᾳ ἐκείνῃ εἰς χι- 49
5 λίους ἄνδρας. καὶ ἐπέστρεψεν εἰς Ἱερουσαλήμ, καὶ ᾠκοδόμησε 50
πόλεις ὀχυρὰς ἐν τῇ Ἰουδαίᾳ, τὸ ὀχύρωμα τὸ ἐν Ἰεριχὼ καὶ
τὴν Ἐμμαοὺς καὶ τὴν Βεθωρὼν καὶ τὴν Βεθὴλ καὶ τὴν Θαμνα-
θὰ Φαραθωνὶ καὶ τὴν Τεφὼν ἐν τείχεσιν ὑψηλοῖς καὶ πύλαις
καὶ μοχλοῖς· καὶ ἔθετο φρουρὰν ἐν αὐτοῖς τοῦ ἐχθραίνειν τῷ 51
Ἰσραήλ. καὶ ὠχύρωσε τὴν πόλιν τὴν ἐν Βεθσούρᾳ καὶ τὴν Γά- 52
ζαρα καὶ τὴν ἄκραν καὶ ἔθετο ἐν αὐταῖς δυνάμεις καὶ παραθέ-
σεις βρωμάτων. καὶ ἔλαβε τοὺς υἱοὺς τῶν ἡγουμένων τῆς χώ- 53
ρας ὅμηρα καὶ ἔθετο αὐτοὺς ἐν τῇ ἄκρᾳ ἐν Ἰερουσαλὴμ ἐν φυ-
λακῇ.

38 1 Καὶ ἐν ἔτει τρίτῳ καὶ πεντηκοστῷ καὶ ἑκατοστῷ μηνὶ τῷ 54
δευτέρῳ ἐπέταξεν Ἄλκιμος καθαιρεῖν τὸ τεῖχος τῆς αὐλῆς τῶν
ἁγίων τῆς ἐσωτέρας· καὶ καθεῖλε τὰ ἔργα τῶν προφητῶν καὶ ἐ-

νήρξατο τοῦ καθαιρεῖν. ἐν τῷ καιρῷ ἐκείνῳ ἐπλήγη Ἄλκιμος 55
καὶ ἐνεποδίσθη τὰ ἔργα αὐτοῦ, καὶ ἀπεφράγη τὸ στόμα αὐτοῦ,
καὶ παρελύθη καὶ οὐκ ἐδύνατο ἔτι λαλῆσαι λόγον καὶ ἐντείλα-
2 σθαι περὶ τοῦ οἴκου αὐτοῦ. καὶ ἀπέθανεν Ἄλκιμος ἐν τῷ και- 56
ρῷ ἐκείνῳ μετὰ βασάνου μεγάλης. καὶ εἶδε Βακχίδης ὅτι ἀπέ- 57
θανεν Ἄλκιμος, καὶ ἀπέστρεψε πρὸς τὸν βασιλέα. καὶ ἡσύχα-
σεν ἡ γῆ Ἰούδα ἔτη δύο.

39 1 Καὶ ἐβουλεύσαντο πάντες οἱ ἄνομοι λέγοντες· ἰδοὺ Ἰωνά- 58
θαν καὶ οἱ παρ' αὐτοῦ ἐν ἡσυχίᾳ κατοικοῦσι πεποιθότες· νῦν
οὖν ἄξομεν τὸν Βακχίδην, καὶ συλλήψεται αὐτοὺς πάντας ἐν
νυκτὶ μιᾷ. καὶ πορευθέντες συνεβουλεύσαντο αὐτῷ. καὶ ἀπῆρε 59 60
τοῦ ἐλθεῖν μετὰ δυνάμεως πολλῆς καὶ ἀπέστειλεν ἐπιστολὰς
λάθρα πᾶσι τοῖς συμμάχοις αὐτοῦ τοῖς ἐν τῇ Ἰουδαίᾳ, ὅπως
συλλάβωσι τὸν Ἰωνάθαν καὶ τοὺς μετ' αὐτοῦ· καὶ οὐκ ἐδύνα-
ντο, ὅτι ἐγνώσθη αὐτοῖς ἡ βουλὴ αὐτῶν. καὶ συνέλαβον ἀπὸ 61
τῶν ἀνδρῶν τῆς χώρας τῶν ἀρχηγῶν τῆς κακίας εἰς πεντήκο-
2 ντα ἄνδρας καὶ ἀπέκτειναν αὐτούς. καὶ ἐξεχώρησεν Ἰωνάθαν 62
καὶ Σίμων καὶ οἱ μετ' αὐτοῦ εἰς Βεθβασὶ τὴν ἐν τῇ ἐρήμῳ καὶ
ᾠκοδόμησε τὰ καθῃρημένα αὐτῆς, καὶ ἐστερέωσαν αὐτήν. καὶ 63
ἔγνω Βακχίδης καὶ συνήγαγε πᾶν τὸ πλῆθος αὐτοῦ καὶ τοῖς ἐκ
τῆς Ἰουδαίας παρήγγειλε· καὶ ἐλθὼν παρενέβαλεν ἐπὶ Βεθβασὶ 64
καὶ ἐπολέμησεν αὐτὴν ἡμέρας πολλὰς καὶ ἐποίησε μηχανάς.
3 καὶ ἀπέλιπεν Ἰωνάθαν Σίμωνα τὸν ἀδελφὸν αὐτοῦ ἐν τῇ πόλει 65
καὶ ἐξῆλθεν εἰς τὴν χώραν καὶ ἐξῆλθεν ἐν ἀριθμῷ. καὶ ἐπάτα- 66
ξεν Ὀδομηρὰ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ τοὺς υἱοὺς Φασι-
ρὼν ἐν τῷ σκηνώματι αὐτῶν, καὶ ἐξήρξατο τύπτειν καὶ ἀνα-
βαίνειν ἐν ταῖς δυνάμεσι. καὶ Σίμων καὶ οἱ μετ' αὐτοῦ ἐξῆλθον 67
ἐκ τῆς πόλεως καὶ ἐνεπύρισαν τὰς μηχανάς· καὶ ἐπολέμησαν 68
πρὸς τὸν Βακχίδην, καὶ συνετρίβη ὑπ' αὐτῶν. καὶ ἔθλιβον αὐ-
τὸν σφόδρα, ὅτι ἦν ἡ βουλὴ αὐτοῦ καὶ ἡ ἔφοδος αὐτοῦ κενή.
4 καὶ ὠργίσθη θυμῷ τοῖς ἀνδράσι τοῖς ἀνόμοις τοῖς συμβουλεύ- 69
σασιν αὐτῷ ἐλθεῖν εἰς τὴν χώραν καὶ ἀπέκτεινεν ἐξ αὐτῶν
πολλοὺς καὶ ἐβουλεύσατο τοῦ ἀπελθεῖν εἰς τὴν γῆν αὐτοῦ. καὶ 70
ἐπέγνω Ἰωνάθαν καὶ ἀπέστειλε πρὸς αὐτὸν πρέσβεις τοῦ συν-
θέσθαι πρὸς αὐτὸν εἰρήνην καὶ ἀποδοῦναι αὐτοῖς τὴν αἰχμα-
5 λωσίαν. καὶ ἀπεδέξατο καὶ ἐποίησε κατὰ τοὺς λόγους αὐτοῦ 71
καὶ ὤμοσεν αὐτῷ μὴ ἐκζητῆσαι αὐτῷ κακὸν πάσας τὰς ἡμέ-
ρας τῆς ζωῆς αὐτοῦ· καὶ ἀπέδωκεν αὐτῷ τὴν αἰχμαλωσίαν, ἣν 72
ᾐχμαλώτευσε τὸ πρότερον ἐκ γῆς Ἰούδα, καὶ ἀποστρέψας ἀ-
πῆλθεν εἰς τὴν γῆν αὐτοῦ καὶ οὐ προσέθετο ἔτι ἐλθεῖν εἰς τὰ ὅρ-
ια αὐτῶν. καὶ κατέπαυσε ῥομφαία ἐξ Ἰσραήλ· καὶ ᾤκησεν Ἰω- 73
νάθαν ἐν Μαχμάς. καὶ ἤρξατο Ἰωνάθαν κρίνειν τὸν λαὸν καὶ ἠ-
φάνισε τοὺς ἀσεβεῖς ἐξ Ἰσραήλ.

40 1 Καὶ ἐν ἔτει ἑξηκοστῷ καὶ ἑκατοστῷ ἀνέβη Ἀλέξανδρος ὁ **10**
τοῦ Ἀντιόχου ὁ Ἐπιφανὴς καὶ κατελάβετο Πτολεμαΐδα, καὶ ἐ-

πεδέξαντο αὐτόν, καὶ ἐβασίλευσεν ἐκεῖ. καὶ ἤκουσε Δημήτριος 2
ὁ βασιλεὺς καὶ συνήγαγε δυνάμεις πολλὰς σφόδρα καὶ ἐξῆλ-
2 θεν εἰς συνάντησιν αὐτῷ εἰς πόλεμον. καὶ ἀπέστειλε Δημή- 3
τριος πρὸς Ἰωνάθαν ἐπιστολὰς λόγοις εἰρηνικοῖς ὥστε μεγα-
λῦναι αὐτόν. εἶπε γάρ· Προφθάσωμεν τοῦ εἰρήνην θεῖναι μετ' 4
αὐτοῦ, πρὶν ἢ θεῖναι αὐτὸν μετὰ Ἀλεξάνδρου καθ' ἡμῶν· μνη- 5
σθήσεται γὰρ πάντων τῶν κακῶν, ὧν συνετελέσαμεν πρὸς αὐ-
τὸν καὶ εἰς τοὺς ἀδελφοὺς αὐτοῦ καὶ εἰς τὸ ἔθνος αὐτοῦ. καὶ ἔ- 6
δωκεν αὐτῷ ἐξουσίαν συναγαγεῖν δυνάμεις καὶ κατασκευάζειν
ὅπλα καὶ εἶναι αὐτὸν σύμμαχον αὐτοῦ, καὶ τὰ ὅμηρα τὰ ἐν τῇ
3 ἄκρᾳ εἶπε παραδοῦναι αὐτῷ. καὶ ἦλθεν Ἰωνάθαν εἰς Ἱερουσα- 7
λὴμ καὶ ἀνέγνω τὰς ἐπιστολὰς εἰς τὰ ὦτα παντὸς τοῦ λαοῦ καὶ
τῶν ἐκ τῆς ἄκρας. καὶ ἐφοβήθησαν φόβον μέγαν, ὅτε ἤκουσαν 8
ὅτι ἔδωκεν ὁ βασιλεὺς ἐξουσίαν συναγαγεῖν δυνάμεις. καὶ πα- 9
ρέδωκαν οἱ ἐκ τῆς ἄκρας Ἰωνάθαν τὰ ὅμηρα, καὶ ἀπέδωκεν
αὐτοὺς τοῖς γονεῦσιν αὐτῶν. καὶ ᾤκησεν Ἰωνάθαν ἐν Ἱερουσα- 10
4 λὴμ καὶ ἤρξατο οἰκοδομεῖν καὶ καινίζειν τὴν πόλιν. καὶ εἶπε 11
πρὸς τοὺς ποιοῦντας τὰ ἔργα οἰκοδομεῖν τὰ τείχη καὶ τὸ ὄρος
Σιὼν κυκλόθεν ἐκ λίθων τετραγώνων εἰς ὀχύρωσιν καὶ ἐποίη-
σαν οὕτω. καὶ ἔφυγον οἱ ἀλλογενεῖς οἱ ὄντες ἐν τοῖς ὀχυρώμα- 12
σιν, οἷς ᾠκοδόμησε Βακχίδης. καὶ κατέλιπεν ἕκαστος τὸν τό- 13
πον αὐτοῦ καὶ ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ. πλὴν ἐν Βεθσούρᾳ 14
ὑπελείφθησάν τινες τῶν καταλιπόντων τὸν νόμον καὶ τὰ προ-
στάγματα, ἦν γὰρ αὐτοῖς φυγαδευτήριον.

41 1 Καὶ ἤκουσεν Ἀλέξανδρος ὁ βασιλεὺς τὰς ἐπαγγελίας, ὅ- 15
σας ἀπέστειλε Δημήτριος τῷ Ἰωνάθαν, καὶ διηγήσαντο αὐτῷ
τοὺς πολέμους καὶ τὰς ἀνδραγαθίας, ἃς ἐποίησεν αὐτὸς καὶ οἱ
ἀδελφοὶ αὐτοῦ, καὶ τοὺς κόπους, οὓς ἔσχον, καὶ εἶπε· Μὴ εὑ- 16
ρήσομεν ἄνδρα τοιοῦτον ἕνα; καὶ νῦν ποιήσομεν αὐτὸν φίλον
2 καὶ σύμμαχον ἡμῶν. καὶ ἔγραψεν ἐπιστολὰς καὶ ἀπέστειλεν 17
αὐτῷ κατὰ τοὺς λόγους τούτους λέγων· «Βασιλεὺς Ἀλέξαν- 18
δρος τῷ ἀδελφῷ Ἰωνάθαν χαίρειν· ἀκηκόαμεν περὶ σοῦ, ὅτι ἀ- 19
νὴρ δυνατὸς ἰσχύι καὶ ἐπιτήδειος εἶ τοῦ εἶναι ἡμῖν φίλος. καὶ 20
νῦν καθεστάκαμέν σε σήμερον ἀρχιερέα τοῦ ἔθνους σου καὶ
φίλον βασιλέως καλεῖσθαί σε (καὶ ἀπέστειλεν αὐτῷ πορφύραν
καὶ στέφανον χρυσοῦν) καὶ φρονεῖν τὰ ἡμῶν καὶ συντηρεῖν φι-
λίαν πρὸς ἡμᾶς». καὶ ἐνεδύσατο Ἰωνάθαν τὴν ἁγίαν στολὴν 21
τῷ ἑβδόμῳ μηνὶ ἔτους ἑξηκοστοῦ καὶ ἑκατοστοῦ ἐν ἑορτῇ
σκηνοπηγίας καὶ συνήγαγε δυνάμεις καὶ κατεσκεύασεν ὅπλα
πολλά.

42 1 Καὶ ἤκουσε Δημήτριος τοὺς λόγους τούτους καὶ ἐλυπήθη 22
καὶ εἶπε· Τί τοῦτο ἐποιήσαμεν ὅτι προέφθακεν ἡμᾶς ὁ Ἀλέξαν- 23
δρος τοῦ φιλίαν καταθέσθαι τοῖς Ἰουδαίοις εἰς στήριγμα; γρά- 24
ψω αὐτοῖς κἀγὼ λόγους παρακλήσεως καὶ ὕψους καὶ δομά-
των, ὅπως ὦσι σὺν ἐμοὶ εἰς βοήθειαν. καὶ ἀπέστειλεν αὐτοῖς 25

2 κατὰ τοὺς λόγους τούτους· «Βασιλεὺς Δημήτριος τῷ ἔθνει
τῶν Ἰουδαίων χαίρειν. ἐπεὶ συνετηρήσατε τὰς πρὸς ἡμᾶς συν- 26
θήκας καὶ ἐνεμείνατε τῇ φιλίᾳ ἡμῶν καὶ οὐ προσεχωρήσατε
τοῖς ἐχθροῖς ἡμῶν, ἠκούσαμεν καὶ ἐχάρημεν. καὶ νῦν ἐμμείνα- 27
τε ἔτι τοῦ συντηρῆσαι πρὸς ἡμᾶς πίστιν, καὶ ἀνταποδώσομεν
ὑμῖν ἀγαθὰ ἀνθ' ὧν ποιεῖτε μεθ' ἡμῶν. καὶ ἀφήσομεν ὑμῖν ἀφέ- 28
3 ματα πολλὰ καὶ δώσομεν ὑμῖν δόματα. καὶ νῦν ἀπολύω ὑμᾶς 29
καὶ ἀφίημι πάντας τοὺς Ἰουδαίους ἀπὸ τῶν φόρων καὶ τῆς τι-
μῆς τοῦ ἁλὸς καὶ ἀπὸ τῶν στεφάνων, καὶ ἀντὶ τοῦ τρίτου τῆς 30
σπορᾶς καὶ ἀντὶ τοῦ ἡμίσους τοῦ καρποῦ τοῦ ξυλίνου τοῦ ἐπι-
βάλλοντός μοι λαβεῖν, ἀφίημι ἀπὸ τῆς σήμερον καὶ ἐπέκεινα
τοῦ λαβεῖν ἀπὸ τῆς γῆς Ἰούδα καὶ ἀπὸ τῶν τριῶν νομῶν τῶν
προστιθεμένων αὐτῇ ἀπὸ τῆς Σαμαρείτιδος καὶ Γαλιλαίας, καὶ
4 ἀπὸ τῆς σήμερον ἡμέρας καὶ εἰς τὸν αἰῶνα χρόνον. καὶ Ἱερου- 31
σαλὴμ ἤτω ἁγία καὶ ἀφειμένη καὶ τὰ ὅρια αὐτῆς, αἱ δεκάται καὶ
τὰ τέλη. ἀφίημι καὶ τὴν ἐξουσίαν τῆς ἄκρας τῆς ἐν Ἱερουσαλὴμ 32
καὶ δίδωμι τῷ ἀρχιερεῖ, ὅπως ἂν καταστήσῃ ἐν αὐτῇ ἄνδρας,
οὓς ἂν ἐκλέξηται αὐτὸς τοῦ φυλάσσειν αὐτήν. καὶ πᾶσαν ψυ- 33
χὴν Ἰουδαίων τὴν αἰχμαλωτισθεῖσαν ἀπὸ γῆς Ἰούδα εἰς πᾶ-
σαν βασιλείαν μου ἀφίημι ἐλευθέραν δωρεάν· καὶ πάντες ἀφιέ-
5 τωσαν τοὺς φόρους καὶ ..... τῶν κτηνῶν αὐτῶν. καὶ πᾶσαι 34
αἱ ἑορταὶ καὶ τὰ σάββατα καὶ νουμηνίαι καὶ ἡμέραι ἀποδεδειγ-
μέναι καὶ τρεῖς ἡμέραι πρὸ ἑορτῆς καὶ τρεῖς ἡμέραι μετὰ ἑορ-
τὴν ἔστωσαν πᾶσαι αἱ ἡμέραι ἀτελείας καὶ ἀφέσεως πᾶσι τοῖς
Ἰουδαίοις τοῖς οὖσιν ἐν τῇ βασιλείᾳ μου. καὶ οὐχ ἕξει ἐξου- 35
σίαν οὐδεὶς πράσσειν καὶ παρενοχλεῖν τινα αὐτῶν περὶ παντὸς
6 πράγματος. καὶ προγραφήτωσαν τῶν Ἰουδαίων εἰς τὰς δυνά- 36
μεις τοῦ βασιλέως εἰς τριάκοντα χιλιάδας ἀνδρῶν, καὶ δοθήσε-
ται αὐτοῖς ξένια ὡς καθήκει πάσαις ταῖς δυνάμεσι τοῦ βασιλέ-
ως. καὶ κατασταθήσεται ἐξ αὐτῶν ἐν τοῖς ὀχυρώμασι τοῦ βα- 37
σιλέως τοῖς μεγάλοις, καὶ ἐκ τούτων κατασταθήσεται ἐπὶ
χρειῶν τῆς βασιλείας τῶν οὐσῶν εἰς πίστιν· καὶ οἱ ἐπ' αὐτῶν
καὶ οἱ ἄρχοντες ἔστωσαν ἐξ αὐτῶν καὶ πορευέσθωσαν τοῖς νό-
7 μοις αὐτῶν. καθὰ καὶ προσέταξεν ὁ βασιλεὺς ἐν γῇ Ἰούδα. καὶ 38
τοὺς τρεῖς νομοὺς τοὺς προστεθέντας τῇ Ἰουδαίᾳ ἀπὸ τῆς χώ-
ρας Σαμαρείας προστεθήτω τῇ Ἰουδαίᾳ πρὸς τὸ λογισθῆναι
τοῦ γενέσθαι ὑφ' ἕνα, τοῦ μὴ ὑπακοῦσαι ἄλλης ἐξουσίας ἀλλ'
ἢ τοῦ ἀρχιερέως. Πτολεμαΐδα καὶ τὴν προσκυροῦσαν αὐτῇ δέ- 39
δωκα δόμα τοῖς ἁγίοις τοῖς ἐν Ἱερουσαλὴμ εἰς τὴν προσήκου-
8 σαν δαπάνην τοῖς ἁγίοις. κἀγὼ δίδωμι κατ' ἐνιαυτὸν δεκαπέ- 40
ντε χιλιάδας σίκλων ἀργυρίου ἀπὸ τῶν λόγων τοῦ βασιλέως
ἀπὸ τῶν τόπων τῶν ἀνηκόντων. καὶ πᾶν τὸ πλεονάζον, ὃ οὐκ 41
ἀπεδίδοσαν οἱ ἀπὸ τῶν χρειῶν, ὡς ἐν τοῖς πρώτοις ἔτεσιν, ἀ-
πὸ τοῦ νῦν δώσουσιν εἰς τὰ ἔργα τοῦ οἴκου. καὶ ἐπὶ τούτοις 42
πεντακισχιλίους σίκλους ἀργυρίου, οὓς ἐλάμβανον ἀπὸ τῶν

χρειῶν τοῦ ἁγίου ἀπὸ τοῦ λόγου κατ' ἐνιαυτόν, καὶ ταῦτα ἀ-
9 φίεται διὰ τὸ ἀνήκειν αὐτὰ τοῖς ἱερεῦσι τοῖς λειτουργοῦσι. καὶ 43
ὅσοι ἐὰν φύγωσιν εἰς τὸ ἱερὸν τὸ ἐν Ἰεροσολύμοις καὶ ἐν πᾶσι
τοῖς ὁρίοις αὐτοῦ ὀφείλοντες βασιλικὰ καὶ πᾶν πρᾶγμα, ἀπολε-
λύσθωσαν, καὶ πάντα ὅσα ἐστὶν αὐτοῖς ἐν τῇ βασιλείᾳ μου. καὶ 44
τοῦ οἰκοδομηθῆναι καὶ τοῦ ἐπικαινισθῆναι τὰ ἔργα τῶν ἁγίων,
καὶ ἡ δαπάνη δοθήσεται ἐκ τοῦ λόγου τοῦ βασιλέως. καὶ τοῦ 45
10 οἰκοδομηθῆναι τὰ τείχη Ἰερουσαλὴμ καὶ ὀχυρῶσαι κυκλόθεν,
καὶ ἡ δαπάνη δοθήσεται ἐκ τοῦ λόγου τοῦ βασιλέως, καὶ τοῦ
οἰκοδομηθῆναι τὰ τείχη τὰ ἐν τῇ Ἰουδαίᾳ». ὡς δὲ ἤκουσεν Ἰω- 46
νάθαν καὶ ὁ λαὸς τοὺς λόγους τούτους, οὐκ ἐπίστευσαν αὐ-
τοῖς οὐδὲ ἐπεδέξαντο, ὅτι ἐπεμνήσθησαν τῆς κακίας τῆς μεγά-
λης, ἧς ἐποίησεν ἐν Ἰσραὴλ καὶ ἔθλιψεν αὐτοὺς σφόδρα. καὶ 47
εὐδόκησαν ἐν Ἀλεξάνδρῳ, ὅτι αὐτὸς ἐγένετο αὐτοῖς ἀρχηγὸς
λόγων εἰρηνικῶν, καὶ συνεμάχουν αὐτῷ πάσας τὰς ἡμέρας.

43 1 Καὶ συνήγαγεν Ἀλέξανδρος ὁ βασιλεὺς δυνάμεις μεγάλας 48
καὶ παρενέβαλεν ἐξεναντίας Δημητρίου. καὶ συνῆψαν πόλεμον 49
οἱ δύο βασιλεῖς, καὶ ἔφυγεν ἡ παρεμβολὴ Δημητρίου, καὶ ἐδίω-
ξεν αὐτὸν ὁ Ἀλέξανδρος καὶ ἴσχυσεν ἐπ' αὐτούς. καὶ ἐστερέω- 50
σε τὸν πόλεμον σφόδρα, ἕως ἔδυ ὁ ἥλιος, καὶ ἔπεσεν ὁ Δημή-
2 τριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἀπέστειλεν Ἀλέξανδρος πρὸς 51
Πτολεμαῖον βασιλέα Αἰγύπτου πρέσβεις κατὰ τοὺς λόγους
τούτους λέγων· «Ἐπεὶ ἀνέστρεψα εἰς γῆν βασιλείας μου καὶ ἐ- 52
κάθισα ἐπὶ θρόνου πατέρων μου καὶ ἐκράτησα τῆς ἀρχῆς, καὶ
συνέτριψα τὸν Δημήτριον καὶ ἐπεκράτησα τῆς χώρας ἡμῶν 53
καὶ συνῆψα πρὸς αὐτὸν μάχην, καὶ συνετρίβη αὐτὸς καὶ ἡ πα-
ρεμβολὴ αὐτοῦ ὑφ' ἡμῶν, καὶ ἐκαθίσαμεν ἐπὶ θρόνου βασι-
λείας αὐτοῦ· καὶ νῦν στήσωμεν πρὸς ἑαυτοὺς φιλίαν. καὶ νῦν 54
δός μοι τὴν θυγατέρα σου εἰς γυναῖκα, καὶ ἐπιγαμβρεύσω σοι
3 καὶ δώσω σοι δόματα καὶ αὐτῇ ἄξιά σου». καὶ ἀπεκρίθη Πτο- 55
λεμαῖος ὁ βασιλεὺς λέγων· «Ἀγαθὴ ἡμέρα, ἐν ᾗ ἀνέστρεψας
εἰς γῆν πατέρων σου καὶ ἐκάθισας ἐπὶ θρόνου βασιλείας αὐ-
τῶν. καὶ νῦν ποιήσω σοι ἃ ἔγραψας, ἀλλ' ἀπάντησον εἰς Πτο- 56
λεμαΐδα, ὅπως ἴδωμεν ἀλλήλους, καὶ ἐπιγαμβρεύσω σοι, κα-
θὼς εἴρηκας».

44 1 Καὶ ἐξῆλθε Πτολεμαῖος ἐξ Αἰγύπτου, αὐτὸς καὶ Κλεοπά- 57
τρα ἡ θυγάτηρ αὐτοῦ, καὶ εἰσῆλθον εἰς Πτολεμαΐδα ἔτους δευ-
τέρου καὶ ἑξηκοστοῦ καὶ ἑκατοστοῦ. καὶ ἀπήντησεν αὐτῷ Ἀλέ- 58
ξανδρος ὁ βασιλεύς, καὶ ἐξέδοτο αὐτῷ Κλεοπάτραν τὴν θυγα-
τέρα αὐτοῦ καὶ ἐποίησε τὸν γάμον αὐτῆς ἐν Πτολεμαΐδι καθὼς
οἱ βασιλεῖς ἐν δόξῃ μεγάλῃ. καὶ ἔγραψεν Ἀλέξανδρος ὁ βασι- 59
λεὺς τῷ Ἰωνάθαν ἐλθεῖν εἰς συνάντησιν αὐτῷ. καὶ ἐπορεύθη 60
μετὰ δόξης εἰς Πτολεμαΐδα καὶ ἀπήντησε τοῖς δυσὶ βασιλεῦσι·
καὶ ἔδωκεν αὐτοῖς ἀργύριον καὶ χρυσίον καὶ τοῖς φίλοις αὐ-
2 τῶν καὶ δόματα πολλὰ καὶ εὗρε χάριν ἐναντίον αὐτῶν. καὶ ἐπι- 61

συνήχθησαν πρὸς αὐτὸν ἄνδρες λοιμοὶ ἐξ Ἰσραήλ, ἄνδρες παρά-
νομοι, ἐντυχεῖν κατ' αὐτοῦ, καὶ οὐ προσέσχεν αὐτοῖς ὁ βα-
σιλεύς. καὶ προσέταξεν ὁ βασιλεὺς καὶ ἐξέδυσαν Ἰωνάθαν τὰ 62
ἱμάτια αὐτοῦ καὶ ἐνέδυσαν αὐτὸν πορφύραν, καὶ ἐποίησαν οὕ-
τω. καὶ ἐκάθισεν αὐτὸν ὁ βασιλεὺς μετ' αὐτοῦ καὶ εἶπε τοῖς ἄρ- 63
χουσιν αὐτοῦ· Ἐξέλθετε μετ' αὐτοῦ εἰς μέσον τῆς πόλεως καὶ
κηρύξατε τοῦ μηδένα ἐντυγχάνειν κατ' αὐτοῦ περὶ μηδενὸς
πράγματος, καὶ μηδεὶς αὐτῷ παρενοχλείτω περὶ παντὸς λό-
3 γου. καὶ ἐγένετο ὡς εἶδον οἱ ἐντυγχάνοντες τὴν δόξαν αὐτοῦ, 64
καθὼς ἐκήρυξε, καὶ περιβεβλημένον αὐτὸν πορφύραν, καὶ ἔφυ-
γον πάντες. καὶ ἐδόξασεν αὐτὸν ὁ βασιλεὺς καὶ ἔγραψεν αὐ- 65
τὸν τῶν πρώτων φίλων καὶ ἔθετο αὐτὸν στρατηγὸν καὶ μερι-
δάρχην. καὶ ἐπέστρεψεν Ἰωνάθαν εἰς Ἰερουσαλὴμ μετ' εἰρήνης 66
καὶ εὐφροσύνης.

45 1 Καὶ ἐν ἔτει πέμπτῳ καὶ ἑξηκοστῷ καὶ ἑκατοστῷ ἦλθε Δη- 67
μήτριος υἱὸς Δημητρίου ἐκ Κρήτης εἰς τὴν γῆν τῶν πατέρων
αὐτοῦ. καὶ ἤκουσεν Ἀλέξανδρος ὁ βασιλεὺς καὶ ἐλυπήθη σφό- 68
δρα καὶ ὑπέστρεψεν εἰς Ἀντιόχειαν. καὶ κατέστησε Δημήτριος 69
Ἀπολλώνιον τὸν ὄντα ἐπὶ Κοίλης Συρίας, καὶ συνήγαγε δύνα-
μιν μεγάλην καὶ παρενέβαλεν ἐν Ἰαμνείᾳ. καὶ ἀπέστειλε πρὸς
2 Ἰωνάθαν τὸν ἀρχιερέα λέγων· «Σὺ μονώτατος ἐπαίρῃ ἐφ' ἡ- 70
μᾶς, ἐγὼ δὲ ἐγενήθην εἰς καταγέλωτα καὶ εἰς ὀνειδισμὸν διὰ
σέ· καὶ διατί σὺ ἐξουσιάζῃ ἐφ' ἡμᾶς ἐν τοῖς ὄρεσι; νῦν οὖν εἰ 71
πέποιθας ἐπὶ ταῖς δυνάμεσί σου, κατάβηθι πρὸς ἡμᾶς εἰς τὸ
πεδίον, καὶ συγκριθῶμεν ἑαυτοῖς ἐκεῖ, ὅτι μετ' ἐμοῦ ἐστι δύνα-
μις τῶν πόλεων. ἐρώτησον καὶ μάθε τίς εἰμι καὶ οἱ λοιποὶ οἱ 72
βοηθοῦντες ἡμῖν, καὶ λέγουσιν· Οὐκ ἔστιν ὑμῖν στάσις ποδὸς
κατὰ πρόσωπον ἡμῶν, ὅτι δὶς ἐτροπώθησαν οἱ πατέρες σου
ἐν γῇ αὐτῶν. καὶ νῦν οὐ δυνήσῃ ὑποστῆναι τὴν ἵππον καὶ δύ- 73
ναμιν τοιαύτην ἐν τῷ πεδίῳ, ὅπου οὐκ ἔστι λίθος οὐδὲ κόχλαξ
οὐδὲ τόπος τοῦ φυγεῖν».

46 1 Ὡς δὲ ἤκουσεν Ἰωνάθαν τῶν λόγων Ἀπολλωνίου, ἐκινή- 74
θη τῇ διανοίᾳ καὶ ἐπέλεξε δέκα χιλιάδας ἀνδρῶν καὶ ἐξῆλθεν
ἐξ Ἰερουσαλήμ, καὶ συνήντησεν αὐτῷ Σίμων ὁ ἀδελφὸς αὐτοῦ
ἐπὶ βοήθειαν αὐτοῦ. καὶ παρενέβαλεν ἐπὶ Ἰόππην, καὶ ἀπέκλει- 75
σαν αὐτὸν ἐκ τῆς πόλεως, ὅτι φρουρὰ Ἀπολλωνίου ἐν Ἰόππῃ,
καὶ ἐπολέμησαν αὐτήν. καὶ φοβηθέντες ἤνοιξαν οἱ ἐκ τῆς πόλε- 76
2 ως, καὶ ἐκυρίευσεν Ἰωνάθαν Ἰόππης. καὶ ἤκουσεν Ἀπολλώ- 77
νιος, καὶ παρενέβαλε τρισχιλίαν ἵππον καὶ δύναμιν πολλὴν καὶ
ἐπορεύθη εἰς Ἄζωτον ὡς διοδεύων καὶ ἅμα προῆγεν εἰς τὸ
πεδίον διὰ τὸ ἔχειν αὐτὸν πλῆθος ἵππου καὶ πεποιθέναι ἐπ' αὐ-
τῇ. καὶ κατεδίωξεν Ἰωνάθαν ὀπίσω αὐτοῦ εἰς Ἄζωτον, καὶ συ- 78
νῆψαν αἱ παρεμβολαὶ εἰς πόλεμον. καὶ ἀπέλιπεν Ἀπολλώνιος 79
χιλίαν ἵππον ἐν κρυπτῷ κατόπισθεν αὐτῶν. καὶ ἔγνω Ἰωνάθαν 80
ὅτι ἔστιν ἔνεδρον κατόπισθεν αὐτοῦ, καὶ ἐκύκλωσαν αὐτοῦ

τὴν παρεμβολὴν καὶ ἐξετίναξαν τὰς σχίζας εἰς τὸν λαὸν ἐκ πρωΐου ἕως ἑσπέρας· ὁ δὲ λαὸς εἱστήκει καθὼς ἐπέταξεν Ἰω- 81
3 νάθαν, καὶ ἐκοπίασαν οἱ ἵπποι αὐτῶν. καὶ εἵλκυσε Σίμων τὴν 82
δύναμιν αὐτοῦ καὶ συνῆψε πρὸς τὴν φάραγγα, ἡ γὰρ ἵππος ἐξελύθη, καὶ συνετρίβησαν ὑπ' αὐτοῦ καὶ ἔφυγον. καὶ ἡ ἵππος 83
ἐσκορπίσθη ἐν τῷ πεδίῳ, καὶ ἔφυγον εἰς Ἄζωτον καὶ εἰσῆλθον εἰς Βηθδαγὼν τὸ εἰδωλεῖον αὐτῶν τοῦ σωθῆναι. καὶ ἐνε- 84
πύρισεν Ἰωνάθαν τὴν Ἄζωτον καὶ τὰς πόλεις τὰς κύκλῳ αὐτῆς καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν καὶ τὸ ἱερὸν Δαγὼν καὶ τοὺς συμφυγόντας εἰς αὐτὸ ἐνεπύρισε πυρί. καὶ ἐγένοντο οἱ πεπτω- 85
κότες μαχαίρᾳ σὺν τοῖς ἐμπυρισθεῖσιν εἰς ἄνδρας ὀκτακισχιλίους. καὶ ἀπῆρεν ἐκεῖθεν Ἰωνάθαν καὶ παρενέβαλεν ἐπὶ Ἀσκά- 86 **11**
λωνα, καὶ ἐξῆλθον οἱ ἐκ τῆς πόλεως εἰς συνάντησιν αὐτῷ ἐν
4 δόξῃ μεγάλῃ. καὶ ἐπέστρεψεν Ἰωνάθαν εἰς Ἱερουσαλὴμ σὺν 87
τοῖς παρ' αὐτοῦ ἔχοντες σκῦλα πολλά. καὶ ἐγένετο ὡς ἤκου- 88
σεν Ἀλέξανδρος ὁ βασιλεὺς τοὺς λόγους τούτους, καὶ προσέθετο δοξάσαι τὸν Ἰωνάθαν. καὶ ἀπέστειλεν αὐτῷ πόρπην χρυ- 89
σῆν, ὡς ἔθος ἐστὶ δίδοσθαι τοῖς συγγενέσι τῶν βασιλέων, καὶ ἔδωκεν αὐτῷ τὴν Ἀκκαρὼν καὶ πάντα τὰ ὅρια αὐτῆς εἰς κληροδοσίαν.

47 1 Καὶ ὁ βασιλεὺς Αἰγύπτου ἤθροισε δυνάμεις πολλὰς ὡς τὴν ἄμμον τὴν περὶ τὸ χεῖλος τῆς θαλάσσης καὶ πλοῖα πολλὰ καὶ ἐζήτησε κατακρατῆσαι τῆς βασιλείας Ἀλεξάνδρου δόλῳ καὶ προσθεῖναι αὐτὴν τῇ βασιλείᾳ αὐτοῦ. καὶ ἐξῆλθεν εἰς Συ- 2
ρίαν λόγοις εἰρηνικοῖς, καὶ ἤνοιγον αὐτῷ οἱ ἀπὸ τῶν πόλεων καὶ συνήντων αὐτῷ, ὅτι ἐντολὴ ἦν Ἀλεξάνδρου τοῦ βασιλέως συναντᾶν αὐτῷ διὰ τὸ πενθερὸν αὐτοῦ εἶναι. ὡς δὲ εἰσεπορεύ- 3
ετο εἰς τὰς πόλεις ὁ Πτολεμαῖος, ἀπέτασσε τὰς δυνάμεις
2 φρουρὰν ἐν ἑκάστῃ πόλει. ὡς δὲ ἤγγισεν Ἀζώτου, ἔδειξαν αὐ- 4
τῷ τὸ ἱερὸν Δαγὼν ἐμπεπυρισμένον καὶ Ἄζωτον καὶ τὰ περιπόλια αὐτῆς καθῃρημένα καὶ τὰ σώματα ἐρριμμένα καὶ τοὺς ἐμπεπυρισμένους, οὓς ἐνεπύρισεν ἐν τῷ πολέμῳ· ἐποίησαν γὰρ θημωνίας αὐτῶν ἐν τῇ ὁδῷ αὐτοῦ. καὶ διηγήσαντο τῷ βασιλεῖ 5
ἃ ἐποίησεν Ἰωνάθαν εἰς τὸ ψογίσαι αὐτόν· καὶ ἐσίγησεν ὁ βασιλεύς. καὶ συνήντησεν Ἰωνάθαν τῷ βασιλεῖ εἰς Ἰόππην μετὰ 6
δόξης, καὶ ἠσπάσαντο ἀλλήλους καὶ ἐκοιμήθησαν ἐκεῖ. καὶ ἐ- 7
πορεύθη Ἰωνάθαν μετὰ τοῦ βασιλέως ἕως τοῦ ποταμοῦ τοῦ
3 καλουμένου Ἐλευθέρου καὶ ἐπέστρεψεν εἰς Ἱερουσαλήμ. ὁ δὲ 8
βασιλεὺς Πτολεμαῖος ἐκυρίευσε τῶν πόλεων τῆς παραλίας ἕως Σελευκείας τῆς παραθαλασσίας καὶ διελογίζετο περὶ Ἀλεξάνδρου λογισμοὺς πονηρούς. καὶ ἀπέστειλε πρέσβεις πρὸς 9
Δημήτριον τὸν βασιλέα λέγων· Δεῦρο συνθώμεθα πρὸς ἑαυτοὺς διαθήκην, καὶ δώσω σοι τὴν θυγατέρα μου, ἣν ἔχει Ἀλέξανδρος, καὶ βασιλεύσεις τῆς βασιλείας τοῦ πατρός σου· μετα- 10
μεμέλημαι γὰρ δοὺς αὐτῷ τὴν θυγατέρα μου, ἐζήτησε γὰρ ἀ-

ποκτεῖναί με. καὶ ἐψόγισεν αὐτὸν χάριν τοῦ ἐπιθυμῆσαι αὐτὸν 11
τῆς βασιλείας αὐτοῦ· καὶ ἀφελόμενος αὐτοῦ τὴν θυγατέρα ἔ- 12
δωκεν αὐτὴν τῷ Δημητρίῳ καὶ ἠλλοτριώθη τῷ Ἀλεξάνδρῳ
4 καὶ ἐφάνη ἡ ἔχθρα αὐτῶν. καὶ εἰσῆλθε Πτολεμαῖος εἰς Ἀντιό- 13
χειαν καὶ περιέθετο τὸ διάδημα τῆς Ἀσίας· καὶ περιέθετο δύο
διαδήματα περὶ τὴν κεφαλὴν αὐτοῦ, τὸ τῆς Ἀσίας καὶ Αἰγύ-
πτου. Ἀλέξανδρος δὲ ὁ βασιλεὺς ἦν ἐν Κιλικίᾳ κατὰ τοὺς και- 14
ροὺς ἐκείνους, ὅτι ἀπεστάτουν οἱ ἀπὸ τῶν τόπων ἐκείνων. καὶ 15
ἤκουσεν Ἀλέξανδρος καὶ ἦλθεν ἐπ' αὐτὸν πολέμῳ. καὶ ἐξήγα-
γε Πτολεμαῖος τὴν δύναμιν καὶ ἀπήντησεν αὐτῷ ἐν χειρὶ ἰσχυ-
ρᾷ καὶ ἐτροπώσατο αὐτόν. καὶ ἔφυγεν Ἀλέξανδρος εἰς τὴν Ἀ- 16
ραβίαν τοῦ σκεπασθῆναι αὐτὸν ἐκεῖ. ὁ δὲ βασιλεὺς Πτολε-
μαῖος ὑψώθη. καὶ ἀφεῖλε Ζαβδιὴλ ὁ Ἄραψ τὴν κεφαλὴν Ἀλε- 17
5 ξάνδρου καὶ ἀπέστειλε τῷ Πτολεμαίῳ. καὶ ὁ βασιλεὺς Πτολε- 18
μαῖος ἀπέθανεν ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ οἱ ὄντες ἐν τοῖς ὀχυ-
ρώμασιν ἀπώλοντο ὑπὸ τῶν ἐν τοῖς ὀχυρώμασι. καὶ ἐβασίλευ- 19
σε Δημήτριος ἔτους ἑβδόμου καὶ ἑξηκοστοῦ καὶ ἑκατοστοῦ.

48 1 Ἐν ταῖς ἡμέραις ἐκείναις συνήγαγεν Ἰωνάθαν τοὺς ἐκ τῆς 20
Ἰουδαίας τοῦ ἐκπολεμῆσαι τὴν ἄκραν τὴν ἐν Ἱερουσαλὴμ καὶ
ἐποίησεν ἐπ' αὐτὴν μηχανὰς πολλάς. καὶ ἐπορεύθησάν τινες 21
μισοῦντες τὸ ἔθνος αὐτῶν ἄνδρες παράνομοι πρὸς τὸν βασι-
λέα καὶ ἀπήγγειλαν αὐτῷ ὅτι Ἰωνάθαν περικάθηται τὴν ἄκραν.
καὶ ἀκούσας ὠργίσθη· ὡς δὲ ἤκουσεν, εὐθέως ἀναζεύξας ἦλ- 22
θεν εἰς Πτολεμαΐδα καὶ ἔγραψεν Ἰωνάθαν τοῦ μὴ περικαθῆσθαι
τῇ ἄκρᾳ καὶ τοῦ ἀπαντῆσαι αὐτὸν αὐτῷ συμμίσγειν εἰς Πτολε-
2 μαΐδα τὴν ταχίστην. ὡς δὲ ἤκουσεν Ἰωνάθαν, ἐκέλευσε περι- 23
καθῆσθαι καὶ ἐπέλεξε τῶν πρεσβυτέρων Ἰσραὴλ καὶ τῶν ἱερέ-
ων καὶ ἔδωκεν ἑαυτὸν τῷ κινδύνῳ· καὶ λαβὼν ἀργύριον καὶ 24
χρυσίον καὶ ἱματισμὸν καὶ ἕτερα ξένια πλείονα ἐπορεύθη πρὸς
τὸν βασιλέα εἰς Πτολεμαΐδα καὶ εὗρε χάριν ἐνώπιον αὐτοῦ. καὶ 25
ἐνετύγχανον κατ' αὐτοῦ τινες ἄνομοι τῶν ἐκ τοῦ ἔθνους. καὶ ἐ- 26
ποίησεν αὐτῷ ὁ βασιλεὺς καθὼς ἐποίησαν αὐτῷ οἱ πρὸ αὐτοῦ,
καὶ ὕψωσεν αὐτὸν ἐναντίον πάντων τῶν φίλων αὐτοῦ, καὶ ἔ- 27
στησεν αὐτῷ τὴν ἀρχιερωσύνην καὶ ὅσα ἄλλα εἶχε τίμια τὸ
πρότερον καὶ ἐποίησεν αὐτὸν τῶν πρώτων φίλων ἡγεῖσθαι.
καὶ ἠξίωσεν Ἰωνάθαν τὸν βασιλέα ποιῆσαι τὴν Ἰουδαίαν ἀφο- 28
ρολόγητον καὶ τὰς τρεῖς τοπαρχίας καὶ τὴν Σαμαρεῖτιν καὶ ἐ-
3 πηγγείλατο αὐτῷ τάλαντα τριακόσια. καὶ εὐδόκησεν ὁ βασι- 29
λεὺς καὶ ἔγραψε τῷ Ἰωνάθαν ἐπιστολὰς περὶ πάντων τούτων
ἐχούσας τὸν τρόπον τοῦτον· «Βασιλεὺς Δημήτριος Ἰωνάθαν 30
τῷ ἀδελφῷ καὶ ἔθνει Ἰουδαίων χαίρειν. τὸ ἀντίγραφον τῆς ἐπι- 31
στολῆς, ἧς ἐγράψαμεν Λασθένει τῷ συγγενεῖ ἡμῶν περὶ ὑμῶν,
γεγράφαμεν καὶ πρὸς ὑμᾶς ὅπως εἰδῆτε. 'Βασιλεὺς Δημήτριος 32
Λασθένει τῷ πατρὶ χαίρειν. τῷ ἔθνει τῶν Ἰουδαίων φίλοις ἡ- 33
μῶν καὶ συντηροῦσι τὰ πρὸς ἡμᾶς δίκαια ἐκρίναμεν ἀγαθοποι-

4 ῆσαι χάριν τῆς ἐξ αὐτῶν εὐνοίας πρὸς ἡμᾶς. ἑστάκαμεν οὖν 34
αὐτοῖς τά τε ὅρια τῆς Ἰουδαίας καὶ τοὺς τρεῖς νομούς, Ἀφαίρεμα καὶ Λύδδαν καὶ Ῥαμαθέμ, αἵτινες προσετέθησαν τῇ Ἰουδαίᾳ ἀπὸ τῆς Σαμαρείτιδος, καὶ πάντα τὰ συγκυροῦντα αὐτοῖς πᾶσι τοῖς θυσιάζουσιν εἰς Ἱεροσόλυμα, ἀντὶ τῶν βασιλικῶν, ὧν ἐλάμβανεν ὁ βασιλεὺς παρ' αὐτῶν τὸ πρότερον κατ' ἐνιαυτὸν ἀ-
5 πὸ τῶν γενημάτων τῆς γῆς καὶ ἀπὸ τῶν ἀκροδρύων. καὶ τὰ 35
ἄλλα τὰ ἀνήκοντα ἡμῖν ἀπὸ τοῦ νῦν τῶν δεκατῶν καὶ τῶν τελῶν τῶν ἀνηκόντων ἡμῖν καὶ τὰς τοῦ ἁλὸς λίμνας καὶ τοὺς ἀνήκοντας ἡμῖν στεφάνους, πάντα ἐπαρκῶς παρίεμεν αὐτοῖς. καὶ οὐκ ἀθετηθήσεται οὐδὲ ἓν τούτων ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν 36
ἅπαντα χρόνον. νῦν οὖν ἐπιμέλεσθε τοῦ ποιῆσαι τούτων ἀντί- 37
γραφον καὶ δοθήτω Ἰωνάθαν καὶ τεθήτω ἐν τῷ ὄρει τῷ ἁγίῳ ἐν τόπῳ ἐπισήμῳ'».

49 1 Καὶ εἶδε Δημήτριος ὁ βασιλεὺς ὅτι ἡσύχασεν ἡ γῆ ἐνώ- 38
πιον αὐτοῦ καὶ οὐδὲν αὐτῷ ἀνθειστήκει, καὶ ἀπέλυσε πάσας τὰς δυνάμεις αὐτοῦ ἕκαστον εἰς τὸν ἴδιον τόπον, πλὴν τῶν ξένων δυνάμεων, ὧν ἐξενολόγησεν ἀπὸ τῶν νήσων τῶν ἐθνῶν· καὶ ἤχθραναν αὐτῷ πᾶσαι αἱ δυνάμεις τῶν πατέρων αὐτοῦ. Τρύφων δὲ ἦν τῶν παρὰ Ἀλεξάνδρου τὸ πρότερον καὶ εἶδεν ὅ- 39
τι πᾶσαι αἱ δυνάμεις καταγογγύζουσι τοῦ Δημητρίου, καὶ ἐπορεύθη πρὸς Εἰμαλκουάι τὸν Ἄραβα, ὃς ἔτρεφε τὸν Ἀντίοχον τὸ παιδάριον τὸ τοῦ Ἀλεξάνδρου. καὶ προσήδρευεν αὐτῷ, ὅ- 40
πως παραδῷ αὐτὸν αὐτῷ, ὅπως βασιλεύσῃ ἀντὶ τοῦ πατρὸς αὐτοῦ. καὶ ἀπήγγειλεν αὐτῷ ὅσα συνετέλεσε Δημήτριος καὶ τὴν ἔχθραν, ἣν ἐχθραίνουσιν αὐτῷ αἱ δυνάμεις αὐτοῦ, καὶ ἔμει-
2 νεν ἐκεῖ ἡμέρας πολλάς. καὶ ἀπέστειλεν Ἰωνάθαν πρὸς Δημή- 41
τριον τὸν βασιλέα, ἵνα ἐκβάλῃ τοὺς ἐκ τῆς ἄκρας ἐξ Ἱερουσαλὴμ καὶ τοὺς ἐν τοῖς ὀχυρώμασιν· ἦσαν γὰρ πολεμοῦντες τὸν Ἰσραήλ. καὶ ἀπέστειλε Δημήτριος πρὸς Ἰωνάθαν λέγων· Οὐ 42
μόνον ταῦτα ποιήσω σοι καὶ τῷ ἔθνει σου, ἀλλὰ δόξῃ δοξάσω σε καὶ τὸ ἔθνος σου, ἐὰν εὐκαιρίας τύχω. νῦν οὖν ὀρθῶς ποιή- 43
σεις ἀποστείλας μοι ἄνδρας, οἳ συμμαχήσουσιν, ὅτι ἀπέστη- 44
σαν πᾶσαι αἱ δυνάμεις μου. καὶ ἀπέστειλεν Ἰωνάθαν ἄνδρας τρισχιλίους δυνατοὺς ἰσχύι αὐτῷ εἰς Ἀντιόχειαν, καὶ ἦλθον πρὸς τὸν βασιλέα, καὶ ηὐφράνθη ὁ βασιλεὺς ἐπὶ τῇ ἐφόδῳ αὐτῶν. καὶ ἐπισυνήχθησαν οἱ ἐκ τῆς πόλεως εἰς μέσον τῆς πόλε- 45
ως εἰς δώδεκα μυριάδας ἀνδρῶν καὶ ἠβούλοντο ἀνελεῖν τὸν
3 βασιλέα. καὶ ἔφυγεν ὁ βασιλεὺς εἰς τὴν αὐλήν, καὶ κατελάβο- 46
ντο οἱ ἐκ τῆς πόλεως τὰς διόδους τῆς πόλεως καὶ ἤρξαντο πολεμεῖν. καὶ ἐκάλεσεν ὁ βασιλεὺς τοὺς Ἰουδαίους ἐπὶ βοήθειαν, 47
καὶ ἐπισυνήχθησαν πρὸς αὐτὸν πάντες ἅμα καὶ διεσπάρησαν ἐν τῇ πόλει πάντες ἅμα καὶ ἀπέκτειναν ἐν τῇ πόλει ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς μυριάδας δέκα· καὶ ἐνεπύρισαν τὴν πόλιν καὶ ἔλα- 48
βον σκῦλα πολλὰ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ ἔσωσαν τὸν βασιλέα.

καὶ εἶδον οἱ ἀπὸ τῆς πόλεως ὅτι κατεκράτησαν οἱ Ἰουδαῖοι τῆς 49
πόλεως ὡς ἠβούλοντο, καὶ ἠσθένησαν ταῖς διανοίαις αὐτῶν
καὶ ἐκέκραξαν πρὸς τὸν βασιλέα μετὰ δεήσεως λέγοντες· Δὸς 50
ἡμῖν δεξιὰς καὶ παυσάσθωσαν οἱ Ἰουδαῖοι πολεμοῦντες ἡμᾶς
καὶ τὴν πόλιν. καὶ ἔρριψαν τὰ ὅπλα καὶ ἐποίησαν εἰρήνην καὶ ἐ- 51
δοξάσθησαν οἱ Ἰουδαῖοι ἐναντίον τοῦ βασιλέως καὶ ἐνώπιον
πάντων τῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ καὶ ἐπέστρεψαν εἰς Ἱερουσα-
4 λὴμ ἔχοντες σκῦλα πολλά. καὶ ἐκάθησε Δημήτριος ὁ βασιλεὺς 52
ἐπὶ θρόνου τῆς βασιλείας αὐτοῦ, καὶ ἡσύχασεν ἡ γῆ ἐνώπιον
αὐτοῦ. καὶ ἐψεύσατο πάντα, ὅσα εἶπε, καὶ ἠλλοτριώθη τῷ Ἰω- 53
νάθαν καὶ οὐκ ἀνταπέδωκε κατὰ τὰς εὐνοίας, ἃς ἀνταπέδωκεν
αὐτῷ, καὶ ἔθλιβεν αὐτὸν σφόδρα.

50 1 Μετὰ δὲ ταῦτα ἀπέστρεψε Τρύφων καὶ Ἀντίοχος μετ' αὐ- 54
τοῦ παιδάριον νεώτερον· καὶ ἐβασίλευσε καὶ ἐπέθετο διάδημα.
καὶ ἐπισυνήχθησαν πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις, ἃς ἀπε- 55
σκόρπισε Δημήτριος, καὶ ἐπολέμησαν πρὸς αὐτόν, καὶ ἔφυγε
καὶ ἐτροπώθη. καὶ ἔλαβε Τρύφων τὰ θηρία καὶ κατεκράτησεν 56
Ἀντιοχείας. καὶ ἔγραψεν Ἀντίοχος ὁ νεώτερος τῷ Ἰωνάθαν 57
λέγων· Ἵστημί σοι τὴν ἀρχιερωσύνην καὶ καθίστημί σε ἐπὶ
τῶν τεσσάρων νομῶν καὶ εἶναί σε τῶν φίλων τοῦ βασιλέως. 58
καὶ ἀπέστειλεν αὐτῷ χρυσώματα καὶ διακονίαν καὶ ἔδωκεν αὐ-
τῷ ἐξουσίαν πίνειν ἐν χρυσώμασι καὶ εἶναι ἐν πορφύρᾳ καὶ ἔ-
χειν πόρπην χρυσῆν· καὶ Σίμωνα τὸν ἀδελφὸν αὐτοῦ κατέστη- 59
σε στρατηγὸν ἀπὸ τῆς κλίμακος Τύρου ἕως τῶν ὁρίων Αἰγύ-
2 πτου. καὶ ἐξῆλθεν Ἰωνάθαν καὶ διεπορεύετο πέραν τοῦ ποτα- 60
μοῦ καὶ ἐν ταῖς πόλεσι, καὶ ἠθροίσθησαν πρὸς αὐτὸν πᾶσαι αἱ
δυνάμεις Συρίας εἰς συμμαχίαν, καὶ ἦλθεν εἰς Ἀσκάλωνα, καὶ
ἀπήντησαν αὐτῷ οἱ ἐκ τῆς πόλεως ἐνδόξως. καὶ ἀπῆλθεν ἐκεῖ- 61
θεν εἰς Γάζαν, καὶ ἀπέκλεισαν οἱ ἀπὸ Γάζης, καὶ περιεκάθισε
περὶ αὐτὴν καὶ ἐνεπύρισε τὰ περιπόλια αὐτῆς πυρὶ καὶ ἐσκύ-
λευσεν αὐτά. καὶ ἠξίωσαν οἱ ἀπὸ Γάζης τὸν Ἰωνάθαν, καὶ ἔδω- 62
κεν αὐτοῖς δεξιὰς καὶ ἔλαβε τοὺς υἱοὺς ἀρχόντων αὐτῶν εἰς ὅ-
μηρα καὶ ἐξαπέστειλεν αὐτοὺς εἰς Ἱερουσαλήμ· καὶ διῆλθε τὴν
χώραν ἕως Δαμασκοῦ. καὶ ἤκουσεν Ἰωνάθαν ὅτι παρῆσαν οἱ 63
ἄρχοντες Δημητρίου εἰς Κάδης τὴν ἐν τῇ Γαλιλαίᾳ μετὰ δυνά-
μεως πολλῆς βουλόμενοι μεταστῆσαι αὐτὸν τῆς χρείας. καὶ 64
συνήντησεν αὐτοῖς, τὸν δὲ ἀδελφὸν αὐτοῦ Σίμωνα κατέλιπεν
3 ἐν τῇ χώρᾳ. καὶ παρενέβαλε Σίμων ἐπὶ Βεθσούρᾳ καὶ ἐπολέμει 65
αὐτὴν ἡμέρας πολλὰς καὶ συνέκλεισεν αὐτήν. καὶ ἠξίωσαν αὐ- 66
τὸν τοῦ δεξιὰς λαβεῖν, καὶ ἔδωκεν αὐτοῖς· καὶ ἐξέβαλεν αὐ-
τοὺς ἐκεῖθεν καὶ κατελάβετο τὴν πόλιν καὶ ἔθετο ἐπ' αὐτῇ
φρουράν. καὶ Ἰωνάθαν καὶ ἡ παρεμβολὴ αὐτοῦ παρενέβαλον ἐ- 67
πὶ τὸ ὕδωρ Γενησάρ, καὶ ὤρθρισαν τὸ πρωῒ εἰς τὸ πεδίον Νασώρ. καὶ ἰδοὺ παρεμβολὴ ἀλλοφύλων ἀπήντα αὐτῷ ἐν τῷ πε- 68
δίῳ καὶ ἐξέβαλον ἔνεδρον ἐπ' αὐτὸν ἐν τοῖς ὄρεσιν, αὐτοὶ δὲ ἀ-

πήντησαν ἐξεναντίας. τὰ δὲ ἔνεδρα ἐξανέστησαν ἐκ τῶν τό- 69
4 πων αὐτῶν καὶ συνῆψαν πόλεμον. καὶ ἔφυγον οἱ παρὰ Ἰωνά-
θαν πάντες, οὐδὲ εἷς κατελείφθη ἀπ' αὐτῶν, πλὴν Ματταθίας ὁ 70
τοῦ Ἀβεσσαλώμου καὶ Ἰούδας ὁ τοῦ Χαλφὶ ἄρχοντες τῆς
στρατιᾶς τῶν δυνάμεων. καὶ διέρρηξεν Ἰωνάθαν τὰ ἱμάτια αὐ- 71
τοῦ καὶ ἐπέθετο γῆν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ προσηύξατο.
καὶ ὑπέστρεψε πρὸς αὐτοὺς πολέμῳ καὶ ἐτροπώσατο αὐτούς, 72
καὶ ἔφυγον. καὶ εἶδον οἱ φεύγοντες οἱ παρ' αὐτοῦ καὶ ἐπέστρε- 73
ψαν πρὸς αὐτὸν καὶ ἐδίωκον μετ' αὐτοῦ ἕως Κάδης ἕως τῆς
παρεμβολῆς αὐτῶν καὶ παρενέβαλον ἐκεῖ. καὶ ἔπεσον ἐκ τῶν 74
ἀλλοφύλων ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς ἄνδρας τρισχιλίους. καὶ ἐ-
πέστρεψεν Ἰωνάθαν εἰς Ἱερουσαλήμ.

51 1 Καὶ εἶδεν Ἰωνάθαν ὅτι ὁ καιρὸς αὐτῷ συνεργεῖ, καὶ ἐπέλε- **12**
ξεν ἄνδρας καὶ ἀπέστειλεν εἰς Ῥώμην στῆσαι καὶ ἀνανεώσα-
σθαι τὴν πρὸς αὐτοὺς φιλίαν. καὶ πρὸς Σπαρτιάτας καὶ τόπους 2
ἑτέρους ἀπέστειλεν ἐπιστολὰς κατὰ τὰ αὐτά. καὶ ἐπορεύθησαν 3
εἰς Ῥώμην καὶ εἰσῆλθον εἰς τὸ βουλευτήριον καὶ εἶπον· Ἰωνά-
θαν ὁ ἀρχιερεὺς καὶ τὸ ἔθνος τῶν Ἰουδαίων ἀπέστειλεν ἡμᾶς
ἀνανεώσασθαι τὴν φιλίαν αὐτοῖς καὶ τὴν συμμαχίαν κατὰ τὸ
πρότερον. καὶ ἔδωκαν ἐπιστολὰς αὐτοῖς πρὸς αὐτοὺς κατὰ τό- 4
πον, ὅπως προπέμπωσιν αὐτοὺς εἰς γῆν Ἰούδα μετ' εἰρήνης.

52 1 Καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν ὧν ἔγραψεν Ἰω- 5
νάθαν τοῖς Σπαρτιάταις· «Ἰωνάθαν ἀρχιερεὺς καὶ ἡ γερουσία 6
τοῦ ἔθνους καὶ οἱ ἱερεῖς καὶ ὁ λοιπὸς δῆμος τῶν Ἰουδαίων
Σπαρτιάταις τοῖς ἀδελφοῖς χαίρειν. ἔτι πρότερον ἀπεστάλησαν 7
ἐπιστολαὶ πρὸς Ὀνίαν τὸν ἀρχιερέα παρὰ Ἀρείου τοῦ βασι-
λεύοντος ἐν ὑμῖν ὅτι ἐστὲ ἀδελφοὶ ἡμῶν, ὡς τὸ ἀντίγραφον ὑ-
πόκειται. καὶ ἐπεδέξατο Ὀνίας τὸν ἄνδρα τὸν ἀπεσταλμένον 8
ἐνδόξως καὶ ἔλαβε τὰς ἐπιστολάς, ἐν αἷς διεσαφεῖτο περὶ συμ-
2 μαχίας καὶ φιλίας. καὶ ἡμεῖς οὖν ἀπροσδεεῖς τούτων ὄντες, πα- 9
ράκλησιν ἔχοντες τὰ βιβλία τὰ ἅγια τὰ ἐν ταῖς χερσὶν ἡμῶν, ἐ- 10
πειράθημεν ἀποστεῖλαι τὴν πρὸς ὑμᾶς ἀδελφότητα καὶ φιλίαν
ἀνανεώσασθαι πρὸς τὸ μὴ ἐξαλλοτριωθῆναι ὑμῶν· πολλοὶ γὰρ
καιροὶ διῆλθον ἀφ' οὗ ἀπεστείλατε πρὸς ἡμᾶς. ἡμεῖς οὖν ἐν 11
παντὶ καιρῷ ἀδιαλείπτως ἔν τε ταῖς ἑορταῖς καὶ ταῖς λοιπαῖς
καθηκούσαις ἡμέραις μιμνησκόμεθα ὑμῶν ἐφ' ὧν προσφέρο-
μεν θυσιῶν καὶ ἐν ταῖς προσευχαῖς, ὡς δέον ἐστὶ καὶ πρέπον
3 μνημονεύειν ἀδελφῶν· εὐφραινόμεθα δὲ ἐπὶ τῇ δόξῃ ὑμῶν. ἡ- 12 13
μᾶς δὲ ἐκύκλωσαν πολλαὶ θλίψεις καὶ πόλεμοι πολλοί, καὶ ἐπο-
λέμησαν ἡμᾶς οἱ βασιλεῖς οἱ κύκλῳ ἡμῶν. οὐκ ἠβουλόμεθα 14
οὖν παρενοχλεῖν ὑμῖν καὶ τοῖς λοιποῖς συμμάχοις καὶ φίλοις ἡ-
μῶν ἐν τοῖς πολέμοις τούτοις· ἔχομεν γὰρ τὴν ἐξ οὐρανοῦ 15
βοήθειαν βοηθοῦσαν ἡμῖν καὶ ἐρρύσθημεν ἀπὸ τῶν ἐχθρῶν ἡ-
μῶν, καὶ ἐταπεινώθησαν οἱ ἐχθροὶ ἡμῶν. ἐπελέξαμεν οὖν Νου- 16
μήνιον Ἀντιόχου καὶ Ἀντίπατρον Ἰάσονος καὶ ἀπεστάλκαμεν

πρὸς Ῥωμαίους ἀνανεώσασθαι τὴν πρὸς αὐτοὺς φιλίαν καὶ
συμμαχίαν τὴν προτέραν. ἐνετειλάμεθα οὖν αὐτοῖς καὶ πρὸς ὑ- 17
μᾶς πορευθῆναι καὶ ἀσπάσασθαι ὑμᾶς καὶ ἀποδοῦναι ὑμῖν τὰς
παρ' ἡμῶν ἐπιστολὰς περὶ τῆς ἀνανεώσεως καὶ τῆς ἀδελφότη-
τος ἡμῶν. καὶ νῦν καλῶς ποιήσετε ἀντιφωνήσοντες ἡμῖν πρὸς 18
ταῦτα».

4 Καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν, ὧν ἀπέστειλαν 19
Ὀνίᾳ· «Ἄρειος βασιλεὺς Σπαρτιατῶν Ὀνίᾳ ἱερεῖ μεγάλῳ χαί- 20
ρειν. Εὑρέθη ἐν γραφῇ περί τε τῶν Σπαρτιατῶν καὶ Ἰουδαίων, 21
ὅτι εἰσὶν ἀδελφοὶ καὶ ὅτι εἰσὶν ἐκ γένους Ἀβραάμ. καὶ νῦν ἀφ' 22
οὗ ἔγνωμεν ταῦτα, καλῶς ποιήσετε γράφοντες ἡμῖν περὶ τῆς
εἰρήνης ὑμῶν, καὶ ἡμεῖς δὲ ἀντιγράφομεν ὑμῖν τὰ κτήνη ὑμῶν 23
καὶ ἡ ὕπαρξις ὑμῶν ἡμῖν ἐστι, καὶ τὰ ἡμῶν ὑμῖν ἐστιν. ἐντελλό-
μεθα οὖν ὅπως ἀπαγγείλωσιν ὑμῖν κατὰ ταῦτα».

53 1 Καὶ ἤκουσεν Ἰωνάθαν ὅτι ἐπέστρεψαν οἱ ἄρχοντες Δημη- 24
τρίου μετὰ δυνάμεως πολλῆς ὑπὲρ τὸ πρότερον τοῦ πολεμῆσαι
πρὸς αὐτόν. καὶ ἀπῆρεν ἐξ Ἰερουσαλὴμ καὶ ἀπήντησεν αὐτοῖς 25
εἰς τὴν Ἀμαθῖτιν χώραν· οὐ γὰρ ἔδωκεν αὐτοῖς ἀνοχὴν ἐμβα-
τεῦσαι εἰς τὴν χώραν αὐτοῦ. καὶ ἀπέστειλε κατασκόπους εἰς 26
τὴν παρεμβολὴν αὐτῶν, καὶ ἐπέστρεψαν καὶ ἀπήγγειλαν αὐτῷ,
ὅτι οὕτω τάσσονται ἐπιπεσεῖν ἐπ' αὐτοὺς τὴν νύκτα. ὡς δὲ ἔδυ 27
ὁ ἥλιος, ἐπέταξεν Ἰωνάθαν τοῖς παρ' αὐτοῦ γρηγορεῖν καὶ εἶναι
ἐπὶ τοῖς ὅπλοις καὶ ἑτοιμάζεσθαι εἰς πόλεμον δι' ὅλης τῆς νυ-
2 κτὸς καὶ ἐξέβαλε προφύλακας κύκλῳ τῆς παρεμβολῆς. καὶ 28
ἤκουσαν οἱ ὑπεναντίοι ὅτι ἡτοίμασται Ἰωνάθαν καὶ οἱ παρ' αὐ-
τοῦ εἰς πόλεμον, καὶ ἐφοβήθησαν καὶ ἔπτηξαν τῇ καρδίᾳ αὐτῶν
καὶ ἀνέκαυσαν πυρὰς ἐν τῇ παρεμβολῇ αὐτῶν. Ἰωνάθαν δὲ καὶ 29
οἱ παρ' αὐτοῦ οὐκ ἔγνωσαν ἕως πρωΐ, ἔβλεπον γὰρ τὰ φῶτα
καιόμενα. καὶ κατεδίωξεν Ἰωνάθαν ὀπίσω αὐτῶν καὶ οὐ κατέ- 30
λαβον αὐτούς, διέβησαν γὰρ τὸν Ἐλεύθερον ποταμόν. καὶ ἐξέ- 31
κλινεν Ἰωνάθαν ἐπὶ τοὺς Ἄραβας τοὺς καλουμένους Ζαβα-
δαίους καὶ ἐπάταξεν αὐτοὺς καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν. καὶ ἀ- 32
ναζεύξας ἦλθεν εἰς Δαμασκὸν καὶ διώδευσεν ἐν πάσῃ τῇ χώρᾳ.
3 καὶ Σίμων ἐξῆλθε καὶ διώδευσεν ἕως Ἀσκάλωνος καὶ τῶν πλη- 33
σίον ὀχυρωμάτων, καὶ ἐξέκλινεν εἰς Ἰόππην καὶ προκατελάβε-
το αὐτήν· ἤκουσε γὰρ ὅτι βούλονται τὸ ὀχύρωμα παραδοῦναι 34
τοῖς παρὰ Δημητρίου· καὶ ἔθετο ἐκεῖ φρουράν, ὅπως φυλάσσω-
4 σιν αὐτήν. καὶ ἐπέστρεψεν Ἰωνάθαν καὶ ἐξεκκλησίασε τοὺς 35
πρεβυτέρους τοῦ λαοῦ καὶ ἐβουλεύσατο μετ' αὐτῶν τοῦ οἰκο-
δομῆσαι ὀχυρώματα ἐν τῇ Ἰουδαίᾳ καὶ προσυψῶσαι τὰ τείχη 36
Ἰερουσαλὴμ καὶ ὑψῶσαι ὕψος μέγα ἀνὰ μέσον τῆς ἄκρας καὶ
τῆς πόλεως εἰς τὸ διαχωρίζειν αὐτὴν τῆς πόλεως, ἵνα ᾖ αὕτη
κατὰ μόνας, ὅπως μήτε ἀγοράζωσι μήτε πωλῶσι. καὶ συνήχθη- 37
σαν τοῦ οἰκοδομεῖν τὴν πόλιν καὶ ἤγγισε τοῦ τείχους τοῦ χει-
μάρρου τοῦ ἐξ ἀπηλιώτου, καὶ ἐπεσκεύασαν τὸ καλούμενον

Χαφεναθά. καὶ Σίμων ᾠκοδόμησε τὴν Ἀδιδὰ ἐν τῇ Σεφηλὰ καὶ 38
ὠχύρωσεν αὐτὴν καὶ ἐπέστησε θύρας καὶ μοχλούς.

54 1 Καὶ ἐζήτησε Τρύφων βασιλεῦσαι τῆς Ἀσίας καὶ περιθέ- 39
σθαι τὸ διάδημα καὶ ἐκτεῖναι χεῖρα ἐπὶ Ἀντίοχον τὸν βασιλέα.
καὶ ἐφοβήθη μήποτε οὐκ ἐάσῃ αὐτὸν Ἰωνάθαν καὶ μήποτε πο- 40
λεμήσῃ πρὸς αὐτόν, καὶ ἐζήτει πόρον τοῦ συλλαβεῖν τὸν Ἰωνά-
θαν τοῦ ἀπολέσαι αὐτόν, καὶ ἀπάρας ἦλθεν εἰς Βεθσάν. καὶ ἐ- 41
ξῆλθεν Ἰωνάθαν εἰς ἀπάντησιν αὐτῷ ἐν τεσσαράκοντα χιλιά-
σιν ἀνδρῶν ἐπιλελεγμέναις εἰς παράταξιν καὶ ἦλθεν εἰς Βεθ-
2 σάν. καὶ εἶδε Τρύφων ὅτι πάρεστιν Ἰωνάθαν μετὰ δυνάμεως 42
πολλῆς, καὶ ἐκτεῖναι χεῖρας ἐπ' αὐτὸν εὐλαβήθη, καὶ ἐπεδέξα- 43
το αὐτὸν ἐνδόξως καὶ συνέστησεν αὐτὸν πᾶσι τοῖς φίλοις αὐ-
τοῦ καὶ ἔδωκεν αὐτῷ δόματα καὶ ἐπέταξε ταῖς δυνάμεσιν αὐ-
τοῦ ὑπακούειν αὐτῷ ὡς ἑαυτῷ. καὶ εἶπε τῷ Ἰωνάθαν· Ἱνατί ἔ- 44
κοψας πάντα τὸν λαὸν τοῦτον, πολέμου μὴ ἐνεστηκότος ἡμῖν;
καὶ νῦν ἀπόστειλον αὐτοὺς εἰς τοὺς οἴκους αὐτῶν, ἐπίλεξαι δὲ 45
σεαυτῷ ἄνδρας ὀλίγους, οἵτινες ἔσονται μετὰ σοῦ, καὶ δεῦρο
μετ' ἐμοῦ εἰς Πτολεμαΐδα, καὶ παραδώσω σοι αὐτὴν καὶ τὰ λοι-
πὰ ὀχυρώματα καὶ τὰς δυνάμεις τὰς λοιπὰς καὶ πάντας τοὺς ἐ-
πὶ τῶν χρειῶν, καὶ ἐπιστρέψας ἀπελεύσομαι· τούτου γὰρ χά-
3 ριν πάρειμι. καὶ ἐμπιστεύσας αὐτῷ ἐποίησε καθὼς εἶπε, καὶ ἐ- 46
ξαπέστειλε τὰς δυνάμεις, καὶ ἀπῆλθον εἰς γῆν Ἰούδα. κατέλιπε 47
δὲ μεθ' ἑαυτοῦ ἄνδρας τρισχιλίους, ὧν δισχιλίους ἀφῆκεν ἐν
τῇ Γαλιλαίᾳ, χίλιοι δὲ συνῆλθον αὐτῷ. ὡς δὲ εἰσῆλθεν Ἰωνά- 48
θαν εἰς Πτολεμαΐδα, ἀπέκλεισαν οἱ Πτολεμαεῖς τὰς πύλας καὶ
συνέλαβον αὐτόν, καὶ πάντας τοὺς εἰσελθόντας μετ' αὐτοῦ ἀ-
πέκτειναν ἐν ῥομφαίᾳ. καὶ ἀπέστειλε Τρύφων δυνάμεις καὶ ἵπ- 49
πον εἰς τὴν Γαλιλαίαν καὶ τὸ πεδίον τὸ μέγα τοῦ ἀπολέσαι πά-
4 ντας τοὺς παρὰ Ἰωνάθαν. καὶ ἐπέγνωσαν ὅτι συνελήφθη Ἰωνά- 50
θαν καὶ ἀπόλωλε καὶ οἱ μετ' αὐτοῦ, καὶ παρεκάλεσαν ἑαυτοὺς
καὶ ἐπορεύοντο συνεστραμμένοι ἕτοιμοι εἰς πόλεμον. καὶ εἶδον 51
οἱ διώκοντες ὅτι περὶ ψυχῆς αὐτοῖς ἐστι, καὶ ἐπέστρεψαν. καὶ 52
ἦλθον πάντες μετ' εἰρήνης εἰς γῆν Ἰούδα καὶ ἐπένθησαν τὸν
Ἰωνάθαν καὶ τοὺς μετ' αὐτοῦ καὶ ἐφοβήθησαν σφόδρα· καὶ ἐ-
πένθησε πᾶς Ἰσραὴλ πένθος μέγα. καὶ ἐζήτησαν πάντα τὰ ἔ- 53
θνη τὰ κύκλῳ αὐτῶν ἐκτρῖψαι αὐτούς· εἶπαν γάρ· οὐκ ἔχουσιν
ἄρχοντα καὶ βοηθοῦντα· νῦν οὖν πολεμήσωμεν αὐτοὺς καὶ ἐ-
ξάρωμεν ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν.

Δ

55 1 Καὶ ἤκουσε Σίμων ὅτι συνήγαγε Τρύφων δύναμιν πολλὴν **13**
τοῦ ἐλθεῖν εἰς γῆν Ἰούδα καὶ ἐκτρῖψαι αὐτήν. καὶ εἶδε τὸν λαὸν 2
ὅτι ἐστὶν ἔντρομος καὶ ἔμφοβος, καὶ ἀνέβη εἰς Ἱερουσαλὴμ καὶ
ἤθροισε τὸν λαὸν καὶ παρεκάλεσεν αὐτοὺς καὶ εἶπεν αὐτοῖς· 3

Αὐτοὶ οἴδατε ὅσα ἐγὼ καὶ οἱ ἀδελφοί μου καὶ ὁ οἶκος τοῦ πα-
τρός μου ἐποιήσαμεν περὶ τῶν νόμων καὶ τῶν ἁγίων, καὶ τοὺς
πολέμους καὶ τὰς στενοχωρίας, ἃς εἴδομεν. τούτου χάριν ἀ- 4
πώλοντο οἱ ἀδελφοί μου πάντες χάριν τοῦ Ἰσραήλ, καὶ κατε-
λείφθην ἐγὼ μόνος. καὶ νῦν μή μοι γένοιτο φείσασθαί μου τῆς 5
ψυχῆς ἐν παντὶ καιρῷ θλίψεως, οὐ γάρ εἰμι κρείσσων τῶν ἀ-
δελφῶν μου. πλὴν ἐκδικήσω περὶ τοῦ ἔθνους μου καὶ περὶ 6
τῶν ἁγίων καὶ περὶ τῶν γυναικῶν καὶ τῶν τέκνων ἡμῶν, ὅτι
2 συνήχθησαν πάντα τὰ ἔθνη ἐκτρῖψαι ἡμᾶς ἔχθρας χάριν. καὶ ἀ- 7
νεζωπύρωσε τὸ πνεῦμα τοῦ λαοῦ ἅμα τῷ ἀκοῦσαι τῶν λόγων
τούτων, καὶ ἀπεκρίθησαν φωνῇ μεγάλῃ λέγοντες· Σὺ εἶ ἡμῶν 8
ἡγούμενος ἀντὶ Ἰούδα καὶ Ἰωνάθαν τοῦ ἀδελφοῦ σου· πολέμη- 9
σον τὸν πόλεμον ἡμῶν, καὶ πάντα, ὅσα ἂν εἴπῃς ἡμῖν, ποιήσο-
μεν. καὶ συνήγαγε πάντας τοὺς ἄνδρας τοὺς πολεμιστὰς καὶ ἐ- 10
τάχυνε τοῦ τελέσαι τὰ τείχη Ἰερουσαλὴμ καὶ ὠχύρωσεν αὐτὴν
κυκλόθεν. καὶ ἀπέστειλεν Ἰωνάθαν τὸν τοῦ Ἀβεσσαλώμου καὶ 11
μετ' αὐτοῦ δύναμιν ἱκανὴν εἰς Ἰόππην, καὶ ἐξέβαλε τοὺς ὄντας
ἐν αὐτῇ καὶ ἔμεινεν ἐκεῖ ἐν αὐτῇ.

56 1 Καὶ ἀπῆρε Τρύφων ἀπὸ Πτολεμαΐδος μετὰ δυνάμεως πολ- 12
λῆς εἰσελθεῖν εἰς γῆν Ἰούδα, καὶ Ἰωνάθαν μετ' αὐτοῦ ἐν φυλα-
κῇ. Σίμων δὲ παρενέβαλεν ἐν Ἀδιδὰ κατὰ πρόσωπον τοῦ πε- 13
δίου. καὶ ἐπέγνω Τρύφων ὅτι ἀνέστη Σίμων ἀντὶ Ἰωνάθαν τοῦ 14
ἀδελφοῦ αὐτοῦ καὶ ὅτι συνάπτειν αὐτῷ μέλλει πόλεμον, καὶ ἀ-
πέστειλε πρὸς αὐτὸν πρέσβεις λέγων· Περὶ ἀργυρίου, οὗ ὤ- 15
φειλεν Ἰωνάθαν ὁ ἀδελφός σου εἰς τὸ βασιλικὸν δι' ἃς εἶχε
χρείας, συνέχομεν αὐτόν· καὶ νῦν ἀπόστειλον ἀργυρίου τάλα- 16
ντα ἑκατὸν καὶ δύο τῶν υἱῶν αὐτοῦ ὅμηρα, ὅπως μὴ ἀφεθεὶς
2 ἀποστατήσῃ ἀφ' ἡμῶν, καὶ ἀφήσομεν αὐτόν. καὶ ἔγνω Σίμων 17
ὅτι δόλῳ λαλοῦσι πρὸς αὐτόν, καὶ πέμπει τοῦ λαβεῖν τὸ ἀργύ-
ριον καὶ τὰ παιδάρια, μήποτε ἔχθραν ἄρῃ μεγάλην πρὸς τὸν
λαὸν λέγων· ὅτι οὐκ ἀπέστειλα αὐτῷ τὸ ἀργύριον καὶ τὰ παι- 18
δάρια, καὶ ἀπώλετο. καὶ ἀπέστειλε τὰ παιδάρια καὶ τὰ ἑκατὸν 19
τάλαντα, καὶ διεψεύσατο καὶ οὐκ ἀφῆκε τὸν Ἰωνάθαν. καὶ μετὰ 20
ταῦτα ἦλθε Τρύφων τοῦ ἐμβατεῦσαι εἰς τὴν χώραν καὶ ἐκτρῖ-
3 ψαι αὐτήν, καὶ ἐκύκλωσεν ὁδὸν τὴν εἰς Ἄδωρα. καὶ Σίμων καὶ
ἡ παρεμβολὴ αὐτοῦ ἀντιπαρῆγεν αὐτῷ εἰς πάντα τόπον, οὗ ἂν
ἐπορεύετο. οἱ δὲ ἐκ τῆς ἄκρας ἀπέστελλον πρὸς Τρύφωνα 21
πρεσβευτὰς κατασπεύδοντας αὐτὸν τοῦ ἐλθεῖν πρὸς αὐτοὺς
διὰ τῆς ἐρήμου καὶ ἀποστεῖλαι αὐτοῖς τροφάς. καὶ ἡτοίμασε 22
Τρύφων πᾶσαν τὴν ἵππον αὐτοῦ, ἐλθεῖν ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ
ἦν χιὼν πολλὴ σφόδρα, καὶ οὐκ ἦλθε διὰ τὴν χιόνα· καὶ ἀπῆρε
καὶ ἦλθεν εἰς τὴν Γαλαάδῖτιν. ὡς δὲ ἤγγισε τῆς Βασκαμά, ἀπέ- 23
κτεινε τὸν Ἰωνάθαν, καὶ ἐτάφη ἐκεῖ. καὶ ἐπέστρεψε Τρύφων 24
καὶ ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ.

57 1 Καὶ ἀπέστειλε Σίμων καὶ ἔλαβε τὰ ὀστᾶ Ἰωνάθαν τοῦ ἀ- 25

δελφοῦ αὐτοῦ καὶ ἔθαψεν αὐτὰ ἐν Μωδεΐν πόλει τῶν πατέρων
αὐτοῦ. καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ κοπετὸν μέγαν καὶ ἐ- 26
πένθησαν αὐτὸν ἡμέρας πολλάς. καὶ ᾠκοδόμησε Σίμων ἐπὶ 27
τὸν τάφον τοῦ πατρὸς αὐτοῦ καὶ τῶν ἀδελφῶν αὐτοῦ καὶ ὕψω-
σεν αὐτὸν τῇ ὁράσει λίθῳ ξεστῷ ἐκ τῶν ὄπισθεν καὶ ἐκ τῶν ἔ-
μπροσθεν. καὶ ἔστησεν ἐπ' αὐτὰ ἑπτὰ πυραμίδας, μίαν κατέναν- 28
τι τῆς μιᾶς τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς τέσσαρσιν ἀδελ-
φοῖς. καὶ ταύταις ἐποίησε μηχανήματα περιθεὶς στύλους μεγά- 29
λους καὶ ἐποίησεν ἐπὶ τοῖς στύλοις πανοπλίας εἰς ὄνομα αἰώ-
νιον καὶ παρὰ ταῖς πανοπλίαις πλοῖα ἐπιγεγλυμμένα εἰς τὸ θε-
ωρεῖσθαι ὑπὸ πάντων τῶν πλεόντων τὴν θάλασσαν. οὗτος ὁ 30
τάφος ὃν ἐποίησεν ἐν Μωδεΐν, ἕως τῆς ἡμέρας ταύτης.

58 1 Ὁ δὲ Τρύφων ἐπορεύετο δόλῳ μετὰ Ἀντιόχου τοῦ βασι- 31
λέως τοῦ νεωτέρου καὶ ἀπέκτεινεν αὐτὸν καὶ ἐβασίλευσεν ἀντ' 32
αὐτοῦ καὶ περιέθετο διάδημα τῆς Ἀσίας καὶ ἐποίησε πληγὴν
μεγάλην ἐπὶ τῆς γῆς. καὶ ᾠκοδόμησε Σίμων τὰ ὀχυρώματα τῆς 33
Ἰουδαίας, καὶ περιετείχισε πύργοις ὑψηλοῖς καὶ τείχεσι μεγά-
λοις καὶ πύλαις καὶ μοχλοῖς καὶ ἔθετο βρώματα ἐν τοῖς ὀχυρώ-
μασι. καὶ ἐπέλεξε Σίμων ἄνδρας καὶ ἀπέστειλε πρὸς Δημή- 34
τριον τὸν βασιλέα τοῦ ποιῆσαι ἄφεσιν τῇ χώρᾳ, ὅτι πᾶσαι αἱ
πράξεις Τρύφωνος ἦσαν ἁρπαγαί. καὶ ἀπέστειλεν αὐτῷ Δημή- 35
τριος ὁ βασιλεὺς κατὰ τοὺς λόγους τούτους καὶ ἀπεκρίθη αὐ-
2 τῷ καὶ ἔγραψεν αὐτῷ ἐπιστολὴν τοιαύτην· «Βασιλεὺς Δημή- 36
τριος Σίμωνι ἀρχιερεῖ καὶ φίλῳ βασιλέων καὶ πρεβυτέροις καὶ
ἔθνει Ἰουδαίων χαίρειν. τὸν στέφανον τὸν χρυσοῦν καὶ τὴν 37
βαΐνην, ἣν ἀπεστείλατε, κεκομίσμεθα καὶ ἕτοιμοί ἐσμεν τοῦ
ποιεῖν ὑμῖν εἰρήνην μεγάλην καὶ γράφειν τοῖς ἐπὶ τῶν χρειῶν
τοῦ ἀφιέναι ὑμῖν ἀφέματα. καὶ ὅσα ἑστήκαμεν πρὸς ὑμᾶς, ἕ- 38
στηκε, καὶ τὰ ὀχυρώματα, ἃ ᾠκοδομήκατε, ὑπαρχέτω ὑμῖν. ἀ- 39
φίεμεν δὲ ἀγνοήματα καὶ τὰ ἁμαρτήματα ἕως τῆς σήμερον ἡμέ-
ρας καὶ τὸν στέφανον, ὃν ὠφείλετε, καὶ εἴ τι ἄλλο ἐτελωνεῖτο
ἐν Ἱερουσαλήμ, μηκέτι τελωνείσθω. καὶ εἴ τινες ἐπιτήδειοι ὑ- 40
μῶν γραφῆναι εἰς τοὺς περὶ ἡμᾶς, ἐγγραφέσθωσαν, καὶ γινέ-
3 σθω ἀναμέσον ἡμῶν εἰρήνη». ἔτους ἑβδομηκοστοῦ καὶ ἑκατο- 41
στοῦ ἤρθη ὁ ζυγὸς τῶν ἐθνῶν ἀπὸ τοῦ Ἰσραήλ, καὶ ἤρξατο ὁ 42
λαὸς Ἰσραὴλ γράφειν ἐν ταῖς συγγραφαῖς καὶ συναλλάγμασιν
ἔτους πρώτου ἐπὶ Σίμωνος ἀρχιερέως μεγάλου καὶ στρατηγοῦ
καὶ ἡγουμένου Ἰουδαίων.

59 1 Ἐν ταῖς ἡμέραις ἐκείναις παρενέβαλε Σίμων ἐπὶ Γάζαρα 43
καὶ ἐκύκλωσεν αὐτὴν παρεμβολαῖς καὶ ἐποίησεν ἑλεπόλεις καὶ
προσήγαγε τῇ πόλει καὶ ἐπάταξε πύργον ἕνα καὶ κατελάβετο.
καὶ ἐξήλλοντο οἱ ἐν τῇ ἑλεπόλει εἰς τὴν πόλιν, καὶ ἐγένετο κί- 44
νημα μέγα ἐν τῇ πόλει. καὶ ἀνέβησαν οἱ ἐν τῇ πόλει σὺν ταῖς 45
γυναιξὶ καὶ τοῖς τέκνοις ἐπὶ τὸ τεῖχος διερρηχότες τὰ ἱμάτια
αὐτῶν καὶ ἐβόησαν φωνῇ μεγάλῃ ἀξιοῦντες Σίμωνα δεξιὰς αὐ-

τοῖς δοῦναι καὶ εἶπαν· Μὴ ἡμῖν χρήσῃ κατὰ τὰς πονηρίας ἡ- 46
2 μῶν, ἀλλὰ κατὰ τὸ ἔλεός σου. καὶ συνελύθη Σίμων αὐτοῖς καὶ 47
οὐκ ἐπολέμησεν αὐτούς· καὶ ἐξέβαλεν αὐτοὺς ἐκ τῆς πόλεως,
καὶ ἐκαθάρισε τὰς οἰκίας, ἐν αἷς ἦν τὰ εἴδωλα, καὶ οὕτως εἰ-
σῆλθεν εἰς αὐτὴν ὑμνῶν καὶ εὐλογῶν. καὶ ἐξέβαλεν ἐξ αὐτῆς 48
πᾶσαν ἀκαθαρσίαν καὶ κατῴκισεν ἐκεῖ ἄνδρας, οἵτινες τὸν νό-
μον ποιοῦσι, καὶ προσωχύρωσεν αὐτὴν καὶ ᾠκοδόμησεν ἑαυ-
3 τῷ ἐν αὐτῇ οἴκησιν. οἱ δὲ ἐκ τῆς ἄκρας ἐν Ἰερουσαλὴμ ἐκω- 49
λύοντο ἐκπορεύεσθαι καὶ εἰσπορεύεσθαι εἰς τὴν χώραν καὶ ἀ-
γοράζειν καὶ πωλεῖν καὶ ἐπείνασαν σφόδρα, καὶ ἀπώλοντο ἐξ
αὐτῶν ἱκανοὶ τῇ λιμῷ. καὶ ἐβόησαν πρὸς Σίμωνα δεξιὰς λα- 50
βεῖν, καὶ ἔδωκεν αὐτοῖς· καὶ ἐξέβαλεν αὐτοὺς ἐκεῖθεν καὶ ἐκα-
4 θάρισε τὴν ἄκραν ἀπὸ τῶν μιασμάτων. καὶ εἰσῆλθον εἰς αὐτὴν 51
τῇ τρίτῃ καὶ εἰκάδι τοῦ δευτέρου μηνὸς ἔτους ἑνὸς καὶ ἑβδομη-
κοστοῦ καὶ ἑκατοστοῦ μετὰ αἰνέσεως καὶ βαΐων καὶ ἐν κινύ-
ραις καὶ ἐν κυμβάλοις καὶ ἐν νάβλαις καὶ ἐν ὕμνοις καὶ ἐν ᾠ-
δαῖς, ὅτι συνετρίβη ἐχθρὸς μέγας ἐξ Ἰσραήλ. καὶ ἔστησε κατ' 52
ἐνιαυτὸν τοῦ ἄγειν τὴν ἡμέραν ταύτην μετ' εὐφροσύνης. καὶ
προσωχύρωσε τὸ ὄρος τοῦ ἱεροῦ τὸ παρὰ τὴν ἄκραν· καὶ ᾤκει
ἐκεῖ αὐτὸς καὶ οἱ παρ' αὐτοῦ. καὶ εἶδε Σίμων τὸν Ἰωάννην υἱὸν 53
αὐτοῦ, ὅτι ἀνήρ ἐστι, καὶ ἔθετο αὐτὸν ἡγούμενον τῶν δυνάμε-
ων πασῶν· καὶ ᾤκει ἐν Γαζάροις.

60 1 Καὶ ἐν ἔτει δευτέρῳ καὶ ἑβδομηκοστῷ καὶ ἑκατοστῷ συ- **14**
νήγαγε Δημήτριος ὁ βασιλεὺς τὰς δυνάμεις αὐτοῦ καὶ ἐπορεύ-
θη εἰς Μηδίαν τοῦ ἐπισπάσασθαι βοήθειαν αὐτῷ, ὅπως πολε-
μήσῃ τὸν Τρύφωνα. καὶ ἤκουσεν Ἀρσάκης ὁ βασιλεὺς τῆς 2
Περσίδος καὶ Μηδίας ὅτι ἦλθε Δημήτριος εἰς τὰ ὅρια αὐτοῦ,
καὶ ἀπέστειλεν ἕνα τῶν ἀρχόντων αὐτοῦ συλλαβεῖν αὐτὸν ζῶ- 3
ντα. καὶ ἐπορεύθη καὶ ἐπάταξε τὴν παρεμβολὴν Δημητρίου καὶ
συνέλαβεν αὐτὸν καὶ ἤγαγεν αὐτὸν πρὸς Ἀρσάκην, καὶ ἔθετο
αὐτὸν ἐν φυλακῇ.

61 1 Καὶ ἡσύχασεν ἡ γῆ Ἰούδα πάσας τὰς ἡμέρας Σίμωνος, 4
καὶ ἐζήτησαν ἀγαθὰ τῷ ἔθνει αὐτοῦ, καὶ ἤρεσεν αὐτοῖς ἡ ἐξου-
σία αὐτοῦ καὶ ἡ δόξα αὐτοῦ πάσας τὰς ἡμέρας. καὶ μετὰ πά- 5
σης τῆς δόξης αὐτοῦ ἔλαβε τὴν Ἰόππην εἰς λιμένα καὶ ἐποίη-
σεν εἴσοδον ταῖς Νήσοις τῆς θαλάσσης. καὶ ἐπλάτυνε τὰ ὅρια 6
2 τῷ ἔθνει αὐτοῦ καὶ ἐκράτησε τῆς χώρας. καὶ συνήγαγεν αἰχμα- 7
λωσίαν πολλὴν καὶ ἐκυρίευσε Γαζάρων καὶ Βεθσούρων καὶ
τῆς ἄκρας· καὶ ἐξῆρε τὰς ἀκαθαρσίας ἐξ αὐτῆς, καὶ οὐκ ἦν ὁ ἀ-
ντικείμενος αὐτῷ. καὶ ἦσαν γεωργοῦντες τὴν γῆν αὐτῶν μετ' 8
εἰρήνης, καὶ ἡ γῆ ἐδίδου τὰ γενήματα αὐτῆς καὶ τὰ ξύλα τῶν
πεδίων τὸν καρπὸν αὐτῶν. πρεσβύτεροι ἐν ταῖς πλατείαις ἐκά- 9
θηντο, πάντες περὶ ἀγαθῶν ἐκοινολογοῦντο, καὶ οἱ νεανίσκοι
ἐνεδύσαντο δόξας καὶ στολὰς πολέμου. ταῖς πόλεσιν ἐχορήγη- 10
σε βρώματα καὶ ἔταξεν αὐτὰς ἐν σκεύεσιν ὀχυρώσεως, ἕως ὅ-

του ὠνομάσθη τὸ ὄνομα τῆς δόξης αὐτοῦ ἕως ἄκρου τῆς γῆς.
3 ἐποίησε τὴν εἰρήνην ἐπὶ τῆς γῆς, καὶ εὐφράνθη Ἰσραὴλ εὐφρο- 11
σύνην μεγάλην. καὶ ἐκάθισεν ἕκαστος ὑπὸ τὴν ἄμπελον αὐτοῦ 12
καὶ τὴν συκῆν αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν αὐτούς. καὶ ἐξέλι- 13
πεν ὁ πολεμῶν αὐτοὺς ἐπὶ τῆς γῆς, καὶ οἱ βασιλεῖς συνετρίβη-
σαν ἐν ταῖς ἡμέραις ἐκείναις. καὶ ἐστήρισε πάντας τοὺς ταπει- 14
νοὺς τοῦ λαοῦ αὐτοῦ· τὸν Νόμον ἐξεζήτησε καὶ ἐξῆρε πάντα
ἄνομον καὶ πονηρόν· τὰ ἅγια ἐδόξασε, καὶ ἐπλήθυνε τὰ σκεύη 15
τῶν ἁγίων.

62 1 Καὶ ἠκούσθη ἐν Ῥώμῃ, ὅτι ἀπέθανεν Ἰωνάθαν, καὶ ἕως 16
Σπάρτης, καὶ ἐλυπήθησαν σφόδρα. ὡς δὲ ἤκουσαν ὅτι Σίμων 17
ὁ ἀδελφὸς αὐτοῦ γέγονεν ἀντ' αὐτοῦ ἀρχιερεὺς καὶ ἐπικρατεῖ
τῆς χώρας καὶ τῶν πόλεων τῶν ἐν αὐτῇ, ἔγραψαν πρὸς αὐτὸν 18
δέλτοις χαλκαῖς τοῦ ἀνανεώσασθαι πρὸς αὐτὸν φιλίαν καὶ τὴν
συμμαχίαν, ἣν ἔστησαν πρὸς Ἰούδαν καὶ Ἰωνάθαν τοὺς ἀδελ-
φοὺς αὐτοῦ. καὶ ἀνεγνώσθησαν ἐνώπιον τῆς ἐκκλησίας ἐν Ἰε- 19
ρουσαλήμ. καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν, ὧν ἀπέ- 20
2 στειλαν οἱ Σπαρτιᾶται· «Σπαρτιατῶν ἄρχοντες καὶ ἡ πόλις Σί-
μωνι ἱερεῖ μεγάλῳ καὶ τοῖς πρεσβυτέροις καὶ τοῖς ἱερεῦσι καὶ
τῷ λοιπῷ δήμῳ τῶν Ἰουδαίων ἀδελφοῖς χαίρειν. οἱ πρεσβευ- 21
ταὶ οἱ ἀποσταλέντες πρὸς τὸν δῆμον ἡμῶν ἀπήγγειλαν ἡμῖν
περὶ τῆς δόξης ὑμῶν καὶ τιμῆς, καὶ ηὐφράνθημεν ἐπὶ τῇ ἐφόδῳ
αὐτῶν. καὶ ἀνεγράψαμεν τὰ ὑπ' αὐτῶν εἰρημένα ἐν ταῖς βου- 22
λαῖς τοῦ δήμου οὕτω· Νουμήνιος Ἀντιόχου καὶ Ἀντίπατρος
Ἰάσωνος πρεσβευταὶ Ἰουδαίων ἦλθον πρὸς ἡμᾶς ἀνανεούμε-
3 νοι τὴν πρὸς ἡμᾶς φιλίαν. καὶ ἤρεσε τῷ δήμῳ ἐπιδέξασθαι 23
τοὺς ἄνδρας ἐνδόξως καὶ τοῦ θέσθαι τὸ ἀντίγραφον τῶν λό-
γων αὐτῶν ἐν τοῖς ἀποδεδειγμένοις τῷ δήμῳ βιβλίοις τοῦ ἔ-
χειν μνημόσυνον τὸν δῆμον τῶν Σπαρτιατῶν. τὸ δὲ ἀντίγρα-
φον τούτων ἐγράψαμεν Σίμωνι τῷ ἀρχιερεῖ». μετὰ δὲ ταῦτα ἀ- 24
πέστειλε Σίμων τὸν Νουμήνιον εἰς Ῥώμην ἔχοντα ἀσπίδα χρυ-
σῆν μεγάλην ὁλκῆς μνῶν χιλίων εἰς τὸ στῆσαι πρὸς αὐτοὺς
τὴν συμμαχίαν.

63 1 Ὡς δὲ ἤκουσεν ὁ δῆμος τῶν λόγων τούτων, εἶπαν· Τίνα 25
χάριν ἀποδώσομεν Σίμωνι καὶ τοῖς υἱοῖς αὐτοῦ; ἐστήρισε γὰρ 26
αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ καὶ
ἐπολέμησαν τοὺς ἐχθροὺς Ἰσραὴλ ἀπ' αὐτῶν καὶ ἔστησαν αὐ-
τῷ ἐλευθερίαν. καὶ κατέγραψαν ἐν δέλτοις χαλκαῖς καὶ ἔθεντο
ἐν στήλαις ἐν ὄρει Σιών. καὶ τοῦτο τὸ ἀντίγραφον τῆς γραφῆς· 27
2 «Ὀκτωκαιδεκάτῃ Ἐλούλ, ἔτους δευτέρου καὶ ἑβδομηκοστοῦ
καὶ ἑκατοστοῦ –καὶ τοῦτο τρίτον ἔτος ἐπὶ Σίμωνος ἀρχιερέως
ἐν ἀσαραμέλ– ἐπὶ συναγωγῆς μεγάλης ἱερέων καὶ λαοῦ καὶ 28
ἀρχόντων ἔθνους καὶ τῶν πρεσβυτέρων τῆς χώρας ἐγνώρισεν
ἡμῖν· ἐπεὶ πολλάκις ἐγενήθησαν πόλεμοι ἐν τῇ χώρᾳ, Σίμων δὲ 29
ὁ υἱὸς Ματταθίου ὁ υἱὸς τῶν υἱῶν Ἰωαρὶμ καὶ οἱ ἀδελφοὶ αὐ-

τοῦ ἔδωκαν ἑαυτοὺς τῷ κινδύνῳ καὶ ἀντέστησαν τοῖς ὑπε-
ναντίοις τοῦ ἔθνους αὐτῶν, ὅπως σταθῇ τὰ ἅγια αὐτῶν καὶ ὁ
3 Νόμος, καὶ δόξῃ μεγάλῃ ἐδόξασαν τὸ ἔθνος αὐτῶν. καὶ ἤθροι- 30
σεν Ἰωνάθαν τὸ ἔθνος αὐτῶν καὶ ἐγενήθη αὐτοῖς ἀρχιερεὺς
καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ, καὶ ἐβουλήθησαν οἱ ἐ- 31
χθροὶ αὐτῶν ἐμβατεῦσαι εἰς τὴν χώραν αὐτῶν τοῦ ἐκτρῖψαι
τὴν χώραν αὐτῶν καὶ ἐκτεῖναι χεῖρας ἐπὶ τὰ ἅγια αὐτῶν. τότε 32
ἀνέστη Σίμων, καὶ ἐπολέμησε περὶ τοῦ ἔθνους αὐτοῦ καὶ ἐδα-
πάνησε χρήματα πολλὰ τῶν ἑαυτοῦ καὶ ὡπλοδότησε τοὺς ἄν-
δρας τῆς δυνάμεως τοῦ ἔθνους αὐτοῦ καὶ ἔδωκεν αὐτοῖς ὀψώ-
νια καὶ ὠχύρωσε τὰς πόλεις τῆς Ἰουδαίας καὶ τὴν Βεθσούραν 33
τὴν ἐπὶ τῶν ὁρίων τῆς Ἰουδαίας, οὗ ἦν τὰ ὅπλα τῶν πολεμίων
4 τὸ πρότερον, καὶ ἔθετο ἐκεῖ φρουρὰν ἄνδρας Ἰουδαίους. καὶ 34
Ἰόππην ὠχύρωσε τὴν ἐπὶ τῆς θαλάσσης καὶ τὴν Γάζαρα τὴν ἐ-
πὶ τῶν ὁρίων Ἀζώτου, ἐν ᾗ ᾤκουν οἱ πολέμιοι τὸ πρότερον ἐ-
κεῖ, καὶ κατῴκισεν ἐκεῖ Ἰουδαίους, καὶ ὅσα ἐπιτήδεια ἦν πρὸς
τὴν τούτων ἐπανόρθωσιν, ἔθετο ἐν αὐτοῖς. καὶ εἶδεν ὁ λαὸς 35
τὴν πρᾶξιν τοῦ Σίμωνος καὶ τὴν δόξαν, ἣν ἐβουλεύσατο ποιῆ-
σαι τῷ ἔθνει αὐτοῦ, καὶ ἔθεντο αὐτὸν ἡγούμενον αὐτῶν καὶ ἀρ-
χιερέα διὰ τὸ αὐτὸν πεποιηκέναι πάντα ταῦτα καὶ τὴν δικαιο-
σύνην καὶ τὴν πίστιν, ἣν συνετήρησε τῷ ἔθνει αὐτοῦ, καὶ ἐζή-
5 τησε παντὶ τρόπῳ ὑψῶσαι τὸν λαὸν αὐτοῦ. καὶ ἐν ταῖς ἡμέραις 36
αὐτοῦ εὐωδώθη ἐν ταῖς χερσὶν αὐτοῦ τοῦ ἐξαρθῆναι τὰ ἔθνη
ἐκ τῆς χώρας αὐτῶν καὶ τοὺς ἐν τῇ πόλει Δαυὶδ τοὺς ἐν Ἰερου-
σαλήμ, οἳ ἐποίησαν ἑαυτοῖς ἄκραν, ἐξ ἧς ἐξεπορεύοντο καὶ ἐ-
μίαινον κύκλῳ τῶν ἁγίων καὶ ἐποίουν πληγὴν μεγάλην ἐν τῇ
ἁγνείᾳ. καὶ κατῴκισεν ἐν αὐτῇ ἄνδρας Ἰουδαίους καὶ ὠχύρω- 37
σεν αὐτὴν πρὸς ἀσφάλειαν τῆς χώρας καὶ τῆς πόλεως καὶ ὕ-
ψωσε τὰ τείχη Ἰερουσαλήμ. καὶ ὁ βασιλεὺς Δημήτριος ἔστη- 38
σεν αὐτῷ τὴν ἀρχιερωσύνην κατὰ ταῦτα καὶ ἐποίησεν αὐτὸν 39
6 τῶν φίλων αὐτοῦ καὶ ἐδόξασεν αὐτὸν δόξῃ μεγάλῃ. ἤκουσε 40
γὰρ ὅτι προσηγόρευνται οἱ Ἰουδαῖοι ὑπὸ Ῥωμαίων φίλοι καὶ
σύμμαχοι καὶ ἀδελφοί, καὶ ὅτι ἀπήντησαν τοῖς πρεσβευταῖς Σί-
μωνος ἐνδόξως, καὶ ὅτι εὐδόκησαν οἱ Ἰουδαῖοι καὶ οἱ ἱερεῖς 41
τοῦ εἶναι Σίμωνα ἡγούμενον καὶ ἀρχιερέα εἰς τὸν αἰῶνα ἕως
τοῦ ἀναστῆναι προφήτην πιστὸν καὶ τοῦ εἶναι ἐπ' αὐτῶν στρα- 42
τηγὸν καὶ ὅπως μέλῃ αὐτῷ περὶ τῶν ἁγίων καθιστάναι αὐτοὺς
ἐπὶ τῶν ἔργων αὐτῶν καὶ ἐπὶ τῆς χώρας καὶ ἐπὶ τῶν ὅπλων
καὶ ἐπὶ τῶν ὀχυρωμάτων, καὶ ὅπως μέλῃ αὐτῷ περὶ τῶν ἁ- 43
γίων, καὶ ὅπως ἀκούηται ὑπὸ πάντων, καὶ ὅπως γράφωνται ἐ-
πὶ τῷ ὀνόματι αὐτοῦ πᾶσαι αἱ συγγραφαὶ ἐν τῇ χώρᾳ, καὶ ὅ-
πως περιβάλληται πορφύραν καὶ χρυσοφορῇ· καὶ οὐκ ἐξέσται 44
οὐδενὶ τοῦ λαοῦ καὶ τῶν ἱερέων ἀθετῆσαί τι τούτων καὶ ἀντει-
πεῖν τοῖς ὑπ' αὐτοῦ ῥηθησομένοις καὶ ἐπισυστρέψαι συστρο-
φὴν ἐν τῇ χώρᾳ ἄνευ αὐτοῦ καὶ περιβάλλεσθαι πορφύραν καὶ

ἐμπορποῦσθαι πόρπην χρυσῆν· ὃς δ' ἂν παρὰ ταῦτα ποιήσῃ ἢ 45
7 ἀθετήσῃ τι τούτων, ἔνοχος ἔσται». καὶ εὐδόκησε πᾶς ὁ λαὸς 46
θέσθαι Σίμωνι καὶ ποιῆσαι κατὰ τοὺς λόγους τούτους. καὶ ἐπε- 47
δέξατο Σίμων καὶ εὐδόκησεν ἀρχιερατεύειν καὶ εἶναι στρατη-
γὸς καὶ ἐθνάρχης τῶν Ἰουδαίων καὶ ἱερέων καὶ τοῦ προστατῆ-
σαι πάντων. καὶ τὴν γραφὴν ταύτην εἶπον θέσθαι ἐν δέλτοις 48
χαλκαῖς καὶ στῆσαι αὐτὰς ἐν περιβόλῳ τῶν ἁγίων ἐν τόπῳ ἐ-
πισήμῳ, τὰ δὲ ἀντίγραφα αὐτῶν θέσθαι ἐν τῷ γαζοφυλακίῳ, ὅ- 49
πως ἔχῃ Σίμων καὶ οἱ υἱοὶ αὐτοῦ.

64 1 Καὶ ἀπέστειλεν ὁ Ἀντίοχος υἱὸς Δημητρίου τοῦ βασιλέως **15**
ἐπιστολὰς ἀπὸ τῶν Νήσων τῆς θαλάσσης Σίμωνι ἱερεῖ καὶ ἐ-
θνάρχῃ τῶν Ἰουδαίων καὶ παντὶ τῷ ἔθνει. καὶ ἦσαν περιέχου- 2
σαι τὸν τρόπον τοῦτον· «Βασιλεὺς Ἀντίοχος Σίμωνι ἱερεῖ με-
γάλῳ καὶ ἐθνάρχῃ καὶ ἔθνει Ἰουδαίων χαίρειν. ἐπειδὴ ἄνδρες 3
λοιμοὶ κατεκράτησαν τῆς βασιλείας τῶν πατέρων ἡμῶν, βού-
λομαι δὲ ἀντιποιήσασθαι τῆς βασιλείας, ὅπως ἀποκαταστήσω
αὐτὴν ὡς ἦν τὸ πρότερον, ἐξενολόγησα δὲ πλῆθος δυνάμεων
καὶ κατεσκεύασα πλοῖα πολεμικά, βούλομαι δὲ ἐκβῆναι κατὰ 4
τὴν χώραν, ὅπως μετέλθω τοὺς κατεφθαρκότας τὴν χώραν ἡ-
μῶν καὶ τοὺς ἠρημωκότας πόλεις πολλὰς ἐν τῇ βασιλείᾳ· νῦν 5
οὖν ἵστημί σοι πάντα τὰ ἀφαιρέματα, ἃ ἀφῆκάν σοι οἱ πρὸ ἐ-
2 μοῦ βασιλεῖς καὶ ὅσα ἄλλα δόματα ἀφῆκάν σοι. καὶ ἐπέτρεψά 6
σοι ποιῆσαι κόμμα ἴδιον νόμισμα τῇ χώρᾳ σου, Ἱερουσαλὴμ 7
δὲ καὶ τὰ ἅγια εἶναι ἐλεύθερα· καὶ πάντα τὰ ὅπλα ὅσα κατε-
σκεύασας, καὶ τὰ ὀχυρώματα, ἃ ᾠκοδόμησας ὧν κρατεῖς, με-
νέτω σοι. καὶ πᾶν ὀφείλημα βασιλικὸν καὶ τὰ ἐσόμενα βασιλι- 8
κά, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἅπαντα χρόνον ἀφιέσθω σοι· ὡς δ' 9
ἂν κρατήσωμεν τῆς βασιλείας ἡμῶν, δοξάσομέν σε καὶ τὸ ἔ-
θνος σου καὶ τὸ ἱερὸν δόξῃ μεγάλῃ, ὥστε φανερὰν γενέσθαι
3 τὴν δόξαν ὑμῶν ἐν πάσῃ τῇ γῇ». ἔτους τετάρτου καὶ ἑβδομη- 10
κοστοῦ καὶ ἑκατοστοῦ ἐξῆλθεν Ἀντίοχος εἰς τὴν γῆν τῶν πα-
τέρων αὐτοῦ, καὶ συνῆλθον πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις, ὥ-
στε ὀλίγους εἶναι τοὺς καταλειφθέντας σὺν Τρύφωνι. καὶ ἐδίω- 11
ξεν αὐτὸν Ἀντίοχος ὁ βασιλεύς, καὶ ἦλθε φεύγων εἰς Δωρὰ
τὴν ἐπὶ τῆς θαλάσσης· εἶδε γὰρ ὅτι συνῆκται ἐπ' αὐτὸν τὰ κα- 12
κά, καὶ ἀφῆκαν αὐτὸν αἱ δυνάμεις. καὶ παρενέβαλεν Ἀντίοχος 13
ἐπὶ Δωρὰ καὶ σὺν αὐτῷ δώδεκα μυριάδες ἀνδρῶν πολεμιστῶν
καὶ ὀκτακισχιλία ἵππος. καὶ ἐκύκλωσε τὴν πόλιν, καὶ τὰ πλοῖα 14
ἀπὸ θαλάσσης συνῆψαν, καὶ ἔθλιβε τὴν πόλιν ἀπὸ τῆς γῆς καὶ
τῆς θαλάσσης, καὶ οὐκ εἴασεν οὐδένα ἐκπορεύεσθαι καὶ εἰσπο-
ρεύεσθαι.

65 1 Καὶ ἦλθε Νουμήνιος καὶ οἱ παρ' αὐτοῦ ἐκ Ῥώμης ἔχοντες 15
ἐπιστολὰς τοῖς βασιλεῦσι καὶ ταῖς χώραις, ἐν αἷς ἐγέγραπτο
τάδε· «Λεύκιος ὕπατος Ῥωμαίων Πτολεμαίῳ βασιλεῖ χαίρειν. 16
οἱ πρεσβευταὶ τῶν Ἰουδαίων ἦλθον πρὸς ἡμᾶς, φίλοι ἡμῶν καὶ 17

σύμμαχοι, ἀνανεούμενοι τὴν ἐξ ἀρχῆς φιλίαν καὶ συμμαχίαν, ἀ-
πεσταλμένοι ἀπὸ Σίμωνος τοῦ ἀρχιερέως καὶ τοῦ δήμου τῶν
2 Ἰουδαίων· ἤνεγκαν δὲ ἀσπίδα χρυσῆν ἀπὸ μνῶν χιλίων. ἤρε- 18 19
σεν οὖν ἡμῖν γράψαι τοῖς βασιλεῦσι καὶ ταῖς χώραις ὅπως μὴ
ἐκζητήσωσιν αὐτοῖς κακὰ καὶ μὴ πολεμήσωσιν αὐτοὺς καὶ τὰς
πόλεις αὐτῶν καὶ τὴν χώραν αὐτῶν καὶ ἵνα μὴ συμμαχήσωσι
τοῖς πολεμοῦσιν αὐτούς. ἔδοξε δὲ ἡμῖν δέξασθαι τὴν ἀσπίδα 20
παρ' αὐτῶν. εἴ τινες οὖν λοιμοὶ διαπεφεύγασιν ἐκ τῆς χώρας 21
αὐτῶν πρὸς ὑμᾶς, παράδοτε αὐτοὺς Σίμωνι τῷ ἀρχιερεῖ, ὅπως
3 ἐκδικήσῃ ἐν αὐτοῖς κατὰ τὸν νόμον αὐτῶν». καὶ τὰ αὐτὰ ἔγρα- 22
ψε Δημητρίῳ τῷ βασιλεῖ καὶ Ἀττάλῳ, Ἀριαράθῃ καὶ Ἀρσάκῃ
καὶ εἰς πάσας τὰς χώρας καὶ Σαμψάμῃ καὶ Σπαρτιάταις καὶ εἰς 23
Δῆλον καὶ Μύνδον καὶ Σικυῶνα καὶ εἰς τὴν Καρίαν καὶ εἰς Σά-
μον καὶ εἰς τὴν Παμφυλίαν καὶ εἰς τὴν Λυκίαν καὶ εἰς Ἁλικαρ-
νασσὸν καὶ εἰς Ῥόδον καὶ εἰς Φασηλίδα καὶ εἰς Κῶ καὶ εἰς Σί-
δην καὶ εἰς Ἄραδον καὶ εἰς Γόρτυνα καὶ Κνίδον καὶ Κύπρον
καὶ Κυρήνην. τὸ δὲ ἀντίγραφον αὐτῶν ἔγραψαν Σίμωνι τῷ ἀρ- 24
χιερεῖ.

66 1 Ἀντίοχος δὲ ὁ βασιλεὺς παρενέβαλεν ἐπὶ Δωρὰ ἐν τῇ δευ- 25
τέρᾳ, προσάγων διὰ παντὸς αὐτῇ τὰς χεῖρας καὶ μηχανὰς
ποιούμενος καὶ συνέκλεισε τὸν Τρύφωνα τοῦ μὴ εἰσπορεύε-
σθαι καὶ ἐκπορεύεσθαι. καὶ ἀπέστειλεν αὐτῷ Σίμων δισχιλίους 26
ἄνδρας ἐκλεκτοὺς συμμαχῆσαι αὐτῷ καὶ ἀργύριον καὶ χρυ-
σίον καὶ σκεύη ἱκανά. καὶ οὐκ ἠβούλετο αὐτὰ δέξασθαι, ἀλλ' ἠ- 27
θέτησε πάντα, ὅσα συνέθετο αὐτῷ τὸ πρότερον, καὶ ἠλλο-
2 τριοῦντο αὐτῷ. καὶ ἀπέστειλε πρὸς αὐτὸν Ἀθηνόβιον ἕνα τῶν 28
φίλων αὐτοῦ κοινολογησάμενον αὐτῷ λέγων· Ὑμεῖς κατακρα-
τεῖτε τῆς Ἰόππης καὶ Γαζάρων καὶ τῆς ἄκρας τῆς ἐν Ἱερουσα-
λήμ, πόλεις τῆς βασιλείας μου. τὰ ὅρια αὐτῶν ἠρημώσατε καὶ 29
ἐποιήσατε πληγὴν μεγάλην ἐπὶ τῆς γῆς καὶ ἐκυριεύσατε τό-
πων πολλῶν ἐν τῇ βασιλείᾳ μου. νῦν οὖν παράδοτε τὰς πό- 30
λεις, ἃς κατελάβεσθε, καὶ τοὺς φόρους τῶν τόπων, ὧν κατεκυ-
ριεύσατε ἐκτὸς τῶν ὁρίων τῆς Ἰουδαίας. εἰ δὲ μή, δότε ἀντ' 31
αὐτῶν πεντακόσια τάλαντα ἀργυρίου καὶ τῆς καταφθορᾶς, ἧς
κατεφθάρκατε, καὶ τῶν φόρων τῶν πόλεων ἄλλα τάλαντα πε-
3 ντακόσια· εἰ δὲ μή, παραγενόμενοι ἐκπολεμήσομεν ὑμᾶς. καὶ 32
ἦλθεν Ἀθηνόβιος φίλος τοῦ βασιλέως εἰς Ἱερουσαλὴμ καὶ εἶδε
τὴν δόξαν Σίμωνος καὶ κυλικεῖον μετὰ χρυσωμάτων καὶ ἀργυ-
ρωμάτων καὶ παράστασιν ἱκανὴν καὶ ἐξίστατο καὶ ἀπήγγειλεν
αὐτῷ τοὺς λόγους τοῦ βασιλέως. καὶ ἀποκριθεὶς Σίμων εἶπεν 33
αὐτῷ· Οὔτε γῆν ἀλλοτρίαν εἰλήφαμεν οὔτε ἀλλοτρίων κεκρα-
τήκαμεν, ἀλλὰ τῆς κληρονομίας τῶν πατέρων ἡμῶν, ὑπὸ δὲ ἐ-
χθρῶν ἡμῶν ἔν τινι καιρῷ ἀκρίτως κατεκρατήθη· ἡμεῖς δὲ και- 34
ρὸν ἔχοντες ἀντεχόμεθα τῆς κληρονομίας τῶν πατέρων ἡμῶν.
περὶ δὲ Ἰόππης καὶ Γαζάρων, ὧν αἰτεῖς, αὗται ἐποίουν ἐν τῷ 35

λαῷ πληγὴν μεγάλην κατὰ τὴν χώραν ἡμῶν, τούτων δώσομεν
τάλαντα ἑκατόν. καὶ οὐκ ἀπεκρίθη αὐτῷ Ἀθηνόβιος λόγον, ἀ- 36
πέστρεψε δὲ μετὰ θυμοῦ πρὸς τὸν βασιλέα καὶ ἀπήγγειλεν αὐ-
τῷ τοὺς λόγους τούτους καὶ τὴν δόξαν Σίμωνος καὶ πάντα, ὅ-
σα εἶδε, καὶ ὠργίσθη ὁ βασιλεὺς ὀργὴν μεγάλην.

67 1 Τρύφων δὲ ἐμβὰς εἰς πλοῖον ἔφυγεν εἰς Ὀρθωσιάδα. καὶ 37 38
κατέστησεν ὁ βασιλεὺς τὸν Κενδεβαῖον στρατηγὸν τῆς παρα-
λίας καὶ δυνάμεις πεζικὰς καὶ ἱππικὰς ἔδωκεν αὐτῷ· καὶ ἐνε- 39
τείλατο αὐτῷ παρεμβαλεῖν κατὰ πρόσωπον τῆς Ἰουδαίας καὶ
ἐνετείλατο αὐτῷ οἰκοδομῆσαι τὴν Κεδρὼν καὶ ὀχυρῶσαι τὰς
πύλας καὶ ὅπως πολεμήσῃ τὸν λαόν· ὁ δὲ βασιλεὺς ἐδίωκε τὸν
2 Τρύφωνα. καὶ παρεγενήθη Κενδεβαῖος εἰς Ἰάμνειαν καὶ ἤρξα- 40
το τοῦ ἐρεθίζειν τὸν λαὸν καὶ ἐμβατεύειν εἰς τὴν Ἰουδαίαν καὶ
αἰχμαλωτίζειν τὸν λαὸν καὶ φονεύειν, καὶ ᾠκοδόμησε τὴν Κε- 41
δρὼν καὶ ἔταξεν ἐκεῖ ἱππεῖς καὶ δυνάμεις, ὅπως ἐκπορευόμε-
νοι ἐξοδεύωσι τὰς ὁδοὺς τῆς Ἰουδαίας, καθὰ συνέταξεν αὐτῷ
ὁ βασιλεύς.

68 1 Καὶ ἀνέβη Ἰωάννης ἐκ Γαζάρων καὶ ἀπήγγειλε Σίμωνι τῷ **16**
πατρὶ αὐτοῦ ἃ συνετέλει Κενδεβαῖος. καὶ ἐκάλεσε Σίμων τοὺς 2
δύο υἱοὺς αὐτοῦ τοὺς πρεσβυτέρους Ἰούδαν καὶ Ἰωάννην καὶ
εἶπεν αὐτοῖς· Ἐγὼ καὶ οἱ ἀδελφοί μου καὶ ὁ οἶκος τοῦ πατρός
μου ἐπολεμήσαμεν τοὺς πολεμίους Ἰσραὴλ ἀπὸ νεότητος ἕως
τῆς σήμερον ἡμέρας, καὶ εὐωδώθη ἐν ταῖς χερσὶν ἡμῶν ῥύσα-
2 σθαι τὸν Ἰσραὴλ πλεονάκις. νῦν δὲ γεγήρακα, καὶ ὑμεῖς δὲ ἐν 3
τῷ ἐλέει ἱκανοί ἐστε ἐν τοῖς ἔτεσι· γίνεσθε ἀντ' ἐμοῦ καὶ τοῦ ἀ-
δελφοῦ μου καὶ ἐξελθόντες ὑπερμαχεῖτε ὑπὲρ τοῦ ἔθνους ἡ-
μῶν, ἡ δὲ ἐκ τοῦ οὐρανοῦ βοήθεια ἔστω μεθ' ὑμῶν. καὶ ἐπέλε- 4
ξεν ἐκ τῆς χώρας εἴκοσι χιλιάδας ἀνδρῶν πολεμιστῶν καὶ ἱπ-
πεῖς, καὶ ἐπορεύθησαν ἐπὶ τὸν Κενδεβαῖον καὶ ἐκοιμήθησαν ἐν
Μωδεΐν. καὶ ἀναστάντες τὸ πρωῒ ἐπορεύοντο εἰς τὸ πεδίον, 5
καὶ ἰδοὺ δύναμις πολλὴ εἰς συνάντησιν αὐτοῖς, πεζικὴ καὶ ἱπ-
3 πεῖς, καὶ ἦν χειμάρρους ἀνὰ μέσον αὐτῶν. καὶ παρενέβαλε κα- 6
τὰ πρόσωπον αὐτῶν αὐτὸς καὶ ὁ λαὸς αὐτοῦ. καὶ εἶδε τὸν λα-
ὸν δειλούμενον διαπερᾶσαι τὸν χειμάρρουν καὶ διεπέρασε
πρῶτος· καὶ εἶδον αὐτὸν οἱ ἄνδρες καὶ διεπέρασαν κατόπισθεν
αὐτοῦ. καὶ διεῖλε τὸν λαὸν καὶ τοὺς ἱππεῖς ἐν μέσῳ τῶν πε- 7
ζῶν· ἡ δὲ ἵππος τῶν ὑπεναντίων πολλὴ σφόδρα. καὶ ἐσάλπι- 8
σαν ταῖς ἱεραῖς σάλπιγξι, καὶ ἐτροπώθη Κενδεβαῖος καὶ ἡ πα-
ρεμβολὴ αὐτοῦ, καὶ ἔπεσον ἐξ αὐτῶν τραυματίαι πολλοί· οἱ δὲ
4 καταλειφθέντες ἔφυγον εἰς τὸ ὀχύρωμα. τότε ἐτραυματίσθη 9
Ἰούδας ὁ ἀδελφὸς Ἰωάννου· Ἰωάννης δὲ κατεδίωξεν αὐτοὺς
ἕως ἦλθεν εἰς Κεδρών, ἣν ᾠκοδόμησε. καὶ ἔφυγον ἕως εἰς 10
τοὺς Πύργους τοὺς ἐν τοῖς ἀγροῖς Ἀζώτου, καὶ ἐνεπύρισεν
αὐτὴν ἐν πυρί, καὶ ἔπεσον ἐξ αὐτῶν εἰς ἄνδρας δισχιλίους. καὶ
ἀπέστρεψεν εἰς γῆν Ἰούδα μετ' εἰρήνης.

69 1 Καὶ Πτολεμαῖος ὁ τοῦ Ἀβούβου ἦν καθεσταμένος στρατη- 11
γὸς εἰς τὸ πεδίον Ἰεριχὼ καὶ ἔσχεν ἀργύριον καὶ χρυσίον πο-
λύ· ἦν γὰρ γαμβρὸς τοῦ ἀρχιερέως. καὶ ὑψώθη ἡ καρδία αὐ- 12 13
τοῦ, καὶ ἠβουλήθη κατακρατῆσαι τῆς χώρας καὶ ἐβουλεύετο
δόλῳ κατὰ Σίμωνος καὶ τῶν υἱῶν αὐτοῦ ἆραι αὐτούς. Σίμων 14
δὲ ἦν ἐφοδεύων τὰς πόλεις τὰς ἐν τῇ χώρᾳ καὶ φροντίζων τῆς
ἐπιμελείας αὐτῶν· καὶ κατέβη εἰς Ἰεριχὼ αὐτὸς καὶ Ματταθίας
καὶ Ἰούδας οἱ υἱοὶ αὐτοῦ ἔτους ἑβδόμου καὶ ἑβδομηκοστοῦ
2 καὶ ἑκατοστοῦ ἐν μηνὶ ἑνδεκάτῳ (οὗτος ὁ μὴν Σαβάτ). καὶ ἀπε- 15
δέξατο αὐτοὺς ὁ τοῦ Ἀβούβου εἰς τὸ ὀχυρωμάτιον τὸ καλού-
μενον Δὼκ μετὰ δόλου, ὃ ᾠκοδόμησε, καὶ ἐποίησεν αὐτοῖς πό-
τον μέγαν καὶ ἐνέκρυψεν ἐκεῖ ἄνδρας. καὶ ὅτε ἐμεθύσθη Σίμων 16
καὶ οἱ υἱοὶ αὐτοῦ, ἐξανέστη Πτολεμαῖος καὶ οἱ παρ' αὐτοῦ καὶ
ἔλαβον τὰ ὅπλα αὐτῶν καὶ ἐπεισῆλθον τῷ Σίμωνι εἰς τὸ συ-
μπόσιον καὶ ἀπέκτειναν αὐτὸν καὶ τοὺς δύο υἱοὺς αὐτοῦ καί
τινας τῶν παιδαρίων αὐτοῦ. καὶ ἐποίησεν ἀθεσίαν μεγάλην, 17
3 καὶ ἀπέδωκε κακὰ ἀντὶ ἀγαθῶν. καὶ ἔγραψε ταῦτα Πτολεμαῖος 18
καὶ ἀπέστειλε τῷ βασιλεῖ, ὅπως ἀποστείλῃ αὐτῷ δυνάμεις εἰς
βοήθειαν καὶ παραδῷ αὐτῷ τὴν χώραν αὐτῶν καὶ τὰς πόλεις.
καὶ ἀπέστειλεν ἑτέρους εἰς Γάζαρα ἆραι τὸν Ἰωάννην, καὶ τοῖς 19
χιλιάρχοις ἀπέστειλεν ἐπιστολὰς παραγενέσθαι πρὸς αὐτόν, ὅ-
πως δῷ αὐτοῖς ἀργύριον καὶ χρυσίον καὶ δόματα, καὶ ἑτέρους 20
ἀπέστειλε καταλαβέσθαι τὴν Ἱερουσαλὴμ καὶ τὸ ὄρος τοῦ ἱε-
4 ροῦ. καὶ προδραμών τις ἀπήγγειλεν Ἰωάννῃ εἰς Γάζαρα ὅτι ἀ- 21
πώλετο ὁ πατὴρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ὅτι ἀπέσταλ-
κε καὶ σὲ ἀποκτεῖναι. καὶ ἀκούσας ἐξέστη σφόδρα καὶ συνέλα- 22
βε τοὺς ἄνδρας τοὺς ἐλθόντας ἀπολέσαι αὐτὸν καὶ ἀπέκτεινεν
αὐτούς, ἐπέγνω γὰρ ὅτι ἐζήτουν αὐτὸν ἀπολέσαι.

E

70 1 Καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωάννου καὶ τῶν πολέμων αὐ- 23
τοῦ καὶ τῶν ἀνδραγαθιῶν αὐτοῦ, ὧν ἠνδραγάθησε, καὶ τῆς οἰ-
κοδομῆς τῶν τειχῶν, ὧν ᾠκοδόμησε, καὶ τῶν πράξεων αὐτοῦ,
ἰδοὺ ταῦτα γέγραπται ἐπὶ βιβλίῳ ἡμερῶν ἀρχιερωσύνης αὐ- 24
τοῦ, ἀφ' οὗ ἐγενήθη ἀρχιερεὺς μετὰ τὸν πατέρα αὐτοῦ.

7. ΠΤΟΛΕΜΑΪΚΑ

1 ..... 1 **1**

1 Ὁ δὲ Φιλοπάτωρ μαθὼν παρὰ τῶν ἀνακομισθέντων τὴν γενομένην τῶν ὑπ' αὐτοῦ κρατουμένων τόπων ἀφαίρεσιν ὑπὸ Ἀντιόχου παραγγείλας ταῖς πάσαις δυνάμεσι πεζικαῖς τε καὶ ἱππικαῖς αὐτοῦ καὶ τὴν ἀδελφὴν Ἀρσινόην συμπαραλαβών, ἐξώρμησε μέχρι τῶν κατὰ Ῥαφίαν τόπων, ὅπου παρεμβεβλήκει-
2 σαν οἱ περὶ Ἀντίοχον. Θεόδοτος δέ τις ἐκπληρῶσαι τὴν ἐπι- 2
βουλὴν διανοηθείς, παραλαβὼν τῶν προϋποτεταγμένων αὐτῷ ὅπλων Πτολεμαϊκῶν τὰ κράτιστα, διεκομίσθη νύκτωρ ἐπὶ τὴν τοῦ Πτολεμαίου σκηνὴν ὡς μόνος κτεῖναι αὐτὸν καὶ ἐν τούτῳ
3 διαλῦσαι τὸν πόλεμον. τοῦτον δὲ διαγαγὼν Δοσίθεος ὁ Δριμύ- 3
λου λεγόμενος, τὸ γένος Ἰουδαῖος, ὕστερον δὲ μεταβαλὼν τὰ νόμιμα καὶ τῶν πατρίων δογμάτων ἀπηλλοτριωμένος, ἄσημόν τινα κατέκλινεν ἐν τῇ σκηνῇ, ὃν συνέβη κομίσασθαι τὴν ἐκεί-
4 νου κόλασιν. γενομένης δὲ καρτερᾶς μάχης καὶ τῶν πραγμά- 4
των μᾶλλον ἐρρωμένων τῷ Ἀντιόχῳ, ἱκανῶς ἡ Ἀρσινόη ἐπιπορευσαμένη τὰς δυνάμεις παρεκάλει, μετὰ οἴκτου καὶ δακρύων τοὺς πλοκάμους λελυμένη, βοηθεῖν ἑαυτοῖς τε καὶ τοῖς τέκνοις καὶ γυναιξὶ θαρραλέως, ἐπαγγελλομένη δώσειν νικήσα-
5 σιν ἑκάστῳ δύο μνᾶς χρυσίου. καὶ οὕτω συνέβη τοὺς ἀντιπά- 5
λους ἐν χειρονομίαις διαφθαρῆναι, πολλοὺς δὲ καὶ δορυαλώ-
6 τους συλληφθῆναι. κατακρατήσας δὲ τῆς ἐπιβουλῆς ἔκρινε τὰς 6
7 πλησίον πόλεις ἐπελθὼν παρακαλέσαι. ποιήσας δὲ τοῦτο καὶ 7
τοῖς τεμένεσι δωρεὰς ἀπονείμας, εὐθαρσεῖς τοὺς ὑποτεταγμένους κατέστησε.

2 1 Τῶν δὲ Ἰουδαίων διαπεμψαμένων πρὸς αὐτὸν ἀπὸ τῆς γε- 8
ρουσίας καὶ τῶν πρεσβυτέρων τοὺς ἀσπασομένους αὐτὸν καὶ ξένια κομιοῦντας καὶ ἐπὶ τοῖς συμβεβηκόσι συγχαρησομένους, συνέβη μᾶλλον αὐτὸν προθυμηθῆναι ὡς τάχιστα πρὸς αὐτοὺς
2 παραγενέσθαι. διακομισθεὶς δὲ εἰς Ἱεροσόλυμα καὶ θύσας τῷ 9
μεγίστῳ θεῷ καὶ χάριτας ἀποδιδοὺς καὶ τῶν ἑξῆς τι τῷ τόπῳ ποιήσας καὶ δὴ παραγενόμενος εἰς τὸν τόπον καὶ τῇ σπου-
3 δαιότητι καὶ εὐπρεπείᾳ καταπλαγείς, θαυμάσας δὲ καὶ τὴν τοῦ 10
ἱεροῦ εὐταξίαν, ἐνεθυμήθη βουλεύσασθαι εἰσελθεῖν εἰς τὸν ναό-
4 ν. τῶν δὲ εἰπόντων μὴ καθήκειν γίνεσθαι τοῦτο, διὰ τὸ μηδὲ 11
τοῖς ἐκ τοῦ ἔθνους ἐξεῖναι εἰσιέναι, μηδὲ πᾶσι τοῖς ἱερεῦσιν, ἀλλ' ἢ μόνῳ τῷ προηγουμένῳ πάντων ἀρχιερεῖ, καὶ τούτῳ ἅ-

5 παξ κατ' ἐνιαυτόν, οὐδαμῶς ἠβούλετο πείθεσθαι. τοῦ τε νόμου 12
παραναγνωσθέντος, οὐδαμῶς ἀπέλιπε προφερόμενος ἑαυτὸν
δεῖν εἰσελθεῖν λέγων· Καὶ εἰ ἐκεῖνοι ἐστέρηνται ταύτης τῆς τι-
6 μῆς, ἐμὲ οὐ δεῖ. καὶ ἐπυνθάνετο διὰ τίνα αἰτίαν εἰσερχόμενον 13
7 αὐτὸν εἰς πᾶν τέμενος οὐθεὶς ἐκώλυσε τῶν παρόντων. καί τις 14
8 ἀπρονοήτως ἔφη κακῶς αὐτὸ τοῦτο τερατεύεσθαι. γενομένου 15
δέ, φησι, τούτου διά τινα αἰτίαν, οὐχὶ πάντως εἰσελεύσεσθαι
9 καὶ θελόντων αὐτῶν καὶ μή; τῶν δὲ ἱερέων ἐν ταῖς ἁγίαις ἐ- 16
σθήσεσι προπεσόντων καὶ δεομένων τοῦ μεγίστου θεοῦ βοη-
θεῖν τῇ ἐνεστώσῃ ἀνάγκῃ καὶ τὴν ὁρμὴν τοῦ κακῶς ἐπιβαλλο-
μένου μεταθεῖναι κραυγῆς τε μετὰ δακρύων τὸ ἱερὸν ἐμπλησά-
10 ντων, οἱ κατὰ τὴν πόλιν ἀπολιπόμενοι ταραχθέντες ἐξεπήδη- 17
11 σαν, ἄδηλον τιθέμενοι τὸ γινόμενον. αἵ τε κατάκλειστοι παρθέ- 18
νοι ἐν θαλάμοις σὺν ταῖς τεκούσαις ἐξώρμησαν καὶ σποδῷ καὶ
κόνει τὰς κεφαλὰς πασάμεναι, γόων τε καὶ στεναγμῶν τὰς
12 πλατείας ἐνεπίμπλων. αἱ δὲ καὶ προσαρτίως ἐσταλμέναι τοὺς 19
πρὸς ἀπάντησιν διατεταγμένους παστοὺς καὶ τὴν ἁρμόζουσαν
αἰδὼ παραλείπουσαι, δρόμον ἄτακτον ἐν τῇ πόλει συνίσταντο.
13 τὰ δὲ νεογνὰ τῶν τέκνων αἱ πρὸς τούτοις μητέρες καὶ τιθηνοὶ 20
παραλιποῦσαι ἄλλως καὶ ἄλλως, αἱ μὲν κατ' οἴκους, αἱ δὲ κατὰ
τὰς ἀγυιάς, ἀνεπιστρέπτως εἰς τὸ πανυπέρτατον ἱερὸν ἠθροί-
14 ζοντο. ποικίλη δὲ ἦν τῶν εἰς τοῦτο συλλεγομένων ἡ δέησις ἐ- 21
15 πὶ τοῖς ἀνοσίως ὑπ' ἐκείνου κατεγχειρουμένοις. σύν τε τού- 22
τοις οἱ τῶν πολιτῶν θρασυνθέντες οὐκ ἠνείχοντο τέλεον αὐ-
τοῦ ἐπικειμένου καὶ τὸ τῆς προθέσεως αὐτοῦ ἐκπληροῦν δια-
16 νοουμένου. φωνήσαντες δὲ τὴν ὁρμὴν ἐπὶ τὰ ὅπλα ποιήσασθαι 23
καὶ θαρραλέως ὑπὲρ τοῦ πατρῴου νόμου τελευτᾶν, ἱκανὴν ἐ-
ποίησαν ἐν τῷ τόπῳ τραχύτητα, μόλις δὲ ὑπό τε τῶν γεραιῶν
καὶ τῶν πρεσβυτέρων ἀποτραπέντες ἐπὶ τὴν αὐτὴν τῆς δεήσε-
17 ως ἔστησαν στάσιν. καὶ τὸ μὲν πλῆθος ὡς ἔμπροσθεν ἐν τού- 24
18 τοις ἀνεστρέφετο δεόμενον. οἱ δὲ περὶ τὸν βασιλέα πρεσβύτε- 25
ροι πολλαχῶς ἐπειρῶντο τὸν ἀγέρωχον αὐτοῦ νοῦν ἐξιστάνειν
19 τῆς ἐντεθυμημένης βουλῆς. θρασυνθεὶς δὲ καὶ πάντα παραπέμ- 26
ψας ἤδη καὶ πρόσβασιν ἐποιεῖτο, τέλος ἐπιθήσειν δοκῶν τῷ
20 προειρημένῳ. ταῦτα οὖν καὶ οἱ περὶ αὐτὸν ὄντες θεωροῦντες 27
ἐτράπησαν εἰς τὸ σὺν τοῖς ἡμετέροις ἐπικαλεῖσθαι τὸν πᾶν
κράτος ἔχοντα τοῖς παροῦσιν ἐπαμῦναι, μὴ παριδόντα τὴν ἄ-
21 νομον καὶ ὑπερήφανον πρᾶξιν. ἐκ δὲ τῆς πυκνοτάτης τε καὶ ἐ- 28
μπόνου τῶν ὄχλων συναγομένης κραυγῆς ἀνείκαστός τις ἦν
22 βοή· δοκεῖν γὰρ ἦν μὴ μόνον τοὺς ἀνθρώπους, ἀλλὰ καὶ τὰ τεί- 29
χη καὶ τὸ πᾶν ἔδαφος ἠχεῖν, ἅτε δὴ τῶν πάντων τότε θάνατον
ἀλλασσομένων ἀντὶ τῆς τοῦ τόπου βεβηλώσεως.

3 1 Ὁ μὲν οὖν ἀρχιερεὺς Σίμων ἐξεναντίας τοῦ ναοῦ κάμψας 1 **2**
τὰ γόνατα καὶ τὰς χεῖρας προτείνας εὐτάκτως, ἐποιήσατο τὴν
2 δέησιν τοιαύτην. Κύριε Κύριε, βασιλεῦ τῶν οὐρανῶν καὶ δέ- 2

σποτα πάσης κτίσεως, ἅγιε ἐν ἁγίοις, μόναρχε, παντοκράτορ,
πρόσσχες ἡμῖν καταπονουμένοις ὑπὸ ἀνοσίου καὶ βεβήλου
3 θράσει καὶ σθένει πεφρυαγμένου. σὺ γὰρ ὁ κτίσας τὰ πάντα 3
καὶ τῶν ὅλων ἐπικρατῶν δυνάστης δίκαιος εἶ καὶ τοὺς ὕβρει
4 καὶ ἀγερωχίᾳ πράσσοντάς τι κρίνεις. σὺ τοὺς ἔμπροσθεν ἀδι- 4
κίαν ποιήσαντας, ἐν οἷς καὶ γίγαντες ἦσαν ῥώμῃ καὶ θράσει
5 πεποιθότες, διέφθειρας ἐπαγαγὼν αὐτοῖς ἀμέτρητον ὕδωρ. σὺ 5
τοὺς ὑπερηφανίαν ἐργαζομένους Σοδομίτας, διαδήλους ταῖς
κακίαις γενομένους, πυρὶ καὶ θείῳ κατέφλεξας, παράδειγμα
6 τοῖς ἐπιγινομένοις καταστήσας. σὺ τὸν θρασὺν φαραὼ κατα- 6
δουλωσάμενον τὸν λαόν σου τὸν ἅγιον Ἰσραήλ, ποικίλαις καὶ
πολλαῖς δοκιμάσας τιμωρίαις, ἐγνώρισας τὴν σὴν δυναστείαν,
7 ἐφ' αἷς ἐγνώρισας τὸ μέγα σου κράτος· καὶ ἐπιδιώξαντα αὐτὸν 7
σὺν ἅρμασι καὶ ὄχλων πλήθει ἐπέκλυσας βάθει θαλάσσης,
τοὺς δὲ ἐμπιστεύσαντας ἐπὶ σοὶ τῷ τῆς ἁπάσης κτίσεως δυνα-
8 στεύοντι σῴους διεκόμισας, οἳ καὶ συνιδόντες ἔργα σῆς χει- 8
9 ρὸς ᾔνεσάν σε τὸν παντοκράτορα. σύ, βασιλεῦ, κτίσας τὴν ἀ- 9
πέραντον καὶ ἀμέτρητον γῆν, ἐξελέξω τὴν πόλιν ταύτην καὶ ἁ-
γιάσας τὸν τόπον τοῦτον εἰς ὄνομά σοι τῷ τῶν ἁπάντων ἀ-
προσδεεῖ καὶ παρεδόξασας ἐν ἐπιφανείᾳ μεγαλοπρεπεῖ, σύστα-
σιν ποιησάμενος αὐτοῦ πρὸς δόξαν τοῦ μεγάλου καὶ ἐντίμου
10 ὀνόματός σου. καὶ ἀγαπῶν τὸν οἶκον τοῦ Ἰσραὴλ ἐπηγγείλω 10
δὴ ὅτι ἐὰν γένηται ἡμῶν ἀποστροφὴ καὶ καταλάβῃ ἡμᾶς στενο-
χωρία καὶ ἐλθόντες εἰς τὸν τόπον τοῦτον δεηθῶμεν, εἰσακού-
11 12 σῃ τῆς δεήσεως ἡμῶν. καὶ δὴ πιστὸς εἶ καὶ ἀληθινός. ἐπεὶ δὲ 11 12
πλεονάκις θλιβέντων τῶν πατέρων ἡμῶν ἐβοήθησας αὐτοῖς ἐν
13 τῇ ταπεινώσει καὶ ἐρρύσω αὐτοὺς ἐκ μεγάλων κινδύνων, ἰδοὺ 13
δὴ νῦν, ἅγιε βασιλεῦ, διὰ τὰς πολλὰς καὶ μεγάλας ἡμῶν ἁμαρ-
τίας καταπονούμεθα καὶ ὑπετάγημεν τοῖς ἐχθροῖς ἡμῶν καὶ
14 παρείμεθα ἐν ἀδυναμίαις. ἐν δὲ τῇ ἡμετέρᾳ καταπτώσει ὁ θρα- 14
σὺς καὶ βέβηλος οὗτος ἐπιτηδεύει καθυβρίσαι τὸν ἐπὶ τῆς γῆς
15 ἀναδεδειγμένον τῷ ὀνόματι τῆς δόξης σου ἅγιον τόπον. τὸ 15
μὲν γὰρ οἰκητήριόν σου οὐρανὸς τοῦ οὐρανοῦ ἀνέφικτος ἀν-
16 θρώποις ἐστίν. ἀλλ' ἐπεὶ εὐδοκήσας τὴν δόξαν σου ἐν τῷ λαῷ 16
17 σου Ἰσραὴλ ἡγίασας τὸν τόπον τοῦτον, μὴ ἐκδικήσῃς ἡμᾶς ἐν 17
τῇ τούτων ἀκαθαρσίᾳ, μηδὲ εὐθύνῃς ἡμᾶς ἐν βεβηλώσει, ἵνα
μὴ καυχήσωνται οἱ παράνομοι ἐν θυμῷ αὐτῶν, μηδὲ ἀγαλλιά-
18 σωνται ἐν ὑπερηφανίᾳ γλώσσης αὐτῶν λέγοντες· Ἡμεῖς κατε- 18
πατήσαμεν τὸν οἶκον τοῦ ἁγιασμοῦ, ὡς καταπατοῦνται οἱ οἶ-
19 κοι τῶν προσοχθισμάτων. ἀπάλειψον τὰς ἁμαρτίας ἡμῶν καὶ 19
διασκέδασον τὰς ἀμπλακίας ἡμῶν καὶ ἐπίφανον τὸ ἔλεός σου
20 κατὰ τὴν ὥραν ταύτην. ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰ- 20
κτιρμοί σου, καὶ δὸς αἰνέσεις ἐν στόματι τῶν καταπεπτωκό-
των καὶ συντετριμμένων τὰς ψυχὰς ποιήσας ἡμῖν εἰρήνην.

4 1 Ἐνταῦθα ὁ πάντων ἐπόπτης θεὸς καὶ πρὸ πάντων ἅγιος 21

ἐν ἁγίοις εἰσακούσας τῆς ἐνθέρμου λιτανείας, τὸν ὕβρει καὶ
2 θράσει μεγάλως ἐπῃρμένον ἐμάστιξεν, ἔνθεν καὶ ἔνθεν κραδά- 22
νας αὐτὸν ὡς κάλαμον ὑπὸ ἀνέμου, ὥστε κατ' ἐδάφους ἄπρα-
κτον, ἔτι καὶ τοῖς μέλεσι παραλελυμένον μηδὲ φωνῆσαι δύνα-
3 σθαι δικαίᾳ περιπεπλεγμένον κρίσει. ὅθεν οἵ τε φίλοι καὶ οἱ 23
σωματοφύλακες αὐτοῦ ταχεῖαν καὶ ὀξεῖαν ἰδόντες τὴν καταλα-
βοῦσαν αὐτὸν εὔθυναν, φοβούμενοι μὴ καὶ τὸ ζῆν ἐκλείπῃ, τα-
χέως αὐτὸν ἐξείλκυσαν ὑπερβάλλοντι καταπεπληγμένοι φόβῳ.
4 ἐν χρόνῳ δὲ ὕστερον ἀναλεξάμενος ἑαυτὸν οὐδαμῶς εἰς μετά- 24
μελον ἦλθεν ἐπιτιμηθείς, μετ' ἀπειλῆς δὲ πικρᾶς ἀνέλυσε.

5 1 Διακομισθεὶς δὲ εἰς τὴν Αἴγυπτον καὶ τὰ τῆς κακίας ἐπαύ- 25
ξων, διὰ δὲ τῶν προαποδεδειγμένων συμποτῶν καὶ ἑταίρων
2 τοῦ παντὸς δικαίου κεχωρισμένων, οὐ μόνον ταῖς ἀναριθμή- 26
τοις ἀσελγείαις διηρκέσθη, ἀλλὰ καὶ ἐπὶ τοσοῦτον θράσους
προῆλθεν, ὥστε δυσφημίας ἐν τοῖς τόποις συνίστασθαι καὶ
πολλοὺς τῶν φίλων ἀτενίζοντας εἰς τὴν τοῦ βασιλέως πρόθε-
3 σιν καὶ αὐτοὺς ἔπεσθαι τῇ ἐκείνου θελήσει. προέθετο δὲ δημο- 27
σίᾳ κατὰ τοῦ ἔθνους διαδοῦναι ψόγον· καὶ ἐπὶ τοῦ κατὰ τὴν
4 αὐλὴν πύργου στήλην ἀναστήσας ἐξεκόλαψε γραφήν, μηδένα 28
τῶν μὴ θυόντων εἰς τὰ ἱερὰ αὐτῶν εἰσιέναι, πάντας δὲ τοὺς
Ἰουδαίους εἰς λαογραφίαν καὶ οἰκετικὴν διάθεσιν ἀχθῆναι,
τοὺς δὲ ἀντιλέγοντας βίᾳ φερομένους τοῦ ζῆν μεταστῆσαι,
5 τούς τε ἀπογραφομένους χαράσσεσθαι καὶ διὰ πυρὸς εἰς τὸ 29
σῶμα παρασήμῳ Διονύσου κισσοφύλλῳ, οὓς καὶ καταχωρίσαι
6 εἰς τὴν προσυνεσταλμένην αὐθεντίαν. ἵνα δὲ μὴ τοῖς πᾶσιν ἀ- 30
πεχθόμενος φαίνηται, ὑπέγραψεν· Ἐὰν δέ τινες ἐξ αὐτῶν προ-
αιρῶνται ἐν τοῖς κατὰ τὰς τελετὰς μεμυημένοις ἀναστρέφε-
σθαι, τούτους ἰσοπολίτας Ἀλεξανδρεῦσιν εἶναι.

6 1 Ἔνιοι μὲν οὖν ἐπιπολαίως τὰς τῆς πόλεως † εὐσεβείας ἐ- 31
πιβάθρας στυγοῦντες † εὐχερῶς ἑαυτοὺς ἐδίδοσαν ὡς μεγά-
λης τινὸς κοινωνήσοντες εὐκλείας ἀπὸ τῆς ἐσομένης τῷ βασι-
2 λεῖ συναναστροφῆς. οἱ δὲ πλεῖστοι γενναίᾳ ψυχῇ ἐνίσχυσαν 32
καὶ οὐ διέστησαν τῆς εὐσεβείας, τά τε χρήματα περὶ τοῦ ζῆν ἀ-
ντικαταλλασσόμενοι ἀδεῶς ἐπειρῶντο ἑαυτοὺς ῥύσασθαι ἐκ
3 τῶν ἀπογραφῶν· εὐέλπιδες δὲ καθειστήκεισαν ἀντιλήψεως 33
τεύξεσθαι καὶ τοὺς ἀποχωροῦντας ἐξ αὐτῶν ἐβδελύσσοντο
καὶ ὡς πολεμίους τοῦ ἔθνους ἔκρινον καὶ τῆς κοινῆς συναναστροφῆς καὶ εὐχρηστίας ἐστέρουν.

7 1 Ἃ καὶ μεταλαμβάνων ὁ δυσσεβὴς ἐπὶ τοσοῦτον ἐχόλησεν, 1 **3**
ὥστε οὐ μόνον τοῖς κατ' Ἀλεξάνδρειαν διοργίζεσθαι, ἀλλὰ καὶ
τοῖς ἐν τῇ χώρᾳ βαρυτέρως ἐναντιωθῆναι καὶ προστάξαι σπεύ-
σαντας συναγαγεῖν πάντας ἐπὶ τὸ αὐτὸ καὶ χειρίστῳ μόρῳ τοῦ
2 ζῆν μεταστῆσαι. τούτων δὲ οἰκονομουμένων φήμη δυσμενὴς ἐ- 2
ξηχεῖτο κατὰ τοῦ γένους ἀνθρώποις συμφρονοῦσιν εἰς κακο-
ποίησιν, ἀφορμῆς διδομένης εἰς διάθεσιν, ὡς ἂν ἀπὸ τῶν νομί-

3 μων αὐτοὺς κωλυόντων. οἱ δὲ Ἰουδαῖοι τὴν μὲν πρὸς τοὺς βα- 3
σιλεῖς εὔνοιαν καὶ πίστιν ἀδιάστροφον ἦσαν διαφυλάσσοντες,
4 σεβόμενοι δὲ τὸν θεὸν καὶ ὡς τούτου νόμῳ πολιτευόμενοι χω- 4
ρισμὸν ἐποίουν ἐπὶ τῷ κατὰ τὰς τροφάς, δι' ἣν αἰτίαν ἐνίοις ἀ-
5 πεχθεῖς ἐφαίνοντο. τῇ δὲ τῶν δικαίων εὐπραξίᾳ κοσμοῦντες 5
τὴν συναναστροφὴν ἅπασιν ἀνθρώποις εὐδόκιμοι καθειστήκει-
6 σαν. τὴν μὲν οὖν περὶ τοῦ γένους ἐν πᾶσι θρυλουμένην εὐπρα- 6
7 ξίαν οἱ ἀλλόφυλοι οὐδαμῶς διηριθμήσαντο, τὴν δὲ περὶ τῶν 7
προσκυνήσεων καὶ τροφῶν διάστασιν ἐθρύλουν, φάσκοντες
μήτε τῷ βασιλεῖ μήτε ταῖς δυνάμεσιν ὁμοσπόνδους τοὺς ἀν-
θρώπους γενέσθαι, δυσμενεῖς δὲ εἶναι καὶ μέγα τι τοῖς πράγ-
8 μασιν ἐναντιουμένους· καὶ οὐ τῷ τυχόντι περιῆψαν ψόγῳ. οἱ 8
δὲ κατὰ τὴν πόλιν Ἕλληνες οὐδὲν ἠδικημένοι, ταραχὴν ἀπροσ-
δόκητον περὶ τοὺς ἀνθρώπους θεωροῦντες καὶ συνδρομὰς ἀ-
προσκόπτους γινομένας, βοηθεῖν μὲν οὐκ ἔσθενον, τυραννικὴ
γὰρ ἦν ἡ διάθεσις, παρεκάλουν δὲ καὶ δυσφόρως εἶχον καὶ με-
9 ταπεσεῖσθαι ταῦτα ὑπελάμβανον· μὴ γὰρ οὕτω παροραθήσε- 9
10 σθαι τηλικοῦτο σύστημα μηδὲν ἠγνοηκός. ἤδη δὲ καί τινες γεί- 10
τονές τε καὶ φίλοι καὶ συμπραγματευόμενοι μυστικῶς τινας ἐ-
πισπώμενοι, πίστεις ἐδίδουν συνασπιεῖν καὶ πᾶν ἐκτενὲς προ-
σοίσεσθαι πρὸς ἀντίληψιν.

8 1 Ἐκεῖνος μὲν οὖν τῇ κατὰ τὸ παρὸν εὐημερίᾳ γεγαυρωμέ- 11
νος καὶ οὐ καθορῶν τὸ τοῦ μεγίστου θεοῦ κράτος, ὑπολαμβά-
νων δὲ διηνεκῶς ἐν τῇ αὐτῇ διαμένειν βουλῇ, ἔγραψε κατ' αὐ-
τῶν ἐπιστολὴν τήνδε·
2 «Βασιλεὺς Πτολεμαῖος Φιλοπάτωρ τοῖς κατ' Αἴγυπτον καὶ 12
κατὰ τόπον στρατηγοῖς καὶ στρατιώταις χαίρειν καὶ ἐρρῶσθαι·
3 4 ἔρρωμαι δὲ καὶ ἐγὼ αὐτὸς καὶ τὰ πράγματα ἡμῶν. τῆς εἰς τὴν 13 14
Ἀσίαν γενομένης ἡμῖν ἐπιστρατείας, ἧς ἴστε καὶ αὐτοί, τῇ τῶν 14
θεῶν πρὸς ἡμᾶς ἀπροπτώτῳ συμμαχίᾳ καὶ τῇ ἡμετέρᾳ δὲ ῥώ-
5 μῃ κατὰ λόγον ἐπ' ἄριστον τέλος ἀχθείσης, ἡγησάμεθα μὴ βίᾳ 15
δόρατος, ἐπιεικείᾳ δὲ καὶ πολλῇ φιλανθρωπίᾳ τιθηνήσασθαι τὰ
κατοικοῦντα Κοίλην Συρίαν καὶ Φοινίκην ἔθνη εὖ ποιῆσαί τε ἀ-
6 σμένως. καὶ τοῖς κατὰ πόλεσιν ἱεροῖς ἀπονείμαντες προσό- 16
δους πλείστας, προήχθημεν καὶ εἰς τὰ Ἱεροσόλυμα ἀναβάντες
τιμῆσαι τὸ ἱερὸν τῶν ἀλιτηρίων καὶ μηδέποτε ληγόντων τῆς ἀ-
7 νοίας. οἱ δὲ λόγῳ μὲν τὴν ἡμετέραν ἀποδεξάμενοι παρουσίαν, 17
τῷ δὲ πράγματι νόθως, προθυμηθέντων ἡμῶν εἰσελθεῖν εἰς
τὸν ναὸν αὐτῶν καὶ τοῖς ἐκπρεπέσι καὶ καλλίστοις ἀναθήμασι
8 τιμῆσαι, τύφοις φερόμενοι παλαιοτέροις, εἶρξαν ἡμᾶς τῆς εἰσό- 18
δου, ἀπολειπόμενοι τῆς ἡμετέρας ἀλκῆς δι' ἣν ἔχομεν πρὸς ἅ-
παντας ἀνθρώπους φιλανθρωπίαν. τὴν δὲ αὐτῶν εἰς ἡμᾶς δυ-
9 σμένειαν ἔκδηλον καθιστάντες, ὡς μονώτατοι τῶν ἐθνῶν βα- 19
σιλεῦσι καὶ τοῖς ἑαυτῶν εὐεργέταις ὑψαυχενοῦντες, οὐδὲν
10 γνήσιον βούλονται φέρειν. ἡμεῖς δὲ τῇ τούτων ἀνοίᾳ συμπεριε- 20

νεχθέντες καὶ μετὰ νίκης διακομισθέντες καὶ εἰς τὴν Αἴγυπτον
τοῖς πᾶσιν ἔθνεσι φιλανθρώπως ἀπαντήσαντες καθὼς ἔπρεπεν
11 ἐποιήσαμεν. ἐν δὲ τούτοις πρὸς τοὺς ὁμοφύλους αὐτῶν ἀμνη- 21
σικακίαν ἅπασι γνωρίζοντες, διά τε τὴν συμμαχίαν καὶ τὰ πε-
πιστευμένα μετὰ ἁπλότητος αὐτοῖς ἀρχῆθεν μύρια πράγματα
τολμήσαντες ἐξαλλοιῶσαι, ἐβουλήθημεν καὶ πολιτείας αὐτοὺς
Ἀλεξανδρέων καταξιῶσαι καὶ μετόχους τῶν ἀεὶ ἱερέων κατα-
12 στῆσαι. οἱ δὲ τοὐναντίον ἐκδεχόμενοι καὶ τῇ συμφύτῳ κακοη- 22
θείᾳ τὸ καλὸν ἀπωσάμενοι, διηνεκῶς δὲ εἰς τὸ φαῦλον ἐκνεύο-
13 ντες, οὐ μόνον ἀπεστρέψαντο τὴν ἀτίμητον πολιτείαν, ἀλλὰ 23
καὶ βδελύσσονται λόγῳ τε καὶ σιγῇ τοὺς ἐν αὐτοῖς ὀλίγους
πρὸς ἡμᾶς γνησίως διακειμένους, παρ' ἕκαστα ὑφορώμενοι
διὰ τῆς δυσκλεεστάτης ἐμβιώσεως διὰ τάχους ἡμᾶς καταστρέ-
14 ψαι τὰ κατορθώματα. διὸ καὶ τεκμηρίοις καλῶς πεπεισμένοι, 24
τούτους κατὰ πάντα δυσνοεῖν ἡμῖν τρόπον καὶ προνοούμενοι
μήποτε αἰφνιδίου μετέπειτα ταραχῆς ἐνστάσης ἡμῖν τοὺς δυσ-
σεβεῖς τούτους κατὰ νώτου προδότας καὶ βαρβάρους ἔχωμεν
15 πολεμίους προστετάχαμεν ἅμα τῷ προσπεσεῖν τὴν ἐπιστολὴν 25
τήνδε αὐθωρεὶ τοὺς ἐννεμομένους σὺν γυναιξὶ καὶ τέκνοις με-
τὰ ὕβρεων καὶ σκυλμῶν ἀποστεῖλαι πρὸς ἡμᾶς ἐν δεσμοῖς σι-
δηροῖς πάντοθεν κατακεκλεισμένους, εἰς ἀνήκεστον καὶ δυ-
16 σκλεῆ πρέποντα δυσμενέσι φόνον. τούτων γὰρ ὁμοῦ κολασθέ- 26
ντων, διειλήφαμεν εἰς τὸν ἐπίλοιπον χρόνον τελείως ἡμῖν τὰ
πράγματα ἐν εὐσταθείᾳ καὶ βελτίστῃ διαθέσει κατασταθήσε-
17 σθαι. ὃς δ' ἂν σκεπάσῃ τινὰ τῶν Ἰουδαίων ἀπὸ γηραιοῦ μέχρι 27
νηπίου μέχρι τῶν ὑπομαστιδίων, αἰσχίσταις βασάνοις ἀποτυ-
18 μπανισθήσεται πανοικί. μηνύειν δὲ τὸν βουλόμενον, ἐφ' ᾧ τὴν 28
οὐσίαν τοῦ ἐμπίπτοντος ὑπὸ τὴν εὔθυναν λήψεται καὶ ἐκ τοῦ
βασιλικοῦ ἀργυρίου δραχμὰς δισχιλίας καὶ τῆς ἐλευθερίας τεύ-
19 ξεται καὶ στεφανωθήσεται. πᾶς δὲ τόπος, οὗ ἐὰν φωραθῇ τὸ 29
σύνολον σκεπαζόμενος Ἰουδαῖος, ἄβατος καὶ πυριφλεγὴς γι-
νέσθω καὶ πάσῃ θνητῇ φύσει κατὰ πάντα ἄχρηστος φανήσεται
εἰς τὸν ἀεὶ χρόνον».
20 Καὶ ὁ μὲν τῆς ἐπιστολῆς τύπος οὕτως ἐγέγραπτο. 30

9 1 Πάντῃ δέ, ὅπου προσέπιπτε τοῦτο τὸ πρόσταγμα, δημοτε- 1 **4**
λὴς συνίστατο τοῖς ἔθνεσιν εὐωχία μετὰ ἀλαλαγμῶν καὶ χα-
ρᾶς, ὡς ἂν τῆς προκατεσκιρωμένης αὐτοῖς πάλαι κατὰ διά-
2 νοιαν μετὰ παρρησίας συνεκφαινομένης ἀπεχθείας. τοῖς δὲ 2
Ἰουδαίοις ἀνήκεστον πένθος ἦν καὶ πανόδυρτος μετὰ δακρύ-
ων βοή, στεναγμοῖς πεπυρωμένης τῆς αὐτῶν πάντοθεν καρ-
δίας, ὀλοφυρομένων τὴν ἀπροσδόκητον ἐξαίφνης ἐπικριθεῖσαν
3 αὐτοῖς ὀλεθρίαν. τίς νομὸς ἢ πόλις ἢ τίς τὸ σύνολον οἰκητὸς 3
τόπος ἢ τίνες ἀγυιαὶ κοπετοῦ καὶ γόων ἐπ' αὐτοῖς οὐκ ἐνεπι-
4 μπλῶντο; οὕτω γὰρ μετὰ πικρίας ἀνοίκτου ψυχῆς ὑπὸ τῶν κα- 4
τὰ πόλιν στρατηγῶν ὁμοθυμαδὸν ἐξαπεστέλλοντο, ὥστε ἐπὶ

ταῖς ἐξάλλοις τιμωρίαις καί τινας τῶν ἐχθρῶν λαμβάνοντας πρὸ τῶν ὀφθαλμῶν τὸν κοινὸν ἔλεον καὶ λογιζομένους τὴν ἄδηλον τοῦ βίου καταστροφήν, δακρύειν αὐτῶν τὴν τρισάθλιον
5 ἐξαποστολήν. ἤγετο γὰρ γεραιῶν πλῆθος πολιᾷ πεπυκασμέ- 5
νων, τὴν ἐκ τοῦ γήρως νωθρότητα ποδῶν ἐπίκυφον ἀνατροπῆς ὁρμῇ βιαίας ἁπάσης αἰδοῦς ἄνευ πρὸς ὀξεῖαν καταχρωμέ-
6 νων πορείαν. αἱ δὲ ἄρτι πρὸς βίου κοινωνίαν γαμικὸν ὑπεληλυθυῖαι παστὸν νεάνιδες, ἀντὶ τέρψεως μεταλαβοῦσαι γόους καὶ κόνει τὴν μυροβραχῆ πεφυρμέναι κόμην, ἀκαλύπτως δὲ ἀγόμεναι, θρῆνον ἀνθ' ὑμεναίων ὁμοθυμαδὸν ἐξῆρχον ὡς ἐσπα-
7 ραγμέναι σκυλμοῖς ἀλλοεθνέσι· δέσμιαι δὲ δημόσιαι μέχρι τῆς 7
8 εἰς τὸ πλοῖον ἐμβολῆς εἵλκοντο μετὰ βίας. οἵ τε τούτων συζυ- 8
γεῖς βρόχοις ἀντὶ στεφέων τοὺς αὐχένας περιπεπλεγμένοι μετὰ ἀκμαίας καὶ νεανικῆς ἡλικίας, ἀντὶ εὐωχίας καὶ νεωτερικῆς ῥαθυμίας τὰς ἐπιλοίπους τῶν γάμων ἡμέρας ἐν θρήνοις διῆ-
9 γον, παρὰ πόδας ἤδη τὸν ᾅδην ὁρῶντες κείμενον. κατήχθησαν 9
δὲ θηρίων τρόπον ἀγόμενοι σιδηροδέσμοις ἀνάγκαις, οἱ μὲν τοῖς ζυγοῖς τῶν πλοίων προσηλωμένοι τοὺς τραχήλους, οἱ δὲ
10 τοὺς πόδας ἀρρήκτοις κατησφαλισμένοι πέδαις, ἔτι καὶ τῷ κα- 10
θύπερθε πυκνῷ σανιδώματι διακειμένῳ, ὅπως πάντοθεν ἐσκοτισμένοι τοὺς ὀφθαλμοὺς ἀγωγὴν ἐπιβούλων ἐν παντὶ τῷ κα-
11 τάπλῳ λαμβάνωσι. τούτων δὲ ἐπὶ τὴν λεγομένην Σχεδίαν ἀ- 11
χθέντων καὶ τοῦ παράπλου περανθέντος, καθὼς ἦν δεδογματισμένον τῷ βασιλεῖ, προσέταξεν αὐτοὺς ἐν τῷ πρὸ τῆς πόλεως ἱπποδρόμῳ παρεμβαλεῖν ἁπλέτῳ καθεστῶτι περιμέτρῳ καὶ πρὸς παραδειγματισμὸν ἄγαν εὐκαιροτάτῳ καθεστῶτι πᾶσι τοῖς καταπορευομένοις εἰς τὴν πόλιν καὶ τοῖς ἐκ τούτων εἰς τὴν χώραν στελλομένοις πρὸς ἐκδημίαν πρὸς τὸ μηδὲ ταῖς δυνάμεσιν αὐτοῦ κοινωνεῖν, μηδὲ τὸ σύνολον καταξιῶσαι περι-
12 βόλων. ὡς δὲ τοῦτο ἐγενήθη, ἀκούσας τοὺς ἐκ τῆς πόλεως ὁ- 12
μοεθνεῖς κρυβῇ ἐκπορευομένους πυκνότερον ἀποδύρεσθαι τὴν
13 ἀκλεᾶ τῶν ἀδελφῶν ταλαιπωρίαν, διοργισθεὶς προσέταξε καὶ 13
τούτοις ὁμοῦ τὸν αὐτὸν τρόπον ἐπιμελῶς ὡς ἐκείνοις ποιῆσαι,
14 μὴ λιπομένοις κατὰ μηδένα τρόπον τῆς ἐκείνων τιμωρίας, ἀπο- 14
γραφῆναι δὲ πᾶν τὸ φῦλον ἐξ ὀνόματος, οὐκ εἰς τὴν ἔμπροσθε βραχεῖ προδεδηλωμένην τῶν ἔργων κατάπονον λατρείαν, στρεβλωθέντας δὲ ταῖς παρηγγελμέναις αἰκίαις τὸ τέλος ἀφα-
15 νίσαι μιᾶς ὑπὸ καιρὸν ἡμέρας. ἐγίνετο μὲν οὖν ἡ τούτων ἀπο- 15
γραφὴ μετὰ πικρᾶς σπουδῆς καὶ φιλοτίμου προσεδρείας ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, ἀνήνυτον λαμβάνουσα τὸ τέλος ἐπὶ ἡμέρας τεσσαράκοντα.

10 1 Μεγάλως δὲ καὶ διηνεκῶς ὁ βασιλεὺς χαρᾷ πεπληρωμέ- 16
νος, συμπόσια ἐπὶ πάντων τῶν εἰδώλων συνιστάμενος, πεπλανημένῃ πόρρω τῆς ἀληθείας φρενὶ καὶ βεβήλῳ στόματι, τὰ μὲν κωφὰ καὶ μὴ δυνάμενα αὐτοῖς λαλεῖν ἢ ἀρήγειν ἐπαινῶν, εἰς

2 δὲ τὸν μέγιστον θεὸν τὰ μὴ καθήκοντα λαλῶν. μετὰ δὲ τὸ προ- 17
εἰρημένον τοῦ χρόνου διάστημα προσηνέγκαντο οἱ γραμματεῖς
τῷ βασιλεῖ μηκέτι ἰσχύειν τὴν τῶν Ἰουδαίων ἀπογραφὴν ποιεῖ-
3 σθαι διὰ τὴν ἀμέτρητον αὐτῶν πληθύν, καίπερ ὄντων κατὰ τὴν 18
χώραν ἔτι τῶν πλειόνων, τῶν μὲν κατὰ τὰς οἰκίας ἔτι συνε-
στηκότων, τῶν δὲ καὶ κατὰ τόπον, ὡς ἀδυνάτου καθεστῶτος
4 πᾶσι τοῖς ἐπ' Αἴγυπτον στρατηγοῖς. ἀπειλήσαντος δὲ αὐτοῖς 19
σκληρότερον ὡς δεδωροκοπημένοις εἰς μηχανὴν τῆς ἐκφυγῆς,
5 συνέβη σαφῶς αὐτὸν περὶ τούτου πεισθῆναι, λεγόντων μετὰ 20
ἀποδείξεως καὶ τὴν χαρτηρίαν ἤδη καὶ τοὺς γραφικοὺς καλά-
6 μους, ἐν οἷς ἐχρῶντο, ἐκλελοιπέναι. τοῦτο δὲ ἦν ἐνέργεια τῆς 21
τοῦ βοηθοῦντος τοῖς Ἰουδαίοις ἐξ οὐρανοῦ προνοίας ἀνικήτου. **5**

11 1 Τότε προσκαλεσάμενος Ἕρμωνα τὸν πρὸς τῇ τῶν ἐλεφά- 1
ντων ἐπιμελείᾳ, βαρείᾳ μεμεστωμένος ὀργῇ καὶ χόλῳ κατὰ
2 πᾶν ἀμετάθετος, ἐκέλευσεν ὑπὸ τὴν ἐπερχομένην ἡμέραν δαψι- 2
λέσι δράκεσι λιβανωτοῦ καὶ οἴνῳ πλείονι ἀκράτῳ ἅπαντας
τοὺς ἐλέφαντας ποτίσαι, ὄντας τὸν ἀριθμὸν πεντακοσίους, καὶ
ἀγριωθέντας τῇ τοῦ πόματος ἀφθόνῳ χορηγίᾳ εἰσαγαγεῖν
3 πρὸς συνάντησιν τοῦ μόρου τῶν Ἰουδαίων. ὁ μὲν τάδε προ- 3
στάσσων ἐτρέπετο πρὸς τὴν εὐωχίαν, συναγαγὼν τοὺς μάλι-
στα τῶν φίλων καὶ τῆς στρατιᾶς ἀπεχθῶς ἔχοντας πρὸς τοὺς
4 Ἰουδαίους· ὁ δὲ ἐλεφαντάρχης τὸ προσταγὲν ἀραρότως Ἕρ- 4
5 μων συνετέλει. οἵ τε πρὸς τούτοις λειτουργοὶ κατὰ τὴν ἑσπέ- 5
ραν ἐξιόντες τὰς τῶν ταλαιπώρων ἐδέσμευον χεῖρας τήν τε
λοιπὴν ἐμηχανῶντο περὶ αὐτοὺς ἀσφάλειαν, ἔννυχον δόξαντες
6 ὁμοῦ λήψεσθαι τὸ φῦλον πέρας τῆς ὀλεθρίας. οἱ δὲ πάσης σκέ- 6
πης ἔρημοι δοκοῦντες εἶναι τοῖς ἔθνεσιν Ἰουδαῖοι διὰ τὴν πά-
7 ντοθεν περιέχουσαν αὐτοὺς μετὰ δεσμῶν ἀνάγκην, τὸν παντο- 7
κράτορα Κύριον καὶ πάσης δυνάμεως δυναστεύοντα, ἐλεήμο-
να θεὸν αὐτῶν καὶ πατέρα, δυσκαταπαύστῳ βοῇ πάντες μετὰ
8 δακρύων ἐπεκαλέσαντο, δεόμενοι τὴν κατ' αὐτῶν μεταστρέψαι 8
βουλὴν ἀνοσίαν καὶ ῥύσασθαι αὐτοὺς μετὰ μεγαλομεροῦς ἐπι-
9 φανείας ἐκ τοῦ παρὰ πόδας ἐν ἑτοίμῳ μόρου. τούτων μὲν οὖν 9
ἐκτενῶς ἡ λιτανεία ἀνέβαινεν εἰς οὐρανόν.

12 1 Ὁ δὲ Ἕρμων τοὺς ἀνηλεεῖς ἐλέφαντας ποτίσας πεπληρω- 10
μένους τῆς τοῦ οἴνου πολλῆς χορηγίας καὶ τοῦ λιβάνου μεμε-
στωμένους, ὄρθριος ἐπὶ τὴν αὐλὴν παρῆν περὶ τούτων προ-
2 σαγγεῖλαι τῷ βασιλεῖ. τὸ δὲ ἀπ' αἰῶνος χρόνου κτίσμα καλὸν 11
ἐν νυκτὶ καὶ ἡμέρᾳ ἐπιβαλλόμενον ὑπὸ τοῦ χαριζομένου πᾶσιν,
3 οἷς ἂν αὐτὸς θελήσῃ, ὕπνου μέρος ἀπέστειλε πρὸς τὸν βασι- 12
λέα, καὶ ἡδίστῳ καὶ βαθεῖ κατεσχέθη τῇ ἐνεργείᾳ τοῦ Δεσπό-
του, τῆς ἀθέσμου μὲν προθέσεως πολὺ διεσφαλμένος, τοῦ δὲ
4 ἀμεταθέτου λογισμοῦ μεγάλως διεψευσμένος. οἱ δὲ Ἰουδαῖοι 13
τὴν προσημανθεῖσαν ὥραν διαφυγόντες, τὸν ἅγιον ᾔνουν θεὸν

αὐτῶν καὶ πάλιν ἠξίουν τὸ εὐκατάλλακτον δεῖξαι τῆς μεγαλο-
5 σθενοῦς αὐτοῦ χειρὸς κράτος ἔθνεσιν ὑπερηφάνοις. μεσούσης 14
δὲ ἤδη τῆς δεκάτης ὥρας σχεδόν, ὁ πρὸς ταῖς κλήσεσι τεταγ-
6 μένος, ἀθρόους τοὺς κλητοὺς ἰδών, ἔνυξε προσελθὼν τὸν βα- 15
σιλέα. καὶ μόλις διεγείρας ὑπέδειξε τὸν τῆς συμποσίας καιρὸν
7 ἤδη παρατρέχοντα, τὸν περὶ τούτων λόγον ποιούμενος. ὃν ὁ 16
βασιλεὺς λογισάμενος καὶ τραπεὶς εἰς τὸν πότον, ἐκέλευσε
τοὺς παραγεγονότας εἰς τὴν συμποσίαν ἄντικρυς ἀνακλιθῆναι
8 αὐτοῦ. οὗ καὶ γενομένου, παρῆνει εἰς εὐωχίαν δόντας ἑαυ- 17
τούς, τὸ παρὸν τῆς συμποσίας ἐπὶ πολὺ γεραιρομένους εἰς εὐ-
9 φροσύνην καταθέσθαι μέρος. ἐπὶ πλεῖον δὲ προβαινούσης τῆς 18
ὁμιλίας, τὸν Ἕρμωνα μεταπεμψάμενος ὁ βασιλεύς, μετὰ πι-
κρᾶς ἀπειλῆς ἐπυνθάνετο, τίνος ἕνεκεν αἰτίας εἰάθησαν οἱ Ἰου-
10 δαῖοι τὴν παροῦσαν ἡμέραν περιβεβιωκότες; τοῦ δὲ ὑποδείξα- 19
ντος ἐκ νυκτὸς τὸ προσταγὲν ἐπὶ τέλος ἀγηοχέναι καὶ τῶν φί-
11 λων αὐτῷ προσμαρτυρησάντων, τὴν ὠμότητα χείρονα Φαλά- 20
ριδος ἐσχηκὼς ἔφη τῷ τῆς σήμερον ὕπνῳ χάριν ἔχειν αὐτούς· ἀνυπερθέτως δὲ εἰς τὴν ἐπιτέλλουσαν ἡμέραν κατὰ τὸ ὅμοιον ἑτοίμασον τοὺς ἐλέφαντας ἐπὶ τὸν τῶν ἀθεμίτων Ἰουδαίων ἀ-
12 φανισμόν. εἰπόντος δὲ τοῦ βασιλέως, ἀσμένως πάντες μετὰ 21
χαρᾶς οἱ παρόντες ὁμοῦ συναινέσαντες, εἰς τὸν ἴδιον οἶκον ἕ-
13 καστος ἀνέλυσε. καὶ οὐχ οὕτως εἰς ὕπνον κατεχρήσαντο τὸν 22
χρόνον τῆς νυκτός, ὡς εἰς τὸ παντοίους μηχανᾶσθαι τοῖς ταλαιπώροις δοκοῦσιν ἐμπαιγμούς.

13 1 Ἄρτι δὲ ἀλεκτρυὼν ἐκεκράγει ὄρθριος, καὶ τὰ θηρία κα- 23
2 θωπλικὼς ὁ Ἕρμων ἐν τῷ μεγάλῳ περιστύλῳ διεκίνει. τὰ δὲ 24
κατὰ τὴν πόλιν πλήθη συνήθροιστο πρὸς τὴν οἰκτροτάτην θε-
3 ωρίαν, προσδοκῶντα τὴν πρωΐαν μετὰ σπουδῆς. οἱ δὲ Ἰου- 25
δαῖοι κατὰ τὸν ἀμερῆ ψυχουλκούμενοι χρόνον, πολυδάκρυον ἱκετείαν ἐν μέλεσι γοεροῖς τείνοντες τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐδέοντο τοῦ μεγίστου θεοῦ πάλιν αὐτοῖς βοηθῆσαι συντό-
4 μως. οὔπω δὲ ἡλίου βολαὶ κατεσπείροντο, καὶ τοῦ βασιλέως 26
τοὺς φίλους ἐκδεχομένου, ὁ Ἕρμων παραστὰς ἐκάλει πρὸς τὴν ἔξοδον, ὑποδεικνύων τὸ πρόθυμον τοῦ βασιλέως ἐν ἑτοί-
5 μῳ κεῖσθαι. τοῦ δὲ ἀποδεξαμένου καὶ καταπλαγέντος ἐπὶ τῇ 27
παρανόμῳ ἐξόδῳ, κατὰ πᾶν ἀγνωσίᾳ κεκρατημένος ἐπυνθάνετο, τί τὸ πρᾶγμα, ἐφ' οὗ τοῦτο αὐτῷ μετὰ σπουδῆς τετέλεσται·
6 τοῦτο δὲ ἦν ἡ ἐνέργεια τοῦ πάντα δεσποτεύοντος θεοῦ, τῶν 28
πρὶν αὐτῷ μεμηχανημένων λήθην κατὰ διάνοιαν ἐντεθεικότος.
7 ὁ δὲ Ἕρμων ὑπεδείκνυε καὶ πάντες οἱ φίλοι τὰ θηρία καὶ τὰς 29
δυνάμεις ἡτοιμάσθαι, βασιλεῦ, κατὰ τὴν σὴν ἐκτενῆ πρόθεσιν.
8 ὁ δὲ ἐπὶ τοῖς ῥηθεῖσι πληρωθεὶς βαθεῖ χόλῳ διὰ τὸ περὶ τού- 30
των προνοίᾳ θεοῦ διεσκεδάσθαι πᾶν αὐτοῦ τὸ νόημα, ἐνατενί-
9 σας μετὰ ἀπειλῆς εἶπεν· Εἴ σοι γονεῖς παρῆσαν ἢ παίδων γο- 31
ναί, τήνδε θηρσὶν ἀγρίοις ἐσκεύασα ἂν δαψιλῆ θοῖναν ἀντὶ τῶν

ἀνεγκλήτων ἐμοὶ καὶ προγόνοις ἐμοῖς ἀποδεδειγμένων ὁλο-
10 σχερῆ βεβαίαν πίστιν ἐξόχως Ἰουδαίων. καίπερ εἰ μὴ διὰ τὴν 32
τῆς συντροφίας στοργὴν καὶ τῆς χρείας, τὸ ζῆν ἀντὶ τούτων ἐ-
11 στερήθης. οὕτως ὁ Ἕρμων ἀπροσδόκητον καὶ ἐπικίνδυνον ὑ- 33
πήνεγκεν ἀπειλὴν καὶ τῇ ὁράσει καὶ τῷ προσώπῳ συνεστάλη.
12 ὁ καθεὶς δὲ τῶν φίλων σκυθρωπῶς ὑπεκρέων, τοὺς συνηθροι- 34
13 σμένους ἀπέλυσαν ἕκαστον ἐπὶ τὴν ἰδίαν ἀσχολίαν. οἵ τε Ἰου- 35
δαῖοι τὰ παρὰ τοῦ βασιλέως ἀκούσαντες, τὸν ἐπιφανῆ θεὸν καὶ
βασιλέα τῶν βασιλέων ᾔνουν καὶ τῆσδε τῆς βοηθείας αὐτοῦ
τετευχότες.

14 1 Κατὰ δὲ τοὺς αὐτοὺς νόμους ὁ βασιλεὺς συστησάμενος 36
2 πάλιν τὸ συμπόσιον εἰς εὐφροσύνην τραπῆναι παρεκάλει. τὸν 37
δὲ Ἕρμωνα προσκαλεσάμενος μετὰ ἀπειλῆς εἶπε· Ποσάκις σοι
3 δεῖ περὶ τούτων αὐτῶν προστάττειν, ἀθλιώτατε; τοὺς ἐλέφα- 38
ντας ἔτι καὶ νῦν καθόπλισον εἰς τὴν αὔριον ἐπὶ τὸν τῶν Ἰου-
4 δαίων ἀφανισμόν. οἱ δὲ συνανακείμενοι συγγενεῖς τὴν ἄστα- 39
5 τον διάνοιαν αὐτοῦ θαυμάζοντες, προεφέροντο τάδε· Βασιλεῦ, 40
μέχρι τίνος ὡς ἀλόγους ἡμᾶς διαπειράζεις, προστάσσων ἤδη
τρίτον αὐτοὺς ἀφανίσαι καὶ πάλιν ἐπὶ τῶν πραγμάτων ἐκ μετα-
6 βολῆς ἀναλύων τὰ σοὶ δεδογμένα; ὧν χάριν ἡ πόλις διὰ τὴν 41
προσδοκίαν ὀχλεῖ καὶ πληθύουσα συστροφαῖς, ἤδη καὶ κινδυ-
7 νεύει πολλάκις διαρπασθῆναι. ὅθεν ὁ κατὰ πάντα Φάλαρις βα- 42
σιλεὺς ἐμπληθυνθεὶς ἀλογιστίας καὶ τὰς γινομένας πρὸς ἐπι-
σκοπὴν τῶν Ἰουδαίων ἐν αὐτῷ μεταβολὰς τῆς ψυχῆς παρ' οὐ-
δὲν ἡγούμενος, ἀτελέστατον ἐβεβαίωσεν ὅρκον, ὁρισάμενος
τούτους μὲν ἀνυπερθέτως πέμψειν εἰς ᾅδην ἐν γόνασι καὶ ποσὶ
8 θηρίων ᾑκισμένους, ἐπιστρατεύσαντα δὲ ἐπὶ τὴν Ἰουδαίαν ἰσό- 43
πεδον πυρὶ καὶ δόρατι θήσεσθαι διὰ τάχους καὶ τὸν ἅβατον αὐ-
τῶν ἡμῖν ναὸν πυρὶ πρηνέα ἐν τάχει τῶν συντελούντων ἐκεῖ
9 θυσίας ἔρημον εἰς τὸν ἅπαντα χρόνον καταστήσειν. τότε περι- 44
χαρεῖς ἀναλύσαντες οἱ φίλοι καὶ συγγενεῖς μετὰ πίστεως διέ-
τασσον τὰς δυνάμεις ἐπὶ τοὺς εὐκαιροτάτους τόπους τῆς πό-
10 λεως πρὸς τήρησιν. ὁ δὲ ἐλεφαντάρχης τὰ θηρία σχεδὸν εἰπεῖν 45
εἰς κατάστημα μανιῶδες ἀγηοχώς, εὐωδεστάτοις πόμασιν οἴ-
νου λελιβανωμένου φοβεραῖς κατεσκευασμένα σκευαῖς, περὶ
11 τὴν ἕω, τῆς πόλεως ἤδη πλήθεσιν ἀναριθμήτοις κατὰ τοῦ ἱπ- 46
ποδρόμου καταμεμεστωμένης, εἰσελθὼν εἰς τὴν αὐλὴν ἐπὶ τὸ
12 προκείμενον ὤτρυνε τὸν βασιλέα. ὁ δὲ ὀργῇ βαρείᾳ γεμίσας 47
δυσσεβῆ φρένα παντὶ τῷ βάρει σὺν τοῖς θηρίοις ἐξώρμησε,
βουλόμενος ἀτρώτῳ καρδίᾳ καὶ κόραις ὀφθαλμῶν θεάσασθαι
τὴν ἐπίπονον καὶ ταλαίπωρον τῶν προσεσημασμένων κατα-
13 στροφήν. ὡς δὲ τῶν ἐλεφάντων ἐξιόντων περὶ πύλην καὶ τῆς 48
συνεπομένης ἐνόπλου δυνάμεως τῆς τε τοῦ πλήθους πορείας
κονιορτὸν ἰδόντες, καὶ βαρυηχῆ θόρυβον ἀκούσαντες οἱ Ἰου-
14 δαῖοι, ὑστάτην βίου ῥοπὴν αὐτοῖς ἐκείνην δόξαντες εἶναι τὸ 49

τέλος τῆς ἀθλιωτάτης προσδοκίας, εἰς οἶκτον καὶ γόους τρα-
πέντες κατεφίλουν ἀλλήλους περιπλεκόμενοι τοῖς συγγενέσιν
ἐπὶ τοὺς τραχήλους ἐπιπίπτοντες, γονεῖς παισὶ καὶ μητέρες νε-
άνισιν, ἕτεραι δὲ νεογνὰ πρὸς μαστοὺς ἔχουσαι βρέφη τελευ-
15 ταῖον ἕλκοντα γάλα. οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς ἔμπροσθεν αὐτῶν 50
γεγενημένας ἀντιλήψεις ἐξ οὐρανοῦ συνιδόντες, πρηνεῖς ὁμο-
θυμαδὸν ῥίψαντες ἑαυτοὺς καὶ τὰ νήπια χωρίσαντες τῶν μα-
16 στῶν, ἀνεβόησαν φωνῇ μεγάλῃ σφόδρα, τὸν τῆς ἁπάσης δυνά- 51
μεως δυνάστην ἱκετεύοντες, οἰκτῖραι μετ' ἐπιφανείας αὐτοὺς
ἤδη πρὸς πύλαις ᾅδου καθεστῶτας.

15 1 Ἐλεάζαρος δέ τις ἀνὴρ ἐπίσημος τῶν ἀπὸ τῆς χώρας ἱερέ- 1 **6**
ων, ἐν πρεσβείῳ τὴν ἡλικίαν ἤδη λελογχὼς καὶ πάσῃ τῇ κατὰ
τὸν βίον ἀρετῇ κεκοσμημένος, τοὺς περὶ αὐτὸν καταστείλας
πρεσβυτέρους ἐπικαλεῖσθαι τὸν ἅγιον θεὸν προσηύξατο τάδε·
2 «Βασιλεῦ μεγαλοκράτορ, ὕψιστε, παντοκράτωρ θεὲ τὴν πᾶσαν 2
3 διακυβερνῶν ἐν οἰκτιρμοῖς κτίσιν, ἔπιδε ἐπὶ Ἀβραὰμ σπέρμα, 3
ἐπὶ ἡγιασμένου τέκνα Ἰακώβ, μερίδος ἡγιασμένης σου λαὸν
4 ἐν ξένῃ γῇ ξένον ἀδίκως ἀπολλύμενον, πάτερ. σὺ φαραὼ πλη- 4
θύνοντα ἅρμασι, τὸν πρὶν Αἰγύπτου ταύτης δυνάστην, ἐπαρθέ-
ντα ἀνόμῳ θράσει καὶ γλώσσῃ μεγαλορρήμονι, σὺν τῇ ὑπερη-
φάνῳ στρατιᾷ ποντοβρόχους ἀπώλεσας, φέγγος ἐπιφάνας ἐλέ-
5 ους Ἰσραὴλ γένει. σὺ τὸν ἀναριθμήτοις δυνάμεσι γαυρωθέντα 5
Σενναχηρίμ, βαρὺν Ἀσσυρίων βασιλέα, δόρατι τὴν πᾶσαν ὑ-
ποχείριον ἤδη λαβόντα γῆν καὶ μετεωρισθέντα ἐπὶ τὴν ἁγίαν
σου πόλιν, βαρέα λαλοῦντα κόμπῳ καὶ θράσει σύ, Δέσποτα, ἔ-
6 θραυσας, ἔκδηλον δεικνὺς ἔθνεσι πολλοῖς τὸ σὸν κράτος. σὺ 6
τοὺς κατὰ τὴν Βαβυλωνίαν τρεῖς ἑταίρους, πυρὶ τὴν ψυχὴν αὐ-
θαιρέτως δεδωκότας εἰς τὸ μὴ λατρεῦσαι τοῖς κενοῖς, διάπυ-
ρον δροσίσας κάμινον ἐρρύσω μέχρι τριχὸς ἀπημάντους, φλό-
7 γα πᾶσιν ἐπιπέμψας τοῖς ὑπεναντίοις. σὺ τὸν διαβολαῖς φθό- 7
νου λέουσι κατὰ γῆς ῥιφέντα θηρσὶ βορὰν Δανιὴλ εἰς φῶς ἀνή-
8 γαγες ἀσινῆ, τόν τε βυθοτρεφοῦς ἐν γαστρὶ κήτους Ἰωνᾶν τη- 8
κόμενον ἀφειδῶς ἀπήμαντον πᾶσιν οἰκείοις ἀνέδειξας, πάτερ.
9 καὶ νῦν μίσυβρι, πολυέλεε, τῶν ὅλων σκεπαστά, τὸ τάχος ἐπι- 9
φάνηθι τοῖς ἀπὸ Ἰσραὴλ γένους, ὑπὸ δὲ ἐβδελυγμένων ἀνό-
10 μων ἐθνῶν ὑβριζομένοις. εἰ δὲ ἀσεβείαις κατὰ τὴν ἀποικίαν ὁ 10
βίος ἡμῶν ἐνέσχηται, ῥυσάμενος ἡμᾶς ἀπὸ ἐχθρῶν χειρός, ὡς
11 προαιρῇ, Δέσποτα, ἀπόλεσον, ἡμᾶς μόρῳ. μὴ τοῖς ματαίοις οἱ 11
ματαιόφρονες εὐλογησάτωσαν ἐπὶ τῇ τῶν ἠγαπημένων σου ἀ-
12 πωλείᾳ λέγοντες· Οὐδὲ ὁ θεὸς αὐτῶν ἐρρύσατο αὐτούς. σὺ δὲ 12
ὁ πᾶσαν ἀλκὴν καὶ δυναστείαν ἔχων ἅπασαν, αἰώνιε, νῦν ἔπι-
δε· ἐλέησον ἡμᾶς τοὺς καθ' ὕβριν ἀνόμων ἀλόγιστον ἐκ τοῦ
13 ζῆν μεθιστανομένους ἐν ἐπιβούλων τρόπῳ. πτηξάτω δὲ ἔθνη 13
σὴν δύναμιν ἀνίκητον σήμερον, ἔντιμε, δύναμιν ἔχων ἐπὶ σω-
14 τηρίᾳ Ἰακὼβ γένους. ἱκετεύει σε τὸ πᾶν πλῆθος τῶν νηπίων 14

15 καὶ οἱ τούτων γονεῖς μετὰ δακρύων. δειχθήτω πᾶσιν ἔθνεσιν, 15
ὅτι μεθ' ἡμῶν εἶ, Κύριε, καὶ οὐκ ἀπέστρεψας τὸ πρόσωπόν
σου ἀφ' ἡμῶν, ἀλλὰ καθὼς εἶπας ὅτι οὐδ' ἐν τῇ γῇ τῶν ἐ-
χθρῶν αὐτῶν ὄντων ὑπερεῖδες αὐτούς, οὕτως ἐπιτέλεσον, Κύ-
ριε».

16 1 Τοῦ δὲ Ἐλεαζάρου λήγοντος ἄρτι τῆς προσευχῆς, ὁ βασι- 16
λεὺς σὺν τοῖς θηρίοις καὶ παντὶ τῷ τῆς δυνάμεως φρυάγματι
2 κατὰ τὸν ἱππόδρομον παρῆγε. καὶ θεωρήσαντες οἱ Ἰουδαῖοι 17
μέγα εἰς οὐρανὸν ἀνέκραξαν, ὥστε καὶ τοὺς παρακειμένους
αὐλῶνας συνηχήσαντας ἀκατάσχετον οἰμωγὴν ποιῆσαι παντὶ
3 τῷ στρατοπέδῳ. τότε ὁ μεγαλόδοξος παντοκράτωρ καὶ ἀληθι- 18
νὸς θεός, ἐπιφάνας τὸ ἅγιον αὐτοῦ πρόσωπον, ἠνέῳξε τὰς οὐ-
ρανίους πύλας, ἐξ ὧν δεδοξασμένοι δύο φοβεροειδεῖς ἄγγελοι
4 κατέβησαν φανεροὶ πᾶσι, πλὴν τοῖς Ἰουδαίοις, καὶ ἀντέστησαν 19
καὶ τὴν δύναμιν τῶν ὑπεναντίων ἐπλήρωσαν ταραχῆς καὶ δει-
5 λίας καὶ ἀκινήτοις ἔδησαν πέδαις. καὶ ὑπόφρικον καὶ τὸ τοῦ 20
βασιλέως σῶμα ἐγενήθη καὶ λήθη τὸ θράσος αὐτοῦ τὸ βαρύθυ-
6 μον ἔλαβε. καὶ ἀπέστρεψαν τὰ θηρία ἐπὶ τὰς συνεπομένας ἐνό- 21
7 πλους δυνάμεις καὶ κατεπάτουν αὐτὰς καὶ ὠλόθρευον. καὶ με- 22
τεστράφη τοῦ βασιλέως ἡ ὀργὴ εἰς οἶκτον καὶ δάκρυα ὑπὲρ
8 τῶν ἔμπροσθεν αὐτῷ μεμηχανευμένων. ἀκούσας γὰρ τῆς 23
κραυγῆς καὶ συνιδὼν πρηνεῖς ἅπαντας εἰς τὴν ἀπώλειαν, δα-
9 κρύσας μετὰ ὀργῆς τοῖς φίλοις διηπειλεῖτο λέγων· Παραβασι- 24
λεύετε καὶ τυράννους ὑπερβεβήκατε ὠμότητι καὶ ἐμὲ αὐτὸν
τὸν ὑμῶν εὐεργέτην ἐπιχειρεῖτε τῆς ἀρχῆς ἤδη καὶ τοῦ πνεύ-
ματος μεθιστᾶν, λάθρα μηχανώμενοι τὰ μὴ συμφέροντα τῇ βα-
10 σιλείᾳ. τίς τοὺς κρατήσαντας ἡμῶν ἐν πίστει τὰ τῆς χώρας ὀ- 25
χυρώματα, τῆς οἰκίας ἀποστήσας ἕκαστον ἀλόγως ἤθροισεν
11 ἐνθάδε; τίς τοὺς ἐξ ἀρχῆς εὐνοίᾳ πρὸς ἡμᾶς κατὰ πάντα διαφέ- 26
ροντας πάντων ἐθνῶν καὶ τοὺς χειρίστους πλεονάκις ἀνθρώ-
πων ἐπιδεδεγμένους κινδύνους, οὕτως ἀθέσμοις περιέβαλεν
12 αἰκίαις; λύσατε, ἐκλύσατε ἄδικα δεσμά· εἰς τὰ ἴδια μετ' εἰρήνης 27
13 ἐξαποστείλατε, τὰ προπεπραγμένα παραιτησάμενοι. ἀπολύσα- 28
τε τοὺς υἱοὺς τοῦ παντοκράτορος ἐπουρανίου θεοῦ ζῶντος,
ὃς ἀφ' ἡμετέρων μέχρι τοῦ νῦν προγόνων ἀπαραπόδιστον με-
14 τὰ δόξης εὐστάθειαν παρέχει τοῖς ἡμετέροις πράγμασιν. ὁ μὲν 29
οὖν ταῦτα ἔλεξεν· οἱ δὲ ἐν ἀμερεῖ χρόνῳ λυθέντες τὸν ἅγιον
σωτῆρα θεὸν αὐτῶν εὐλόγουν, ἄρτι τὸν θάνατον ἐκπεφευγό-
τες.

17 1 Εἶτα ὁ βασιλεὺς εἰς τὴν πόλιν ἀπαλλαγείς, τὸν ἐπὶ τῶν 30
προσόδων προσκαλεσάμενος, ἐκέλευσεν οἴνους τε καὶ τὰ λοι-
πὰ πρὸς εὐωχίαν ἐπιτήδεια τοῖς Ἰουδαίοις χορηγεῖν ἐπὶ ἡμέ-
ρας ἑπτά, κρίνας αὐτοὺς ἐν ᾧ τόπῳ ἔδοξαν τὸν ὄλεθρον ἀνα-
2 λαμβάνειν, ἐν τούτῳ ἐν εὐφροσύνῃ πάσῃ σωτήρια ἄγειν. τότε 31
οἱ πρὶν ἐπονείδιστοι καὶ πλησίον τοῦ ᾅδου, μᾶλλον δ' ἐπ' αὐ-

τῷ βεβηκότες, ἀντὶ πικροῦ καὶ δυσαιάκτου μόρου, κώθωνα σωτήριον συστησάμενοι, τὸν εἰς πτῶσιν αὐτοῖς καὶ τάφον ἡτοιμασμένον τόπον κλισίαις κατεμέρισαν πλήρεις χαρμονῆς.
3 καταλήξαντες δὲ θρήνου πανόδυρτον μέλος ἀνέλαβον ᾠδὴν 32
πάτριον, τὸν σωτῆρα καὶ τερατοποιὸν αἰνοῦντες θεόν· οἰμωγήν τε πᾶσαν καὶ κωκυτὸν ἀπωσάμενοι χοροὺς συνίσταντο
4 εὐφροσύνης εἰρηνικῆς σημεῖον. ὡσαύτως δὲ καὶ ὁ βασιλεὺς 33
περὶ τούτων συμπόσιον βαρὺ συναγαγών, ἀδιαλείπτως εἰς οὐρανὸν ἀνθωμολογεῖτο μεγαλοπρεπῶς ἐπὶ τῇ παραδόξῳ γενη-
5 θείσῃ αὐτῷ σωτηρίᾳ. οἵ τε πρὶν εἰς ὄλεθρον καὶ οἰωνοβρώ- 34
τους αὐτοὺς ἔσεσθαι τιθέμενοι, μετὰ χαρᾶς ἀπογραψάμενοι κατεστέναξαν, αἰσχύνην ἐφ' ἑαυτοῖς περιβαλλόμενοι καὶ τὴν
6 πυρίπνουν τόλμαν ἀκλεῶς ἐσβεσμένοι. οἵ τε Ἰουδαῖοι, καθὼς 35
προειρήκαμεν, συστησάμενοι τὸν προειρημένον χορόν, μετ'
7 εὐωχίας ἐν ἐξομολογήσεσιν ἱλαραῖς καὶ ψαλμοῖς διῆγον, καὶ 36
κοινὸν ὁρισάμενοι περὶ τούτων θεσμὸν ἐπὶ πᾶσαν τὴν παροικίαν αὐτῶν εἰς γενεάς, τὰς προειρημένας ἡμέρας ἄγειν ἔστησαν εὐφροσύνους, οὐ πότου χάριν καὶ λιχνείας, σωτηρίας δὲ
8 τῆς διὰ θεὸν γενομένης αὐτοῖς. ἐνέτυχον δὲ τῷ βασιλεῖ τὴν ἀ- 37
9 πόλυσιν αὐτῶν εἰς τὰ ἴδια αἰτούμενοι. ἀπογράφονται δὲ αὐ- 38
τοὺς ἀπὸ πέμπτης καὶ εἰκάδος τοῦ Παχὼν ἕως τῆς τετάρτης τοῦ Ἐπιφί, ἐπὶ ἡμέρας τεσσαράκοντα, συνίστανται δὲ αὐτῶν τὴν ἀπώλειαν ἀπὸ πέμπτης τοῦ Ἐπιφὶ ἕως ἑβδόμης, ἡμέραις
10 τρισίν, ἐν αἷς καὶ μεγαλοδόξως ἐπιφάνας τὸ ἔλεος αὐτοῦ ὁ 39
τῶν ὅλων δυνάστης ἀπταίστους αὐτοὺς ἐρρύσατο ὁμοθυμα-
11 δόν. εὐωχοῦντο δὲ πάνθ' ὑπὸ τοῦ βασιλέως χορηγούμενοι μέ- 40
χρι τῆς τεσσαρεσκαιδεκάτης, ἐν ᾗ καὶ τὴν ἐντυχίαν ἐποιήσα-
12 ντο περὶ τῆς ἀπολύσεως αὐτῶν. συναινέσας τε αὐτοῖς ὁ βασι- 41
λεὺς ἔγραψεν αὐτοῖς τὴν ὑπογεγραμμένην ἐπιστολὴν πρὸς τοὺς κατὰ πόλιν στρατηγοὺς μεγαλοψύχως τὴν ἐκτένειαν ἔχουσαν.

18 1 «Βασιλεὺς Πτολεμαῖος ὁ Φιλοπάτωρ τοῖς κατ' Αἴγυπτον 1 **7**
στρατηγοῖς καὶ πᾶσι τοῖς τεταγμένοις ἐπὶ πραγμάτων χαίρειν
2 καὶ ἐρρῶσθαι· ἐρρώμεθα δὲ καὶ αὐτοὶ καὶ τὰ τέκνα ἡμῶν, κα- 2
τευθύναντος ἡμῖν τοῦ μεγάλου θεοῦ τὰ πράγματα καθὼς προ-
3 αιρούμεθα. τῶν φίλων τινές, κακοηθείᾳ πυκνότερον ἡμῖν πα- 3
ρακείμενοι, συνέπεισαν ἡμᾶς εἰς τὸ τοὺς ὑπὸ τὴν βασιλείαν Ἰουδαίους συναθροίσαντας τὸ σύστημα κολάσασθαι ξενιζού-
4 σαις ἀποστατῶν τιμωρίαις, προσφερόμενοι μήποτε εὐσταθή- 4
σειν τὰ πράγματα ἡμῶν, δι' ἣν ἔχουσιν οὗτοι πρὸς πάντα τὰ ἔ-
5 θνη δυσμένειαν, μέχρι ἂν συντελεσθῇ τοῦτο. οἳ καὶ δεσμίους 5
καταγαγόντες αὐτοὺς μετὰ σκυλμῶν ὡς ἀνδράποδα, μᾶλλον δὲ ὡς ἐπιβούλους, ἄνευ πάσης ἀνακρίσεως καὶ ἐξετάσεως ἐπεχείρησαν ἀνελεῖν, νόμου Σκυθῶν ἀγριωτέραν ἐμπεπορπημέ-
6 νοι ὠμότητα. ἡμεῖς δὲ ἐπὶ τούτοις σκληρότερον διαπειλησάμε- 6

νοι, καθ' ἣν ἔχομεν πρὸς ἅπαντας ἀνθρώπους ἐπιείκειαν, μόγις τὸ ζῆν αὐτοῖς χαρισάμενοι καὶ τὸν ἐπουράνιον θεὸν ἐγνωκότες ἀσφαλῶς ὑπερησπικότα τῶν Ἰουδαίων, ὡς πατέρα ὑπὲρ υἱῶν διαπαντὸς ὑπερμαχοῦντα, τήν τε τοῦ φίλου ἣν ἔχουσι πρὸς ἡμᾶς βεβαίαν καὶ τοὺς προγόνους ἡμῶν εὔνοιαν ἀναλογισάμενοι, δικαίως ἀπολελύκαμεν πάσης καθ' ὁντινοῦν αἰτίας τρόπον καὶ προστετάχαμεν ἑκάστῳ πάντας εἰς τὰ ἴδια ἐπιστρέφειν, ἐν παντὶ τόπῳ μηθενὸς αὐτοὺς τὸ σύνολον καταβλάπτοντος, μήτε ὀνειδίζειν περὶ τῶν γεγενημένων παρὰ λόγον. γινώσκετε γὰρ ὅτι κατὰ τούτων, ἐάν τι κακοτεχνήσωμεν πονηρὸν ἢ ἐπιλυπήσωμεν αὐτοὺς τὸ σύνολον, οὐκ ἄνθρωπον, ἀλλὰ τὸν πάσης δεσπόζοντα δυνάμεως θεὸν ὕψιστον ἀντικείμενον ἡμῖν ἐπ' ἐκδικήσει τῶν πραγμάτων κατὰ πᾶν ἀφεύκτως διὰ παντὸς ἕξομεν. ἔρρωσθε».

19 Λαβόντες δὲ τὴν ἐπιστολὴν ταύτην οὐκ ἐσπούδασαν εὐθέως γενέσθαι περὶ τὴν ἄφοδον, ἀλλὰ τὸν βασιλέα προσηξίωσαν τοὺς ἐκ τοῦ γένους τῶν Ἰουδαίων τὸν ἅγιον θεὸν αὐθαιρέτως παραβεβηκότας καὶ τοῦ θεοῦ τὸν νόμον τυχεῖν δι' αὐτῶν τῆς ὀφειλομένης κολάσεως, προφερόμενοι τοὺς γαστρὸς ἕνεκεν τὰ θεῖα παραβεβηκότας προστάγματα μηδέποτε εὐνοήσειν μηδὲ τοῖς τοῦ βασιλέως πράγμασιν. ὁ δὲ τἀληθὲς αὐτοὺς λέγειν παραδεξάμενος καὶ συναινέσας ἔδωκεν αὐτοῖς ἄδειαν πάντων, ὅπως τοὺς παραβεβηκότας τοῦ θεοῦ τὸν νόμον ἐξολοθρεύσωσι κατὰ πάντα τὸν ὑπὸ τὴν βασιλείαν αὐτοῦ τόπον μετὰ παρρησίας ἄνευ πάσης βασιλικῆς ἐξουσίας καὶ ἐπισκέψεως. τότε κατευφημήσαντες αὐτόν, ὡς πρέπον ἦν, οἱ τούτων ἱερεῖς καὶ πᾶν τὸ πλῆθος ἐπιφωνήσαντες τὸ Ἀλληλούια, μετὰ χαρᾶς ἀνέλυσαν. τότε τὸν ἐμπεσόντα τῶν μεμιασμένων ὁμοεθνῆ κατὰ τὴν ὁδὸν ἐκολάζοντο καὶ μετὰ παραδειγματισμῶν ἀνῄρουν. ἐκείνῃ δὲ τῇ ἡμέρᾳ ἀνεῖλον ὑπὲρ τοὺς τριακοσίους ἄνδρας καὶ ἤγαγον εὐφροσύνην μετὰ χαρᾶς τοὺς βεβήλους χειρωσάμενοι. αὐτοὶ δὲ οἱ μέχρι θανάτου τὸν θεὸν ἐσχηκότες, παντελῆ σωτηρίας ἀπόλαυσιν εἰληφότες, ἀνέζευξαν ἐκ τῆς πόλεως παντοίοις εὐωδεστάτοις ἄνθεσι κατεστεμμένοι μετ' εὐφροσύνης καὶ βοῆς, ἐν αἴνοις καὶ παμμελέσιν ὕμνοις εὐχαριστοῦντες τῷ θεῷ τῶν πατέρων αὐτῶν αἰωνίῳ σωτῆρι τοῦ Ἰσραήλ.

20 Παραγενηθέντες δὲ εἰς Πτολεμαΐδα τὴν ὀνομαζομένην διὰ τὴν τοῦ τόπου ἰδιότητα ῥοδοφόρον, ἐν ᾗ προσέμεινεν αὐτοὺς ὁ στόλος κατὰ κοινὴν αὐτῶν βουλὴν ἡμέρας ἑπτά, ἐκεῖ ἐποίησαν πότον σωτήριον, τοῦ βασιλέως χορηγήσαντος αὐτοῖς εὐψύχως τὰ πρὸς τὴν ἄφιξιν πάντα ἑκάστῳ ἕως εἰς τὴν ἰδίαν οἰκίαν. καταχθέντες δὲ μετ' εἰρήνης ἐν ταῖς πρεπούσαις ἐξομολογήσεσιν, ὡσαύτως κἀκεῖ ἔστησαν καὶ ταύτας ἄγειν τὰς ἡμέρας ἐπὶ τὸν τῆς παροικίας αὐτῶν χρόνον εὐφροσύνους. ἃς καὶ ἀνιερώσαντες ἐν στήλῃ κατὰ τὸν συμποσίας τόπον προσευχῆς

καθιδρύσαντες, ἀνέλυσαν ἀσινεῖς, ἐλεύθεροι, ὑπερχαρεῖς, διά
τε γῆς καὶ θαλάσσης καὶ ποταμοῦ ἀνασῳζόμενοι τῇ τοῦ βασι-
5 λέως ἐπιταγῇ, ἕκαστος εἰς τὴν ἰδίαν, καὶ πλείστην ἢ ἔμπρο- 21
σθεν ἐν τοῖς ἐχθροῖς ἐξουσίαν ἐσχηκότες μετὰ δόξης καὶ φό-
βου, τὸ σύνολον ὑπὸ μηδενὸς διασεισθέντες τῶν ὑπαρχόντων.
6 καὶ πάντα τὰ ἑαυτῶν πάντες ἐκομίσαντο ἐξ ἀπογραφῆς, ὥστε 22
τοὺς ἔχοντάς τι μετὰ φόβου μεγίστου ἀποδοῦναι αὐτοῖς, τὰ με-
γαλεῖα τοῦ μεγίστου θεοῦ ποιήσαντος τελείως ἐπὶ σωτηρίᾳ αὐ-
7 τῶν. εὐλογητὸς ὁ ῥύστης Ἰσραὴλ εἰς τοὺς ἀεὶ χρόνους. Ἀμήν. 23

8. ΠΕΡΙ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΛΟΓΙΣΜΟΥ

I 1 Φιλοσοφώτατον λόγον ἐπιδείκνυσθαι μέλλων, εἰ αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ εὐσεβὴς λογισμός, συμβουλεύσαιμ' ἂν ὑμῖν ὀρθῶς, ὅπως προθύμως προσέχητε τῇ φιλοσοφίᾳ. καὶ γὰρ ἀναγκαῖος εἰς ἐπιστήμην παντὶ ὁ λόγος καὶ ἄλλως τῆς μεγίστης ἀρετῆς, λέγω δὴ φρονήσεως, περιέχει ἔπαινον. εἰ ἆρα τῶν σωφροσύνης κωλυτικῶν παθῶν ὁ λογισμὸς φαίνεται ἐπικρατεῖν, γαστριμαργίας τε καὶ ἐπιθυμίας, ἀλλὰ καὶ τῶν τῆς δικαιοσύνης ἐμποδιστικῶν παθῶν κυριεύειν ἀναφαίνεται, οἷον κακοηθείας, καὶ τῶν τῆς ἀνδρίας ἐμποδιστικῶν παθῶν, θυμοῦ τε καὶ πόνου καὶ φόβου. πῶς οὖν, ἴσως εἴποιεν ἄν τινες, εἰ τῶν παθῶν ὁ λογισμὸς κρατεῖ, λήθης καὶ ἀγνοίας οὐ δεσπόζει; γελοῖον ἐπιχειροῦντες λέγειν· οὐ γὰρ τῶν ἑαυτοῦ παθῶν ὁ λογισμὸς κρατεῖ, ἀλλὰ τῶν τῆς δικαιοσύνης καὶ ἀνδρίας καὶ σωφροσύνης καὶ φρονήσεως ἐναντίων, καὶ τούτων οὐχ ὥστε αὐτὰ καταλῦσαι, ἀλλ' ὥστε αὐτοῖς μὴ εἶξαι. πολλαχόθεν μὲν οὖν καὶ ἀλλαχόθεν ἔχοιμ' ἂν ὑμῖν ἐπιδεῖξαι ὅτι αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ εὐσεβὴς λογισμός. πολὺ δὲ πλέον τοῦτο ἀποδείξαιμι ἀπὸ τῆς ἀνδραγαθίας τῶν ὑπὲρ ἀρετῆς ἀποθανόντων, Ἐλεαζάρου τε καὶ τῶν ἑπτὰ ἀδελφῶν καὶ τῆς τούτων μητρός. ἅπαντες γὰρ οὗτοι τοὺς ἕως θανάτου πόνους ὑπεριδόντες, ἐπεδείξαντο ὅτι περικρατεῖ τῶν παθῶν ὁ λογισμός. τῶν μὲν οὖν ἀρετῶν ἔπεστί μοι ἐπαινεῖν τοὺς κατὰ τοῦτον τὸν καιρὸν ὑπὲρ τῆς καλοκαγαθίας ἀποθανόντας μετὰ τῆς μητρὸς ἄνδρας, τῶν δὲ τιμῶν μακαρίσαιμ' ἄν. θαυμασθέντες γὰρ ἐκεῖνοι οὐ μόνον ὑπὸ πάντων ἀνθρώπων ἐπὶ τῇ ἀνδρίᾳ καὶ τῇ ὑπομονῇ, ἀλλὰ καὶ ὑπὸ τῶν αἰκισαμένων, αἴτιοι κατέστησαν τοῦ καταλυθῆναι τὴν κατὰ τοῦ ἔθνους τυραννίδα, νικήσαντες τὸν τύραννον τῇ ὑπομονῇ, ὥστε δι' αὐτῶν καθαρισθῆναι τὴν πατρίδα. ἀλλὰ καὶ περὶ τούτου νῦν αὐτίκα δὴ λέγειν ἐξέσται ἀρξαμένῳ τῆς ὑποθέσεως, ὥσπερ εἴωθα ποιεῖν, καὶ οὕτως εἰς τὸν περὶ αὐτῶν τρέψομαι λόγον δόξαν διδοὺς τῷ πανσόφῳ θεῷ.

2 1 Ζητοῦμεν δὴ τοίνυν, εἰ αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ λογισμός. διακρίνομεν δὲ τί ποτέ ἐστι λογισμὸς καὶ τί πάθος, καὶ πόσαι παθῶν ἰδέαι, καὶ εἰ πάντων ἐπικρατεῖ τούτων ὁ λογισμός. λογισμὸς μὲν δὴ τοίνυν ἐστὶ νοῦς μετὰ ὀρθοῦ λόγου προτιμῶν τὸν σοφίας βίον. σοφία δὴ τοίνυν ἐστὶ γνῶσις θείων καὶ ἀνθρωπίνων πραγμάτων καὶ τῶν τούτων αἰτίων. αὕτη δὴ

τοίνυν ἐστὶν ἡ τοῦ Νόμου παιδεία, δι' ἧς τὰ θεῖα σεμνῶς καὶ
6 τὰ ἀνθρώπινα συμφερόντως μανθάνομεν. τῆς δὲ σοφίας ἰδέαι 18
καθεστήκασι τέσσαρες, φρόνησις καὶ δικαιοσύνη καὶ ἀνδρία
7 καὶ σωφροσύνη· κυριωτάτη δὲ πασῶν ἡ φρόνησις, ἐξ ἧς δὴ 19
8 τῶν παθῶν ὁ λογισμὸς ἐπικρατεῖ. παθῶν δὲ φύσεις εἰσὶν αἱ 20
περιεκτικώταται δύο, ἡδονή τε καὶ πόνος· τούτων δὲ ἑκάτερον
9 καὶ περὶ τὸ σῶμα καὶ περὶ τὴν ψυχὴν πέφυκε. πολλαὶ δὲ καὶ 21
10 περὶ τὴν ἡδονὴν καὶ τὸν πόνον παθῶν εἰσιν ἀκολουθίαι. πρὸ 22
11 μὲν οὖν τῆς ἡδονῆς ἐστιν ἐπιθυμία· μετὰ δὲ τὴν ἡδονὴν χαρά.
12 πρὸ δὲ τοῦ πόνου ἐστὶ φόβος, μετὰ δὲ τὸν πόνον λύπη. θυμὸς 23 24
δὲ κοινὸν πάθος ἐστὶν ἡδονῆς καὶ πόνου, ἐὰν ἐννοηθῇ τις ὅτι
13 αὐτῷ περιέπεσεν. ἐν δὲ τῇ ἡδονῇ ἔνεστι καὶ ἡ κακοήθης διάθε- 25
14 σις, πολυτροπωτάτη πάντων τῶν παθῶν οὖσα. κατὰ μὲν τὴν 26
ψυχὴν ἀλαζονεία καὶ φιλαργυρία καὶ φιλοδοξία καὶ φιλονικία,
15 ἀπιστία καὶ βασκανία· κατὰ δὲ τὸ σῶμα, παντοφαγία καὶ λαι- 27
16 μαργία καὶ μονοφαγία. καθάπερ οὖν δυοῖν τοῦ σώματος καὶ 28
τῆς ψυχῆς φυτῶν ὄντων ἡδονῆς τε καὶ πόνου, πολλαὶ τούτων
17 τῶν φυτῶν εἰσι παραφυάδες, ὧν ἑκάστην ὁ παγγέωργος λογι- 29
σμὸς περικαθαίρων τε καὶ ἀποκνίζων καὶ περιπλέκων καὶ ἐ-
πάρδων καὶ πάντα τρόπον μεταχέων ἐξημεροῖ τὰς τῶν ἠθῶν
18 καὶ παθῶν ὕλας. ὁ γὰρ λογισμὸς τῶν μὲν ἀρετῶν ἐστιν ἡγε- 30
μών, τῶν δὲ παθῶν αὐτοκράτωρ.

3 1 Ἐπιθεωρεῖτε τοίνυν πρῶτον διὰ τῶν κωλυτικῶν τῆς σω-
φροσύνης ἔργων, ὅτι αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ λογι-
2 σμός. σωφροσύνη δὴ τοίνυν ἐστὶν ἐπικράτεια τῶν ἐπιθυμιῶν, 31
3 τῶν δὲ ἐπιθυμιῶν αἱ μέν εἰσι ψυχικαί, αἱ δὲ σωματικαί, καὶ 32
4 τούτων ἀμφοτέρων ὁ λογισμὸς ἐπικρατεῖν φαίνεται. ἐπεὶ πό- 33
θεν κινούμενοι πρὸς τὰς ἀπειρημένας τροφὰς ἀποστρεφόμεθα
τὰς ἐξ αὐτῶν ἡδονάς; οὐχ ὅτι δύναται τῶν ὀρέξεων ἐπικρα-
5 τεῖν ὁ λογισμός; ἐγὼ μὲν οἶμαι. τοιγαροῦν ἐνύδρων ἐπιθυμοῦ- 34
ντες καὶ ὀρνέων καὶ τετραπόδων καὶ παντοίων βρωμάτων τῶν
ἀπηγορευμένων ἡμῖν κατὰ τὸν νόμον ἀπεχόμεθα διὰ τὴν τοῦ
6 λογισμοῦ ἐπικράτειαν. ἀνέχεται γὰρ τὰ τῶν ὀρέξεων πάθη ὑπὸ 35
τοῦ σώφρονος νοὸς ἀνακαμπτόμενα, καὶ φιμοῦται πάντα τὰ
τοῦ σώματος κινήματα ὑπὸ τοῦ λογισμοῦ.

4 1 Καὶ τί θαυμαστὸν εἰ αἱ τῆς ψυχῆς ἐπιθυμίαι πρὸς τὴν τοῦ 1 **2**
2 κάλλους μετουσίαν ἀκυροῦνται; ταύτῃ γοῦν ὁ σώφρων Ἰωσὴφ 2
ἐπαινεῖται, ὅτι τῷ λογισμῷ καὶ τῇ διανοίᾳ περιεκράτησε τῆς ἡ-
3 δυπαθείας. νέος γὰρ ὢν καὶ ἀκμάζων πρὸς συνουσιασμὸν ἠ- 3
4 κύρωσε τῷ λογισμῷ τὸν τῶν παθῶν οἶστρον. οὐ μόνον δὲ τὴν 4
τῆς ἡδυπαθείας οἰστρηλασίαν ἐπικρατεῖν ὁ λογισμὸς φαίνεται,
5 ἀλλὰ καὶ πάσης ἐπιθυμίας. λέγει γοῦν ὁ Νόμος· οὐκ ἐπιθυμή- 5
σεις τὴν γυναῖκα τοῦ πλησίον σου οὐδὲ ὅσα τῷ πλησίον σου
6 ἐστίν. καίτοι ὅτε μὴ ἐπιθυμεῖν ἡμᾶς εἴρηκεν ὁ Νόμος, πολὺ 6
πλέον πείσαιμ' ἂν ὑμᾶς ὅτι τῶν ἐπιθυμιῶν κρατεῖν δύναται ὁ

λογισμός. ὥσπερ καὶ τῶν κωλυτικῶν τῆς δικαιοσύνης παθῶν· ἐπεὶ τίνα τρόπον μονοφάγος τις ὢν τὸ ἦθος καὶ γαστρίμαργος καὶ μέθυσος μεταπαιδεύεται, εἰ μὴ δῆλον ὅτι κύριός ἐστι τῶν παθῶν ὁ λογισμός; αὐτίκα γοῦν τῷ Νόμῳ πολιτευόμενος, κἂν φιλάργυρός τις ᾖ, βιάζεται τὸν ἑαυτοῦ τρόπον τοῖς δεομένοις δανείζων χωρὶς τόκων, καὶ τὸ δάνειον τῶν ἑβδομάδων ἐνστασῶν χρεοκοπούμενος. κἂν φειδωλός τις ᾖ, ὑπὸ τοῦ Νόμου κρατεῖται διὰ τὸν λογισμὸν μήτε ἐπικαρπολογούμενος τοὺς ἀμητοὺς μήτε ἐπιρρωγολογούμενος τοὺς ἀμπελῶνας. καὶ ἐπὶ τῶν ἑτέρων ἔστιν ἐπιγνῶναι τοῦτο, ὅτι τῶν παθῶν ἐστιν ὁ λογισμὸς κρατῶν. ὁ γὰρ Νόμος καὶ τῆς πρὸς γονεῖς εὐνοίας κρατεῖ μὴ καταπροδιδοὺς τὴν ἀρετὴν δι' αὐτοὺς καὶ τῆς πρὸς γαμετὴν φιλίας ἐπικρατεῖ διὰ παρανομίαν αὐτὴν ἀπελέγχων. καὶ τῆς τέκνων φιλίας κυριεύει διὰ κακίαν αὐτὰ κολάζων καὶ τῆς φίλων συνηθείας δεσπόζει διὰ πονηρίαν αὐτοὺς ἐξελέγχων. καὶ μὴ νομίσητε παράδοξον εἶναι, ὅπου γε καὶ ἔχθρας ὁ λογισμὸς ἐπικρατεῖν δύναται διὰ τὸν Νόμον, μήτε δενδροτομῶν τὰ ἥμερα τῶν πολεμίων φυτά, τὰ δὲ τῶν ἐχθρῶν τοῖς ἀπολέσασι διασῴζων καὶ τὰ πεπτωκότα συνεγείρων.

5 Καὶ τῶν βιαιοτέρων δὲ παθῶν ἐπικρατεῖν ὁ λογισμὸς φαίνεται, φιλαρχίας καὶ κενοδοξίας καὶ ἀλαζονείας καὶ μεγαλαυχίας καὶ βασκανίας. πάντα γὰρ ταῦτα τὰ κακοήθη πάθη ὁ σώφρων νοῦς εἰς ἀγαθὸν προτρέπων ἀπωθεῖται καὶ βιάζεται, ὥσπερ καὶ τὸν θυμόν· καὶ γὰρ τούτου δεσπόζει. θυμούμενός γέ τοι Μωσῆς κατὰ Δαθὰν καὶ Ἀβιρὼν οὐ θυμῷ τι κατ' αὐτῶν ἐποίησεν, ἀλλὰ λογισμῷ τὸν θυμὸν διῄτησεν. δυνατὸς γὰρ ὁ σώφρων νοῦς, ὡς ἔφην, κατὰ τῶν παθῶν ἀριστεῦσαι καὶ τὰ μὲν αὐτῶν μεταθεῖναι, τὰ δὲ καὶ ἀκυρῶσαι. ἐπεὶ διατί ὁ πάνσοφος ἡμῶν πατὴρ Ἰακὼβ τοὺς περὶ Συμεὼν καὶ Λευῖν αἰτιᾶται, μὴ λογισμῷ τοὺς Σικιμίτας ἐθνηδὸν ἀποσφάξαντας λέγων· Ἐπικατάρατος ὁ θυμὸς αὐτῶν; εἰ μὴ γὰρ ἐδύνατο τοῦ θυμοῦ ὁ λογισμὸς κρατεῖν, οὐκ ἂν εἶπεν οὕτως. ὁπηνίκα γὰρ ὁ θεὸς τὸν ἄνθρωπον κατεσκεύασε, τὰ πάθη αὐτοῦ καὶ τὰ ἤθη περιεφύτευσεν. ἡνίκα δὲ ἐπὶ πάντων τὸν ἱερὸν ἡγεμόνα νοῦν διὰ τῶν ἔνδον αἰσθητηρίων ἐνεθρόνισε, καὶ τούτῳ νόμον ἔδωκε, καθ' ὃν πολιτευόμενος βασιλεύσει βασιλείαν σώφρονά τε καὶ δικαίαν καὶ ἀγαθὴν καὶ ἀνδρείαν.

6 Πῶς οὖν, εἴποι τις ἄν, εἰ τῶν παθῶν ὁ λογισμὸς κρατεῖ, λήθης καὶ ἀγνοίας οὐ κρατεῖ; ἔστι δὲ κομιδῇ γελοῖος ὁ λόγος· οὐ γὰρ τῶν ἑαυτοῦ παθῶν ὁ λογισμὸς ἐπικρατεῖν φαίνεται, ἀλλὰ τῶν σωματικῶν. οἷον ἐπιθυμίαν τίς οὐ δύναται ἐκκόψαι ἡμῶν, ἀλλὰ μὴ δουλωθῆναι τῇ ἐπιθυμίᾳ δύναται ὁ λογισμὸς παρασχέσθαι. θυμόν τις οὐ δύναται ἐκκόψαι ἡμῶν τῆς ψυχῆς, ἀλλὰ τῷ θυμῷ δυνατὸν τὸν λογισμὸν βοηθῆσαι. κακοήθειάν τις ἡμῶν οὐ δύναται ἐκκόψαι, ἀλλὰ τὸ μὴ καμφθῆναι τῇ κακοηθείᾳ

δύναιτ' ἂν ὁ λογισμὸς συμμαχῆσαι. οὐ γὰρ ἐκριζωτὴς τῶν παθῶν ὁ λογισμός ἐστιν, ἀλλ' ἀνταγωνιστής. ἔστι γοῦν τοῦτο διὰ τῆς Δαυῖδ τοῦ βασιλέως δίψης σαφέστερον ἐπιλογίσασθαι. ἐπεὶ γὰρ δι' ὅλης ἡμέρας προσβαλὼν τοῖς ἀλλοφύλοις ὁ Δαυῖδ πολλοὺς αὐτῶν ἀπέκτεινε μετὰ τῶν τοῦ ἔθνους στρατιωτῶν, τότε δὲ γενομένης ἑσπέρας, ἱδρῶν καὶ σφόδρα κεκμηκώς, ἐπὶ τὴν βασίλειον σκηνὴν ἦλθε, περὶ ἣν ὁ πᾶς τῶν προγόνων στρατὸς ἐστρατοπεδεύκει. οἱ μὲν οὖν ἄλλοι πάντες ἐπὶ τὸ δεῖπνον ἦσαν, ὁ δὲ βασιλεὺς ὡς μάλιστα διψῶν, καίπερ ἀφθόνους ἔχων πηγάς, οὐκ ἠδύνατο δι' αὐτῶν ἰάσασθαι τὴν δίψαν, ἀλλά τις αὐτῶν ἀλόγιστος ἐπιθυμία τοῦ παρὰ τοῖς πολεμίοις ὕδατος ἐπιτείνουσα συνέφρυγε καὶ λύουσα κατέφλεγεν. ὅθεν τῶν ὑπασπιστῶν ἐπὶ τῇ τοῦ βασιλέως ἐπιθυμίᾳ σχετλιαζόντων, δύο νεανίσκοι στρατιῶται καρτεροὶ καταιδεσθέντες τὴν τοῦ βασιλέως ἐπιθυμίαν, τὰς παντευχίας καθωπλίσαντο καὶ κάλπην λαβόντες ὑπερέβησαν τοὺς τῶν πολεμίων χάρακας, καὶ λαθόντες τοὺς τῶν πυλῶν ἀκροφύλακας, διεξῄεσαν ἀνερευνώμενοι κατὰ πᾶν τὸ τῶν πολεμίων στρατόπεδον. καὶ ἀνευράμενοι τὴν πηγήν, ἐξ αὐτῆς θαρραλέως ἐγέμισαν τῷ βασιλεῖ τὸ ποτόν. ὁ δὲ καίπερ τῷ δίψει διαπυρούμενος, ἐλογίσατο πάνδεινον εἶναι κίνδυνον τῇ ψυχῇ λογισθὲν ἰσοδύναμον ποτὸν αἵματι· ὅθεν ἀντιθεὶς τῇ ἐπιθυμίᾳ τὸν λογισμὸν ἔσπεισε τὸ πόμα τῷ θεῷ· δυνατὸς γὰρ ὁ σώφρων νοῦς, ὡς ἔφην, νικῆσαι τὰς τῶν παθῶν ἀνάγκας καὶ σβέσαι τὰς τῶν οἴστρων φλεγμονὰς καὶ τὰς τῶν σωμάτων ἀλγηδόνας καθ' ὑπερβολὴν οὔσας καταπαλαῖσαι, καὶ τῇ καλοκαγαθίᾳ τοῦ λογισμοῦ ἀποπτύσαι πάσας τὰς τῶν παθῶν ἐπικρατείας. ἤδη δὲ καὶ ὁ καιρὸς ἡμᾶς καλεῖ ἐπὶ τὴν ἀπόδειξιν τῆς θεωρίας τοῦ σώφρονος λογισμοῦ. ἐπειδὴ γὰρ βαθεῖαν εἰρήνην διὰ τὴν εὐνομίαν οἱ πατέρες ἡμῶν εἶχον καὶ ἔπραττον καλῶς, ὥστε καὶ τὸν τῆς Ἀσίας βασιλέα Σέλευκον καὶ τὸν Νικάνορα καὶ χρήματα εἰς τὴν ἱερουργίαν αὐτοῖς ἀφορίσαι καὶ τὴν πολιτείαν αὐτῶν ἀποδέχεσθαι, τότε δή τινες πρὸς τὴν κοινὴν νεωτερίσαντες ὁμόνοιαν πολυτρόποις ἐχρήσαντο συμφοραῖς.

7 Σίμων γάρ τις πρὸς Ὀνίαν ἀντιπολιτευόμενος τόν ποτε τὴν ἀρχιερωσύνην ἔχοντα διὰ βίου καλὸν καὶ ἀγαθὸν ἄνδρα, ἐπειδὴ πάντα τρόπον διαβάλλων ὑπὲρ τοῦ ἔθνους οὐκ ἴσχυσε κακῶσαι, φυγὰς ᾤχετο τὴν πατρίδα προδώσων. ὅθεν ἥκων πρὸς Ἀπολλώνιον, τὸν Συρίας τε καὶ Φοινίκης καὶ Κιλικίας στρατηγόν, ἔλεγεν· Εὔνους ὢν τοῖς τοῦ βασιλέως πράγμασιν ἥκω μηνύσων πολλὰς ἰδιωτικῶν χρημάτων μυριάδας ἐν τοῖς Ἱεροσολύμων γαζοφυλακίοις τεθησαυρίσθαι τοῖς ἱεροῖς μὴ ἐπικοινωνούσας, καὶ προσήκειν ταῦτα Σελεύκῳ τῷ βασιλεῖ. τούτων δὲ ἕκαστα γνοὺς ὁ Ἀπολλώνιος, τὸν μὲν Σίμωνα τῆς εἰς τὸν βασιλέα κηδεμονίας ἐπαινεῖ, πρὸς δὲ τὸν Σέλευκον ἀ-

5 ναβὰς κατεμήνυσε τὸν τῶν χρημάτων θησαυρόν. καὶ λαβὼν 5
τὴν περὶ αὐτὸν ἐξουσίαν ταχὺ εἰς τὴν πατρίδα ἡμῶν μετὰ τοῦ
6 καταράτου Σίμωνος καὶ βαρυτάτου στρατοῦ, ἀνέβη καὶ προ- 6
σελθὼν ταῖς τοῦ βασιλέως ἐντολαῖς ἥκειν ἔλεγεν, ὅπως τὰ
7 ἰδιωτικὰ τοῦ γαζοφυλακίου λάβοι χρήματα. καὶ τοῦ ἔθνους 7
πρὸς τὸν λόγον σχετλιάζοντος ἀντιλέγοντός τε, πάνδεινον εἶ-
ναι νομίσαντες, εἰ οἱ τὰς παρακαταθήκας πιστεύσαντες τῷ ἱε-
8 ρῷ θησαυρῷ στερηθήσονται, ὡς οἷόν τε ἦν, ἐκώλυον. μετὰ ἀ- 8
9 πειλῶν δὲ ὁ Ἀπολλώνιος ἀπῄει εἰς τὸ ἱερόν. τῶν δὲ ἱερέων με- 9
τὰ γυναικῶν καὶ παιδίων ἐν τῷ ἱερῷ ἱκετευσάντων τὸν θεὸν
10 ὑπερασπίσαι τοῦ ἱεροῦ καταφρονουμένου τόπου ἀνιόντος τε 10
μετὰ καθωπλισμένης τῆς στρατιᾶς τοῦ Ἀπολλωνίου πρὸς τὴν
τῶν χρημάτων ἁρπαγήν, οὐρανόθεν ἔφιπποι προυφάνησαν ἄγ-
γελοι περιαστράπτοντες τοῖς ὅπλοις καὶ πολὺν αὐτοῖς φόβον
11 τε καὶ τρόμον ἐνιέντες. καταπεσών γέ τοι ἡμιθανὴς ὁ Ἀπολλώ- 11
νιος ἐπὶ τὸν πάμφυλον τοῦ ἱεροῦ περίβολον τὰς χεῖρας ἐξέτει-
νεν εἰς τὸν οὐρανόν, καὶ μετὰ δακρύων τοὺς Ἑβραίους παρε-
κάλει, ὅπως περὶ αὐτοῦ εὐξάμενοι τὸν ἐπουράνιον ἐξευμενί-
12 σωνται στρατόν. ἔλεγε γὰρ ἡμαρτηκὼς ὥστε καὶ ἀποθανεῖν ἄ- 12
ξιος ὑπάρχειν πᾶσί τε ἀνθρώποις ὑμνήσειν σωθεὶς τὴν τοῦ ἱε-
13 ροῦ τόπου μακαριότητα. τούτοις ὑπαχθεὶς τοῖς λόγοις Ὀνίας 13
ὁ ἀρχιερεύς, καίπερ ἄλλως εὐλαβηθείς, μήποτε νομίσειεν ὁ βα-
σιλεὺς Σέλευκος ἐξ ἀνθρωπίνης ἐπιβουλῆς καὶ μὴ θείας δίκης
14 ἀνῃρῆσθαι τὸν Ἀπολλώνιον, ηὔξατο περὶ αὐτοῦ. καὶ ὁ μὲν πα- 14
ραδόξως διασωθεὶς ᾤχετο δηλώσων τῷ βασιλεῖ τὰ συμβάντα
15 αὐτῷ. τελευτήσαντος δὲ Σελεύκου τοῦ βασιλέως διαδέχεται 15
τὴν ἀρχὴν ὁ υἱὸς αὐτοῦ Ἀντίοχος Ἐπιφανής, ἀνὴρ ὑπερήφα-
16 νος καὶ δεινός, ὃς καταλύσας τὸν Ὀνίαν τῆς ἀρχιερωσύνης, 16
Ἰάσονα τὸν ἀδελφὸν αὐτοῦ κατέστησεν ἀρχιερέα, συνθέμενον
17 δώσειν, εἰ ἐπιτρέψειεν αὐτῷ τὴν ἀρχήν, κατ' ἐνιαυτὸν τρισχί- 17
18 λια ἑξακόσια ἑξήκοντα τάλαντα. ὁ δὲ ἐπέτρεψεν αὐτῷ καὶ ἀρ- 18
19 χιερᾶσθαι καὶ τοῦ ἔθνους ἀφηγεῖσθαι. ὃς καὶ ἐξεδιῄτησε τῶν 19
Ἰουδαίων τὸ ἔθνος καὶ ἐξεπολίτευσεν ἐπὶ παθῶν παρανομίαν,
20 ὥστε μὴ μόνον ἐπ' αὐτῇ τῇ ἄκρᾳ τῆς πατρίδος ἡμῶν γυμνά- 20
σιον κατασκευάσαι, ἀλλὰ καὶ καταλῦσαι τὴν τοῦ ἱεροῦ κηδεμο-
21 νίαν. ἐφ' οἷς ἀγανακτήσασα ἡ θεία δίκη αὐτὸν αὐτοῖς τὸν Ἀ- 21
22 ντίοχον ἐπολέμωσεν. ἐπειδὴ γὰρ πολεμῶν ἦν κατ' Αἴγυπτον 22
Πτολεμαίῳ, ἤκουσέ τε ὅτι φήμης διαδοθείσης περὶ τοῦ τεθνᾶ-
ναι αὐτόν, ὡς ἔνι μάλιστα χαίροιεν οἱ Ἱεροσολυμῖται, ταχέως
23 ἐπ' αὐτοὺς ἀνέζευξεν, καὶ ὡς ἐπόρθησεν αὐτούς, δόγμα ἔθετο 23
ὅπως, εἴ τινες αὐτῶν φανοῖεν τῷ πατρίῳ πολιτευόμενοι Νό-
24 μῳ, θάνοιεν. καὶ ἐπεὶ κατὰ μηδένα τρόπον ἴσχυε καταλῦσαι 24
25 διὰ τῶν δογμάτων τὴν τοῦ ἔθνους εὔνοιαν, ἀλλὰ πάσας τὰς ἑ- 25
αυτοῦ ἀπειλὰς καὶ τιμωρίας ἑώρα καταλυομένας, ὥστε καὶ γυ-
ναῖκας, ὅτι περιέτεμον τὰ παιδία, μετὰ τῶν βρεφῶν κατακρη-

μνισθῆναι προειδυίας ὅτι τοῦτο πείσονται· ἐπεὶ οὖν τὰ δόγματα αὐτοῦ κατεφρονεῖτο ὑπὸ τοῦ λαοῦ, αὐτὸς διὰ βασάνων ἕνα ἕκαστον τοῦ ἔθνους ἠνάγκαζε μιαρῶν ἀπογευομένους τροφῶν ἐξόμνυσθαι τὸν ἰουδαϊσμόν.

8 Προκαθίσας γέ τοι μετὰ τῶν συνέδρων ὁ τύραννος Ἀντίοχος ἐπί τινος ὑψηλοῦ τόπου καὶ τῶν στρατευμάτων αὐτῷ ἐνόπλων κυκλόθεν παρεστηκότων, παρεκέλευε τοῖς δορυφόροις ἕνα ἕκαστον τῶν Ἑβραίων ἐπισπᾶσθαι, καὶ κρεῶν ὑείων καὶ εἰδωλοθύτων ἀναγκάζειν ἀπογεύεσθαι· εἰ δέ τινες μὴ θελήσειαν μιαροφαγῆσαι, τούτους τροχισθέντας ἀναιρεθῆναι. πολλῶν δὲ συναρπασθέντων εἷς πρῶτος ἐκ τῆς ἀγέλης Ἑβραῖος ὀνόματι Ἐλεάζαρος, τὸ γένος ἱερεύς, τὴν ἐπιστήμην νομικός, καὶ τὴν ἡλικίαν προήκων καὶ πολλοῖς τῶν περὶ τὸν τύραννον διὰ τὴν ἡλικίαν γνώριμος, παρήχθη πλησίον αὐτοῦ. καὶ αὐτὸν ἰδὼν ὁ Ἀντίοχος ἔφη· «Ἐγὼ πρὶν ἄρξασθαι τῶν κατὰ σοῦ βασάνων, ὦ πρεσβῦτα, συμβουλεύσαιμ' ἄν σοι ταῦτα, ὅπως ἀπογευσάμενος τῶν ὑείων σῴζοιο· αἰδοῦμαι γάρ σου τὴν ἡλικίαν καὶ τὴν πολιάν, ἣν μετὰ τοσοῦτον ἔχων χρόνον οὔ μοι δοκεῖς φιλοσοφεῖν τῇ Ἰουδαίων χρώμενος θρησκείᾳ. διατί γὰρ τῆς φύσεως κεχαρισμένης καλλίστην τὴν τοῦδε τοῦ ζῴου σαρκοφαγίαν βδελύττῃ; καὶ γὰρ ἀνόητον τοῦτο δοκεῖ, τὸ μὴ ἀπολαύειν τῶν χωρὶς ὀνείδους ἡδέων, καὶ ἄδικον ἀποστρέφεσθαι τὰς τῆς φύσεως χάριτας. σὺ δέ μοι καὶ ἀνοητότερον ποιήσειν δοκεῖς, εἰ κενοδοξῶν περὶ τὸ ἀληθὲς ἔτι κἀμοῦ καταφρονήσεις ἐπὶ τῇ ἰδίᾳ τιμωρίᾳ. οὐκ ἐξυπνώσεις ἀπὸ τῆς φλυάρου φιλοσοφίας ὑμῶν καὶ ἀποσκεδάσεις τῶν λογισμῶν σου τὸν λῆρον, καὶ ἄξιον τῆς ἡλικίας ἀναλαβὼν νοῦν φιλοσοφήσεις τὴν τοῦ συμφέροντος ἀλήθειαν καὶ προσκυνήσας μου τὴν φιλάνθρωπον παρηγορίαν οἰκτιρήσεις τὸ σεαυτοῦ γῆρας; καὶ γὰρ ἐνθυμήθητι, ὡς εἰ καί τίς ἐστι τῆσδε τῆς ὑμῶν θρησκείας ἐποπτικὴ δύναμις, συγγνωμονήσει ἄν σοι ἐπὶ πάσῃ τῇ δι' ἀνάγκην γινομένῃ παρανομίᾳ». τοῦτον τὸν τρόπον ἐπὶ τὴν ἔκθεσμον σαρκοφαγίαν ἐποτρύνοντος τοῦ τυράννου, λόγον ᾔτησεν ὁ Ἐλεάζαρος καὶ λαβὼν τοῦ λέγειν ἐξουσίαν ἤρξατο δημηγορεῖν οὕτως· «Ἡμεῖς, Ἀντίοχε, θείῳ πεπεισμένοι νόμῳ πολιτεύεσθαι οὐδεμίαν ἀνάγκην βιαιοτέραν εἶναι νομίζομεν τῆς πρὸς τὸν Νόμον ἡμῶν εὐπειθείας· διὸ δὴ κατ' οὐδένα τρόπον παρανομεῖν ἀξιοῦμεν. καίτοι εἰ κατὰ ἀλήθειαν μὴ ἦν ὁ Νόμος ἡμῶν, ὡς σὺ ὑπολαμβάνεις, θεῖος (ἄλλως δὲ νομίζομεν αὐτὸν εἶναι θεῖον), οὐδὲ οὕτως ἐξὸν ἡμῖν ἦν τὴν ἐπὶ τῇ εὐσεβείᾳ δόξαν ἀκυρῶσαι. μὴ μικρὰν οὖν εἶναι νομίσῃς ταύτην, εἰ μιαροφαγήσαιμεν, ἁμαρτίαν· τὸ γὰρ ἐν μικροῖς καὶ ἐν μεγάλοις παρανομεῖν ἰσοδύναμόν ἐστι. δι' ἑκατέρου γὰρ ὡς ὁμοίως ὁ Νόμος ὑπερηφανεῖται. χλευάζεις δὲ ἡμῶν τὴν φιλοσοφίαν, ὥσπερ οὐ μετὰ εὐλογιστίας ἐν αὐτῇ βιούντων· σωφροσύνην τε γὰρ ἡμᾶς ἐκδιδά-

σκει, ὥστε πασῶν τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν κρατεῖν καὶ ἀν-
δρίαν ἐξασκεῖν, ὥστε πάντα πόνον ἑκουσίως ὑπομένειν καὶ δι-
20 καιοσύνην παιδεύει, ὥστε διὰ πάντων τῶν ἠθῶν ἰσονομεῖν καὶ 24
εὐσέβειαν ἐκδιδάσκει, ὥστε μόνον τὸν ὄντα θεὸν σέβειν μεγα-
21 λοπρεπῶς. διὸ οὐ μιαροφαγοῦμεν· πιστεύοντες γὰρ θεοῦ καθε- 25
στάναι τὸν Νόμον, οἴδαμεν ὅτι κατὰ φύσιν ἡμῖν συμπαθεῖ νο-
22 μοθετῶν ὁ τοῦ κόσμου κτίστης· καὶ τὰ μὲν οἰκειωθησόμενα ἡ- 26
μῶν ταῖς ψυχαῖς ἐπέτρεψεν ἐσθίειν. τὰ δὲ ἐναντιωθησόμενα ἐ-
23 κώλυσε σαρκοφαγεῖν. τυραννικὸν δὲ οὐ μόνον ἀναγκάζειν ἡ- 27
μᾶς παρανομεῖν, ἀλλὰ καὶ ἐσθίειν, ὅπως τῇ ἐχθίστῃ ἡμῶν μια-
24 ροφαγίᾳ ταύτῃ ἔτι ἐγγελάσῃς. ἀλλ' οὐ γελάσεις κατ' ἐμοῦ τοῦ- 28
τον τὸν γέλωτα, οὔτε τοὺς ἱεροὺς τῶν προγόνων περὶ τοῦ φυ-
λάξαι τὸν Νόμον ὅρκους οὐ παρήσω, οὐδ' ἂν ἐκκόψειάς μου 29
25 τὰ ὄμματα καὶ τὰ σπλάγχνα μου τήξειας. οὐχ οὕτως εἰμὶ γέ- 30
ρων ἐγὼ καὶ ἄνανδρος, ὥστε μοι διὰ τὴν εὐσέβειαν μὴ νεάζειν
26 τὸν λογισμόν. πρὸς ταῦτα τροχοὺς εὐτρέπιζε καὶ τὸ πῦρ ἐκφύ- 31
27 σα σφοδρότερον. οὐχ οὕτως οἰκτίρομαι τὸ ἐμαυτοῦ γῆρας, ὥ- 32
28 στε με δι' ἐμαυτοῦ τὸν πάτριον καταλῦσαι Νόμον. οὐ ψεύσο- 33
μαί σε, παιδευτὰ Νόμε, οὐδὲ φεύξομαί σε οὐδ' ἐξομοῦμαί σε,
φίλη ἐγκράτεια, οὐδὲ καταισχυνῶ σε, φιλόσοφε λόγε, οὐδὲ ἐ- 34
29 ξαρνήσομαί σε, ἱερωσύνη τιμία καὶ νομοθεσίας ἐπιστήμη· οὐδὲ 35
μιανεῖς μου τὸ σεμνὸν γήρως στόμα οὐδὲ νομίμου βίου ἡλι-
30 κίαν. ἁγνὸν δέ με οἱ πατέρες προσδέξονται μὴ φοβηθέντα σου 36
31 τὰς μέχρι θανάτου ἀνάγκας. ἀσεβῶν μὲν γὰρ τυραννήσεις, 37
τῶν δὲ ἐμῶν περὶ τῆς εὐσεβείας λογισμῶν οὔτε διὰ λόγων δε-
σπόσεις οὔτε δι' ἔργων».

9 1 Τοῦτον τὸν τρόπον ἀντιρρητορεύσαντα ταῖς τοῦ τυράννου 1 **6**
παρηγορίαις, παραστάντες οἱ δορυφόροι πικρῶς ἔσυραν ἐπὶ τὰ
2 βασανιστήρια τὸν Ἐλεάζαρον. καὶ πρῶτον μὲν περιέδυσαν τὸν 2
γηραιὸν ἐγκοσμούμενον τῇ περὶ τὴν εὐσέβειαν εὐσχημοσύνῃ·
3 ἔπειτα περιαγκωνίσαντες ἑκατέρωθεν μάστιξι κατῄκιζον· 3
«Πείσθητι ταῖς τοῦ βασιλέως ἐντολαῖς», ἑτέρωθεν κήρυκος ἐ- 4
4 πιβοῶντος. ὁ δὲ μεγαλόφρων καὶ εὐγενὴς ὡς ἀληθῶς Ἐλεάζα- 5
ρος, ὥσπερ ἐν ὀνείρῳ βασανιζόμενος κατ' οὐδένα τρόπον
5 μετετρέπετο, ἀλλὰ ὑψηλοὺς ἀνατείνας εἰς τὸν οὐρανὸν τοὺς ὀ- 6
φθαλμοὺς ἀπεξαίνετο ταῖς μάστιξι τὰς σάρκας ὁ γέρων καὶ κα-
6 τερρεῖτο τῷ αἵματι καὶ τὰ πλευρὰ κατετιτρώσκετο, καὶ πίπτων 7
εἰς τὸ ἔδαφος ἀπὸ τοῦ μηκέτι φέρειν τὸ σῶμα τὰς ἀλγηδόνας,
7 ὀρθὸν εἶχε καὶ ἀκλινῆ τὸν λογισμόν. λάξ γέ τοι τῶν πικρῶν τις 8
δορυφόρων εἰς τοὺς κενεῶνας ἐναλλόμενος ἔτυπτεν, ὅπως ἐ-
8 ξανίσταιτο πίπτων. ὁ δὲ ὑπέμενε τοὺς πόνους καὶ περιεφρόνει 9
τῆς ἀνάγκης καὶ διεκαρτέρει τοὺς αἰκισμούς, καὶ καθάπερ γεν- 10
ναῖος ἀθλητὴς τυπτόμενος ἐνίκα τοὺς βασανίζοντας ὁ γέρων·
9 ἱδρῶν γέ τοι τὸ πρόσωπον καὶ ἐπασθμαίνων σφοδρῶς καὶ ὑπ' 11
αὐτῶν τῶν βασανιζόντων ἐθαυμάζετο ἐπὶ τῇ εὐψυχίᾳ.

10 1 Ὅθεν τὰ μὲν ἐλεοῦντες τὰ τοῦ γήρως αὐτοῦ τὰ δὲ ἐν συμπαθείᾳ τῆς συνηθείας ὄντες, τὰ δὲ ἐν θαυμασμῷ τῆς καρτερίας προσιόντες αὐτῷ τινες τῶν τοῦ βασιλέως ἔλεγον· «Τί τοῖς κακοῖς τούτοις σεαυτὸν ἀλογίστως ἀπόλλεις, Ἐλεάζαρε; ἡμεῖς μέντοι τῶν ἡψημένων σοι βρωμάτων παραθήσομεν, σὺ δὲ ὑποκρινόμενος τῶν ὑείων ἀπογεύεσθαι σώθητι». καὶ ὁ Ἐλεάζαρος, ὥσπερ πικρότερον διὰ τῆς συμβουλίας αἰκισθείς, ἀνεβόησε· «Μὴ οὕτω κακῶς φρονήσαιμεν οἱ Ἀβραὰμ παῖδες, ὥστε μαλακοψυχήσαντας ἀπρεπὲς ἡμῖν δρᾶμα ὑποκρίνασθαι. καὶ γὰρ ἀλόγιστον, εἰ πρὸς ἀλήθειαν ζήσαντες τὸν μέχρι γήρως βίον καὶ τὴν ἐπ' αὐτῷ δόξαν νομίμως φυλάξαντες, νῦν μεταβαλοίμεθα καὶ αὐτοὶ μὲν ἡμεῖς γενοίμεθα τοῖς νέοις ἀσεβείας τύπος, ἵνα παράδειγμα γενώμεθα τῆς μιαροφαγίας. αἰσχρὸν δὲ εἰ ἐπιβιώσωμεν ὀλίγον χρόνον καὶ τοῦτον καταγελώμενοι πρὸς ἁπάντων ἐπὶ δειλίᾳ, καὶ ὑπὸ μὲν τοῦ τυράννου καταφρονηθῶμεν ὡς ἄνανδροι, τὸν δὲ θεῖον ἡμῶν Νόμον μέχρι θανάτου μὴ προασπίσαιμεν. πρὸς ταῦτα ὑμεῖς μέν, ὦ Ἀβραὰμ παῖδες, εὐγενῶς ὑπὲρ τῆς εὐσεβείας τελευτᾶτε. οἱ δὲ τοῦ τυράννου δορυφόροι, τί μέλλετε;».

11 1 Πρὸς τὰς ἀνάγκας οὕτω μεγαλοφρονοῦντα αὐτὸν ἰδόντες καὶ μηδὲ πρὸς τὸν οἰκτιρμὸν αὐτῶν μεταβαλλόμενον ἐπὶ τὸ πῦρ αὐτὸν ἤγαγον. ἔνθα διὰ κακοτέχνων ὀργάνων καταφλέγοντες αὐτὸν ὑπέρριπτον καὶ δυσώδεις χυλοὺς εἰς τοὺς μυκτῆρας αὐτοῦ κατέχεον. ὁ δὲ μέχρι τῶν ὀστέων ἤδη κατακεκαυμένος καὶ μέλλων λιποθυμεῖν ἀνέτεινε τὰ ὄμματα πρὸς τὸν θεὸν καὶ εἶπε· «Σὺ οἶσθα, θεέ, <ὅτι,> παρόν μοι σῴζεσθαι, βασάνοις καυστικαῖς ἀποθνῄσκω διὰ τὸν Νόμον. τοιγαροῦν ἵλεως γενοῦ τῷ ἔθνει σου ἀρκεσθεὶς τῇ ἡμετέρᾳ ὑπὲρ αὐτῶν δίκῃ. καθάρσιον αὐτῶν ποίησον τὸ ἐμὸν αἷμα καὶ ἀντίψυχον αὐτῶν λαβὲ τὴν ἐμὴν ψυχήν». καὶ ταῦτα εἰπὼν ὁ ἱερὸς ἀνὴρ εὐγενῶς ταῖς βασάνοις ἐναπέθανε καὶ μέχρι τῶν τοῦ θανάτου βασάνων ἀντέστη τῷ λογισμῷ διὰ τὸν Νόμον. ὁμολογουμένως οὖν δεσπότης ἐστὶ τῶν παθῶν ὁ εὐσεβὴς λογισμός. εἰ γὰρ τὰ πάθη τοῦ λογισμοῦ ἐκεκρατήκει, τούτοις ἂν ἀπέδομεν τὴν τῆς ἐπικρατείας μαρτυρίαν· νυνὶ δὲ τοῦ λογισμοῦ τὰ πάθη νικήσαντος, αὐτῷ προσηκόντως τὴν τῆς ἡγεμονίας προσνέμομεν ἐξουσίαν. καὶ δίκαιόν ἐστιν ὁμολογεῖν ἡμᾶς τὸ κράτος εἶναι τοῦ λογισμοῦ, ὅπου γε καὶ τῶν ἔξωθεν ἀλγηδόνων ἐπικρατεῖ, ἐπεὶ καὶ γελοῖον· καὶ οὐ μόνον τῶν ἀλγηδόνων ἐπιδείκνυμι κεκρατηκέναι τὸν λογισμόν, ἀλλὰ καὶ τῶν ἡδονῶν κρατεῖν, καὶ μηδὲν αὐταῖς ὑπείκειν.

12 1 Ὥσπερ γὰρ ἄριστος κυβερνήτης ὁ τοῦ πατρὸς ἡμῶν Ἐλεαζάρου λογισμὸς πηδαλιουχῶν τὴν τῆς εὐσεβείας ναῦν ἐν τῷ τῶν παθῶν πελάγει καὶ καταικιζόμενος ταῖς τοῦ τυράννου ἀπειλαῖς καὶ καταντλούμενος ταῖς τῶν βασάνων τρικυμίαις,

κατ' οὐδένα τρόπον μετέτρεψε τοὺς τῆς εὐσεβείας οἴακας, ἕως οὗ ἔπλευσεν ἐπὶ τὸν τῆς ἀθανάτου νίκης λιμένα. οὐχ οὕτω πόλις πολλοῖς καὶ ποικίλοις μηχανήμασιν ἀντέσχε ποτὲ πολιορκουμένη, ὡς ὁ πανάγιος Ἐλεάζαρος· τὴν ἱερὰν ψυχὴν αἰκισμοῖς τε καὶ στρέβλαις πυρπολούμενος, ἐνίκησε τοὺς πολιορκοῦντας διὰ τὸν ὑπερασπίζοντα τῆς εὐσεβείας λογισμόν. ὥσπερ γὰρ πρόκρημνον ἄκραν τὴν ἑαυτοῦ διάνοιαν ὁ πατὴρ Ἐλεάζαρος ἐκτείνας, περιέκλασεν τοὺς ἐπιμαινομένους τῶν παθῶν κλύδωνας. ὦ ἄξιε τῆς ἱερωσύνης ἱερεῦ, οὐκ ἐμίανας τοὺς ἱεροὺς ὀδόντας οὐδὲ τὴν θεοσέβειαν καὶ καθαρισμὸν νόμιμον χωρήσασαν γαστέρα ἐκοινώνησας μιαροφαγίᾳ. ὦ σύμφωνε Νόμου καὶ φιλόσοφε θείου βίου, τοιούτους δὴ δεῖ εἶναι τοὺς ἱερουργοῦντας τὸν Νόμον ἰδίῳ αἵματι καὶ γενναίῳ ἱδρῶτι τοῖς μέχρι θανάτου πάθεσιν ὑπερασπίζοντας. σὺ πάτερ, τὴν εὐνομίαν ἡμῶν διὰ τῶν ὑπομονῶν εἰς δόξαν ἐκύρωσας καὶ τὴν ἁγιστείαν σεμνολογήσας οὐ κατέλυσας καὶ διὰ τῶν ἔργων ἐπιστοποίησας τοὺς τῆς θείας φιλοσοφίας λόγους, ὦ βασάνων βιαιότερε γέρον, καὶ πυρὸς εὐτονώτερε πρεσβῦτα, καὶ παθῶν μέγιστε βασιλεῦ Ἐλεάζαρε. ὥσπερ γὰρ ὁ πατὴρ Ἀαρὼν τῷ θυμιατηρίῳ καθωπλισμένος διὰ τοῦ ἐθνοπλήθους ἐπιτρέχων τὸν ἐμπυριστὴν ἐνίκησεν ἄγγελον, οὕτως ὁ Ἀαρωνίδης Ἐλεάζαρος διὰ τοῦ πυρὸς ὑπερτηκόμενος οὐ μετετράπη τὸν λογισμόν. καίτοι τὸ θαυμασιώτατον, γέρων ὤν, λελυμένων μὲν ἤδη τῶν τοῦ σώματος τόνων, περικεχαλασμένων δὲ τῶν σαρκῶν, κεκμηκότων δὲ καὶ τῶν νεύρων, ἀνενέασε τῷ πνεύματι διὰ τοῦ λογισμοῦ καὶ τῷ Ἰσαακείῳ λογισμῷ τὴν πολυκέφαλον στρέβλαν ἠκύρωσεν. ὦ μακαρίου γήρως καὶ σεμνῆς πολιᾶς καὶ βίου νομίμου, ὃν πιστὴ θανάτου σφραγὶς ἐτελείωσεν. εἰ δὲ τοίνυν γέρων ἀνὴρ τῶν μέχρι θανάτου βασάνων περιεφρόνησε δι' εὐσέβειαν, ὁμολογουμένως ἡγεμών ἐστι τῶν παθῶν ὁ εὐσεβὴς λογισμός.

13 Ἴσως δ' ἂν εἴποιέν τινες· Τῶν παθῶν οὐ πάντες περικρατοῦσιν, ὅτι οὐδὲ πάντες φρόνιμον ἔχουσι τὸν λογισμόν. ἀλλ' ὅσοι εὐσεβείας προνοοῦσιν ἐξ ὅλης καρδίας, οὗτοι μόνοι δύνανται κρατεῖν τῶν τῆς σαρκὸς παθῶν, πιστεύοντες, ὅτι θεῷ οὐκ ἀποθνῄσκουσιν, ὥσπερ οὐδὲ οἱ πατριάρχαι ἡμῶν Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ, ἀλλὰ ζῶσι τῷ θεῷ. οὐδὲν οὖν ἐναντιοῦται τὸ φαίνεσθαί τινας παθοκρατεῖσθαι διὰ τὸν ἀσθενῆ λογισμόν. ἐπεὶ τίς πρὸς ὅλον τὸν τῆς φιλοσοφίας κανόνα εὐσεβῶς φιλοσοφῶν καὶ πεπιστευκὼς θεῷ καὶ εἰδὼς ὅτι τὸ διὰ τὴν ἀρετὴν πάντα πόνον ὑπομένειν μακάριόν ἐστιν, οὐκ ἂν περικρατήσειε τῶν παθῶν διὰ τὴν θεοσέβειαν; μόνος γὰρ ὁ σοφὸς καὶ σώφρων ἀνδρεῖός ἐστι τῶν παθῶν κύριος.

14 Διὰ τοῦτό γέ τοι καὶ μειρακίσκοι τῷ τῆς εὐσεβείας λογισμῷ φιλοσοφοῦντες χαλεπωτέρων βασανιστηρίων ἐπεκράτη- **8**

σαν. ἐπειδὴ γὰρ κατὰ τὴν πρώτην πεῖραν ἐνικήθη περιφανῶς ὁ τύραννος μὴ δυνηθεὶς ἀναγκάσαι γέροντα μιαροφαγῆσαι, τότε δὴ σφόδρα περιπαθῶς ἐκέλευσεν ἄλλους ἐκ τῆς ἡλικίας τῶν Ἑβραίων ἀγαγεῖν, καὶ εἰ μὲν μιαροφαγήσαιεν, ἀπολύειν φαγόντας, εἰ δὲ ἀντιλέγοιεν, πικρότερον βασανίζειν. ταῦτα διαταξαμένου τοῦ τυράννου, παρῆσαν ἀγόμενοι μετὰ γηραιᾶς μητρὸς ἑπτὰ ἀδελφοί, καλοί τε καὶ αἰδήμονες καὶ γενναῖοι καὶ ἐν παντὶ χαρίεντες. οὓς ἰδὼν ὁ τύραννος καθάπερ ἐν χορῷ περιέχοντας μέσην τὴν μητέρα, ἥσθη ἐπ' αὐτοῖς καὶ τῆς εὐπρεπείας ἐκπλαγεὶς καὶ τῆς εὐγενείας, προσεμειδίασεν αὐτοῖς καὶ πλησίον καλέσας ἔφη. «Ὦ νεανίαι, φιλοφρόνως ἐγὼ καθ' ἑνὸς ἑκάστου ὑμῶν θαυμάζω, τὸ κάλλος καὶ τὸ πλῆθος τοσούτων ἀδελφῶν ὑπερτιμῶν, οὐ μόνον συμβουλεύω μὴ μανῆναι τὴν αὐτὴν τῷ προβασανισθέντι γέροντι μανίαν, ἀλλὰ καὶ παρακαλῶ συνείξαντάς μου τῇ συμβουλίᾳ τῆς ἐμῆς ἀπολαῦσαι φιλίας· δυναίμην δ' ἂν ὥσπερ κολάζειν τοὺς ἀπειθοῦντάς μου τοῖς ἐπιτάγμασιν, οὕτω καὶ εὐεργετεῖν τοὺς εὐπειθοῦντας μοι. πεισθέντες οὖν μοι καὶ ἀρχὰς καὶ ἐπὶ τῶν ἐμῶν πραγμάτων ἡγεμονίας λήψεσθε, ἀρνησάμενοι τὸν πάτριον ὑμῶν τῆς πολιτείας θεσμόν· καὶ μεταλαβόντες ἑλληνικοῦ βίου καὶ μεταδιαιτηθέντες ἐντρυφήσατε ταῖς νεότησιν ὑμῶν· ἐπεὶ ἐὰν ὀργίλως με διάθησθε διὰ τῆς ἀπειθείας ὑμῶν, ἀναγκάσετέ με ἐπὶ δειναῖς κολάσεσιν ἕνα ἕκαστον ὑμῶν διὰ τῶν βασάνων ἀπολέσαι. κατελεήσατε οὖν ἑαυτούς, οὓς καὶ ὁ πολέμιος ἔγωγε καὶ τῆς ἡλικίας καὶ τῆς εὐμορφίας οἰκτίρομαι. οὐ διαλογιεῖσθε τοῦτο, ὅτι οὐδὲν ὑμῖν ἀπειθήσασι πλὴν τοῦ μετὰ στρεβλῶν ἀποθανεῖν ἀπόκειται;»

15 Ταῦτα δὲ λέγων ἐκέλευσεν εἰς τὸ ἔμπροσθεν προτεθῆναι τὰ βασανιστήρια, ὅπως καὶ διὰ τοῦ φόβου πείσειεν αὐτοὺς μιαροφαγῆσαι. ὡς δὲ τροχούς τε καὶ ἀρθρέμβολα, στρεβλωτήριά τε καὶ τροχαντῆρας καὶ καταπέλτας καὶ λέβητας, τήγανά τε καὶ δακτυλήθρας καὶ χεῖρας σιδηρᾶς καὶ σφῆνας καὶ τὰ ζώπυρα τοῦ πυρὸς οἱ δορυφόροι προέθεσαν, ὑπολαβὼν ὁ τύραννος ἔφη· «Μειράκια φοβήθητε, καὶ ἢν σέβεσθε δίκην, ἵλεως ὑμῖν ἔσται δι' ἀνάγκην παρανομήσασιν». οἱ δὲ ἀκούσαντες ἐπαγωγὰ καὶ ὁρῶντες δεινά, οὐ μόνον οὐκ ἐφοβήθησαν, ἀλλὰ καὶ ἀντεφιλοσόφησαν τῷ τυράννῳ καὶ διὰ τῆς εὐλογιστίας τὴν τυραννίδα αὐτοῦ κατέλυσαν. καί τοι λογισώμεθα· εἰ δειλόψυχοί τινες ἦσαν καὶ ἄνανδροι ἐν αὐτοῖς, ποίοις ἂν ἐχρήσαντο λόγοις; οὐχὶ τούτοις; «Ὦ τάλανες ἡμεῖς καὶ λίαν ἀνόητοι· βασιλέως ἡμᾶς παρακαλοῦντος καὶ ἐπὶ εὐεργεσίᾳ φωνοῦντος μὴ πεισθείημεν αὐτῷ, εἰ βουλήμασι κενοῖς ἑαυτοὺς εὐφραίνομεν καὶ θανατηφόρον ἀπείθειαν τολμῶμεν; οὐ φοβησόμεθα, ἄνδρες ἀδελφοί, τὰ βασανιστήρια καὶ λογιούμεθα τὰς τῶν βασάνων ἀπειλὰς καὶ φευξόμεθα τὴν κενοδοξίαν ταύτην καὶ ὀλεθροφόρον ἀλαζονείαν; ἐλεήσωμεν τὰς ἑαυτῶν ἡλικίας καὶ κατοικτίρωμεν

τὸ τῆς μητρὸς γῆρας καὶ ἐνθυμηθῶμεν ὅτι ἀπειθοῦντες τεθνη- 21
ξόμεθα. συγγνώσεται δὲ ἡμῖν καὶ ἡ θεία δίκη δι' ἀνάγκην τὸν 22
9 βασιλέα φοβηθεῖσι. τί ἐξάγομεν ἑαυτοὺς τοῦ ἡδίστου βίου καὶ 23
ἐπιστεροῦμεν ἑαυτοὺς τοῦ γλυκέος κόσμου; μὴ βιαζώμεθα τὴν 24
10 ἀνάγκην μηδὲ φιλοδοξήσωμεν ἐπὶ τῇ ἑαυτῶν στρέβλῃ. οὐδὲ 25
αὐτὸς ὁ Νόμος ἀκουσίως ἡμᾶς θανατοῖ φοβηθέντας τὰ βασα-
11 νιστήρια. πόθεν ἡμῖν ἡ τοσαύτη ἐντέτηκε φιλονεικία καὶ ἡ θα- 26
νατηφόρος ἀρέσκει καρτερία, παρὸν μετὰ ἀταραξίας ζῆν τῷ
12 βασιλεῖ πεισθέντας;» ἀλλὰ τούτων οὐδὲν εἶπον οἱ νεανίαι βα- 27
13 σανίζεσθαι μέλλοντες οὐδὲ ἐνεθυμήθησαν. ἦσαν γὰρ περίφρο- 28
14 νες τῶν παθῶν καὶ αὐτοκράτορες τῶν ἀλγηδόνων, ὥστε ἅμα 29
τῷ παύσασθαι τὸν τύραννον συμβουλεύοντα αὐτοῖς τοῦ μιαροφαγῆσαι, πάντες διὰ μιᾶς φωνῆς ὁμοῦ, ὥσπερ ἀπὸ τῆς αὐτῆς ψυχῆς εἶπον πρὸς αὐτόν.

16 1 «Τί μέλλεις, ὦ τύραννε; ἕτοιμοι γάρ ἐσμεν ἀποθνῄσκειν ἢ 1 **9**
2 παραβαίνειν τὰς πατρίους ἡμῶν ἐντολάς· αἰσχυνόμεθα γὰρ 2
τοὺς προγόνους ἡμῶν εἰκότως, εἰ μὴ τῇ τοῦ Νόμου εὐπειθείᾳ
3 καὶ συμβούλῳ Μωσῇ χρησαίμεθα. σύμβουλε τύραννε παρανο- 3
4 μίας, μὴ ἡμᾶς μισῶν ὑπὲρ αὐτοὺς ἡμᾶς ἐλέει. χαλεπώτερον 4
γὰρ αὐτοῦ τοῦ θανάτου νομίζομεν εἶναί σου τὸν ἐπὶ τῇ παρα-
5 νόμῳ σωτηρίᾳ ἡμῶν ἔλεον. ἐκφοβεῖς δὲ ἡμᾶς τὸν διὰ τῶν βα- 5
σάνων ἡμῖν θάνατον ἀπειλῶν, ὥσπερ οὐχὶ πρὸ βραχέος παρὰ
6 Ἐλεαζάρου μαθών. εἰ δ' οἱ γέροντες τῶν Ἑβραίων διὰ τὴν εὐ- 6
σέβειαν καὶ βασανισμοὺς ὑπομείναντες εὐσέβησαν, ἀποθάνοι-
μεν ἂν δικαιότερον ἡμεῖς οἱ νέοι, τὰς βασάνους τῶν σῶν ἀνα-
7 γκῶν ὑπεριδόντες, ἃς καὶ ὁ παιδευτὴς ἡμῶν γέρων ἐνίκησε.
πείραζε τοιγαροῦν, τύραννε· καὶ τὰς ἡμῶν ψυχὰς εἰ θανατώ- 7
8 σεις διὰ τὴν εὐσέβειαν, μὴ νομίσῃς ἡμᾶς βλάπτειν βασανίζων.
ἡμεῖς μὲν γὰρ διὰ τῆσδε τῆς κακοπαθείας καὶ ὑπομονῆς τὰ τῆς 8
ἀρετῆς ἆθλα ἕξομεν καὶ ἐσόμεθα παρὰ θεῷ, δι' ὃν καὶ πάσχο-
9 μεν· σὺ δὲ διὰ τὴν ἡμῶν μιαιφονίαν αὐτάρκη καρτερήσεις ὑπὸ 9
τῆς θείας δίκης αἰώνιον βάσανον διὰ πυρός».

17 1 Ταῦτα αὐτῶν εἰπόντων, οὐ μόνον ὡς κατὰ ἀπειθούντων ἐ- 10
χαλέπαινεν ὁ τύραννος, ἀλλ' ὡς καὶ κατὰ ἀχαρίστων ὠργίσθη.
2 ὅθεν τὸν πρεσβύτατον αὐτῶν κελευθέντες παρήγαγον οἱ ὑπα- 11
σπισταὶ καὶ διαρρήξαντες τὸν χιτῶνα διέδησαν τὰς χεῖρας αὐ-
3 τοῦ καὶ τοὺς βραχίονας ἱμᾶσιν ἑκατέρωθεν. ὡς δὲ τύπτοντες 12
ταῖς μάστιξιν ἐκοπίασαν μηδὲν ἀνύοντες, ἀνέβαλον αὐτὸν ἐπὶ
4 τὸν τροχόν. περὶ ὃν κατατεινόμενος ὁ εὐγενὴς νεανίας ἔξαρ- 13
6 θρος ἐγίνετο. καὶ κατὰ πᾶν μέλος κλώμενος ἐκακηγόρει λέγων· 14
Τύραννε μιαρώτατε καὶ τῆς οὐρανίου δίκης ἐχθρὲ καὶ ὠμό- 15
φρον, οὐκ ἀνδροφονήσαντά με τοῦτον καταικίζεις τὸν τρόπον,
7 οὐδὲ ἀσεβήσαντα, ἀλλὰ θείου Νόμου προασπίζοντα. καὶ τῶν 16
δορυφόρων λεγόντων «Ὁμολόγησον φαγεῖν, ὅπως ἀπαλλαγῇς
8 τῶν βασάνων», αὐτὸς εἶπεν αὐτοῖς· «Οὐχ οὕτως ἰσχυρὸς ὑμῶν 17

ἐστιν ὁ τροχός, ὦ μιαροὶ διάκονοι, ὥστε μου τὸν λογισμὸν ἄγ-
ξαι· τέμνετέ μου τὰ μέλη καὶ πυροῦτε τὰς σάρκας καὶ στρε-
9 βλοῦτε τὰ ἄρθρα. διὰ πασῶν γὰρ ὑμᾶς πείσω τῶν βασάνων ὅτι 18
10 μόνοι παῖδες Ἑβραίων ὑπὲρ ἀρετῆς εἰσιν ἀνίκητοι». ταῦτα λέ- 19
γοντι πῦρ ὑπέστρωσαν καὶ διηρέθισαν τὸν τροχὸν προσεπικα-
11 τατείνοντες· ἐμολύνετο δὲ πάντοθεν αἵματι ὁ τροχός, καὶ ὁ σω- 20
ρὸς τῆς ἀνθρακιᾶς τῆς τῶν ἰχώρων ἐσβέννυτο σταλαγμοῖς, καὶ
12 περὶ τοὺς ἄξονας τοῦ ὀργάνου περιέρρεον αἱ σάρκες. καὶ περι- 21
τετμημένον ἤδη ἔχων τὸ τῶν ὀστέων πῆγμα ὁ μεγαλόφρων καὶ
13 Ἀβραμιαῖος νεανίας οὐκ ἐστέναξεν. ἀλλ' ὥσπερ ἐν πυρὶ μετα- 22
σχηματιζόμενος εἰς ἀφθαρσίαν, ὑπέμεινεν εὐγενῶς τὰς στρέ-
βλας, «Μιμήσασθέ με, ἀδελφοί, λέγων, μή μου τὸν ἀγῶνα λιπο- 23
τακτήσητε μηδ' ἐξομόσησθέ μου τὴν τῆς εὐψυχίας ἀδελφότητα·
14 ἱερὰν καὶ εὐγενῆ στρατείαν στρατεύσασθε ὑπὲρ τῆς εὐσεβείας,
δι' ἧς ἵλεως ἡ δικαία καὶ πάτριος ἡμῶν πρόνοια τῷ ἔθνει γενη- 24
15 θεῖσα τιμωρήσειε τὸν ἀλάστορα τύραννον». καὶ ταῦτα εἰπὼν ὁ 25
ἱεροπρεπὴς νεανίας ἀπέρρηξε τὴν ψυχήν.

18 1 Θαυμασάντων δὲ πάντων τὴν καρτεροψυχίαν αὐτοῦ, ἦγον 26
οἱ δορυφόροι τὸν καθ' ἡλικίαν τοῦ προτέρου δεύτερον καὶ σι-
δηρᾶς ἐναρμοσάμενοι χεῖρας ὀξέσι τοῖς ὄνυξιν ὀργάνῳ καὶ κα-
2 ταπέλτῃ προσέδησαν αὐτόν. ὡς δέ, εἰ φαγεῖν βούλοιτο πρὶν 27
βασανίζεσθαι πυνθανόμενοι, τὴν εὐγενῆ γνώμην ἤκουσαν, ἀ- 28
πὸ τῶν τενόντων ταῖς σιδηραῖς χερσὶν ἐπισπασάμενοι μέχρι
γε τῶν γενείων τὴν σάρκα πᾶσαν καὶ τὴν τῆς κεφαλῆς δορὰν
3 οἱ παρδάλειοι θῆρες ἀπέσυραν. ὁ δὲ ταύτην βαρέως τὴν ἀλγη- 29
δόνα καρτερῶν ἔλεγεν· «Ὡς ἡδὺς πᾶς τρόπος θανάτου διὰ τὴν
4 πάτριον ἡμῶν εὐσέβειαν!» ἔφη τε πρὸς τὸν τύραννον· «Οὐ δο- 30
κεῖς, πάντων ὠμότατε τύραννε, πλεῖον ἐμοῦ σε νῦν βασανίζε-
σθαι ὁρῶν σου νικώμενον τὸν τῆς τυραννίδος ὑπερήφανον λο-
5 γισμὸν ὑπὸ τῆς διὰ τὴν εὐσέβειαν ἡμῶν ὑπομονῆς; ἐγὼ μὲν 31
γὰρ ταῖς διὰ τὴν ἀρετὴν ἡδοναῖς τὸν πόνον ἐπικουφίζομαι, σὺ 32
6 δὲ ἐν ταῖς τῆς ἀσεβείας ἀπειλαῖς βασανίζῃ. οὐκ ἐκφεύξῃ δέ,
μιαρώτατε τύραννε, τὰς τῆς θείας ὀργῆς δίκας».

19 1 Καὶ τούτου τὸν ἀοίδιμον θάνατον καρτερήσαντος, ὁ τρί- 1 **10**
τος ἤγετο παρακαλούμενος πολλὰ ὑπὸ πολλῶν, ὅπως ἀπογευ-
2 σάμενος σῴζοιτο. ὁ δὲ ἀναβοήσας ἔφη· «Ἢ ἀγνοεῖτε ὅτι ὁ αὐ- 2
τός με τοῖς ἀποθανοῦσιν ἔσπειρε πατήρ, καὶ ἡ αὐτὴ μήτηρ ἐ-
3 γέννησε, καὶ ἐπὶ τοῖς αὐτοῖς ἀνετράφημεν δόγμασιν; οὐκ ἐξό- 3
4 μνυμαι τὴν εὐγενῆ τῆς ἀδελφότητός μου συγγένειαν. πρὸς 4
ταῦτα εἴ τι ἔχετε κολαστήριον προσαγάγετε τῷ σώματί μου·
5 τῆς γὰρ ψυχῆς μου, οὐδ' ἂν θέλητε ἅψασθαι, δύνασθε». οἱ δὲ 5
πικρῶς ἐνέγκαντες τὴν παρρησίαν τοῦ ἀνδρός, ἀρθρεμβόλοις
ὀργάνοις τὰς χεῖρας αὐτοῦ καὶ τοὺς πόδας ἐξήρθρουν καὶ ἐξ
ἁρμῶν ἀναμοχλεύοντες ἐξεμέλιζον, καὶ τοὺς δακτύλους καὶ 6
τοὺς βραχίονας καὶ τὰ σκέλη καὶ τοὺς ἀγκῶνας περιέκλων.

καὶ κατὰ μηδένα τρόπον ἰσχύοντες αὐτὸν ἄγξαι περισύραντες τὸ δέρμα σὺν ἄκραις ταῖς τῶν δακτύλων κορυφαῖς ἀπεσκύθιζον· καὶ εὐθέως ἦγον ἐπὶ τὸν τροχόν, περὶ ὃν ἐκ σπονδύλων ἐκμελιζόμενος ἑώρα τὰς ἑαυτοῦ σάρκας περιλακιζομένας καὶ κατὰ σπλάγχνων σταγόνας αἵματος ἀπορρεούσας. μέλλων δὲ ἀποθνῄσκειν ἔφη· «Ἡμεῖς μέν, ὦ μιαρώτατε τύραννε, διὰ παιδείαν καὶ ἀρετὴν θεοῦ ταῦτα πάσχομεν· σὺ δὲ διὰ τὴν ἀσέβειαν καὶ μιαιφονίαν ἀκαταλύτους καρτερήσεις βασάνους».

20 Καὶ τούτου θανόντος ἀδελφοπρεπῶς, τὸν τέταρτον ἐπεσπῶντο λέγοντες· «Μὴ συμμανῇς καὶ σὺ τοῖς ἀδελφοῖς σου τὴν αὐτὴν μανίαν, ἀλλὰ πεισθεὶς τῷ βασιλεῖ, σῷζε σεαυτόν». ὁ δὲ αὐτοῖς ἔφη· «Οὐχ οὕτω καυστικώτερον ἔχετε κατ' ἐμοῦ τὸ πῦρ, ὥστε με δειλανδρῆσαι. μὰ τὸν μακάριον τῶν ἀδελφῶν μου θάνατον καὶ τὸν αἰώνιον τοῦ τυράννου ὄλεθρον καὶ τὸν ἀίδιον τῶν εὐσεβῶν βίον οὐκ ἀρνήσομαι τὴν εὐγενῆ ἀδελφότητα. ἐπινόει, τύραννε, βασάνους, ἵνα καὶ διὰ τούτων μάθῃς, ὅτι ἀδελφός εἰμι τῶν προβασανισθέντων». ταῦτα ἀκούσας ὁ αἱμοβόρος καὶ φονώδης καὶ παμμιαρώτατος Ἀντίοχος, ἐκέλευσε τὴν γλῶτταν αὐτοῦ ἐκτεμεῖν. ὁ δὲ ἔφη· «Κἂν ἀφέλῃς τὸ τῆς φωνῆς ὄργανον, καὶ σιωπώντων ἀκούει ὁ θεός· ἰδοὺ προκεχάλασται ἡ γλῶσσα, τέμνε, οὐ γὰρ παρὰ τοῦτο τὸν λογισμὸν ἡμῶν γλωσσοτομήσεις. ἡδέως ὑπὲρ τοῦ Νόμου τοῦ θεοῦ τὰ τοῦ σώματος μέλη ἀκρωτηριαζόμεθα. σὲ δὲ ταχέως μετελεύσεται ὁ θεός, τὴν γὰρ τῶν θείων ὕμνων μελῳδὸν γλῶτταν ἐκτέμνεις».

21 Ὡς δὲ καὶ οὗτος ταῖς βασάνοις καταικισθεὶς ἐναπέθανεν, ὁ πέμπτος παρεπήδησε λέγων· «Οὐ μέλλω, τύραννε, πρὸς τὸν ὑπὲρ τῆς ἀρετῆς βασανισμὸν παραιτεῖσθαι, αὐτὸς δ' ἀπ' ἐμαυτοῦ παρῆλθον, ὅπως κἀμὲ κατακτείνας περὶ πλειόνων ἀδικημάτων ὀφειλήσῃς τῇ οὐρανίῳ δίκῃ τιμωρίαν. ὦ μισάρετε καὶ μισάνθρωπε, τί δράσαντας ἡμᾶς τοῦτον πορθεῖς τὸν τρόπον; ἢ κακόν σοι δοκεῖ ὅτι τὸν πάντων κτίστην εὐσεβοῦμεν καὶ κατὰ τὸν ἐνάρετον αὐτοῦ ζῶμεν Νόμον; ἀλλὰ ταῦτα τιμῶν, οὐ βασάνων ἐστὶν ἄξια. εἴπερ ᾐσθάνου ἀνθρώπου πόθον καὶ ἐλπίδα εἶχες παρὰ θεῷ σωτηρίας· νυνὶ δὲ ἀλλότριος ὢν θεοῦ πολεμεῖς τοὺς εὐσεβοῦντας εἰς τὸν θεόν». τοιαῦτα δὲ λέγοντα οἱ δορυφόροι δήσαντες αὐτὸν εἷλκον ἐπὶ τὸν καταπέλτην, ἐφ' ὃν δήσαντες αὐτὸν ἐπὶ τὰ γόνατα καὶ ταῦτα ποδάγραις σιδηραῖς ἐφαρμόσαντες τὴν ὀσφὺν αὐτοῦ περὶ τροχιαῖον σφῆνα κατέκαμψαν, περὶ ὃν ὅλος περὶ τὸν τροχὸν σκορπίου τρόπον ἀνακλώμενος ἐξεμελίζετο. κατὰ τοῦτον τὸν τρόπον καὶ τὸ πνεῦμα στενοχωρούμενος καὶ τὸ σῶμα ἀγχόμενος, «Καλάς», ἔλεγεν, «ἄκων, ὦ τύραννε, χάριτας ἡμῖν χαρίζῃ διὰ γενναιοτέρων πόνων ἐπιδείξασθαι παρέχων τὴν εἰς τὸν Νόμον ἡμῶν καρτερίαν».

22 Τελευτήσαντος δὲ καὶ τούτου, ὁ ἕκτος ἤγετο μειρακίσκος, ὃς πυνθανομένου τοῦ τυράννου εἰ βούλοιτο φαγὼν ἀπολύε-

2 σθαι, ὁ δὲ ἔφη· «Ἐγὼ τῇ μὲν ἡλικίᾳ τῶν ἀδελφῶν μού εἰμι νεώ- 14
τερος, τῇ δὲ διανοίᾳ ἡλικιώτης· εἰς τὰ αὐτὰ γὰρ καὶ γεννηθέ- 15
ντες καὶ τραφέντες, ὑπὲρ τῶν αὐτῶν καὶ ἀποθνῄσκειν ὀφείλο-
μεν ὁμοίως· ὥστε εἰ σοὶ δοκεῖ βασανίζειν μὴ μιαροφαγοῦντα, 16
3 βασάνιζε». ταῦτα αὐτὸν εἰπόντα παρῆγον ἐπὶ τὸν τροχόν, ἐφ' 17 18
οὗ κατατεινόμενος ἐκμελῶς καὶ ἐκσπονδυλιζόμενος ὑπεκαίε-
4 το. καὶ ὀβελίσκους δὲ ὀξεῖς πυρώσαντες, τοῖς νώτοις προσέ- 19
φερον καὶ τὰ πλευρὰ διαπείραντες αὐτοῦ τὰ σπλάγχνα διέ-
5 καιον. ὁ δὲ βασανιζόμενος, «Ὦ ἱεροπρεποῦς ἀγῶνος», ἔλεγεν, 20
«ἐφ' ὃν διὰ τὴν εὐσέβειαν εἰς γυμνασίαν πόνων ἀδελφοὶ το-
6 σοῦτοι κληθέντες οὐκ ἐνικήθημεν. ἀνίκητος γάρ ἐστιν, ὦ τύ- 21
ραννε, ἡ εὐσεβὴς ἐπιστήμη. καλοκαγαθίᾳ καθωπλισμένος τε- 22
θνήξομαι μὲν κἀγὼ μετὰ τῶν ἀδελφῶν μου, σὺ δέ, ὦ τύραννε, 23
μέγαν σοὶ προσλαβὼν καὶ αὐτὸς τιμωρόν, καινουργὲ τῶν βα-
7 σάνων καὶ πολέμιε τῶν ἀληθῶς εὐσεβούντων. ἓξ μειράκια κα- 24
ταλελύκαμέν σου τὴν τυραννίδα· τὸ γὰρ μὴ δυνηθῆναί σε μετα- 25
πεῖσαι τὸν λογισμὸν ἡμῶν μήτε βιάσασθαι πρὸς τὴν μιαροφα-
8 γίαν οὐ κατάλυσίς ἐστί σου; τὸ πῦρ σου ψυχρὸν ἡμῖν, καὶ ἄπο- 26
9 νοι οἱ καταπέλται, καὶ ἀδύνατος ἡ βία σου. οὐ γὰρ τυράννου, 27
ἀλλὰ θείου Νόμου προεστήκασιν ἡμῶν οἱ δορυφόροι· διὰ τοῦ-
το ἀνίκητον ἔχομεν τὸν λογισμόν».

23 1 Ὡς δὲ καὶ οὗτος μακαρίως ἐναπέθανε καταβληθεὶς εἰς λέ- 1 **12**
2 βητα, ὁ ἕβδομος παρεγίνετο πάντων νεώτερος. ὃν κατοικτιρή- 2
σας ὁ τύραννος, καίπερ δεινῶς ὑπὸ τῶν ἀδελφῶν αὐτοῦ κακι-
σθείς, ὁρῶν ἤδη τὰ δεσμὰ περικείμενον, πλησιέστερον αὐτὸν 3
3 μετεπέμψατο καὶ παρηγορεῖν ἐπειρᾶτο λέγων· «Τῆς μὲν τῶν ἀ- 4
δελφῶν σου ἀπονοίας τὸ τέλος ὁρᾷς· διὰ γὰρ ἀπείθειαν στρε-
βλωθέντες τεθνήκασι· σὺ δέ, εἰ μὲν μὴ πεισθείης, τάλας βασα-
4 νισθεὶς καὶ αὐτὸς τεθνήξῃ πρὸ ὥρας. πεισθεὶς δὲ φίλος ἔσῃ 5
5 καὶ τῶν ἐπὶ τῆς βασιλείας ἀφηγήσῃ πραγμάτων. καὶ ταῦτα πα- 6
ρακαλῶν, τὴν μητέρα τοῦ παιδὸς μετεπέμψατο, ὅπως αὐτὴν ἐ-
λεήσας τοσούτων υἱῶν στερηθεῖσαν παρορμήσειεν ἐπὶ τὴν
6 σωτήριον εὐπείθειαν τὸν περιλειπόμενον». ὁ δὲ τῆς μητρὸς τῇ 7
ἑβραΐδι φωνῇ προτρεψαμένης αὐτὸν (ὡς ἐροῦμεν μετὰ μικρὸν
ὕστερον), «Ἀπολύσατέ με», φησίν· «εἴπω τι τῷ βασιλεῖ καὶ 8
7 τοῖς σὺν αὐτῷ φίλοις πᾶσι». καὶ ἐπιχαρέντες ὅ τε βασιλεὺς καὶ 9
οἱ σὺν αὐτῷ μάλιστα ἐπὶ τῇ ἐπαγγελίᾳ τοῦ παιδὸς ταχέως ἔλυ-
8 σαν αὐτόν. καὶ δραμὼν ἐπὶ πλησίον τῶν τηγάνων ἔφη· «Ἀνό- 10 11
σιε, καὶ πάντων τῶν πονηρῶν ἀσεβέστατε τύραννε, οὐκ ᾐδέ-
σθης παρὰ τοῦ θεοῦ λαβὼν τὰ ἀγαθὰ καὶ τὴν βασιλείαν τοὺς
θεράποντας αὐτοῦ κατακτεῖναι καὶ τοὺς εὐσεβείας ἀσκητὰς
9 στρεβλῶσαι; ἀνθ' ὧν ταμιεύσεταί σε ἡ θεία δίκη πυκνοτέρῳ 12
καὶ αἰωνίῳ πυρὶ καὶ βασάνοις, αἳ εἰς ὅλον τὸν αἰῶνα οὐκ ἀνή-
10 σουσί σε. οὐκ ᾐδέσθης ἄνθρωπος ὤν, θηριωδέστατε, τοὺς ὁ- 13
μοιοπαθεῖς καὶ ἐκ τῶν αὐτῶν γεγονότας στοιχείων γλωττοτο-

11 μῆσαι καὶ τοῦτον καταικίσας τὸν τρόπον βασανίσαι; ἀλλ' οἱ 14
μὲν εὐγενῶς ἀποθανόντες ἐπλήρωσαν τὴν εἰς τὸν θεὸν εὐσέ-
βειαν, σὺ δὲ κακὸς κακῶς οἰμώξεις τοὺς τῆς ἀρετῆς ἀγωνι- 15
12 στὰς ἀναιτίως ἀποκτείνας». ὅθεν καὶ αὐτὸς ἀποθνῄσκειν μέλ- 16
λων ἔφη· «Οὐκ ἀπαυτομολῶ τῆς τῶν ἀδελφῶν μου ἀριστείας· 17 18
ἐπικαλοῦμαι δὲ τὸν πατρῷον θεόν, ὅπως ἵλεως γένηται τῷ γέ-
13 νει μου. σὲ δὲ καὶ ἐν τῷ νῦν βίῳ καὶ θανόντα τιμωρήσεται». 19
καὶ ταῦτα κατευξάμενος, ἑαυτὸν ἔρριψε κατὰ τῶν τηγάνων, 20
καὶ οὕτως ἀπέδωκε τὴν ψυχήν.

24 1 Εἰ δὲ τοίνυν τῶν μέχρι θανάτου πόνων ὑπερεφρόνησαν οἱ 1 **13**
ἑπτὰ ἀδελφοί, συνομολογεῖται πανταχόθεν ὅτι αὐτοδέσποτός ἐ-
2 στι τῶν παθῶν ὁ εὐσεβὴς λογισμός. εἰ γὰρ τοῖς πάθεσι δουλω- 2
θέντες ἐμιαροφάγησαν, ἐλέγομεν ἂν τούτοις αὐτοὺς νενικῆ-
3 σθαι· νυνὶ δὲ οὐχ οὕτως, ἀλλὰ τῷ ἐπαινουμένῳ παρὰ θεοῦ λο- 3
γισμῷ περιεγένοντο τῶν παθῶν, ὧν οὐκ ἔστι παριδεῖν τὴν ἡγε- 4
μονίαν τῆς διανοίας· ἐπεκράτησαν γὰρ καὶ πάθους καὶ πόνων.
4 πῶς οὖν οὐκ ἔστι τούτοις τὴν τῆς εὐλογιστίας παθοκρατορίαν 5
ὁμολογεῖν; οἳ τῶν μὲν διὰ πυρὸς ἀλγηδόνων οὐκ ἐπεστράφη-
5 σαν· καθάπερ γὰρ προβλῆτες λιμένων πύργοι τὰς τῶν κυμά- 6
των ἀπειλὰς ἀνακόπτοντες γαληνὸν παρέχουσι τοῖς εἰσπλέουσι
6 τὸν ὅρμον, οὕτως ἡ ἑπτάπυργος τῶν νεανίσκων εὐλογιστία 7
τὸν τῆς εὐσεβείας ὀχυρώσασα λιμένα τὴν τῶν παθῶν ἐνίκησεν
7 ἀκολασίαν. ἱερὸν γὰρ εὐσεβείας στήσαντες χορὸν παρεθάρσυ- 8
νον ἀλλήλους λέγοντες· «Ἀδελφικῶς ἀποθάνοιμεν ἀδελφοὶ πε- 9
8 ρὶ τοῦ Νόμου· μιμησώμεθα τοὺς τρεῖς τοὺς ἐπὶ τῆς Ἀσσυρίας
νεανίσκους, οἳ τῆς ἰσοπάλιδος καμίνου κατεφρόνησαν. μὴ δει- 10
9 λανδρήσωμεν πρὸς τὴν τῆς εὐσεβείας ἀπόδειξιν». καὶ ὁ μὲν 11
«Θάρρει, ἀδελφέ», ἔλεγεν· ὁ δὲ «Εὐγενῶς καρτέρησον», ὁ δὲ 12
καταμνησθεὶς ἔλεγε· «Μνήσθητε πόθεν ἐστὲ ἢ τίνος πατρὸς χει-
10 ρὶ σφαγιασθῆναι διὰ τὴν εὐσέβειαν ὑπέμεινεν Ἰσαάκ». εἷς δὲ ἕ- 13
καστος καὶ ἀλλήλους ὁμοῦ πάντες ἐφορῶντες φαιδροὶ καὶ μάλα
11 θαρραλέοι, ἑαυτούς, ἔλεγον· «Τῷ θεῷ ἀφιερώσωμεν ἐξ ὅλης
τῆς καρδίας τῷ δόντι τὰς ψυχὰς καὶ χρήσωμεν τῇ περὶ τὸν Νό-
12 μον φυλακῇ τὰ σώματα. μὴ φοβηθῶμεν τὸν δοκοῦντα ἀποκτέν- 14
νειν τὸ σῶμα· μέγας γὰρ ψυχῆς ἀγὼν καὶ κίνδυνος ἐν αἰωνίῳ 15
13 βασάνῳ κείμενος τοῖς παραβᾶσι τὴν ἐντολὴν τοῦ θεοῦ. καθο- 16
πλισώμεθα τοιγαροῦν τῇ τοῦ θείου λογισμοῦ παθοκρατορίᾳ.
14 οὕτω γὰρ θανόντας ἡμᾶς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ὑποδέ- 17
ξονται εἰς τοὺς κόλπους αὐτῶν καὶ πάντες οἱ πατέρες ἐπαινέ-
15 σουσι». καὶ ἑνὶ ἑκάστῳ τῶν ἀποσπωμένων αὐτῶν ἀδελφῶν ἔ- 18
λεγον οἱ περιλειπόμενοι· «Μὴ καταισχύνῃς ἡμᾶς, ἀδελφέ, μηδὲ
16 ψεύσῃ τοὺς προαποθανόντας ἡμῶν ἀδελφούς». οὐκ ἀγνοεῖτε 19
δὲ τὰ τῆς ἀδελφότητος φίλτρα, ἅπερ ἡ θεία καὶ πάνσοφος πρό-
νοια διὰ τῶν πατέρων τοῖς γενομένοις ἐμέρισε καὶ διὰ τῆς μη-
17 τρῴας φυτεύσασα γαστρός. ἐν ᾗ τὸν ἴσον ἀδελφοὶ κατοικήσα- 20

ντες χρόνον καὶ ἐν τῷ αὐτῷ χρόνῳ πλασθέντες καὶ ἀπὸ τοῦ αὐτοῦ αἵματος αὐξηθέντες καὶ διὰ τῆς αὐτῆς ψυχῆς τελεσφορηθέντες καὶ διὰ τῶν ἴσων ἀποτεχθέντες χρόνων καὶ ἀπὸ τῶν αὐ- 21
τῶν γαλακτοποτοῦντες πηγῶν, ἀφ' ὧν συντρέφονται ἐναγκαλι-
18 σμάτων φιλάδελφοι ψυχαί· καὶ αὔξοντες σφοδρότερον διὰ τῆς 22
συντροφίας καὶ τῆς καθ' ἡμέραν συνηθείας καὶ τῆς ἄλλης παιδείας καὶ τῆς ἡμετέρας ἐν νόμῳ θεοῦ ἀσκήσεως.

25 1 Οὕτω δὴ τοίνυν καθεστηκυίας συμπαθοῦς τῆς φιλαδελ- 23
φίας, οἱ ἑπτὰ ἀδελφοὶ συμπαθέστερον ἔσχον τὴν πρὸς ἀλλή-
2 λους ὁμόνοιαν. Νόμῳ γὰρ τῷ αὐτῷ παιδευθέντες καὶ τὰς αὐ- 24
τὰς ἐξασκήσαντες ἀρετὰς καὶ τῷ δικαίῳ συντραφέντες βίῳ,
3 μᾶλλον ἑαυτοὺς ἠγάπων. ἡ γὰρ ὁμοζηλία τῆς καλοκαγαθίας ἐ- 25
4 πέτεινεν αὐτῶν τὴν πρὸς ἀλλήλους εὔνοιαν καὶ ὁμόνοιαν. σὺν 26
γὰρ τῇ εὐσεβείᾳ ποθεινοτέραν αὐτοῖς κατεσκεύαζον τὴν φιλα-
5 δελφίαν. ἀλλ' ὅμως καὶ περὶ τῆς φύσεως καὶ τῆς συνηθείας 27
καὶ τῶν τῆς ἀρετῆς ἠθῶν τὰ τῆς ἀδελφότητος αὐτοῖς φίλτρα συναυξόντων, ἠνέσχοντο διὰ τὴν εὐσέβειαν τοὺς ἀδελφοὺς οἱ ὑπολελειμμένοι, τοὺς καταικιζομένους ὁρῶντες μέχρι θανάτου
6 βασανιζομένους. προσέτι καὶ ἐπὶ τὸν αἰκισμὸν ἐποτρύνοντες, 1 **14**
ὡς μὴ μόνον τῶν ἀλγηδόνων περιφρονῆσαι αὐτούς, ἀλλὰ καὶ
7 τῶν τῆς τῶν ἀδελφῶν φιλαδελφίας παθῶν κρατῆσαι. ὦ βασι- 2
λέως λογισμοὶ βασιλικώτεροι καὶ ἐλευθέρων ἐλευθερώτεροι! ὦ ἱερᾶς καὶ εὐαρμόστου περὶ τῆς εὐσεβείας τῶν ἑπτὰ ἀδελ- 3
8 φῶν συμφωνίας! οὐδεὶς ἐκ τῶν ἑπτὰ μειρακίων ἐδειλίασεν οὐ- 4
δὲ πρὸς τὸν θάνατον ὤκνησεν, ἀλλὰ πάντες ὥσπερ ἐπ' ἀθανα- 5
σίας ὁδὸν τρέχοντες, ἐπὶ τὸν διὰ τῶν βασάνων θάνατον ἔ-
9 σπευδον. καθάπερ γὰρ χεῖρες καὶ πόδες συμφώνως τοῖς τῆς 6
ψυχῆς ἀφηγήμασι κινοῦνται, οὕτως οἱ ἱεροὶ μείρακες ἐκεῖνοι ὡς ὑπὸ ψυχῆς μιᾶς τῆς ἀθανάτου τῆς εὐσεβείας κινούμενοι πρὸς τὸν ὑπὲρ αὐτῆς συνεφώνησαν θάνατον.

26 1 Ὦ πανάγιε συμφώνων ἀδελφῶν ἑβδομάς! καθάπερ γὰρ ἑ- 7
πτὰ τῆς κοσμοποιίας ἡμέραι περὶ τὴν εὐσέβειαν, οὕτω περὶ 8
τὴν ἑβδομάδα χορεύοντες οἱ μείρακες ἐκύκλουν τὸν τῶν βα-
2 σάνων φόβον καταλύοντες. νῦν ἡμεῖς ἀκούοντες τὴν θλῖψιν 9
τῶν νεανιῶν ἐκείνων φρίττομεν· οἱ δὲ οὐ μόνον ὁρῶντες, ἀλλ' οὐδὲ μόνον ἀκούοντες τὸν παραχρῆμα ἀπειλῆς λόγον, ἀλλὰ καὶ πάσχοντες ἐνεκαρτέρουν, καὶ τοῦτο ταῖς διὰ πυρὸς ὀδύ-
3 ναις. ὧν τί ἂν γένοιτο ἐπαλγέστερον; ὀξεῖα γὰρ καὶ σύντομος 10
4 ἡ τοῦ πυρὸς οὖσα δύναμις ταχέως διέλυε τὰ σώματα. καὶ μὴ 11
θαυμαστὸν ἡγεῖσθε εἰ ὁ λογισμὸς περιεκράτησε τῶν ἀνδρῶν ἐκείνων ἐν ταῖς βασάνοις, ὅπου γε καὶ γυναικὸς νοῦς πολυτρο-
5 πωτέρων ὑπερεφρόνησεν ἀλγηδόνων· ἡ μήτηρ γὰρ τῶν ἑπτὰ 12
νεανίσκων ἐκείνων ὑπήνεγκε τὰς ἐφ' ἑνὶ ἑκάστῳ τῶν τέκνων
6 στρέβλας. θεωρεῖτε δὲ πῶς πολύπλοκός ἐστιν ἡ τῆς φιλοτε- 13
κνίας στοργὴ ἕλκουσα πάντα πρὸς τὴν τῶν σπλάγχνων συ-

7 μπάθειαν, ὅπου γε καὶ τὰ ἄλογα ζῷα ὁμοίαν τὴν εἰς τὰ ἐξ αὐ- 14
τῶν γεννώμενα συμπάθειαν καὶ στοργὴν ἔχει τοῖς ἀνθρώποις.
8 καὶ γὰρ τῶν πετεινῶν τὰ μὲν ἥμερα κατὰ τὰς οἰκίας ὀροφοφοι- 15
τοῦντα προασπίζει τῶν νεοσσῶν, τὰ δὲ κατὰ τὰς κορυφὰς ὀ- 16
ρέων καὶ φαράγγων ἀπορρῶγας καὶ δένδρων ὀπὰς καὶ τὰς
τούτων ἄκρας ἐννοσσοποιησάμενα ἀποτίκτει καὶ τὸν προσιό-
9 ντα κωλύει· εἰ δὲ καὶ μὴ δύναιντο κωλύειν, περιιπτάμενα κυ- 17
κλόθεν αὐτῶν ἀλγοῦντα τῇ στοργῇ, ἀνακαλούμενα τῇ ἰδίᾳ φω-
10 νῇ, καθ' ὃν δύναται τρόπον βοηθεῖ τοῖς τέκνοις. καὶ τί δεῖ διὰ 18
τῶν ἀλόγων ζῴων ἐπιδεικνύναι τὴν πρὸς τὰ τέκνα συμπά-
11 θειαν; ὅπου γε καὶ μέλισσαι περὶ τὸν τῆς κηρογονίας καιρὸν ἐ- 19
παμύνονται τοὺς προσιόντας καὶ καθάπερ σιδήρῳ τῷ κέντρῳ
πλήσσουσι τοὺς προσιόντας τῇ νοσσιᾷ αὐτῶν καὶ ἐπαμύνου-
12 σιν ἕως θανάτου; ἀλλ' οὐχὶ τὴν τοῦ Ἀβραὰμ ὁμόψυχον τῶν νε- 20
ανιῶν μητέρα μετεκίνησε συμπάθεια τῶν τέκνων.

27 1 Ὦ λογισμὲ τέκνων, παθῶν τύραννε, καὶ εὐσέβεια μητρὶ τέ- 1 **15**
2 κνων ποθεινοτέρα. μήτηρ δυοῖν προκειμένων, εὐσεβείας καὶ 2
τῆς τῶν ἑπτὰ υἱῶν σωτηρίας προσκαίρου κατὰ τὴν τοῦ τυράν-
νου ὑπόσχεσιν, τὴν εὐσέβειαν μᾶλλον ἠγάπησε τὴν σῴζουσαν 3
3 εἰς αἰώνιον ζωὴν κατὰ θεόν. ὦ τίνα τρόπον ἠθολογήσαιμι, φι- 4
λότεκνα γονέων πάθη! ψυχῆς τε καὶ μορφῆς ὁμοιότητα εἰς μι-
4 κρὸν παιδὸς χαρακτῆρα θαυμάσιον ἐναποσφραγίζομεν. μάλι-
στα διὰ τὸ τῶν παθῶν τοῖς γεννηθεῖσι τὰς μητέρας τῶν πατέ-
5 ρων καθεστάναι συμπαθεστέρας. ὅσῳ γὰρ καὶ ἀσθενόψυχοι καὶ 5
φιλογονώτεραι ὑπάρχουσιν αἱ μητέρες, τοσοῦτον μᾶλλόν εἰσι
6 φιλοτεκνότεραι. πασῶν δὲ τῶν μητέρων ἐγένετο ἡ τῶν ἑπτὰ 6
παίδων μήτηρ φιλοτεκνοτέρα, ἥτις ἑπτὰ κυοφορίαις τὴν πρὸς
αὐτοὺς ἐπιφυτευομένη φιλοστοργίαν καὶ διὰ πολλὰς τὰς καθ' ἕ- 7
καστον αὐτῶν ὠδῖνας ἠναγκασμένη τὴν εἰς αὐτοὺς ἔχειν συ-
7 μπάθειαν, διὰ τὸν πρὸς τὸν θεὸν φόβον ὑπερεῖδε τὴν τῶν τέ- 8
8 κνων πρόσκαιρον σωτηρίαν. οὐ μὴν δέ, ἀλλὰ καὶ διὰ τὴν καλο- 9
καγαθίαν τῶν υἱῶν καὶ τὴν πρὸς τὸν Νόμον αὐτῶν εὐπείθειαν
9 μείζω τὴν ἐν αὐτοῖς ἔσχε φιλοστοργίαν. δίκαιοί τε γὰρ ἦσαν 10
καὶ σώφρονες καὶ ἀνδρεῖοι καὶ μεγαλόψυχοι καὶ φιλάδελφοι καὶ
φιλομήτορες οὕτως, ὥστε καὶ μέχρι θανάτου τὰ νόμιμα φυλάσ-
10 σοντας πείθεσθαι αὐτῇ. ἀλλ' ὅμως καίπερ τοσούτων ὄντων 11
τῶν περὶ φιλοτεκνίαν εἰς συμπάθειαν ἑλκόντων τὴν μητέρα, ἐπ'
οὐδενὸς αὐτῶν τὸν λογισμὸν αὐτῆς αἱ παμποίκιλοι βάσανοι ἴ-
11 σχυσαν μεταστρέψαι, ἀλλὰ καὶ καθ' ἕνα παῖδα καὶ ὁμοῦ πάντας 12
ἡ μήτηρ ἐπὶ τὸν ὑπὲρ τῆς εὐσεβείας προετρέπετο θάνατον.

28 1 Ὦ φύσις ἱερὰ καὶ φίλτρα γονέων καὶ γένεσις φιλόστοργε 13
καὶ τροφεῖα καὶ μητέρων ἀδάμαστα πάθη! καθ' ἕνα στρεβλού- 14
μενον καὶ φλεγόμενον ὁρῶσα μήτηρ, οὐ μετεβάλλετο διὰ τὴν
2 εὐσέβειαν. τὰς σάρκας τῶν τέκνων ἑώρα περὶ τὸ πῦρ τηκομέ- 15
νας καὶ τοὺς τῶν ποδῶν καὶ χειρῶν δακτύλους ἐπὶ γῆς σπαί-

ροντας καὶ τὰς τῶν κεφαλῶν μέχρι τῶν περὶ τὰ γένεια σάρκας
3 ὥσπερ προσωπεῖα προκειμένας. ὦ πικροτέρων μὲν νῦν μήτηρ 16
πόνων πειρασθεῖσα ἤπερ τῶν ἐπ' αὐτοῖς ὠδίνων! ὦ μόνη γύ- 17
4 ναι τὴν εὐσέβειαν ὁλόκληρον ἀποκυήσασα! οὐ μετέτρεψέ σε 18
πρωτότοκος ἀποπνέων, οὐδὲ δεύτερος εἰς σὲ οἰκτρὸν βλέπων
5 ἐν βασάνοις, οὐδὲ τρίτος ἀποψύχων, οὐδὲ τοὺς ὀφθαλμοὺς ἑ- 19
νὸς ἑκάστου θεωροῦσα ταυρηδὸν ἐπὶ τῶν βασάνων ὁρῶντας
τὸν ἑαυτῶν αἰκισμὸν καὶ τοὺς μυκτῆρας προσημειουμένους
6 αὐτῶν τὸν θάνατον, οὐκ ἔκλαυσας. ἐπὶ σαρξὶ τέκνων ὁρῶσα 20
σάρκας τέκνων ἀποκαιομένας καὶ ἐπὶ χερσὶ χεῖρας ἀποτεμνο-
μένας καὶ ἐπὶ κεφαλαῖς κεφαλὰς ἀποδειροτομουμένας καὶ ἐπὶ
νεκροῖς νεκροὺς πίπτοντας καὶ πολυάνδριον ὁρῶσα τῶν τέ-
7 κνων τὸ χορεῖον διὰ τῶν βασάνων, οὐκ ἐδάκρυσας. οὐχ οὕτω 21
σειρήνειοι μελῳδίαι, οὐδὲ κύκνειοι πρὸς φιληκοΐαν φωναὶ
τοὺς ἀκούοντας ἐφέλκονται, ὡς τέκνων φωναὶ μετὰ βασάνων
8 μητέρα φωνούντων. πηλίκαις καὶ πόσαις τότε ἡ μήτηρ τῶν υἱ- 22
ῶν βασανιζομένων τροχοῖς τε καὶ καυτηρίοις ἐβασανίζετο βα-
9 σάνοις! ἀλλὰ τὰ σπλάγχνα αὐτῆς ὁ εὐσεβὴς λογισμὸς ἐν αὐ- 23
τοῖς τοῖς πάθεσιν ἀνδρειώσας ἐπέτεινε τὴν πρόσκαιρον φιλο-
10 τεκνίαν παριδεῖν. καίπερ ἑπτὰ τέκνων ὁρῶσα ἀπώλειαν καὶ 24
τὴν τῶν στρεβλῶν πολύπλοκον ποικιλίαν, ἁπάσας ἡ γενναία
11 μήτηρ ἐξέλυσε διὰ τὴν πρὸς θεὸν πίστιν. καθάπερ γὰρ ἐν βου- 25
λευτηρίῳ τῇ ἑαυτῆς ψυχῇ δεινοὺς ὁρῶσα συμβούλους, φύσιν
12 καὶ γένεσιν καὶ φιλοτεκνίαν καὶ τέκνων στρέβλας, δύο ψήφους 26
κρατοῦσα μήτηρ, θανατηφόρον τε καὶ σωτήριον, ὑπὲρ τέκνων 27
οὐκ ἐπέγνω τὴν σῴζουσαν ἑπτὰ υἱοὺς πρὸς ὀλίγον χρόνον
σωτηρίαν, ἀλλὰ τῆς θεοσεβοῦς Ἀβραὰμ καρτερίας ἡ θυγάτηρ 28
13 ἐμνήσθη. ὦ μήτηρ ἔθνους, ἔκδικε τοῦ Νόμου καὶ ὑπερασπί- 29
στρια τῆς εὐσεβείας καὶ τοῦ διὰ σπλάγχνων ἀγῶνος ἀθλοφό-
ρε! ὦ ἀρρένων πρὸς καρτερίαν γενναιοτέρα καὶ ἀνδρῶν πρὸς 30
14 ὑπομονὴν ἀνδρειοτέρα! καθάπερ γὰρ ἡ Νῶε κιβωτὸς ἐν τῷ 31
κοσμοπληθεῖ κατακλυσμῷ κοσμοφοροῦσα καρτερῶς ὑπήνεγκε
15 τοὺς κλύδωνας, οὕτω σύ, ἡ νομοφύλαξ, παντοχόθεν ἐν τῷ 32
τῶν παθῶν περιαντλουμένη κατακλυσμῷ καὶ καρτεροῖς ἀνέ-
μοις, ταῖς τῶν υἱῶν βασάνοις συνεχομένη γενναίως ὑπέμεινας
τοὺς ὑπὲρ τῆς εὐσεβείας χειμῶνας.

29 1 Εἰ δὲ τοίνυν καὶ γυνὴ καὶ γηραιὰ καὶ ἑπτὰ παίδων μήτηρ 1 **16**
ὑπέμεινε τὰς μέχρι θανάτου βασάνους ὁρῶσα τῶν τέκνων, ὁ-
μολογουμένως αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ εὐσεβὴς λογι-
2 σμός. ἀπέδειξα οὖν ὅτι οὐ μόνον τῶν παθῶν ἄνδρες ἐπεκράτη- 2
σαν, ἀλλὰ καὶ γυνὴ τῶν μεγίστων βασάνων ὑπερεφρόνησε.
3 καὶ οὐχ οὕτως οἱ περὶ τὸν Δανιὴλ λέοντες ἦσαν ἄγριοι, οὐδὲ ἡ 3
κατὰ τὸν Μισαὴλ ἐκφλεγομένη κάμινος λαμπροτάτῳ πυρί, ὡς
ἡ τῆς φιλοτεκνίας περιέκαιεν ἐκείνην φύσις, ὁρῶσαν αὐτῆς
4 οὕτω ποικίλως τοὺς ἑπτὰ υἱοὺς βασανιζομένους. ἀλλὰ τῷ λο- 4

γισμῷ τῆς εὐσεβείας κατέσβεσε τοσαῦτα καὶ τηλικαῦτα πάθη
5 ἡ μήτηρ. καὶ γὰρ τοῦτο ἐπιλογίσασθε, ὅτι εἰ δειλόψυχος ἦν ἡ 5
γυνή, καίπερ μήτηρ οὖσα, ὠλοφύρετο ἂν ἐπ' αὐτοῖς καὶ ἴσως
6 ἂν ταῦτα οὕτως εἶπεν· «Ὦ μελέα ἔγωγε καὶ πολλάκις τρισα- 6
θλία ἥτις ἑπτὰ παῖδας τεκοῦσα οὐδενὸς μήτηρ γεγένημαι! ὦ 7
μάταιοι ἑπτὰ κυοφορίαι, καὶ ἀνόνητοι ἑπτὰ δεκάμηνοι καὶ ἄ-
7 καρποι τιθηνίαι καὶ ταλαίπωροι γαλακτοτροφίαι! μάτην ἐφ' ὑ- 8
μῖν, ὦ παῖδες, πολλὰς ὑπέμεινα ὠδῖνας καὶ χαλεπωτέρας φρο-
8 ντίδας ἀνατροφῆς. ὦ τῶν ἐμῶν παίδων! οἱ μὲν ἄγαμοι, οἱ δὲ 9
γήμαντες ἀνόνητοι· οὐκ ὄψομαι ὑμῶν τέκνα, οὐδὲ μάμμη κλη-
9 θεῖσα μακαρισθήσομαι. ὦ ἡ πολύπαις καὶ καλλίπαις ἐγὼ γυνὴ 10
χήρα καὶ μόνη πολύθρηνος! οὐδ' ἂν ἀποθάνω, θάψοντα τῶν υἱ- 11
ῶν ἕξω τινά».

30 1 Ἀλλὰ τούτῳ τῷ θρήνῳ οὐδένα ὠλοφύρετο ἡ ἱερὰ καὶ θεο-
σεβὴς μήτηρ, οὐδ' ἵνα μὴ ἀποθάνωσιν ἀπέτρεπεν αὐτῶν τινα 12
2 οὐδ' ὡς ἀποθνησκόντων ἐλυπήθη· ἀλλ' ὥσπερ ἀδαμάντινον ἔ- 13
χουσα τὸν νοῦν καὶ εἰς ἀθανασίαν ἀνατίκτουσα τὸν τῶν υἱῶν
ἀριθμόν, μᾶλλον ὑπὲρ τῆς εὐσεβείας ἐπὶ τὸν θάνατον αὐτοὺς
3 προετρέπετο ἱκετεύουσα. ὦ μῆτερ δι' εὐσέβειαν θεοῦ στρατιῶ- 14
τι, πρεσβῦτι, καὶ γύναι! διὰ καρτερίαν καὶ τύραννον ἐνίκησας
4 καὶ ἔργοις δυνατωτέρα καὶ λόγοις εὑρέθης ἀνδρός. καὶ γὰρ ὅ- 15
τε συνελήφθης μετὰ τῶν παίδων, εἱστήκεις τὸν Ἐλεάζαρον ὁ-
ρῶσα βασανιζόμενον καὶ ἔλεγες τοῖς παισὶν ἐν τῇ ἑβραΐδι φω-
5 νῇ. «Ὦ παῖδες, γενναῖος ὁ ἀγών, ἐφ' ὃν κληθέντες ὑπὲρ τῆς 16
διαμαρτυρίας τοῦ ἔθνους, ἐναγωνίσασθε προθύμως ὑπὲρ τοῦ
6 πατρίου Νόμου. καὶ γὰρ αἰσχρὸν τὸν μὲν γέροντα τοῦτον ὑπο- 17
μένειν τὰς διὰ τὴν εὐσέβειαν ἀλγηδόνας, ὑμᾶς δὲ τοὺς νεανί-
7 σκους καταπλαγῆναι τὰς βασάνους. ἀναμνήσθητε ὅτι διὰ τὸν 18
θεὸν τοῦ κόσμου μετελάβετε, καὶ τοῦ βίου ἀπελαύσατε, καὶ διὰ 19
8 τοῦτο ὀφείλετε πάντα πόνον ὑπομένειν διὰ τὸν θεόν, δι' ὃν καὶ 20
ὁ πατὴρ ἡμῶν Ἀβραὰμ ἔσπευδε τὸν ἐθνοπάτορα υἱὸν σφαγιά-
σαι Ἰσαάκ, καὶ τὴν πατρῴαν χεῖρα ξιφηφόρον καταφερομένην
9 ἐπ' αὐτὸν ὁρῶν ὁ Ἰσαὰκ οὐκ ἔπτηξε. καὶ Δανιὴλ ὁ δίκαιος εἰς 21
λέοντας ἐβλήθη, καὶ Ἀνανίας καὶ Ἀζαρίας καὶ Μισαὴλ εἰς κά-
μινον πυρὸς ἀπεσφενδονήθησαν καὶ ὑπέμειναν διὰ τὸν θεόν.
10 καὶ ἡμεῖς οὖν τὴν αὐτὴν πίστιν πρὸς τὸν θεὸν ἔχοντες μὴ χα- 22
11 λεπαίνετε. ἀλόγιστον γὰρ εἰδότας εὐσέβειαν μὴ ἀνθίστασθαι 23
τοῖς πόνοις». διὰ τούτων τῶν λόγων ἡ ἑπταμήτωρ ἕνα ἕκα- 24
στον τῶν υἱῶν παρακαλοῦσα, ἀποθανεῖν ἔπεισε μᾶλλον ἢ πα-
12 ραβῆναι τὴν ἐντολὴν τοῦ θεοῦ· ἔτι δὲ καὶ ταῦτα εἰδότες ὅτι οἱ 25
διὰ τὸν θεὸν ἀποθανόντες ζῶσι τῷ θεῷ, ὥσπερ Ἀβραὰμ καὶ Ἰ-
σαὰκ καὶ Ἰακὼβ καὶ πάντες οἱ πατριάρχαι.

31 1 Ἔλεγον δὲ καὶ τῶν δορυφόρων τινὲς ὡς ὅτε ἔμελλε καὶ 1 **17**
αὐτὴ συλλαμβάνεσθαι πρὸς θάνατον, ἵνα μὴ ψαύσειέ τις τοῦ
2 σώματος αὐτῆς, ἑαυτὴν ἔρριψεν κατὰ τῆς πυρᾶς. ὦ μήτηρ σὺν 2

ἑπτὰ παισὶ καταλύσασα τὴν τοῦ τυράννου βίαν καὶ ἀκυρώσασα τὰς κακὰς ἐπινοίας αὐτοῦ καὶ ἐπιδείξασα τὴν τῆς πίστεως
3 γενναιότητα! καθάπερ γὰρ σὺ στέγη ἐπὶ τοὺς στύλους τῶν 3
παίδων γενναίως ἱδρυμένη, ἀκλινὴς ὑπήνεγκας τὸν διὰ τῶν
4 βασάνων σεισμόν. θάρρει τοιγαροῦν, ὦ μήτηρ ἱερόψυχε, τὴν 4
5 ἐλπίδα τῆς ὑπομονῆς βεβαίαν ἔχουσα πρὸς τὸν θεόν. οὐχ οὕ- 5
τω σελήνη κατ' οὐρανὸν σὺν ἄστροις σεμνὴ καθέστηκεν, ὡς σὺ τοὺς ἰσαστέρους ἑπτὰ παῖδας φωταγωγήσασα πρὸς τὴν εὐσέβειαν ἔντιμος καθέστηκας θεῷ καὶ ἐστήρισαι ἐν οὐρανῷ σὺν
6 αὐτοῖς· ἦν γὰρ ἡ παιδοποιία σου ἀπὸ Ἀβραὰμ τοῦ πατρός. 6

32 1 Εἰ δὲ ἐξὸν ἡμῖν ἦν, ὥσπερ ἐπί τινος πίνακος, ζωγραφῆσαι 7
τὴν τῆς εὐσεβείας σου ἱστορίαν οὐκ ἂν ἔφριττον οἱ θεωροῦντες μητέρα ἑπτὰ τέκνων δι' εὐσέβειαν ποικίλας βασάνους μέ-
2 χρι θανάτου ὑπομείνασαν; καὶ γὰρ ἄξιον ἦν καὶ ἐπὶ αὐτοῦ τοῦ 8
ἐπιταφίου ἀναγράψαι καὶ ταῦτα τοῖς ἀπὸ τοῦ ἔθνους εἰς μνείαν
3 λεγόμενα· «Ἐνταῦθα γέρων ἱερεὺς καὶ γυνὴ γηραιὰ καὶ ἑπτὰ 9
παῖδες ἐγκεκήδευνται διὰ τυράννου βίαν, τὴν Ἑβραίων πολι-
4 τείαν καταλῦσαι θέλοντος, οἳ καὶ ἐξεδίκησαν τὸ ἔθνος εἰς θεὸν 10
ἀφορῶντες καὶ μέχρι θανάτου τὰς βασάνους ὑπομείναντες».

33 1 Ἀληθῶς γὰρ ἦν ἀγὼν θεῖος ὁ δι' αὐτῶν γεγενημένος. ἠ- 11 12
θλοθέτει γὰρ τότε ἀρετὴ δι' ὑπομονῆς δοκιμάζουσα τὸ νῖκος ἀ-
2 φθαρσίᾳ ἐν ζωῇ πολυχρονίῳ. Ἐλεάζαρος δὲ προηγωνίζετο, ἡ 13
δὲ μήτηρ τῶν ἑπτὰ παίδων ἐνήθλει, οἱ δὲ ἀδελφοὶ ἠγωνίζοντο·
3 ὁ τύραννος ἀντηγωνίζετο, ὁ δὲ κόσμος καὶ ὁ τῶν ἀνθρώπων 14
βίος ἐθεώρει· θεοσέβεια δὲ ἐνίκα, τοὺς ἑαυτῆς ἀθλητὰς στεφα- 15
4 νοῦσα. τίνες οὐκ ἐθαύμασαν τοὺς τῆς θείας νομοθεσίας ἀθλη- 16
τάς; τίνες οὐκ ἐξεπλάγησαν; αὐτός γέ τοι ὁ τύραννος καὶ ὅλον 17
5 τὸ συνέδριον αὐτῶν ἐξεθαύμασαν αὐτῶν τὴν ὑπομονήν. δι' ἣν 18
καὶ τῷ θείῳ νῦν παρεστήκασι θρόνῳ καὶ τὸν μακάριον βιοῦσιν
6 αἰῶνα. καὶ γάρ φησιν ὁ Μωϋσῆς· καὶ πάντες οἱ ἡγιασμένοι ὑ- 19
7 πὸ τὰς χεῖράς σου. καὶ οὗτοι οὖν οἱ ἁγιασθέντες διὰ θεὸν τετί- 20
μηνται οὐ μόνον ταύτῃ τῇ τιμῇ ἀλλὰ καὶ τῷ δι' αὐτοὺς τοῦ ἔθνους ἡμῶν τοὺς πολεμίους μὴ ἐπικρατῆσαι καὶ τὸν τύραννον 21
τιμωρηθῆναι καὶ τὴν πατρίδα καθαρισθῆναι, ὥσπερ ἀντίψυχον 22
8 γεγονότας τῆς τοῦ ἔθνους ἁμαρτίας· καὶ διὰ τοῦ αἵματος τῶν εὐσεβῶν ἐκείνων καὶ τοῦ ἱλαστηρίου θανάτου αὐτῶν ἡ θεία
9 πρόνοια τὸν Ἰσραὴλ προκακωθέντα διέσωσε. πρὸς γὰρ τὴν 23
ἀνδρίαν αὐτῶν τῆς ἀρετῆς καὶ τὴν ἐπὶ ταῖς βασάνοις αὐτῶν ὑπομονὴν ὁ τύραννος ἀπιδὼν Ἀντίοχος, ἀνεκήρυξε τοῖς στρα-
10 τιώταις αὐτοῦ εἰς ὑπόδειγμα τὴν ἐκείνων ὑπομονήν. ἔσχε τε 24
αὐτοὺς γενναίους καὶ ἀνδρείους εἰς πεζομαχίαν καὶ πολιορκίαν καὶ ἐκπορθήσας ἐνίκησε πάντας τοὺς πολεμίους.

34 1 Ὦ τῶν Ἀβραμιαίων σπερμάτων ἀπόγονοι παῖδες Ἰσραηλῖ- 1 **18**
ται, πείθεσθε τῷ Νόμῳ τούτῳ καὶ πάντα τρόπον εὐσεβεῖτε, γι- 2
νώσκοντες ὅτι τῶν παθῶν δεσπότης ἐστὶν ὁ εὐσεβὴς λογι-

σμὸς καὶ οὐ μόνον τῶν ἔνδοθεν, ἀλλὰ καὶ τῶν ἔξωθεν πόνων·
2 ἀνθ' ὧν διὰ τὴν εὐσέβειαν προέμενοι τὰ σώματα τοῖς πόνοις ἐ- 3
κεῖνοι, οὐ μόνον ὑπὸ τῶν ἀνθρώπων ἐθαυμάσθησαν, ἀλλὰ καὶ
3 θείας μερίδος κατηξιώθησαν. καὶ δι' αὐτοὺς εἰρήνευσε τὸ ἔ- 4
θνος, καὶ τὴν εὐνομίαν τὴν ἐπὶ τῆς πατρίδος ἀνανεωσάμενοι
4 ἐκπεπολιορκήκασι τοὺς πολεμίους. καὶ ὁ τύραννος Ἀντίοχος 5
καὶ ἐπὶ γῆς τετιμώρηται καὶ ἀποθανὼν κολάζεται· ὡς γὰρ οὐ-
δὲν οὐδαμῶς ἴσχυσεν ἀναγκάσαι τοὺς Ἱεροσολυμίτας ἀλλοφυ-
λῆσαι καὶ τῶν πατρίων ἐθῶν ἐκδιαιτηθῆναι, τότε δὴ ἀπάρας ἀ-
5 πὸ τῶν Ἱεροσολύμων ἐστρατοπέδευσεν ἐπὶ Πέρσας. ἔλεγε δὲ 6
ἡ μήτηρ τῶν ἑπτὰ παίδων καὶ ταῦτα τὰ δικαιώματα τοῖς τέ-
6 κνοις· ὅτι «Ἐγὼ ἐγενήθην παρθένος ἁγνὴ καὶ οὐχ ὑπερέβην 7
τὸν πατρικὸν οἶκον, ἐφύλασσον δὲ τὴν ᾠκοδομημένην πλευ-
7 ράν. οὐδὲ ἔφθειρέ με λυμεὼν ἐρημίας φθορεὺς ἐν πεδίῳ, οὐδὲ 8
ἐλυμήνατό μου τὰ ἁγνὰ τῆς παρθενίας λυμεὼν ἀπατηλὸς ὄφις·
8 ἔμεινα δὲ χρόνον ἀκμῆς σὺν ἀνδρί. τούτων δὲ ἐνηλίκων γενο- 9
μένων ἐτελεύτησεν ὁ πατὴρ αὐτῶν. μακάριος μὲν ἐκεῖνος· τὸν
γὰρ τῆς εὐτεκνίας βίον ἐπιζήσας τὸν τῆς ἀτεκνίας οὐκ ὠδυνή-
9 θη καιρόν. ὃς ἐδίδασκεν ὑμᾶς, ἔτι ὢν σὺν ὑμῖν, τὸν Νόμον καὶ 10
10 τοὺς Προφήτας. τὸν ἀναιρεθέντα Ἄβελ ὑπὸ Κάιν, ἀνεγίνωσκέ 11
τε ὑμῖν καὶ τὸν ὁλοκαρπούμενον Ἰσαὰκ καὶ τὸν ἐν φυλακῇ Ἰω-
11 σήφ. ἔλεγε δὲ ὑμῖν τὸν ζηλωτὴν Φινεές, ἐδίδασκέ τε ὑμᾶς 12
12 τοὺς ἐν πυρὶ Ἀνανίαν καὶ Ἀζαρίαν καὶ Μισαήλ. ἐδόξαζε δὲ καὶ 13
13 τὸν ἐν λάκκῳ λεόντων Δανιήλ, ὃν καὶ ἐμακάριζεν. ὑπεμίμνη- 14
σκε δὲ ὑμᾶς καὶ τὴν Ἠσαΐου γραφὴν τὴν λέγουσαν· κἂν διὰ
14 πυρὸς διέλθῃς, φλὸξ οὐ κατακαύσει σε. τὸν ὑμνογράφον ἐμε- 15
λῴδει ὑμῖν Δαυῖδ τὸν λέγοντα· Πολλαὶ αἱ θλίψεις τῶν δικαίων,
15 καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος. τὸν Σαλομῶ- 16
ντα ἐπαροιμίαζεν ὑμῖν τὸν λέγοντα· Ξύλον ζωῆς ἐστι πᾶσι τοῖς
16 ποιοῦσιν αὐτοῦ τὸ θέλημα. τὸν Ἰεζεκιὴλ ἐπιστοποιεῖτο τὸν λέ- 17
17 γοντα· Εἰ ζήσεται τὰ ὀστᾶ τὰ ξηρὰ ταῦτα; ᾠδὴν μὲν γάρ, ἣν ἐ- 18
δίδαξε Μωσῆς, οὐκ ἐπελάθετο τὴν διδάσκουσαν καὶ λέγου-
18 σαν· Ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω· αὕτη ἡ ζωὴ ὑμῶν καὶ ἡ 19
μακρότης τῶν ἡμερῶν».

35 1 Ὦ πικρᾶς τῆς τότε ἡμέρας καὶ οὐ πικρᾶς, ὅτε ὁ πικρὸς 20
Ἑλλήνων τύραννος πῦρ φλέξας λέβησιν ὠμοῖς καὶ ζέουσι θυ-
μοῖς ἀγαγὼν ἐπὶ τὸν καταπέλτην καὶ πάσας τὰς βασάνους αὐ-
2 τοῦ τοὺς ἑπτὰ παῖδας τῆς Ἀβρααμίτιδος καὶ τὰς τῶν ὀμμάτων 21
κόρας ἐπήρωσε καὶ γλώσσας ἐξέτεμε καὶ βασάνοις ποικίλαις
3 ἀπέκτεινεν. ὑπὲρ ὧν ἡ θεία δίκη μετῆλθε καὶ μετελεύσεται τὸν 22
4 ἀλάστορα τύραννον. οἱ δὲ Ἀβραμιαῖοι παῖδες σὺν τῇ ἀθλοφό- 23
ρῳ μητρὶ εἰς πατέρων χορὸν συναγελάζονται ψυχὰς ἁγνὰς καὶ
ἀθανάτους ἀπειληφότες παρὰ τοῦ θεοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶ- 24
νας τῶν αἰώνων. Ἀμήν.

9. ΣΟΦΙΑ ΣΟΛΟΜΩΝΤΟΣ

1 1 Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, 1 **1**
φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι
καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν.
ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, 2
5 ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ.
σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ θεοῦ, 3
δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει τοὺς ἄφρονας.
ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία 4
οὐδὲ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίας.
10 ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον 5
καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων
καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας.
φιλάνθρωπον γὰρ πνεῦμα σοφία 6
καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ·
15 ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ θεὸς
καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς
καὶ τῆς γλώσσης ἀκουστής.
ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην, 7
καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς.
20 διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς οὐ μὴ λάθῃ, 8
οὐδ' οὐ μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη.
ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, 9
λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει
εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ·
25 ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα, 10
καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.
φυλάξασθε τοίνυν γογγυσμὸν ἀνωφελῆ 11
καὶ ἀπὸ καταλαλιᾶς φείσασθε γλώσσης·
ὅτι φθέγμα λαθραῖον κενὸν οὐ πορεύσεται,
30 στόμα δὲ καταψευδόμενον ἀναιρεῖ ψυχήν.
2 1 Μὴ ζηλοῦτε θάνατον ἐν πλάνῃ ζωῆς ὑμῶν 12
μηδὲ ἐπισπᾶσθε ὄλεθρον ἐν ἔργοις χειρῶν ὑμῶν·
ὅτι ὁ θεὸς θάνατον οὐκ ἐποίησεν 13
οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων.
5 ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα, 14
καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου,
καὶ οὐκ ἔστιν ἐν αὐταῖς φάρμακον ὀλέθρου
οὔτε ᾅδου βασίλειον ἐπὶ γῆς.

δικαιοσύνη γὰρ ἀθάνατός ἐστιν. 15
ἀσεβεῖς δὲ ταῖς χερσὶ καὶ τοῖς λόγοις 16
προσεκαλέσαντο αὐτόν,
φίλον ἡγησάμενοι αὐτὸν ἐτάκησαν
καὶ συνθήκην ἔθεντο πρὸς αὐτόν,
ὅτι ἄξιοί εἰσι τῆς ἐκείνου μερίδος εἶναι.
εἶπον γὰρ ἐν ἑαυτοῖς λογισάμενοι οὐκ ὀρθῶς· 1 **2**
Ὀλίγος ἐστὶ καὶ λυπηρὸς ὁ βίος ἡμῶν,
καὶ οὐκ ἔστιν ἴασις ἐν τελευτῇ ἀνθρώπου,
καὶ οὐκ ἐγνώσθη ὁ ἀναλύσας ἐξ ᾅδου.
ὅτι αὐτοσχεδίως ἐγεννήθημεν 2
καὶ μετὰ τοῦτο ἐσόμεθα ὡς οὐχ ὑπάρξαντες·
ὅτι καπνὸς ἡ πνοὴ ἐν ῥισὶν ἡμῶν,
καὶ ὁ λόγος σπινθὴρ ἐν κινήσει καρδίας ἡμῶν,
οὗ σβεσθέντος τέφρα ἀποβήσεται τὸ σῶμα 3
καὶ τὸ πνεῦμα διαχυθήσεται ὡς χαῦνος ἀήρ.
καὶ τὸ ὄνομα ἡμῶν ἐπιλησθήσεται ἐν χρόνῳ, 4
καὶ οὐθεὶς μνημονεύσει τῶν ἔργων ἡμῶν·
καὶ παρελεύσεται ὁ βίος ἡμῶν ὡς ἴχνη νεφέλης
καὶ ὡς ὁμίχλη διασκεδασθήσεται
διωχθεῖσα ὑπὸ ἀκτίνων ἡλίου
καὶ ὑπὸ θερμότητος αὐτοῦ βαρυνθεῖσα.
σκιᾶς γὰρ πάροδος ὁ καιρὸς ἡμῶν, 5
καὶ οὐκ ἔστιν ἀναποδισμὸς τῆς τελευτῆς ἡμῶν,
ὅτι κατεσφραγίσθη καὶ οὐδεὶς ἀναστρέφει.
δεῦτε οὖν καὶ ἀπολαύσωμεν τῶν ὄντων ἀγαθῶν 6
καὶ χρησώμεθα τῇ κτίσει ὡς ἐν νεότητι σπουδαίως·
οἴνου πολυτελοῦς καὶ μύρων πλησθῶμεν, 7
καὶ μὴ παροδευσάτω ἡμᾶς ἄνθος ἔαρος·
στεψώμεθα ῥόδων κάλυξι πρὶν ἢ μαρανθῆναι· 8
μηδεὶς ἡμῶν ἄμοιρος ἔστω τῆς ἡμετέρας ἀγερωχίας, 9
πανταχῇ καταλίπωμεν σύμβολα τῆς εὐφροσύνης,
ὅτι αὕτη ἡ μερὶς ἡμῶν καὶ ὁ κλῆρος οὗτος.
καταδυναστεύσωμεν πένητα δίκαιον, 10
μὴ φεισώμεθα χήρας
μηδὲ πρεσβύτου ἐντραπῶμεν πολιὰς πολυχρονίους·
ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος τῆς δικαιοσύνης, 11
τὸ γὰρ ἀσθενὲς ἄχρηστον ἐλέγχεται.
ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι 12
καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν
καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα νόμου
καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν·
ἐπαγγέλλεται γνῶσιν ἔχειν θεοῦ 13
καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει·
ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν, 14

βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος,
ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, 15
καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ·
εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, 16
καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν·
μακαρίζει ἔσχατα δικαίων
καὶ ἀλαζονεύεται πατέρα θεόν.
ἴδωμεν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, 17
καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ·
εἰ γάρ ἐστιν ὁ δίκαιος υἱὸς θεοῦ, ἀντιλήψεται αὐτοῦ 18
καὶ ῥύσεται αὐτὸν ἐκ χειρὸς ἀνθεστηκότων.
ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτόν, 19
ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ
καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ·
θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν, 20
ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ.
ταῦτα ἐλογίσαντο, καὶ ἐπλανήθησαν· 21
ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν,
καὶ οὐκ ἔγνωσαν μυστήρια θεοῦ 22
οὐδὲ μισθὸν ἤλπισαν ὁσιότητος
οὐδὲ ἔκριναν γέρας ψυχῶν ἀμώμων.
ὅτι ὁ θεὸς ἔκτισε τὸν ἄνθρωπον ἐπ' ἀφθαρσίᾳ 23
καὶ εἰκόνα τῆς ἰδίας ἀιδιότητος ἐποίησεν αὐτόν·
φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον, 24
πειράζουσι δὲ αὐτὸν οἱ τῆς ἐκείνου μερίδος ὄντες.

3 Δικαίων δὲ ψυχαὶ ἐν χειρὶ θεοῦ, 1 **3**
καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος.
ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, 2
καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν
καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, 3
οἱ δέ εἰσιν ἐν εἰρήνῃ.
καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, 4
ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης·
καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, 5
ὅτι ὁ θεὸς ἐπείρασεν αὐτοὺς
καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ·
ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς 6
καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς.
καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν 7
καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· 8
κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν,
καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας.
οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, 9
καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ·
ὅτι χάρις καὶ ἔλεος τοῖς ἐκλεκτοῖς αὐτοῦ.

4 1 Οἱ δὲ ἀσεβεῖς καθὰ ἐλογίσαντο ἕξουσιν ἐπιτιμίαν 10
οἱ ἀμελήσαντες τοῦ δικαίου καὶ τοῦ Κυρίου ἀποστάντες·
σοφίαν γὰρ καὶ παιδείαν ὁ ἐξουθενῶν ταλαίπωρος, 11
καὶ κενὴ ἡ ἐλπὶς αὐτῶν, καὶ οἱ κόποι ἀνόνητοι,
5 καὶ ἄχρηστα τὰ ἔργα αὐτῶν·
αἱ γυναῖκες αὐτῶν ἄφρονες, 12
καὶ πονηρὰ τὰ τέκνα αὐτῶν,
ἐπικατάρατος ἡ γένεσις αὐτῶν.
ὅτι μακαρία στεῖρα ἡ ἀμίαντος, 13
10 ἥτις οὐκ ἔγνω κοίτην ἐν παραπτώματι,
ἕξει καρπὸν ἐν ἐπισκοπῇ ψυχῶν,
καὶ εὐνοῦχος ὁ μὴ ἐργασάμενος ἐν χειρὶ ἀνόμημα 14
μηδὲ ἐνθυμηθεὶς κατὰ τοῦ Κυρίου πονηρά,
δοθήσεται γὰρ αὐτῷ τῆς πίστεως χάρις ἐκλεκτὴ
15 καὶ κλῆρος ἐν ναῷ Κυρίου θυμηρέστερος.
ἀγαθῶν γὰρ πόνων καρπὸς εὐκλεής, 15
καὶ ἀδιάπτωτος ἡ ῥίζα τῆς φρονήσεως.
τέκνα δὲ μοιχῶν ἀτέλεστα ἔσται, 16
καὶ ἐκ παρανόμου κοίτης σπέρμα ἀφανισθήσεται.
20 ἐάν τε γὰρ μακρόβιοι γένωνται, εἰς οὐθὲν λογισθήσονται, 17
καὶ ἄτιμον ἐπ' ἐσχάτων τὸ γῆρας αὐτῶν·
ἐάν τε ὀξέως τελευτήσωσιν, οὐχ ἕξουσιν ἐλπίδα 18
οὐδὲ ἐν ἡμέρᾳ διαγνώσεως παραμύθιον·
γενεᾶς γὰρ ἀδίκου χαλεπὰ τὰ τέλη. 19
5 1 Κρείσσων ἀτεκνία μετὰ ἀρετῆς· 1 **4**
ἀθανασία γάρ ἐστιν ἐν μνήμῃ αὐτῆς,
ὅτι καὶ παρὰ θεῷ γινώσκεται καὶ παρὰ ἀνθρώποις.
παροῦσάν τε μιμοῦνται αὐτὴν 2
5 καὶ ποθοῦσιν ἀπελθοῦσαν·
καὶ ἐν τῷ αἰῶνι στεφανηφοροῦσα πομπεύει
τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασα.
πολύγονον δὲ ἀσεβῶν πλῆθος οὐ χρησιμεύσει 3
καὶ ἐκ νόθων μοσχευμάτων οὐ δώσει ῥίζαν εἰς βάθος
10 οὐδὲ ἀσφαλῆ βάσιν ἑδράσει·
κἂν γὰρ ἐν κλάδοις πρὸς καιρὸν ἀναθάλῃ, 4
ἐπισφαλῶς βεβηκότα ὑπὸ ἀνέμου σαλευθήσεται
καὶ ὑπὸ βίας ἀνέμων ἐκριζωθήσεται.
περικλασθήσονται κλῶνες ἀτέλεστοι, 5
15 καὶ ὁ καρπὸς αὐτῶν ἄχρηστος,
ἄωρος εἰς βρῶσιν καὶ εἰς οὐθὲν ἐπιτήδειος·
ἐκ γὰρ ἀνόμων ὕπνων τέκνα γεννώμενα 6
μάρτυρές εἰσι πονηρίας κατὰ γονέων ἐν ἐξετασμῷ αὐτῶν.
6 1 Δίκαιος δὲ ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· 7
γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον 8
οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται,

πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις 9
καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος.
εὐάρεστος θεῷ γενόμενος ἠγαπήθη 10
καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη·
ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ 11
ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ·
βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, 12
καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον.
τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· 13
ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, 14
διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας·
οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες
μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτο,
ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ 15
καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ.
κατακρινεῖ δὲ δίκαιος καμὼν τοὺς ζῶντας ἀσεβεῖς 16
καὶ νεότης τελεσθεῖσα ταχέως πολυετὲς γῆρας ἀδίκου·
ὄψονται γὰρ τελευτὴν σοφοῦ 17
καὶ οὐ νοήσουσι τί ἐβουλεύσαντο περὶ αὐτοῦ
καὶ εἰς τί ἠσφαλίσατο αὐτὸν ὁ Κύριος.
ὄψονται καὶ ἐξουθενήσουσιν· 18
αὐτοὺς δὲ ὁ Κύριος ἐκγελάσεται,
καὶ ἔσονται μετὰ τοῦτο εἰς πτῶμα ἄτιμον 19
καὶ εἰς ὕβριν ἐν νεκροῖς δι' αἰῶνος,
ὅτι ῥήξει αὐτοὺς ἀφώνους πρηνεῖς
καὶ σαλεύσει αὐτοὺς ἐκ θεμελίων,
καὶ ἕως ἐσχάτου χερσωθήσονται
καὶ ἔσονται ἐν ὀδύνῃ,
καὶ ἡ μνήμη αὐτῶν ἀπολεῖται.
ἐλεύσονται ἐν συλλογισμῷ ἁμαρτημάτων αὐτῶν δειλοί, 20
καὶ ἐλέγξει αὐτοὺς ἐξ ἐναντίας τὰ ἀνομήματα αὐτῶν.
τότε στήσεται ἐν παρρησίᾳ πολλῇ ὁ δίκαιος 1 **5**
κατὰ πρόσωπον τῶν θλιψάντων αὐτὸν
καὶ τῶν ἀθετούντων τοὺς πόνους αὐτοῦ.
ἰδόντες ταραχθήσονται φόβῳ δεινῷ 2
καὶ ἐκστήσονται ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας·
ἐροῦσιν ἐν ἑαυτοῖς μετανοοῦντες 3
καὶ διὰ στενοχωρίαν πνεύματος στενάξονται καὶ ἐροῦσιν·
Οὗτος ἦν, ὃν ἔσχομέν ποτε εἰς γέλωτα 4
καὶ εἰς παραβολὴν ὀνειδισμοῦ οἱ ἄφρονες·
τὸν βίον αὐτοῦ ἐλογισάμεθα μανίαν
καὶ τὴν τελευτὴν αὐτοῦ ἄτιμον.
πῶς κατελογίσθη ἐν υἱοῖς θεοῦ 5
καὶ ἐν ἁγίοις ὁ κλῆρος αὐτοῦ ἐστιν;
ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ ἀληθείας, 6

καὶ τὸ τῆς δικαιοσύνης φῶς οὐκ ἐπέλαμψεν ἡμῖν,
50 καὶ ὁ ἥλιος οὐκ ἀνέτειλεν ἡμῖν·
ἀνομίας ἐνεπλήσθημεν τρίβοις καὶ ἀπωλείας 7
καὶ διωδεύσαμεν ἐρήμους ἀβάτους,
τὴν δὲ ὁδὸν Κυρίου οὐκ ἐπέγνωμεν.
τί ὠφέλησεν ἡμᾶς ἡ ὑπερηφανία; 8
55 καὶ τί πλοῦτος μετὰ ἀλαζονείας συμβέβληται ἡμῖν;
παρῆλθεν ἐκεῖνα πάντα ὡς σκιὰ 9
καὶ ὡς ἀγγελία παρατρέχουσα·
ὡς ναῦς διερχομένη κυμαινόμενον ὕδωρ, 10
ἧς διαβάσης οὐκ ἔστιν ἴχνος εὑρεῖν
60 οὐδὲ ἀτραπὸν τρόπιος αὐτῆς ἐν κύμασιν·
ἢ ὡς ὀρνέου διαπτάντος ἀέρα 11
οὐθὲν εὑρίσκεται τεκμήριον πορείας,
πληγῇ δὲ μαστιζόμενον ταρσῶν πνεῦμα κοῦφον
καὶ σχιζόμενον βίᾳ ῥοίζου
65 κινουμένων πτερύγων διωδεύθη,
καὶ μετὰ τοῦτο οὐχ εὑρέθη σημεῖον ἐπιβάσεως ἐν αὐτῷ·
ἢ ὡς βέλους βληθέντος ἐπὶ σκοπὸν 12
τμηθεὶς ὁ ἀὴρ εὐθέως εἰς ἑαυτὸν ἀνελύθη
ὡς ἀγνοῆσαι τὴν δίοδον αὐτοῦ·
70 οὕτω καὶ ἡμεῖς γεννηθέντες ἐξελίπομεν 13
καὶ ἀρετῆς μὲν σημεῖον οὐδὲν ἔσχομεν δεῖξαι,
ἐν δὲ τῇ κακίᾳ ἡμῶν κατεδαπανήθημεν.
ὅτι ἐλπὶς ἀσεβοῦς ὡς φερόμενος χνοῦς ὑπὸ ἀνέμου 14
75 καὶ ὡς πάχνη ὑπὸ λαίλαπος διωχθεῖσα λεπτὴ
καὶ ὡς καπνὸς ὑπὸ ἀνέμου διεχύθη
καὶ ὡς μνεία καταλύτου μονοημέρου παρώδευσε.
δίκαιοι δὲ εἰς τὸν αἰῶνα ζῶσι, 15
καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν,
καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ.
80 διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας 16
καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου,
ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς
καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν.
λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ 17
85 καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν·
ἐνδύσεται θώρακα δικαιοσύνην 18
καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον·
λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, 19
ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, 20
90 συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας.
πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν 21
καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται,
καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· 22

ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης,
95 ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως·
ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως 23
καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς·
καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία,
καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν.
7 1 Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· 1 **6**
μάθετε, δικασταὶ περάτων γῆς·
ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους 2
καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν·
5 ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν 3
καὶ ἡ δυναστεία παρὰ ὑψίστου,
ὃς ἐξετάσει ὑμῶν τὰ ἔργα καὶ τὰς βουλὰς διερευνήσει·
ὅτι ὑπηρέται ὄντες τῆς αὐτοῦ βασιλείας οὐκ ἐκρίνατε ὀρθῶς 4
οὐδὲ ἐφυλάξατε νόμον
10 οὐδὲ κατὰ τὴν βουλὴν τοῦ θεοῦ ἐπορεύθητε.
φρικτῶς καὶ ταχέως ἐπιστήσεται ὑμῖν, 5
ὅτι κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι γίνεται.
ὁ γὰρ ἐλάχιστος συγγνωστός ἐστιν ἐλέους, 6
δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται·
15 οὐ γὰρ ὑποστελεῖται πρόσωπον ὁ πάντων δεσπότης 7
οὐδὲ ἐντραπήσεται μέγεθος,
ὅτι μικρὸν καὶ μέγαν αὐτὸς ἐποίησεν
ὁμοίως τε προνοεῖ περὶ πάντων,
τοῖς δὲ κραταιοῖς ἰσχυρὰ ἐφίσταται ἔρευνα. 8
20 πρὸς ὑμᾶς οὖν, ὦ τύραννοι, οἱ λόγοι μου, 9
ἵνα μάθητε σοφίαν καὶ μὴ παραπέσητε·
οἱ γὰρ φυλάξαντες ὁσίως τὰ ὅσια ὁσιωθήσονται, 10
καὶ οἱ διδαχθέντες αὐτὰ εὑρήσουσιν ἀπολογίαν.
ἐπιθυμήσατε οὖν τῶν λόγων μου, 11
25 ποθήσατε καὶ παιδευθήσεσθε.
8 1 Λαμπρὰ καὶ ἀμάραντός ἐστιν ἡ σοφία 12
καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτὴν
καὶ εὑρίσκεται ὑπὸ τῶν ζητούντων αὐτήν,
φθάνει τοὺς ἐπιθυμοῦντας προγνωσθῆναι. 13
5 ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει· 14
πάρεδρον γὰρ εὑρήσει τῶν πυλῶν αὐτοῦ.
τὸ γὰρ ἐνθυμηθῆναι περὶ αὐτῆς φρονήσεως τελειότης, 15
καὶ ὁ ἀγρυπνήσας δι' αὐτὴν ταχέως ἀμέριμνος ἔσται·
ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα 16
10 καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς
καὶ ἐν πάσῃ ἐπινοίᾳ ὑπαντᾷ αὐτοῖς.
ἀρχὴ γὰρ αὐτῆς ἡ ἀληθεστάτη παιδείας ἐπιθυμία, 17
φροντὶς δὲ παιδείας ἀγάπη,
ἀγάπη δὲ τήρησις νόμων αὐτῆς, 18

15 προσοχὴ δὲ νόμων βεβαίωσις ἀφθαρσίας,
ἀφθαρσία δὲ ἐγγὺς εἶναι ποιεῖ θεοῦ· 19
ἐπιθυμία ἄρα σοφίας ἀνάγει ἐπὶ βασιλείαν. 20
εἰ οὖν ἥδεσθε ἐπὶ θρόνοις καὶ σκήπτροις, τύραννοι λαῶν, 21
τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε.
20 τί δέ ἐστι σοφία καὶ πῶς ἐγένετο, ἀπαγγελῶ, 22
καὶ οὐκ ἀποκρύψω ὑμῖν μυστήρια,
ἀλλὰ ἀπ' ἀρχῆς γενέσεως ἐξιχνιάσω
καὶ θήσω εἰς τὸ ἐμφανὲς τὴν γνῶσιν αὐτῆς
καὶ οὐ μὴ παροδεύσω τὴν ἀλήθειαν.
25 οὔτε μὴν φθόνῳ τετηκότι συνοδεύσω, 23
ὅτι οὗτος οὐ κοινωνήσει σοφίᾳ.
πλῆθος δὲ σοφῶν σωτηρία κόσμου, 24
καὶ βασιλεὺς φρόνιμος εὐστάθεια δήμου.
ὥστε παιδεύεσθε τοῖς ῥήμασί μου, καὶ ὠφεληθήσεσθε. 25
9 1 Εἰμὶ μὲν κἀγὼ θνητὸς ἄνθρωπος ἴσος ἅπασι 1 **7**
καὶ γηγενοῦς ἀπόγονος πρωτοπλάστου·
καὶ ἐν κοιλίᾳ μητρὸς ἐγλύφην σὰρξ
δεκαμηνιαίῳ χρόνῳ παγεὶς ἐν αἵματι 2
5 ἐκ σπέρματος ἀνδρὸς καὶ ἡδονῆς ὕπνῳ συνελθούσης.
καὶ ἐγὼ δὲ γεννώμενος ἔσπασα τὸν κοινὸν ἀέρα 3
καὶ ἐπὶ τὴν ὁμοιοπαθῆ κατέπεσον γῆν
πρώτην φωνὴν τὴν ὁμοίαν πᾶσιν ἴσα κλαίων·
ἐν σπαργάνοις ἀνετράφην καὶ φροντίσιν. 4
10 οὐδεὶς γὰρ βασιλέων ἑτέραν ἔσχε γενέσεως ἀρχήν, 5
μία δὲ πάντων εἴσοδος εἰς τὸν βίον ἔξοδός τε ἴση. 6
διὰ τοῦτο εὐξάμην, καὶ φρόνησις ἐδόθη μοι· 7
ἐπεκαλεσάμην, καὶ ἦλθέ μοι πνεῦμα σοφίας.
προέκρινα αὐτὴν σκήπτρων καὶ θρόνων 8
15 καὶ πλοῦτον οὐδὲν ἡγησάμην ἐν συγκρίσει αὐτῆς·
οὐδὲ ὡμοίωσα αὐτῇ λίθον ἀτίμητον, 9
ὅτι ὁ πᾶς χρυσὸς ἐν ὄψει αὐτῆς ψάμμος ὀλίγη,
καὶ ὡς πηλὸς λογισθήσεται ἄργυρος ἐναντίον αὐτῆς·
ὑπὲρ ὑγίειαν καὶ εὐμορφίαν ἠγάπησα αὐτὴν 10
20 καὶ προειλόμην αὐτὴν ἀντὶ φωτὸς ἔχειν,
ὅτι ἀκοίμητον τὸ ἐκ ταύτης φέγγος.
ἦλθε δέ μοι τὰ ἀγαθὰ ὁμοῦ πάντα μετ' αὐτῆς 11
καὶ ἀναρίθμητος πλοῦτος ἐν χερσὶν αὐτῆς·
εὐφράνθην δὲ ἐπὶ πᾶσιν, ὅτι αὐτῶν ἡγεῖται σοφία, 12
25 ἠγνόουν δὲ αὐτὴν γενέτιν εἶναι τούτων.
ἀδόλως τε ἔμαθον ἀφθόνως τε μεταδίδωμι, 13
τὸν πλοῦτον αὐτῆς οὐκ ἀποκρύπτομαι·
ἀνεκλιπὴς γὰρ θησαυρός ἐστιν ἀνθρώποις, 14
ὃν οἱ κτησάμενοι πρὸς θεὸν ἐστείλαντο φιλίαν
30 διὰ τὰς ἐκ παιδείας δωρεὰς συσταθέντες.

10 1 Ἐμοὶ δὲ δῴη ὁ θεὸς εἰπεῖν κατὰ γνώμην 15
καὶ ἐνθυμηθῆναι ἀξίως τῶν δεδομένων,
ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστι
καὶ τῶν σοφῶν διορθωτής.
5 ἐν γὰρ χειρὶ αὐτοῦ καὶ ἡμεῖς καὶ οἱ λόγοι ἡμῶν 16
πᾶσά τε φρόνησις καὶ ἐργατειῶν ἐπιστήμη.
αὐτὸς γάρ μοι ἔδωκε τῶν ὄντων γνῶσιν ἀψευδῆ 17
εἰδέναι σύστασιν κόσμου καὶ ἐνέργειαν στοιχείων,
ἀρχὴν καὶ τέλος καὶ μεσότητα χρόνων, 18
10 τροπῶν ἀλλαγὰς καὶ μεταβολὰς καιρῶν,
ἐνιαυτοῦ κύκλους καὶ ἄστρων θέσεις, 19
φύσεις ζῴων καὶ θυμοὺς θηρίων, 20
πνευμάτων βίας καὶ διαλογισμοὺς ἀνθρώπων,
διαφορὰς φυτῶν καὶ δυνάμεις ῥιζῶν,
15 ὅσα τέ ἐστι κρυπτὰ καὶ ἐμφανῆ ἔγνων· 21
ἡ γὰρ πάντων τεχνῖτις ἐδίδαξέ με σοφία.
ἔστι γὰρ ἐν αὐτῇ πνεῦμα νοερόν, ἅγιον, 22
μονογενές, πολυμερές, λεπτόν,
εὐκίνητον, τρανόν, ἀμόλυντον, 23
20 σαφές, ἀπήμαντον, φιλάγαθον, ὀξύ,
ἀκώλυτον, εὐεργετικόν, φιλάνθρωπον,
βέβαιον, ἀσφαλές, ἀμέριμνον,
παντοδύναμον, πανεπίσκοπον
καὶ διὰ πάντων χωροῦν πνευμάτων
25 νοερῶν καθαρῶν λεπτοτάτων.
πάσης γὰρ κινήσεως κινητικώτερον σοφία, 24
διήκει δὲ καὶ χωρεῖ διὰ πάντων διὰ τὴν καθαρότητα·
ἀτμὶς γάρ ἐστι τῆς τοῦ θεοῦ δυνάμεως 25
καὶ ἀπόρροια τῆς τοῦ παντοκράτορος δόξης εἰλικρινής·
30 διὰ τοῦτο οὐδὲν μεμιαμμένον εἰς αὐτὴν παρεμπίπτει.
ἀπαύγασμα γάρ ἐστι φωτὸς ἀιδίου 26
καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ θεοῦ ἐνεργείας
καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ.
μία δὲ οὖσα πάντα δύναται 27
35 καὶ μένουσα ἐν αὐτῇ τὰ πάντα καινίζει
καὶ κατὰ γενεὰς εἰς ψυχὰς ὁσίας μεταβαίνουσα
φίλους θεοῦ καὶ προφήτας κατασκευάζει·
οὐθὲν γὰρ ἀγαπᾷ ὁ θεὸς εἰ μὴ τὸν σοφίᾳ συνοικοῦντα. 28
ἔστι γὰρ αὕτη εὐπρεπεστέρα ἡλίου 29
40 καὶ ὑπὲρ πᾶσαν ἄστρων θέσιν.
φωτὶ συγκρινομένη εὑρίσκεται προτέρα·
τοῦτο μὲν γὰρ διαδέχεται νύξ, 30
σοφίας δὲ οὐ κατισχύει κακία.
διατείνει δὲ ἀπὸ πέρατος ἐπὶ πέρας εὐρώστως 1 **8**
45 καὶ διοικεῖ τὰ πάντα χρηστῶς.

11 1 Ταύτην ἐφίλησα καὶ ἐξεζήτησα ἐκ νεότητός μου 2
καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ
καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς.
εὐγένειαν δοξάζει συμβίωσιν θεοῦ ἔχουσα, 3
5 καὶ ὁ πάντων δεσπότης ἠγάπησεν αὐτήν·
μύστις γάρ ἐστι τῆς τοῦ θεοῦ ἐπιστήμης 4
καὶ αἱρετὶς τῶν ἔργων αὐτοῦ.
εἰ δὲ πλοῦτός ἐστιν ἐπιθυμητὸν κτῆμα ἐν βίῳ, 5
τί σοφίας πλουσιώτερον τῆς τὰ πάντα ἐργαζομένης;
10 εἰ δὲ φρόνησις ἐργάζεται, 6
τίς αὐτῆς τῶν ὄντων μᾶλλόν ἐστι τεχνῖτις;
καὶ εἰ δικαιοσύνην ἀγαπᾷ τις, 7
οἱ πόνοι ταύτης εἰσὶν ἀρεταί·
σωφροσύνην γὰρ καὶ φρόνησιν ἐκδιδάσκει,
15 δικαιοσύνην καὶ ἀνδρίαν,
ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις.
εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, 8
οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν,
ἐπίσταται στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων,
20 σημεῖα καὶ τέρατα προγινώσκει
καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων.
ἔκρινα τοίνυν ταύτην ἀγαγέσθαι πρὸς συμβίωσιν 9
εἰδὼς ὅτι ἔσται μοι σύμβουλος ἀγαθῶν
καὶ παραίνεσις φροντίδων καὶ λύπης.
25 ἕξω δι' αὐτὴν δόξαν ἐν ὄχλοις 10
καὶ τιμὴν παρὰ πρεσβυτέροις ὁ νέος·
ὀξὺς εὑρεθήσομαι ἐν κρίσει 11
καὶ ἐν ὄψει δυναστῶν θαυμασθήσομαι·
σιγῶντά με περιμενοῦσι καὶ φθεγγομένῳ προσέξουσι 12
30 καὶ λαλοῦντος ἐπὶ πλεῖον
χεῖρα ἐπιθήσουσιν ἐπὶ στόμα αὐτῶν.
ἕξω δι' αὐτὴν ἀθανασίαν 13
καὶ μνήμην αἰώνιον τοῖς μετ' ἐμὲ ἀπολείψω.
διοικήσω λαούς, καὶ ἔθνη ὑποταγήσεταί μοι· 14
35 φοβηθήσονταί με ἀκούσαντες τύραννοι φρικτοί, 15
ἐν πλήθει φανοῦμαι ἀγαθὸς καὶ ἐν πολέμῳ ἀνδρεῖος.
εἰσελθὼν εἰς τὸν οἶκόν μου προσαναπαύσομαι αὐτῇ· 16
οὐ γὰρ ἔχει πικρίαν ἡ συναναστροφὴ αὐτῆς
οὐδὲ ὀδύνην ἡ συμβίωσις αὐτῆς,
40 ἀλλὰ εὐφροσύνην καὶ χαράν.
ταῦτα λογισάμενος ἐν ἐμαυτῷ 17
καὶ φροντίσας ἐν καρδίᾳ μου
ὅτι ἀθανασία ἐστὶν ἐν συγγενείᾳ σοφίας
καὶ ἐν φιλίᾳ αὐτῆς τέρψις ἀγαθὴ 18
45 καὶ ἐν πόνοις χειρῶν αὐτῆς πλοῦτος ἀνεκλιπὴς

καὶ ἐν συγγυμνασίᾳ ὁμιλίας αὐτῆς φρόνησις
καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς,
περιῄειν ζητῶν ὅπως λάβω αὐτὴν εἰς ἐμαυτόν.
παῖς δὲ ἤμην εὐφυὴς 19
ψυχῆς τε ἔλαχον ἀγαθῆς,
μᾶλλον δὲ ἀγαθὸς ὢν ἦλθον εἰς σῶμα ἀμίαντον. 20
γνοὺς δὲ ὅτι οὐκ ἄλλως ἔσομαι εὐκρατής, ἐὰν μὴ ὁ θεὸς δῷ 21
–καὶ τοῦτο δ' ἦν φρονήσεως τὸ εἰδέναι τίνος ἡ χάρις–,
ἐνέτυχον τῷ Κυρίῳ καὶ ἐδεήθην αὐτοῦ
καὶ εἶπον ἐξ ὅλης τῆς καρδίας μου·

12 Θεὲ πατέρων καὶ Κύριε τοῦ ἐλέους 1 **9**
ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου
καὶ τῇ σοφίᾳ σου κατασκευάσας ἄνθρωπον, 2
ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων
καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ 3
καὶ ἐν εὐθύτητι ψυχῆς κρίσιν κρίνῃ,
δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν 4
καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου.
ὅτι ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου, 5
ἄνθρωπος ἀσθενὴς καὶ ὀλιγοχρόνιος
καὶ ἐλάσσων ἐν συνέσει κρίσεως καὶ νόμων·
κἂν γάρ τις ᾖ τέλειος ἐν υἱοῖς ἀνθρώπων, 6
τῆς ἀπὸ σοῦ σοφίας ἀπούσης εἰς οὐδὲν λογισθήσεται.
σύ με προείλω βασιλέα λαοῦ σου 7
καὶ δικαστὴν υἱῶν σου καὶ θυγατέρων·
εἶπας οἰκοδομῆσαι ναὸν ἐν ὄρει ἁγίῳ σου 8
καὶ ἐν πόλει κατασκηνώσεώς σου θυσιαστήριον,
μίμημα σκηνῆς ἁγίας, ἣν προητοίμασας ἀπ' ἀρχῆς.
καὶ μετὰ σοῦ ἡ σοφία ἡ εἰδυῖα τὰ ἔργα σου 9
καὶ παροῦσα, ὅτε ἐποίεις τὸν κόσμον,
καὶ ἐπισταμένη τί ἀρεστὸν ἐν ὀφθαλμοῖς σου
καὶ τί εὐθὲς ἐν ἐντολαῖς σου.
ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίων οὐρανῶν 10
καὶ ἀπὸ θρόνου δόξης σου πέμψον αὐτήν,
ἵνα συμπαροῦσά μοι κοπιάσῃ,
καὶ γνῶ τί εὐάρεστόν ἐστι παρὰ σοί.
οἶδε γὰρ ἐκείνη πάντα καὶ συνίει 11
καὶ ὁδηγήσει με ἐν ταῖς πράξεσί μου σωφρόνως
καὶ φυλάξει με ἐν τῇ δόξῃ αὐτῆς·
καὶ ἔσται προσδεκτὰ τὰ ἔργα μου, 12
καὶ διακρινῶ τὸν λαόν σου δικαίως
καὶ ἔσομαι ἄξιος θρόνου πατρός μου.
τίς γὰρ ἄνθρωπος γνώσεται βουλὴν θεοῦ; 13
ἢ τίς ἐνθυμηθήσεται τί θέλει ὁ Κύριος;

35 λογισμοὶ γὰρ θνητῶν δειλοί, 14
καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι ἡμῶν·
φθαρτὸν γὰρ σῶμα βαρύνει ψυχήν, 15
καὶ βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφρόντιδα.
καὶ μόλις εἰκάζομεν τὰ ἐπὶ γῆς 16
40 καὶ τὰ ἐν χερσὶν εὑρίσκομεν μετὰ πόνου·
τὰ δὲ ἐν οὐρανοῖς τίς ἐξιχνίασε;
βουλὴν δέ σου τίς ἔγνω, εἰ μὴ σὺ ἔδωκας σοφίαν 17
καὶ ἔπεμψας τὸ ἅγιόν σου πνεῦμα ἀπὸ ὑψίστων;
καὶ οὕτω διωρθώθησαν αἱ τρίβοι τῶν ἐπὶ γῆς, 18
45 καὶ τὰ ἀρεστά σου ἐδιδάχθησαν ἄνθρωποι,
καὶ τῇ σοφίᾳ ἐσώθησαν.

13 1 Αὕτη πρωτόπλαστον πατέρα κόσμου 1 **10**
μόνον κτισθέντα διεφύλαξε
καὶ ἐξείλατο αὐτὸν ἐκ παραπτώματος ἰδίου
ἔδωκέ τε αὐτῷ ἰσχὺν κρατῆσαι ἁπάντων. 2
5 ἀποστὰς δὲ ἀπ' αὐτῆς ἄδικος ἐν ὀργῇ αὐτοῦ 3
ἀδελφοκτόνοις συναπώλετο θυμοῖς.
δι' ὃν κατακλυζομένην γῆν πάλιν ἔσωσε σοφία 4
δι' εὐτελοῦς ξύλου τὸν δίκαιον κυβερνήσασα.
αὕτη καὶ ἐν ὁμονοίᾳ πονηρίας ἐθνῶν συγχυθέντων 5
10 ἔγνω τὸν δίκαιον καὶ ἐτήρησεν αὐτὸν ἄμεμπτον θεῷ
καὶ ἐπὶ τέκνου σπλάγχνοις ἰσχυρὸν ἐφύλαξεν.
αὕτη δίκαιον ἐξαπολλυμένων ἀσεβῶν ἐρρύσατο 6
φυγόντα καταβάσιον πῦρ Πενταπόλεως,
ἧς ἔτι μαρτύριον τῆς πονηρίας 7
15 καπνιζομένη καθέστηκε χέρσος,
καὶ ἀτελέσιν ὥραις καρποφοροῦντα φυτά,
ἀπιστούσης ψυχῆς μνημεῖον ἑστηκυῖα στήλη ἁλός.
σοφίαν γὰρ παροδεύσαντες 8
οὐ μόνον ἐβλάβησαν τοῦ μὴ γνῶναι τὰ καλά,
20 ἀλλὰ καὶ τῆς ἀφροσύνης ἀπέλιπον τῷ βίῳ μνημόσυνον,
ἵνα ἐν οἷς ἐσφάλησαν μηδὲ λαθεῖν δυνηθῶσι.
σοφία δὲ τοὺς θεραπεύοντας αὐτὴν ἐκ πόνων ἐρρύσατο. 9
αὕτη φυγάδα ὀργῆς ἀδελφοῦ δίκαιον 10
ὡδήγησεν ἐν τρίβοις εὐθείαις·
25 ἔδειξεν αὐτῷ βασιλείαν θεοῦ
καὶ ἔδωκεν αὐτῷ γνῶσιν ἁγίων·
εὐπόρησεν αὐτὸν ἐν μόχθοις
καὶ ἐπλήθυνε τοὺς πόνους αὐτοῦ·
ἐν πλεονεξίᾳ κατισχυόντων αὐτὸν παρέστη 11
30 καὶ ἐπλούτισεν αὐτόν·
διεφύλαξεν αὐτὸν ἀπὸ ἐχθρῶν 12
καὶ ἀπὸ ἐνεδρευόντων ἠσφαλίσατο·
καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτῷ,

ἵνα γνῷ ὅτι παντὸς δυνατωτέρα ἐστὶν εὐσέβεια.
αὕτη πραθέντα δίκαιον οὐκ ἐγκατέλιπεν, 13
ἀλλὰ ἐξ ἁμαρτίας ἐρρύσατο αὐτόν·
συγκατέβη αὐτῷ εἰς λάκκον 14
καὶ ἐν δεσμοῖς οὐκ ἀφῆκεν αὐτόν,
ἕως ἤνεγκεν αὐτῷ σκῆπτρα βασιλείας
καὶ ἐξουσίαν τυραννούντων αὐτοῦ·
ψευδεῖς τε ἔδειξεν τοὺς μωμησαμένους αὐτὸν
καὶ ἔδωκεν αὐτῷ δόξαν αἰώνιον.
αὕτη λαὸν ὅσιον καὶ σπέρμα ἄμεμπτον 15
ἐρρύσατο ἐξ ἔθνους θλιβόντων·
εἰσῆλθεν εἰς ψυχὴν θεράποντος Κυρίου 16
καὶ ἀντέστη βασιλεῦσι φοβεροῖς ἐν τέρασι καὶ σημείοις.
ἀπέδωκεν ὁσίοις μισθὸν κόπων αὐτῶν, 17
ὡδήγησεν αὐτοὺς ἐν ὁδῷ θαυμαστῇ
καὶ ἐγένετο αὐτοῖς εἰς σκέπην ἡμέρας
καὶ εἰς φλόγα ἄστρων τὴν νύκτα.
διεβίβασεν αὐτοὺς Θάλασσαν Ἐρυθρὰν 18
καὶ διήγαγεν αὐτοὺς δι' ὕδατος πολλοῦ·
τοὺς δὲ ἐχθροὺς αὐτῶν κατέκλυσε 19
καὶ ἐκ βάθους ἀβύσσου ἀνέβρασεν αὐτούς.
διὰ τοῦτο δίκαιοι ἐσκύλευσαν ἀσεβεῖς 20
καὶ ὕμνησαν, Κύριε, τὸ ὄνομα τὸ ἅγιόν σου
τήν τε ὑπέρμαχόν σου χεῖρα ᾔνεσαν ὁμοθυμαδόν·
ὅτι ἡ σοφία ἤνοιξε στόμα κωφῶν 21
καὶ γλώσσας νηπίων ἔθηκε τρανάς.

14 1 Εὐόδωσε τὰ ἔργα αὐτῶν ἐν χειρὶ προφήτου ἁγίου. 1 **11**
διώδευσαν ἔρημον ἀοίκητον 2
καὶ ἐν ἀβάτοις ἔπηξαν σκηνάς·
ἀντέστησαν πολεμίοις καὶ ἐχθροὺς ἠμύναντο. 3
ἐδίψησαν καὶ ἐπεκαλέσαντό σε, 4
καὶ ἐδόθη αὐτοῖς ἐκ πέτρας ἀκροτόμου ὕδωρ
καὶ ἴαμα δίψης ἐκ λίθου σκληροῦ.
δι' ὧν γὰρ ἐκολάσθησαν οἱ ἐχθροὶ αὐτῶν, 5
διὰ τούτων αὐτοὶ ἀποροῦντες εὐεργετήθησαν.
ἀντὶ μὲν πηγῆς ἀεννάου ποταμοῦ 6
αἵματι λυθρώδει ταραχθέντος
εἰς ἔλεγχον νηπιοκτόνου διατάγματος 7
ἔδωκας αὐτοῖς δαψιλὲς ὕδωρ ἀνελπίστως
δείξας διὰ τοῦ τότε δίψους 8
πῶς τοὺς ὑπεναντίους ἐκόλασας.
ὅτε γὰρ ἐπειράσθησαν, καίπερ ἐν ἐλέει παιδευόμενοι, 9
ἔγνωσαν πῶς μετ' ὀργῆς κρινόμενοι ἀσεβεῖς ἐβασανίζοντο·
τούτους μὲν γὰρ ὡς πατὴρ νουθετῶν ἐδοκίμασας, 10
ἐκείνους δὲ ὡς ἀπότομος βασιλεὺς καταδικάζων ἐξήτασας.

καὶ ἀπόντες δὲ καὶ παρόντες ὁμοίως ἐτρύχοντο· 11
διπλῆ γὰρ αὐτοὺς ἔλαβε λύπη 12
καὶ στεναγμὸς μνημῶν τῶν παρελθόντων·
ὅτε γὰρ ἤκουσαν διὰ τῶν ἰδίων κολάσεων 13
εὐεργετημένους αὐτούς, ᾔσθοντο τοῦ Κυρίου.
ὃν γὰρ ἐν ἐκθέσει πάλαι ῥιφέντα ἀπεῖπον χλευάζοντες, 14
ἐπὶ τέλει τῶν ἐκβάσεων ἐθαύμασαν
οὐχ ὅμοια δικαίοις διψήσαντες.
ἀντὶ δὲ λογισμῶν ἀσυνέτων ἀδικίας αὐτῶν, 15
ἐν οἷς πλανηθέντες ἐθρήσκευον
ἄλογα ἑρπετὰ καὶ κνώδαλα εὐτελῆ,
ἐπαπέστειλας αὐτοῖς πλῆθος ἀλόγων ζῴων εἰς ἐκδίκησιν,
ἵνα γνῶσιν ὅτι, δι' ὧν τις ἁμαρτάνει, διὰ τούτων κολάζεται. 16
οὐ γὰρ ἠπόρει ἡ παντοδύναμός σου χεὶρ 17
καὶ κτίσασα τὸν κόσμον ἐξ ἀμόρφου ὕλης
ἐπιπέμψαι αὐτοῖς πλῆθος ἄρκων ἢ θρασεῖς λέοντας
ἢ νεοκτίστους θυμοῦ πλήρεις θῆρας ἀγνώστους 18
ἤτοι πυρπνόον φυσῶντας ἆσθμα
ἢ βρόμον λικμωμένους καπνοῦ
ἢ δεινοὺς ἀπ' ὀμμάτων σπινθῆρας ἀστράπτοντας,
ὧν οὐ μόνον ἡ βλάβη ἠδύνατο συνεκτρῖψαι αὐτούς, 19
ἀλλὰ καὶ ἡ ὄψις ἐκφοβήσασα διολέσαι.
καὶ χωρὶς δὲ τούτων ἑνὶ πνεύματι πεσεῖν ἐδύναντο 20
ὑπὸ τῆς δίκης διωχθέντες
καὶ λικμηθέντες ὑπὸ πνεύματος δυνάμεώς σου·
ἀλλὰ πάντα μέτρῳ καὶ ἀριθμῷ καὶ σταθμῷ διέταξας.
τὸ γὰρ μεγάλως ἰσχύειν σοι πάρεστι πάντοτε, 21
καὶ κράτει βραχίονός σου τίς ἀντιστήσεται;
ὅτι ὡς ῥοπὴ ἐκ πλαστίγγων ὅλος ὁ κόσμος ἐναντίον σου 22
καὶ ὡς ῥανὶς δρόσου ὀρθρινὴ κατελθοῦσα ἐπὶ γῆν.
ἐλεεῖς δὲ πάντας, ὅτι πάντα δύνασαι, 23
καὶ παροραῖς ἁμαρτήματα ἀνθρώπων εἰς μετάνοιαν.
ἀγαπᾷς γὰρ τὰ ὄντα πάντα 24
καὶ οὐδὲν βδελύσσῃ ὧν ἐποίησας·
οὐδὲ γὰρ ἂν μισῶν τι κατεσκεύασας.
πῶς δὲ διέμεινεν ἄν τι, εἰ μὴ σὺ ἠθέλησας, 25
ἢ τὸ μὴ κληθὲν ὑπὸ σοῦ διετηρήθη;
φείδῃ δὲ πάντων, ὅτι σά ἐστι, δέσποτα φιλόψυχε· 26
τὸ γὰρ ἄφθαρτόν σου πνεῦμά ἐστιν ἐν πᾶσιν. 1 **12**

15 1 Διὸ τοὺς παραπίπτοντας κατ' ὀλίγον ἐλέγχεις 2
καὶ ἐν οἷς ἁμαρτάνουσιν ὑπομιμνῄσκων νουθετεῖς,
ἵνα ἀπαλλαγέντες τῆς κακίας πιστεύσωσιν ἐπὶ σέ, Κύριε.
καὶ γὰρ τοὺς πάλαι οἰκήτορας τῆς ἁγίας σου γῆς 3
μισήσας ἐπὶ τῷ ἔχθιστα πράσσειν, 4
ἔργα φαρμακειῶν καὶ τελετὰς ἀνοσίους

τέκνων τε φονὰς ἀνελεήμονας 5
καὶ σπλαγχνοφάγον ἀνθρωπίνων σαρκῶν θοῖναν καὶ αἵματος,
ἐκ μέσου μύστας θιάσου
καὶ αὐθέντας γονεῖς ψυχῶν ἀβοηθήτων, 6
ἐβουλήθης ἀπολέσαι διὰ χειρῶν πατέρων ἡμῶν,
ἵνα ἀξίαν ἀποικίαν δέξηται θεοῦ παίδων 7
ἡ παρὰ σοὶ πασῶν τιμιωτάτη γῆ.
ἀλλὰ καὶ τούτων ὡς ἀνθρώπων ἐφείσω 8
ἀπέστειλάς τε προδρόμους τοῦ στρατοπέδου σου σφῆκας,
ἵνα αὐτοὺς κατὰ βραχὺ ἐξολεθρεύσωσιν.
οὐκ ἀδυνατῶν ἐν παρατάξει 9
ἀσεβεῖς δικαίοις ὑποχειρίους δοῦναι
ἢ θηρίοις δεινοῖς ἢ λόγῳ ἀποτόμῳ ὑφ' ἓν ἐκτρῖψαι,
κρίνων δὲ κατὰ βραχὺ ἐδίδους τόπον μετανοίας 10
οὐκ ἀγνοῶν ὅτι πονηρὰ ἡ γένεσις αὐτῶν
καὶ ἔμφυτος ἡ κακία αὐτῶν
καὶ ὅτι οὐ μὴ ἀλλαγῇ ὁ λογισμὸς αὐτῶν εἰς τὸν αἰῶνα.
σπέρμα γὰρ ἦν κατηραμένον ἀπ' ἀρχῆς, 11
οὐδὲ εὐλαβούμενός τινα ἐφ' οἷς ἡμάρτανον ἄδειαν ἐδίδους.
τίς γὰρ ἐρεῖ Τί ἐποίησας; 12
ἢ τίς ἀντιστήσεται τῷ κρίματί σου;
τίς δὲ ἐγκαλέσει σοι κατὰ ἐθνῶν ἀπολωλότων ἃ σὺ ἐποίησας;
ἢ τίς εἰς κατάστασίν σοι ἐλεύσεται
ἔκδικος κατὰ ἀδίκων ἀνθρώπων;
οὔτε γὰρ θεός ἐστι πλὴν σοῦ, ᾧ μέλει περὶ πάντων, 13
ἵνα δείξῃς ὅτι οὐκ ἀδίκως ἔκρινας,
οὔτε βασιλεὺς ἢ τύραννος ἀντοφθαλμῆσαι δυνήσεταί σοι 14
περὶ ὧν ἐκόλασας.
δίκαιος δὲ ὢν δικαίως τὰ πάντα διέπεις 15
αὐτὸν τὸν μὴ ὀφείλοντα κολασθῆναι καταδικάσαι
ἀλλότριον ἡγούμενος τῆς σῆς δυνάμεως.
ἡ γὰρ ἰσχύς σου δικαιοσύνης ἀρχή, 16
καὶ τὸ πάντων σε δεσπόζειν πάντων φείδεσθαί σε ποιεῖ.
ἰσχὺν γὰρ ἐνδείκνυσαι ἀπιστούμενος ἐπὶ δυνάμεως τελειότητι 17
καὶ ἐν τοῖς εἰδόσι τὸ θράσος ἐξελέγχεις·
σὺ δὲ δεσπόζων ἰσχύος ἐν ἐπιεικείᾳ κρίνεις 18
καὶ μετὰ πολλῆς φειδοῦς διοικεῖς ἡμᾶς·
πάρεστι γάρ σοι, ὅταν θέλῃς, τὸ δύνασθαι.
16 1 Ἐδίδαξας δέ σου τὸν λαὸν διὰ τῶν τοιούτων ἔργων 19
ὅτι δεῖ τὸν δίκαιον εἶναι φιλάνθρωπον,
καὶ εὐέλπιδας ἐποίησας τοὺς υἱούς σου
ὅτι διδοῖς ἐπὶ ἁμαρτήμασι μετάνοιαν.
εἰ γὰρ ἐχθροὺς παίδων σου καὶ ὀφειλομένους θανάτῳ 20
μετὰ τοσαύτης ἐτιμωρήσω προσοχῆς καὶ διέσεως
δοὺς χρόνους καὶ τόπον, δι' ὧν ἀπαλλαγῶσι τῆς κακίας,

μετὰ πόσης ἀκριβείας ἔκρινας τοὺς υἱούς σου, 21
ὧν τοῖς πατράσιν ὅρκους καὶ συνθήκας ἔδωκας
ἀγαθῶν ὑποσχέσεων;
17 Ἡμᾶς οὖν παιδεύων 22
τοὺς ἐχθροὺς ἡμῶν ἐν μυριότητι μαστιγοῖς,
ἵνα σου τὴν ἀγαθότητα μεριμνῶμεν κρίνοντες,
κρινόμενοι δὲ προσδοκῶμεν ἔλεος.
ὅθεν καὶ τοὺς ἐν ἀφροσύνῃ ζωῆς βιώσαντας ἀδίκως 23
διὰ τῶν ἰδίων ἐβασάνισας βδελυγμάτων·
καὶ γὰρ τῶν πλάνης ὁδῶν μακρότερον ἐπλανήθησαν 24
θεοὺς ὑπολαμβάνοντες τὰ καὶ ἐν ζῴοις τῶν αἰσχρῶν ἄτιμα
νηπίων δίκην ἀφρόνων ψευσθέντες.
διὰ τοῦτο ὡς παισὶν ἀλογίστοις 25
τὴν κρίσιν εἰς ἐμπαιγμὸν ἔπεμψας.
οἱ δὲ παιγνίοις ἐπιτιμήσεως μὴ νουθετηθέντες 26
ἀξίαν θεοῦ κρίσιν πειράσουσιν.
ἐφ' οἷς γὰρ αὐτοὶ πάσχοντες ἠγανάκτουν, 27
ἐπὶ τούτοις, οὓς ἐδόκουν θεούς, ἐν αὐτοῖς κολαζόμενοι,
ἰδόντες, ὃν πάλαι ἠρνοῦντο εἰδέναι, θεὸν ἐπέγνωσαν ἀληθῆ·
διὸ καὶ τὸ τέρμα τῆς καταδίκης ἐπ' αὐτοὺς ἐπῆλθεν.
18 Μάταιοι μὲν γὰρ πάντες ἄνθρωποι φύσει, 1 **13**
οἷς παρῆν θεοῦ ἀγνωσία
καὶ ἐκ τῶν ὁρωμένων ἀγαθῶν οὐκ ἴσχυσαν εἰδέναι τὸν ὄντα
οὔτε τοῖς ἔργοις προσέχοντες ἐπέγνωσαν τὸν τεχνίτην,
ἀλλ' ἢ πῦρ ἢ πνεῦμα ἢ ταχινὸν ἀέρα 2
ἢ κύκλον ἄστρων ἢ βίαιον ὕδωρ
ἢ φωστῆρας οὐρανοῦ πρυτάνεις κόσμου θεοὺς ἐνόμισαν.
ὧν εἰ μὲν τῇ καλλονῇ τερπόμενοι ταῦτα θεοὺς ὑπελάμβανον, 3
γνώτωσαν πόσῳ τούτων ὁ δεσπότης ἐστὶ βελτίων,
ὁ γὰρ τοῦ κάλλους γενεσιάρχης ἔκτισεν αὐτά·
εἰ δὲ δύναμιν καὶ ἐνέργειαν ἐκπλαγέντες, 4
νοησάτωσαν ἀπ' αὐτῶν
πόσῳ ὁ κατασκευάσας αὐτὰ δυνατώτερός ἐστιν·
ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων 5
ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται.
ἀλλ' ὅμως ἐπὶ τούτοις μέμψις ἐστὶν ὀλίγη, 6
καὶ γὰρ αὐτοὶ τάχα πλανῶνται
θεὸν ζητοῦντες καὶ θέλοντες εὑρεῖν·
ἐν γὰρ τοῖς ἔργοις αὐτοῦ ἀναστρεφόμενοι διερευνῶσι 7
καὶ πείθονται τῇ ὄψει, ὅτι καλὰ τὰ βλεπόμενα.
πάλιν δ' οὐδ' αὐτοὶ συγγνωστοί· 8
εἰ γὰρ τοσοῦτον ἴσχυσαν εἰδέναι 9
ἵνα δύνωνται στοχάσασθαι τὸν αἰῶνα,
τὸν τούτων δεσπότην πῶς τάχιον οὐχ εὗρον;
19 Ταλαίπωροι δὲ καὶ ἐν νεκροῖς αἱ ἐλπίδες αὐτῶν, 10

οἵτινες ἐκάλεσαν θεοὺς ἔργα χειρῶν ἀνθρώπων,
χρυσὸν καὶ ἄργυρον τέχνης ἐμμελέτημα
καὶ ἀπεικάσματα ζῴων
ἢ λίθον ἄχρηστον χειρὸς ἔργον ἀρχαίας.
εἰ δὲ καί τις ὑλοτόμος τέκτων εὐκίνητον φυτὸν ἐκπρίσας 11
περιέξυσεν εὐμαθῶς πάντα τὸν φλοιὸν αὐτοῦ
καὶ τεχνησάμενος εὐπρεπῶς
κατεσκεύασε χρήσιμον σκεῦος εἰς ὑπηρεσίαν ζωῆς,
τὰ δὲ ἀποβλήματα τῆς ἐργασίας 12
εἰς ἑτοιμασίαν τροφῆς ἀναλώσας ἐνεπλήσθη,
τὸ δὲ ἐξ αὐτῶν ἀπόβλημα εἰς οὐθὲν εὔχρηστον, 13
ξύλον σκολιὸν καὶ ὄζοις συμπεφυκός,
λαβὼν ἔγλυψεν ἐν ἐπιμελείᾳ ἀργίας αὐτοῦ
καὶ ἐμπειρίᾳ συνέσεως ἐτύπωσεν αὐτό,
ἀπείκασεν αὐτὸ εἰκόνι ἀνθρώπου
ἢ ζῴῳ τινὶ εὐτελεῖ ὡμοίωσεν αὐτὸ 14
καταχρίσας μίλτῳ καὶ φύκει ἐρυθήνας χρόαν αὐτοῦ
καὶ πᾶσαν κηλῖδα τὴν ἐν αὐτῷ καταχρίσας
καὶ ποιήσας αὐτῷ αὐτοῦ ἄξιον οἴκημα 15
ἐν τοίχῳ ἔθηκεν αὐτὸ ἀσφαλισάμενος σιδήρῳ.
ἵνα μὲν οὖν μὴ καταπέσῃ, προενόησεν αὐτοῦ 16
εἰδὼς ὅτι ἀδυνατεῖ ἑαυτῷ βοηθῆσαι·
καὶ γάρ ἐστιν εἰκὼν καὶ χρείαν ἔχει βοηθείας.
περὶ δὲ κτημάτων καὶ γάμων αὐτοῦ καὶ τέκνων προσευχόμενος 17
οὐκ αἰσχύνεται τῷ ἀψύχῳ προσλαλῶν
καὶ περὶ μὲν ὑγιείας τὸ ἀσθενὲς ἐπικαλεῖται,
περὶ δὲ ζωῆς τὸ νεκρὸν ἀξιοῖ, 18
περὶ δὲ ἐπικουρίας τὸ ἀπειρότατον ἱκετεύει,
περὶ δὲ ὁδοιπορίας τὸ μηδὲ βάσει χρῆσθαι δυνάμενον,
περὶ δὲ πορισμοῦ καὶ ἐργασίας καὶ χειρῶν ἐπιτυχίας 19
τὸ ἀδρανέστατον ταῖς χερσὶν εὐδράνειαν αἰτεῖται.
20 Πλοῦν τις πάλιν στελλόμενος 1 **14**
καὶ ἄγρια μέλλων διοδεύειν κύματα
τοῦ φέροντος αὐτὸν πλοίου σαθρότερον ξύλον ἐπιβοᾶται.
ἐκεῖνο μὲν γὰρ ὄρεξις πορισμῶν ἐπενόησε, 2
τεχνῖτις δὲ σοφία κατεσκεύασεν·
ἡ δὲ σή, πάτερ, διακυβερνᾷ πρόνοια, 3
ὅτι ἔδωκας καὶ ἐν θαλάσσῃ ὁδὸν
καὶ ἐν κύμασι τρίβον ἀσφαλῆ
δεικνὺς ὅτι δύνασαι ἐκ παντὸς σῴζειν, 4
ἵνα κἂν ἄνευ τέχνης τις ἐπιβῇ.
θέλεις δὲ μὴ ἀργὰ εἶναι τὰ τῆς σοφίας σου ἔργα· 5
διὰ τοῦτο καὶ ἐλαχίστῳ ξύλῳ πιστεύουσιν ἄνθρωποι ψυχὰς
καὶ διελθόντες κλύδωνα σχεδίᾳ διεσώθησαν.
καὶ ἀρχῆς γὰρ ἀπολλυμένων ὑπερηφάνων γιγάντων 6

15 ἡ ἐλπὶς τοῦ κόσμου ἐπὶ σχεδίας καταφυγοῦσα
ἀπέλιπεν αἰῶνι σπέρμα γενέσεως τῇ σῇ κυβερνηθεῖσα χειρί.
εὐλόγηται γὰρ ξύλον, δι' οὗ γίνεται δικαιοσύνη· 7
τὸ χειροποίητον δέ, ἐπικατάρατον αὐτὸ καὶ ὁ ποιήσας αὐτό, 8
ὅτι ὁ μὲν ἠργάζετο, τὸ δὲ φθαρτὸν θεὸς ὠνομάσθη.
20 ἐν ἴσῳ γὰρ μισητὰ θεῷ καὶ ὁ ἀσεβῶν καὶ ἡ ἀσέβεια αὐτοῦ· 9
καὶ γὰρ τὸ πραχθὲν σὺν τῷ δράσαντι κολασθήσεται. 10
διὰ τοῦτο καὶ ἐν εἰδώλοις ἐθνῶν ἐπισκοπὴ ἔσται, 11
ὅτι ἐν κτίσματι θεοῦ εἰς βδέλυγμα ἐγενήθησαν
καὶ εἰς σκάνδαλα ψυχαῖς ἀνθρώπων
25 καὶ εἰς παγίδα ποσὶν ἀφρόνων.
21 1 Ἀρχὴ γὰρ πορνείας ἐπίνοια εἰδώλων, 12
εὕρεσις δὲ αὐτῶν φθορὰ ζωῆς.
οὔτε γὰρ ἦν ἀπ' ἀρχῆς οὔτε εἰς τὸν αἰῶνα ἔσται· 13
κενοδοξίᾳ γὰρ ἀνθρώπων εἰσῆλθεν εἰς τὸν κόσμον, 14
5 καὶ διὰ τοῦτο σύντομον αὐτῶν τὸ τέλος ἐπενοήθη.
ἀώρῳ γὰρ πένθει τρυχόμενος πατὴρ 15
τοῦ ταχέως ἀφαιρεθέντος τέκνου εἰκόνα ποιήσας
τόν ποτε νεκρὸν ἄνθρωπον νῦν εἰς θεὸν ἐτίμησε
καὶ παρέδωκε τοῖς ὑποχειρίοις μυστήρια καὶ τελετάς·
10 εἶτα ἐν χρόνῳ κρατυνθὲν τὸ ἀσεβὲς ἔθος ὡς νόμος ἐφυλάχθη. 16
καὶ τυράννων ἐπιταγαῖς ἐθρησκεύετο τὰ γλυπτά, 17
οὓς ἐν ὄψει μὴ δυνάμενοι τιμᾶν ἄνθρωποι διὰ τὸ μακρὰν οἰκεῖν
τὴν πόρρωθεν ὄψιν ἀνατυπωσάμενοι
ἐμφανῆ εἰκόνα τοῦ τιμωμένου βασιλέως ἐποίησαν,
15 ἵνα ὡς παρόντα τὸν ἀπόντα κολακεύωσι διὰ τῆς σπουδῆς.
εἰς ἐπίτασιν δὲ θρησκείας καὶ τοὺς ἀγνοοῦντας 18
ἡ τοῦ τεχνίτου προετρέψατο φιλοτιμία·
ὁ μὲν γὰρ τάχα κρατοῦντι βουλόμενος ἀρέσαι 19
ἐξεβιάσατο τῇ τέχνῃ τὴν ὁμοιότητα ἐπὶ τὸ κάλλιον·
20 τὸ δὲ πλῆθος ἐφελκόμενον διὰ τὸ εὔχαρι τῆς ἐργασίας 20
τὸν πρὸ ὀλίγου τιμηθέντα ἄνθρωπον νῦν σέβασμα ἐλογίσαντο.
καὶ τοῦτο ἐγένετο τῷ βίῳ εἰς ἔνεδρον, 21
ὅτι ἢ συμφορᾷ ἢ τυραννίδι δουλεύσαντες ἄνθρωποι
τὸ ἀκοινώνητον ὄνομα λίθοις καὶ ξύλοις περιέθεσαν.
22 1 Εἶτ' οὐκ ἤρκεσε τὸ πλανᾶσθαι περὶ τὴν τοῦ θεοῦ γνῶσιν, 22
ἀλλὰ καὶ ἐν μεγάλῳ ζῶντες ἀγνοίας πολέμῳ
τὰ τοσαῦτα κακὰ εἰρήνην προσαγορεύουσιν.
ἢ γὰρ τεκνοφόνους τελετὰς ἢ κρύφια μυστήρια 23
5 ἢ ἐμμανεῖς ἐξάλλων θεσμῶν κώμους ἄγοντες
οὔτε βίους οὔτε γάμους καθαροὺς ἔτι φυλάσσουσιν, 24
ἕτερος δ' ἕτερον ἢ λοχῶν ἀναιρεῖ ἢ νοθεύων ὀδυνᾷ.
πάντα δ' ἐπιμὶξ ἔχει αἷμα καὶ φόνος, κλοπὴ καὶ δόλος, 25
φθορά, ἀπιστία, τάραχος, ἐπιορκία,
10 θόρυβος ἀγαθῶν, χάριτος ἀμνησία, 26

ψυχῶν μιασμός, γενέσεως ἐναλλαγή,
γάμων ἀταξία, μοιχεία καὶ ἀσέλγεια.
ἡ γὰρ τῶν ἀνωνύμων εἰδώλων θρησκεία 27
παντὸς ἀρχὴ κακοῦ καὶ αἰτία καὶ πέρας ἐστίν·
ἢ γὰρ εὐφραινόμενοι μεμήνασιν ἢ προφητεύουσι ψευδῆ 28
ἢ ζῶσιν ἀδίκως ἢ ἐπιορκοῦσι ταχέως·
ἀψύχοις γὰρ πεποιθότες εἰδώλοις 29
κακῶς ὀμόσαντες ἀδικηθῆναι οὐ προσδέχονται.
ἀμφότερα δὲ αὐτοὺς μετελεύσεται τὰ δίκαια, 30
ὅτι κακῶς ἐφρόνησαν περὶ θεοῦ προσέχοντες εἰδώλοις
καὶ ἀδίκως ὤμοσαν ἐν δόλῳ καταφρονήσαντες ὁσιότητος·
οὐ γὰρ ἡ τῶν ὀμνυμένων δύναμις, 31
ἀλλ' ἡ τῶν ἁμαρτανόντων δίκη
ἐπεξέρχεται ἀεὶ τὴν τῶν ἀδίκων παράβασιν.

23 Σὺ δέ, ὁ θεὸς ἡμῶν, χρηστὸς καὶ ἀληθής, 1 **15**
μακρόθυμος καὶ ἐλέει διοικῶν τὰ πάντα.
καὶ γὰρ ἐὰν ἁμάρτωμεν, σοί ἐσμεν, εἰδότες σου τὸ κράτος· 2
οὐχ ἁμαρτησόμεθα δέ, εἰδότες ὅτι σοὶ λελογίσμεθα.
τὸ γὰρ ἐπίστασθαί σε ὁλόκληρος δικαιοσύνη, 3
καὶ εἰδέναι σου τὸ κράτος ῥίζα ἀθανασίας.
οὔτε γὰρ ἐπλάνησεν ἡμᾶς ἀνθρώπων κακότεχνος ἐπίνοια 4
οὐδὲ σκιαγράφων πόνος ἄκαρπος,
εἶδος σπιλωθὲν χρώμασι διηλλαγμένοις,
ὧν ὄψις ἄφροσιν εἰς ὄρεξιν ἔρχεται, 5
ποθεῖ τε νεκρᾶς εἰκόνος εἶδος ἄπνουν.
κακῶν ἐρασταὶ ἄξιοί τε τοιούτων ἐλπίδων 6
καὶ οἱ δρῶντες καὶ οἱ ποθοῦντες καὶ οἱ σεβόμενοι.
Καὶ γὰρ κεραμεὺς ἁπαλὴν γῆν θλίβων ἐπίμοχθον 7
πλάσσει πρὸς ὑπηρεσίαν ἡμῶν ἓν ἕκαστον·
ἀλλ' ἐκ τοῦ αὐτοῦ πηλοῦ ἀνεπλάσατο
τά τε τῶν καθαρῶν ἔργων δοῦλα σκεύη
τά τε ἐναντία, πάντα ὁμοίως·
τούτων δὲ ἑτέρου τίς ἑκάστου ἐστὶν ἡ χρῆσις,
κριτὴς ὁ πηλουργός.
καὶ κακόμοχθος θεὸν μάταιον ἐκ τοῦ αὐτοῦ πλάσσει πηλοῦ 8
ὃς πρὸ μικροῦ ἐκ γῆς γενηθεὶς
μετ' ὀλίγον πορεύεται ἐξ ἧς ἐλήφθη,
τὸ τῆς ψυχῆς ἀπαιτηθεὶς χρέος.
ἀλλ' ἔστιν αὐτῷ φροντὶς οὐχ ὅτι μέλλει κάμνειν 9
οὐδ' ὅτι βραχυτελῆ βίον ἔχει,
ἀλλ' ἀντερείδεται μὲν χρυσουργοῖς καὶ ἀργυροχόοις
χαλκοπλάστας τε μιμεῖται
καὶ δόξαν ἡγεῖται ὅτι κίβδηλα πλάσσει.
σποδὸς ἡ καρδία αὐτοῦ, καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτοῦ, 10
πηλοῦ τε ἀτιμότερος ὁ βίος αὐτοῦ,

ὅτι ἠγνόησεν τὸν πλάσαντα αὐτὸν 11
καὶ τὸν ἐμπνεύσαντα αὐτῷ ψυχὴν ἐνεργοῦσαν
καὶ ἐμφυσήσαντα πνεῦμα ζωτικόν,
ἀλλ' ἐλογίσαντο παίγνιον εἶναι τὴν ζωὴν ἡμῶν 12
καὶ τὸν βίον πανηγυρισμὸν ἐπικερδῆ,
δεῖν γάρ φησιν ὅθεν δή, κἂν ἐκ κακοῦ, πορίζειν.
οὗτος γὰρ παρὰ πάντας οἶδεν ὅτι ἁμαρτάνει 13
ὕλης γεώδους εὔθραυστα σκεύη καὶ γλυπτὰ δημιουργῶν.
πάντες δὲ ἀφρονέστατοι καὶ τάλανες ὑπὲρ ψυχὴν νηπίου 14
οἱ ἐχθροὶ τοῦ λαοῦ σου καταδυναστεύσαντες αὐτόν,
ὅτι καὶ πάντα τὰ εἴδωλα τῶν ἐθνῶν ἐλογίσαντο θεούς, 15
οἷς οὔτε ὀμμάτων χρῆσις εἰς ὅρασιν
οὔτε ῥῖνες εἰς συνολκὴν ἀέρος
οὔτε ὦτα ἀκούειν
οὔτε δάκτυλοι χειρῶν εἰς ψηλάφησιν
καὶ οἱ πόδες αὐτῶν ἀργοὶ πρὸς ἐπίβασιν.
ἄνθρωπος γὰρ ἐποίησεν αὐτούς, 16
καὶ τὸ πνεῦμα δεδανεισμένος ἔπλασεν αὐτούς·
οὐδεὶς γὰρ αὐτῷ ὅμοιον ἄνθρωπος ἰσχύει πλάσαι θεόν·
θνητὸς δὲ ὢν νεκρὸν ἐργάζεται χερσὶν ἀνόμοις· 17
κρείττων γάρ ἐστιν τῶν σεβασμάτων αὐτοῦ,
ὧν αὐτὸς μὲν ἔζησεν, ἐκεῖνα δὲ οὐδέποτε.
καὶ τὰ ζῷα δὲ τὰ ἔχθιστα σέβονται· 18
ἀνοίᾳ γὰρ συγκρινόμενα τῶν ἄλλων ἐστὶ χείρονα·
οὐδ' ὅσον ἐπιποθῆσαι ὡς ἐν ζῴων ὄψει καλὰ τυγχάνει, 19
ἐκπέφευγε δὲ καὶ τὸν τοῦ θεοῦ ἔπαινον καὶ τὴν εὐλογίαν αὐτοῦ.

24 Διὰ τοῦτο δι' ὁμοίων ἐκολάσθησαν ἀξίως 1 **16**
καὶ διὰ πλήθους κνωδάλων ἐβασανίσθησαν.
ἀνθ' ἧς κολάσεως εὐεργετήσας τὸν λαόν σου 2
εἰς ἐπιθυμίαν ὀρέξεως ξένην γεῦσιν
τροφὴν ἡτοίμασας ὀρτυγομήτραν,
ἵνα ἐκεῖνοι μὲν ἐπιθυμοῦντες τροφὴν 3
διὰ τὴν εἰδέχθειαν τῶν ἐπαπεσταλμένων
καὶ τὴν ἀναγκαίαν ὄρεξιν ἀποστρέφωνται,
αὐτοὶ δὲ ἐπ' ὀλίγον ἐνδεεῖς γενόμενοι
καὶ ξένης μετάσχωσι γεύσεως.
ἔδει γὰρ ἐκείνοις μὲν ἀπαραίτητον ἔνδειαν ἐπελθεῖν τυραννοῦσι, 4
τούτοις δὲ μόνον δειχθῆναι πῶς οἱ ἐχθροὶ αὐτῶν ἐβασανίζοντο.
Καὶ γὰρ ὅτε αὐτοῖς δεινὸς ἐπῆλθε θηρίων θυμὸς 5
δήγμασί τε σκολιῶν διεφθείροντο ὄφεων,
οὐ μέχρι τέλους ἔμεινεν ἡ ὀργή σου·
εἰς νουθεσίαν δὲ πρὸς ὀλίγον ἐταράχθησαν 6
σύμβολον ἔχοντες σωτηρίας εἰς ἀνάμνησιν ἐντολῆς Νόμου σου·
ὁ γὰρ ἐπιστραφεὶς οὐ διὰ τὸ θεωρούμενον ἐσῴζετο, 7
ἀλλὰ διὰ σὲ τὸν πάντων σωτῆρα.

καὶ ἐν τούτῳ δὲ ἔπεισας τοὺς ἐχθροὺς ἡμῶν 8
ὅτι σὺ εἶ ὁ ῥυόμενος ἐκ παντὸς κακοῦ·
οὓς μὲν γὰρ ἀκρίδων καὶ μυιῶν ἀπέκτεινε δήγματα, 9
καὶ οὐχ εὑρέθη ἴαμα τῇ ψυχῇ αὐτῶν,
ὅτι ἄξιοι ἦσαν ὑπὸ τοιούτων κολασθῆναι,
τοὺς δὲ υἱούς σου οὐδὲ ἰοβόλων δρακόντων ἐνίκησαν ὀδόντες, 10
τὸ ἔλεος γάρ σου ἀντιπαρῆλθε καὶ ἰάσατο αὐτούς.
εἰς γὰρ ὑπόμνησιν τῶν λογίων σου ἐνεκεντρίζοντο 11
καὶ ὀξέως διεσῴζοντο,
ἵνα μὴ εἰς βαθεῖαν ἐμπεσόντες λήθην
ἀπερίσπαστοι γένωνται τῆς σῆς εὐεργεσίας.
καὶ γὰρ οὔτε βοτάνη οὔτε μάλαγμα ἐθεράπευσεν αὐτούς, 12
ἀλλὰ ὁ σός, Κύριε, λόγος ὁ πάντας ἰώμενος.
σὺ γὰρ ζωῆς καὶ θανάτου ἐξουσίαν ἔχεις 13
καὶ κατάγεις εἰς πύλας ᾅδου καὶ ἀνάγεις·
ἄνθρωπος δὲ ἀποκτέννει μὲν τῇ κακίᾳ αὐτοῦ, 14
ἐξελθὸν δὲ πνεῦμα οὐκ ἀναστρέφει
οὐδὲ ἀναλύει ψυχὴν παραληφθεῖσαν.
25 Τὴν δὲ σὴν χεῖρα φυγεῖν ἀδύνατόν ἐστιν· 15
ἀρνούμενοι γάρ σε εἰδέναι ἀσεβεῖς 16
ἐν ἰσχύι βραχίονός σου ἐμαστιγώθησαν
ξένοις ὑετοῖς καὶ χαλάζαις καὶ ὄμβροις διωκόμενοι ἀπαραιτήτοις
καὶ πυρὶ καταναλισκόμενοι.
τὸ γὰρ παραδοξότατον, ἐν τῷ πάντα σβεννύντι ὕδατι 17
πλεῖον ἐνήργει τὸ πῦρ,
ὑπέρμαχος γὰρ ὁ κόσμος ἐστὶ δικαίων·
ποτὲ μὲν γὰρ ἡμεροῦτο φλόξ, 18
ἵνα μὴ καταφλέξῃ τὰ ἐπ' ἀσεβεῖς ἀπεσταλμένα ζῷα,
ἀλλ' αὐτοὶ βλέποντες εἰδῶσιν ὅτι θεοῦ κρίσει ἐλαύνονται·
ποτὲ δὲ καὶ μεταξὺ ὕδατος ὑπὲρ τὴν πυρὸς δύναμιν φλέγει, 19
ἵνα ἀδίκου γῆς γενήματα διαφθείρῃ.
ἀνθ' ὧν ἀγγέλων τροφὴν ἐψώμισας τὸν λαόν σου 20
καὶ ἕτοιμον ἄρτον ἀπ' οὐρανοῦ παρέσχες αὐτοῖς ἀκοπιάτως
πᾶσαν ἡδονὴν ἰσχύοντα καὶ πρὸς πᾶσαν ἁρμόδιον γεῦσιν·
ἡ μὲν γὰρ ὑπόστασίς σου 21
τὴν σὴν πρὸς τέκνα ἐνεφάνιζε γλυκύτητα,
τῇ δὲ τοῦ προσφερομένου ἐπιθυμίᾳ ὑπηρετῶν
πρὸς ὅ τις ἐβούλετο μετεκιρνᾶτο.
χιὼν δὲ καὶ κρύσταλλος ὑπέμεινε πῦρ καὶ οὐκ ἐτήκετο, 22
ἵνα γνῶσιν ὅτι τοὺς τῶν ἐχθρῶν καρποὺς
κατέφθειρε πῦρ φλεγόμενον ἐν τῇ χαλάζῃ
καὶ ἐν τοῖς ὑετοῖς διαστράπτον·
τοῦτο πάλιν δ', ἵνα τραφῶσι δίκαιοι, 23
καὶ τῆς ἰδίας ἐπιλέλησται δυνάμεως.
ἡ γὰρ κτίσις σοὶ τῷ ποιήσαντι ὑπηρετοῦσα 24

ἐπιτείνεται εἰς κόλασιν κατὰ τῶν ἀδίκων
καὶ ἀνίεται εἰς εὐεργεσίαν ὑπὲρ τῶν ἐπὶ σοὶ πεποιθότων.
διὰ τοῦτο καὶ τότε εἰς πάντα μεταλλευομένη 25
τῇ παντοτρόφῳ σου δωρεᾷ ὑπηρέτει
πρὸς τὴν τῶν δεομένων θέλησιν,
ἵνα μάθωσιν οἱ υἱοί σου, οὓς ἠγάπησας, Κύριε, 26
ὅτι οὐχ αἱ γενέσεις τῶν καρπῶν, τρέφουσιν ἄνθρωπον,
ἀλλὰ τὸ ῥῆμά σου τοὺς σοὶ πιστεύοντας διατηρεῖ
τὸ γὰρ ὑπὸ πυρὸς μὴ φθειρόμενον 27
ἁπλῶς ὑπὸ βραχείας ἀκτῖνος ἡλίου θερμαινόμενον ἐτήκετο,
ὅπως γνωστὸν ᾖ ὅτι δεῖ φθάνειν τὸν ἥλιον ἐπ' εὐχαριστίαν σου 28
καὶ πρὸς ἀνατολὴν φωτὸς ἐντυγχάνειν σοι·
ἀχαρίστου γὰρ ἐλπὶς ὡς χειμέριος πάχνη τακήσεται 29
καὶ ῥυήσεται ὡς ὕδωρ ἄχρηστον.

26 Μεγάλαι γάρ σου αἱ κρίσεις καὶ δυσδιήγητοι· 1 **17**
διὰ τοῦτο ἀπαίδευτοι ψυχαὶ ἐπλανήθησαν.
ὑπειληφότες γὰρ καταδυναστεύειν ἔθνος ἅγιον ἄνομοι 2
δέσμιοι σκότους καὶ μακρᾶς πεδῆται νυκτὸς
κατακλεισθέντες ὀρόφοις φυγάδες τῆς αἰωνίου προνοίας ἔκειντο.
λανθάνειν γὰρ νομίζοντες ἐπὶ κρυφαίοις ἁμαρτήμασιν 3
ἀφεγγεῖ λήθης παρακαλύμματι
ἐσκορπίσθησαν θαμβούμενοι δεινῶς
καὶ ἰνδάλμασιν ἐκταρασσόμενοι.
οὐδὲ γὰρ ὁ κατέχων αὐτοὺς μυχὸς ἀφόβους διεφύλαττεν, 4
ἦχοι δ' ἐκταράσσοντες αὐτοὺς περιεκόμπουν,
καὶ φάσματα ἀμειδήτοις κατηφῆ προσώποις ἐνεφανίζετο.
καὶ πυρὸς μὲν οὐδεμία βία κατίσχυε φωτίζειν, 5
οὔτε ἄστρων ἔκλαμπροι φλόγες
καταυγάζειν ὑπέμενον τὴν στυγνὴν ἐκείνην νύκτα.
διεφαίνετο δ' αὐτοῖς μόνον 6
αὐτομάτη πυρὰ φόβου πλήρης,
ἐκδειματούμενοι δὲ τῆς μὴ θεωρουμένης ἐκείνης ὄψεως
ἡγοῦντο χείρω τὰ βλεπόμενα.
μαγικῆς δὲ ἐμπαίγματα κατέκειτο τέχνης, 7
καὶ τῆς ἐπὶ φρονήσει ἀλαζονείας ἔλεγχος ἐφύβριστος·
οἱ γὰρ ὑπισχνούμενοι δείματα καὶ ταραχὰς 8
ἀπελαύνειν ψυχῆς νοσούσης,
οὗτοι καταγέλαστον εὐλάβειαν ἐνόσουν.
καὶ γὰρ εἰ μηδὲν αὐτοὺς ταραχῶδες ἐφόβει, 9
κνωδάλων παρόδοις καὶ ἑρπετῶν συριγμοῖς ἐκσεσοβημένοι
διώλλυντο ἔντρομοι
καὶ τὸν μηδαμόθεν φευκτὸν ἀέρα προσιδεῖν ἀρνούμενοι.
δειλὸν γὰρ ἰδίῳ πονηρία μάρτυρι καταδικαζομένη, 10
ἀεὶ δὲ προσείληφε τὰ χαλεπὰ συνεχομένη τῇ συνειδήσει·
οὐθὲν γάρ ἐστι φόβος 11

εἰ μὴ προδοσία τῶν ἀπὸ λογισμοῦ βοηθημάτων,
ἔνδοθεν δὲ οὖσα ἥττων ἡ προσδοκία 12
πλείονα λογίζεται τὴν ἄγνοιαν
τῆς παρεχούσης τὴν βάσανον αἰτίας.
οἱ δὲ τὴν ἀδύνατον ὄντως νύκτα 13
καὶ ἐξ ἀδυνάτου ᾅδου μυχῶν ἐπελθοῦσαν
τὸν αὐτὸν ὕπνον κοιμώμενοι
τὰ μὲν τέρασιν ἠλαύνοντο φαντασμάτων, 14
τὰ δὲ τῆς ψυχῆς παρελύοντο προδοσίᾳ·
αἰφνίδιος γὰρ αὐτοῖς καὶ ἀπροσδόκητος φόβος ἐπεχύθη.
εἶθ' οὕτως, ὃς δή ποτ' οὖν ἦν ἐκεῖ καταπίπτων, 15
ἐφρουρεῖτο εἰς τὴν ἀσίδηρον εἱρκτὴν κατακλεισθείς·
εἴ τε γὰρ γεωργὸς ἦν τις ἢ ποιμὴν 16
ἢ τῶν κατ' ἐρημίαν ἐργάτης μόχθων,
προληφθεὶς τὴν δυσάλυκτον ἔμενεν ἀνάγκην,
μιᾷ γὰρ ἁλύσει σκότους πάντες ἐδέθησαν·
εἴ τε πνεῦμα συρίζον 17
ἢ περὶ ἀμφιλαφεῖς κλάδους ὀρνέων ἦχος εὐμελὴς
ἢ ῥυθμὸς ὕδατος πορευομένου βίᾳ
ἢ κτύπος ἀπηνὴς καταρριπτομένων πετρῶν
ἢ σκιρτώντων ζῴων δρόμος ἀθεώρητος 18
ἢ ὠρυομένων ἀπηνεστάτων θηρίων φωνὴ
ἢ ἀντανακλωμένη ἐκ κοιλότητος ὀρέων ἠχώ,
παρέλυεν αὐτοὺς ἐκφοβοῦντα.
ὅλος γὰρ ὁ κόσμος λαμπρῷ κατελάμπετο φωτὶ 19
καὶ ἀνεμποδίστοις συνείχετο ἔργοις·
μόνοις δὲ ἐκείνοις ἐπετέτατο βαρεῖα νὺξ 20
εἰκὼν τοῦ μέλλοντος αὐτοὺς διαδέχεσθαι σκότους,
ἑαυτοῖς δὲ ἦσαν βαρύτεροι σκότους.
27 Τοῖς δὲ ὁσίοις σου μέγιστον ἦν φῶς· 1 **18**
ὧν φωνὴν μὲν ἀκούοντες μορφὴν δὲ οὐχ ὁρῶντες,
ὅτι μὲν οὐ κἀκεῖνοι ἐπεπόνθεισαν, ἐμακάριζον,
ὅτι δ' οὐ βλάπτουσι προηδικημένοι, ηὐχαρίστουν 2
καὶ τοῦ διενεχθῆναι χάριν ἐδέοντο.
ἀνθ' ὧν πυριφλεγῆ στῦλον 3
ὁδηγὸν μὲν ἀγνώστου ὁδοιπορίας,
ἥλιον δὲ ἀβλαβῆ φιλοτίμου ξενιτείας παρέσχες.
ἄξιοι μὲν γὰρ ἐκεῖνοι στερηθῆναι φωτὸς 4
καὶ φυλακισθῆναι σκότει
οἱ κατακλείστους φυλάξαντες τοὺς υἱούς σου,
δι' ὧν ἤμελλε τὸ ἄφθαρτον νόμου φῶς τῷ αἰῶνι δίδοσθαι.
28 Βουλευσαμένους δ' αὐτοὺς τὰ τῶν ὁσίων ἀποκτεῖναι νήπια 5
καὶ ἑνὸς ἐκτεθέντος τέκνου καὶ σωθέντος
εἰς ἔλεγχον τὸ αὐτῶν ἀφείλω πλῆθος τέκνων
καὶ ὁμοθυμαδὸν ἀπώλεσας ἐν ὕδατι σφοδρῷ.

ἐκείνη ἡ νὺξ προεγνώσθη πατράσιν ἡμῶν, 6
ἵνα ἀσφαλῶς εἰδότες οἷς ἐπίστευσαν ὅρκοις ἐπευθυμήσωσι.
προσεδέχθη ὑπὸ λαοῦ σου 7
σωτηρία μὲν δικαίων, ἐχθρῶν δὲ ἀπώλεια·
ᾧ γὰρ ἐτιμωρήσω τοὺς ὑπεναντίους, 8
τούτῳ ἡμᾶς προσκαλεσάμενος ἐδόξασας.
κρυφῇ γὰρ ἐθυσίαζον ὅσιοι παῖδες ἀγαθῶν 9
καὶ τὸν τῆς θειότητος νόμον ἐν ὁμονοίᾳ διέθεντο
τῶν αὐτῶν ὁμοίως καὶ ἀγαθῶν
καὶ κινδύνων μεταλήψεσθαι τοὺς ἁγίους
πατέρων ἤδη προαναμέλποντες αἴνους.
ἀντήχει δ' ἀσύμφωνος ἐχθρῶν ἡ βοή, 10
καὶ οἰκτρὰ διεφέρετο φωνὴ θρηνουμένων παίδων·
ὁμοίᾳ δὲ δίκῃ δοῦλος ἅμα δεσπότῃ κολασθεὶς 11
καὶ δημότης βασιλεῖ τὰ αὐτὰ πάσχων,
ὁμοθυμαδὸν δὲ πάντες ἐν ἑνὶ ὀνόματι θανάτου 12
νεκροὺς εἶχον ἀναριθμήτους·
οὐδὲ γὰρ πρὸς τὸ θάψαι οἱ ζῶντες ἦσαν ἱκανοί,
ἐπεὶ πρὸς μίαν ῥοπὴν ἡ ἐντιμοτέρα γένεσις αὐτῶν διέφθαρτο.
πάντα γὰρ ἀπιστοῦντες διὰ τὰς φαρμακείας 13
ἐπὶ τῷ τῶν πρωτοτόκων ὀλέθρῳ ὡμολόγησαν
θεοῦ υἱὸν λαὸν εἶναι.
ἡσύχου γὰρ σιγῆς περιεχούσης τὰ πάντα 14
καὶ νυκτὸς ἐν ἰδίῳ τάχει μεσαζούσης
ὁ παντοδύναμός σου λόγος ἀπ' οὐρανῶν ἐκ θρόνων βασιλείων 15
ἀπότομος πολεμιστὴς εἰς μέσον τῆς ὀλεθρίας ἥλατο γῆς
ξίφος ὀξὺ τὴν ἀνυπόκριτον ἐπιταγήν σου φέρων
καὶ στὰς ἐπλήρωσε τὰ πάντα θανάτου 16
καὶ οὐρανοῦ μὲν ἥπτετο, βεβήκει δ' ἐπὶ γῆς.
τότε παραχρῆμα φαντασίαι μὲν ὀνείρων δεινῶν 17
ἐξετάραξαν αὐτούς,
φόβοι δὲ ἐπέστησαν ἀδόκητοι,
καὶ ἄλλος ἀλλαχῇ ῥιφεὶς ἡμίθνητος 18
δι' ἣν ἔθνῃσκον αἰτίαν ἐνεφάνιζεν·
οἱ γὰρ ὄνειροι θορυβήσαντες αὐτοὺς τοῦτο προεμήνυσαν, 19
ἵνα μὴ ἀγνοοῦντες δι' ὃ κακῶς πάσχουσιν ἀπόλωνται.
29 Ἥψατο δὲ καὶ δικαίων πεῖρα θανάτου, 20
καὶ θραῦσις ἐν ἐρήμῳ ἐγένετο πλήθους.
ἀλλ' οὐκ ἐπὶ πολὺ ἔμεινεν ἡ ὀργή·
σπεύσας γὰρ ἀνὴρ ἄμεμπτος προεμάχησε 21
τὸ τῆς ἰδίας λειτουργίας ὅπλον
προσευχὴν καὶ θυμιάματος ἐξιλασμὸν κομίσας·
ἀντέστη τῷ θυμῷ καὶ πέρας ἐπέθηκε τῇ συμφορᾷ
δεικνὺς ὅτι σός ἐστι θεράπων·
ἐνίκησε δὲ τὸν ὄχλον οὐκ ἰσχύι τοῦ σώματος, 22

10 οὐχ ὅπλων ἐνεργείᾳ,
ἀλλὰ λόγῳ τὸν κολάζοντα ὑπέταξεν
ὅρκους πατέρων καὶ διαθήκας ὑπομνήσας.
σωρηδὸν γὰρ ἤδη πεπτωκότων ἐπ' ἀλλήλων νεκρῶν 23
μεταξὺ στὰς ἀνέκοψε τὴν ὀργὴν
15 καὶ διέσχισε τὴν πρὸς τοὺς ζῶντας ὁδόν.
ἐπὶ γὰρ ποδήρους ἐνδύματος ἦν ὅλος ὁ κόσμος, 24
καὶ πατέρων δόξαι ἐπὶ τετραστίχου λίθων γλυφῆς,
καὶ μεγαλωσύνη σου ἐπὶ διαδήματος κεφαλῆς αὐτοῦ.
τούτοις εἶδεν ὁ ὀλεθρεύων, ταῦτα δὲ ἐφοβήθη· 25
20 ἦν γὰρ μόνη ἡ πεῖρα τῆς ὀργῆς ἱκανή.
30 1 Τοῖς δὲ ἀσεβέσι μέχρι τέλους ἀνελεήμων θυμὸς ἐπέστη· 1 **19**
προῆδει γὰρ αὐτῶν καὶ τὰ μέλλοντα,
ὅτι αὐτοὶ ἐπιτρέψαντες τοῦ ἀπιέναι 2
καὶ μετὰ σπουδῆς προπέμψαντες αὐτοὺς
5 διώξουσι μεταμεληθέντες.
ἔτι γὰρ ἐν χερσὶν ἔχοντες τὰ πένθη 3
καὶ προσοδυρόμενοι τάφοις νεκρῶν
ἕτερον ἐπεσπάσαντο λογισμὸν ἀνοίας
καὶ οὓς ἱκετεύοντες ἐξέβαλον, τούτους ὡς φυγάδας ἐδίωκον.
10 εἶλκε γὰρ αὐτοὺς ἡ ἀξία ἐπὶ τοῦτο τὸ πέρας ἀνάγκη 4
καὶ τῶν συμβεβηκότων ἀμνηστίαν ἐνέβαλεν,
ἵνα τὴν λείπουσαν ταῖς βασάνοις προσαναπληρώσωσι κόλασιν,
καὶ ὁ μὲν λαός σου παράδοξον ὁδοιπορίαν πειράσῃ, 5
ἐκεῖνοι δὲ ξένον εὕρωσι θάνατον.
15 ὅλη γὰρ ἡ κτίσις ἐν ἰδίῳ γένει πάλιν ἄνωθεν διετυποῦτο 6
ὑπηρετοῦσα ταῖς σαῖς ἐπιταγαῖς,
ἵνα οἱ σοὶ παῖδες φυλαχθῶσιν ἀβλαβεῖς.
ἡ τὴν παρεμβολὴν σκιάζουσα νεφέλη, 7
ἐκ δὲ προϋφεστῶτος ὕδατος ξηρᾶς ἀνάδυσις γῆς ἐθεωρήθη,
20 ἐξ Ἐρυθρᾶς Θαλάσσης ὁδὸς ἀνεμπόδιστος
καὶ χλοηφόρον πεδίον ἐκ κλύδωνος βιαίου·
δι' οὗ πανεθνεὶ διῆλθον οἱ τῇ σῇ σκεπαζόμενοι χειρὶ 8
θεωρήσαντες θαυμαστὰ τέρατα.
ὡς γὰρ ἵπποι ἐνεμήθησαν 9
25 καὶ ὡς ἀμνοὶ διεσκίρτησαν
αἰνοῦντές σε, Κύριε, τὸν ῥυσάμενον αὐτούς.
ἐμέμνηντο γὰρ ἔτι τῶν ἐν τῇ παροικίᾳ αὐτῶν, 10
πῶς ἀντὶ μὲν γενέσεως ζῴων ἐξήγαγεν ἡ γῆ σκνῖπα,
ἀντὶ δὲ ἐνύδρων ἐξηρεύξατο ὁ ποταμὸς πλῆθος βατράχων.
30 ἐφ' ὑστέρῳ δὲ εἶδον καὶ γένεσιν νέαν ὀρνέων, 11
ὅτε ἐπιθυμίᾳ προαχθέντες ᾐτήσαντο ἐδέσματα τρυφῆς·
εἰς γὰρ παραμυθίαν ἐκ θαλάσσης ἀνέβη αὐτοῖς ὀρτυγομήτρα. 12
Καὶ αἱ τιμωρίαι τοῖς ἁμαρτωλοῖς ἐπῆλθον 13
οὐκ ἄνευ τῶν προγεγονότων τεκμηρίων τῇ βίᾳ τῶν κεραυνῶν·

35 δικαίως γὰρ ἔπασχον ταῖς ἰδίαις αὐτῶν πονηρίαις,
καὶ γὰρ χαλεπωτέραν μισοξενίαν ἐπετήδευσαν.
οἱ μὲν γὰρ τοὺς ἀγνοοῦντας οὐκ ἐδέχοντο παρόντας· 14
οὗτοι δὲ εὐεργέτας ξένους ἐδουλοῦντο.
καὶ οὐ μόνον, ἀλλ' ἤ τις ἐπισκοπὴ ἔσται αὐτῶν, 15
40 ἐπεὶ ἀπεχθῶς προσεδέχοντο τοὺς ἀλλοτρίους·
οἱ δὲ μετὰ ἑορτασμάτων 16
εἰσδεξάμενοι τοὺς ἤδη τῶν αὐτῶν μετεσχηκότας δικαίων
δεινοῖς ἐκάκωσαν πόνοις.
ἐπλήγησαν δὲ καὶ ἀορασίᾳ 17
45 ὥσπερ ἐκεῖνοι ἐπὶ ταῖς τοῦ δικαίου θύραις,
ὅτε ἀχανεῖ περιβληθέντες σκότει
ἕκαστος τῶν ἑαυτοῦ θυρῶν τὴν δίοδον ἐζήτει.
.....
δι' ἑαυτῶν γὰρ τὰ στοιχεῖα μεθαρμοζόμενα, 18
ὥσπερ ἐν ψαλτηρίῳ φθόγγοι
50 τοῦ ῥυθμοῦ τὸ ὄνομα διαλλάσσουσι,
πάντοτε μένοντα ἤχῳ .....
.....
ὅπερ ἐστὶν εἰκάσαι ἐκ τῆς τῶν γεγονότων ὄψεως ἀκριβῶς·
χερσαῖα γὰρ εἰς ἔνυδρα μετεβάλλετο, 19
καὶ νηκτὰ μετέβαινεν ἐπὶ γῆς·
55 πῦρ ἴσχυεν ἐν ὕδατι τῆς ἰδίας δυνάμεως, 20
καὶ ὕδωρ τῆς σβεστικῆς φύσεως ἐπελανθάνετο·
φλόγες ἀνάπαλιν εὐφθάρτων ζῴων 21
οὐκ ἐμάραναν σάρκας ἐμπεριπατούντων,
οὐδὲ τηκτὸν κρυσταλλοειδὲς εὔτηκτον γένος ἀμβροσίας τροφῆς.
60 κατὰ πάντα γάρ, Κύριε, ἐμεγάλυνας τὸν λαόν σου καὶ ἐδόξασας 22
καὶ οὐχ ὑπερεῖδες ἐν παντὶ καιρῷ καὶ τόπῳ παριστάμενος.
.....

10. ΑΠΟΣΠΑΣΜΑΤΑ

1. Φίλων πρεσβύτερος
2. Θεόδοτος
3. Ψ-Χρησμοὶ Ἀπόλλωνος
4. Ἐζεκιῆλος
5. Δημήτριος
6. Ἀριστόβουλος
7. Εὐπόλεμος
8. Θεόφιλος
9. Συρίας σχοινομέτρησις
10. Ἰάσων Κυρηναῖος
11. Ψ-Ἑκαταῖος Ἀβδηρίτης
12. Ψ-Κλέαρχος Σολεύς
13. Ψ-Ἀρτάπανος
14. Ψ-Νουμᾶς Ῥωμαῖος
15. Ψ-Σίβυλλα (πεζή)
16. Ψ-Νουμήνιος πυθαγορικός

1. ΦΙΛΩΝ ΠΡΕΣΒΥΤΕΡΟΣ

Περὶ Ἰεροσόλυμα

1

20 1 Φησὶ δὲ περὶ τούτου καὶ Φίλων ἐν τῷ πρώτῳ τῶν *Περὶ Ἰεροσόλυμα·*

Ἔκλυον ἀρχεγόνοισι τὸ μηρίον ὥς ποτε θεσμοῖς,
Ἀβραὰμ κλυτοηχὲς ὑπερτέρῳ ἅμματι δεσμῶν,
παμφαές, πλήμμυρε μεγαυχήτοισι λογισμοῖς,
θειοφιλῆ θέλγητρα. λιπόντι γὰρ ἀγλαὸν ἕρκος
5 αἰνοφύτων ἔκκαυμα βριήπυος αἰνετὸς ἴσχων
ἀθάνατον ποίησεν ἑὴν φάτιν, ἐξότε κείνου
ἔκγονος αἰνογόνοιο πολύμνιον ἔλλαχε κῦδος,

καὶ τὰ ἑξῆς· οἷς μετ' ὀλίγα ἐπιφέρει·

Ἀρτίχερος θηκτεῖο ξιφηφόρον ἐντύνοντος
λήμματι καὶ σφαράγοιο παρακλιδὸν ἀθροισθέντος·
ἀλλ' ὁ μὲν ἐν χείρεσσι κερασφόρον ὤπασε κριόν.

Ἀλέξανδρος Πολυΐστωρ, στὸν Εὐσέβιο, Εὐ. πρ. 9, 20, 1

2

24 1 Μαρτυρεῖ δὲ ταῖς ἱεραῖς βίβλοις καὶ Φίλων ἐν τῇ ιδ΄ τῶν *Περὶ Ἰεροσόλυμα,* λέγων οὕτω·

Τοῖσιν ἕδος μακαριστὸν ὅλης μέγας ἔκτισεν ἄκτωρ

ὕψιστος καὶ πρόσθεν ἀπ' Ἀβραάμοιο καὶ Ἰσὰκ
Ἰακὼβ ἐκτένοιό θ' ὅθεν Ἰωσήφ, ὃς ὀνείρων
θεσπιστὴς σκηπτοῦχος ἐν Αἰγύπτοιο θρόνοισι,
5 δινεύσας λαθραῖα χρόνου πλημμυρίδι μοίρης.

Ἀλέξανδρος Πολυΐστωρ, στὸν Εὐσέβιο, Εὐ. πρ. 9, 24,1

3

37 1 Φησὶ δὲ ὁ Φίλων ἐν τοῖς *Περὶ Ἱεροσολύμων* κρήνην εἶναι, ταύτην δὲ ἐν μὲν τῷ χειμῶνι ξηραίνεσθαι, ἐν δὲ τῷ θέρει πληροῦσθαι. λέγει δὲ ἐν τῇ πρώτῃ οὕτω·

Νηχόμενος δ' ἐφύπερθε τὸ θαμβηέστατον ἄλλο
δέρκηθρον· συναοιδὰ μεγιστούχοιο λοετροῖς
2 ῥεύματος ἐμπίμπλησι βαθὺν ῥόον ἐξανιείσης.

καὶ τὰ ἑξῆς· οἷς πάλιν ὑποβὰς περὶ τῆς πληρώσεως ἐπιλέγει·

Ῥεῦμα γὰρ ὑψιφάεννον, ἐν ὑετίοις νιφετοῖσιν
ἱέμενον, πολυγηθές, ὑπαὶ πύργοις συνόροισιν
στρωφᾶται, καὶ ξηρὰ πέδῳ κεκονιαμένα κρήνης
3 τηλεφαῆ δείκνυσιν ὑπέρτατα θάμβεα λαῶν.

καὶ τὰ τούτοις ἀκόλουθα. εἶτα πάλιν περὶ τῆς τοῦ ἀρχιερέως κρήνης καὶ τῆς ἀποχετεύσεως διέξεισιν οὕτως·

Αἰπὺ δ' ἄρ' ἐκπτύουσι διὰ χθονὸς ὑδροχόοισι
σωλῆνες.

Εὐσέβιος, Εὐ. πρ. 9, 37, 1-3

2. ΘΕΟΔΟΤΟΣ

Περὶ Ἰουδαίων

22 1 Τὰ δὲ Σίκιμά φησι Θεόδοτος ἐν τῷ περὶ Ἰουδαίων ἀπὸ Σικιμίου τοῦ Ἑρμοῦ λαβεῖν τὴν ὀνομασίαν· τοῦτον γὰρ καὶ κτίσαι τὴν πόλιν· κεῖσθαι δ' αὐτήν φησιν ἐν τῇ περὶ Ἰουδαίων οὕτως·

Ἡ δ' ἄρ' ἔην ἀγαθή τε καὶ αἰγινόμος καὶ ὑδρηλή,
οὐδὲ μὲν ἔσκεν ὁδὸς δολιχὴ πόλιν εἰσαφικέσθαι
ἀγρόθεν· οὐδέ ποτε δρία λαχνήεντα πονεῦσιν.
ἐξ αὐτῆς δὲ μάλ' ἄγχι δύ' οὔρεα φαίνετ' ἐρυμνά,
5 ποίης τε πλήθοντα καὶ ὕλης· τῶν δὲ μεσηγὺ
ἀτραπιτὸς τέτμηται ἀραὴ αὐλῶπις· ἐν δ' ἑτέρωθι
ἡ διερὴ Σικίμων καταφαίνεται, ἱερὸν ἄστυ,
νέρθεν ὑπὸ ῥίζῃ δεδμημένον, ἀμφὶ δὲ τεῖχος
λισσὸν ὑπώρειαν ὑποδέδρομεν αἰπύθεν ἕρκος.

2 ὕστερον δέ φησιν αὐτὴν ὑπὸ Ἑβραίων κατασχεθῆναι, δυναστεύοντος Ἐμμώρ· τὸν γὰρ Ἐμμὼρ υἱὸν γεννῆσαι Συχέμ. φησὶ δέ·

Ἐνθένδε, ξένε, ποιμενόφι πτόλιν ἤλυθ' Ἰακὼβ
εὐρεῖαν Σικίμων· ἐπὶ δ' ἀνδράσι τοῖσιν ἔτῃσιν
ἀρχὸς Ἐμὼρ σὺν παιδὶ Συχέμ, μάλ' ἀτειρέε φῶτε.

3 εἶτα περὶ Ἰακὼβ καὶ τὴν εἰς Μεσοποταμίαν αὐτοῦ παρουσίαν καὶ τὸν δύο γυναικῶν γάμον καὶ τὴν τῶν τέκνων γένεσιν καὶ τὴν παρουσίαν τὴν ἐκ Μεσοποταμίας ἐπὶ τὰ Σίκιμα. εἶπε δέ·

Ἰακὼβ Συρίην κτηνοτρόφον ἶκτο καὶ εὐρὺ
ῥεῖθρον Ἐυφρήταο λίπεν ποταμοῦ κελάδοντος.
ἤλυθε γὰρ κἀκεῖθι λιπὼν δριμεῖαν ἐνιπὴν
αὐτοκασιγνήτοιο· πρόφρων ὑπέδεκτο δόμονδε
5 Λάβαν, ὅς οἱ ἔην μὲν ἀνεψιός, ἀλλὰ τότ' οἶος
ἤνασσεν Συρίης, νεηγενὲς αἷμα λελογχώς.
τῷ δὲ γάμον κούρης μὲν ὑπέσχετο καὶ κατένευσεν
ὁπλοτάτης· οὐ μὴν τελέθειν ἐπεμαίετο πάμπαν,
ἀλλὰ δόλον τολύπευσε καὶ εἰς λέχος ἀνέρι πέμπε
10 Λίαν, ἥ οἱ ἔην προγενεστέρη. οὐδέ μιν ἔμπης
ἔλλαθεν, ἀλλ' ἐνόησε κακορραφίην καὶ ἔδεκτο
παῖδ' ἑτέρην, ἀμφοῖν δ' ἐμίγη σὺν ὁμαίμοσιν ᾗσι.
τῷ δ' υἱεῖς ἐγένοντο νόῳ πεπνυμένοι αἰνῶς
ἕνδεκα καὶ κούρη Δίνα περικαλλὲς ἔχουσα
15 εἶδος, ἐπίστρεπτον δὲ δέμας καὶ ἀμύμονα θυμόν.

4 ἀπὸ δὲ τοῦ Εὐφράτου φησὶ τὸν Ἰακὼβ ἐλθεῖν εἰς τὰ Σίκιμα πρὸς Ἐμμώρ· τὸν δὲ ὑποδέξασθαι αὐτὸν καὶ μέρος τι τῆς χώρας δοῦναι. καὶ αὐτὸν μὲν τὸν Ἰακὼβ γεωμορεῖν, τοὺς δὲ υἱοὺς αὐτοῦ ἕνδεκα τὸν ἀριθμὸν ὄντας ποιμαίνειν, τὴν δὲ θυγατέρα Δίναν καὶ τὰς γυναῖκας ἐριουργεῖν. καὶ τὴν Δίναν παρθένον οὖσαν εἰς τὰ Σίκιμα ἐλθεῖν πανηγύρεως οὔσης βουλομένης θεάσασθαι τὴν πόλιν· Συχὲμ δὲ τὸν τοῦ Ἐμμὼρ υἱὸν ἰδόντα ἐρασθῆναι αὐτῆς καὶ ἁρπάσαντα ὡς ἑαυτὸν διακομί-
5 σαι καὶ φθεῖραι αὐτήν. αὖθις δὲ σὺν τῷ πατρὶ ἐλθόντα πρὸς τὸν Ἰακὼβ αἰτεῖν αὐτὴν πρὸς γάμου κοινωνίαν· τὸν δὲ οὐ φάναι δώσειν, πρὶν ἂν ἢ πάντας τοὺς οἰκοῦντας τὰ Σίκιμα περιτεμνομένους ἰουδαΐσαι· τὸν δὲ Ἐμμὼρ φάναι πείσειν αὐτούς. φησὶ δὲ περὶ τοῦ δεῖν περιτέμνεσθαι αὐτοὺς ὁ Ἰακώβ·

6 Οὐ γὰρ δὴ θεμιτόν γε τόδ' Ἑβραίοισι τέτυκται,
γαμβροὺς ἄλλοθεν εἴς γε νυούς τ' ἀγέμεν ποτὶ δῶμα,
ἀλλ' ὅστις γενεῆς ἐξεύχεται εἶναι ὁμοίης.

7 εἶτα ὑποβὰς περὶ τῆς περιτομῆς·

Ὅς ποτ', ἐπεὶ πάτρης ἐξήγαγε δῖον Ἀβραάμ,
αὐτὸς παρ' οὐρανόθεν κάλεσ' ἀνέρα παντὶ σὺν οἴκῳ

σάρκ' ἀποσυλῆσαι πόσθης ἄπο, καί ῥ' ἐτέλεσσεν·
ἀστεμφὲς δὲ τέτυκται, ἐπεὶ θεὸς αὐτὸς ἔειπε.

8 πορευθέντος οὖν εἰς τὴν πόλιν τοῦ Ἐμμὼρ καὶ τοὺς ὑποτασσομένους παρακαλοῦντος περιτέμνεσθαι, ἕνα τῶν Ἰακὼβ υἱῶν τὸ ὄνομα Συμεῶνα διαγνῶναι τόν τε Ἐμμὼρ καὶ τὸν Συχὲμ ἀνελεῖν, τὴν ὕβριν τῆς ἀδελφῆς μὴ βουληθέντα πολιτικῶς ἐνεγκεῖν· ταῦτα δὲ διαγνόντα Λευῖν τῷ ἀδελφῷ κοινώσασθαι· λαβόντα δ' αὐτὸν συγκάταινον ἐπὶ τὴν πρᾶξιν παρορμῆσαι, λόγιον προφερόμενον τὸν θεὸν ἀνελεῖν φάμενον τοῖς
9 Ἀβραὰμ ἀπογόνοις δέκα ἔθνη δώσειν. φησὶ δὲ οὕτως ὁ Συμεὼν πρὸς τὸν Λευῖν·

Εὖ γὰρ ἐγὼ μῦθόν <γε> πεπυσμένος εἰμὶ θεοῖο·
δώσειν γάρ ποτ' ἔφησε δέκ' ἔθνεα παισὶν Ἀβραάμ.

τὸν δὲ θεὸν αὐτοῖς τοῦτον τὸν νοῦν ἐμβαλεῖν διὰ τὸ τοὺς ἐν Σικίμοις ἀσεβεῖς εἶναι. φησί δέ·

Βλάπτε θεὸς Σικίμων οἰκήτορας, οὐ γὰρ ἔτιον
εἰς αὐτοὺς ὅστις κε μόλῃ κακὸς οὐδὲ μὲν ἐσθλός·
οὐδὲ δίκας ἐδίκαζον ἀνὰ πτόλιν οὐδὲ θέμιστας·
λοίγια δ' ὠρώρει τοῖσιν μεμελημένα ἔργα.

10 τὸν οὖν Λευῖν καὶ τὸν Συμεῶνα εἰς τὴν πόλιν καθωπλισμένους ἐλθεῖν καὶ πρῶτα μὲν τοὺς ἐντυγχάνοντας ἀναιρεῖν, ἔπειτα δὲ καὶ τὸν Ἐμ-
11 μὼρ καὶ τὸν Συχὲμ φονεῦσαι. λέγει δὲ περὶ τῆς ἀναιρέσεως αὐτῶν οὕτως·

Ὡς τότε δὴ Συμεὼν μὲν Ἐμὼρ ὤρουσεν ἐπ' αὐτὸν
πλῆξέ τέ οἱ κεφαλήν, δειρὴν δ' ἕλεν ἐν χερὶ λαιῇ,
λεῖψε δ' ἔτι σπαίρουσαν, ἐπεὶ πόνος ἄλλος ὀρώρει.
τόφρα δὲ καὶ Λευῖν μένος ἄσχετος ἔλλαβε χαίτης
5 γούνων ἁπτόμενον Συχὲμ ἄσπετα μαργήναντα.
ἤλασε δὲ κληῖδα μέσην, δὺ δὲ ξίφος ὀξὺ
σπλάγχνα διὰ στέρνων, λίπε δὲ ψυχὴ δέμας εὐθύς.

πυθομένους δὲ καὶ τοὺς ἑτέρους ἀδελφοὺς τὴν πρᾶξιν αὐτῶν ἐπιβοηθῆσαι καὶ τὴν πόλιν ἐκπορθῆσαι καὶ τὴν ἀδελφὴν ἀναρρυσαμένους μετὰ τῶν αἰχμαλώτων εἰς τὴν πατρῴαν ἔπαυλιν διακομίσαι.

Ἀλέξανδρος Πολυΐστωρ, στὸν Εὐσέβιο, Εὐ. πρ. 9, 22, 1-11

3. Ψ-ΧΡΗΣΜΟΙ ΑΠΟΛΛΩΝΟΣ

2 Ἐκκειμένων δέ, ἔτι περὶ τῶν θυσιῶν ἐπάγει οἷς προσέχειν δεῖ, ἅτε μεστοῖς οὖσι πάσης θεοσοφίας·

3 Αἰπεινὴ μὲν ὁδὸς μακάρων τρηχεῖά τε πολλόν,
χαλκοδέτοις τὰ πρῶτα διοιγομένη πυλεῶσιν·
ἀτραπιτοὶ δὲ ἔασιν ἀθέσφατοι ἐγγεγαυῖαι,
ἃς πρῶτοι μερόπων ἐπ' ἀπείρονα πρῆξιν ἔφηναν
5 οἱ τὸ καλὸν πίνοντες ὕδωρ Νειλώτιδος αἴης·
πολλὰς καὶ Φοίνικες ὁδοὺς μακάρων ἐδάησαν,
Ἀσσύριοι Λυδοί τε καὶ Ἑβραίων γένος ἀνδρῶν.

4 Ἔτι πρὸς τούτοις καὶ ἐν ἑτέρῳ χρησμῷ φησιν.

Μοῦνοι Χαλδαῖοι σοφίην λάχον ἠδ' ἄρ' Ἑβραῖοι,
10 αὐτογένεθλον ἄνακτα σεβαζόμενοι θεὸν ἁγνῶς.

5 Καὶ πάλιν ἐρωτηθείς, τίνι λόγῳ πολλοὺς λέγουσιν οὐρανούς, ἔχρησε τάδε·

Εἷς ἐν παντὶ πέλει κόσμου κύκλος, ἀλλὰ σὺν ἑπτὰ
ζώναισιν πεφόρηται ἐς ἀστερόεντα κέλευθα,
ἃ δὴ Χαλδαῖοι καὶ ἀριζήλωτοι Ἑβραῖοι
οὐρανίας ὀνόμηναν, ἐς ἑβδόματον δρόμον ἕρπειν.

Πορφύριος, Ἐκλογ. φιλοσ., 1, στὸν Εὐσέβιο, Εὐ. πρ. 9, 10, 2-5

4. ΕΖΕΚΙΗΛΟΣ

Ἐξαγωγή

I

28 1 Περὶ δὲ τοῦ τὸν Μώυσον ἐκτεθῆναι ὑπὸ τῆς μητρὸς εἰς τὸ ἕλος καὶ ὑπὸ τῆς τοῦ βασιλέως θυγατρὸς ἀναιρεθῆναι καὶ τραφῆναι ἱστορεῖ καὶ Ἐζεκιῆλος ὁ τῶν τραγῳδιῶν ποιητής, ἄνωθεν ἀναλαβὼν τὴν ἱστορίαν ἀπὸ τῶν σὺν Ἰακὼβ παραγενομένων εἰς Αἴγυπτον πρὸς Ἰωσήφ. λέγει δὲ οὕτω, τὸν Μώυσον παρεισάγων λέγοντα·

2 Ἀφ' οὗ δ' Ἰακὼβ γῆν λιπὼν Χαναναίαν
κατῆλθ' ἔχων Αἴγυπτον ἑπτάκις δέκα
ψυχὰς σὺν αὐτῷ καὶ ἐπεγέννησε πολὺν
λαὸν κακῶς πράσσοντα καὶ τεθλιμμένον,
5 ἐς ἄχρι τούτων τῶν χρόνων κακούμενον
κακῶν ὑπ' ἀνδρῶν καὶ δυναστείας χερός.
ἰδὼν γὰρ ἡμῶν γένναν ἅλις ηὐξημένην
δόλον καθ' ἡμῶν πολὺν ἐμηχανήσατο
βασιλεὺς φαραώ, τοὺς μὲν ἐν πλινθεύμασιν
10 οἰκοδομίαις τε βαρέσιν αἰκίζων βροτοὺς
πόλεις τ' ἐπύργου σφῶν ἕκατι δυσμόρων.

ἔπειτα κηρύσσει μὲν Ἑβραίων γένει.
τἀρσενικὰ ῥίπτειν ποταμὸν ἐς βαθύρροον.
ἐνταῦθα μήτηρ ἡ τεκοῦσ' ἔκρυπτέ με
τρεῖς μῆνας, ὡς ἔφασκεν. οὐ λαθοῦσα δὲ
ὑπεξέθηκε, κόσμον ἀμφιθεῖσά μοι,
παρ' ἄκρα ποταμοῦ λάσιον εἰς ἕλος δασύ·
Μαριὰμ δ' ἀδελφή μου κατώπτευεν πέλας.
κἄπειτα θυγάτηρ βασιλέως ἅβραις ὁμοῦ
κατῆλθε λουτροῖς χρῶτα φαιδρῦναι νέον·
ἰδοῦσα δ' εὐθὺς καὶ λαβοῦσ' ἀνείλετο,
ἔγνω δ' Ἑβραίων ὄντα· καὶ λέγει τάδε
Μαριὰμ ἀδελφὴ προσδραμοῦσα βασιλίδι·
Θέλεις τροφόν σοι παιδὶ τῷδ' εὕρω ταχὺ
ἐκ τῶν Ἑβραίων;' ἡ δ' ἐπέσπευσεν κόρην.
μολοῦσα δ' εἶπε μητρὶ καὶ παρῆν ταχὺ
αὐτή τε μήτηρ καὶ ἔλαβεν μ' ἐς ἀγκάλας.
εἶπεν δὲ θυγάτηρ βασιλέως· Τοῦτον, γύναι,
τρόφευε, κἀγὼ μισθὸν ἀποδώσω σέθεν.
ὄνομα δὲ Μωσῆν ὠνόμαζε, τοῦ χάριν
ὑγρᾶς ἀνεῖλε ποταμίας ἀπ' ᾠόνος.

3 Τούτοις μεθ' ἕτερα ἐπιλέγει καὶ περὶ τούτων ὁ Ἐζεκιῆλος ἐν τῇ τραγῳδίᾳ τὸν Μωϋσῆν παρεισάγων λέγοντα·

Ἐπεὶ δὲ καιρὸς νηπίων παρῆλθέ μοι,
ἤγαγέ με μήτηρ βασιλίδος πρὸς δώματα,
ἅπαντα μυθεύσασα καὶ λέξασά μοι
γένος πατρῷον καὶ θεοῦ δωρήματα.
ἕως μὲν οὖν τὸν παιδὸς εἴχομεν χρόνον,
τροφαῖσι βασιλικαῖσι καὶ παιδεύμασιν
ἅπανθ' ὑπισχνεῖθ', ὡς ἀπὸ σπλάγχνων ἐῶν·
ἐπεὶ δὲ πλήρης κόλπος ἡμερῶν παρῆν,
ἐξῆλθον οἴκων βασιλικῶν (πρὸς ἔργα γὰρ
θυμός μ' ἄνωγε καὶ τέχνασμα βασιλέως).
ὁρῶ δὲ πρῶτον ἄνδρας ἐν χειρῶν νόμῳ,
τὸν μέν γ' Ἑβραῖον, τὸν δὲ γένος Αἰγύπτιον.
ἰδὼν δ' ἐρήμους καὶ παρόντα μηδένα
ἐρρυσάμην ἀδελφόν, ὃν δ' ἔκτειν' ἐγώ,
ἔκρυψα δ' ἄμμῳ τοῦτον, ὥστε μὴ εἰσιδεῖν
ἕτερόν τιν' ἡμᾶς κἀπογυμνῶσαι φόνον.
τῇ 'παύριον δὲ πάλιν ἰδὼν ἄνδρας δύο,
μάλιστα δ' αὐτοὺς συγγενεῖς, πατουμένους
λέγω· Τί τύπτεις ἀσθενέστερον σέθεν;
ὁ δ' εἶπεν· Ἡμῖν τίς σ' ἀπέστειλε κριτὴν
ἢ 'πιστάτην ἐνταῦθα; μὴ κτενεῖς σύ με,
ὥσπερ τὸν ἐχθὲς ἄνδρα; καὶ δείσας ἐγὼ

ἔλεξα· Πῶς ἐγένετο συμφανὲς τόδε;
καὶ πάντα βασιλεῖ ταῦτ' ἀπήγγειλεν ταχύ·
ζητεῖ δὲ φαραὼ τὴν ἐμὴν ψυχὴν λαβεῖν·
ἐγὼ δ' ἀκούσας ἐκποδὼν μεθίσταμαι
καὶ νῦν πλανῶμαι γῆν ἐπ' ἀλλοτέρμονα.

4 εἶτα περὶ τῶν τοῦ 'Ραγουὴλ θυγατέρων οὕτως ἐπιβάλλει·

Ὁρῶ δὲ ταύτας ἑπτὰ παρθένους τινάς.

ἐρωτήσαντός τε αὐτὰς τίνες εἴησαν αἱ παρθένοι, φησὶν ἡ Σεπφώρα·

Λιβύη μὲν ἡ γῆ πᾶσα κλῄζεται, ξένε,
οἰκοῦσι δ' αὐτὴν φῦλα παντοίων γενῶν,
Αἰθίοπες ἄνδρες μέλανες· ἄρχων δ' ἐστὶ γῆς
εἷς καὶ τύραννος καὶ στρατηλάτης μόνος.
ἄρχει δὲ πόλεως τῆσδε καὶ κρίνει βροτοὺς
ἱερεύς, ὅς ἐστ' ἐμοῦ τε καὶ τούτων πατήρ.

εἶτα περὶ τοῦ ποτισμοῦ τῶν θρεμμάτων διελθὼν περὶ τοῦ Σεπφώρας ἐπιβάλλει γάμου, δι' ἀμοιβαίων παρεισάγων τόν τε Χοὺμ καὶ τὴν Σεπφώραν λέγοντας·

(Χ.) Ὅμως κατειπεῖν χρή σε, Σεπφώρα, τάδε.
(Σ.) Ξένῳ πατήρ με τῷδ' ἔδωκεν εὐνέτιν.

Εὐσέβιος, Εὐ. πρ. 9, 28, 1-4.

2

4 Λέγει δὲ περὶ τούτων καὶ Ἐζεκιῆλος ἐν τῇ *Ἐξαγωγῇ,* προσπαρειληφὼς τὸν ὄνειρον τὸν ὑπὸ Μωσέως μὲν ἑωραμένον, ὑπὸ δὲ πενθεροῦ διακεκριμένον. λέγει δὲ αὐτὸς ὁ Μωσῆς δι' ἀμοιβαίων πρὸς τὸν πενθερὸν οὕτω πως·

5 Ἔδοξ' ὄρους κατ' ἄκρα Σιναίου θρόνον
μέγαν τιν' εἶναι μέχρις οὐρανοῦ πτυχός,
ἐν τῷ καθῆσθαι φῶτα γενναῖόν τινα
διάδημ' ἔχοντα καὶ μέγα σκῆπτρον χερὶ
εὐωνύμῳ μάλιστα. δεξιᾷ δέ μοι
ἔνευσε, κἀγὼ πρόσθεν ἐστάθην θρόνου.
σκῆπτρον δέ μοι παρέδωκε καὶ εἰς θρόνον μέγαν
εἶπεν καθῆσθαι· βασιλικὸν δ' ἔδωκέ μοι
διάδημα καὶ αὐτὸς ἐκ θρόνων χωρίζεται.
ἐγὼ δ' ἐσεῖδον γῆν ἅπασαν ἔγκυκλον
καὶ ἔνερθε γαίας καὶ ἐξύπερθεν οὐρανοῦ,
καί μοί τι πλῆθος ἀστέρων πρὸς γούνατα
ἔπιπτ', ἐγὼ δὲ πάντας ἠριθμησάμην,

κἀμοῦ παρῆγεν ὥς παρεμβολὴ βροτῶν.
15 εἶτ' ἐμφοβηθεὶς ἐξανίσταμ' ἐξ ὕπνου.

6 ὁ δὲ πενθερὸς αὐτοῦ τὸν ὄνειρον ἐπικρίνει οὕτως·

Ὦ ξένε, καλόν σοι τοῦτ' ἐσήμηνεν θεός·
ζῴην δ', ὅταν σοι ταῦτα συμβαί < ν > ῃ ποτέ.
ἆρά γε μέγαν τιν' ἐξαναστήσεις θρόνον
καὶ αὐτὸς βραβεύσεις καὶ καθηγήσῃ βροτῶν;
5 τὸ δ' εἰσθεᾶσθαι γῆν ὅλην τ' οἰκουμένην
καὶ τὰ ὑπένερθε καὶ ὑπὲρ οὐρανὸν θεοῦ·
ὄψει τὰ τ' ὄντα τά τε προτοῦ τά θ' ὕστερον.

7 περὶ δὲ τῆς καιομένης βάτου καὶ τῆς ἀποστολῆς αὐτοῦ τῆς πρὸς φαραὼ πάλιν παρεισάγει δι' ἀμοιβαίων τὸν Μωσῆν τῷ θεῷ διαλεγόμενον. φησὶ δὲ ὁ Μωσῆς·

Ἔα· τί μοι σημεῖον ἐκ βάτου τόδε,
τεράστιόν τε καὶ βροτοῖς ἀπιστία;
ἄφνω βάτος μὲν καίεται πολλῷ πυρί,
αὐτοῦ δὲ χλωρὸν πᾶν μένει τὸ βλαστάνον.
5 τί δή; προελθὼν ὄψομαι τεράστιον
μέγιστον· οὐ γὰρ πίστιν ἀνθρώποις φέρει.

8 εἶτα ὁ θεὸς αὐτῷ προσομιλεῖ·

Ἐπίσχες, ὦ φέριστε, μὴ προσεγγίσῃς,
Μωσῆ, πρὶν ἢ τῶν σῶν ποδῶν λῦσαι δέσιν·
ἁγία γὰρ ἧς σὺ γῆς ἐφέστηκας πέλει,
ὁ δ' ἐκ βάτου σοι θεῖος ἐκλάμπει λόγος.
5 θάρσησον, ὦ παῖ, καὶ λόγων ἄκου' ἐμῶν·
ἰδεῖν γὰρ ὄψιν τὴν ἐμὴν ἀμήχανον
θνητὸν γεγῶτα, τῶν λόγων δ' ἔξεστί σοι
ἐμῶν ἀκούειν, τῶν ἕκατ' ἐλήλυθα.
ἐγὼ θεὸς σῶν, ὧν λέγεις, γεννητόρων,
10 Ἀβραάμ τε καὶ Ἰσαὰκ καὶ Ἰακώβου τρίτου.
μνησθεὶς δ' ἐκείνων καὶ ἔτ' ἐμῶν δωρημάτων
πάρειμι σῶσαι λαὸν Ἑβραίων ἐμόν,
ἰδὼν κάκωσιν καὶ πόνον δούλων ἐμῶν.
ἀλλ' ἕρπε καὶ σήμαινε τοῖς ἐμοῖς λόγοις
15 πρῶτον μὲν αὐτοῖς πᾶσιν Ἑβραίοις ὁμοῦ,
ἔπειτα βασιλεῖ τὰ ὑπ' ἐμοῦ τεταγμένα,
ὅπως σὺ λαὸν τὸν ἐμὸν ἐξάγοις χθονός.

9 εἶτα ὑποβάς τινα ἀμοιβαῖα αὐτὸς ὁ Μωσῆς λέγει·

Οὐκ εὔλογος πέφυκα, γλῶσσα δ' ἐστί μοι
δύσφραστος, ἰσχνόφωνος, ὥστε μὴ λόγους
ἐμοὺς γενέσθαι βασιλέως ἐναντίον.

10 εἶτα πρὸς ταῦτα ὁ θεὸς αὐτῷ ἀποκρίνεται·

Ἀαρῶνα πέμψω σὸν κασίγνητον ταχύ,
ᾧ πάντα λέξεις τἀξ ἐμοῦ λελεγμένα,
καὶ αὐτὸς λαλήσει βασιλέως ἐναντίον,
σὺ μὲν πρὸς ἡμᾶς, ὁ δὲ λαβὼν σέθεν πάρα.

11 περὶ δὲ τῆς ῥάβδου καὶ τῶν ἄλλων τεράτων οὕτω δι' ἀμοιβαίων εἴρηκε·

Θ. Τί δ' ἐν χεροῖν σοῖν τοῦτ' ἔχεις; λέξον τάχος.
Μ. 'Ράβδον τετραπόδων καὶ βροτῶν κολάστριαν.
Θ. 'Ρῖψον πρὸς οὖδας καὶ ἀποχώρησον ταχύ.
δράκων γὰρ ἔσται φοβερός, ὥστε θαυμάσαι.
5 Μ. Ἰδοὺ βέβληται· δέσποθ', ἵλεως γενοῦ·
ὡς φοβερός, ὡς πέλωρος· οἴκτιρον σύ με·
πέφρικ' ἰδών, μέλη δὲ σώματος τρέμει.
Θ. Μηδὲν φοβηθῇς, χεῖρα δ' ἐκτείνας λάβε
οὐράν, πάλιν δὲ ῥάβδος ἔσσεθ' ὥσπερ ἦν.
10 ἔνθες δὲ χεῖρ' εἰς κόλπον ἐξένεγκέ τε.
Μ. Ἰδοὺ τὸ ταχθέν, γέγονεν ὡσπερεὶ χιών.
Θ. Ἔνθες πάλιν δ' εἰς κόλπον, ἔσται δ' ὥσπερ ἦν.

12 Τούτοις ἐπάγει, μετά τινα τὰ μεταξὺ αὐτῷ εἰρημένα, λέγων· Ταῦτα δέ φησιν οὕτω καὶ Ἐζεκιῆλος ἐν *τῇ Ἐξαγωγῇ* λέγων, περὶ μὲν τῶν σημείων τὸν θεὸν παρεισάγων λέγοντα οὕτως·

Ἐν τῇδε ῥάβδῳ πάντα ποιήσεις κακά·
πρῶτον μὲν αἷμα ποτάμιον ῥυήσεται
πηγαί τε πᾶσαι καὶ ὑδάτων συστήματα·
βατράχων τε πλῆθος καὶ σκνίπας ἐμβαλῶ χθονί.
5 ἔπειτα τέφραν οἷς καμιναίαν πάσω,
ἀναβρυήσει δ' ἐν βροτοῖς ἕλκη πικρά.
κυνόμυια δ' ἥξει καὶ βροτοὺς Αἰγυπτίων
πολλοὺς κακώσει. μετὰ δὲ ταῦτ' ἔσται πάλιν
λοιμός, θανοῦνται δ' οἷς ἔνεστι καρδία
10 σκληρά. πικράνω δ' οὐρανόν· χάλαζα νῦν
σὺν πυρὶ πεσεῖται καὶ νεκροὺς θήσει βροτούς.
καρποὶ τ' ὀλοῦνται τετραπόδων τε σώματα·
σκότος τε θήσω τρεῖς ἐφ' ἡμέρας ὅλας
ἀκρίδας τε πέμψω, καὶ περισσὰ βρώματα
15 ἅπαντ' ἀναλώσουσι καὶ καρποῦ χλόην.
ἐπὶ πᾶσι τούτοις τέκν' ἀποκτενῶ βροτῶν
πρωτόγονα. παύσω δ' ὕβριν ἀνθρώπων κακῶν.
φαραὼ δὲ βασιλεὺς πείσετ' οὐδὲν ὧν λέγω,
πλὴν τέκνον αὐτοῦ πρωτόγονον ἕξει νεκρόν·
20 καὶ τότε φοβηθεὶς λαὸν ἐκπέμπει ταχύ·

πρὸς τοῖσδε λέξεις πᾶσιν Ἑβραίοις ὁμοῦ·
Ὁ μεὶς ὅδ' ὑμῖν πρῶτος ἐνιαυτῶν πέλει·
ἐν τῷδ' ἀπάξω λαὸν εἰς ἄλλην χθόνα,
εἰς ἣν ὑπέστην πατράσιν Ἑβραίων γένους.
λέξεις δὲ λαῷ παντί, μηνὸς οὗ λέγω
διχομηνίᾳ τὸ πάσχα θύσαντες θεῷ
τῇ πρόσθε νυκτὶ αἵματι ψαῦσαι θύρας,
ὅπως παρέλθῃ σῆμα δεινὸς ἄγγελος.
ὑμεῖς δὲ νυκτὸς ὀπτὰ δαίσεσθε κρέα.
σπουδῇ δὲ βασιλεὺς ἐκβαλεῖ πρόπαντ' ὄχλον.
ὅταν δὲ μέλλητ' ἀποτρέχειν, δώσω χάριν
λαῷ, γυνή τε παρὰ γυναικὸς λήψεται
σκεύη κόσμον τε πάνθ', ὃν ἄνθρωπος φέρει,
χρυσόν τε καὶ <τὸν> ἄργυρον ἠδὲ καὶ στολάς,
ἵν' ὧν ἔπραξαν μισθὸν ἀποδῶσι βροτοῖς.
ὅταν δ' ἐς ἴδιον χῶρον εἰσέλθηθ', ὅπως
ἀφ' ἧσπερ ἠοῦς ἐφύγετ', Αἰγύπτου δ' ἄπο
ἑπτὰ διοδοιποροῦντες ἡμέρας ὁδόν,
πάντες τοσαύτας ἡμέρας ἔτος κάτα
ἄζυμα ἔδεσθε καὶ θεῷ λατρεύσετε,
τὰ πρωτότευκτα ζῷα θύοντες θεῷ,
ὅσ' ἂν τέκωσι παρθένοι πρώτως τέκνα
τἀρσενικὰ διανοίγοντα μήτρας μητέρων.

13 Καὶ πάλιν περὶ τῆς αὐτῆς ταύτης ἑορτῆς φησὶν ἐπεξεργαζόμενον ἀκριβέστερον εἰρηκέναι·

Ἀνδρῶν Ἑβραίων τοῦδε τοῦ μηνὸς λαβὼν
κατὰ συγγενείας πρόβατα καὶ μόσχους βοῶν
ἄμωμα δεκάτῃ· καὶ φυλαχθήτω μέχρι
τετρὰς ἐπιλάμψει δεκάδι, καὶ πρὸς ἑσπέραν
θύσαντες ὀπτὰ πάντα σὺν τοῖς ἔνδοθεν
οὕτως φάγεσθε ταῦτα· περιεζωσμένοι
καὶ κοῖλα ποσσὶν ὑποδέδεσθε καὶ χερὶ
βακτηρίαν ἔχοντες. ἐν σπουδῇ τε γὰρ
βασιλεὺς κελεύσει πάντας ἐκβαλεῖν χθονός·
κεκλήσεται δὲ πᾶς. καὶ ὅταν θύσητε δέ,
δέσμην λαβόντες, χερσὶν ὑσσώπου κόμης
εἰς αἷμα βάψαι καὶ θιγεῖν σταθμῶν δυοῖν,
ὅπως παρέλθῃ θάνατος Ἑβραίων ἄπο.
ταύτην δ' ἑορτὴν δεσπότῃ τηρήσετε,
ἕφθ' ἡμέρας ἄζυμα· καὶ οὐ βρωθήσεται
ζύμη. κακῶν γὰρ τῶνδ' ἀπαλλαγήσεται,
καὶ τοῦδε μηνὸς ἔξοδον διδοῖ θεός·
ἀρχὴ δὲ μηνῶν καὶ χρόνων οὗτος πέλει.

14 πάλιν μεθ' ἕτερα ἐπιλέγει·

Φησὶ δὲ καὶ Ἐζεκιῆλος ἐν τῷ δράματι τῷ ἐπιγραφομένῳ *Ἐξαγωγή,* παρεισάγων ἄγγελον λέγοντα τήν τε τῶν Ἑβραίων διάθεσιν καὶ τὴν τῶν Αἰγυπτίων φθορὰν οὕτως·

Ὡς γὰρ σὺν ὄχλῳ τῷδ' ἀφώρμησεν δόμων
βασιλεὺς φαραὼ μυρίων ὅπλων μέτα
ἵππου τε πάσης καὶ ἁρμάτων τετραόρων
καὶ προστάταισι καὶ παραστάταις ὁμοῦ,
5 ἣν φρικτὸς ἀνδρῶν ἐκτεταγμένων ὄχλος.
πεζοὶ μὲν ἐν μέσοισι καὶ φαλαγγικοὶ
διεκδρομὰς ἔχοντες ἅρμασιν τόπους·
ἱππεῖς δ' ἔταξε τοὺς μὲν ἐξ εὐωνύμων,
ἐκ δεξιῶν δὲ πάντας Αἰγυπτίου στρατοῦ.
10 τὸν πάντα δ' αὐτῶν ἀριθμὸν ἠρόμην ἐγώ·
μυριάδες <ἦσαν> ἑκατὸν εὐάνδρου λεώ.
ἐπεὶ δ' Ἑβραίων οὗμὸς ἤντησε στρατός,
οἱ μὲν παρ' ἀκτὴν πλησίον βεβλημένοι
Ἐρυθρᾶς Θαλάσσης ᾖεσαν ἠθροϊσμένοι·
15 οἱ μὲν τέκνοισι νηπίοις δίδουν βορὰν
ὁμοῦ τε καὶ δάμαρσιν, ἔμπονοι κόπῳ·
κτήνη τε πολλὰ καὶ δόμων ἀποσκευή·
αὐτοὶ δ' ἄνοπλοι πάντες εἰς μάχην χέρας
ἰδόντες ἡμᾶς ἠλάλαξαν ἔνδακρυν
20 φωνὴν πρὸς αἰθέρα τ' ἐτάθησαν ἀθρόοι,
θεὸν πατρῷον, ἣν πολὺς δ' ἀνδρῶν ὄχλος.
ἡμᾶς δὲ χάρμα πάντας εἶχεν ἐν μέρει.
ἔπειθ' ὑπ' αὐτοὺς θήκαμεν παρεμβολὴν
(Βεελζεφών τις κλῄζεται πόλις βροτοῖς).
25 ἐπεὶ δὲ Τιτὰν δυσμαῖς προσῆν,
ἐπέσχομεν, θέλοντες ὄρθιον μάχην,
πεποιθότες λαοῖσι καὶ φρικτοῖς ὅπλοις.
ἔπειτα θείων ἄρχεται τεραστίων
θαυμάστ' ἰδέσθαι. καί τις ἐξαίφνης μέγας
30 στῦλος νεφώδης ἐστάθη πρὸ γῆς, μέγας,
παρεμβολῆς ἡμῶν τε καὶ Ἑβραίων μέσος.
κἄπειθ' ὁ κείνων ἡγεμὼν Μωσῆς, λαβὼν
ῥάβδον θεοῦ, τῇ δὴ πρὶν Αἰγύπτῳ κακὰ
σημεῖα καὶ τεράατ' ἐξεμήσατο,
35 ἔτυψ' Ἐρυθρᾶς νῶτα καὶ ἔσχισεν μέσον
βάθος Θαλάσσης· οἱ δὲ σύμπαντες σθένει
ὤρουσαν ὠκεῖς ἁλμυρᾶς δι' ἀτραποῦ.
ἡμεῖς δ' ἐπ' αὐτῆς ᾠχόμεσθα συντόμως
κατ' ἴχνος αὐτῶν· νυκτὸς εἰσεκύρσαμεν
40 βοηδρομοῦντες· ἁρμάτων δ' ἄφνω τροχοὶ

οὐκ ἐστρέφοντο, δέσμιοι δ' ὡς ἥρμοσαν.
ἀπ' οὐρανοῦ δὲ φέγγος ὡς πυρὸς μέγα
ὤφθη τι ἡμῖν· ὡς μὲν εἰκάζειν, παρῆν
αὐτοῖς ἀρωγὸς ὁ θεός. ὡς δ' ἤδη πέραν
45 ἦσαν θαλάσσης, κῦμα δ' ἐρροίβδει μέγα
σύνεγγυς ἡμῶν. καί τις ἠλάλαξ' ἰδών·
Φεύγωμεν οἴκοι πρόσθεν ὑψίστου χέρας·
οἷς μὲν γὰρ ἐστ' ἀρωγός, ἡμῖν δ' ἀθλίοις
ὄλεθρον ἕρδει. καὶ συνεκλύσθη πόρος
50 Ἐρυθρᾶς Θαλάσσης καὶ στρατὸν διώλεσε.

15 καὶ πάλιν μετ' ὀλίγα·

Ἐκεῖθεν ἦλθον ἡμέρας τρεῖς, ὡς αὐτός τε ὁ Δημήτριος λέγει καὶ συμφώνως τούτῳ ἡ ἱερὰ Βίβλος. μὴ ἔχοντα δὲ ὕδωρ ἐκεῖ γλυκύ, ἀλλὰ πικρόν, τοῦ θεοῦ εἰπόντος ξύλον τι ἐμβαλεῖν εἰς τὴν πηγὴν καὶ γενέσθαι γλυκὺ τὸ ὕδωρ. ἐκεῖθεν δὲ εἰς Ἐλεὶμ ἐλθεῖν καὶ εὑρεῖν ἐκεῖ δώδεκα μὲν πηγὰς ὑδάτων, ἑβδομήκοντα δὲ στελέχη φοινίκων. περὶ τούτων καὶ τοῦ φανέντος ὀρνέου Ἐζεκιῆλος ἐν τῇ *Ἐξαγωγῇ* παρεισάγει τινὰ λέγοντα τῷ Μωσεῖ περὶ μὲν τῶν φοινίκων καὶ τῶν δώδεκα πηγῶν οὕτω·

16 Κράτιστε Μωσῆ, πρόσσχες, οἷον εὕρομεν
τόπον πρὸς αὐτῇ τῇδέ γ' εὐαεῖ νάπῃ.
ἔστιν γάρ, ὥς που καὶ σὺ τυγχάνεις ὁρῶν,
ἐκεῖ· τόθεν δὲ φέγγος ἐξέλαμψέ νυν
5 κατ' εὐφρόνης σημεῖον ὡς στῦλος πυρός.
ἐνταῦθα λειμῶν' εὕρομεν κατάσκιον
ὑγράς τε λιβάδας· δαψιλὴς χῶρος βαθύς,
πηγὰς ἀφύσσων δώδεκ' ἐκ μιᾶς πέτρας,
στελέχη δ' ἐρυμνὰ πολλὰ φοινίκων πέλει
10 ἔγκαρπα, δεκάκις ἑπτά, καὶ ἐπίρρυτος
χλόη πέφυκε θρέμμασιν χορτάσματα.

εἶτα ὑποβὰς περὶ τοῦ φανέντος ὀρνέου διεξέρχεται·

Ἕτερον δὲ πρὸς τοῖσδ' εἴδομεν ζῷον ξένον,
θαυμαστόν, οἷον οὐδέπω ὥρακέ τις.
διπλοῦν γὰρ ἦν τὸ μῆκος ἀετοῦ σχεδόν,
πτεροῖσι ποικίλοισιν ἠδὲ χρώμασι.
5 στῆθος μὲν αὐτοῦ πορφυροῦν ἐφαίνετο,
σκέλη δὲ μιλτόχρωτα, καὶ κατ' αὐχένων
κροκωτίνοις μαλλοῖσιν εὐτρεπίζετο.
κάρα δὲ κοττοῖς ἡμέροις παρεμφερές,
καὶ μηλίνῃ μὲν τῇ κόρῃ προσέβλεπε
10 κύκλῳ· κόρη δὲ κόκκος ὡς ἐφαίνετο.
φωνὴν δὲ πάντων εἶχεν ἐκπρεπεστάτην.
βασιλεὺς δὲ πάντων ὀρνέων ἐφαίνετο,

ὡς ἦν νοῆσαι· πάντα γὰρ τὰ πτήν' ὁμοῦ
ὄπισθεν αὐτοῦ δειλιῶντ' ἐπέσσυτο,
15 αὐτὸς δὲ πρόσθεν, ταῦρος ὡς γαυρούμενος,
ἔβαινε κραιπνὸν βῆμα βαστάζων ποδός.

καὶ μετὰ βραχέα·

Ἐπιζητεῖν δέ τινα πῶς οἱ Ἰσραηλῖται ὅπλα ἔσχον ἄνοπλοι ἐξελθόντες· ἔφασαν γὰρ τριῶν ἡμερῶν ὁδὸν ἐξελθόντες καὶ θυσιάσαντες πάλιν ἀνακάμψειν. φαίνεται οὖν τοὺς μὴ κατακλυσθέντας τοῖς ἐκείνων ὅπλοις χρήσασθαι.

Κλήμης, Στρ. 1,23,154. Εὐσέβιος, Εὐ. πρ. 9,29,4-16

5. ΔΗΜΗΤΡΙΟΣ

1

21 1 Δημήτριός φησι τὸν Ἰακὼβ γενόμενον ἐτῶν ἑβδομήκοντα πέντε φυγεῖν εἰς Χαρρὰν τῆς Μεσοποταμίας, ἀποσταλέντα ὑπὸ τῶν γονέων διὰ τὴν πρὸς τὸν ἀδελφὸν κρυφίαν ἔχθραν Ἠσαῦ, διὰ τὸ εὐλογῆσαι αὐτὸν τὸν πατέρα δοκοῦντα εἶναι τὸν Ἠσαῦ, καὶ ὅπως λάβῃ ἐκεῖθεν
2 γυναῖκα. ἀφορμῆσαι οὖν τὸν Ἰακὼβ εἰς Χαρρὰν τῆς Μεσοποταμίας, τὸν μὲν πατέρα καταλιπόντα Ἰσαὰκ ἐτῶν ἑκατὸν τριάκοντα ἑπτά, αὐ-
3 τὸν δὲ ὄντα ἐτῶν ἑβδομήκοντα ἑπτά. διατρίψαντα οὖν αὐτὸν ἐκεῖ ἑπτὰ ἔτη Λάβαν τοῦ μητρῴου δύο θυγατέρας γῆμαι, Λίαν καὶ Ῥαχήλ, ὄντα ἐτῶν ὀγδοήκοντα τεσσάρων· καὶ γενέσθαι ἐν ἑπτὰ ἔτεσιν ἄλλοις αὐτῷ παιδία ιβ΄· ὀγδόῳ μὲν ἔτει μηνὶ δεκάτῳ Ῥουβήν· καὶ τῷ ἔτει δὲ τῷ ἐνάτῳ μηνὶ ὀγδόῳ Συμεών· καὶ τῷ ἔτει δὲ τῷ δεκάτῳ μηνὶ ἕκτῳ Λευίν· τῷ δὲ ἑνδεκάτῳ ἔτει μηνὶ τετάρτῳ Ἰούδαν. Ῥαχήλ τε μὴ τίκτουσαν ζηλῶσαι τὴν ἀδελφὴν καὶ παρακοιμίσαι τῷ Ἰακὼβ τὴν ἑαυτῆς παιδίσκην Ζελφάν, τῷ αὐτῷ χρόνῳ ᾧ καὶ Βαλλὰν συλλαβεῖν τὸν Νεφθαλίμ, τῷ ἑνδεκάτῳ ἔτει μηνὶ πέμπτῳ, καὶ τεκεῖν τῷ δωδεκάτῳ ἔτει μηνὶ δευτέρῳ υἱόν, ὃν ὑπὸ Λίας Γὰδ ὀνομασθῆναι· καὶ ἐκ τῆς αὐτῆς τοῦ αὐτοῦ ἔτους καὶ μηνὸς δωδεκάτου ἕτερον τεκεῖν, ὃν καὶ αὐτὸν προσαγορευ-
4 θῆναι ὑπὸ Λίας Ἀσήρ. καὶ Λίαν πάλιν ἀντὶ τῶν μήλων τῶν μανδραγόρου, ἃ Ῥουβὴν εἰσενεγκεῖν παρὰ Ῥαχήλ, συλλαβεῖν καὶ τὴν παιδίσκην Ζελφὰν τῷ αὐτῷ χρόνῳ, τῷ δωδεκάτῳ ἔτει μηνὶ τρίτῳ, καὶ τεκεῖν τοῦ αὐτοῦ ἔτους μηνὸς δωδεκάτου υἱὸν καὶ ὄνομα αὐτῷ θέσθαι Ἰσσάχαρ.
5 καὶ πάλιν Λίαν τῷ τρισκαιδεκάτῳ ἔτει μηνὶ δεκάτῳ υἱὸν ἄλλον τεκεῖν, ᾧ ὄνομα Ζαβουλών, καὶ τὴν αὐτὴν τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει μηνὶ ὀγδόῳ τεκεῖν υἱὸν ὄνομα Δάν. ἐν ᾧ καὶ Ῥαχὴλ λαβεῖν ἐν γαστρὶ τῷ αὐτῷ χρόνῳ, ᾧ καὶ Λίαν τεκεῖν θυγατέρα Δίναν, καὶ τεκεῖν τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει μηνὶ ὀγδόῳ υἱόν, ὃν ὀνομασθῆναι Ἰωσήφ, ὥστε
6 γεγονέναι ἐν τοῖς ἑπτὰ ἔτεσι τοῖς παρὰ Λάβαν δώδεκα παιδία. θέλο-

ντα δὲ τὸν Ἰακὼβ πρὸς τὸν πατέρα εἰς Χαναὰν ἀπιέναι, ἀξιωθέντα ὑπὸ Λάβαν ἄλλα ἔτη ἓξ μεῖναι, ὥστε τὰ πάντα αὐτὸν μεῖναι ἐν Χαρρὰν
7 παρὰ Λάβαν ἔτη εἴκοσι. πορευομένῳ δ' αὐτῷ εἰς Χαναὰν ἄγγελον τοῦ θεοῦ παλαῖσαι καὶ ἅψασθαι τοῦ πλάτους τοῦ μηροῦ τοῦ Ἰακώβ, τὸν δὲ ναρκήσαντα ἐπισκάζειν· ὅθεν οὐκ ἐσθίεσθαι τῶν κτηνῶν τὸ ἐν τοῖς μηροῖς νεῦρον. καὶ φάναι αὐτῷ τὸν ἄγγελον ἀπὸ τοῦδε μηκέτι Ἰακώβ,
8 ἀλλ' Ἰσραὴλ ὀνομασθήσεσθαι. καὶ ἐλθεῖν αὐτὸν τῆς Χαναὰν γῆς εἰς ἑτέραν πόλιν Σικίμων, ἔχοντα παιδία Ῥουβὴν ἐτῶν δώδεκα μηνῶν δυοῖν, Συμεῶνα ἐτῶν ἕνδεκα μηνῶν τεσσάρων, Λευῖν ἐτῶν δέκα μηνῶν ἕξ, Ἰούδαν ἐτῶν ἐννέα μηνῶν ὀκτώ, Νεφθαλὶμ ἐτῶν ὀκτὼ μηνῶν δέκα, Γὰδ ἐτῶν ὀκτὼ μηνῶν δέκα, Ἀσὴρ ἐτῶν ὀκτώ, Ἰσσάχαρ ἐτῶν ὀκτώ, Ζαβουλὼν ἐτῶν ἑπτὰ μηνῶν δυοῖν, Δίναν ἐτῶν ἓξ μηνῶν τεσ-
9 σάρων, Ἰωσὴφ ἐτῶν ἓξ μηνῶν τεσσάρων. παροικῆσαι δὲ Ἰσραὴλ παρὰ Ἐμμὼρ ἔτη δέκα, καὶ φθαρῆναι τὴν Ἰσραὴλ θυγατέρα Δίναν ὑπὸ Συχὲμ τοῦ Ἐμμὼρ υἱοῦ, ἐτῶν οὖσαν δεκαὲξ μηνῶν τεσσάρων. ἐξαλλομένους δὲ τοὺς Ἰσραὴλ υἱούς, Συμεῶνα μὲν ὄντα ἐτῶν εἰκοσιενὸς μηνῶν τεσσάρων, Λευῖν δὲ ἐτῶν εἴκοσι μηνῶν ἕξ, ἀποκτεῖναι τόν τε Ἐμμὼρ καὶ Συχὲμ τὸν υἱὸν αὐτοῦ καὶ πάντας τοὺς ἄρσενας διὰ τὴν
10 Δίνας φθοράν· Ἰακὼβ δὲ τότε εἶναι ἐτῶν ἑκατὸν ἑπτά. ἐλθόντα τε οὖν αὐτὸν εἰς Λουζὰ τῆς Βεθήλ, φάναι τὸν θεὸν μηκέτι Ἰακώβ, ἀλλ' Ἰσραὴλ ὀνομάζεσθαι. ἐκεῖθεν δὲ ἐλθεῖν εἰς Χαφραθά, ἔνθεν παραγενέσθαι εἰς Ἐφραθά, ἣν εἶναι Βηθλεέμ, καὶ γεννῆσαι αὐτὸν ἐκεῖ Βενιαμίν, καὶ τελευτῆσαι Ῥαχήλ, τεκοῦσαν τὸν Βενιαμίν, συμβιῶσαι δ' αὐτῇ τὸν
11 Ἰακὼβ ἔτη εἴκοσι τρία. αὐτόθεν δὲ ἐλθεῖν τὸν Ἰακὼβ εἰς Μαμβρὴ τῆς Χεβρὼν πρὸς Ἰσαὰκ τὸν πατέρα. εἶναι δὲ τότε Ἰωσὴφ ἐτῶν δεκαεπτά, καὶ πραθῆναι αὐτὸν εἰς Αἴγυπτον καὶ ἐν τῷ δεσμωτηρίῳ μεῖναι ἔτη δεκατρία, ὥστ' εἶναι αὐτὸν ἐτῶν τριάκοντα, Ἰακὼβ δὲ ἐτῶν ἑκατὸν εἴκοσιν, ἐν ᾧ καὶ τελευτῆσαι τὸν Ἰσαὰκ ἔτει ἑνὶ ἔμπροσθεν, ἐτῶν ὄντα ἑ-
12 κατὸν ὀγδοήκοντα. κρίναντα δὲ τῷ βασιλεῖ τὸν Ἰωσὴφ τὰ ἐνύπνια ἄρξαι Αἰγύπτου ἔτη ἑπτά, ἐν οἷς καὶ συνοικῆσαι Ἀσενέθ, Πετεφρῆ τοῦ Ἡλιουπόλεως ἱερέως θυγατρί, καὶ γεννῆσαι Μανασσῆν καὶ Ἐφραΐμ·
13 καὶ τοῦ λιμοῦ ἐπιγενέσθαι ἔτη δύο. τὸν δὲ Ἰωσὴφ ἔτη ἐννέα εὐτυχήσαντα πρὸς τὸν πατέρα μὴ πέμψαι, διὰ τὸ ποιμένα αὐτόν τε καὶ τοὺς ἀδελφοὺς εἶναι· ἐπονείδιστον δὲ Αἰγυπτίοις εἶναι τὸ ποιμαίνειν, ὅτι δὲ διὰ τοῦτο οὐκ ἔπεμψεν αὐτὸν δεδηλωκέναι· ἐλθόντων γὰρ αὐτοῦ τῶν συγγενῶν φάναι αὐτοῖς, ἐὰν κληθῶσιν ὑπὸ τοῦ βασιλέως καὶ ἐρωτῶ-
14 νται τί διαπράσσονται, λέγειν κτηνοτρόφους αὐτοὺς εἶναι. διαπορεῖσθαι δὲ διὰ τί ποτε ὁ Ἰωσὴφ Βενιαμὶν ἐπὶ τοῦ ἀρίστου πενταπλασίονα μερίδα ἔδωκε, μὴ δυναμένου αὐτοῦ τοσαῦτα καταναλῶσαι κρέα. τοῦτο οὖν αὐτὸν πεποιηκέναι διὰ τὸ ἐκ τῆς Λίας τῷ πατρὶ αὐτοῦ γεγονέναι υἱοὺς ἑπτά, ἐκ δὲ Ῥαχὴλ τῆς μητρὸς αὐτοῦ δύο· διὰ τοῦτο τῷ Βενιαμὶν πέντε μερίδας παραθεῖναι καὶ αὐτὸν λαβεῖν δύο· γενέσθαι οὖν
15 ἑπτά, ὅσας καὶ τοὺς ἐκ τῆς Λίας υἱοὺς λαβεῖν. ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ τὰς στολὰς δοῦναι ἑκάστῳ διπλᾶς, τῷ δὲ Βενιαμὶν πέντε καὶ τριακοσίους χρυσοῦς καὶ τῷ πατρὶ δὲ ἀποστεῖλαι κατὰ ταὐτά, ὥστε τὸν

16 οἶκον αὐτοῦ τῆς μητρὸς εἶναι ἴσον. οἰκῆσαι δὲ αὐτοὺς ἐν γῇ Χαναάν,
ἀφ' οὗ ἐκλεγῆναι Ἀβραὰμ ἐκ τῶν ἐθνῶν καὶ μετελθεῖν εἰς Χαναάν, Ἀ-
βραὰμ ἐτῶν εἴκοσι πέντε, Ἰσαὰκ ἐτῶν ἑξήκοντα, Ἰακὼβ ἐτῶν ἑκατὸν
17 τριάκοντα· γίνεσθαι τὰ πάντα ἔτη ἐν γῇ Χαναὰν σιε΄. καὶ τῷ τρίτῳ ἔτει
λιμοῦ οὔσης ἐν Αἰγύπτῳ ἐλθεῖν εἰς Αἴγυπτον τὸν Ἰακὼβ ὄντα ἐτῶν ἑ-
κατὸν τριάκοντα, Ῥουβὴν ἐτῶν με΄, Συμεῶνα ἐτῶν μδ΄, Λευΐν ἐτῶν
μγ΄, Ἰούδαν ἐτῶν μβ΄ μηνῶν δύο, Νεφθαλὶμ ἐτῶν μα΄ μηνῶν ζ΄, Γὰδ ἐ-
τῶν μα΄ μηνῶν γ΄, Ἀσὴρ ἐτῶν μ΄ μηνῶν ὀκτώ, Ζαβουλὼν ἐτῶν μ΄, Δί-
ναν ἐτῶν λθ΄, Βενιαμὶν ἐτῶν κη΄. τὸν δὲ Ἰωσὴφ φησι γενέσθαι ἐν Αἰγύ-
18 πτῳ ἔτη λθ΄. εἶναι δὲ ἀπὸ τοῦ Ἀδὰμ ἕως τοῦ εἰσελθεῖν εἰς Αἴγυπτον
τοὺς τοῦ Ἰωσὴφ συγγενεῖς ἔτη ͵χκδ΄. ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως
τῆς Ἰακὼβ παρουσίας εἰς Αἴγυπτον ἔτη ͵ατξ΄· ἀφ' οὗ δὲ ἐκλεγῆναι Ἀ-
βραὰμ ἐκ τῶν ἐθνῶν καὶ ἐλθεῖν ἐκ Χαρρὰν εἰς Χαναὰν ἕως εἰς Αἴγυ-
19 πτον τοὺς περὶ Ἰακὼβ ἐλθεῖν, ἔτη σιε΄. Ἰακὼβ δὲ εἰς Χαρρὰν πρὸς Λά-
βαν ἐλθεῖν ἐτῶν ὄντα π΄ καὶ γεννῆσαι Λευΐν· Λευΐν δὲ ἐν Αἰγύπτῳ ἐπι-
γενέσθαι ἔτη ιζ΄, ἀφ' οὗ ἐκ Χαναὰν αὐτὸν ἐλθεῖν εἰς Αἴγυπτον, ὥστε
εἶναι αὐτὸν ἐτῶν ξ΄, καὶ γεννῆσαι Καάθ, τῷ αὐτῷ δὲ ἔτει ᾧ γενέσθαι
Καάθ, τελευτῆσαι Ἰακὼβ ἐν Αἰγύπτῳ, εὐλογήσαντα τοὺς Ἰωσὴφ υἱ-
ούς, ὄντα ἐτῶν ρμζ΄, καταλιπόντα Ἰωσὴφ ὄντα ἐτῶν νς΄. Λευΐν δὲ γε-
νόμενον ἐτῶν ρλζ΄ τελευτῆσαι, Καὰθ δὲ ὄντα ἐτῶν μ΄ γεννῆσαι Ἀμ-
βράμ, ὃν ἐτῶν εἶναι ιδ΄ ἐν ᾧ τελευτῆσαι Ἰωσὴφ ἐν Αἰγύπτῳ ὄντα ρι΄ ἐ-
τῶν· Καὰθ δὲ γενόμενον ἐτῶν ἑκατὸν λγ΄ τελευτῆσαι. Ἀμβρὰμ δὲ λα-
βεῖν γυναῖκα τὴν τοῦ θείου θυγατέρα Ἰωχαβὲτ καὶ ὄντα ἐνιαυτῶν οε΄
γεννῆσαι Ἀαρὼν καὶ Μωσῆν· γεννῆσαι δὲ Μωσῆν τὸν Ἀμβρὰμ ὄντα
ἐτῶν οη΄, καὶ γενόμενον Ἀμβρὰμ ἐτῶν ρλς΄ τελευτῆσαι.

Ἀλέξανδρος Πολυΐστωρ, στὸν Εὐσέβιο, Εὐ. πρ. 9,21,1-19

2

29 1 Δημήτριος δὲ περὶ τῆς ἀναιρέσεως τοῦ Αἰγυπτίου καὶ τῆς διαφο-
ρᾶς τῆς πρὸς τὸν μηνύσαντα τὸν τελευτήσαντα ὁμοίως τῷ τὴν ἱερὰν
Βίβλον γράψαντι ἱστόρησε· φυγεῖν μέντοι γε τὸν Μωσῆν εἰς Μαδιὰμ
καὶ συνοικῆσαι ἐκεῖ τῇ Ἰοθὸρ θυγατρὶ Σεπφώρᾳ, ἣν εἶναι, ὅσα στοχά-
ζεσθαι ἀπὸ τῶν ὀνομάτων, τῶν γενομένων ἐκ Χεττούρας, τοῦ Ἀβρα-
ὰμ γένους, ἐκ τοῦ Ἰεζὰν τοῦ γενομένου Ἀβραὰμ ἐκ Χεττούρας· ἐκ δὲ
τοῦ Ἰεζὰν γενέσθαι Δαδάν, ἐκ δὲ Δαδὰν Ῥαγουήλ, ἐκ δὲ Ῥαγουὴλ Ἰο-
2 θὸρ καὶ Ὀβάβ, ἐκ δὲ τοῦ Ἰοθὸρ Σεπφώραν, ἣν γῆμαι Μωσῆν. καὶ τὰς
γενεὰς δὲ συμφωνεῖν· τὸν γὰρ Μωσῆν εἶναι ἀπὸ Ἀβραὰμ ἕβδομον,
τὴν δὲ Σεπφώραν ἕκτην. συνοικοῦντος γὰρ ἤδη τοῦ Ἰσαάκ, ἀφ' οὗ
Μωσῆν εἶναι, γῆμαι Ἀβραὰμ τὴν Χεττούραν ὄντα ἐτῶν ρμ΄ καὶ γεννῆ-
σαι Ἰσαὰρ ἐξ αὐτῆς δεύτερον· τὸν δὲ Ἰσαὰκ ὄντα ἐτῶν ἑκατὸν γεννῆ-
σαι. ὥστε μβ΄ ἐτῶν ὕστερον γεγονέναι τὸν Ἰσαάρ, ἀφ' οὗ τὴν Σεπφώ-
3 ραν γεγενεαλογῆσθαι. οὐδὲν οὖν ἀντιπίπτει τὸν Μωσῆν καὶ τὴν Σεπ-
φώραν κατὰ τοὺς αὐτοὺς γεγονέναι χρόνους. κατοικεῖν δὲ αὐτοὺς

Μαδιὰμ πόλιν, ἣν ἀπὸ ἑνὸς τῶν Ἀβραὰμ παίδων ὀνομασθῆναι. φησὶ γὰρ τὸν Ἀβραὰμ τοὺς παῖδας πρὸς ἀνατολὰς ἐπὶ κατοικίαν πέμψαι· διὰ τοῦτο δὲ καὶ Ἀαρὼν καὶ Μαριὰμ εἰπεῖν ἐν Ἀσηρὼθ Μωσῆν Αἰθιοπίδα γῆμαι γυναῖκα.

Εὐσέβιος, Εὐ. πρ. 9,29,1-3

3

Δημήτριος δέ φησιν ἐν τῷ Περὶ τῶν ἐν τῇ Ἰουδαίᾳ βασιλέων τὴν Ἰούδα φυλὴν καὶ Βενιαμὶν καὶ Λευῖ μὴ αἰχμαλωτισθῆναι ὑπὸ τοῦ Σενναχηρίμ, ἀλλ' εἶναι ἀπὸ τῆς αἰχμαλωσίας ταύτης εἰς τὴν ἐσχάτην, ἣν ἐποιήσατο Ναβουχοδονόσορ ἐξ Ἱεροσολύμων, ἔτη ἑκατὸν εἴκοσιν ὀκτὼ μῆνας ἕξ. ἀφ' οὗ δὲ αἱ φυλαὶ αἱ δέκα ἐκ Σαμαρείας αἰχμάλωτοι γεγόνασιν ἕως Πτολεμαίου τετάρτου ἔτη πεντακόσια ἑβδομήκοντα τρία μῆνας ἐννέα, ἀφ' οὗ δὲ ἐξ Ἱεροσολύμων ἔτη τριακόσια τριάκοντα ὀκτὼ μῆνας τρεῖς.

Φίλων δὲ καὶ αὐτὸς ἀνέγραψε τοὺς βασιλεῖς τοὺς Ἰουδαίων διαφώνως τῷ Δημητρίῳ.

Κλήμης Ἀλ., Στρ. 1,21, 141

6. ΑΡΙΣΤΟΒΟΥΛΟΣ

Πρὸς Πτολεμαῖον Φιλομήτορα

1

Ἀριστόβουλος δὲ ἐν τῷ πρώτῳ τῶν Πρὸς τὸν Φιλομήτορα κατὰ λέξιν γράφει·

Κατηκολούθηκε δὲ ὁ Πλάτων τῇ καθ' ἡμᾶς νομοθεσίᾳ καὶ φανερός ἐστι περιειργασμένος ἕκαστα τῶν ἐν αὐτῇ λεγομένων. διηρμήνευται δὲ πρὸ Δημητρίου ὑφ' ἑτέρων, πρὸ τῆς Ἀλεξάνδρου καὶ Περσῶν ἐπικρατήσεως, τά τε κατὰ τὴν ἐξ Αἰγύπτου ἐξαγωγὴν τῶν Ἑβραίων τῶν ἡμετέρων πολιτῶν καὶ ἡ τῶν γεγονότων ἁπάντων αὐτοῖς ἐπιφάνεια καὶ κράτησις τῆς χώρας καὶ τῆς ὅλης νομοθεσίας ἐπεξήγησις· ὥστε εὔδηλον εἶναι τὸν προειρημένον φιλόσοφον εἰληφέναι πολλά· γέγονε γὰρ πολυμαθὴς καθὼς καὶ Πυθαγόρας, πολλὰ τῶν παρ' ἡμῖν μετενέγκας εἰς τὴν ἑαυτοῦ δογματοποιίαν.

Κλήμης Ἀλ., Στρ. 1,23, 150. Εὐσέβιος, Εὐ. πρ. 9,6,6-8

2

Ἀριστοβούλῳ δὲ τῷ κατὰ Πτολεμαῖον γεγονότι τὸν Φιλομήτορα, οὗ μέμνηται ὁ συνταξάμενος τὴν τῶν Μακκαβαϊκῶν ἐπιτομήν, βιβλία γέγονεν ἱκανά, δι' ὧν ἀποδείκνυσι τὴν περιπατητικὴν φιλοσοφίαν ἔκ τε τοῦ κατὰ Μωϋσέα νόμου καὶ τῶν ἄλλων ἠρτῆσθαι προφητῶν.

Κλήμης Ἀλ., Στρ. 5,14, 97

7. ΕΥΠΟΛΕΜΟΣ

1. Περὶ Ἰουδαίων

1

2 Εὐπόλεμος δὲ ἐν τῷ *Περὶ Ἰουδαίων* τῆς Ἀσσυρίας φησὶ πόλιν Βαβυλῶνα πρῶτον μὲν κτισθῆναι ὑπὸ τῶν διασωθέντων ἐκ τοῦ κατακλυσμοῦ· εἶναι δὲ αὐτοὺς γίγαντας, οἰκοδομεῖν δὲ τὸν ἱστορούμενον
3 πύργον. πεσόντος δὲ τούτου ὑπὸ τῆς τοῦ θεοῦ ἐνεργείας τοὺς γίγαντας διασπαρῆναι καθ' ὅλην τὴν γῆν. δεκάτῃ δὲ γενεᾷ, φησίν, ἐν πόλει τῆς Βαβυλωνίας Καμαρίνῃ, ἥν τινας λέγειν πόλιν Οὐρίην (εἶναι δὲ μεθερμηνευομένην Χαλδαίων πόλιν), <ἢ> ἐν τρισκαιδεκάτῃ γενέσθαι Ἀβραὰμ γενεᾷ, εὐγενείᾳ καὶ σοφίᾳ πάντας ὑπερβεβηκότα, ὃν δὴ καὶ τὴν ἀστρολογίαν καὶ Χαλδαϊκὴν εὑρεῖν ἐπί τε τὴν εὐσέβειαν ὁρμή-
4 σαντα εὐαρεστῆσαι τῷ θεῷ. τοῦτον δὲ διὰ τὰ προστάγματα τοῦ θεοῦ εἰς Φοινίκην ἐλθόντα κατοικῆσαι, καὶ τροπὰς ἡλίου καὶ σελήνης καὶ τὰ ἄλλα πάντα διδάξαντα τοὺς Φοίνικας εὐαρεστῆσαι τῷ βασιλεῖ αὐτῶν. ὕστερον δὲ Ἀρμενίους ἐπιστρατεῦσαι τοῖς Φοίνιξι· νικησάντων δὲ καὶ αἰχμαλωτισαμένων τὸν ἀδελφιδοῦν αὐτοῦ τὸν Ἀβραὰμ μετὰ οἰκετῶν βοηθήσαντα ἐγκρατῆ γενέσθαι τῶν αἰχμαλωτισαμένων καὶ τῶν
5 πολεμίων αἰχμαλωτίσαι τέκνα καὶ γυναῖκας. πρέσβεων δὲ παραγενομένων πρὸς αὐτὸν ὅπως χρήματα λαβὼν ἀπολυτρώσῃ ταῦτα, μὴ προελέσθαι τοῖς δυστυχοῦσιν ἐπεμβαίνειν, ἀλλὰ τὰς τροφὰς λαβόντα τῶν νεανίσκων ἀποδοῦναι τὰ αἰχμάλωτα ξενισθῆναί τε αὐτὸν ὑπὸ πόλεως
6 ἱερὸν Ἂρ Γαριζίν, ὃ εἶναι μεθερμηνευόμενον ὄρος ὑψίστου· παρὰ δὲ τοῦ Μελχισεδὲκ ἱερέως ὄντος τοῦ θεοῦ καὶ βασιλεύοντος λαβεῖν δῶρα. λιμοῦ δὲ γενομένου τὸν Ἀβραὰμ ἀπαλλαγῆναι εἰς Αἴγυπτον πανοικίᾳ κἀκεῖ κατοικεῖν τήν τε γυναῖκα αὐτοῦ τὸν βασιλέα τῶν Αἰγυπτίων
7 γῆμαι, φάντος αὐτοῦ ἀδελφὴν εἶναι. περισσότερον δ' ἱστόρησεν ὅτι οὐκ ἠδύνατο αὐτῇ συγγενέσθαι καὶ ὅτι συνέβη φθείρεσθαι αὐτοῦ τὸν λαὸν καὶ τὸν οἶκον, μάντεις δὲ αὐτοῦ καλέσαντος τούτους φάναι μὴ εἶναι χήραν τὴν γυναῖκα· τὸν δὲ βασιλέα τῶν Αἰγυπτίων οὕτως ἐπιγνῶ-
8 ναι ὅτι γυνὴ ἦν τοῦ Ἀβραὰμ καὶ ἀποδοῦναι αὐτὴν τῷ ἀνδρί. συζήσα-

ντα δὲ τὸν Ἀβραὰμ ἐν Ἡλιουπόλει τοῖς Αἰγυπτίων ἱερεῦσι πολλὰ μεταδιδάξαι αὐτοὺς καὶ τὴν ἀστρολογίαν καὶ τὰ λοιπὰ τοῦτον αὐτοῖς εἰσηγήσασθαι, φάμενον Βαβυλωνίους ταῦτα καὶ αὐτὸν εὑρηκέναι, τὴν δὲ εὕρεσιν αὐτῶν εἰς Ἐνὼχ ἀναπέμπειν, καὶ τοῦτον εὑρηκέναι πρῶ-
9 τον τὴν ἀστρολογίαν, οὐκ Αἰγυπτίους. Βαβυλωνίους γὰρ λέγειν πρῶτον γενέσθαι Βῆλον, ὃν εἶναι Κρόνον· ἐκ τούτου δὲ γενέσθαι καὶ Χαναάν, τοῦτον δὲ τὸν Χαναὰν γεννῆσαι τὸν πατέρα τῶν Φοινίκων, τούτου δὲ Χοὺμ υἱὸν γενέσθαι, ὃν ὑπὸ τῶν Ἑλλήνων λέγεσθαι Ἄσβολον, πατέρα δὲ Αἰθιόπων, ἀδελφὸν δὲ τοῦ Μεστραΐμ, πατρὸς Αἰγυπτίων· Ἕλληνας δὲ λέγειν τὸν Ἄτλαντα εὑρηκέναι ἀστρολογίαν, εἶναι δὲ τὸν Ἄτλαντα τὸν αὐτὸν καὶ Ἐνώχ· τοῦ δὲ Ἐνὼχ γενέσθαι υἱὸν Μαθουσάλαν, ὃν πάντα δι' ἀγγέλων θεοῦ γνῶναι καὶ ἡμᾶς οὕτως ἐπιγνῶναι.

Ἀλέξανδρος Πολυΐστωρ, στὸν Εὐσέβιο, Εὐ. πρ. 9,17,2-9

2

26 1 Εὐπόλεμος δέ φησι τὸν Μωσῆν πρῶτον σοφὸν γενέσθαι καὶ γράμματα παραδοῦναι τοῖς Ἰουδαίοις πρῶτον, παρὰ δὲ Ἰουδαίων Φοίνικας παραλαβεῖν, Ἕλληνας δὲ παρὰ Φοινίκων, νόμους τε πρῶτον γράψαι Μωϋσῆν τοῖς Ἰουδαίοις.

Ἀλέξανδρος Πολυΐστωρ, στὸν Εὐσέβιο, Εὐ. πρ. 9,26,1

2. Περὶ τῆς Ἡλιοὺ προφητείας

1

30 1 Εὐπόλεμος δέ φησιν ἔν τινι *Περὶ τῆς Ἡλίου προφητείας* Μωσῆν προφητεῦσαι ἔτη μ΄· εἶτα Ἰησοῦν, τὸν τοῦ Ναυῆ υἱόν, ἔτη λ΄· βιῶσαι
2 δ' αὐτὸν ἔτη ρι΄ πῆξαί τε τὴν ἱερὰν σκηνὴν ἐν Σηλοῖ. μετὰ δὲ ταῦτα προφήτην γενέσθαι Σαμουήλ. εἶτα τῇ τοῦ θεοῦ βουλήσει ὑπὸ Σαμουὴλ
3 Σαοῦλον βασιλέα αἱρεθῆναι, ἄρξαντα δὲ ἔτη κα΄ τελευτῆσαι. εἶτα Δαυῖδ τὸν τούτου υἱὸν δυναστεῦσαι, ὃν καταστρέψασθαι Σύρους τοὺς παρὰ τὸν Εὐφράτην οἰκοῦντας ποταμὸν καὶ τὴν Κομμαγηνὴν καὶ τοὺς ἐν Γαλαδηνῇ Ἀσσυρίους καὶ Φοίνικας. στρατεῦσαι δ' αὐτὸν καὶ ἐπὶ Ἰδουμαίους καὶ Ἀμμανίτας καὶ Μωαβίτας καὶ Ἰτουραίους καὶ Ναβαταίους
4 καὶ Ναβδαίους, αὖθις δὲ ἐπιστρατεῦσαι ἐπὶ Σούρωνα βασιλέα Τύρου καὶ Φοινίκης· οὓς καὶ ἀναγκάσαι φόρους Ἰουδαίοις ὑποτελεῖν· πρός
5 τε Οὐαφρῆν τὸν Αἰγύπτιον βασιλέα φιλίαν συνθέσθαι. βουλόμενόν τε τὸν Δαυῖδ οἰκοδομῆσαι ἱερὸν τῷ θεῷ ἀξιοῦν τὸν θεὸν τόπον αὐτῷ δεῖξαι τοῦ θυσιαστηρίου. ἔνθα δὴ ἄγγελον αὐτῷ ὀφθῆναι ἑστῶτα ἐπάνω τοῦ τόπου, οὗ τὸν βωμὸν ἱδρῦσαι ἐν Ἱεροσολύμοις, καὶ κελεύειν αὐτὸν μὴ ἱδρύ<ε>σθαι τὸ ἱερόν, διὰ τὸ αἵματι ἀνθρωπίνῳ πεφύρθαι καὶ
6 πολλὰ ἔτη πεπολεμηκέναι· εἶναι δ' αὐτῷ ὄνομα Διαναθάν· προστάξαι

τε αὐτῷ τοῦτον ὅπως τῷ υἱῷ ἐπιτρέψῃ τὴν οἰκοδομίαν, αὐτὸν δὲ εὐ-
τρεπίζειν τὰ πρὸς τὴν κατασκευὴν ἀνήκοντα, χρυσίον, ἀργύριον, χαλ-
7 κόν, λίθους, ξύλα κυπαρίσσινα καὶ κέδρινα. ἀκούσαντα δὲ τὸν Δαυὶδ
πλοῖα ναυπηγήσασθαι ἐν Ἐλάνοις πόλει τῆς Ἀραβίας καὶ πέμψαι με-
ταλλευτὰς εἰς τὴν Οὐρφῆ νῆσον, κειμένην ἐν τῇ Ἐρυθρᾷ Θαλάσσῃ, μέ-
ταλλα χρυσικὰ ἔχουσαν· καὶ τὸ χρυσίον ἐκεῖθεν μετακομίσαι τοὺς με-
8 ταλλευτὰς εἰς τὴν Ἰουδαίαν. βασιλεύσαντα δὲ τὸν Δαυὶδ ἔτη μ΄ Σολο-
μῶντι τῷ υἱῷ τὴν ἀρχὴν παραδοῦναι, ὄντι ἐτῶν ιβ΄, ἐνώπιον Ἠλὶ τοῦ
ἀρχιερέως καὶ τῶν δώδεκα φυλάρχων καὶ παραδοῦναι αὐτῷ τόν τε
χρυσὸν καὶ ἄργυρον καὶ χαλκὸν καὶ λίθον καὶ ξύλα κυπαρίσσινα καὶ
κέδρινα. καὶ αὐτὸν μὲν τελευτῆσαι, Σολομῶντα δὲ βασιλεύειν καὶ γρά-
ψαι πρὸς Οὐαφρῆν τὸν Αἰγύπτου βασιλέα τὴν ὑπογεγραμμένην ἐπι-
στολήν.

Εὐσέβιος, Εὐ. πρ. 9,30,1-8

2

Ποιῆσαι δέ φησιν ὁ Εὐπόλεμος τὸν Σολομῶντα καὶ ἀσπίδας χρυ-
σᾶς χιλίας, ὧν ἑκάστην πεντακοσίων εἶναι χρυσῶν. βιῶσαι δὲ αὐτὸν
ἔτη πεντήκοντα δύο, ὧν ἐν εἰρήνῃ βασιλεῦσαι ἔτη μ΄.

Εὐσέβιος, Εὐ. πρ. 9,34,20

3. Περὶ Ἰερεμίου τοῦ προφήτου

2 Εἶτα Ἰωαχίμ· ἐπὶ τούτου προφητεῦσαι Ἰερεμίαν τὸν προφήτην.
τοῦτον ὑπὸ τοῦ θεοῦ ἀποσταλέντα καταλαβεῖν τοὺς Ἰουδαίους θυσιά-
3 ζοντας εἰδώλῳ χρυσῷ, ᾧ εἶναι ὄνομα Βάαλ. τοῦτον δὲ αὐτοῖς τὴν μέλ-
λουσαν ἀτυχίαν δηλῶσαι. τὸν δὲ Ἰωαχὶμ ζῶντα αὐτὸν ἐπιβαλέσθαι
κατακαῦσαι· τὸν δὲ φάναι τοῖς ξύλοις τούτοις Βαβυλωνίοις ὀψοποιή-
σειν καὶ σκάψειν τὰς τοῦ Τίγρητος καὶ Εὐφράτου διώρυχας αἰχμαλω-
4 τισθέντας. τὸν δὲ τῶν Βαβυλωνίων βασιλέα ἀκούσαντα Ναβουχοδο-
νόσορ τὰ ὑπὸ τοῦ Ἰερεμίου προμαντευθέντα παρακαλέσαι Ἀστιβάρην
5 τὸν Μήδων βασιλέα συστρατεύειν αὐτῷ. παραλαβόντα δὲ Βαβυλω-
νίους καὶ Μήδους καὶ συναγαγόντα πεζῶν μὲν <μυριάδας> ὀκτω-
καίδεκα, ἱππέων δὲ μυριάδας δώδεκα καὶ πεζῶν ἅρματα μύρια, πρῶ-
τον μὲν τὴν Σαμαρεῖτιν καταστρέψασθαι καὶ Γαλιλαίαν καὶ Σκυθόπολιν
καὶ τοὺς ἐν τῇ Γαλαα δίτιδι οἰκοῦντας Ἰουδαίους· αὖθις δὲ τὰ Ἱεροσό-
λυμα παραλαβεῖν καὶ τὸν Ἰουδαίων βασιλέα Ἰωαχὶμ ζωγρῆσαι· τὸν δὲ
χρυσὸν τὸν ἐν τῷ ἱερῷ καὶ ἄργυρον καὶ χαλκὸν ἐκλέξαντα εἰς Βαβυ-
λῶνα ἀποστεῖλαι, χωρὶς τῆς κιβωτοῦ καὶ τῶν ἐν αὐτῇ πλακῶν· ταύ-
την δὲ τὸν Ἰερεμίαν κατασχεῖν.

Ἀλέξανδρος Πολυΐστωρ, στὸν Εὐσέβιο, Εὐ. πρ. 9,39,2-5

4. Περὶ τῶν ἐν τῇ Ἰουδαίᾳ βασιλέων

1

Ἔτι δὲ καὶ Εὐπόλεμος ἐν τῇ ὁμοίᾳ πραγματείᾳ τὰ πάντα ἔτη φησὶν ἀπὸ Ἀδὰμ ἄχρι τοῦ πέμπτου ἔτους Δημητρίου βασιλείας, Πτολεμαίου τὸ δωδέκατον βασιλεύοντος Αἰγύπτου, συνάγεσθαι ἔτη ͵ερμθ΄. ἀφ' οὗ δὲ χρόνου ἐξήγαγε Μωϋσῆς τοὺς Ἰουδαίους ἐξ Αἰγύπτου ἐπὶ τὴν προειρημένην προθεσμίαν συνάγεσθαι ἔτη χίλια πεντακόσια ὀγδοήκοντα. ἀπὸ δὲ τοῦ χρόνου τούτου ἄχρι τῶν ἐν Ῥώμῃ ὑπάτων Γναίου Δομετίου καὶ Ἀσινίου συναθροίζεται ἔτη ἑκατὸν εἴκοσιν.

Κλήμης Ἀλ., Στρ. 1,21, 141

2

Εὐπόλεμος δὲ ἐν τῷ Περὶ τῶν ἐν τῇ Ἰουδαίᾳ βασιλέων τὸν Μωϋσῆ φησι πρῶτον σοφὸν γενέσθαι καὶ γραμματικὴν πρῶτον τοῖς Ἰουδαίοις παραδοῦναι καὶ παρὰ Ἰουδαίων Φοίνικας παραλαβεῖν, Ἕλληνας δὲ παρὰ Φοινίκων. εἰς δὲ τὴν ἀνδρῶν φύσιν ἄξας ἐπέτεινε τὴν φρόνησιν, τὴν συγγενικὴν καὶ προγονικὴν ζηλώσας παιδείαν, ἄχρι καὶ τὸν Αἰγύπτιον τὸν τῷ Ἑβραίῳ ἀδίκως ἐπιθέμενον πατάξας ἀποκτεῖναι. φασὶ δὲ οἱ μύσται λόγῳ μόνῳ ἀνελεῖν τὸν Αἰγύπτιον.

Κλήμης Ἀλ., Στρ. 1,23,153-4

8. ΘΕΟΦΙΛΟΣ

Θεόφιλος δέ φησι τὸν περισσεύσαντα χρυσὸν τὸν Σολομῶντα τῷ Τυρίων βασιλεῖ πέμψαι· τὸν δὲ εἰκόνα τῆς θυγατρὸς ζῷον ὁλοσώματον κατασκευάσαι, καὶ ἔλυτρον τῷ ἀνδριάντι τὸν χρυσοῦν κίονα περιθεῖναι.

Εὐσέβιος, Εὐ. πρ. 9,34,19

9. ΣΥΡΙΑΣ ΣΧΟΙΝΟΜΕΤΡΗΣΙΣ

Ὁ δὲ τὴν *Συρίας σχοινομέτρησιν* γράψας ἐν τῇ πρώτῃ φησὶ κεῖσθαι Ἱεροσόλυμα ἐπὶ μετεώρου τε καὶ τραχέος τόπου· ᾠκοδομῆσθαι δέ τινα μὲν μέρη τοῦ τείχους ἀπὸ λίθου ξεστοῦ τὰ δὲ πλείονα ἀπὸ χάλικος· καὶ ἔχειν περίμετρον τὴν πόλιν σταδίων κζ΄, ὑπάρχειν δὲ καὶ πηγὴν ἐν τῷ χωρίῳ ὕδωρ δαψιλὲς ἀναβλύζουσαν.

Εὐσέβιος, Εὐ. πρ. 9,36,1

10. ΙΑΣΩΝ ΚΥΡΗΝΑΙΟΣ

Τὰ ὑπὸ Ἰάσονος τοῦ Κυρηναίου δεδηλωμένα διὰ πέντε βιβλίων πειρασόμεθα δι' ἑνὸς συντάγματος ἐπιτεμεῖν.

Τὰ κατὰ Ἰούδαν τὸν Μακκαβαῖον 1,1

11. Ψ-ΕΚΑΤΑΙΟΣ ΑΒΔΗΡΙΤΗΣ

1. Περὶ Ἰουδαίων

1

4 1 Ἑκαταῖος δὲ ὁ Ἀβδηρίτης, ἀνὴρ φιλόσοφος ἅμα καὶ περὶ τὰς πράξεις ἱκανώτατος, ἰδίαν βίβλον ἀναθεὶς τῇ περὶ Ἰουδαίων ἱστορίᾳ, πλεῖστα περὶ αὐτῶν διέξεισιν, ἀφ' ὧν ἐπὶ τοῦ παρόντος ἀρκέσαι παρατεθέντα ταῦτα·

2 Ἔστι γὰρ τῶν Ἰουδαίων τὰ μὲν πολλὰ ὀχυρώματα κατὰ τὴν χώραν καὶ κῶμαι· μία δὲ πόλις ὀχυρά, πεντήκοντα μάλιστα σταδίων τὴν περίμετρον, ἣν οἰκοῦσι μὲν ἀνθρώπων περὶ δώδεκα μυριάδες, καλοῦ-
3 σι δ' αὐτὴν Ἱεροσόλυμα. ἐνταῦθα δέ ἐστι κατὰ μέσον μάλιστα τῆς πόλεως περίβολος λίθινος, μῆκος ὡς πεντάπλεθρος, εὖρος δὲ πήχεων ἑκατόν, ἔχων διπλᾶς πύλας, ἐν ᾧ βωμός ἐστι τετράγωνος, ἀτμήτων συλλεκτῶν ἀργῶν λίθων οὕτω συγκείμενος, πλευρὰν δὲ ἑκάστην εἴ-
4 κοσι πήχεων, ὕψος δεκάπηχυ. καὶ παρ' αὐτὸν οἴκημα μέγα, οὗ βωμός ἐστι καὶ λυχνίον· ἀμφότερα χρυσᾶ, δύο τάλαντα τὴν ὁλκήν· ἐπὶ δὲ τούτων φῶς ἐστιν ἀναπόσβεστον καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας. ἄγαλμα δ' οὐκ ἔστιν οὐδ' ἀνάθημα τὸ παράπαν οὐδὲ φύτευμα παντελῶς
5 οὐδὲ οἶον ἀλσῶδες ἤ τι τοιοῦτον. διατρίβουσι δ' ἐν αὐτῷ καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας ἱερεῖς, ἁγνείας τινὰς ἁγνεύοντες καὶ τὸ παράπαν οἶνον οὐ πίνοντες ἐν τῷ ἱερῷ.

6 Ταῦτα εἰπὼν ὑποβὰς ὅτι καὶ Ἀλεξάνδρῳ τῷ βασιλεῖ συνεστρατεύσαντο καὶ μετὰ ταῦτα τοῖς διαδόχοις αὐτοῦ, μεμαρτύρηκεν. οἷς δ' αὐτὸς παρατυχεῖν φησιν ὑπ' ἀνδρὸς Ἰουδαίου κατὰ τὴν στρατείαν γενομένοις, τοῦτο παραθήσομαι. λέγει δὲ οὕτως·

7 Ἐμοῦ γοῦν ἐπὶ τὴν Ἐρυθρὰν Θάλασσαν βαδίζοντος συνηκολούθει τις μετὰ τῶν ἄλλων τῶν παραπεμπόντων ἡμᾶς ἱππέων Ἰουδαίων ὄνομα Μοσόλλαμος, ἄνθρωπος ἱκανὸς κατὰ ψυχήν, εὔρωστος καὶ τοξότης ὑπὸ δὴ πάντων ὁμολογούμενος καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρ-
8 βάρων ἄριστος. οὗτος οὖν ὁ ἄνθρωπος, βαδιζόντων πολλῶν κατὰ τὴν ὁδὸν καὶ μάντεώς τινος ὀρνιθευομένου καὶ πάντας ἐπισχεῖν ἀξιοῦντος, ἠρώτησε διὰ τί προσμένουσι· δείξαντος δὲ τοῦ μάντεως αὐτῷ

τὸν ὄρνιθα καὶ φήσαντος· Ἐὰν μὲν αὐτοῦ μένῃ, προσμένειν συμφέρει πᾶσιν, ἐὰν δὲ ἀναστὰς εἰς τοὔμπροσθεν πέτηται, προάγειν, ἐὰν δὲ εἰς τοὔπισθεν, ἀναχωρεῖν αὖθις· σιωπήσας καὶ ἑλκύσας τὸ τόξον ἔβαλε
9 καὶ τὸν ὄρνιθα πατάξας ἀπέκτεινεν. ἀγανακτούντων δὲ τοῦ μάντεως καί τινων ἄλλων καὶ καταρωμένων αὐτῷ· Τί μαίνεσθε, ἔφη, κακοδαίμονες; εἶτα τὸν ὄρνιθα λαβὼν εἰς τὰς χεῖρας· Πῶς γάρ, ἔφη, οὗτος τὴν αὐτοῦ σωτηρίαν οὐ προϊδών, περὶ τῆς ἡμετέρας πορείας ἡμῖν ἄν τι ὑγιὲς ἀνήγγειλεν; εἰ γὰρ ἠδύνατο προγινώσκειν τὸ μέλλον, εἰς τὸν τόπον τοῦτον οὐκ ἂν ἦλθε, φοβούμενος μὴ τοξεύσας αὐτὸν ἀποκτείνῃ Μοσόλλαμος ὁ Ἰουδαῖος.

Εὐσέβιος, Εὐ. πρ. 9,4,1-9

2

Ἑκαταῖος δὲ καὶ τοῦ μνησθῆναι πλεῖόν τι πεποίηκε· βιβλίον γὰρ περὶ αὐτοῦ συνταξάμενος κατέλιπε.

Εὐσέβιος, Εὐ. πρ. 9,16,3

2. Τὰ κατ' Ἄβραμον καὶ τοὺς Αἰγυπτίους

Ὁ μὲν Σοφοκλῆς, ὥς φησιν Ἑκαταῖος ὁ τὰς ἱστορίας συνταξάμενος ἐν τῷ Κατ' Ἄβραμον καὶ τοὺς Αἰγυπτίους, ἄντικρυς ἐπὶ τῆς σκηνῆς ἐκβοᾷ·

Εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστι <ν> θεός,
ὃς οὐρανόν τε ἔτευξε καὶ γαῖαν μακρὴν
.....

Κλήμης Ἀλ., Στρ. 5,14, 113

12. Ψ-ΚΛΕΑΡΧΟΣ ΣΟΛΕΥΣ Ο ΠΕΡΙΠΑΤΗΤΙΚΟΣ

Κλέαρχος δὲ ὁ περιπατητικὸς εἰδέναι φησί τινα Ἰουδαῖον, ὃς Ἀριστοτέλει συνεγένετο.

Κλήμης Ἀλ., Στρ. 1,15, 70. Εὐσέβιος, Εὐ. πρ. 9,6,2

13. Ψ-ΑΡΤΑΠΑΝΟΣ

Περὶ Ἰουδαίων ἢ Ἰουδαϊκά

1

18 1 Ἀρτάπανος δέ φησιν ἐν τοῖς Ἰουδαϊκοῖς τοὺς μὲν Ἰουδαίους ὀνομάζεσθαι Ἑρμιούθ, ὃ εἶναι μεθερμηνευθὲν κατὰ τὴν Ἑλληνίδα φωνὴν Ἰουδαῖοι· καλεῖσθαι δὲ αὐτοὺς Ἑβραίους ἀπὸ Ἀβραάμου. τοῦτον δέ φησι πανοικίᾳ ἐλθεῖν εἰς Αἴγυπτον πρὸς τὸν τῶν Αἰγυπτίων βασιλέα Φαρεθώθην καὶ τὴν ἀστρολογίαν αὐτὸν διδάξαι· μείναντα δὲ ἔτη ἐκεῖ εἴκοσι πάλιν εἰς τοὺς κατὰ Συρίαν ἀπαλλαγῆναι τόπους· τῶν δὲ τούτῳ συνελθόντων πολλοὺς ἐν Αἰγύπτῳ καταμεῖναι διὰ τὴν εὐδαιμονίαν
2 τῆς χώρας. ἐν δὲ ἀδεσπότοις εὕρομεν τὸν Ἀβραὰμ ἀναφέροντα εἰς τοὺς γίγαντας, τούτους δὲ οἰκοῦντας ἐν τῇ Βαβυλωνίᾳ διὰ τὴν ἀσέβειαν ὑπὸ τῶν θεῶν ἀναιρεθῆναι, ὧν ἕνα Βῆλον ἐκφεύγοντα τὸν θάνατον ἐν Βαβυλῶνι κατοικῆσαι πύργον τε κατασκευάσαντα ἐν αὐτῷ διαιτᾶσθαι, ὃν δὴ ἀπὸ τοῦ κατασκευάσαντος Βήλου Βῆλον ὀνομασθῆναι. τὸν δὲ Ἄβραμον τὴν ἀστρολογικὴν ἐπιστήμην παιδευθέντα πρῶτον μὲν ἐλθεῖν εἰς Φοινίκην καὶ τοὺς Φοίνικας ἀστρολογίαν διδάξαι, ὕστερον δὲ εἰς Αἴγυπτον παραγενέσθαι.

Ἀλέξανδρος Πολυΐστωρ, στὸν Εὐσέβιο, Εὐ. πρ. 9,18,1-2

2

23 1 Ἀρτάπανος δέ φησιν ἐν τῷ *Περὶ Ἰουδαίων* τῷ Ἀβραὰμ Ἰωσὴφ ἀπόγονον γενέσθαι, υἱὸν δὲ Ἰακώβου· συνέσει δὲ καὶ φρονήσει παρὰ τοὺς ἄλλους διενεγκόντα ὑπὸ τῶν ἀδελφῶν ἐπιβουλευθῆναι· προϊδόμενον δὲ τὴν ἐπισύστασιν δεηθῆναι τῶν ἀστυγειτόνων Ἀράβων εἰς τὴν Αἴγυπτον αὐτὸν διακομίσαι· τοὺς δὲ τὸ ἐντυγχανόμενον ποιῆσαι· εἶναι γὰρ τοὺς τῶν Ἀράβων βασιλεῖς ἀπογόνους Ἰσραήλ, υἱοὺς τοῦ
2 Ἀβραάμ, Ἰσαὰκ δὲ ἀδελφούς. ἐλθόντα δὲ αὐτὸν εἰς τὴν Αἴγυπτον καὶ συσταθέντα τῷ βασιλεῖ διοικητὴν τῆς ὅλης γενέσθαι χώρας. καὶ πρότερον ἀτάκτως τῶν Αἰγυπτίων γεωμορούντων, διὰ τὸ τὴν χώραν ἀδιαίρετον εἶναι καὶ τῶν ἐλασσόνων ὑπὸ τῶν κρεισσόνων ἀδικουμένων, τοῦτον πρῶτον τήν τε γῆν διελεῖν καὶ ὅροις διασημήνασθαι καὶ πολλὴν χερσευομένην γεωργήσιμον ἀποτελέσαι καί τινας τῶν ἀρου-
3 ρῶν τοῖς ἱερεῦσιν ἀποκληρῶσαι. τοῦτον δὲ καὶ μέτρα εὑρεῖν καὶ μεγάλως αὐτὸν ὑπὸ τῶν Αἰγυπτίων διὰ ταῦτα ἀγαπηθῆναι. γῆμαι δ' αὐτὸν Ἡλιουπολίτου ἱερέως Ἀσενὲθ θυγατέρα, ἐξ ἧς γεννῆσαι παῖδας. μετὰ δὲ ταῦτα παραγενέσθαι πρὸς αὐτὸν τόν τε πατέρα καὶ τοὺς ἀδελφοὺς κομίζοντας πολλὴν ὕπαρξιν καὶ κατοικισθῆναι ἐν τῇ Ἡλίου πόλει καὶ
4 Σάι καὶ τοὺς Σύρους πλεονάσαι ἐν τῇ Αἰγύπτῳ. τούτους δέ φησι καὶ τὸ ἐν Ἀθὼς καὶ τὸ ἐν Ἡλιουπόλει ἱερὸν κατασκευάσαι τοὺς Ἑρμιοὺθ

ὀνομαζομένους. μετὰ δὲ ταῦτα τελευτῆσαι τόν τε Ἰωσὴφ καὶ τὸν βασιλέα τῶν Αἰγυπτίων. τὸν οὖν Ἰωσὴφ κρατοῦντα τῆς Αἰγύπτου τὸν τῶν ἑπτὰ ἐτῶν σῖτον, γενόμενον κατὰ τὴν φορὰν ἄπλετον, παραθέσθαι καὶ τῆς Αἰγύπτου δεσπότην γενέσθαι.

Ἀλέξανδρος Πολυΐστωρ στὸν Εὐσέβιο, Εὐ. πρ. 9,23,1-4

3

27 1 Ἀρτάπανος δέ φησιν ἐν τῇ *Περὶ Ἰουδαίων,* Ἀβραὰμ τελευτήσαντος καὶ τοῦ υἱοῦ αὐτοῦ Μεμψασθενώθ, ὁμοίως δὲ καὶ τοῦ βασιλέως τῶν Αἰγυπτίων, τὴν δυναστείαν παραλαβεῖν τὸν υἱὸν αὐτοῦ Παλμανώ-
2 θην. τοῦτον δὲ τοῖς Ἰουδαίοις φαύλως προσφέρεσθαι· καὶ πρῶτον μὲν τήν τε Σάιν οἰκοδομῆσαι τό τε ἐπ' αὐτῇ ἱερὸν καθιδρύσασθαι. εἶτα τὸν
3 ἐν Ἡλιουπόλει ναὸν κατασκευάσαι. τοῦτον δὲ γεννῆσαι θυγατέρα Μέρριν, ἣν Χενεφρῇ τινι κατεγγυῆσαι, τῶν ὑπὲρ Μέμφιν τόπων βασιλεύοντι· πολλοὺς γὰρ τότε τῆς Αἰγύπτου βασιλεύειν· ταύτην δὲ στεῖραν ὑπάρχουσαν ὑποβαλέσθαι τινὸς τῶν Ἰουδαίων παιδίον, τοῦτο δὲ Μώυσον ὀνομάσαι· ὑπὸ δὲ τῶν Ἑλλήνων αὐτὸν ἀνδρωθέντα Μου-
4 σαῖον προσαγορευθῆναι. γενέσθαι δὲ τὸν Μώυσον τοῦτον Ὀρφέως διδάσκαλον. ἀνδρωθέντα δ' αὐτὸν πολλὰ τοῖς ἀνθρώποις εὔχρηστα παραδοῦναι· καὶ γὰρ πλοῖα καὶ μηχανὰς πρὸς τὰς λιθοθεσίας καὶ τὰ Αἰγύπτια ὅπλα καὶ τὰ ὄργανα τὰ ὑδρευτικὰ καὶ πολεμικὰ καὶ τὴν φιλοσοφίαν ἐξευρεῖν· ἔτι δὲ τὴν πόλιν εἰς λς΄ νομοὺς διελεῖν καὶ ἑκάστῳ τῶν νομῶν ἀποτάξαι τὸν θεὸν σεφθήσεσθαι τά τε ἱερὰ γράμματα τοῖς ἱερεῦσιν, εἶναι δὲ καὶ αἰλούρους καὶ κύνας καὶ ἴβεις· ἀπονεῖμαι δὲ καὶ
5 τοῖς ἱερεῦσιν ἐξαίρετον χώραν. ταῦτα δὲ πάντα ποιῆσαι χάριν τοῦ τὴν μοναρχίαν βεβαίαν τῷ Χενεφρῇ διαφυλάξαι. πρότερον γὰρ ἀδιατάκτους ὄντας τοὺς ὄχλους ποτὲ μὲν ἐκβάλλειν, ποτὲ δὲ καθιστάνειν βα-
6 σιλεῖς, καὶ πολλάκις μὲν τοὺς αὐτούς, ἐνιάκις δὲ ἄλλους. διὰ ταῦτα οὖν τὸν Μώυσον ὑπὸ τῶν ὄχλων ἀγαπηθῆναι καὶ ὑπὸ τῶν ἱερέων ἰσοθέου τιμῆς καταξιωθέντα προσαγορευθῆναι Ἑρμῆν, διὰ τὴν τῶν ἱερῶν
7 γραμμάτων ἑρμηνείαν. τὸν δὲ Χενεφρῆν ὁρῶντα τὴν ἀρετὴν τοῦ Μωΰσου φθονῆσαι αὐτῷ καὶ ζητεῖν αὐτὸν ἐπ' εὐλόγῳ αἰτίᾳ τινὶ ἀνελεῖν. καὶ δή ποτε τῶν Αἰθιόπων ἐπιστρατευσαμένων τῇ Αἰγύπτῳ τὸν Χενεφρῆν ὑπολαβόντα εὑρηκέναι καιρὸν εὔθετον πέμψαι τὸν Μώυσον ἐπ' αὐτοὺς στρατηγὸν μετὰ δυνάμεως· τὸ δὲ τῶν γεωργῶν αὐτῷ συστῆσαι πλῆθος, ὑπολαβόντα ῥᾳδίως αὐτὸν διὰ τὴν τῶν στρατιωτῶν ἀσθέ-
8 νειαν ὑπὸ τῶν πολεμίων ἀναιρεθήσεσθαι. τὸν δὲ Μώυσον ἐλθόντα ἐπὶ τὸν Ἑρμοπολίτην ὀνομαζόμενον νομόν, ἔχοντα περὶ δέκα μυριάδας γεωργῶν, αὐτοῦ καταστρατοπεδεῦσαι· πέμψαι δὲ στρατηγοὺς τοὺς προκαθεδουμένους τῆς χώρας, οὓς δὴ πλεονεκτεῖν ἐπιφανῶς κατὰ τὰς μάχας· λέγειν δέ φησιν Ἡλιουπολίτας γενέσθαι τὸν πόλεμον τοῦ-
9 τον ἔτη δέκα. τοὺς οὖν περὶ τὸν Μώυσον διὰ τὸ μέγεθος τῆς στρατιᾶς πόλιν ἐν τούτῳ κτίσαι τῷ τόπῳ καὶ τὴν ἶβιν ἐν αὐτῇ καθιερῶσαι, διὰ

τὸ ταύτην τὰ βλάπτοντα ζῷα τοὺς ἀνθρώπους ἀναιρεῖν· προσαγορεῦ-
10 σαι δὲ αὐτὴν Ἑρμοῦ πόλιν. οὕτω δὴ τοὺς Αἰθίοπας, καίπερ ὄντας πολεμίους, στέρξαι τὸν Μώυσον ὥστε καὶ τὴν περιτομὴν τῶν αἰδοίων παρ' ἐκείνου μαθεῖν· οὐ μόνον δὲ τούτους, ἀλλὰ καὶ τοὺς ἱερεῖς ἅπα-
11 ντας. τὸν δὲ Χενεφρῆν λυθέντος τοῦ πολέμου λόγῳ μὲν αὐτὸν ἀποδέξασθαι, ἔργῳ δὲ ἐπιβουλεύειν. παρελόμενον γοῦν αὐτοῦ τοὺς ὄχλους τοὺς μὲν ἐπὶ τὰ ὅρια τῆς Αἰθιοπίας πέμψαι προφυλακῆς χάριν, τοῖς δὲ προστάξαι τὸν ἐν Διὸς Πόλει ναὸν ἐξ ὀπτῆς πλίνθου κατεσκευασμένον καθαιρεῖν, ἕτερον δὲ λίθινον κατασκευάσαι τὸ πλησίον ὄρος λατο-
12 μήσαντας· τάξαι δὲ ἐπὶ τῆς οἰκοδομίας ἐπιστάτην Ναχέρωτα. τὸν δὲ ἐλθόντα μετὰ Μωΰσου εἰς Μέμφιν πυθέσθαι παρ' αὐτοῦ εἴ τι ἄλλο ἐστὶν εὔχρηστον τοῖς ἀνθρώποις· τὸν δὲ φάναι γένος τῶν βοῶν, διὰ τὸ τὴν γῆν ἀπὸ τούτων ἀροῦσθαι· τὸν δὲ Χενεφρῆν, προσαγορεύσαντα ταῦρον Ἆπιν, κελεῦσαι ἱερὸν αὐτοῦ τοὺς ὄχλους καθιδρύσασθαι καὶ τὰ ζῷα τὰ καθιερωθέντα ὑπὸ τοῦ Μωΰσου κελεύειν ἐκεῖ φέροντας θά-
13 πτειν, κατακρύπτειν θέλοντα τὰ τοῦ Μωΰσου ἐπινοήματα. ἀποξενωσάντων δὲ αὐτὸν τῶν Αἰγυπτίων ὁρκωμοτῆσαι τοὺς φίλους μὴ ἐξαγγεῖλαι τῷ Μωΰσῳ τὴν ἐπισυνισταμένην αὐτῷ ἐπιβουλὴν καὶ προβαλέ-
14 σθαι τοὺς ἀναιρήσοντας αὐτόν. μηδενὸς δ' ὑπακούσαντος ὀνειδίσαι τὸν Χενεφρῆν Χανεθώθην, τὸν μάλιστα προσαγορευόμενον ὑπ' αὐ-
15 τοῦ· τὸν δὲ ὀνειδισθέντα ὑποσχέσθαι τὴν ἐπίθεσιν, λαβόντα καιρόν. ὑπὸ δὲ τοῦτον τὸν καιρὸν τῆς Μέρριδος τελευτησάσης ὑποσχέσθαι τὸν Χενεφρῆν τῷ τε Μωΰσῳ καὶ τῷ Χανεθώθῃ τὸ σῶμα διακομίσαντας εἰς τοὺς ὑπὲρ Αἴγυπτον τόπους θάψαι, ὑπολαβόντα τὸν Μώυσον ὑπὸ
16 τοῦ Χανεθώθου ἀναιρεθήσεσθαι. πορευομένων δὲ αὐτῶν τὴν ἐπιβουλὴν τῷ Μωΰσῳ τῶν συνειδότων ἐξαγγεῖλαί τινα· τὸν δὲ φυλάσσοντα αὐτὸν τὴν μὲν Μέρριν θάψαι, τὸν δὲ ποταμὸν καὶ τὴν ἐν ἐκείνῳ πόλιν Μερόην προσαγορεῦσαι· τιμᾶσθαι δὲ τὴν Μέρριν ταύτην ὑπὸ τῶν ἐγ-
17 χωρίων οὐκ ἐλαχίστως ἢ τὴν Ἶσιν. Ἀαρῶνα δὲ τὸν τοῦ Μωΰσου ἀδελφὸν τὰ περὶ τὴν ἐπιβουλὴν ἐπιγνόντα συμβουλεῦσαι τῷ ἀδελφῷ φυγεῖν εἰς τὴν Ἀραβίαν· τὸν δὲ πεισθέντα, ἀπὸ Μέμφεως τὸν Νεῖλον
18 διαπλεύσαντα ἀπαλλάσσεσθαι εἰς τὴν Ἀραβίαν. τὸν δὲ Χανεθώθην πυθόμενον τοῦ Μωΰσου τὴν φυγὴν ἐνεδρεύειν ὡς ἀναιρήσοντα· ἰδόντα δὲ ἐρχόμενον σπάσασθαι τὴν μάχαιραν ἐπ' αὐτόν, τὸν δὲ Μώυσον προκατατα χήσαντα τήν τε χεῖρα κατασχεῖν αὐτοῦ καὶ σπασάμενον τὸ
19 ξίφος φονεῦσαι τὸν Χανεθώθην· διεκδρᾶναι δὲ εἰς τὴν Ἀραβίαν καὶ Ῥαγουήλῳ τῷ τῶν τόπων ἄρχοντι συμβιοῦν, λαβόντα τὴν ἐκείνου θυγατέρα· τὸν δὲ Ῥαγουῆλον βούλεσθαι στρατεύειν ἐπὶ τοὺς Αἰγυπτίους, κατάγειν βουλόμενον τὸν Μώυσον καὶ τὴν δυναστείαν τῇ τε θυγατρὶ καὶ τῷ γαμβρῷ κατασκευάσαι· τὸν δὲ Μώυσον ἀποκωλῦσαι, στοχαζόμενον τῶν ὁμοφύλων· τὸν δὲ Ῥαγουῆλον διακωλύοντα στρα-
20 τεύειν τοῖς Ἄραψι προστάξαι λῃστεύειν τὴν Αἴγυπτον. ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ τὸν Χενεφρῆν πρῶτον ἁπάντων ἀνθρώπων ἐλεφαντιάσαντα μεταλλάξαι· τούτῳ δὲ τῷ πάθει περιπεσεῖν διὰ τὸ τοὺς Ἰουδαίους προστάξαι σινδόνας ἀμφιέννυσθαι, ἐρεᾶν δὲ ἐσθῆτα μὴ ἀμπέ-

21 χεσθαι, ὅπως ὄντες ἐπίσημοι κολάζωνται ὑπ' αὐτοῦ. τὸν δὲ Μώυσον εὔχεσθαι τῷ θεῷ, ἤδη ποτὲ τοὺς λαοὺς παῦσαι τῶν κακοπαθειῶν. ἱλασκομένου δ' αὐτοῦ αἰφνιδίως φησὶν ἐκ τῆς γῆς πῦρ ἀναφθῆναι καὶ τοῦτο κάεσθαι, μήτε ὕλης μήτε ἄλλης τινὸς ξυλείας οὔσης ἐν τῷ τόπῳ. τὸν δὲ Μώυσον δείσαντα τὸ γεγονὸς φεύγειν· φωνὴν δ' αὐτῷ θείαν εἰπεῖν στρατεύειν ἐπ' Αἴγυπτον καὶ τοὺς Ἰουδαίους διασώσαντα
22 εἰς τὴν ἀρχαίαν ἀγαγεῖν πατρίδα. τὸν δὲ θαρρήσαντα δύναμιν πολεμίαν ἐπάγειν διαγνῶναι τοῖς Αἰγυπτίοις· πρῶτον δὲ πρὸς Ἀαρῶνα τὸν ἀδελφὸν ἐλθεῖν. τὸν δὲ βασιλέα τῶν Αἰγυπτίων πυθόμενον τὴν τοῦ Μωΰσου παρουσίαν καλέσαι πρὸς αὐτὸν καὶ πυνθάνεσθαι ἐφ' ὅ τι ἥκοι· τὸν δὲ φάναι, διότι προστάσσειν αὐτῷ τὸν τῆς οἰκουμένης δε-
23 σπότην ἀπολῦσαι τοὺς Ἰουδαίους. τὸν δὲ πυθόμενον εἰς φυλακὴν αὐτὸν καθεῖσθαι· νυκτὸς δὲ ἐπιγενομένης τάς τε θύρας πάσας αὐτομάτως ἀνοιχθῆναι τοῦ δεσμωτηρίου καὶ τῶν φυλάκων οὓς μὲν τελευτῆ-
24 σαι, τινὰς δὲ ὑπὸ τοῦ ὕπνου παρεθῆναι τά τε ὅπλα κατεαγῆναι. ἐξελθόντα δὲ τὸν Μώυσον ἐπὶ τὰ βασίλεια ἐλθεῖν· εὑρόντα δὲ ἀνεῳγμένας τὰς θύρας εἰσελθεῖν καὶ ἐνθάδε τῶν φυλάκων παρειμένων τὸν βασιλέα ἐξεγεῖραι. τὸν δὲ ἐκπλαγέντα ἐπὶ τῷ γεγονότι κελεῦσαι τῷ Μωΰσῳ τὸ
25 τοῦ πέμψαντος αὐτὸν θεοῦ εἰπεῖν ὄνομα, διαχλευάσαντα αὐτόν· τὸν δὲ προσκύψαντα πρὸς τὸ οὖς εἰπεῖν, ἀκούσαντα δὲ τὸν βασιλέα πεσεῖν ἄφωνον, διακρατηθέντα δὲ ὑπὸ τοῦ Μωΰσου πάλιν ἀναβιῶσαι· γράψα-
26 ντα δὲ τοὔνομα εἰς δέλτον κατασφραγίσασθαι τῶν τε ἱερέων τὸν φαυλίσαντα ἐν τῇ πινακίδι τὰ γεγραμμένα μετὰ σπασμοῦ τὸν βίον ἐκλι-
27 μπάνειν· εἰπεῖν τε τὸν βασιλέα σημεῖόν τι αὐτῷ ποιῆσαι· τὸν δὲ Μώυσον ἣν εἶχε ῥάβδον ἐκβαλόντα ὄφιν ποιῆσαι· πτοηθέντων δὲ πάντων ἐπιλαβόμενον τῆς οὐρᾶς ἀνελέσθαι καὶ πάλιν ῥάβδον ποιῆσαι· προελ-
28 θόντα δὲ μικρὸν τὸν Νεῖλον τῇ ῥάβδῳ πατάξαι, τὸν δὲ ποταμὸν πολύχουν γενόμενον κατακλύζειν ὅλην τὴν Αἴγυπτον· ἀπὸ τότε δὲ καὶ τὴν κατάβασιν αὐτοῦ γίνεσθαι· συναγαγὸν δὲ τὸ ὕδωρ ἐποζέσαι καὶ τὰ ποτάμια διαφθεῖραι ζῷα τούς τε λαοὺς διὰ τὴν δίψαν φθείρεσθαι. τὸν
29 δὲ βασιλέα τούτων γενομένων τῶν τεράτων φάναι μετὰ μῆνα τοὺς λαοὺς ἀπολύσειν, ἐὰν ἀποκαταστήσῃ τὸν ποταμόν· τὸν δὲ Μώυσον πά-
30 λιν τῇ ῥάβδῳ πατάξαντα τὸ ὕδωρ συστεῖλαι τὸ ῥεῦμα. τούτου δὲ γενομένου τὸν βασιλέα τοὺς ἱερεῖς τοὺς ὑπὲρ Μέμφιν καλέσαι καὶ φάναι αὐτοὺς ἀναιρήσειν καὶ τὰ ἱερὰ κατασκάψειν, ἐὰν μὴ καὶ αὐτοὶ τερατουργήσωσί τι. τοὺς δὲ τότε διά τινων μαγγάνων καὶ ἐπαοιδῶν δρά-
31 κοντα ποιῆσαι καὶ τὸν ποταμὸν μεταχρῶσαι. τὸν δὲ βασιλέα φρονηματισθέντα ἐπὶ τῷ γεγονότι, πάσῃ τιμωρίᾳ καὶ κολάσει καταικίζειν τοὺς Ἰουδαίους. τὸν δὲ Μώυσον ταῦτα ὁρῶντα ἄλλα τε σημεῖα ποιῆσαι καὶ πατάξαντα τὴν γῆν τῇ ῥάβδῳ ζῷόν τι πτηνὸν ἀνεῖναι λυμαίνεσθαι τοὺς Αἰγυπτίους, πάντας τε ἐξελκωθῆναι τὰ σώματα. τῶν δὲ ἰατρῶν μὴ δυναμένων ἰᾶσθαι τοὺς κάμνοντας, οὕτω πάλιν ἀνέσεως τυχεῖν
32 τοὺς Ἰουδαίους. πάλιν τε τὸν Μώυσον βάτραχον διὰ τῆς ῥάβδου ἀνεῖναι, πρὸς δὲ τούτοις ἀκρίδας καὶ σκνίφας. διὰ τοῦτο δὲ καὶ τοὺς Αἰγυπτίους τὴν ῥάβδον ἀνατιθέναι εἰς πᾶν ἱερόν, ὁμοίως δὲ καὶ τῇ Ἴσιδι,

διὰ τὸ τὴν γῆν εἶναι Ἶσιν, παιομένην δὲ τῇ ῥάβδῳ τὰ τέρατα ἀνεῖναι.
33 τοῦ δὲ βασιλέως ἔτι ἀφρονουμένου τὸν Μώυσον χάλαζάν τε καὶ σεισμοὺς διὰ νυκτὸς ἀποτελέσαι, ὥστε τοὺς τὸν σεισμὸν φεύγοντας ἀπὸ τῆς χαλάζης ἀναιρεῖσθαι τούς τε τὴν χάλαζαν ἐκκλίνοντας ὑπὸ τῶν σεισμῶν διαφθείρεσθαι. συμπεσεῖν δὲ τότε τὰς μὲν οἰκίας πάσας τῶν
34 τε ναῶν τοὺς πλείστους. τελευταῖον τοιαύταις συμφοραῖς περιπεσόντα τὸν βασιλέα τοὺς Ἰουδαίους ἀπολῦσαι· τοὺς δὲ χρησαμένους παρὰ τῶν Αἰγυπτίων πολλὰ μὲν ἐκπώματα, οὐκ ὀλίγον δὲ ἱματισμὸν ἄλλην τε παμπληθῆ γάζαν, διαβάντας τοὺς κατὰ τὴν Ἀραβίαν ποταμοὺς καὶ διαβάντας ἱκανὸν τόπον ἐπὶ τὴν Ἐρυθρὰν τριταίους ἐλθεῖν Θάλασ-
35 σαν. Μεμφίτας μὲν οὖν λέγειν ἔμπειρον ὄντα τὸν Μώυσον τῆς χώρας τὴν ἄμπωτιν τηρήσαντα διὰ ξηρᾶς τῆς θαλάσσης τὸ πλῆθος περαιῶσαι. Ἡλιουπολίτας δὲ λέγειν ἐπικαταδραμεῖν τὸν βασιλέα μετὰ πολλῆς δυνάμεως, <ἅμα> καὶ τοῖς καθιερωμένοις ζῴοις, διὰ τὸ τὴν ὕπαρξιν
36 τοὺς Ἰουδαίους τῶν Αἰγυπτίων χρησαμένους διακομίζειν. τῷ δὲ Μωϋσῷ φωνὴν θείαν γενέσθαι πατάξαι τὴν θάλασσαν τῇ ῥάβδῳ καὶ διαστῆσαι. τὸν δὲ Μώυσον ἀκούσαντα ἐπιθιγεῖν τῇ ῥάβδῳ τοῦ ὕδατος, καὶ οὕτω τὸ μὲν νᾶμα διαστῆναι, τὴν δὲ δύναμιν διὰ ξηρᾶς ὁδοῦ πορεύεσθαι. συνεμβάντων δὲ τῶν Αἰγυπτίων καὶ διωκόντων φησὶ πῦρ
37 αὐτοῖς ἐκ τῶν ἔμπροσθεν ἐκλάμψαι, τὴν δὲ θάλασσαν πάλιν τὴν ὁδὸν ἐπικλύσαι· τοὺς δὲ Αἰγυπτίους ὑπό τε τοῦ πυρὸς καὶ τῆς πλημμυρίδος πάντας διαφθαρῆναι· τοὺς δὲ Ἰουδαίους διαφυγόντας τὸν κίνδυνον τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ διατρῖψαι, βρέχοντος αὐτοῖς τοῦ θεοῦ κρίμνον ὅμοιον ἐλύμῳ, χιόνι παραπλήσιον τὴν χρόαν. γεγονέναι δέ φησι τὸν Μώυσον μακρόν, πυρράκη, πολιόν, κομήτην, ἀξιωματικόν. ταῦτα δὲ πρᾶξαι περὶ ἔτη ὄντα ὀγδοήκοντα ἐννέα.

Ἀλέξανδρος Πολυΐστωρ, στὸν Εὐσέβιο, Εὐ. πρ. 9,27,1-37

14. Ψ-ΝΟΥΜΑΣ ΡΩΜΑΙΟΣ

3 Νουμᾶς δὲ ὁ Ῥωμαίων βασιλεὺς πυθαγόρειος μὲν ἦν, ἐκ δὲ τῶν Μωσέως ὠφεληθεὶς διεκώλυσεν ἀνθρωποειδῆ καὶ ζῳόμορφον εἰκόνα θεοῦ Ῥωμαίους κτίζειν. ἐν γοῦν ἑκατὸν καὶ ἑβδομήκοντα τοῖς πρώτοις ἔτεσι ναοὺς οἰκοδομούμενοι ἄγαλμα οὐδὲν οὔτε πλαστὸν οὔτε
4 μὴν γραπτὸν ἐποιήσαντο. ἐπεδείκνυτο γὰρ αὐτοῖς ὁ Νουμᾶς δι' ἐπικρύψεως ὡς οὐκ ἐφάψασθαι τοῦ βελτίστου δυνατὸν γλώσσῃ, μόνῳ δὲ τῷ νῷ.

Κλήμης Ἀλ., Στρ. 1,15, 71. Εὐσέβιος, Εὐ. πρ. 9,6,3-4

15. Ψ-ΣΙΒΥΛΛΑ

15 1 Περὶ δὲ τοῦ πύργου τούτου καὶ τῆς ἀλλοφωνίας τῶν ἀνθρώπων μέμνηται καὶ Σίβυλλα, λέγουσα οὕτω·

Πάντων ὁμοφώνων ὄντων τῶν ἀνθρώπων πύργον ᾠκοδόμησάν τινες ὑψηλότατον, ὡς ἐπὶ τὸν οὐρανὸν ἀναβησόμενοι δι' αὐτοῦ. οἱ δὲ θεοὶ ἀνέμους ἐπιπέμψαντες ἀνέτρεψαν τὸν πύργον, καὶ ἰδίαν ἑκάστῳ φωνὴν ἔδωκαν, καὶ διὰ τοῦτο Βαβυλῶνα συνέβη κληθῆναι τὴν πόλιν.

Εὐσέβιος, Εὐ. πρ. 9,15,1

16. Ψ-ΝΟΥΜΗΝΙΟΣ ΠΥΘΑΓΟΡΙΚΟΣ

1

Νουμήνιος δὲ ὁ πυθαγορικὸς φιλόσοφος ἄντικρυς γράφει· Τί γάρ ἐστι Πλάτων ἢ Μωσῆς ἀττικίζων;

Κλήμης Ἀλ., Στρ. 1,22, 150. Εὐσέβιος, Εὐ. πρ. 9,6,9

2

Τὰ δ' ἑξῆς Ἰαννῆς καὶ Ἰαμβρῆς Αἰγύπτιοι ἱερογραμματεῖς, ἄνδρες οὐδενὸς ἥττους μαγεῦσαι κριθέντες εἶναι, ἐπὶ Ἰουδαίων ἐξελαυνομένων ἐξ Αἰγύπτου. Μουσαίῳ γοῦν τῷ Ἰουδαίων ἐξηγησαμένῳ, ἀνδρὶ γενομένῳ θεῷ εὔξασθαι δυνατωτάτῳ, οἱ παραστῆναι ἀξιωθέντες ὑπὸ τοῦ πλήθους τοῦ τῶν Αἰγυπτίων οὗτοι ἦσαν τῶν τε συμφορῶν, ἃς ὁ Μουσαῖος ἐπῆγε τῇ Αἰγύπτῳ, τὰς νεανικωτάτας αὐτῶν ἐπιλύεσθαι ὤφθησαν δυνατοί.

Διὰ δὴ τούτων ὁ Νουμήνιος καὶ τοῖς ὑπὸ Μωσέως ἐπιτελεσθεῖσι παραδόξοις θαύμασι καὶ αὐτῷ δὲ ὡς θεοφιλεῖ γενομένῳ μαρτυρεῖ.

Εὐσέβιος, Εὐ. πρ. 9,8,1-3

ΙΙ. ΠΑΠΥΡΟΙ
(ΔΕΙΓΜΑΤΑ)

Πάπυρος Ι
(259 π.Χ.)

Ὠνὴ παιδίσκη < ς >

α΄

< Βασιλεύοντος Πτολεμαίου τοῦ Πτολε > μαίου καὶ τοῦ υἱοῦ Πτολεμαίου ἔτους ἑβδόμου καὶ εἰκοστοῦ, < ἐφ' ἱερέως Ἀλεξάνδρου καὶ θεῶν Ἀδελφῶν >, κανηφόρου Ἀρσινόης Φιλαδέλφου, τῶν ὄντων ἐν Ἀλεξανδρείᾳ, < μηνὸς Ξανδικοῦ, ἐν Βίρτᾳ τῆς Ἀμ > μανίτιδος, ἀπέδοτο Νικάνωρ Ξενοκλέους Κνίδιος < τῶν ..... Ζ > ήνωνι Ἀγρεοφῶντος Καυνίῳ τῶν περὶ Ἀπολλώνιον < τὸν διοικητὴν παιδίσκην > Σιδώνιον, ᾗ ὄνομα Σφραγίς, ὡς ἐτῶν ἑπτά, δραχμῶν πεντήκοντα.

< Βεβαιωτής·
.....ος Ἀνανίου, Πέρσης > τῶν Τουβίου < ἱππέων > κληροῦχος.

Μάρτυρες·
< ..... > τῶν Τουβίου ἱππέων κληροῦχος.
Πολέμων Στράτωνος < Μακεδών, τῶν Τουβίου ἱππέων κληρ > οῦχος.
Τιμόπολις Βοτέω Μιλήσιος.
Ἡράκλειτος Φιλίππου Ἀθηναῖος.
< Ζήνων Τιμάρχου Κολοφώνιος.
Δημόστρ > ατος Διονυσίου Ἀσπένδιος,
οἱ τέσσαρες < τῶν περὶ Ἀπολλώνιον τὸν διοικητ > ήν.

β΄

< Βασιλεύοντος Πτολε > μαίου τοῦ Πτολεμαίου καὶ τοῦ υἱοῦ Πτολεμαίου ἔτους ἑβδόμου < καὶ εἰκοστοῦ, ἐφ' ἱερέως Ἀλ > εξάνδρου καὶ θεῶν Ἀδελφῶν, κανηφόρου Ἀρσινόης Φιλαδέλφου, < τῶν ὄντων ἐν Ἀλε > ξανδρείᾳ, μηνὸς Ξανδικοῦ, ἐν Βίρτᾳ τῆς Ἀμμανίτιδος, < ἀπέδοτο Νικάνωρ Ξ > ενοκλέους Κνίδιος τῶν Τουβίου ἱππέων κληροῦχος περὶ Τουβίαν < Ζήνωνι Ἀγρεοφῶντ > ος Καυνίῳ τῶν περὶ τὸν Ἀπολλώνιον τὸν διοικη-

τὴν <παιδίσκην Σιδώ>νιον ᾗ ὄνομα Σφραγίς, ὡ<ς ἐτ>ῶν ἑπτά, δραχμῶν πεντήκοντα.

Βεβαιωτής·
.....ος Ἀνανίου Πέρσης <τῶ>ν Τουβίου ἱππέων κληροῦχος.

<Μάρτυρες>
.....ος Ἀγάθωνος <περὶ Ἀγάθ>ωνα δικαστής, <Πέρσης>.
Πολέμων Στράτωνος Μακεδών.
<οἱ δύο τῶν Τουβίου ἱ>ππέων κληροῦχοι.
Τιμ<όπολις Βοτέω Μιλήσιος.>
<Ἡράκλειτος Φιλίππου Ἀθηναῖος.>
Ζήνων Τιμάρχου <Κο>λοφώνιος.
Δημόστρατος <Διονυσίου Ἀσπένδιος.
οἱ> τέσσαρες τῶν περὶ Ἀπολλώνιον τὸν διοικητήν.

Πάπυρος 2[a]
(259 π.Χ.)

ἀλεύρ[ων

ἐν Στράτων<ο>ς Πύ(ργῳ)	ἀρ(τάβας)	ε
Ἱεροσολύμ<οις>		f
ἐν Ἐριχο<ῖ>		ε
ἐν Ἀβέλλοις		γ
Σουραβιτ...οις	ἀρ(τάβας)	θ
Λακάσοις		ιδ
Νόηι		ι
Εἰτουι		ζ
Βαιτιανάτοις		ιδ
Κυδίσῳ		β
ἐν Πτολεμαΐδι		δ

Πάπυρος 2[b]
(259 π.Χ.)

<Φ>ίλων σιτοποιός
<Λα>μέδων

<Ἱεροσολ>ύμοις ἀλεύρ(ων)	ἀρ(τάβας)	β
<πα>ρὰ Τουβίου	ἀρ(τάβην)	α
<.....>ωτι	ἀρ(τάβην)	α (ἥμισυ) (τέταρτον)

Πάπυρος 152
(41 μ.Χ.)

Σαραπίων Ἡρακλείδῃ τῷ ἡμετέρῳ χα(ίρειν).

Ἔπεμψά σοι ἄλλας δύο ἐπιστολάς, διὰ Νηδύμου μίαν, διὰ Κρονίου μαχαιροφόρου μίαν. λοιπὸν οὖν ἔλαβον παρὰ το(ῦ) Ἄραβος τὴν ἐπιστολὴν καὶ ἀνέγνων καὶ ἐλυπήθην. ἀκολούθει δὲ Πτολλαρίωνι πᾶσαν ὥραν· τάχα δύναταί σε εὔλυτον ποῖσαι. λέγε αὐτῷ· «Ἄλλο ἐγώ, ἄλλο πάντες· ἐγὼ παιδάριν εἰμί· παρὰ τάλαντόν σοι πέπρακα τὰ φο<ρτ>ία μου· οὐκ οἶδα τί μ<ε ὁ> πάτρων ποίσει· πολλοὺς δανιστὰς ἔχομεν· μὴ ἵνα ἀναστατώσῃς ἡμᾶς».

Ἐρώτα αὐτὸν καθ' ἡμέραν· τάχα δύναταί σε ἐλεῆσαι. ἐὰν μή, ὡς ἂν πάντες καὶ σὺ βλέπε σατὸν ἀπὸ τῶν Ἰουδαίων. μᾶλλον ἀκολουθῶν αὐτῷ δύνῃ φιλιάσαι αὐτῷ. ἴδε εἰ δύναται διὰ Διοδώρου ὑπογραφῆναι ἡ τάβλα διὰ τῆς γυναικὸς τοῦ ἡγεμόνος. ἐὰν τὰ παρ(ὰ) σατοῦ ποίσῃς, οὐκ εἶ μεμπτός.

Ἀσπάζου Διόδωρον μεγάλω(ς). ἔρρω (σο). ἀσπάζου Ἁρποχράτιον.

(Ἔτους) α Τιβερίου Κλαυδίου Καίσαρο(ς) Σεβα(στοῦ) Γερμανικοῦ αὐτοκρά(τορος) μηνὸ(ς) Καισαρείου ῑα.

Διεύθυνσι

<Ἀπόδος εἰς> Ἀλεξά(νδρειαν) εἰς Σεβα(στὴν) Ἀγορὰ(ν) εἰς τ<ὴν> .....θήκην ὥστε Ἡρακλ(είδῃ) πα(ρὰ) Σαραπίω(νος) .....ωνος το(ῦ) Σωσιπάτρου.

12. ΕΠΙΓΡΑΦΑΙ
(ΔΕΙΓΜΑΤΑ)

1

Ἐπικαλοῦμαι καὶ ἀξιῶ τὸν θεὸν τὸν
ὕψιστον, τὸν Κύριον τῶν πνευμάτων
καὶ πάσης σαρκός, ἐπὶ τοὺς δόλωι φονεύ-
σαντας ἢ φαρμακεύσαντας τὴν τα-
5 λαίπωρον ἄωρον Ἡράκλεαν ἐχχέαν-
τας αὐτῆς τὸ ἀναίτιον αἷμα ἀδί-
κως, ἵνα οὕτως γένηται τοῖς φονεύ-
σασιν αὐτὴν ἢ φαρμακεύσασιν καὶ
τοῖς τέκνοις αὐτῶν· Κύριε ὁ πάντα ἐ-
10 φορῶν καὶ οἱ ἄνγελοι θεοῦ, ὧι πᾶσα ψυ-
χὴ ἐν τῇ σήμερον ἡμέραι ταπεινοῦται
μεθ' ἱκετείας, ἵνα ἐγδικήσης τὸ αἷμα τὸ ἀ-
ναίτιον ζητήσεις καὶ τὴν ταχίστην.

Μαγικὴ Ἰουδαϊκὴ Ἐπιγραφὴ Ῥηνείας Α

2

[Ἐπικ]αλο[ῦμαι καὶ ἀξιῶ τὸν θεὸν τὸν ὕ-]
[ψι]στο[ν, τὸν Κύριον] τῶ[ν πνευμάτων]
[κ]αὶ π[ά]σ[ης σαρκό]ς, ἐπὶ τοὺς [δόλωι]
φο[νεύσαντας] ἢ φαρμακεύσαν-
5 τα[ς τὴν ταλαί]πωρον ἄωρον Μαρ-
[θ]ίν[ην ἐχχέαν]τας αὐτῆς τὸ ἀναίτι-
ον αἷμ[α ἀδίκω]ς, ἵνα οὕτως γένηται
τοῖς φον[εύσα]σιν αὐτὴν ἢ φαρμακεύ-
σασιν καὶ [τοῖς τ]έκνοις αὐτῶν· Κύριε
10 ὁ πάντα ἐ[φ]ορῶν καὶ οἱ ἄνγελοι θεοῦ, ὧι
πᾶσα ψυχὴ ἐν τῇ σήμερον ἡμέραι τα-
πεινοῦται μεθ' ἱκετείας, ἵνα ἐγδικήση[ς]
τὸ αἷμα τὸ ἀναίτιον καὶ τὴν ταχίστη[ν].

Μαγικὴ Ἰουδαϊκὴ Ἐπιγραφὴ Ῥηνείας Β

ΛΕΥΚΗ

Β

ΛΑΪΚΗ ΒΙΒΛΟΣ

ΤΗΣ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Β

ΛΑΪΚΗ ΒΙΒΛΟΣ
ΤΗΣ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

α΄. Βιβλία «Ἱστορικά»
1. Κτίσις ἢ Λεπτὴ Γένεσις (ἀποσπάσματα)
2. Μωϋσῆς (ἀποσπάσματα)
3. Δαυΐδ (ἀποσπάσματα)
4. Σολομών (ἀποσπάσματα)
5. Βασιλεῖς (ἀποσπάσματα)
6. Τρεῖς σωματοφύλακες
7-8. Βὴλ καὶ Δράκων
9. Σωσάννα
10. Ἀχιάχαρος (ἀποσπάσματα)
11. Μανασσῆς (ἀποσπάσματα)
12. Τωβίτ
13. Ἰουδίθ
14. Ἐσθήρ

β΄. Βιβλία «Ποιητικά»
15. Ψαλμοὶ Σολομῶντος
16. Προσευχητάριον τοῦ Ἰουδαίου
α΄. Προσευχή
β΄. Ὕμνος
γ΄. Προσευχὴ εἰς ἀγαλλίασιν
δ΄. Προσευχὴ μετανοίας
ε΄. Ὠδὴ νικητήριος

γ΄. Βιβλία «Προφητικά»
17. «Ἐπιστολὴ Ἰερεμίου»
18. Ἀποκάλυψις Ἰεζεκιήλ (Υἱοὶ Σαδδούκ)
19. Σιβυλλικοὶ χρησμοί (ἀποσπάσματα)
20. Ἀποκάλυψις Ἔσδρα (ἀποσπάσματα)

Α΄. ΒΙΒΛΙΑ «ΙΣΤΟΡΙΚΑ»

Ι. ΚΤΙΣΙΣ ἢ ΛΕΠΤΗ ΓΕΝΕΣΙΣ

1 (Γε) ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παρά- 10 **2**
δεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς. ὄνομα τῷ ἑνὶ 11
Φισών· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλάτ· ἐκεῖ οὗ ἐστι τὸ
χρυσίον· τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν· καὶ ἐκεῖ ἐστιν 12
ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος. καὶ ὄνομα τῷ ποταμῷ τῷ 13
δευτέρῳ Γεών· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας. καὶ 14
ὁ ποταμὸς ὁ τρίτος Τίγρης· οὗτος ὁ προπορευόμενος κατέναντι Ἀσσυρίων. ὁ δὲ ποταμὸς ὁ τέταρτος Εὐφράτης.

.....

2 Καὶ εἶπε Κάιν πρὸς Κύριον τὸν θεόν· Μείζων ἡ αἰτία μου 13 **4**
τοῦ ἀφεθῆναί με· εἰ ἐκβάλλεις με σήμερον ἀπὸ προσώπου τῆς 14
γῆς καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, καὶ ἔσομαι στένων καὶ τρέμων ἐπὶ τῆς γῆς, καὶ ἔσται πᾶς ὁ εὑρίσκων με, ἀποκτενεῖ με. καὶ εἶπεν αὐτῷ Κύριος ὁ θεός· Οὐχ οὕτως· πᾶς ὁ 15
ἀποκτείνας Κάιν ἑπτὰ ἐκδικούμενα παραλύσει. καὶ ἔθετο Κύριος ὁ θεὸς σημεῖον τῷ Κάιν τοῦ μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα αὐτόν. ἐξῆλθε δὲ Κάιν ἀπὸ προσώπου τοῦ θεοῦ 16
καὶ ᾤκησεν ἐν γῇ Ναϊδ κατέναντι Ἐδέμ.

3 Καὶ ἔγνω Κάιν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε 17
τὸν Ἐνώχ. καὶ ἦν οἰκοδομῶν πόλιν καὶ ἐπωνόμασε τὴν πόλιν
ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἐνώχ. ἐγεννήθη δὲ τῷ Ἐνὼχ 18
Γαϊδάδ, καὶ Γαϊδὰδ ἐγέννησε τὸν Μαλελεήλ, καὶ Μαλελεὴλ ἐγέννησε τὸν Μαθουσάλα, καὶ Μαθουσάλα ἐγέννησε τὸν Λάμεχ.
καὶ ἔλαβεν ἑαυτῷ Λάμεχ δύο γυναῖκας, ὄνομα τῇ μιᾷ Ἀδά, καὶ 19
4 ὄνομα τῇ δευτέρᾳ Σελλά. καὶ ἔτεκεν Ἀδὰ τὸν Ἰωβήλ· οὗτος ἦν 20
πατὴρ οἰκούντων ἐν σκηναῖς κτηνοτρόφων. καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ Ἰουβάλ· οὗτος ἦν ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν. Σελλὰ δὲ καὶ αὐτὴ ἔτεκε τὸν Θόβελ, καὶ ἦν σφυροκόπος χαλκεὺς χαλκοῦ καὶ σιδήρου· ἀδελφὴ δὲ Θόβελ Νοεμά. εἶπε δὲ Λάμεχ ταῖς ἑαυτοῦ γυναιξίν· Ἀδὰ καὶ Σελλά, ἀκούσατέ μου τῆς φωνῆς, γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους, ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ καὶ νεανίσκον εἰς μώλωπα ἐμοί· ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάιν, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά.

.....

5 Καὶ ἐγένετο ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι **6**
ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς. ἰδόντες δὲ οἱ 2
υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰσιν, ἔ-
λαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο. καὶ εἶπε 3
Κύριος ὁ θεός· οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώ-
ποις τούτοις εἰς τὸν αἰῶνα διὰ τὸ εἶναι αὐτοὺς σάρκας, ἔσο-
νται δὲ αἱ ἡμέραι αὐτῶν ἑκατὸν εἴκοσιν ἔτη. οἱ δὲ γίγαντες ἦ- 4
σαν ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ μετ' ἐκεῖνο, ὡς
ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ θεοῦ πρὸς τὰς θυγατέρας τῶν
ἀνθρώπων, καὶ ἐγέννων ἑαυτοῖς· ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ
ἀπ' αἰῶνος οἱ ἄνθρωποι οἱ ὀνομαστοί.

.....

6 Καὶ ἀπὸ πάντων τῶν κτηνῶν καὶ ἀπὸ πάντων τῶν ἑρπε- 19
τῶν καὶ ἀπὸ πάντων τῶν θηρίων καὶ ἀπὸ πάσης σαρκός, δύο
δύο ἀπὸ πάντων εἰσάξεις εἰς τὴν κιβωτόν, ἵνα τρέφῃς μετὰ σε-
αυτοῦ· ἄρσεν καὶ θῆλυ ἔσονται. ἀπὸ πάντων τῶν ὀρνέων τῶν 20
πετεινῶν κατὰ γένος, καὶ ἀπὸ πάντων τῶν κτηνῶν κατὰ γένος
καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς κατὰ
γένος αὐτῶν. δύο δύο ἀπὸ πάντων εἰσελεύσονται πρὸς σὲ
τρέφεσθαι μετὰ σοῦ, ἄρσεν καὶ θῆλυ.

.....

7 Ἀπὸ δὲ τῶν κτηνῶν τῶν καθαρῶν εἰσάγαγε πρὸς σὲ ἑπτὰ 2 **7**
ἑπτά, ἄρσεν καὶ θῆλυ, ἀπὸ δὲ τῶν κτηνῶν τῶν μὴ καθαρῶν
δύο δύο, ἄρσεν καὶ θῆλυ, καὶ ἀπὸ τῶν πετεινῶν τοῦ οὐρανοῦ 3
τῶν καθαρῶν ἑπτὰ ἑπτά, ἄρσεν καὶ θῆλυ καὶ ἀπὸ πάντων τῶν
πετεινῶν τῶν μὴ καθαρῶν δύο δύο, ἄρσεν καὶ θῆλυ διαθρέψαι
σπέρμα ἐπὶ πᾶσαν τὴν γῆν.

.....

8 Καὶ ἀπὸ τῶν πετεινῶν τῶν καθαρῶν καὶ ἀπὸ τῶν πετει- 8
νῶν τῶν μὴ καθαρῶν καὶ ἀπὸ τῶν κτηνῶν τῶν καθαρῶν καὶ ἀ-
πὸ τῶν κτηνῶν τῶν μὴ καθαρῶν καὶ ἀπὸ πάντων τῶν ἑρπό-
ντων ἐπὶ τῆς γῆς δύο δύο εἰσῆλθον πρὸς Νῶε εἰς τὴν κιβω- 9
τόν, ἄρσεν καὶ θῆλυ, καθὰ ἐνετείλατο ὁ θεὸς τῷ Νῶε.

.....

9 Ἐν τῷ ἑξακοσιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ Νῶε, τοῦ δευτέ- 11
ρου μηνός, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός, τῇ ἡμέρᾳ ταύτῃ ἐρρά-
γησαν πᾶσαι αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταρράκται τοῦ
οὐρανοῦ ἠνεῴχθησαν.

.....

10 Ἐν τῇ ἡμέρᾳ ταύτῃ εἰσῆλθε Νῶε, Σήμ, Χάμ, Ἰάφεθ, οἱ υἱοὶ 13
Νῶε, καὶ ἡ γυνὴ Νῶε καὶ αἱ τρεῖς γυναῖκες τῶν υἱῶν αὐτοῦ
μετ' αὐτοῦ εἰς τὴν κιβωτόν. καὶ πάντα τὰ θηρία κατὰ γένος καὶ 14
πάντα τὰ κτήνη κατὰ γένος καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ
τῆς γῆς κατὰ γένος καὶ πᾶν ὄρνεον πετεινὸν κατὰ γένος αὐ-
τοῦ εἰσῆλθον πρὸς Νῶε εἰς τὴν κιβωτόν, δύο δύο ἄρσεν καὶ 15

θῆλυ ἀπὸ πάσης σαρκός, ἐν ᾧ ἐστι πνεῦμα ζωῆς. καὶ τὰ εἰ- 16
σπορευόμενα ἄρσεν καὶ θῆλυ ἀπὸ πάσης σαρκὸς εἰσῆλθε, κα-
θὰ ἐνετείλατο ὁ θεὸς τῷ Νῶε. καὶ ἔκλεισε Κύριος ὁ θεὸς τὴν
κιβωτὸν ἔξωθεν αὐτοῦ.

.....

11 Τὸ δὲ ὕδωρ ἐπεκράτει σφόδρα σφόδρα ἐπὶ τῆς γῆς καὶ ἐ- 19
κάλυψε πάντα τὰ ὄρη τὰ ὑψηλά, ἃ ἦν ὑποκάτω τοῦ οὐρανοῦ· 20
πεντεκαίδεκα πήχεις ὑπεράνω ὑψώθη τὸ ὕδωρ καὶ ἐπεκάλυψε
πάντα τὰ ὄρη τὰ ὑψηλά. καὶ ἀπέθανε πᾶσα σὰρξ κινουμένη ἐπὶ 21
τῆς γῆς τῶν πετεινῶν καὶ τῶν κτηνῶν καὶ τῶν θηρίων καὶ πᾶν
ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς καὶ πᾶς ἄνθρωπος. καὶ πάντα, 22
ὅσα ἔχει πνοὴν ζωῆς, καὶ πᾶν, ὃ ἦν ἐπὶ τῆς ξηρᾶς, ἀπέθανε.
καὶ ἐξήλειψε πᾶν τὸ ἀνάστημα, ὃ ἦν ἐπὶ προσώπου τῆς γῆς, ἀ- 23
πὸ ἀνθρώπου ἕως κτήνους καὶ ἑρπετῶν καὶ τῶν πετεινῶν τοῦ
οὐρανοῦ, καὶ ἐξηλείφθησαν ἀπὸ τῆς γῆς· καὶ κατελείφθη μόνος
Νῶε καὶ οἱ μετ' αὐτοῦ ἐν τῇ κιβωτῷ. καὶ ὑψώθη τὸ ὕδωρ ἐπὶ 24
τῆς γῆς ἡμέρας ἑκατὸν πεντήκοντα.

12 (Καὶ ἀνεμνήσθη ὁ Θεὸς τοῦ Νῶε) καὶ πάντων τῶν θηρίων 1 **8**
καὶ πάντων τῶν κτηνῶν καὶ πάντων τῶν πετεινῶν καὶ πάντων
τῶν ἑρπετῶν τῶν ἑρπόντων, ὅσα ἦν μετ' αὐτοῦ ἐν τῇ κιβωτῷ,
..... (καὶ ἠλαττονοῦτο τὸ ὕδωρ) μετὰ πεντήκο- 3
ντα καὶ ἑκατὸν ἡμέρας. (καὶ ἐκάθισεν ἡ κιβωτὸς) ἐν μηνὶ τῷ ἑ- 4
βδόμῳ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός, (ἐπὶ τὰ ὄρη τὰ Ἀραράτ).
τὸ δὲ ὕδωρ ἠλαττονοῦτο ἕως τοῦ δεκάτου μηνός· καὶ ἐν τῷ δε- 5
κάτῳ μηνί, τῇ πρώτῃ τοῦ μηνός, ὤφθησαν αἱ κεφαλαὶ τῶν ὀρέ-
13 ων. καὶ ἐγένετο μετὰ τεσσαράκοντα ἡμέρας ἠνέῳξε Νῶε τὴν 6
θυρίδα τῆς κιβωτοῦ, ἣν ἐποίησε, καὶ ἀπέστειλε τὸν κόρακα τοῦ
ἰδεῖν, εἰ κεκόπακε τὸ ὕδωρ· καὶ ἐξελθών, οὐκ ἀνέστρεψεν ἕως 7
14 τοῦ ξηρανθῆναι τὸ ὕδωρ ἀπὸ τῆς γῆς. καὶ ἀπέστειλε τὴν περι- 8
στερὰν ὀπίσω αὐτοῦ ἰδεῖν, εἰ κεκόπακε τὸ ὕδωρ ἀπὸ τῆς γῆς.
καὶ οὐχ εὑροῦσα ἡ περιστερὰ ἀνάπαυσιν τοῖς ποσὶν αὐτῆς, ἀνέ- 9
στρεψε πρὸς αὐτὸν εἰς τὴν κιβωτόν, ὅτι ὕδωρ ἦν ἐπὶ πᾶν τὸ
πρόσωπον τῆς γῆς. καὶ ἐκτείνας τὴν χεῖρα ἔλαβεν αὐτήν, καὶ
εἰσήγαγεν αὐτὴν πρὸς ἑαυτὸν εἰς τὴν κιβωτόν. καὶ ἐπισχὼν ἔτι 10
ἡμέρας ἑπτὰ ἑτέρας, πάλιν ἐξαπέστειλε τὴν περιστερὰν ἐκ τῆς
κιβωτοῦ· καὶ ἀνέστρεψε πρὸς αὐτὸν ἡ περιστερὰ τὸ πρὸς ἑσπέ- 11
ραν, καὶ εἶχε φύλλον ἐλαίας κάρφος ἐν τῷ στόματι αὐτῆς, καὶ ἔ-
γνω Νῶε ὅτι κεκόπακε τὸ ὕδωρ ἀπὸ τῆς γῆς. καὶ ἐπισχὼν ἔτι 12
ἡμέρας ἑπτὰ ἑτέρας, πάλιν ἐξαπέστειλε τὴν περιστεράν, καὶ οὐ
15 προσέθετο τοῦ ἐπιστρέψαι πρὸς αὐτὸν ἔτι. καὶ ἐγένετο ἐν τῷ ἑ- 13
νὶ καὶ ἑξακοσιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ Νῶε, τοῦ πρώτου μη-
νός, μιᾷ τοῦ μηνός, ἐξέλιπε τὸ ὕδωρ ἀπὸ τῆς γῆς· καὶ ἀπεκάλυ-
ψε Νῶε τὴν στέγην τῆς κιβωτοῦ, ἣν ἐποίησε, καὶ εἶδεν ὅτι ἐξέ-
λιπε τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς. ἐν δὲ τῷ δευτέρῳ μηνὶ 14
ἐξηράνθη ἡ γῆ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός.

16 (Ἔξελθε ἐκ τῆς κιβωτοῦ, σὺ) ..... καὶ πᾶ- 17
σα σὰρξ ἀπὸ πετεινῶν ἕως κτηνῶν, καὶ πᾶν ἑρπετὸν κινούμε-
νον ἐπὶ τῆς γῆς ἐξάγαγε μετὰ σεαυτοῦ· καὶ αὐξάνεσθε καὶ πλη-
θύνεσθε ἐπὶ τῆς γῆς. ..... καὶ πάντα τὰ θηρία, 19
..... καὶ πᾶν πετεινόν, καὶ πᾶν ἑρπετὸν κινού-
μενον ἐπὶ τῆς γῆς κατὰ γένος αὐτῶν, ... (ἐξῆλθον ἐκ
τῆς κιβωτοῦ). ..... τῶν καθαρῶν καὶ ἀπὸ πάντων τῶν 20
πετεινῶν τῶν καθαρῶν (καὶ ἀνήνεγκεν εἰς ὁλοκάρπωσιν ἐπὶ
τὸ θυσιαστήριον). .....

17 (καὶ εἶπε Κύριος ὁ θεὸς διανοηθείς· οὐ προσθήσω ἔτι κα- 21
ταράσασθαι τὴν γῆν διὰ τὰ ἔργα τῶν ἀνθρώπων), ὅτι ἔγκειται
ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος
αὐτοῦ· οὐ προσθήσω οὖν ἔτι πατάξαι πᾶσαν σάρκα ζῶσαν,
καθὼς ἐποίησα. πάσας τὰς ἡμέρας τῆς γῆς σπέρμα καὶ θερι- 22
σμός, ψῦχος καὶ καῦμα, θέρος καὶ ἔαρ, ἡμέραν καὶ νύκτα οὐ
καταπαύσουσι.

18 (Καὶ εἶπεν ὁ θεὸς τῷ Νῶε ..... λέγων· Καὶ ἰδοὺ ἐ- 8 9 **9**
γὼ ἀνίστημι τὴν διαθήκην μου ὑμῖν καὶ τῷ σπέρματι ὑμῶν
μεθ' ὑμᾶς) καὶ πάσῃ ψυχῇ ζώσῃ μεθ' ὑμῶν, ἀπὸ ὀρνέων καὶ ἀ- 10
πὸ κτηνῶν, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, ὅσα ἐστὶ μεθ' ὑμῶν
ἀπὸ πάντων τῶν ἐξελθόντων ἐκ τῆς κιβωτοῦ. .....
(καὶ οὐκ ἔτι ἔσται κατακλυσμὸς ὕδατος) τοῦ καταφθεῖραι πᾶ- 11
20 σαν τὴν γῆν. καὶ εἶπε Κύριος ὁ θεὸς πρὸς Νῶε· Τοῦτο τὸ ση- 12
μεῖον τῆς διαθήκης, ὃ ἐγὼ δίδωμι ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν
καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης, ἥ ἐστι μεθ' ὑμῶν εἰς γενε-
ὰς αἰωνίους· τὸ τόξον μου τίθημι ἐν τῇ νεφέλῃ, καὶ ἔσται εἰς 13
σημεῖον διαθήκης ἀνὰ μέσον ἐμοῦ καὶ τῆς γῆς, καὶ ἔσται ἐν τῷ 14
συννεφεῖν με νεφέλας ἐπὶ τὴν γῆν, ὀφθήσεται τὸ τόξον ἐν τῇ
νεφέλῃ, καὶ μνησθήσομαι τῆς διαθήκης μου, ἥ ἐστιν ἀνὰ μέσον 15
ἐμοῦ καὶ ὑμῶν, καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης ἐν πᾶσι
σαρκί, καὶ οὐκ ἔσται ἔτι τὸ ὕδωρ εἰς κατακλυσμόν, ὥστε ἐξα-
λεῖψαι πᾶσαν σάρκα. καὶ ἔσται τὸ τόξον μου ἐν τῇ νεφέλῃ, καὶ 16
ὄψομαι τοῦ μνησθῆναι διαθήκην αἰώνιον ἀνὰ μέσον ἐμοῦ καὶ
τῆς γῆς καὶ ἀνὰ μέσον ψυχῆς ζώσης ἐν πάσῃ σαρκί, ἥ ἐστιν ἐ-
πὶ τῆς γῆς. καὶ εἶπεν ὁ θεὸς τῷ Νῶε· Τοῦτο τὸ σημεῖον τῆς 17
διαθήκης, ἧς διεθέμην ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον πάσης
σαρκός, ἥ ἐστιν ἐπὶ τῆς γῆς.

21 (Ἦσαν δὲ οἱ υἱοὶ Νῶε, οἱ ἐξελθόντες ἐκ τῆς κιβωτοῦ, 18
Σήμ, Χάμ, Ἰάφεθ)· Χὰμ δὲ ἦν πατὴρ Χαναάν. .....

22 Καὶ ἤρξατο Νῶε ἄνθρωπος γεωργὸς γῆς καὶ ἐφύτευσεν 20
ἀμπελῶνα. καὶ ἔπιεν ἐκ τοῦ οἴνου καὶ ἐμεθύσθη καὶ ἐγυμνώθη 21
ἐν τῷ οἴκῳ αὐτοῦ. καὶ εἶδε Χὰμ ὁ πατὴρ Χαναὰν τὴν γύμνω- 22
σιν τοῦ πατρὸς αὐτοῦ καὶ ἐξελθὼν ἀνήγγειλε τοῖς δυσὶν ἀδελ-
φοῖς αὐτοῦ ἔξω. καὶ λαβόντες Σὴμ καὶ Ἰάφεθ τὸ ἱμάτιον ἐπέθε- 23
ντο ἐπὶ τὰ δύο νῶτα αὐτῶν καὶ ἐπορεύθησαν ὀπισθοφανῶς

καὶ συνεκάλυψαν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν, καὶ τὸ πρόσωπον αὐτῶν ὀπισθοφανῶς, καὶ τὴν γύμνωσιν τοῦ πατρὸς
23 αὐτῶν οὐκ εἶδον. ἐξένηψε δὲ Νῶε ἀπὸ τοῦ οἴνου καὶ ἔγνω ὅσα 24
ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος, καὶ εἶπεν· Ἐπικατάρα- 25
τος Χαναάν· παῖς οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ. καὶ εἶπεν· 26
Εὐλογητὸς Κύριος ὁ θεὸς τοῦ Σήμ, καὶ ἔσται Χαναὰν παῖς οἰκέ-
της αὐτοῦ. πλατύναι ὁ θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς 27
οἴκοις τοῦ Σὴμ καὶ γενηθήτω Χαναὰν παῖς αὐτοῦ.

.....

24 Αὗται δὲ αἱ γενέσεις τῶν υἱῶν Νῶε, Σήμ, Χάμ, Ἰάφεθ· καὶ **10**
ἐγεννήθησαν αὐτοῖς υἱοὶ μετὰ τὸν κατακλυσμόν.

25 Υἱοὶ Ἰάφεθ· Γαμὲρ καὶ Μαγὼγ καὶ Μαδοὶ καὶ Ἰωνὰν καὶ Ἐ- 2
λισὰ καὶ Θόβελ καὶ Μοσὸχ καὶ Θείρας. καὶ υἱοὶ Γαμέρ· Ἀσχα- 3
νὰζ καὶ Ῥιφὰθ καὶ Θοργαμά. καὶ υἱοὶ Ἰωνάν· Ἐλισὰ καὶ Θαρ- 4
σίς, Κίτιοι, Ῥόδιοι. ἐκ τούτων ἀφωρίσθησαν νῆσοι τῶν ἐθνῶν 5
ἐν τῇ γῇ αὐτῶν, ἕκαστος κατὰ γλῶσσαν ἐν ταῖς φυλαῖς αὐτῶν
καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν.

26 Υἱοὶ δὲ Χάμ· Χοὺς καὶ Μεσραΐν, Φοὺδ καὶ Χαναάν. υἱοὶ 6 7
δὲ Χούς· Σαβὰ καὶ Εὐιλὰ καὶ Σαβαθὰ καὶ Ῥεγμὰ καὶ Σαβαθακά.
υἱοὶ δὲ Ῥεγμά· Σαβὰ καὶ Δαδάν. Χοὺς δὲ ἐγέννησε τὸν Νε- 8
βρώδ. οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ τῆς γῆς· οὗτος ἦν γίγας 9
κυνηγὸς ἐναντίον Κυρίου τοῦ θεοῦ· διὰ τοῦτο ἐροῦσιν· Ὡς Νε-
βρὼδ γίγας κυνηγὸς ἐναντίον Κυρίου. καὶ ἐγένετο ἀρχὴ τῆς 10
βασιλείας αὐτοῦ Βαβυλὼν καὶ Ὀρὲχ καὶ Ἀρχὰδ καὶ Χαλάννη
ἐν τῇ γῇ Σεναάρ. ἐκ τῆς γῆς ἐκείνης ἐξῆλθεν Ἀσσοὺρ καὶ ᾠκο- 11
δόμησε τὴν Νινευΐ καὶ τὴν Ῥοωβὼθ πόλιν καὶ τὴν Χαλὰχ καὶ
τὴν Δασὴ ἀνὰ μέσον Νινευΐ καὶ ἀνὰ μέσον Χαλάχ· αὕτη ἡ πό- 12
27 λις μεγάλη. καὶ Μεσραΐν ἐγέννησε τοὺς Λουδὶιμ καὶ τοὺς Ἐνε- 13
μετιεὶμ καὶ τοὺς Λαβὶιμ καὶ τοὺς Νεφθαλὶιμ καὶ τοὺς Πατρο-
σωνὶιμ καὶ τοὺς Χασλωνιίμ, ὅθεν ἐξῆλθε Φιλιστιίμ, καὶ τοὺς 14
Καφθοριίμ. Χαναὰν δὲ ἐγέννησε τὸν Σιδῶνα πρωτότοκον αὐ- 15
τοῦ καὶ τὸν Χετταῖον καὶ τὸν Ἰεβουσαῖον καὶ τὸν Ἀμορραῖον 16
καὶ τὸν Γεργεσαῖον καὶ τὸν Εὐαῖον καὶ τὸν Ἀρουκαῖον καὶ τὸν
Ἀσενναῖον καὶ τὸν Ἀράδιον καὶ τὸν Σαμαραῖον καὶ τὸν Ἀμαθί. 17
καὶ μετὰ τοῦτο διεσπάρησαν αἱ φυλαὶ τῶν Χαναναίων, καὶ ἐγέ- 18 19
νετο τὰ ὅρια τῶν Χαναναίων ἀπὸ Σιδῶνος ἕως ἐλθεῖν εἰς Γέ-
ραρα καὶ Γάζαν, ἕως ἐλθεῖν ἕως Σοδόμων καὶ Γομόρρας, Ἀδα-
μὰ καὶ Σεβωὶμ ἕως Ἀδασά. οὗτοι υἱοὶ Χάμ, ἐν ταῖς φυλαῖς αὐ- 20
τῶν, κατὰ γλώσσας αὐτῶν, ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν τοῖς
ἔθνεσιν αὐτῶν.

28 Καὶ τῷ Σὴμ ἐγεννήθη καὶ αὐτῷ, πατρὶ πάντων τῶν υἱῶν 21
Ἔβερ, ἀδελφῷ Ἰάφεθ τοῦ μείζονος. υἱοὶ Σήμ· Ἐλὰμ καὶ Ἀσ- 22
σοὺρ καὶ Ἀρφαξὰδ καὶ Λοὺδ καὶ Ἀρὰμ καὶ Καϊνάν. καὶ υἱοὶ Ἀ- 23
ράμ· Οὔζ καὶ Οὔλ καὶ Γατὲρ καὶ Μοσόχ. καὶ Ἀρφαξὰδ ἐγέννη- 24
σε τὸν Καϊνάν, καὶ Καϊνὰν ἐγέννησε τὸν Σαλά, Σαλὰ δὲ ἐγέννη-

σε τὸν Ἔβερ. καὶ τῷ Ἔβερ ἐγεννήθησαν δύο υἱοί· ὄνομα τῷ ἑ- 25
νὶ Φαλέγ, ὅτι ἐν ταῖς ἡμέραις αὐτοῦ διεμερίσθη ἡ γῆ, καὶ ὄνο-
μα τῷ ἀδελφῷ αὐτοῦ Ἰεκτάν. Ἰεκτὰν δὲ ἐγέννησε τὸν Ἐλμω- 26
δὰδ καὶ Σαλὲθ καὶ Σαρμὼθ καὶ Ἰαρὰχ καὶ Ὁδορρὰ καὶ Ἀιβὴλ
καὶ Δεκλὰ καὶ Εὐὰλ καὶ Ἀβιμαὲλ καὶ Σαβὰ καὶ Οὐφεὶρ καὶ Εὐι- 27 28
λὰ καὶ Ἰωβάβ. πάντες οὗτοι υἱοὶ Ἰεκτάν. καὶ ἐγένετο ἡ κατοί- 29 30
κησις αὐτῶν ἀπὸ Μασσῆ ἕως ἐλθεῖν εἰς Σαφηρά, ὄρος ἀνατο-
λῶν. οὗτοι υἱοὶ Σήμ, ἐν ταῖς φυλαῖς αὐτῶν, κατὰ γλώσσας αὐ- 31
τῶν, ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν.

29 Αὗται αἱ φυλαὶ υἱῶν Νῶε κατὰ γενέσεις αὐτῶν, κατὰ ἔθνη 32
αὐτῶν· ἀπὸ τούτων διεσπάρησαν νῆσοι τῶν ἐθνῶν ἐπὶ τῆς
γῆς μετὰ τὸν κατακλυσμόν.

30 Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, καὶ φωνὴ μία πᾶσι. καὶ ἐγένε- 1 2 **11**
το ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν, εὗρον πεδίον ἐν γῇ
Σενναὰρ καὶ κατῴκησαν ἐκεῖ. καὶ εἶπεν ἄνθρωπος τῷ πλησίον 3
αὐτοῦ· Δεῦτε πλινθεύσωμεν πλίνθους καὶ ὀπτήσωμεν αὐτὰς
πυρί. καὶ ἐγένετο αὐτοῖς ἡ πλίνθος εἰς λίθον, καὶ ἄσφαλτος ἦν
αὐτοῖς ὁ πηλός. καὶ εἶπαν· Δεῦτε οἰκοδομήσωμεν ἑαυτοῖς πό- 4
λιν καὶ πύργον, οὗ ἔσται ἡ κεφαλὴ ἕως τοῦ οὐρανοῦ, καὶ ποιή-
σωμεν ἑαυτοῖς ὄνομα πρὸ τοῦ διασπαρῆναι ἡμᾶς ἐπὶ προσώ-
που πάσης τῆς γῆς. καὶ κατέβη Κύριος ἰδεῖν τὴν πόλιν καὶ τὸν 5
31 πύργον, ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων. καὶ εἶπε Κύ- 6
ριος· Ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων καὶ τοῦτο ἤρξαντο
ποιῆσαι, καὶ νῦν οὐκ ἐκλείψει ἀπ' αὐτῶν πάντα, ὅσα ἂν ἐπιθῶ-
νται ποιεῖν. δεῦτε καὶ καταβάντες συγχέωμεν αὐτῶν ἐκεῖ τὴν 7
γλῶσσαν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τὴν φωνὴν τοῦ πλησίον.
καὶ διέσπειρεν αὐτοὺς Κύριος ἐκεῖθεν ἐπὶ πρόσωπον πάσης 8
τῆς γῆς, καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν πόλιν καὶ τὸν πύρ-
γον. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτῆς Σύγχυσις, ὅτι ἐκεῖ συ- 9
νέχεε Κύριος τὰ χείλη πάσης τῆς γῆς, καὶ ἐκεῖθεν διέσπειρεν
αὐτοὺς Κύριος ἐπὶ πρόσωπον πάσης τῆς γῆς.

.....

32 Ἀνέβη δὲ Λὼτ ἐκ Σηγὼρ καὶ ἐκάθητο ἐν τῷ ὄρει αὐτὸς 30 **19**
καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ' αὐτοῦ· ἐφοβήθη γὰρ κατοικῆ-
σαι ἐν Σηγώρ. καὶ κατῴκησεν ἐν τῷ σπηλαίῳ, αὐτὸς καὶ αἱ
δύο θυγατέρες αὐτοῦ μετ' αὐτοῦ. εἶπε δὲ ἡ πρεσβυτέρα πρὸς 31
τὴν νεωτέραν· Ὁ πατὴρ ἡμῶν πρεσβύτερος, καὶ οὐδείς ἐστιν
ἐπὶ τῆς γῆς, ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, ὡς καθήκει πάσῃ τῇ
γῇ· δεῦρο καὶ ποτίσωμεν τὸν πατέρα ἡμῶν οἶνον καὶ κοιμηθῶ- 32
μεν μετ' αὐτοῦ καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς ἡμῶν σπέρ-
33 μα. ἐπότισαν δὲ τὸν πατέρα αὐτῶν οἶνον ἐν τῇ νυκτὶ ἐκείνῃ, 33
καὶ εἰσελθοῦσα ἡ πρεσβυτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐ-
τῆς ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐτὸν
καὶ ἐν τῷ ἀναστῆναι. ἐγένετο δὲ ἐν τῇ ἐπαύριον καὶ εἶπεν ἡ 34
πρεσβυτέρα πρὸς τὴν νεωτέραν· Ἰδοὺ ἐκοιμήθην χθὲς μετὰ

τοῦ πατρὸς ἡμῶν· ποτίσωμεν αὐτὸν οἶνον καὶ ἐν τῇ νυκτὶ ταύ-
τῃ, καὶ εἰσελθοῦσα κοιμήθητι μετ' αὐτοῦ. καὶ ἐξαναστήσωμεν
ἐκ τοῦ πατρὸς ἡμῶν σπέρμα. ἐπότισαν δὲ καὶ ἐν τῇ νυκτὶ ἐκεί- 35
νῃ τὸν πατέρα αὐτῶν οἶνον, καὶ εἰσελθοῦσα ἡ νεωτέρα ἐκοιμή-
θη μετὰ τοῦ πατρὸς αὐτῆς, καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐ-
34 τὸν καὶ ἀναστῆναι. καὶ συνέλαβον αἱ δύο θυγατέρες Λὼτ ἐκ 36
τοῦ πατρὸς αὐτῶν. καὶ ἔτεκεν ἡ πρεσβυτέρα υἱὸν καὶ ἐκάλεσε 37
τὸ ὄνομα αὐτοῦ Μωὰβ λέγουσα· Ἐκ τοῦ πατρός μου· οὗτος
πατὴρ Μωαβιτῶν ἕως τῆς σήμερον ἡμέρας. ἔτεκε δὲ καὶ ἡ νε- 38
ωτέρα υἱὸν καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀμμάν, λέγουσα· Υἱ-
ὸς γένους μου· οὗτος πατὴρ Ἀμμανιτῶν ἕως τῆς σήμερον ἡμέ-
ρας.

.....

35 Προσθέμενος δὲ Ἀβραὰμ ἔλαβε γυναῖκα, ᾗ ὄνομα Χεττού- **25**
ρα. ἔτεκε δὲ αὐτῷ τὸν Ζομβρὰν καὶ τὸν Ἰεζὰν καὶ τὸν Μαδὰλ 2
καὶ τὸν Μαδιὰμ καὶ τὸν Ἰεσβὼκ καὶ τὸν Σωκέ. Ἰεζὰν δὲ ἐγέν- 3
νησε καὶ τὸν Θεμὰν τὸν Σαβὰ καὶ τὸν Δεδάν· υἱοὶ δὲ Δεδὰν ἐ-
γένοντο Ῥαγουὴλ καὶ Ναβδεὴλ καὶ Ἀσσουριὶμ καὶ Λατουσιὶμ
καὶ Λαωμίμ. υἱοὶ δὲ Μαδιὰμ Γεφὰρ καὶ Ἀφεὶρ καὶ Ἐνὼχ καὶ Ἀ- 4
βιρὰ καὶ Ἐλδαγά. πάντες οὗτοι ἦσαν υἱοὶ Χεττούρας.

.....

36 Καὶ τοῖς υἱοῖς τῶν παλλακῶν αὐτοῦ ἔδωκεν Ἀβραὰμ δό- 6
ματα καὶ ἐξαπέστειλεν αὐτοὺς ἀπὸ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ, ἔτι
ζῶντος αὐτοῦ, πρὸς ἀνατολὰς εἰς γῆν ἀνατολῶν.

2. ΜΩΪΣΗΣ

1 No 9,9+ (=Ἔξ 4,24-26)· Ἐγένετο δὲ ἐν τῇ ὁδῷ ἐν τῷ κα- 24
ταλύματι συνήντησεν αὐτῷ ἄγγελος Κυρίου καὶ ἐζήτει αὐτὸν 25
ἀποκτεῖναι. καὶ λαβοῦσα Σεπφώρα ψῆφον περιέτεμε τὴν ἀκρο-
βυστίαν τοῦ υἱοῦ αὐτῆς καὶ προσέπεσε πρὸς τοὺς πόδας αὐ-
τοῦ καὶ εἶπεν· Ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου. 26
καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ, διότι εἶπεν· 'Ἔστη τὸ αἷμα τῆς περιτο-
μῆς τοῦ παιδίου μου'.

2 No 202,1 (=Ἀρ 12,1)· Ἕνεκεν τῆς γυναικὸς τῆς Αἰθιοπίσ-
σης ἣν ἔλαβε Μωϋσῆς· ὅτι γυναῖκα Αἰθιόπισσαν ἔλαβεν.

3. ΔΑΥΪΔ

1 (Α΄ Βα) **10**

Καὶ μετὰ ταῦτα εἰσελεύσῃ εἰς τὸν Βουνὸν τοῦ Θεοῦ, οὗ ἐ- 5
στιν ἐκεῖ τὸ ἀνάστημα τῶν ἀλλοφύλων, ἐκεῖ Νασὶβ ὁ ἀλλόφυ-
λος. καὶ ἔσται ὡς ἂν εἰσέλθητε ἐκεῖ εἰς τὴν πόλιν, καὶ ἀπαντή-
σεις χορῷ προφητῶν καταβαινόντων ἐκ τῆς Βαμά, καὶ ἔμπρο-
σθεν αὐτῶν νάβλα καὶ τύμπανον καὶ αὐλὸς καὶ κινύρα, καὶ αὐ-
τοὶ προφητεύοντες· καὶ ἐφαλεῖται ἐπὶ σὲ πνεῦμα Κυρίου, καὶ 6
2 προφητεύσεις μετ' αὐτῶν καὶ στραφήσῃ εἰς ἄνδρα ἄλλον. καὶ 10
ἔρχεται ἐκεῖθεν εἰς τὸν βουνόν, καὶ ἰδοὺ χορὸς προφητῶν ἐξε-
ναντίας αὐτοῦ· καὶ ἥλατο ἐπ' αὐτὸν πνεῦμα θεοῦ, καὶ προεφή-
τευσεν ἐν μέσῳ αὐτῶν. καὶ ἐγενήθησαν πάντες οἱ εἰδότες αὐ- 11
τὸν ἐχθὲς καὶ τρίτης καὶ εἶδον καὶ ἰδοὺ αὐτὸς ἐν μέσῳ τῶν
προφητῶν. καὶ εἶπεν ὁ λαὸς ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ·
Τί τοῦτο τὸ γεγονὸς τῷ υἱῷ Κίς; ἢ καὶ Σαοὺλ ἐν προφήταις; 12
καὶ ἀπεκρίθη τις αὐτῶν καὶ εἶπε· Καὶ τίς πατὴρ αὐτοῦ; καὶ διὰ
τοῦτο ἐγενήθη εἰς παραβολήν, Ἢ καὶ Σαοὺλ ἐν προφήταις; καὶ 13
συνετέλεσε προφητεύων καὶ ἔρχεται εἰς τὸν βουνόν.

.....

3 Καὶ εἶπε Δαυὶδ υἱὸς ἀνθρώπου Ἐφραθαίου· οὗτος ἐκ Βη- 12 **17**
θλεὲμ Ἰούδα, καὶ ὄνομα αὐτῷ Ἰεσσαί, καὶ αὐτῷ ὀκτὼ υἱοί· καὶ
ὁ ἀνὴρ ἐν ταῖς ἡμέραις Σαοὺλ πρεσβύτερος ἐληλυθὼς ἐν ἀν-
δράσι. καὶ ἐπορεύθησαν οἱ τρεῖς υἱοὶ Ἰεσσαὶ οἱ μείζονες ὀπί- 13
σω Σαοὺλ εἰς πόλεμον, καὶ ὄνομα τῶν υἱῶν αὐτοῦ τῶν πορευ-
θέντων εἰς τὸν πόλεμον, Ἐλιὰβ ὁ πρωτότοκος αὐτοῦ καὶ ὁ
δεύτερος αὐτοῦ Ἀμιναδὰβ καὶ ὁ τρίτος αὐτοῦ Σαμμά. καὶ Δαυ- 14
ὶδ αὐτός ἐστιν ὁ νεώτερος καὶ οἱ τρεῖς οἱ μείζονες ἐπορεύθη-
σαν ὀπίσω Σαούλ.

4 Καὶ Δαυὶδ ἀπῆλθε καὶ ἀνέστρεψεν ἀπὸ τοῦ Σαούλ, ποιμαί- 15
νων τὰ πρόβατα τοῦ πατρὸς αὐτοῦ ἐν Βηθλεέμ. καὶ προῆγεν ὁ 16
ἀλλόφυλος ὀρθρίζων καὶ ὀψίζων καὶ ἐστηλώθη τεσσαράκοντα
ἡμέρας. καὶ εἶπεν Ἰεσσαὶ πρὸς Δαυΐδ· Λάβε δὴ τοῖς ἀδελφοῖς 17
σου οἰφὶ τοῦ ἀλφίτου καὶ δέκα ἄρτους τούτους καὶ διάδραμε
εἰς τὴν παρεμβολὴν καὶ δὸς τοῖς ἀδελφοῖς σου, καὶ τὰς δέκα 18
τρυφαλίδας τοῦ γάλακτος τούτου εἰσοίσεις τῷ χιλιάρχῳ, καὶ
τοὺς ἀδελφούς σου ἐπισκέψῃ εἰς εἰρήνην, καὶ ὅσα ἂν χρῄζωσι
γνώσῃ. καὶ Σαοὺλ αὐτὸς καὶ πᾶς ἀνὴρ Ἰσραὴλ ἐν τῇ Κοιλάδι 19
5 τῆς Δρυὸς πολεμοῦντες μετὰ τῶν ἀλλοφύλων. καὶ ὤρθρισε 20
Δαυὶδ τὸ πρωΐ, καὶ ἀφῆκε τὰ πρόβατα φύλακι, καὶ ἔλαβε καὶ ἀ-
πῆλθε, καθὰ ἐνετείλατο αὐτῷ Ἰεσσαί· καὶ ἦλθεν εἰς τὴν στρογ-

γύλωσιν καὶ δύναμιν τὴν ἐκπορευομένην εἰς τὴν παράταξιν·
καὶ ἠλάλαξαν ἐν τῷ πολέμῳ. καὶ παρετάξαντο Ἰσραὴλ καὶ οἱ 21
ἀλλόφυλοι παράταξιν ἐξεναντίας παρατάξεως. καὶ ἀφῆκε Δαυ- 22
ΐδ τὰ σκεύη αὐτοῦ ἀφ' ἑαυτοῦ ἐπὶ χεῖρα φύλακος καὶ ἔδραμεν
εἰς τὴν παράταξιν καὶ ἦλθε καὶ ἠρώτησε τοὺς ἀδελφοὺς αὐτοῦ
6 εἰς εἰρήνην. καὶ αὐτοῦ λαλοῦντος μετ' αὐτῶν, ἰδοὺ ἀνὴρ ὁ με- 23
σαῖος ἀνέβαινε, Γολιὰθ ὁ Φιλισταῖος ὄνομα αὐτῷ ἐκ Γέθ, ἐκ
τῶν παρατάξεων τῶν ἀλλοφύλων, καὶ ἐλάλησε κατὰ τὰ ῥήμα-
τα ταῦτα καὶ ἤκουσε Δαυΐδ. καὶ πᾶς ἀνὴρ Ἰσραὴλ ἐν τῷ ἰδεῖν 24
αὐτοὺς τὸν ἄνδρα, καὶ ἔφυγον ἐκ προσώπου αὐτοῦ καὶ ἐφοβή-
θησαν σφόδρα. καὶ εἶπεν ἀνὴρ Ἰσραήλ· Εἰ ἑωράκατε τὸν ἄνδρα 25
τὸν ἀναβαίνοντα τοῦτον, ὅτι ὀνειδίσαι τὸν Ἰσραὴλ ἀνέβη; καὶ
ἔσται ἀνήρ, ὃς ἂν πατάξῃ αὐτόν, πλουτίσει αὐτὸν ὁ βασιλεὺς
πλοῦτον μέγαν καὶ τὴν θυγατέρα αὐτοῦ δώσει αὐτῷ καὶ τὸν οἶ-
7 κον τοῦ πατρὸς αὐτοῦ ποιήσει ἐλεύθερον ἐν τῷ Ἰσραήλ. καὶ 26
εἶπε Δαυΐδ πρὸς τοὺς ἄνδρας τοὺς συνεστηκότας μετ' αὐτοῦ
λέγων· Ἡ ποιηθήσεται τῷ ἀνδρί, ὃς ἂν πατάξῃ τὸν ἀλλόφυλον
ἐκεῖνον, καὶ ἀφελεῖ ὀνειδισμὸν ἀπὸ Ἰσραήλ; ὅτι τίς ὁ ἀλλόφυ-
λος ὁ ἀπερίτμητος αὐτός, ὅτι ὠνείδισε παράταξιν θεοῦ ζῶ-
ντος; καὶ εἶπεν αὐτῷ ὁ λαὸς κατὰ τὸ ῥῆμα τοῦτο λέγων· οὕτω 27
8 ποιηθήσεται τῷ ἀνδρί, ὃς ἂν πατάξῃ αὐτόν. καὶ ἤκουσεν Ἐ- 28
λιὰβ ὁ ἀδελφὸς αὐτοῦ ὁ μείζων ἐν τῷ λαλεῖν αὐτὸν πρὸς τοὺς
ἄνδρας καὶ ὠργίσθη θυμῷ Ἐλιὰβ ἐν τῷ Δαυΐδ καὶ εἶπεν· Ἱνατί
τοῦτο κατέβης καὶ ἐπὶ τίνα ἀφῆκας τὰ μικρὰ πρόβατα ἐκεῖνα
ἐν τῇ ἐρήμῳ; ἐγὼ οἶδα τὴν ὑπερηφανίαν σου καὶ τὴν κακίαν
τῆς καρδίας σου, ὅτι ἕνεκεν τοῦ ἰδεῖν τὸν πόλεμον κατέβης.
9 καὶ εἶπε Δαυΐδ· Τί ἐποίησα νῦν; οὐχὶ ῥῆμά ἐστι; καὶ ἐπέστρεψε 29 30
παρ' αὐτοῦ εἷς ἐναντίον ἑτέρου καὶ εἶπε κατὰ τὸ ῥῆμα τοῦτο,
καὶ ἀπεκρίθη αὐτῷ ὁ λαὸς κατὰ τὸ ῥῆμα τοῦ πρώτου. καὶ ἠ-
κούσθησαν οἱ λόγοι, οὓς ἐλάλησε Δαυΐδ, καὶ ἀνηγγέλησαν ὀ- 31
πίσω Σαοὺλ καὶ παρέλαβεν αὐτόν.

.....

10 Καὶ ἐπορεύθη ὁ ἀλλόφυλος πορευόμενος καὶ ἐγγίζων 41
πρὸς Δαυΐδ, καὶ ἀνὴρ ὁ αἴρων τὸν θυρεὸν ἔμπροσθεν αὐτοῦ,
καὶ ἐπέβλεψεν ὁ ἀλλόφυλος.

.....

11 Καὶ ἐκραταίωσε Δαυΐδ ὑπὲρ τὸν ἀλλόφυλον ἐν τῇ σφενδό- 50
νῃ καὶ ἐν τῷ λίθῳ, καὶ ἐπάταξε τὸν ἀλλόφυλον καὶ ἐθανάτωσεν
αὐτόν· καὶ ῥομφαία οὐκ ἦν ἐν χειρὶ Δαυΐδ.

.....

12 Καὶ ὡς εἶδε Σαοὺλ τὸν Δαυΐδ ἐκπορευόμενον εἰς ἀπάντη- 55
σιν τοῦ ἀλλοφύλου, εἶπε πρὸς Ἀβεννὴρ τὸν ἄρχοντα τῆς δυνά-
μεως· Υἱὸς τίνος ὁ νεανίσκος οὗτος; καὶ εἶπεν Ἀβεννήρ· Ζῇ ἡ
ψυχή σου, βασιλεῦ, εἰ οἶδα. καὶ εἶπεν ὁ βασιλεύς· Ἐπερώτη- 56
σον σύ, υἱὸς τίνος ὁ νεανίσκος οὗτος. καὶ ὡς ἐπέστρεψε Δαυ- 57

ΐδ τοῦ πατάξαι τὸν ἀλλόφυλον, καὶ παρέλαβεν αὐτὸν Ἀβεννὴρ
καὶ εἰσήγαγεν αὐτὸν ἐνώπιον Σαούλ, καὶ ἡ κεφαλὴ τοῦ ἀλλο-
φύλου ἐν τῇ χειρὶ αὐτοῦ καὶ εἶπε πρὸς αὐτὸν Σαούλ· Υἱὸς τί- 58
νος εἶ, παιδάριον; καὶ εἶπε Δαυΐδ· Υἱὸς τοῦ δούλου σου Ἰεσ-
σαὶ τοῦ Βηθλεεμίτου.

13 Καὶ ἐγένετο ὡς συνετέλεσε λαλῶν πρὸς Σαούλ, καὶ ἡ ψυ- 1 **18**
χὴ Ἰωνάθαν συνεδέθη τῇ ψυχῇ Δαυΐδ καὶ ἠγάπησεν αὐτὸν Ἰω-
νάθαν κατὰ τὴν ψυχὴν αὐτοῦ. καὶ ἔλαβεν αὐτὸν Σαοὺλ ἐν τῇ ἡ- 2
μέρᾳ ἐκείνῃ καὶ οὐκ ἔδωκεν αὐτὸν ἐπιστρέψαι ἐν τῷ οἴκῳ τοῦ
πατρὸς αὐτοῦ. καὶ διέθετο Ἰωνάθαν καὶ Δαυΐδ ἐν τῷ ἀγαπᾶν 3
αὐτὸν κατὰ τὴν ψυχὴν αὐτοῦ. καὶ ἐξεδύσατο Ἰωνάθαν τὸν ἐ- 4
πενδύτην τὸν ἐπάνω καὶ ἔδωκεν αὐτὸν τῷ Δαυΐδ καὶ τὸν μαν-
δύαν αὐτοῦ καὶ ἕως τῆς ῥομφαίας αὐτοῦ καὶ ἕως τοῦ τόξου
αὐτοῦ καὶ ἕως τῆς ζώνης αὐτοῦ. καὶ ἐξεπορεύετο Δαυΐδ ἐν 5
πᾶσιν, οἷς ἀπέστειλεν αὐτὸν Σαούλ, συνῆκε· καὶ κατέστησεν
αὐτὸν Σαοὺλ ἐπὶ τοὺς ἄνδρας τοῦ πολέμου, καὶ ἤρεσεν ἐν ὀ-
φθαλμοῖς παντὸς τοῦ λαοῦ καί γε ἐν ὀφθαλμοῖς δούλων Σα-
ούλ.

.....

14 Καὶ ἦν Σαοὺλ ὑποβλεπόμενος τὸν Δαυΐδ ἀπὸ τῆς ἡμέρας 9
ἐκείνης καὶ ἐπέκεινα. καὶ ἐγενήθη ἀπὸ τῆς ἐπαύριον καὶ ἔπεσε 10
πνεῦμα θεοῦ πονηρὸν ἐπὶ Σαοὺλ καὶ προεφήτευσεν ἐν μέσῳ
οἴκου αὐτοῦ. καὶ Δαυΐδ ἔψαλλεν ἐν χειρὶ αὐτοῦ ὡς καθ' ἑκά-
στην ἡμέραν, καὶ τὸ δόρυ ἐν τῇ χειρὶ Σαούλ. καὶ ἦρε Σαοὺλ τὸ 11
δόρυ καὶ εἶπε· Πατάξω ἐν Δαυΐδ καὶ ἐν τῷ τοίχῳ· καὶ ἐξέκλινε
Δαυΐδ ἀπὸ προσώπου αὐτοῦ δίς.

.....

15 Καὶ εἶπε Σαοὺλ πρὸς Δαυΐδ· Ἰδοὺ ἡ θυγάτηρ μου ἡ μεί- 17
ζων Μερόβ, αὐτὴν δώσω σοι εἰς γυναῖκα, καὶ πλὴν γίνου μοι
εἰς υἱὸν δυνάμεως καὶ πολέμει τοὺς πολέμους Κυρίου. καὶ Σα-
οὺλ εἶπε· Μὴ ἔστω χείρ μου ἐπ' αὐτῷ, καὶ ἔσται ἐπ' αὐτὸν χεὶρ
ἀλλοφύλων. καὶ εἶπε Δαυΐδ πρὸς Σαούλ· Τίς ἐγώ εἰμι καὶ τίς ἡ 18
ζωὴ τῆς συγγενείας τοῦ πατρός μου ἐν Ἰσραήλ, ὅτι ἔσομαι
γαμβρὸς τοῦ βασιλέως; καὶ ἐγενήθη ἐν τῷ καιρῷ τοῦ δοθῆναι 19
τὴν Μεροὲβ θυγατέρα Σαοὺλ τῷ Δαυΐδ, καὶ αὕτη ἐδόθη τῷ Ἰσ-
ραὴλ τῷ Μοθυλαθίτῃ εἰς γυναῖκα.

.....

16 Καὶ ἀπέστειλε Σαοὺλ ἀγγέλους λαβεῖν τὸν Δαυΐδ καὶ εἶδαν 20 **19**
τὴν ἐκκλησίαν τῶν προφητῶν, καὶ Σαμουὴλ εἱστήκει καθεστη-
κὼς ἐπ' αὐτῶν. καὶ ἐγενήθη ἐπὶ τοὺς ἀγγέλους τοῦ Σαοὺλ
πνεῦμα θεοῦ, καὶ προφητεύουσι. καὶ ἀπηγγέλη τῷ Σαούλ, καὶ 21
ἀπέστειλεν ἀγγέλους ἑτέρους, καὶ ἐπροφήτευσαν καὶ αὐτοί.
καὶ προσέθετο Σαοὺλ ἀποστεῖλαι ἀγγέλους τρίτους, καὶ ἐπρο-
17 φήτευσαν καὶ αὐτοί. καὶ ἐθυμώθη ὀργῇ Σαοὺλ καὶ ἐπορεύθη 22
καὶ αὐτὸς εἰς Ἀρμαθαὶμ καὶ ἔρχεται ἕως τοῦ φρέατος τοῦ ἅλω

τοῦ ἐν τῷ Σεφὶ καὶ ἠρώτησε καὶ εἶπε· Ποῦ Σαμουὴλ καὶ Δαυΐδ;
καὶ εἶπαν· Ἰδοὺ ἐν Ναυὰθ ἐν Ῥαμά. καὶ ἐπορεύθη ἐκεῖθεν εἰς 23
Ναυὰθ ἐν Ῥαμά, καὶ ἐγενήθη καὶ ἐπ' αὐτῷ πνεῦμα θεοῦ, καὶ ἐ-
πορεύετο προφητεύων ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Ναυὰθ ἐν 24
Ῥαμά. καὶ ἐξεδύσατο τὰ ἱμάτια αὐτοῦ καὶ ἐπροφήτευσεν ἐνώ-
πιον αὐτῶν καὶ ἔπεσε γυμνὸς ὅλην τὴν ἡμέραν ἐκείνην καὶ ὅ-
λην τὴν νύκτα· διὰ τοῦτο ἔλεγον· Ἦ καὶ Σαοὺλ ἐν προφήταις;

..... **21**

18 Καὶ ἦλθε Δαυΐδ πρὸς Ἀγχοὺς βασιλέα Γέθ. καὶ εἶπον οἱ 10 11
παῖδες Ἀγχοὺς πρὸς αὐτόν· Οὐχὶ οὗτος Δαυΐδ ὁ βασιλεὺς τῆς
γῆς; οὐχὶ τούτῳ ἐξῆρχον αἱ χορεύουσαι λέγουσαι· Ἐπάταξε
Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ καὶ Δαυΐδ ἐν μυριάσιν αὐτοῦ; καὶ ἔθε- 12
το Δαυΐδ τὰ ῥήματα ἐν τῇ καρδίᾳ αὐτοῦ καὶ ἐφοβήθη σφόδρα
ἀπὸ προσώπου Ἀγχοὺς βασιλέως Γέθ. καὶ ἠλλοίωσε τὸ πρό- 13
σωπον αὐτοῦ ἐνώπιον αὐτοῦ καὶ προσεποιήσατο ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ καὶ ἐτυμπάνιζεν ἐπὶ ταῖς θύραις τῆς πόλεως καὶ παρε-
φέρετο ἐν ταῖς χερσὶν αὐτοῦ καὶ ἔπιπτεν ἐπὶ τὰς θύρας τῆς πύ-
λης, καὶ τὰ σίελα αὐτοῦ κατέρρει ἐπὶ τὸν πώγωνα αὐτοῦ. καὶ 14
εἶπεν Ἀγχοὺς πρὸς τοὺς παῖδας αὐτοῦ· Ἰδοὺ ἴδετε ἄνδρα ἐπί-
ληπτον, ἱνατί εἰσηγάγετε αὐτὸν πρός με; μὴ ἐλαττοῦμαι ἐπιλή- 15
πτων ἐγώ, ὅτι εἰσαγηόχατε αὐτὸν ἐπιληπτεύεσθαι πρός με; οὗ-
τος οὐκ εἰσελεύσεται εἰς οἰκίαν.

.....

4. ΣΟΛΟΜΩΝ

.....

1 Βασιλεὺς Σολομὼν Οὐαφρῇ βασιλεῖ Αἰγύπτου φίλῳ πατρικῷ χαίρειν. I **31**

Γίνωσκέ με παρειληφότα τὴν βασιλείαν παρὰ Δαυΐδ τοῦ πατρὸς διὰ τοῦ θεοῦ τοῦ μεγίστου, καὶ ἐπιτεταχότος μοι οἰκοδομῆσαι ἱερὸν τῷ θεῷ, ὃς τὸν οὐρανὸν καὶ τὴν γῆν ἔκτισεν, ἅμα δέ σοι γράψαι ἀποστεῖλαί μοι τῶν παρὰ σοῦ λαῶν, οἳ παραστήσονταί μοι μέχρι τοῦ ἐπιτελέσαι πάντα κατὰ τὴν χρείαν, καθότι ἐπιτέτακται.

2 Βασιλεὺς Οὐαφρῆς Σολομῶνι βασιλεῖ μεγάλῳ χαίρειν. I **32**

Ἅμα τῷ ἀναγνῶναι τὴν παρὰ σοῦ ἐπιστολὴν σφόδρα ἐχάρην καὶ λαμπρὰν ἡμέραν ἤγαγον ἐγώ τε καὶ ἡ δύναμίς μου πᾶσα ἐπὶ τῷ παρειληφέναι σε τὴν βασιλείαν παρὰ χρηστοῦ ἀνδρὸς καὶ δεδοκιμασμένου ὑπὸ τηλικούτου θεοῦ. περὶ δὲ ὧν γράφεις μοι, περὶ τῶν κατὰ τοὺς λαοὺς τοὺς παρ' ἡμῖν, ἀπέσταλκά σοι μυριάδας ὀκτώ, ὧν καὶ τὰ πλήθη ἐξ ὧν εἰσι διασεσάφηκά σοι· ἐκ μὲν τοῦ Σεβριθίτου νομοῦ μυρίους, ἐκ δὲ τοῦ Μενδησίου καὶ Σεβεννύτου δισμυρίους· Βουσιρίτου, Λεοντοπολίτου καὶ Ἀθριβίτου ἀνὰ μυρίους. φρόντισον δὲ καὶ τὰ δέοντα αὐτοῖς καὶ τὰ ἄλλα, ὅπως εὐτακτῇ, καὶ ἵνα ἀποκατασταθῶσιν εἰς τὴν ἰδίαν, ὡς ἂν ἀπὸ τῆς χρείας γενόμενοι.

3 Βασιλεὺς Σολομὼν Σούρωνι τῷ βασιλεῖ Τύρου καὶ Σιδῶνος καὶ Φοινίκης φίλῳ πατρικῷ χαίρειν. I **33**

Γίνωσκέ με παρειληφότα τὴν βασιλείαν παρὰ Δαυΐδ τοῦ πατρὸς διὰ τοῦ θεοῦ τοῦ μεγίστου, ἐπιτεταχότος μοι οἰκοδομῆσαι ἱερὸν τῷ θεῷ, ὃς τὸν οὐρανὸν καὶ τὴν γῆν ἔκτισεν, ἅμα δὲ καὶ σοὶ γράψαι ἀποστεῖλαί μοι τῶν παρὰ σοῦ λαῶν, οἳ συμπαραστήσονται ἡμῖν μέχρι τοῦ ἐπιτελέσαι τὴν τοῦ θεοῦ χρείαν, καθότι μοι ἐπιτέτακται. γέγραφα δὲ καὶ εἰς τὴν Γαλιλαίαν καὶ Σαμαρεῖτιν καὶ Μωαβῖτιν καὶ Ἀμμανῖτιν καὶ Γαλααδῖτιν χορηγεῖσθαι αὐτοῖς τὰ δέοντα ἐκ τῆς χώρας, κατὰ μῆνα κόρους σίτου μυρίους· ὁ δὲ κόρος ἐστὶν ἀρταβῶν ἕξ· καὶ οἴνου κόρους μυρίους· ὁ δὲ κόρος τοῦ οἴνου ἐστὶ μέτρα δέκα. τὸ δὲ ἔλαιον καὶ τὰ ἄλλα χορηγηθήσεται αὐτοῖς ἐκ τῆς Ἰουδαίας, ἱερεῖα δὲ εἰς κρεωφαγίαν ἐκ τῆς Ἀραβίας.

4 Σούρων Σολομῶνι βασιλεῖ μεγάλῳ χαίρειν. 1 **34**

Εὐλογητὸς ὁ θεός, ὃς τὸν οὐρανὸν καὶ τὴν γῆν ἔκτισεν, ὃς εἵλετο ἄνθρωπον χρηστὸν ἐκ χρηστοῦ ἀνδρός· ἅμα τῷ ἀναγνῶναι τὴν παρὰ σοῦ ἐπιστολὴν σφόδρα ἐχάρην καὶ εὐλόγησα τὸν θεὸν ἐπὶ τῷ παρειληφέναι σε τὴν βασιλείαν. περὶ δὲ ὧν 2 γράφεις μοι, περὶ τῶν κατὰ τοὺς λαοὺς τοὺς παρ' ἡμῖν, ἀπέσταλκά σοι Τυρίων καὶ Φοινίκων ὀκτακισμυρίους καὶ ἀρχιτέκτονά σοι ἀπέσταλκα ἄνθρωπον Τύριον, ἐκ μητρὸς Ἰουδαίας, ἐκ τῆς φυλῆς τῆς Δαυΐδ. ὑπὲρ ὧν ἂν αὐτὸν ἐρωτήσῃς τῶν ὑπὸ τὸν οὐρανὸν πάντων κατ' ἀρχιτεκτονίαν, ὑφηγήσεταί σοι καὶ ποιήσει. περὶ δὲ τῶν δεόντων καὶ ἀποστελλομένων σοι παί- 3 δων καλῶς ποιήσεις ἐπιστείλας τοῖς κατὰ τόπον ἐπάρχοις, ὅπως χορηγῆται τὰ δέοντα.

5 Διελθὼν δὲ Σολομών, ἔχων τοὺς πατρικοὺς φίλους, ἐπὶ 4 τὸ ὄρος τὸ τοῦ Λιβάνου μετὰ τῶν Σιδωνίων καὶ Τυρίων, μετήνεγκε τὰ ξύλα τὰ προκεκομμένα ὑπὸ τοῦ πατρὸς αὐτοῦ διὰ τῆς θαλάσσης εἰς Ἰόππην, ἐκεῖθεν δὲ πεζῇ εἰς Ἱεροσόλυμα. καὶ ἄρξασθαι οἰκοδομεῖν τὸ ἱερὸν τοῦ θεοῦ, ὄντα ἐτῶν τρισκαίδεκα, ἐργάζεσθαι δὲ τὰ ἔθνη τὰ προειρημένα καὶ φυλὰς δώδεκα τῶν Ἰουδαίων καὶ παρέχειν ταῖς ἑκκαίδεκα μυριάσι τὰ δέο-
6 ντα πάντα, κατὰ μῆνα φυλὴν μίαν. θεμελιῶσαί τε τὸν ναὸν τοῦ θεοῦ, μῆκος πηχῶν ξ΄, πλάτος πηχῶν ξ΄, τὸ δὲ πλάτος τῆς οἰκοδομῆς καὶ τῶν θεμελίων πηχῶν ι΄· οὕτω γὰρ αὐτῷ προστάξαι Νάθαν τὸν προφήτην τοῦ θεοῦ. οἰκοδομεῖν δὲ ἐναλλὰξ δό- 5 μον λίθινον καὶ ἔνδεσμον κυπαρίσσινον, πελεκίνοις χαλκοῖς ταλαντιαίοις καταλαμβάνοντας τοὺς δύο δόμους. οὕτω δ' αὐτὸν οἰκοδομήσαντα ξυλῶσαι ἔσωθεν κεδρίνοις ξύλοις καὶ κυπαρισσίνοις, ὥστε τὴν λιθίνην οἰκοδομὴν μὴ φαίνεσθαι· χρυσῶσαί τε τὸν ναὸν ἔσωθεν χωννύντα πλινθία χρυσᾶ πενταπήχη καὶ προστιθέναι προσηλοῦντα ἥλοις ἀργυροῖς, ταλαντιαίοις τὴν ὁλκήν, μαστοειδέσι τὸν ῥυθμόν, τέσσαρσι δὲ τὸν ἀριθμόν. οὕτω δ' αὐτὸν χρυσῶσαι ἀπὸ ἐδάφους ἕως τῆς ὀροφῆς τό τε 6 ὀρόφωμα ποιῆσαι ἐκ φατνωμάτων χρυσῶν, τὸ δὲ δῶμα ποιῆσαι χαλκοῦν ἀπὸ κεραμίδων χαλκῶν, χαλκὸν χωνεύσαντα καὶ
7 τοῦτον καταχέαντα. ποιῆσαι δὲ δύο στύλους χαλκοῦς καὶ καταχρυσῶσαι αὐτοὺς χρυσίῳ ἀδόλῳ, δακτύλου τὸ πάχος. εἶναι 7 δὲ τοὺς στύλους τῷ ναῷ ἰσομεγέθεις, τὸ δὲ πλάτος κύκλῳ ἕκαστον κίονα πηχῶν δέκα· στῆσαι δὲ αὐτοὺς τοῦ οἴκου ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ εὐωνύμων. ποιῆσαι δὲ καὶ λυχνίας χρυσᾶς δέκ<α>, δέκα τάλαντα ἑκάστην ὁλκὴν ἀγούσας, ὑπόδειγμα λαβόντα τὴν ὑπὸ Μωσέως ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου τεθεῖσαν· στῆσαι δ' ἐξ ἑκατέρου μέρους τοῦ σηκοῦ τὰς μὲν ἐκ δε- 8
8 ξιῶν, τὰς δὲ ἐξ εὐωνύμων. ποιῆσαι δ' αὐτὸν καὶ λύχνους χρυ-

σοῦς ο΄, ὥστε καίεσθαι ἐφ' ἑκάστης λυχνίας ἑπτά. οἰκοδομῆσαι δὲ καὶ τὰς πύλας τοῦ ἱεροῦ καὶ κατακοσμῆσαι χρυσίῳ καὶ ἀργυρίῳ· καὶ καταστεγάσαι φατνώμασι κεδρίνοις καὶ κυπαρισσίνοις. ποιῆσαι δὲ καὶ κατὰ τὸ πρὸς βορρᾶν μέρος τοῦ ἱεροῦ 9
στοὰν καὶ στύλους αὐτῇ ὑποστῆσαι χαλκοῦς μη΄· κατασκευάσαι δὲ καὶ λουτῆρα χαλκοῦν, μῆκος πηχῶν κ΄ καὶ πλάτος πηχῶν κ΄, τὸ δὲ ὕψος πηχῶν ε΄· ποιῆσαι δὲ ἐπ' αὐτῷ στεφάνην πρὸς τὴν βάσιν ἔξω ὑπερέχουσαν πῆχυν ἕνα πρὸς τὸ τοὺς ἱερεῖς τούς τε πόδας προσκλύζεσθαι καὶ τὰς χεῖρας νίπτεσθαι ἐπιβαίνοντας· ποιῆσαι δὲ καὶ τὰς βάσεις τοῦ λουτῆρος τορευτὰς χωνευτὰς δώδεκα καὶ τῷ ὕψει ἀνδρομήκεις καὶ στῆσαι ἐξ ὑστέρου μέρους ὑπὸ τὸν λουτῆρα, ἐκ δεξιῶν τοῦ θυσιαστη-
9 ρίου. ποιῆσαι δὲ καὶ βάσιν χαλκῆν τῷ ὕψει πηχῶν δυοῖν κατὰ 10
τὸν λουτῆρα, ἵν' ἐφεστήκῃ ἐπ' αὐτῆς ὁ βασιλεύς, ὅταν προσεύ-
10 χηται, ὅπως ὀπτάνηται τῷ λαῷ τῶν Ἰουδαίων. οἰκοδομῆσαι δὲ καὶ τὸ θυσιαστήριον πηχῶν κε΄ ἐπὶ πήχεις κ΄, τὸ δὲ ὕψος πηχῶν δώδεκα. ποιῆσαι δὲ καὶ δακτυλίους δύο χαλκοῦς ἁλυ- 11
σιδωτοὺς καὶ στῆσαι αὐτοὺς ἐπὶ μηχανημάτων ὑπερεχόντων τῷ ὕψει τὸν ναὸν πήχεις κ΄ καὶ σκιάζειν ἐπάνω παντὸς τοῦ ἱεροῦ· καὶ προσκρεμάσαι ἑκάστῃ δίκτυϊ κώδωνας χαλκοῦς ταλαντιαίους τετρακοσίους· καὶ ποιῆσαι ὅλας τὰς δίκτυας πρὸς τὸ ψοφεῖν τοὺς κώδωνας καὶ ἀποσοβεῖν τὰ ὄρνεα, ὅπως μὴ καθίζῃ ἐπὶ τοῦ ἱεροῦ μηδὲ νοσσεύῃ ἐπὶ τοῖς φατνώμασι τῶν
11 πυλῶν καὶ στοῶν καὶ μολύνῃ τοῖς ἀποπατήμασι τὸ ἱερόν. περι- 12
βαλεῖν δὲ καὶ τὰ Ἱεροσόλυμα τὴν πόλιν τείχεσι καὶ πύργοις καὶ τάφροις· οἰκοδομῆσαι δὲ καὶ βασίλεια ἑαυτῷ. προσαγορευ- 13
θῆναι δὲ τὸ ἀνάκτορον πρῶτον μὲν ἱερὸν Σολομῶνος, ὕστερον δὲ παρεφθαρμένως τὴν πόλιν ἀπὸ τοῦ ἱεροῦ Ἱερουσαλὴμ ὀνομασθῆναι, ὑπὸ δὲ τῶν Ἑλλήνων φερωνύμως Ἱεροσόλυμα λέγε-
12 σθαι. συντελέσαντα δὲ τὸ ἱερὸν καὶ τὴν πόλιν τειχίσαντα ἐλ- 14
θεῖν εἰς Σηλὼμ καὶ θυσίαν τῷ θεῷ εἰς ὁλοκάρπωσιν προσαγαγεῖν βοῦς χιλίους. λαβόντα δὲ τὴν σκηνὴν καὶ τὸ θυσιαστήριον καὶ τὰ σκεύη, ἃ ἐποίησε Μωσῆς, εἰς Ἱεροσόλυμα ἐνεγκεῖν καὶ ἐν τῷ οἴκῳ θεῖναι. καὶ τὴν κιβωτὸν δὲ καὶ τὸν βωμὸν τὸν χρυ- 15
σοῦν καὶ τὴν λυχνίαν καὶ τὴν τράπεζαν καὶ τὰ ἄλλα σκεύη ἐκεῖ
13 καταθέσθαι, καθὼς προστάξαι αὐτῷ τὸν προφήτην. προσαγα- 16
γεῖν δὲ τῷ θεῷ θυσίαν μυρίαν, πρόβατα δισχίλια, μόσχους τρισχιλίους πεντακοσίους. τὸ δὲ σύμπαν χρυσίον τὸ εἰς τοὺς δύο στύλους καὶ τὸν ναὸν καταχρησθὲν εἶναι τάλαντα μυριάδων υξ΄· εἰς δὲ τοὺς ἥλους καὶ τὴν ἄλλην κατασκευὴν ἀργυρίου τάλαντα χίλια διακόσια τριάκοντα δύο· χαλκοῦ δὲ εἰς τοὺς κίονας καὶ τὸν λουτῆρα καὶ τὴν στοὰν τάλαντα μύρια ὀκτακισχίλια πεντήκοντα. ἀποπέμψαι δὲ τὸν Σολομῶντα καὶ τοὺς Αἰγυ- 17
πτίους καὶ τοὺς Φοίνικας, ἑκάστους εἰς τὴν ἑαυτῶν, ἑκάστῳ
14 χρυσοῦ σίκλους δόντα δέκα· τὸ δὲ τάλαντον εἶναι σίκλον. καὶ

τῷ μὲν Αἰγύπτου βασιλεῖ Οὐαφρῇ ἐλαίου μετρητὰς μυρίους,
φοινικοβαλάνων ἀρτάβας χιλίας, μέλιτος δὲ ἀγγεῖα ἑκατὸν καὶ
ἀρώματα πέμψαι· τῷ δὲ Σούρωνι εἰς Τύρον πέμψαι τὸν χρυ- 18
σοῦν κίονα, τὸν ἐν Τύρῳ ἀνακείμενον ἐν τῷ ἱερῷ τοῦ Διός.

.....

Εὐσέβιος, Εὐ. πρ. 9,31-34

.....

15 (Γ΄ Βα) Καὶ ἔδωκε Κύριος φρόνησιν τῷ Σαλωμὼν καὶ σο- 35α **2**
φίαν πολλὴν σφόδρα καὶ πλάτος καρδίας, ὡς ἡ ἄμμος ἡ παρὰ
τὴν θάλασσαν. καὶ ἐπληθύνθη ἡ φρόνησις Σαλωμὼν σφόδρα ὑ- 35β
πὲρ τὴν φρόνησιν πάντων τῶν ἀρχαίων καὶ ὑπὲρ πάντας φρο-
νίμους Αἰγύπτου. καὶ ἔλαβε τὴν θυγατέρα φαραὼ καὶ εἰσήγα- 35γ
γεν αὐτὴν εἰς πόλιν Δαυὶδ ἕως συντελέσαι αὐτὸν οἰκοδομῆσαι
16 τὸν οἶκον αὐτοῦ. καὶ τὸν οἶκον Κυρίου ἐν πρώτοις καὶ τὸ τεῖ-
χος Ἰερουσαλὴμ κυκλόθεν· ἐν ἑπτὰ ἔτεσιν ἐποίησε καὶ συνετέ-
λεσε. καὶ ἦν τῷ Σαλωμὼν ἑβδομήκοντα χιλιάδες αἴροντες ἄρ- 35δ
σιν καὶ ὀγδοήκοντα χιλιάδες λατόμων ἐν τῷ ὄρει. καὶ ἐποίησε 35ε
Σαλωμὼν τὴν θάλασσαν καὶ τὰ ὑποστηρίγματα καὶ τοὺς λου-
τῆρας τοὺς μεγάλους καὶ τοὺς στύλους καὶ τὴν κρήνην τῆς αὐ-
λῆς καὶ τὴν θάλασσαν τὴν χαλκῆν. καὶ ᾠκοδόμησε τὴν ἄκραν 35ζ
καὶ τὰς ἐπάλξεις αὐτῆς καὶ διέκοψε τὴν πόλιν Δαυΐδ· οὕτω θυ-
γάτηρ φαραὼ ἀνέβαινεν ἐκ τῆς πόλεως Δαυὶδ εἰς τὸν οἶκον
17 αὐτῆς, ὃν ᾠκοδόμησεν αὐτῇ· τότε ᾠκοδόμησε τὴν ἄκραν. καὶ 35η
Σαλωμὼν ἀνέφερε τρεῖς ἐν τῷ ἐνιαυτῷ ὁλοκαυτώσεις καὶ εἰ-
ρηνικὰς ἐπὶ τὸ θυσιαστήριον, ὃ ᾠκοδόμησε τῷ Κυρίῳ, καὶ ἐ-
θυμία ἐνώπιον Κυρίου, καὶ συνετέλεσε τὸν οἶκον. καὶ οὗτοι οἱ 35θ
ἄρχοντες οἱ καθεσταμένοι ἐπὶ τὰ ἔργα τοῦ Σαλωμών· τρεῖς χι-
λιάδες καὶ ἑξακόσιοι ἐπιστάται τοῦ λαοῦ τῶν ποιούντων τὰ ἔρ- 35ι
γα. καὶ ᾠκοδόμησε τὴν Ἀσσοὺρ καὶ τὴν Μαγδὼ καὶ τὴν Γαζὲρ
καὶ τὴν Βεθωρὼν τὴν ἐπάνω καὶ τὴν Βααλάθ· πλὴν μετὰ τὸ οἰ- 35κ
κοδομῆσαι αὐτὸν τὸν οἶκον τοῦ Κυρίου καὶ τὸ τεῖχος Ἰερουσα-
λὴμ κύκλῳ, μετὰ ταῦτα ᾠκοδόμησε τὰς πόλεις ταύτας.
18 Καὶ ἐν τῷ ἔτι Δαυὶδ ζῆν ἐνετείλατο τῷ Σαλωμὼν λέγων· Ἰ- 35λ
δοὺ μετὰ σοῦ Σεμεῖ υἱὸς Γηρὰ υἱὸς τοῦ σπέρματος τοῦ Ἰεμενὶ
ἐκ Χεβρών· οὗτος κατηράσατό με κατάραν ὀδυνηρὰν ἐν ᾗ ἡμέ- 35μ
ρᾳ ἐπορευόμην εἰς Παρεμβολάς. καὶ αὐτὸς κατέβαινεν εἰς ἀπα- 35ν
ντήν μοι ἐπὶ τὸν Ἰορδάνην καὶ ὤμοσα αὐτῷ κατὰ τοῦ Κυρίου
λέγων· Εἰ θανατωθήσεται ἐν ῥομφαίᾳ· καὶ νῦν μὴ ἀθῳώσῃς αὐ- 35ξ
τόν, ὅτι ἀνὴρ φρόνιμος σὺ καὶ γνώσῃ ἃ ποιήσεις αὐτῷ, καὶ κα-
τάξεις τὴν πολιὰν αὐτοῦ ἐν αἵματι εἰς ᾅδου.

.....

19 Καὶ ἦν ὁ βασιλεὺς Σαλωμὼν φρόνιμος σφόδρα, καὶ σο- 46α
φός, καὶ Ἰούδα καὶ Ἰσραὴλ πολλοὶ σφόδρα, ὡς ἡ ἄμμος ἡ ἐπὶ
τῆς θαλάσσης εἰς πλῆθος, ἐσθίοντες καὶ πίνοντες καὶ χαίρο-

ντες. καὶ Σαλωμὼν ἦν ἄρχων ἐν πάσαις ταῖς βασιλείαις, καὶ ἦ- 46β
σαν προσφέροντες δῶρα καὶ ἐδούλευον τῷ Σαλωμὼν πάσας
τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. καὶ Σαλωμὼν ἤρξατο ἀνοίγειν τὰ 46γ
δυναστεύματα τοῦ Λιβάνου, καὶ αὐτὸς ᾠκοδόμησε τὴν Θερμαΐ 46δ
ἐν τῇ ἐρήμῳ.

Καὶ τοῦτο τὸ ἄριστον τῷ Σαλωμών· τριάκοντα κόροι σεμι- 46ε
δάλεως καὶ ἑξήκοντα κόροι ἀλεύρου κεκοπανισμένου, δέκα
μόσχοι ἐκλεκτοὶ καὶ εἴκοσι βόες νομάδες καὶ ἑκατὸν πρόβατα,
ἐκτὸς ἐλάφων καὶ δορκάδων καὶ ὀρνίθων ἐκλεκτῶν νομάδων·
ὅτι ἦν ἄρχων ἐν παντὶ πέραν τοῦ ποταμοῦ ἀπὸ Ῥαφὶ ἕως Γά- 46ζ
ζης, ἐν πᾶσι τοῖς βασιλεῦσι πέραν τοῦ ποταμοῦ· καὶ ἦν αὐτῷ 46η
εἰρήνη ἐκ πάντων τῶν μερῶν αὐτοῦ κυκλόθεν, καὶ κατῴκει
Ἰούδα καὶ Ἰσραὴλ πεποιθότες ἕκαστος ὑπὸ τὴν ἄμπελον αὐ-
τοῦ καὶ ὑπὸ τὴν συκῆν αὐτοῦ, ἐσθίοντες καὶ πίνοντες καὶ ἑορ-
τάζοντες ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ πάσας τὰς ἡμέρας Σαλω-
20 μών. καὶ οὗτοι οἱ ἄρχοντες τοῦ Σαλωμών· Ἀζαρία υἱὸς Σαδὼκ 46θ
τοῦ ἱερέως, καὶ Ὀρνία υἱὸς Νάθαν ἄρχων τῶν ἐφεστηκότων,
καὶ Ἐδρὰμ ἐπὶ τὸν οἶκον αὐτοῦ, καὶ Σουβὰ γραμματεύς, καὶ
Βασὰ υἱὸς Ἀχιθαλὰμ ἀναμιμνήσκων, καὶ Ἀβὶ υἱὸς Ἰωὰβ ἀρχι-
στράτηγος, καὶ Ἀχιρὲ υἱὸς Ἐδραΐ ἐπὶ τὰς ἄρσεις, καὶ Βαναΐας
υἱὸς Ἰωδαὲ ἐπὶ τῆς αὐλαρχίας καὶ ἐπὶ τοῦ πλινθίου, καὶ Ζα-
χοὺρ υἱὸς Νάθαν ὁ σύμβουλος. καὶ ἦσαν τῷ Σαλωμὼν τεσσα- 46ι
ράκοντα χιλιάδες τοκάδες ἵπποι εἰς ἅρματα καὶ δώδεκα χιλιά-
δες ἵππων. καὶ ἦν ἄρχων ἐν πᾶσι τοῖς βασιλεῦσιν ἀπὸ τοῦ πο- 46κ
ταμοῦ καὶ ἕως γῆς ἀλλοφύλων καὶ ἕως ὁρίων Αἰγύπτου. καὶ 46λ
Σαλωμὼν υἱὸς Δαυΐδ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ καὶ Ἰούδα ἐν Ἰε-
ρουσαλήμ.

.....

21 (Β΄ Πα) Καὶ νῦν ἀπέστειλά σοι ἄνδρα σοφὸν καὶ εἰδότα σύ- 13 **2**
νεσιν Χιρὰμ τὸν πατέρα μου (ἡ μήτηρ αὐτοῦ ἀπὸ θυγατέρων 14
Δάν, καὶ ὁ πατὴρ αὐτοῦ ἀνὴρ Τύριος).

.....

22 Καὶ οἱ παῖδες Σαλωμὼν καὶ οἱ παῖδες Χιρὰμ ἔφερον χρυ- 10 **9**
σίον τῷ Σαλωμὼν ἐκ Σουφὶρ καὶ ξύλα πεύκινα καὶ λίθον τί-
μιον· καὶ ἐποίησεν ὁ βασιλεὺς τὰ ξύλα τὰ πεύκινα ἀναβάσεις 11
τῷ οἴκῳ Κυρίου καὶ τῷ οἴκῳ τοῦ βασιλέως καὶ κιθάρας καὶ
νάβλας τοῖς ᾠδοῖς. καὶ οὐκ ὤφθησαν τοιαῦτα ἔμπροσθεν ἐν γῇ
Ἰούδα.

.....

23 (Γ΄ Βα) Τῆς δὲ βασιλείας ἑδρασθείσης ἐν χειρὶ Σαλωμὼν ἐ- 1 **3**
πιγαμίαν ἐποιήσατο Σαλωμὼν πρὸς φαραὼ βασιλέα Αἰγύπτου
καὶ ἔλαβε τὴν θυγατέρα φαραὼ καὶ εἰσήγαγεν αὐτὴν εἰς τὴν
πόλιν Δαυΐδ, ἕως οὗ συνετέλεσεν οἰκοδομῶν τὸν οἶκον ἑαυ-
τοῦ καὶ τὸν οἶκον Κυρίου καὶ τὸ τεῖχος Ἰερουσαλὴμ κύκλῳ.

.....

24 Εἴκοσιν ἔτη ἐν οἷς ᾠκοδόμησε Σαλωμὼν τοὺς δύο οἴκους, 10 **9**
τὸν οἶκον Κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως. Χιρὰμ ὁ βασι- 11
λεὺς Τύρου ἀντελάβετο τοῦ Σαλωμὼν ἐν ξύλοις κεδρίνοις καὶ
ἐν ξύλοις πευκίνοις καὶ ἐν χρυσίῳ καὶ ἐν παντὶ θελήματι αὐ-
τοῦ. τότε ἔδωκεν ὁ βασιλεὺς τῷ Χιρὰμ εἴκοσι πόλεις ἐν τῇ γῇ
τῇ Γαλιλαίᾳ. καὶ ἐξῆλθε Χιρὰμ ἐκ Τύρου καὶ ἐπορεύθη εἰς τὴν 12
Γαλιλαίαν τοῦ ἰδεῖν τὰς πόλεις ἃς ἔδωκεν αὐτῷ Σαλωμών, καὶ
οὐκ ἤρεσαν αὐτῷ. καὶ εἶπε· Τί αἱ πόλεις αὗται, ἃς ἔδωκάς μοι, 13
ἀδελφέ; καὶ ἐκάλεσεν αὐτὰς Ὅριον ἕως τῆς ἡμέρας ταύτης.
25 καὶ ἤνεγκε Χιρὰμ τῷ Σαλωμὼν ἑκατὸν καὶ εἴκοσι τάλαντα χρυ- 14
σίου καὶ ναῦν ὑπὲρ οὗ ἐποίησεν ὁ βασιλεὺς Σαλωμὼν ἐν Γα- 26
σιὼν Γαβὲρ τὴν οὖσαν ἐχομένην Ἀλὰθ ἐπὶ τοῦ χείλους τῆς Ἐ-
σχάτης Θαλάσσης ἐν γῇ Ἐδώμ. καὶ ἀπέστειλε Χιρὰμ ἐν τῇ νηὶ 27
τῶν παίδων αὐτοῦ ἄνδρας ναυτικοὺς ἐλαύνειν εἰδότας θάλασ-
σαν μετὰ τῶν παίδων Σαλωμών. καὶ ἦλθον εἰς Σωφηρὰ καὶ ἔ- 28
λαβον ἐκεῖθεν χρυσίου ἑκατὸν εἴκοσι τάλαντα καὶ ἤνεγκαν τῷ
βασιλεῖ Σαλωμών.

.....

26 Καὶ ἡ ναῦς Χιρὰμ ἡ αἴρουσα τὸ χρυσίον ἐκ Σουφὶρ ἤνεγκε 11 **10**
ξύλα πελεκητὰ πολλὰ σφόδρα καὶ λίθον τίμιον· καὶ ἐποίησεν ὁ 12
βασιλεὺς τὰ ξύλα τὰ πελεκητὰ ὑποστηρίγματα τοῦ οἴκου Κυ-
ρίου καὶ τοῦ οἴκου τοῦ βασιλέως καὶ νάβλας καὶ κινύρας τοῖς
ᾠδοῖς. οὐκ ἐληλύθει τοιαῦτα ξύλα ἀπελέκητα ἐπὶ τῆς γῆς, οὐ-
δὲ ὤφθησάν που ἕως τῆς ἡμέρας ταύτης.

.....

27 Αὕτη ἦν ἡ πραγματεία τῆς προνομῆς, ἧς ἀνήνεγκεν ὁ βα- 22α
σιλεὺς Σαλωμὼν οἰκοδομῆσαι τὸν οἶκον Κυρίου καὶ τὸν οἶκον
τοῦ βασιλέως καὶ τὸ τεῖχος Ἰερουσαλὴμ καὶ τὴν ἄκραν, τοῦ
περιφράξαι τὸν φραγμὸν τῆς πόλεως Δαυὶδ καὶ τὴν Ἀσσοὺρ
καὶ τὴν Μαγδὰλ καὶ τὴν Γαζὲρ καὶ τὴν Βεθωρὼν τὴν ἀνωτέρω
καὶ τὴν Ἰεθερμὰθ καὶ πάσας τὰς πόλεις τῶν ἁρμάτων καὶ πά-
σας τὰς πόλεις τῶν ἱππέων καὶ τὴν πραγματείαν Σαλωμών, ἣν
ἐπραγματεύσατο οἰκοδομῆσαι ἐν Ἰερουσαλὴμ καὶ ἐν πάσῃ τῇ
28 γῇ, τοῦ μὴ κατάρξαι αὐτοῦ. πάντα τὸν λαὸν τὸν ὑπολελειμμέ- 22β
νον ὑπὸ τοῦ Χετταίου καὶ τοῦ Ἀμορραίου καὶ τοῦ Φερεζαίου
καὶ τοῦ Χαναναίου καὶ τοῦ Εὐαίου καὶ τοῦ Ἰεβουσαίου καὶ τοῦ
Γεργεσαίου, τῶν μὴ ἐκ τῶν υἱῶν Ἰσραὴλ ὄντων, τὰ τέκνα αὐ-
τῶν τὰ ὑπολελειμμένα μετ' αὐτοῦ ἐν τῇ γῇ, οὓς οὐκ ἐδύναντο
οἱ υἱοὶ Ἰσραὴλ ἐξολοθρεῦσαι αὐτούς, καὶ ἀνήγαγεν αὐτοὺς Σα-
λωμὼν εἰς φόρον ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐκ τῶν υἱῶν Ἰσ- 22γ
ραὴλ οὐκ ἔδωκε Σαλωμὼν πρᾶγμα, ὅτι αὐτοὶ ἦσαν ἄνδρες οἱ
πολεμισταὶ καὶ παῖδες αὐτοῦ καὶ ἄρχοντες καὶ τρισσοὶ αὐτοῦ
καὶ ἄρχοντες τῶν ἁρμάτων αὐτοῦ καὶ ἱππεῖς αὐτοῦ.

.....

5. ΒΑΣΙΛΕΙΣ

1

1 (Γ΄ Βα) Καὶ περισσὸν τοῦ ἐνδιηλλαγμένου, ὃ ὑπελείφθη ἐν 47 **22**
ἡμέραις Ἀσὰ τοῦ πατρὸς αὐτοῦ, ἐπέλεξεν ἀπὸ τῆς γῆς. καὶ βα- 48
σιλεὺς οὐκ ἦν ἐν Ἐδὲμ ἐστηλωμένος. καὶ ὁ βασιλεὺς Ἰωσαφὰτ 49
ἐποίησε νῆας εἰς Θαρσὶς τοῦ πορευθῆναι Ὠφέρδε εἰς χρυσίον,
καὶ οὐκ ἐπορεύθησαν, ὅτι συνετρίβησαν νῆες ἐν Ἀσεὼν Γα-
βέρ. τότε εἶπεν Ὀχοζίας υἱὸς Ἀχαὰβ πρὸς Ἰωσαφάτ· Πορευ- 50
θήτωσαν δοῦλοί μου μετὰ τῶν δούλων σου ταῖς ναυσί· καὶ
οὐκ ἠθέλησεν Ἰωσαφάτ.

2

2 (Δ΄ Βα) Καὶ ἐγενήθη ἐν τῷ τριακοστῷ καὶ ἑβδόμῳ ἔτει τῆς 27 **25**
ἀποικίας τοῦ Ἰωαχὶμ βασιλέως Ἰούδα, ἐν τῷ δωδεκάτῳ μηνὶ
ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνὸς ὕψωσεν Εὐιὰλ Μαρωδὰχ βασι-
λεὺς Βαβυλῶνος ἐν τῷ ἐνιαυτῷ τῆς βασιλείας αὐτοῦ τὴν κεφα-
λὴν Ἰωαχὶμ τοῦ βασιλέως Ἰούδα καὶ ἐξήγαγεν αὐτὸν ἐξ οἴκου
φυλακῆς αὐτοῦ. καὶ ἐλάλησε μετ' αὐτοῦ ἀγαθὰ καὶ ἔδωκε τὸν 28
θρόνον αὐτοῦ ἐπάνωθεν τῶν θρόνων τῶν βασιλέων τῶν μετ'
αὐτοῦ ἐν Βαβυλῶνι, καὶ ἠλλοίωσε τὰ ἱμάτια τῆς φυλακῆς αὐ- 29
τοῦ, καὶ ἤσθιεν ἄρτον διαπαντὸς ἐνώπιον αὐτοῦ πάσας τὰς ἡ-
μέρας τῆς ζωῆς αὐτοῦ· καὶ ἡ ἑστιατορία αὐτοῦ ἑστιατορία δια- 30
παντὸς ἐδόθη αὐτῷ ἐξ οἴκου τοῦ βασιλέως λόγον ἡμέρας ἐν
τῇ ἡμέρᾳ αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.

6. ΤΡΕΙΣ ΣΩΜΑΤΟΦΥΛΑΚΕΣ

1 1 Καὶ ὁ βασιλεὺς Δαρεῖος ἐποίησε δοχὴν μεγάλην πᾶσι τοῖς **3**
ὑπ' αὐτὸν καὶ πᾶσι τοῖς οἰκογενέσιν αὐτοῦ καὶ πᾶσι τοῖς μεγι-
στᾶσι τῆς Μηδίας καὶ τῆς Περσίδος καὶ πᾶσι τοῖς σατράπαις 2
καὶ στρατηγοῖς καὶ τοπάρχαις τοῖς ὑπ' αὐτόν, ἀπὸ τῆς Ἰνδικῆς
2 μέχρις Αἰθιοπίας ἐν ταῖς ἑκατὸν εἰκοσιεπτὰ σατραπίαις. καὶ ἔ- 3
φαγον καὶ ἔπιον καὶ ἐμπλησθέντες ἀνέλυσαν. ὁ δὲ Δαρεῖος ὁ
βασιλεὺς ἀνέλυσεν εἰς τὸν κοιτῶνα ἑαυτοῦ καὶ ἐκοιμήθη καὶ ἔ-
ξυπνος ἐγένετο.

2 1 Τότε οἱ τρεῖς νεανίσκοι οἱ σωματοφύλακες οἱ φυλάσσο- 4
ντες τὸ σῶμα τοῦ βασιλέως εἶπαν ἕτερος πρὸς τὸν ἕτερον· εἴ- 5
πωμεν ἕκαστος ἡμῶν ἕνα λόγον, ὃς ὑπερισχύσει· καὶ οὗ ἐὰν
φανῇ τὸ ῥῆμα αὐτοῦ σοφώτερον τοῦ ἑτέρου, δώσει αὐτῷ Δα-
ρεῖος ὁ βασιλεὺς δωρεὰς μεγάλας καὶ ἐπινίκια μεγάλα καὶ
πορφύραν περιβαλέσθαι καὶ ἐν χρυσώμασι πίνειν καὶ ἐπὶ χρυ- 6
σῷ καθεύδειν καὶ ἅρμα χρυσοχάλινον καὶ κίδαριν βυσσίνην
καὶ μανιάκην περὶ τὸν τράχηλον, καὶ δεύτερος καθιεῖται Δα- 7
ρείου διὰ τὴν σοφίαν αὐτοῦ καὶ συγγενὴς Δαρείου κληθήσε-
2 ται. καὶ τότε γράψαντες ἕκαστος τὸν ἑαυτοῦ λόγον ἐσφραγίσα- 8
ντο καὶ ἔθηκαν ὑπὸ τὸ προσκεφάλαιον Δαρείου τοῦ βασιλέως
καὶ εἶπαν· Ὅταν ἐγερθῇ ὁ βασιλεύς, δώσουσιν αὐτῷ τὸ γράμ- 9
μα, καὶ ὃν ἂν κρίνῃ ὁ βασιλεὺς καὶ οἱ τρεῖς μεγιστᾶνες τῆς
Περσίδος ὅτι οὗ ὁ λόγος αὐτοῦ σοφώτερος, αὐτῷ δοθήσεται
3 τὸ νῖκος καθὼς γέγραπται. ὁ εἷς ἔγραψεν, ὑπερισχύει ὁ οἶνος. 10
ὁ ἕτερος ἔγραψεν ὑπερισχύει ὁ βασιλεύς. ὁ τρίτος ἔγραψεν, ὑ- 11 12
περισχύουσιν αἱ γυναῖκες, ὑπὲρ δὲ πάντα νικᾷ ἡ ἀλήθεια. καὶ 13
ὅτε ἐξηγέρθη ὁ βασιλεύς, λαβόντες τὸ γράμμα ἔδωκαν αὐτῷ,
4 καὶ ἀνέγνω. καὶ ἐξαποστείλας ἐκάλεσε πάντας τοὺς μεγιστᾶ- 14
νας τῆς Περσίδος καὶ τῆς Μηδείας καὶ τοὺς σατράπας καὶ
στρατηγοὺς καὶ τοπάρχας καὶ ὑπάτους καὶ ἐκάθισεν ἐν τῷ
χρηματιστηρίῳ, καὶ ἀνεγνώσθη τὸ γράμμα ἐνώπιον αὐτῶν. καὶ 15
εἶπε· Καλέσατε τοὺς νεανίσκους καὶ αὐτοὶ δηλώσουσι τοὺς
λόγους ἑαυτῶν· καὶ ἐκλήθησαν καὶ εἰσῆλθον. καὶ εἶπαν αὐτοῖς· 16
ἀπαγγείλατε ἡμῖν περὶ τῶν γεγραμμένων.

3 1 Καὶ ἤρξατο ὁ πρῶτος ὁ εἴπας περὶ τῆς ἰσχύος τοῦ οἴνου 17
2 καὶ ἔφη οὕτως· Ἄνδρες, πῶς ὑπερισχύει ὁ οἶνος; πάντας τοὺς
ἀνθρώπους τοὺς πιόντας αὐτὸν πλανᾷ τὴν διάνοιαν· τοῦ τε βα- 18
σιλέως καὶ τοῦ ὀρφανοῦ ποιεῖ τὴν διάνοιαν μίαν, τήν τε τοῦ οἰ-
κέτου καὶ τὴν τοῦ ἐλευθέρου, τήν τε τοῦ πένητος καὶ τὴν τοῦ
3 πλουσίου. καὶ πᾶσαν διάνοιαν μεταστρέφει εἰς εὐωχίαν καὶ εὐ- 19

φροσύνην καὶ οὐ μέμνηται πᾶσαν λύπην καὶ πᾶν ὀφείλημα. καὶ 20
πάσας καρδίας ποιεῖ πλουσίας καὶ οὐ μέμνηται βασιλέα οὐδὲ
4 σατράπην καὶ πάντα διὰ ταλάντων ποιεῖ λαλεῖν. καὶ οὐ μέμνη- 21
νται, ὅταν πίνωσι, φιλιάζειν φίλοις καὶ ἀδελφοῖς, καὶ μετ' οὐ
πολὺ σπῶνται τὰς μαχαίρας· καὶ ὅταν ἀπὸ τοῦ οἴνου ἐγερθῶ- 22
σιν, οὐ μέμνηνται ἃ ἔπραξαν. ὦ ἄνδρες, οὐχ ὑπερισχύει ὁ οἶ- 23
νος, ὅτι οὕτως ἀναγκάζει ποιεῖν; καὶ ἐσίγησεν οὕτως εἴπας.

4 1 Καὶ ἤρξατο ὁ δεύτερος λαλεῖν, ὁ εἴπας περὶ τῆς ἰσχύος **4**
τοῦ βασιλέως·

2 Ὦ ἄνδρες, οὐχ ὑπερισχύουσιν οἱ ἄνθρωποι, τὴν γῆν καὶ 2
τὴν θάλασσαν κατακρατοῦντες καὶ πάντα τὰ ἐν αὐτοῖς; ὁ δὲ 3
βασιλεὺς ὑπερισχύει καὶ κυριεύει αὐτῶν καὶ δεσπόζει αὐτῶν,
3 καὶ πᾶν ὁ ἐὰν εἴπῃ αὐτοῖς, ἐνακούουσιν. ἐὰν εἴπῃ αὐτοῖς ποιῆ- 4
σαι πόλεμον ἕτερος πρὸς τὸν ἕτερον, ποιοῦσιν· ἐὰν δὲ ἐξαπο-
στείλῃ αὐτοὺς πρὸς τοὺς πολεμίους, βαδίζουσι καὶ κατεργά-
ζονται τὰ ὄρη καὶ τὰ τείχη καὶ τοὺς πύργους, φονεύουσι καὶ 5
φονεύονται, καὶ τὸν λόγον τοῦ βασιλέως οὐ παραβαίνουσιν· ἐ-
ὰν δὲ νικήσωσι, τῷ βασιλεῖ κομίζουσι πάντα, καὶ ὅσα ἐὰν προ-
4 νομεύσωσι καὶ τὰ ἄλλα πάντα. καὶ ὅσοι οὐ στρατεύονται οὐδὲ 6
πολεμοῦσιν, ἀλλὰ γεωργοῦσι τὴν γῆν, πάλιν ὅταν σπείρωσι,
θερίσαντες ἀναφέρουσι τῷ βασιλεῖ· καὶ ἕτερος τὸν ἕτερον ἀνα-
γκάζοντες ἀναφέρουσι τοὺς φόρους τῷ βασιλεῖ. καὶ αὐτὸς εἷς 7
μόνος ἐστίν· ἐὰν εἴπῃ ἀποκτεῖναι, ἀποκτέννουσιν· ἐὰν εἴπῃ ἀ-
φεῖναι, ἀφίουσιν· εἶπε πατάξαι, τύπτουσιν· εἶπεν ἐρημῶσαι, ἐ- 8
ρημοῦσιν· εἶπεν οἰκοδομῆσαι, οἰκοδομοῦσιν· εἶπεν ἐκκόψαι, 9
5 ἐκκόπτουσιν· εἶπε φυτεῦσαι, φυτεύουσι. καὶ πᾶς ὁ λαὸς αὐτοῦ 10
καὶ αἱ δυνάμεις αὐτοῦ ἐνακούουσι. πρὸς δὲ τούτοις, αὐτὸς ἀ-
νάκειται, ἐσθίει καὶ πίνει καὶ καθεύδει, αὐτοὶ δὲ τηροῦσι κύ- 11
κλῳ περὶ αὐτὸν καὶ οὐ δύνανται ἕκαστος ἀπελθεῖν καὶ ποιεῖν
τὰ ἔργα αὐτοῦ, οὐδὲ παρακούουσιν αὐτοῦ. ὦ ἄνδρες, πῶς οὐχ 12
ὑπερισχύει ὁ βασιλεύς, ὅτι οὕτως ἐπάκουστός ἐστι; καὶ ἐσίγη-
σεν.

5 1 Ὁ δὲ τρίτος ὁ εἴπας περὶ τῶν γυναικῶν καὶ τῆς ἀληθείας 13
2 –οὗτός ἐστι Ζοροβάβελ– ἤρξατο λαλεῖν· Ἄνδρες, οὐ μέγας ὁ 14
βασιλεὺς καὶ πολλοὶ οἱ ἄνθρωποι καὶ ὁ οἶνος ἰσχύει; τίς οὖν ὁ
δεσπόζων αὐτῶν ἢ τίς ὁ κυριεύων αὐτῶν; οὐχ αἱ γυναῖκες; αἱ 15
γυναῖκες ἐγέννησαν τὸν βασιλέα καὶ πάντα τὸν λαόν, ὃς κυ-
ριεύει τῆς θαλάσσης καὶ τῆς γῆς· καὶ ἐξ αὐτῶν ἐγένοντο, καὶ 16
αὗται ἐξέθρεψαν αὐτοὺς τοὺς φυτεύσαντας τοὺς ἀμπελῶνας,
ἐξ ὧν ὁ οἶνος γίνεται. καὶ αὗται ποιοῦσι τὰς στολὰς τῶν ἀν- 17
θρώπων, καὶ αὗται ποιοῦσι δόξαν τοῖς ἀνθρώποις, καὶ οὐ δύ-
νανται οἱ ἄνθρωποι χωρὶς τῶν γυναικῶν εἶναι. ἐὰν δὲ συναγά- 18
γωσι χρυσίον καὶ ἀργύριον καὶ πᾶν πρᾶγμα ὡραῖον καὶ ἴδωσι
γυναῖκα μίαν καλὴν τῷ εἴδει καὶ τῷ κάλλει, ταῦτα πάντα ἀφέ- 19
ντες, εἰς αὐτὴν ἐκκέχηναν καὶ χάσκοντες τὸ στόμα θεωροῦσιν

αὐτήν, καὶ πάντες αὐτὴν αἱρετίζουσι μᾶλλον ἢ τὸ χρυσίον καὶ
3 τὸ ἀργύριον καὶ πᾶν πρᾶγμα ὡραῖον. ἄνθρωπος τὸν ἑαυτοῦ 20
πατέρα ἐγκαταλείπει, ὃς ἐξέθρεψεν αὐτόν, καὶ τὴν ἰδίαν χώ-
ραν, καὶ πρὸς τὴν ἰδίαν γυναῖκα κολλᾶται καὶ μετὰ τῆς γυναι- 21
κὸς ἀφίησι τὴν ψυχήν, καὶ οὔτε τὸν πατέρα μέμνηται οὔτε τὴν
μητέρα οὔτε τὴν χώραν. καὶ ἐντεῦθεν δεῖ ὑμᾶς γνῶναι ὅτι αἱ 22
γυναῖκες κυριεύουσιν ὑμῶν· οὐχὶ πονεῖτε καὶ μοχθεῖτε, καὶ πά-
ντα ταῖς γυναιξὶ δίδοτε καὶ φέρετε; καὶ λαμβάνει ὁ ἄνθρωπος 23
τὴν ῥομφαίαν αὐτοῦ καὶ ἐκπορεύεται ἐξοδεύειν καὶ λῃστεύειν
καὶ κλέπτειν καὶ εἰς τὴν θάλασσαν πλεῖν καὶ εἰς ποταμούς· καὶ 24
τὸν λέοντα θεωρεῖ καὶ ἐν σκότει βαδίζει, καὶ ὅταν κλέψῃ καὶ
ἁρπάσῃ καὶ λωποδυτήσῃ, τῇ ἐρωμένῃ ἀποφέρει. καὶ πλεῖον ἀ- 25
γαπᾷ ἄνθρωπος τὴν ἰδίαν γυναῖκα μᾶλλον ἢ τὸν πατέρα καὶ
τὴν μητέρα· καὶ πολλοὶ ἀπενοήθησαν ταῖς ἰδίαις διανοίαις διὰ 26
τὰς γυναῖκας καὶ δοῦλοι ἐγένοντο δι' αὐτάς, καὶ πολλοὶ ἀπώ- 27
4 λοντο καὶ ἐσφάλησαν καὶ ἥμαρτον διὰ τὰς γυναῖκας. καὶ νῦν 28
οὐ πιστεύετέ μοι; οὐχὶ μέγας ὁ βασιλεὺς τῇ ἐξουσίᾳ αὐτοῦ; οὐ-
χὶ πᾶσαι αἱ χῶραι εὐλαβοῦνται ἅψασθαι αὐτοῦ; ἐθεώρουν αὐ- 29
τὸν καὶ Ἀπάμην τὴν θυγατέρα Βαρτάκου τοῦ θαυμαστοῦ, τὴν
παλλακὴν τοῦ βασιλέως, καθημένην ἐν δεξιᾷ τοῦ βασιλέως καὶ 30
ἀφαιροῦσαν τὸ διάδημα ἀπὸ τῆς κεφαλῆς τοῦ βασιλέως καὶ ἐ-
πιτιθεῖσαν ἑαυτῇ καὶ ἐρράπιζε τὸν βασιλέα τῇ ἀριστερᾷ· καὶ 31
πρὸς τούτοις ὁ βασιλεὺς χάσκων τὸ στόμα ἐθεώρει αὐτήν. καὶ
ἐὰν προσγελάσῃ αὐτῷ, γελᾷ· ἐὰν δὲ πικρανθῇ ἐπ' αὐτόν, κολα-
κεύει αὐτήν, ὅπως διαλλαγῇ αὐτῷ. ὦ ἄνδρες, πῶς οὐχὶ ἰσχυ- 32
ραὶ αἱ γυναῖκες, ὅτι οὕτω πράσσουσι;
5 Καὶ τότε ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες ἔβλεπον εἷς τὸν ἕ- 33
τερον. καὶ ἤρξατο λαλεῖν περὶ τῆς ἀληθείας.
6 Ἄνδρες, οὐχὶ ἰσχυραὶ αἱ γυναῖκες; μεγάλη ἡ γῆ καὶ ὑψη- 34
λὸς ὁ οὐρανὸς καὶ ταχὺς τῷ δρόμῳ ὁ ἥλιος, ὅτι στρέφεται ἐν
τῷ κύκλῳ τοῦ οὐρανοῦ καὶ πάλιν ἀποτρέχει εἰς τὸν ἑαυτοῦ τό-
πον ἐν μιᾷ ἡμέρᾳ. οὐχὶ μέγας ὃς ταῦτα ποιεῖ; καὶ ἡ ἀλήθεια με- 35
γάλη καὶ ἰσχυροτέρα παρὰ πάντα. πᾶσα ἡ γῆ τὴν ἀλήθειαν κα- 36
λεῖ, καὶ ὁ οὐρανὸς αὐτὴν εὐλογεῖ, καὶ πάντα τὰ ἔργα σείεται
καὶ τρέμει, καὶ οὐκ ἔστι μετ' αὐτῆς ἄδικον οὐδέν. ἄδικος ὁ οἶ- 37
νος, ἄδικος ὁ βασιλεύς, ἄδικοι αἱ γυναῖκες, ἄδικοι πάντες οἱ
υἱοὶ τῶν ἀνθρώπων, καὶ ἄδικα πάντα τὰ ἔργα αὐτῶν τὰ τοιαῦ-
τα· καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἀλήθεια, καὶ ἐν τῇ ἀδικίᾳ αὐτῶν ἀ-
πολοῦνται. ἡ δὲ ἀλήθεια μένει καὶ ἰσχύει εἰς τὸν αἰῶνα καὶ ζῇ 38
7 καὶ κρατεῖ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. καὶ οὐκ ἔστι παρ' αὐτὴν 39
λαμβάνειν πρόσωπα, οὐδὲ διάφορα, ἀλλὰ τὰ δίκαια ποιεῖ ἀπὸ
πάντων τῶν ἀδίκων καὶ πονηρῶν· καὶ πάντες εὐδοκοῦσι τοῖς
ἔργοις αὐτῆς, καὶ οὐκ ἔστιν ἐν τῇ κρίσει αὐτῆς οὐδὲν ἄδικον.
καὶ αὐτῇ ἡ ἰσχὺς καὶ τὸ βασίλειον καὶ ἡ ἐξουσία καὶ ἡ μεγα- 40
λειότης τῶν πάντων αἰώνων. εὐλογητὸς ὁ θεὸς τῆς ἀληθείας.

Καὶ ἐσιώπησε τοῦ λαλεῖν· καὶ πᾶς ὁ λαὸς τότε ἐφώνησε, 41
καὶ τότε εἶπον· Μεγάλη ἡ ἀλήθεια καὶ ὑπερισχύει.

6 1 Τότε ὁ βασιλεὺς εἶπεν αὐτῷ· Αἴτησαι ὃ θέλεις πλείω τῶν 42
γεγραμμένων, καὶ δώσομέν σοι ὃν τρόπον εὑρέθης σοφώτε-
ρος, καὶ ἐχόμενός μου καθήσῃ, καὶ συγγενής μου κληθήσῃ. τό- 43
τε εἶπε τῷ βασιλεῖ· Μνήσθητι τὴν εὐχήν, ἣν ηὔξω, οἰκοδομῆ-
σαι τὴν Ἰερουσαλὴμ ἐν τῇ ἡμέρᾳ, ᾗ τὸ βασίλειόν σου παρέλα-
βες, καὶ πάντα τὰ σκεύη τὰ ληφθέντα ἐξ Ἰερουσαλὴμ καὶ ἐκ- 44
πέμψαι, ἃ ἐχώρισε Κῦρος, ὅτε ηὔξατο ἐκκόψαι Βαβυλῶνα, καὶ
ηὔξατο ἐξαποστεῖλαι ἐκεῖ. καὶ σὺ ηὔξω οἰκοδομῆσαι τὸν ναόν, 45
ὃν ἐνεπύρισαν οἱ Ἰδουμαῖοι, ὅτε ἠρημώθη ἡ Ἰουδαία ὑπὸ τῶν
Χαλδαίων. καὶ νῦν τοῦτό ἐστιν, ὅ σε ἀξιῶ, κύριε βασιλεῦ, καὶ 46
ὃ αἰτοῦμαί σε, καὶ αὕτη ἐστὶν ἡ μεγαλωσύνη ἡ παρὰ σοῦ· δέο-
μαι οὖν ἵνα ποιήσῃς τὴν εὐχήν, ἣν ηὔξω τῷ βασιλεῖ τοῦ οὐρα-
4 νοῦ ποιῆσαι ἐκ στόματός σου. τότε ἀναστὰς Δαρεῖος ὁ βασι- 47
λεὺς κατεφίλησεν αὐτὸν καὶ ἔγραψεν αὐτῷ τὰς ἐπιστολὰς
πρὸς πάντας τοὺς οἰκονόμους καὶ τοπάρχας καὶ στρατηγοὺς
καὶ σατράπας, ἵνα προπέμψωσιν αὐτὸν καὶ τοὺς μετ' αὐτοῦ
πάντας ἀναβαίνοντας οἰκοδομῆσαι τὴν Ἰερουσαλήμ. καὶ πᾶσι 48
τοῖς τοπάρχαις ἐν κοίλῃ Συρίᾳ καὶ Φοινίκῃ καὶ τοῖς ἐν τῷ Λι-
βάνῳ ἔγραψεν ἐπιστολὰς μεταφέρειν ξύλα κέδρινα ἀπὸ τοῦ Λι-
βάνου εἰς Ἰερουσαλὴμ καὶ ὅπως οἰκοδομήσωσι μετ' αὐτοῦ τὴν
5 πόλιν. καὶ ἔγραψε πᾶσι τοῖς Ἰουδαίοις τοῖς ἀναβαίνουσιν ἀπὸ 49
τῆς βασιλείας εἰς τὴν Ἰουδαίαν ὑπὲρ τῆς ἐλευθερίας, πάντα
δυνατὸν καὶ τοπάρχην καὶ σατράπην καὶ οἰκονόμον μὴ ἀπελεύ-
σεσθαι ἐπὶ τὰς θύρας αὐτῶν, καὶ πᾶσαν τὴν χώραν, ἣν κρα- 50
τοῦσιν, ἀφορολόγητον αὐτοῖς ὑπάρχειν, καὶ ἵνα οἱ Ἰδουμαῖοι
ἀφίωσι τὰς κώμας, ἃς διακρατοῦσι τῶν Ἰουδαίων, καὶ εἰς τὴν 51
οἰκοδομὴν τοῦ ἱεροῦ δοθῆναι κατ' ἐνιαυτὸν τάλαντα εἴκοσι μέ-
χρι τοῦ οἰκοδομηθῆναι, καὶ ἐπὶ τὸ θυσιαστήριον ὁλοκαυτώμα- 52
τα καρποῦσθαι καθ' ἡμέραν, καθὰ ἔχουσιν ἐντολὴν ἑπτακαίδε-
κα προσφέρειν, ἄλλα τάλαντα, δέκα κατ' ἐνιαυτόν, καὶ πᾶσι 53
τοῖς προσβαίνουσιν ἀπὸ τῆς Βαβυλωνίας κτίσαι τὴν πόλιν, ὑ-
πάρχειν τὴν ἐλευθερίαν, αὐτοῖς τε καὶ τοῖς ἐκγόνοις αὐτῶν,
6 καὶ πᾶσι τοῖς ἱερεῦσι τοῖς προσβαίνουσιν. ἔγραψε δὲ καὶ τὴν 54
χορηγίαν καὶ τὴν ἱερατικὴν στολήν, ἐν ᾗ λατρεύουσιν ἐν αὐτῇ.
καὶ τοῖς Λευῖταις ἔγραψε δοῦναι τὴν χορηγίαν ἕως τῆς ἡμέ- 55
ρας, ἧς ἐπιτελεσθῇ ὁ οἶκος καὶ Ἰερουσαλὴμ οἰκοδομηθῆναι,
καὶ πᾶσι τοῖς φρουροῦσι τὴν πόλιν ἔγραψε δοῦναι αὐτοῖς κλή- 56
ρους καὶ ὀψώνια. καὶ ἐξαπέστειλε πάντα τὰ σκεύη, ἃ ἐχώρισε 57
Κῦρος ἀπὸ Βαβυλῶνος· καὶ πάντα, ὅσα εἶπε Κῦρος ποιῆσαι,
καὶ αὐτὸς ἐπέταξε ποιῆσαι καὶ ἐξαποστεῖλαι εἰς Ἰερουσαλήμ.

7 1 Καὶ ὅτε ἐξῆλθεν ὁ νεανίσκος, ἄρας τὸ πρόσωπον εἰς τὸν 58
οὐρανὸν ἐναντίον Ἰερουσαλὴμ εὐλόγησε τῷ βασιλεῖ τοῦ οὐρα-
νοῦ λέγων· Παρὰ σοῦ ἡ νίκη, καὶ παρὰ σοῦ ἡ σοφία, καὶ σὴ ἡ 59

δόξα καὶ ἐγὼ σὸς οἰκέτης. εὐλογητὸς εἶ, ὃς ἔδωκάς μοι σο- 60
2 φίαν, καὶ σοὶ ὁμολογῶ, δέσποτα τῶν πατέρων. καὶ ἔλαβε τὰς 61
ἐπιστολὰς καὶ ἐξῆλθε καὶ ἦλθεν εἰς Βαβυλῶνα καὶ ἀπήγγειλε
τοῖς ἀδελφοῖς αὐτοῦ πᾶσι. καὶ εὐλόγησαν τὸν θεὸν τῶν πατέ- 62
ρων αὐτῶν, ὅτι ἔδωκεν αὐτοῖς ἄνεσιν καὶ ἄφεσιν ἀναβῆναι καὶ 63
οἰκοδομῆσαι τὴν Ἰερουσαλὴμ καὶ τὸ ἱερόν, οὗ ὠνομάσθη τὸ ὄ-
νομα αὐτοῦ ἐπ' αὐτῷ. καὶ ἐκωθωνίζοντο μετὰ μουσικῶν καὶ
χαρᾶς ἡμέρας ἑπτά.

7-8. ΒΗΛ ΚΑΙ ΔΡΑΚΩΝ

Καὶ ὁ βασιλεὺς Ἀστυάγης προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ,
2 καὶ παρέλαβε Κῦρος ὁ Πέρσης τὴν βασιλείαν αὐτοῦ. καὶ ἦν Δανιὴλ
συμβιωτὴς τοῦ βασιλέως καὶ ἔνδοξος ὑπὲρ πάντας τοὺς φίλους αὐ-
3 τοῦ. καὶ ἦν εἴδωλον τοῖς Βαβυλωνίοις, ᾧ ὄνομα Βήλ, καὶ ἐδαπανῶντο
εἰς αὐτὸν ἑκάστης ἡμέρας σεμιδάλεως ἀρτάβαι δώδεκα καὶ πρόβατα
4 τεσσαράκοντα καὶ οἴνου μετρηταὶ ἕξ. καὶ ὁ βασιλεὺς ἐσέβετο αὐτὸν
καὶ ἐπορεύετο καθ' ἑκάστην ἡμέραν προσκυνεῖν αὐτῷ· Δανιὴλ δὲ προ-
σεκύνει τῷ θεῷ αὐτοῦ. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· Διατί οὐ προσκυ-
5 νεῖς τῷ Βήλ; ὁ δὲ εἶπεν· Ὅτι οὐ σέβομαι εἴδωλα χειροποίητα, ἀλλὰ
τὸν ζῶντα θεὸν τὸν κτίσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ ἔχοντα πά-
6 σης σαρκὸς κυριείαν. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· Οὐ δοκεῖ σοι Βὴλ εἶ-
7 ναι ζῶν θεός; ἢ οὐχ ὁρᾷς ὅσα ἐσθίει καὶ πίνει καθ' ἑκάστην ἡμέραν;
καὶ εἶπε Δανιὴλ γελάσας· Μὴ πλανῶ, βασιλεῦ· οὗτος γὰρ ἔσωθεν μέν
8 ἐστι πηλὸς ἔξωθεν δὲ χαλκὸς καὶ οὐ βέβρωκεν οὐδὲ πέπωκε πώποτε.
θυμωθεὶς δὲ ὁ βασιλεὺς ἐκάλεσε τοὺς ἱερεῖς αὐτοῦ καὶ εἶπεν αὐτοῖς·
Ἐὰν μὴ εἴπητέ μοι τίς ὁ κατέσθων τὴν δαπάνην ταύτην, ἀποθανεῖσθε.
9 ἐὰν δὲ δείξητε ὅτι Βὴλ κατεσθίει αὐτά, Δανιὴλ ἀποθανεῖται, ὅτι ἐβλα-
σφήμησεν εἰς τὸν Βήλ. καὶ εἶπε Δανιὴλ τῷ βασιλεῖ· Γινέσθω κατὰ τὸ
10 ῥῆμά σου. καὶ ἦσαν ἱερεῖς τοῦ Βὴλ ἑβδομήκοντα ἐκτὸς γυναικῶν καὶ
11 τέκνων. καὶ ἦλθεν ὁ βασιλεὺς μετὰ Δανιὴλ εἰς τὸν οἶκον τοῦ Βήλ. καὶ
εἶπαν οἱ ἱερεῖς τοῦ Βήλ· Ἰδοὺ ἡμεῖς ἀποτρέχομεν ἔξω, σὺ δέ, βασιλεῦ,
παράθες τὰ βρώματα καὶ τὸν οἶνον κεράσας θὲς καὶ ἀπόκλεισον τὴν
θύραν καὶ σφράγισον τῷ δακτυλίῳ σου· καὶ ἐλθὼν πρωΐ, ἐὰν μὴ εὕ-
ρῃς πάντα βεβρωμένα ὑπὸ τοῦ Βήλ, ἀποθανούμεθα ἢ Δανιὴλ ὁ ψευδό-
12 μενος καθ' ἡμῶν. αὐτοὶ δὲ κατεφρόνουν, ὅτι πεποιήκεισαν ὑπὸ τὴν
τράπεζαν κεκρυμμένην εἴσοδον καὶ δι' αὐτῆς εἰσεπορεύοντο διόλου
13 καὶ ἀνήλουν αὐτά. καὶ ἐγένετο ὡς ἐξῆλθον ἐκεῖνοι, καὶ ὁ βασιλεὺς πα-
14 ρέθηκε τὰ βρώματα τῷ Βήλ. καὶ ἐπέταξε Δανιὴλ τοῖς παιδαρίοις αὐ-
τοῦ καὶ ἤνεγκαν τέφραν καὶ κατέστρωσαν ὅλον τὸν ναὸν ἐνώπιον τοῦ
βασιλέως μόνου· καὶ ἐξελθόντες ἔκλεισαν τὴν θύραν καὶ ἐσφραγίσα-
15 ντο ἐν τῷ δακτυλίῳ τοῦ βασιλέως, καὶ ἀπῆλθον. οἱ δὲ ἱερεῖς ἦλθον
τὴν νύκτα κατὰ τὸ ἔθος αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐ-
16 τῶν καὶ κατέφαγον πάντα καὶ ἐξέπιον. καὶ ὤρθρισεν ὁ βασιλεὺς τὸ
17 πρωΐ καὶ Δανιὴλ μετ' αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεύς· Σῷοι αἱ σφραγῖδες,
18 Δανιήλ; ὁ δὲ εἶπε· Σῷοι, βασιλεῦ. καὶ ἐγένετο ἅμα τῷ ἀνοῖξαι τὰς θύ-
ρας, ἐπιβλέψας ἐπὶ τὴν τράπεζαν ὁ βασιλεὺς ἐβόησε φωνῇ μεγάλῃ·
19 Μέγας εἶ, Βήλ, καὶ οὐκ ἔστι παρὰ σοὶ δόλος οὐδὲ εἷς. καὶ ἐγέλασε Δα-
νιὴλ καὶ ἐκράτησε τὸν βασιλέα τοῦ μὴ εἰσελθεῖν αὐτὸν ἔσω καὶ εἶπεν·
20 Ἴδε δὴ τὸ ἔδαφος καὶ γνῶθι τίνος τὰ ἴχνη ταῦτα. καὶ εἶπεν ὁ βασι-

21 λεύς· ὁρῶ τὰ ἴχνη ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων. καὶ ὀργισθεὶς ὁ
βασιλεὺς τότε συνέλαβε τοὺς ἱερεῖς καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα αὐ-
τῶν, καὶ ἔδειξαν αὐτῷ τὰς κρυπτὰς θύρας, δι' ὧν εἰσεπορεύοντο καὶ
22 ἐδαπάνων τὰ ἐπὶ τῆς τραπέζης. καὶ ἀπέκτεινεν αὐτοὺς ὁ βασιλεὺς καὶ
ἔδωκε τὸν Βὴλ ἔκδοτον τῷ Δανιήλ, καὶ κατέστρεψεν αὐτὸν καὶ τὸ ἱερὸν
αὐτοῦ.

* * *

23 24 Καὶ ἦν δράκων μέγας, καὶ ἐσέβοντο αὐτὸν οἱ Βαβυλώνιοι. καὶ εἶ-
πεν ὁ βασιλεὺς τῷ Δανιήλ· Μὴ καὶ τοῦτον ἐρεῖς ὅτι χαλκοῦς ἐστιν; ἰ-
δοὺ ζῇ καὶ ἐσθίει καὶ πίνει· οὐ δύνασαι εἰπεῖν ὅτι οὐκ ἔστιν οὗτος θε-
25 ὸς ζῶν, καὶ προσκύνησον αὐτῷ. καὶ εἶπε Δανιήλ· Κυρίῳ τῷ θεῷ μου
26 προσκυνήσω, ὅτι οὗτός ἐστι θεὸς ζῶν· σὺ δέ, βασιλεῦ, δός μοι ἐξου-
σίαν, καὶ ἀποκτενῶ τὸν δράκοντα ἄνευ μαχαίρας καὶ ῥάβδου καὶ εἶ-
27 πεν ὁ βασιλεύς· Δίδωμί σοι. καὶ ἔλαβεν ὁ Δανιὴλ πίσσαν καὶ στέαρ
καὶ τρίχας καὶ ἥψησεν ἐπὶ τὸ αὐτὸ καὶ ἐποίησε μάζας καὶ ἔδωκεν εἰς
τὸ στόμα τοῦ δράκοντος, καὶ φαγὼν διερράγη ὁ δράκων. καὶ εἶπεν· Ἴ-
28 δετε τὰ σεβάσματα ὑμῶν. καὶ ἐγένετο ὡς ἤκουσαν οἱ Βαβυλώνιοι, ἠ-
γανάκτησαν λίαν καὶ συνεστράφησαν ἐπὶ τὸν βασιλέα καὶ εἶπαν· Ἰου-
δαῖος γέγονεν ὁ βασιλεύς· τὸν Βὴλ κατέσπασε καὶ τὸν δράκοντα ἀπέ-
29 κτεινε καὶ τοὺς ἱερεῖς κατέσφαξε. καὶ εἶπαν ἐλθόντες πρὸς τὸν βασι-
λέα· Παράδος ἡμῖν τὸν Δανιήλ· εἰ δὲ μή, ἀποκτενοῦμέν σε καὶ τὸν οἰ-
30 κόν σου. καὶ εἶδεν ὁ βασιλεὺς ὅτι ἐπείγουσιν αὐτὸν σφόδρα, καὶ ἀνα-
31 γκασθεὶς ὁ βασιλεὺς παρέδωκεν αὐτοῖς τὸν Δανιήλ. οἱ δὲ ἔβαλον αὐ-
32 τὸν εἰς τὸν λάκκον τῶν λεόντων, καὶ ἦν ἐκεῖ ἡμέρας ἕξ. ἦσαν δὲ ἐν τῷ
λάκκῳ ἑπτὰ λέοντες, καὶ ἐδίδοτο αὐτοῖς τὴν ἡμέραν δύο σώματα καὶ
δύο πρόβατα· τότε δὲ οὐκ ἐδόθη αὐτοῖς, ἵνα καταφάγωσι τὸν Δανιήλ.
33 καὶ ἦν Ἀββακοὺμ ὁ προφήτης ἐν τῇ Ἰουδαίᾳ, καὶ αὐτὸς ἥψησεν ἕψεμα
καὶ ἐνέθρυψεν ἄρτους εἰς σκάφην καὶ ἐπορεύετο εἰς τὸ πεδίον ἀπενέ-
34 γκαι τοῖς θερισταῖς. καὶ εἶπεν ὁ ἄγγελος Κυρίου τῷ Ἀββακούμ· ἀπέ-
νεγκε τὸ ἄριστον, ὃ ἔχεις, εἰς Βαβυλῶνα τῷ Δανιὴλ εἰς τὸν λάκκον
35 τῶν λεόντων. καὶ εἶπεν Ἀββακούμ· Κύριε, Βαβυλῶνα οὐχ ἑώρακα καὶ
36 τὸν λάκκον οὐ γινώσκω. καὶ ἐπελάβετο ὁ ἄγγελος Κυρίου τῆς κορυ-
φῆς αὐτοῦ καὶ βαστάσας τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ ἔθηκεν αὐτὸν
37 εἰς Βαβυλῶνα ἐπάνω τοῦ λάκκου ἐν τῷ ῥοίζῳ τοῦ πνεύματος αὐτοῦ.
καὶ ἐβόησεν Ἀββακοὺμ λέγων· Δανιὴλ Δανιήλ, λάβε τὸ ἄριστον, ὃ ἀ-
38 πέστειλέ σοι ὁ θεός. καὶ εἶπε Δανιήλ· Ἐμνήσθης γάρ μου, ὁ θεός, καὶ
39 οὐκ ἐγκατέλιπες τοὺς ἀγαπῶντάς σε. καὶ ἀναστὰς Δανιὴλ ἔφαγεν· ὁ
δὲ ἄγγελος τοῦ θεοῦ ἀποκατέστησε τὸν Ἀββακοὺμ παραχρῆμα εἰς
40 τὸν τόπον αὐτοῦ. ὁ δὲ βασιλεὺς ἦλθε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ πενθῆσαι
τὸν Δανιήλ· καὶ ἦλθεν ἐπὶ τὸν λάκκον καὶ ἐνέβλεψε, καὶ ἰδοὺ Δανιὴλ
41 καθήμενος. καὶ ἀναβοήσας φωνῇ μεγάλῃ εἶπε· Μέγας εἶ, Κύριε ὁ θεὸς
42 τοῦ Δανιήλ, καὶ οὐκ ἔστιν ἄλλος πλὴν σοῦ. καὶ ἀνέσπασεν αὐτόν,
τοὺς δὲ αἰτίους τῆς ἀπωλείας αὐτοῦ ἐνέβαλεν εἰς τὸν λάκκον, καὶ κα-
τεβρώθησαν παραχρῆμα ἐνώπιον αὐτοῦ.

9. ΣΩΣΑΝΝΑ

I 2 Καὶ ἦν ἀνὴρ οἰκῶν ἐν Βαβυλῶνι, καὶ ὄνομα αὐτῷ Ἰωακίμ. καὶ ἔ-
λαβε γυναῖκα, ᾗ ὄνομα Σωσάννα, θυγάτηρ Χελκίου, καλὴ σφόδρα καὶ
3 φοβουμένη τὸν Κύριον. καὶ οἱ γονεῖς αὐτῆς δίκαιοι καὶ ἐδίδαξαν τὴν
4 θυγατέρα αὐτῶν κατὰ τὸν νόμον Μωϋσῆ. καὶ ἦν Ἰωακὶμ πλούσιος
σφόδρα, καὶ ἦν αὐτῷ παράδεισος γειτνιῶν τῷ οἴκῳ αὐτοῦ· καὶ πρὸς
αὐτὸν προσήγοντο οἱ Ἰουδαῖοι διὰ τὸ εἶναι αὐτὸν ἐνδοξότερον πά-
5 ντων. καὶ ἀπεδείχθησαν δύο πρεσβύτεροι ἐκ τοῦ λαοῦ κριταὶ ἐν τῷ ἐ-
νιαυτῷ ἐκείνῳ, περὶ ὧν ἐλάλησεν ὁ δεσπότης, ὅτι ἐξῆλθεν ἀνομία ἐκ
Βαβυλῶνος ἐκ πρεσβυτέρων κριτῶν, οἳ ἐδόκουν κυβερνᾶν τὸν λαόν.
6 οὗτοι προσεκαρτέρουν ἐν τῇ οἰκίᾳ Ἰωακίμ, καὶ ἤρχοντο πρὸς αὐτοὺς
7 πάντες οἱ κρινόμενοι. καὶ ἐγένετο ἡνίκα ἀπέτρεχεν ὁ λαὸς μέσον ἡμέ-
ρας, εἰσεπορεύετο Σωσάννα καὶ περιεπάτει ἐν τῷ παραδείσῳ τοῦ ἀν-
8 δρὸς αὐτῆς. καὶ ἐθεώρουν αὐτὴν οἱ δύο πρεσβύτεροι καθ' ἡμέραν εἰ-
9 σπορευομένην καὶ περιπατοῦσαν καὶ ἐγένοντο ἐν ἐπιθυμίᾳ αὐτῆς. καὶ
διέστρεψαν τὸν ἑαυτῶν νοῦν καὶ ἐξέκλιναν τοὺς ὀφθαλμοὺς αὐτῶν
τοῦ μὴ βλέπειν εἰς τὸν οὐρανόν, μηδὲ μνημονεύειν κριμάτων δικαίων.
10 καὶ ἦσαν ἀμφότεροι κατανενυγμένοι περὶ αὐτῆς καὶ οὐκ ἀνήγγειλαν
11 ἀλλήλοις τὴν ὀδύνην αὐτῶν, ὅτι ᾐσχύνοντο ἀναγγεῖλαι τὴν ἐπιθυμίαν
12 αὐτῶν ὅτι ἤθελον συγγενέσθαι αὐτῇ. καὶ παρετήρουν φιλοτίμως καθ'
13 ἡμέραν ὁρᾶν αὐτήν. καὶ εἶπαν ἕτερος τῷ ἑτέρῳ· Πορευθῶμεν δὴ εἰς
οἶκον, ὅτι ἀρίστου ὥρα ἐστί. καὶ ἐξελθόντες διεχωρίσθησαν ἀπ' ἀλλή-
14 λων, καὶ ἀνακάμψαντες ἦλθον ἐπὶ τὸ αὐτὸ καὶ ἀνετάζοντες ἀλλήλους
τὴν αἰτίαν, ὡμολόγησαν τὴν ἐπιθυμίαν αὐτῶν· καὶ τότε κοινῇ συνετά-
15 ξαντο καιρὸν ὅτε αὐτὴν δυνήσονται εὑρεῖν μόνην. καὶ ἐγένετο ἐν τῷ
παρατηρεῖν αὐτοὺς ἡμέραν εὔθετον εἰσῆλθέ ποτε καθὼς ἐχθὲς καὶ τρί-
της ἡμέρας μετὰ δύο μόνων κορασίων καὶ ἐπεθύμησε λούσασθαι ἐν
16 τῷ παραδείσῳ, ὅτι καῦμα ἦν. καὶ οὐκ ἦν οὐδεὶς ἐκεῖ πλὴν οἱ δύο πρε-
17 σβύτεροι κεκρυμμένοι καὶ παρατηροῦντες αὐτήν. καὶ εἶπε τοῖς κορα-
σίοις· Ἐνέγκατε δή μοι ἔλαιον καὶ σμήγματα καὶ τὰς θύρας τοῦ παρα-
18 δείσου κλείσατε, ὅπως λούσωμαι. καὶ ἐποίησαν καθὼς εἶπε καὶ ἀπέ-
κλεισαν τὰς θύρας τοῦ παραδείσου καὶ ἐξῆλθαν κατὰ τὰς πλαγίας θύ-
ρας ἐνέγκαι τὰ προστεταγμένα αὐταῖς καὶ οὐκ εἶδον τοὺς πρεσβυτέ-
19 ρους, ὅτι ἦσαν κεκρυμμένοι. καὶ ἐγένετο ὡς ἐξῆλθον τὰ κοράσια, καὶ
20 ἀνέστησαν οἱ δύο πρεσβῦται καὶ ἐπέδραμον αὐτῇ καὶ εἶπον· Ἰδοὺ αἱ
θύραι τοῦ παραδείσου κέκλεινται, καὶ οὐδεὶς θεωρεῖ ἡμᾶς, καὶ ἐν ἐπι-
21 θυμίᾳ σού ἐσμεν· διὸ συγκατάθου ἡμῖν καὶ γενοῦ μεθ' ἡμῶν· εἰ δὲ μή,
καταμαρτυρήσομέν σου ὅτι ἦν μετὰ σοῦ νεανίσκος καὶ διὰ τοῦτο ἐξα-
22 πέστειλας τὰ κοράσια ἀπὸ σοῦ. καὶ ἀνεστέναξε Σωσάννα καὶ εἶπε·
Στενά μοι πάντοθεν· ἐάν τε γὰρ τοῦτο πράξω, θάνατός μοί ἐστιν, ἐάν

23 τε μὴ πράξω, οὐκ ἐκφεύξομαι τὰς χεῖρας ὑμῶν. αἱρετώτερόν μοί ἐστι
μὴ πράξασαν ἐμπεσεῖν εἰς χεῖρας ὑμῶν ἢ ἁμαρτεῖν ἐνώπιον Κυρίου.
24 καὶ ἀνεβόησε φωνῇ μεγάλῃ Σωσάννα, ἐβόησαν δὲ καὶ οἱ δύο πρεσβῦ-
25 ται κατέναντι αὐτῆς. καὶ δραμὼν ὁ εἷς ἤνοιξε τὰς θύρας τοῦ παραδεί-
26 σου. ὡς δὲ ἤκουσαν τὴν κραυγὴν ἐν τῷ παραδείσῳ οἱ ἐκ τῆς οἰκίας,
27 εἰσεπήδησαν διὰ τῆς πλαγίας θύρας ἰδεῖν τὸ συμβεβηκὸς αὐτῇ. ἡνίκα
δὲ εἶπαν οἱ πρεσβῦται τοὺς λόγους αὐτῶν, κατῃσχύνθησαν οἱ δοῦλοι
σφόδρα, ὅτι πώποτε οὐκ ἐρρήθη λόγος τοιοῦτος περὶ Σωσάννης.

28 Καὶ ἐγένετο τῇ ἐπαύριον ὡς συνῆλθεν ὁ λαὸς πρὸς τὸν ἄνδρα αὐ-
τῆς Ἰωακίμ, ἦλθον οἱ δύο πρεσβῦται πλήρεις τῆς ἀνόμου ἐννοίας κα-
29 τὰ Σωσάννης τοῦ θανατῶσαι αὐτὴν καὶ εἶπαν ἔμπροσθεν τοῦ λαοῦ· Ἀ-
ποστείλατε ἐπὶ Σωσάνναν θυγατέρα Χελκίου, ἥ ἐστι γυνὴ Ἰωακίμ· οἱ
30 δὲ ἀπέστειλαν. καὶ ἦλθεν αὐτὴ καὶ οἱ γονεῖς αὐτῆς καὶ τὰ τέκνα αὐτῆς
31 καὶ πάντες οἱ συγγενεῖς αὐτῆς· ἡ δὲ Σωσάννα ἦν τρυφερὰ σφόδρα καὶ
32 καλὴ τῷ εἴδει. οἱ δὲ παράνομοι ἐκέλευσαν ἀποκαλυφθῆναι αὐτήν, ἦν
33 γὰρ κατακεκαλυμμένη, ὅπως ἐμπλησθῶσι τοῦ κάλλους αὐτῆς· ἔ-
34 κλαιον δὲ οἱ παρ' αὐτῆς καὶ πάντες οἱ ἰδόντες αὐτήν. ἀναστάντες δὲ
οἱ δύο πρεσβῦται ἐν μέσῳ τῷ λαῷ ἔθηκαν τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν
35 αὐτῆς· ἡ δὲ κλαίουσα ἀνέβλεψεν εἰς τὸν οὐρανόν, ὅτι ἦν ἡ καρδία αὐ-
36 τῆς πεποιθυῖα ἐπὶ τῷ Κυρίῳ. εἶπον δὲ οἱ πρεσβῦται· Περιπατούντων
ἡμῶν ἐν τῷ παραδείσῳ μόνων, εἰσῆλθεν αὕτη μετὰ δύο παιδισκῶν
καὶ ἀπέκλεισε τὰς θύρας τοῦ παραδείσου καὶ ἀπέλυσε τὰς παιδίσκας·
37 καὶ ἦλθε πρὸς αὐτὴν νεανίσκος, ὃς ἦν κεκρυμμένος, καὶ ἀνέπεσε μετ'
38 αὐτῆς. ἡμεῖς δὲ ὄντες ἐν τῇ γωνίᾳ τοῦ παραδείσου, ἰδόντες τὴν ἀνο-
39 μίαν ἐδράμομεν ἐπ' αὐτούς· καὶ ἰδόντες συγγινομένους αὐτούς, ἐκεί-
νου μὲν οὐκ ἠδυνήθημεν ἐγκρατεῖς γενέσθαι διὰ τὸ ἰσχύειν αὐτὸν ὑ-
40 πὲρ ἡμᾶς καὶ ἀνοίξαντα τὰς θύρας ἐκπεπηδηκέναι, ταύτης δὲ ἐπιλαβό-
41 μενοι ἐπηρωτῶμεν Τίς ἦν ὁ νεανίσκος, καὶ οὐκ ἠθέλησεν ἀγγεῖλαι ἡ-
μῖν. ταῦτα μαρτυροῦμεν. καὶ ἐπίστευσεν αὐτοῖς ἡ συναγωγὴ ὡς πρε-
42 σβυτέροις τοῦ λαοῦ καὶ κριταῖς καὶ κατέκρινον αὐτὴν ἀποθανεῖν. ἀνε-
βόησε δὲ φωνῇ μεγάλῃ Σωσάννα καὶ εἶπεν· Ὁ θεὸς ὁ αἰώνιος ὁ τῶν
43 κρυπτῶν γνώστης, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, σὺ ἐπί-
στασαι ὅτι ψευδῆ μου κατεμαρτύρησαν· καὶ ἰδοὺ ἀποθνῄσκω μὴ ποιή-
σασα μηδὲν ὧν οὗτοι ἐπονηρεύσαντο κατ' ἐμοῦ.

44 45 Καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς αὐτῆς. καὶ ἀπαγομένης αὐτῆς
ἀπολέσθαι, ὁ θεὸς ἐξήγειρε τὸ πνεῦμα τὸ ἅγιον παιδαρίου νεωτέρου,
46 ᾧ ὄνομα Δανιήλ, καὶ ἐβόησε φωνῇ μεγάλῃ· Ἀθῷος ἐγὼ ἀπὸ τοῦ αἵμα-
47 τος ταύτης. ἐπέστρεψε δὲ πᾶς ὁ λαὸς πρὸς αὐτὸν καὶ εἶπαν· Τίς ὁ λό-
48 γος οὗτος, ὃν σὺ λελάληκας; ὁ δὲ στὰς ἐν μέσῳ αὐτῶν εἶπεν· Οὕτω
μωροὶ οἱ υἱοὶ Ἰσραήλ; οὐκ ἀνακρίναντες οὐδὲ τὸ σαφὲς ἐπιγνόντες
49 κατεκρίνατε θυγατέρα Ἰσραήλ; ἀναστρέψατε εἰς τὸ κριτήριον· ψευδῆ
50 γὰρ οὗτοι κατεμαρτύρησαν αὐτῆς. καὶ ἀνέστρεψε πᾶς ὁ λαὸς μετὰ
σπουδῆς. καὶ εἶπαν αὐτῷ οἱ πρεσβύτεροι· Δεῦρο κάθισον ἐν μέσῳ ἡ-
51 μῶν καὶ ἀνάγγειλον ἡμῖν, ὅτι σοὶ δέδωκεν ὁ θεὸς τὸ πρεσβεῖον. καὶ εἶ-
πε πρὸς αὐτοὺς Δανιήλ· Διαχωρίσατε αὐτοὺς ἀπ' ἀλλήλων μακράν,

52 καὶ ἀνακρινῶ αὐτούς. ὡς δὲ διεχωρίσθησαν εἷς ἀπὸ τοῦ ἑνός, ἐκάλε-
σε τὸν ἕνα αὐτῶν καὶ εἶπε πρὸς αὐτόν· Πεπαλαιωμένε ἡμερῶν κακῶν,
53 νῦν ἥκασιν αἱ ἁμαρτίαι σου, ἃς ἐποίεις τὸ πρότερον κρίνων κρίσεις ἀ-
δίκους καὶ τοὺς μὲν ἀθῴους κατακρίνων, ἀπολύων δὲ τοὺς αἰτίους,
54 λέγοντος τοῦ Κυρίου· Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς· νῦν οὖν
ταύτην εἴπερ εἶδες, εἰπόν· ὑπὸ τί δένδρον εἶδες αὐτοὺς ὁμιλοῦντας
55 ἀλλήλοις; ὁ δὲ εἶπεν· Ὑπὸ σχῖνον. εἶπε δὲ Δανιήλ· Ὀρθῶς ἔψευσαι
εἰς τὴν σεαυτοῦ κεφαλήν· ἤδη γὰρ ἄγγελος θεοῦ λαβὼν φάσιν παρὰ
56 τοῦ θεοῦ σχίσει σε μέσον. καὶ μεταστήσας αὐτὸν ἐκέλευσε προσαγα-
γεῖν τὸν ἕτερον· καὶ εἶπεν αὐτῷ· Σπέρμα Χαναὰν καὶ οὐκ Ἰούδα, τὸ
57 κάλλος ἐξηπάτησέ σε, καὶ ἐπιθυμία διέστρεψε τὴν καρδίαν σου· οὕ-
τως ἐποιεῖτε ταῖς θυγατράσιν Ἰσραήλ, καὶ ἐκεῖναι φοβούμεναι ὡμί-
58 λουν ὑμῖν, ἀλλ' οὐ θυγάτηρ Ἰούδα ὑπέμεινε τὴν ἀνομίαν ὑμῶν. νῦν
οὖν λέγε μοι· ὑπὸ τί δένδρον κατέλαβες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις;
59 ὁ δὲ εἶπεν· Ὑπὸ πρῖνον. εἶπε δὲ αὐτῷ Δανιήλ· Ὀρθῶς ἔψευσαι καὶ σὺ
εἰς τὴν σεαυτοῦ κεφαλήν· μένει γὰρ ὁ ἄγγελος τοῦ θεοῦ τὴν ῥομφαίαν
60 ἔχων πρίσαι σε μέσον, ὅπως ἐξολοθρεύσῃ ὑμᾶς. καὶ ἀνεβόησε πᾶσα
ἡ συναγωγὴ φωνῇ μεγάλῃ καὶ εὐλόγησαν τῷ θεῷ τῷ σῴζοντι τοὺς
61 ἐλπίζοντας ἐπ' αὐτόν. καὶ ἀνέστησαν ἐπὶ τοὺς δύο πρεσβύτας, ὅτι συ-
νέστησεν αὐτοὺς Δανιὴλ ἐκ τοῦ στόματος αὐτῶν ψευδομαρτυρήσα-
62 ντας, καὶ ἐποίησαν αὐτοῖς ὃν τρόπον ἐπονηρεύσαντο τῷ πλησίον,
ποιῆσαι κατὰ τὸν νόμον Μωϋσῆ, καὶ ἀπέκτειναν αὐτούς· καὶ ἐσώθη
63 αἷμα ἀναίτιον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Χελκίας δὲ καὶ ἡ γυνὴ αὐτοῦ
ᾔνεσαν τὸν θεὸν περὶ τῆς θυγατρὸς αὐτῶν μετὰ Ἰωακὶμ τοῦ ἀνδρὸς
αὐτῆς καὶ τῶν συγγενῶν πάντων, ὅτι οὐχ εὑρέθη ἐν αὐτῇ ἄσχημον
64 πρᾶγμα. καὶ Δανιὴλ ἐγένετο μέγας ἐνώπιον τοῦ λαοῦ ἀπὸ τῆς ἡμέρας
ἐκείνης καὶ ἐπέκεινα.

10. ΑΧΙΑΧΑΡΟΣ

1

...Ἐβασίλευσε Σαχερδονὸς υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ (=τοῦ Σενναχηρίμ), καὶ ἔταξεν Ἀχιάχαρον τὸν Ἀναὴλ υἱὸν τοῦ ἀδελφοῦ μου ἐπὶ πᾶσαν τὴν ἐκλογιστίαν τῆς βασιλείας αὐτοῦ καὶ ἐπὶ πᾶσαν τὴν διοίκησιν. καὶ ἠξίωσεν Ἀχιάχαρος περὶ ἐμοῦ, καὶ ἦλθον εἰς Νινευή. Ἀχιάχαρος δὲ ἦν ὁ οἰνοχόος καὶ ἐπὶ τοῦ δακτυλίου καὶ διοικητὴς καὶ ἐκλογιστής, καὶ κατέστησεν αὐτὸν ὁ Σαχερδονὸς ἐκ δευτέρας· ἦν δὲ ἐξάδελφός μου.

Τωβὶτ 1,21-22

2

Ἀφώδευσαν τὰ στρουθία θερμὸν εἰς τοὺς ὀφθαλμούς μου, καὶ ἐγενήθη λευκώματα ἐν τοῖς ὀφθαλμοῖς μου. καὶ ἐπορεύθην πρὸς ἰατρούς, καὶ οὐκ ὠφέλησάν με· Ἀχιάχαρος δὲ ἔτρεφέ με, ἕως οὗ ἐπορεύθην εἰς τὴν Ἐλυμαΐδα.

Τωβὶτ 2,10

3

Παρεγένετο Ἀχιάχαρος καὶ Νασβὰς ὁ ἐξάδελφος αὐτοῦ, καὶ ἤχθη ὁ γάμος Τωβία μετ' εὐφροσύνης ἡμέρας ἑπτά.

Τωβὶτ 11,17-18

4

Τέκνον, ἴδε τί ἐποίησεν Ἀμὰν Ἀχιαχάρῳ τῷ θρέψαντι αὐτόν, ὡς ἐκ τοῦ φωτὸς ἤγαγεν αὐτὸν εἰς τὸ σκότος, καὶ ὅσα ἀνταπέδωκεν αὐτῷ· καὶ Ἀχιάχαρος μὲν ἐσώθη, ἐκείνῳ δὲ τὸ ἀνταπόδομα ἀπεδόθη, καὶ αὐτὸς κατέβη εἰς τὸ σκότος. Μανασσῆς ἐποίησεν ἐλεημοσύνην καὶ ἐσώθη ἐκ παγίδος θανάτου, ἧς ἔπηξεν αὐτῷ, Ἀμὰν δὲ ἐνέπεσεν εἰς τὴν παγίδα καὶ ἀπώλετο. καὶ νῦν, παιδία, ἴδετε τί ἐλεημοσύνη ποιεῖ, καὶ τί δικαιοσύνη ῥύεται.

Τωβὶτ 14,10-11

5

Δημόκριτος τοὺς Βαβυλωνίους Λόγους Ἠθικοὺς <ἰδίους> πεποίηται· λέγεται γὰρ τὴν Ἀκιακάρου στήλην ἑρμηνευθεῖσαν τοῖς ἰδίοις συντάξαι συγγράμμασι κᾆτα ἐπισημήνασθαι <ὡς> παρ' αὐτοῦ 'Τάδε λέγει Δημόκριτος' γράφων.

Κλήμης, Στρωμ. 1,15,69

11. ΜΑΝΑΣΣΗΣ

1

10 Τέκνον, ἴδε τί ἐποίησεν Ἀμὰν Ἀχιαχάρῳ τῷ θρέψαντι αὐτόν, ὡς ἐκ τοῦ φωτὸς ἤγαγεν αὐτὸν εἰς τὸ σκότος, καὶ ὅσα ἀνταπέδωκεν αὐτῷ· καὶ Ἀχιάχαρος μὲν ἐσώθη, ἐκείνῳ δὲ τὸ ἀνταπόδομα ἀπεδόθη, καὶ αὐτὸς κατέβη εἰς τὸ σκότος. Μανασσῆς ἐποίησεν ἐλεημοσύνην καὶ ἐσώθη ἐκ παγίδος θανάτου, ἧς ἔπηξεν αὐ-
11 τῷ, Ἀμὰν δὲ ἐνέπεσεν εἰς τὴν παγίδα καὶ ἀπώλετο. καὶ νῦν, παιδία, ἴδετε τί ἐλεημοσύνη ποιεῖ, καὶ τί δικαιοσύνη ῥύεται.

Τωβὶτ 14,10-11

2

1 Καὶ ἤκουσεν ἐν ἐκείναις ταῖς ἡμέραις Ἰουδίθ, θυγάτηρ Μεραρί, υἱοῦ Ὤξ, υἱοῦ Ἰωσήφ, υἱοῦ Ὀχιήλ, υἱοῦ Ἑλκία, υἱοῦ Ἠλιού, υἱοῦ Χελκίου, υἱοῦ Ἐλιάβ, υἱοῦ Ναθαναήλ, υἱοῦ Σαλαμι-
2 ήλ, υἱοῦ Σαρασαδαΐ, υἱοῦ Ἰσραήλ. καὶ ὁ ἀνὴρ αὐτῆς Μανασσῆς τῆς φυλῆς αὐτῆς καὶ τῆς πατριᾶς αὐτῆς, καὶ ἀπέθανεν ἐν
3 ἡμέραις θερισμοῦ κριθῶν· ἐπέστη γὰρ ἐπὶ τοῦ δεσμεύοντος τὸ δράγμα ἐν τῷ πεδίῳ, καὶ ὁ καύσων ἦλθεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ἔπεσεν ἐπὶ τὴν κλίνην καὶ ἐτελεύτησεν ἐν Βαιτυλούᾳ
4 τῇ πόλει αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν τῷ ἀγρῷ τῷ ἀνὰ μέσον Δωθαΐμ καὶ Βαλαμών. καὶ ἦν Ἰουδὶθ ἐν τῷ οἴκῳ αὐτῆς χηρεύουσα ἔτη τρία καὶ μῆνας τέσσαρας. .....
7 καὶ ἦν καλὴ τῷ εἴδει καὶ ὡραία τῇ ὄψει σφόδρα· καὶ ὑπελίπετο αὐτῇ Μανασσῆς, ὁ ἀνὴρ αὐτῆς, χρυσίον καὶ ἀργύριον καὶ παῖδας καὶ παιδίσκας καὶ κτήνη καὶ ἀγρούς, καὶ ἔμενεν ἐπ' αὐ-
8 τῶν. καὶ οὐκ ἦν ὃς ἐπήνεγκεν αὐτῇ ῥῆμα πονηρόν, ὅτι ἐφοβεῖτο τὸν θεὸν σφόδρα.

Ἰουδὶθ 8,1-4· 7-8

3

3 Ἐνεδύσατο τὰ ἱμάτια τῆς εὐφροσύνης αὐτῆς, ἐν οἷς ἐστολίζετο ἐν ταῖς ἡμέραις τῆς ζωῆς τοῦ ἀνδρὸς αὐτῆς Μανασσῆ.

Ἰουδὶθ 10,3

4

21 Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἀνέζευξεν ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ, καὶ Ἰουδὶθ ἀπῆλθεν εἰς Βαιτυλούα καὶ κατέμεινεν ἐπὶ τῆς ὑπάρξεως αὐτῆς· καὶ ἐγένετο κατὰ τὸν καιρὸν

22 αὐτῆς ἔνδοξος ἐν πάσῃ τῇ γῇ. καὶ πολλοὶ ἐπεθύμησαν αὐτήν,
καὶ οὐκ ἔγνω ἀνὴρ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῆς,
ἀφ' ἧς ἡμέρας ἀπέθανε Μανασσῆς ὁ ἀνὴρ αὐτῆς, καὶ προσετέ-
23 θη πρὸς τὸν λαὸν αὐτοῦ. καὶ ἦν προβαίνουσα μεγάλη σφόδρα
καὶ ἐγήρασεν ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς ἔτη ἑκατὸν πέντε·
καὶ ἀφῆκε τὴν ἄβραν αὐτῆς ἐλευθέραν. καὶ ἀπέθανεν εἰς Βαιτυ-
λούα, καὶ ἔθαψαν αὐτὴν ἐν τῷ σπηλαίῳ τοῦ ἀνδρὸς αὐτῆς Μα-
24 νασσῆ, καὶ ἐπένθησεν αὐτὴν οἶκος Ἰσραὴλ ἡμέρας ἑπτά. καὶ
διεῖλε τὰ ὑπάρχοντα αὐτῆς πρὸ τοῦ ἀποθανεῖν αὐτὴν πᾶσι τοῖς
ἔγγιστα Μανασσῆ τοῦ ἀνδρὸς αὐτῆς καὶ τοῖς ἔγγιστα τοῦ γέ-
νους αὐτῆς.

Ἰουδὶθ 16,21-24

5

85 14 (Καὶ ἐλάλησε Κύριος ἐπὶ Μανασσῆ καὶ ἐπὶ τὸν λαὸν αὐτοῦ, 10 **33**
καὶ οὐκ ἐπήκουσαν). Καὶ ἤγαγε Κύριος ἐπ' αὐτοὺς τοὺς ἄρχο- 11
ντας τῆς δυνάμεως τοῦ βασιλέως Ἀσσούρ, καὶ κατέλαβον τὸν
Μανασσῆ ἐν δεσμοῖς καὶ ἔδησαν αὐτὸν ἐν πέδαις καὶ ἤγαγον
εἰς Βαβυλῶνα. καὶ ὡς ἐθλίβη, ἐζήτησε τὸ πρόσωπον θεοῦ τοῦ 12
Κυρίου αὐτοῦ καὶ ἐταπεινώθη σφόδρα ἀπὸ προσώπου θεοῦ πα-
τέρων αὐτοῦ. καὶ προσηύξατο πρὸς αὐτόν, καὶ ἐπήκουσεν αὐ- 13
τοῦ· καὶ ἐπήκουσε τῆς βοῆς αὐτοῦ καὶ ἐπέστρεψεν αὐτὸν εἰς Ἰε-
ρουσαλὴμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ· καὶ ἔγνω Μανασσῆς ὅτι
Κύριος αὐτός ἐστι θεός. καὶ μετὰ ταῦτα ᾠκοδόμησε τεῖχος ἔξω 14
τῆς πόλεως Δαυὶδ ἀπὸ λιβὸς κατὰ Γιὼν ἐν τῷ χειμάρρῳ καὶ
κατὰ τὴν εἴσοδον τὴν διὰ τῆς πύλης τῆς ἰχθυϊκῆς ἐκπορευομέ-
νων τὴν πύλην τὴν κυκλόθεν καὶ εἰς Ὀφλὰ καὶ ὕψωσε σφόδρα.
καὶ κατέστησεν ἄρχοντας τῆς δυνάμεως ἐν πάσαις ταῖς πόλεσι
ταῖς τειχήρεσιν ἐν Ἰούδᾳ καὶ περιεῖλε τοὺς θεοὺς τοὺς ἀλλο- 15
τρίους καὶ τὸ γλυπτὸν ἐξ οἴκου Κυρίου καὶ πάντα τὰ θυσιαστή-
ρια, ἃ ᾠκοδόμησεν ἐν ὄρει οἴκου Κυρίου καὶ ἐν Ἰερουσαλὴμ
καὶ ἔξωθεν τῆς πόλεως. καὶ κατώρθωσε τὸ θυσιαστήριον Κυ- 16
ρίου καὶ ἐθυσίασεν ἐπ' αὐτὸ θυσίαν σωτηρίου καὶ αἰνέσεως καὶ
εἶπε τῷ Ἰούδα τοῦ δουλεύειν Κυρίῳ θεῷ Ἰσραήλ· πλὴν ἔτι ὁ
λαὸς ἐπὶ τῶν ὑψηλῶν ἐθυσίαζε· πλὴν Κύριος ὁ θεὸς αὐτῶν. 17
(καὶ τὰ λοιπὰ τῶν λόγων Μανασσῆ) καὶ ἡ προσευχὴ αὐτοῦ ἡ 18
πρὸς τὸν θεὸν (καὶ οἱ λόγοι τῶν ὁρώντων τῶν λαλούντων
πρὸς αὐτὸν ἐπ' ὀνόματι τοῦ θεοῦ Ἰσραὴλ) ἰδοὺ ἐπὶ Λόγων προ-
σευχῆς αὐτοῦ, ὡς καὶ ἐπήκουσεν αὐτοῦ, (καὶ πᾶσαι αἱ ἁμαρτίαι
αὐτοῦ καὶ αἱ ἀποστάσεις αὐτοῦ καὶ οἱ τόποι, ἐφ' οἷς ᾠκοδόμη- 19
σεν ἐν αὐτοῖς τὰ ὑψηλὰ καὶ ἔστησαν ἐκεῖ ἄλση καὶ γλυπτά),
πρὸ τοῦ ἐπιστρέψαι, (ἰδοὺ γέγραπται ἐπὶ τῶν Λόγων τῶν ὁρώ- 20
ντων. καὶ ἐκοιμήθη Μανασσῆς...).

Παραλειπομένη 85,14 (Β΄ 33,10-20)

6

Ἀκούσατε δή, ὦ ἐπίσκοποι, πρὸς τὰ τοιαῦτα ὠφέλιμον ὑ- 3
πόδειγμα· γέγραπται γὰρ ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν καὶ ἐν
τῇ δευτέρᾳ τῶν Παραλειπομένων τῇ τῶν ἡμερῶν οὕτως·

«(Υἱὸς Μανασσῆς ἐν τῷ βασιλεύειν αὐτὸν δωδεκαετής, 4
καὶ πεντήκοντα πέντε ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ, καὶ ὄ-
νομα τῇ μητρὶ αὐτοῦ Ἐψιβά.....
.....
καί γε αἷμα ἀθῷον ἐξέχεε Μανασσῆς πολὺ σφόδρα, ἕως οὗ ἔ- 9
πλησε τὴν Ἰερουσαλὴμ στόμα ἐπὶ στόματι, πλὴν ἀπὸ τῶν ἁ-
μαρτιῶν αὐτοῦ ὧν ἐξήμαρτε τὸν Ἰούδαν ποιῆσαι τὸ πονηρὸν
ἐν ὀφθαλμοῖς Κυρίου (Βα 117,1-16). καὶ ἤγαγεν Κύριος ἐπ' αὐ- 10
τὸν τοὺς ἄρχοντας τῆς δυνάμεως τοῦ βασιλέως Ἀσσούρ, καὶ
κατελάβοντο τὸν Μανασσῆν ἐν δεσμοῖς καὶ ἔδησαν αὐτὸν ἐν
πέδαις χαλκαῖς καὶ ἤγαγον αὐτὸν εἰς Βαβυλῶνα· καὶ ἦν δεδε-
μένος καὶ κατασεσιδηρωμένος ὅλος ἐν οἴκῳ φυλακῆς, καὶ ἐδί-
δοτο αὐτῷ ἐκ πιτύρων ἄρτος ἐν σταθμῷ βραχὺς καὶ ὕδωρ σὺν
ὄξει ὀλίγον ἐν μέτρῳ, ὥστε ζῆν αὐτόν, καὶ ἦν συνεχόμενος
καὶ ὀδυνώμενος σφόδρα. καὶ ὡς βιαίως ἐθλίβη, ἐζήτησεν τὸ 11
πρόσωπον Κυρίου τοῦ θεοῦ αὐτοῦ, καὶ ἐταπεινώθη σφόδρα ἀ-
πὸ προσώπου Κυρίου τοῦ θεοῦ τῶν πατέρων αὐτοῦ, καὶ προ-
σηύξατο πρὸς Κύριον τὸν θεὸν λέγων·

1 Κύριε παντοκράτορ, ὁ θεὸς τῶν πατέρων ἡμῶν, 12
τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ
καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δικαίου,
ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν σὺν παντὶ τῷ κόσμῳ αὐτῶν,
5 ὁ πεδήσας τὴν θάλασσαν τῷ λόγῳ τοῦ προστάγματός σου,
ὁ κλείσας τὴν ἄβυσσον καὶ σφραγισάμενος αὐτὴν
τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματί σου,
ὃν πάντα φρίσσει καὶ τρέμει ἀπὸ προσώπου δυνάμεώς σου,
ὅτι ἄστεκτος ἡ μεγαλοπρέπεια τῆς δόξης σου
10 καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου,
ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας σου·
ὅτι σὺ εἶ Κύριος μακρόθυμος, εὔσπλαγχνος, πολυέλεος
καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις τῶν ἀνθρώπων·
ὅτι σύ, ὁ θεός, κατὰ τὴν χρηστότητα τῆς ἀγαθωσύνης σου
15 ἐπηγγείλω μετανοίας ἄφεσιν τοῖς ἡμαρτηκόσιν,
καὶ τῷ πλήθει τῶν οἰκτιρμῶν σου
ὥρισας μετάνοιαν ἁμαρτωλοῖς εἰς σωτηρίαν.
σὺ οὖν, Κύριε ὁ θεὸς τῶν δικαίων, 13
οὐκ ἔθου μετάνοιαν δικαίοις,
20 τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τοῖς οὐχ ἡμαρτηκόσιν σοι,
ἀλλ' ἔθου μετάνοιαν ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ,
διότι ἥμαρτον ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης.

ἐπλήθυναν αἱ ἀνομίαι μου, Κύριε, ἐπλήθυναν αἱ ἀνομίαι μου,
καὶ οὐκέτι εἰμὶ ἄξιος ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ
ἀπὸ πλήθους τῶν ἀδικιῶν μου,
κατακαμπτόμενος πολλῷ δεσμῷ σιδήρου,
διότι παρώργισα τὸν θυμόν σου
'καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα'
στήσας βδελύγματα καὶ πληθύνας προσοχθίσματα.
καὶ νῦν κλίνω γόνυ καρδίας μου, 14
δεόμενος τῆς παρὰ σοῦ χρηστότητος.
ἡμάρτηκα, Κύριε, ἡμάρτηκα,
'καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω'·
ἀλλ' αἰτοῦμαι δεόμενός σου· ἄνες μοι,
Κύριε, ἄνες μοι, καὶ μὴ συναπολέσῃς με ταῖς ἀνομίαις μου,
μηδὲ εἰς τὸν αἰῶνα μηνίσας τηρήσῃς τὰ κακά μοι,
μηδὲ καταδικάσῃς με 'ἐν τοῖς κατωτάτοις τῆς γῆς'·
ὅτι σὺ εἶ ὁ θεὸς τῶν μετανοούντων,
καὶ ἐν ἐμοὶ δείξεις τὴν ἀγαθωσύνην σου,
ὅτι ἀνάξιον ὄντα σώσεις με κατὰ τὸ πολὺ ἔλεός σου·
καὶ αἰνέσω σε διαπαντὸς ἐν πάσαις ταῖς ἡμέραις τῆς ζωῆς μου,
ὅτι σὲ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν
καὶ σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Καὶ ἐπήκουσεν τῆς φωνῆς αὐτοῦ Κύριος καὶ ᾠκτίρησεν 15
αὐτόν· καὶ ἐγένετο περὶ αὐτὸν φλὸξ πυρός, καὶ ἐτάκησαν πάντα τὰ περὶ αὐτὸν σίδηρα, καὶ ἰάσατο Κύριος τὸν Μανασσῆν ἐκ τῆς θλίψεως αὐτοῦ καὶ ἐπέστρεψεν αὐτὸν εἰς Ἰερουσαλὴμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ. καὶ ἔγνω Μανασσῆς, ὅτι Κύριος αὐ- 16
τός ἐστιν θεὸς μόνος, καὶ ἐλάτρευσεν μόνῳ Κυρίῳ τῷ θεῷ ἐν ὅλῃ τῇ καρδίᾳ αὐτοῦ καὶ ἐν ὅλῃ τῇ ψυχῇ αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, καὶ ἐλογίσθη δίκαιος. καὶ περιεῖλεν τοὺς 17
θεοὺς τοὺς ἀλλοτρίους καὶ τὸ γλυπτὸν ἐξ οἴκου Κυρίου καὶ πάντα τὰ θυσιαστήρια, ἃ ᾠκοδόμησεν ἐν ὄρει οἴκου Κυρίου καὶ ἐν Ἰερουσαλήμ. καὶ ἐξέβαλεν ἔξω τῆς πόλεως· καὶ κατώρθωσε τὸ θυσιαστήριον Κυρίου, καὶ ἐθυσίασεν ἐπ' αὐτῷ θυσίαν σωτηρίου καὶ αἰνέσεως, καὶ εἶπε Μανασσῆς τῷ Ἰούδᾳ τοῦ δουλεύειν Κυρίῳ τῷ θεῷ Ἰσραήλ. καὶ ἐκοιμήθη ἐν εἰρήνῃ μετὰ 18
τῶν πατέρων αὐτοῦ· καὶ ἐβασίλευσεν Ἀμὼς ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ, καὶ ἐποίησεν τὸ πονηρὸν ἐνώπιον Κυρίου κατὰ πάντα, ὅσα ἐποίησε Μανασσῆς ὁ πατὴρ αὐτοῦ ἐν πρώτοις, καὶ παρώξυνεν Κύριον τὸν θεὸν αὐτοῦ».

Διαταγαὶ ἀποστόλων 2,22,3-4· 9-18

Ὡρολόγιον· ἔχει ὅλη τὴν προσευχὴ (12-14) μὲ λίγες διαφορὲς ποὺ χωροῦν σὲ συνηθισμένο κριτικὸ ὑπόμνημα.

Ἐφραὶμ ὁ Σύρος· ἔχει τὸ στίχο 10.

7

Μανασσῆς βασιλεὺς Ἰερουσαλήμ, υἱὸς Ἐζεκίου, βασιλεύσας ἔτη νε΄ Ἰουδαίας, ὃς ἐγένετο μιαρώτατος καὶ ἀσεβέστατος καὶ παρανομώτατος ὑπὲρ πάντας ἀνθρώπους ἐπὶ εἰδωλομανίᾳ καὶ αἱματεκχυσίᾳ, καὶ τὸν μέγαν Ἠσαΐαν πρίσας καὶ τὴν Ἰερουσαλὴμ αἱμάτων ἀθῴων πληρώσας, οὐχ ἧττον εἰδωλολάτρησε τῶν Ἀμορραίων. καὶ μέντοι καὶ τὸν οἶκον Κυρίου καταμολύνας, καὶ τετραπρόσωπον εἴδωλον τοῦ Διὸς ἐν αὐτῷ στήσας, οὐ διέλειπεν οἰωνιζόμενος καὶ φαρμακεύων καὶ αἰσχρουργῶν καὶ μοιχώμενος καὶ πᾶν εἶδος κακίας μεθ' ὑπερβολῆς διαπραττόμενος. διὸ καὶ κατὰ θείαν ὀργὴν συλληφθεὶς ὑπὸ Μαρωδὰχ βασιλέως Ἀσσυρίων δέσμιος εἰς Νινευὴ τὴν πόλιν αἰχμάλωτος ἀπήχθη, καὶ ἐς τὸ χαλκοῦν ἄγαλμα καθείρχθη. συνιεὶς δὲ ἐπὶ τοῖς πλημμελήμασιν ἀξίαν εἰληφέναι τὴν τιμωρίαν, ἐδεήθη τοῦ Κυρίου συγγνῶναί οἱ ἐπὶ ταῖς ἁμαρτίαις· μὴ γὰρ εἶναι μέγα θεοῦ ἐγκώμιον, εἰ δίκαιον σώσειεν, ἀγαθοῦ δέ, εἰ μετάνοιαν ἁμαρτωλοῦ προσοῖτο. καὶ τὸ μὲν ἄγαλμα θείᾳ δυνάμει διερράγη, ὁ δὲ θεὸς ἠγάθυνε τὸν βασιλέα, καὶ εἰς Ἰερουσαλὴμ αὐτὸν ἐξέπεμψεν. ὃ δὲ ἐπανελθὼν καὶ θείας χρηστότητος πεῖραν λαβὼν πᾶσαν μὲν εἰδωλικὴν κατέστρεψε σκηνήν, τὸ δὲ ἱερὸν τοῦ θεοῦ ἥγνισε, καὶ τὸν νόμον ἐφύλαξε, καὶ τὴν πόλιν τειχίσας καὶ ἐπικτίσας διεῖπε δικαίως καὶ εὐσεβῶς. δεδεμένῳ δὲ ὄντι ἐν φυλακῇ ἐν πέδαις χαλκαῖς ἐν Βαβυλῶνι ἐδίδοσαν αὐτῷ ἐκ πιτύρων ἄρτον βραχὺν καὶ ὕδωρ ὀλίγον σὺν ὄξει μετρητῷ, πρὸς τὸ ζῆν αὐτὸν καὶ μόνον. καὶ τότε προσηύξατο πρὸς Κύριον "Κύριε παντοκράτορ"· καὶ ἐπακούσας ὁ θεὸς τῆς φωνῆς αὐτοῦ ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν, καὶ ὑπέστρεψεν εἰς Ἰερουσαλήμ, καὶ λατρεύσας Κυρίῳ ἐξ ὅλης καρδίας, ἐλογίσθη δίκαιος.

Σούμμα (=Σουΐδα, Σούδα)

8

Denique cum aegrotasset Ezechias in tempore quodam, et venisset ad eum Esaias propheta visitandum, vocavit Ezechias filium suum Manassen, et coepit ei mandare, quod debeat Deum timere quomodo regere regnum, et alia multa. et dixit ad eum Esaias: Vere quia non descendunt verba tua in cor eius, sed et meipsum oportet per manum eius interfici. quod audiens Ezechias, volebat filium suum interficere, dicens: Quia melius est me sine filio mori, quam talem filium relinquere, qui et deum exasperet et sanctos eius persequatur. tenuit autem eum vix Esaias propheta, dicens: Irritum faciat deus consilium tuum hoc; videns Ezechiae religionem, quia plus amabat deum, quam

filium suum. tamen cum multa gessisset impie hic Manasses, adduxit super eum deus principes virtutis regis Assur, et comprehenderunt Manassen in vinculis, et ligaverunt eum in compedibus, et perduxerunt eum in Babylonian, et erat ligatus et catenatus in domo carceris, et dabatur ei panis hordeaceus ad mensuram modicus, et aqua cum aceto modica ad mensuram, ut viveret tantum, et erat constrictus in doloribus valde (Βα 117 καὶ Πα 85). et ideo cum vehementer affligeretur, quaesivit faciem Domini dei sui, et oravit deum qui omnibus abstat, et exaudivit Dominus vocem eius, et misertus est ei. et facta est circa eum flamma ignis, et liquefacta sunt omnia vincula eius. liberavitque Dominus Manassen ex omni tribulatione eius, et reversus est in Ierusalem in regnum suum, et cognovit Dominum Manasses, dicens: Ipse est solus deus. et servivit soli Domino Deo in toto corde suo, et in tota anima sua omnibus diebus vitae suae, et reputatus est iustus: et ideo forte vocatus est ab insurgente, vel ex oblivione, quia liberavit eum Dominus ab insurgente, et ex oblivione dei factus est memor dei.

«Χρυσόστομος», Opus imperfectum in Matthaei Evangelium, I

Μεταφράζω·

Τέλος, ὅταν κάποτε ἀρρώστησε ὁ Ἐζεκίας, καὶ πῆγε νὰ τὸν ἐπισκεφτῇ ὁ προφήτης Ἠσαΐας, ὁ Ἐζεκίας φώναξε τὸ γιό του Μανασσῆ κι ἄρχισε νὰ τὸν συμβουλεύῃ λέγοντάς του ὅτι πρέπει νὰ ἔχῃ φόβο θεοῦ, καὶ πῶς νὰ βασιλεύῃ στὸ βασίλειό του, καὶ πολλὰ ἄλλα. κι ὁ Ἠσαΐας τοῦ εἶπε· Νὰ σοῦ πῶ τὴν ἀλήθεια, τὰ λόγια σου δὲν μπαίνουν στὴν καρδιά του· ἀπὸ τὸ χέρι του μέλλω νὰ φονευτῶ κι ἐγὼ ὁ ἴδιος. ὅταν τ' ἄκουσε αὐτὸ ὁ Ἐζεκίας, θέλησε νὰ σκοτώσῃ τὸ γιό του, καὶ εἶπε· Εἶναι καλλίτερα νὰ πεθάνω χωρὶς γιό, παρὰ ν' ἀφήσω πίσω μου τέτοιο γιό, ὁ ὁποῖος καὶ τὸ θεὸ θὰ ἐξοργίσῃ καὶ τοὺς ἁγίους του θὰ διώξῃ. ὁ προφήτης Ἠσαΐας ὅμως, πού, ὅταν εἶδε τὴ θεοσέβεια τοῦ Ἐζεκίου, ὅτι ἀγαποῦσε τὸ θεὸ παρὰ τὸ γιό του, μὲ δυσκολία τὸν συγκράτησε, τοῦ εἶπε· Κι ὁ θεὸς θὰ ματαιώσῃ τὸ σχέδιό του; ὅταν ὅμως ὁ Μανασσῆς αὐτὸς διέπραξε πολλὲς ἀσέβειες, ὁ θεὸς τοῦ ἔφερε ἐναντίον του τοὺς γενναίους ἀξιωματικοὺς τοῦ βασιλέως τῶν Ἀσσούρ, κι ἐκεῖνοι συνέλαβαν τὸ Μανασσῆ, τὸν ἔδεσαν χειροπόδαρα καὶ τὸν ἔσυραν στὴ Βαβυλωνία δεμένον κι ἁλυσιδωμένον, στὴ φυλακή, καὶ τοῦ ἔδιναν ἐλάχιστο κρίθινο ψωμὶ καὶ νερὸ μὲ ξίδι, ἴσα ἴσα νὰ κρατιέται στὴ ζωή, καὶ γενικὰ τὸν εἶχαν στριμωγμένο πολὺ ἄγρια στοὺς πόνους. γι' αὐτὸ καὶ ὅταν ταπεινώθηκε πάρα πολύ, ἀναζήτησε τὸ πρόσωπο τοῦ θεοῦ του, καὶ προσευχήθηκε σ' αὐτὸν ποὺ τοὺς βοηθάει ὅλους, κι ὁ θεὸς εἰσάκουσε τὴ φωνή του καὶ τὸν ἐλέησε. καὶ ἄναψε γύρω του φωτιά, καὶ ἔλιωσαν ὅλα τὰ δεσμά

του. κι ὁ θεὸς ἀπελευθέρωσε τὸ Μανασσῆ ἀπ' ὅλες τὶς θλίψεις του καὶ τὸν ἐπέστρεψε στὴν Ἰερουσαλήμ, στὸ βασίλειό του. κι ὁ Μανασσῆς ἀναγνώρισε τὸ θεὸ λέγοντας· Αὐτὸς εἶναι ὁ μόνος θεός. καὶ ὑπηρέτησε μόνο τὸν Κύριο τὸ θεὸ μὲ ὅλη τὴν καρδιά του καὶ μὲ ὅλη τὴν ψυχή του ὅλες τὶς ἡμέρες τῆς ζωῆς του, καὶ ξαναθεωρήθηκε δίκαιος. γι' αὐτὸ καὶ ἀνακλήθηκε πολὺ ἀποφασιστικὰ ἀπὸ τὸ σατανᾶ, δηλαδὴ ἀπὸ τὴν ἐπιλησμονή, διότι ὁ Κύριος τὸν ἀπελευθέρωσε ἀπὸ τὸ σατανᾶ, καὶ ἀντὶ ἐπιλήσμονος τοῦ θεοῦ ἔγινε μνήμων τοῦ θεοῦ.

Ψευδοχρυσόστομος, Ἡμιτελὲς ἔργον Εἰς τὸ Εὐαγγέλιον τοῦ Ματθαίου, 1 ἔκδ. B. Montfaucon, t. 6, p. 751abc.

9

Διὸ «κἀγώ», φησίν, «ἀπὸ γὰρ τῆς σήμερον παιδία ποιήσω, ἃ ἀναγγελοῦσι τὴν δικαιοσύνην σου, Κύριε τῆς σωτηρίας μου, καὶ οὐ παύσομαι εὐλογῶν σε πάσας τὰς ἡμέρας τῆς ζωῆς μου» (Ἡσ 38,21+· παλιὰ στιχαρίθμησι 38,19-20 Προσευχὴ Ἐζεκίου), ὅπερ ἔργῳ καὶ λόγῳ ἐξεπλήρωσεν εὐλογῶν τὸν θεόν. 2

Τὸ δὲ «παιδία ποιήσω, ἃ ἀναγγελοῦσι τὴν δικαιοσύνην σου», τοῦτο προφητικόν· Καλλιγόνη γὰρ οὕτω καλουμένη ἡ γυνὴ αὐτοῦ συνελάβετο τηνικαῦτα παιδία τρία ὁμοῦ, Ἀνανίαν Ἀζαρίαν καὶ Μισαὴλ (Αἰ 1,8-9). τεχθέντες γοῦν καὶ αἰχμάλωτοι ἀπενεχθέντες μετὰ καὶ Δανιὴλ τοῦ προφήτου καὶ τεσσαράκοντα χιλιάδων Ἰουδαίων εἰς Βαβυλῶνα, ἐκεῖσε παγκόσμιον ὑμνῳδίαν τῷ θεῷ ἐν τῇ καμίνῳ βληθέντες συνέπλεξαν καὶ ἀνήγγειλαν τὴν δικαιοσύνην τοῦ θεοῦ κατὰ τὴν πατρικὴν προφητείαν Χαλδαίοις καὶ πάσῃ τῇ γῇ. κατὰ γὰρ τὴν τοῦ θείου Ματθαίου γενεαλογίαν, «Ἐζεκίας ἐγέννησε τὸν Μανασσῆν, Μανασσῆς ἐγέννησε τὸν Ἀμών, Ἀμὼν δὲ τὸν Ἰωσίαν, Ἰωσίας δὲ τὸν» Ἰωακίμ, Ἰωακὶμ δὲ τὸν «Ἰεχονίαν», ὅτε καὶ ἡ μετοικεσία σὺν τοῖς ῥηθεῖσι παισὶ γέγονε πρὸς Βαβυλῶνα. καὶ καθ' ὅσον Μανασσῆς, ὁ πρῶτος υἱὸς Ἐζεκίου, γέγονε περιβόητος τῇ κακίᾳ καὶ τῇ ἀπιστίᾳ, κἂν σέσωστο ὕστερον παραδόξως χάριτι θείᾳ καὶ μετανοίᾳ θερμῇ καὶ ἐξομολογήσει, κατὰ τοσοῦτον οἱ ὀψίγονοι οὗτοι τρεῖς παῖδες τῇ εὐσεβείᾳ καὶ τῇ ἀρετῇ σὺν τῷ θείῳ Δανιὴλ γεγόνασι περιβόητοι, δι' ὧν καὶ δυσδιάκριτα καὶ δυσερμήνευτα ὀνείρατα εὐκρινῶς διελύθησαν καὶ Βὴλ κατεστράφη καὶ Δράκων ἐκτάνθη καὶ ἐφιμώθησαν λέοντες δυνάμει θεϊκῇ καὶ κάμινος ἐπταπλασίως φλέγουσα εἰς πνεῦμα δρόσου διασυρίζουσα ἠμείφθη καὶ βασιλεὺς ἀσεβὴς σὺν στρατοπέδῳ πολλῷ πρὸς εὐσέβειαν μετεβάλλετο. δι' ὧν θεοσημιῶν ἄρχοντες ἔντιμοι Βαβυλωνίου χώρας κατέστησαν ἄχρι καὶ βασιλείας Πέρσου τοῦ Ἀττικοῦ, παρ' οὗ καὶ ἐταζόμενοι ὡς εὐσεβεῖς καὶ ἐρωτώμενοι, καὶ τὴν πατρίδα καὶ τὴν εὐγένειαν διω- 3

μολόγησαν. '"Ημεῖς, φησίν, ὦ βασιλεῦ, εὐσεβῶν βασιλέων τέκνα ἐσμέν, μητρὸς μὲν Καλλιγόνης, πατρὸς δὲ Ἐζεκίου, ὃς καὶ τεθάρρηκεν ἐξειπεῖν τῷ θεῷ ὅτι τὰ ἀρεστὰ ἐνώπιόν σου ἐποίησα πορευόμενος ἐν ἀληθείᾳ καὶ καρδίᾳ τελείᾳ· ᾧ καὶ χαρίζεται θεὸς προσθήκην ζωῆς χρόνων δέκα πέντε καὶ ἡμεῖς οἱ ὁμόγονοι τρεῖς παῖδες ὁμοῦ· ὃς καὶ πρὸς ἄμειψιν τῶν εἰς αὐτὸν γενομένων θείων εὐεργεσιῶν χαρίζεται καὶ αὐτὸς γεηπόνοις τὸν φόρον· ὃς καὶ προεφήτευσε τελευτῶν καὶ εἶπεν ἡμῖν ὅτι ἥξει «καιροῖς ἰδίοις» (Α΄ Τι 20,5) ὁ τοῦ θεοῦ «Λόγος ἐν μορφῇ ἀνθρώπου» (Ἰω 1,1· Φι 3,11), ὃς καὶ ᾅδην ἀνοίξει καὶ τὸ σκότος φωτίσει. καὶ εἴδομεν τοῦτον ἡμεῖς, βασιλεῦ, πρὸ τούτων τῶν χρόνων σὺν ἡμῖν ἐν τῇ καμίνῳ καταπατοῦντα τὸ πῦρ ἐπὶ τοῦ προηγησαμένου σου βασιλέως. ἀλλ' ἐκεῖνος μὲν ἠξίωται σωτηρίας ὁ βασιλεύς, σοὶ δὲ τί ἔσται «εἰς ἡμέραν ἐπισκοπῆς» (Α΄ Πε 5,2) νοήσεις τότε''.

Ταῦτα γοῦν οἱ πανόσιοι παῖδες ὁμολογήσαντες καὶ τὴν παράνοιαν σὺν τῇ ἀσεβείᾳ τοῦ Ἀττικοῦ βασιλέως διελέγξαντες, σὺν τῷ θειοτάτῳ Δανιὴλ τὰς κεφαλὰς ἀπετμήθησαν. βουλομένου δὲ τοῦ τυράννου πυρίκαυστα ποιῆσαι τὰ τούτων τίμια λείψανα, διὰ ἁγίων ἀγγέλων, φασί, μετετέθησαν ἐν τῷ ὄρει Γεβὰλ καὶ ἐκεῖ κατεκρύβησαν ἐν πέτρᾳ στερρᾷ ἔτη τετρακόσια τεσσαράκοντα μέχρι καὶ τῆς Χριστοῦ ἀναστάσεως. τότε δὲ μετὰ καὶ ἑτέρων πολλῶν ἁγίων καὶ αὐτοὶ ἐξαναστάντες εἰσήλθοσαν εἰς τὴν ἁγίαν πόλιν κατὰ τὸ ἱερὸν Εὐαγγέλιον «καὶ ἐνεφανίσθησαν πολλοῖς» (Μθ 122,23). 4

Νεόφυτος ἔγκλειστος, Κατηχήσεις 53,2-4

10

Προσευχὴ Μανασσῆ

1 Κύριε παντοκράτορ, ὁ θεὸς τῶν πατέρων ἡμῶν, 1
τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ
καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δικαίου,
ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν σὺν παντὶ τῷ κόσμῳ αὐτῶν, 2
5 ὁ πεδήσας τὴν θάλασσαν τῷ λόγῳ τοῦ προστάγματός σου, 3
ὁ κλείσας τὴν ἄβυσσον καὶ σφραγισάμενος
τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματί σου·
ὃν πάντα φρίττει καὶ τρέμει ἀπὸ προσώπου δυνάμεώς σου, 4
ὅτι ἄστεκτος ἡ μεγαλοπρέπεια τῆς δόξης σου, 5
10 καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου,
ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας σου, 6
ὅτι σὺ εἶ Κύριος ὕψιστος, 7
εὔσπλαγχνος, μακρόθυμος καὶ πολυέλεος
καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων·

15 σὺ οὖν, Κύριε ὁ θεὸς τῶν δικαίων, 8
οὐκ ἔθου μετάνοιαν δικαίοις,
τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τοῖς οὐχ ἡμαρτηκόσι σοι,
ἀλλ' ἔθου μετάνοιαν ἐμοὶ τῷ ἁμαρτωλῷ,
διότι ἥμαρτον ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης, 9
20 ἐπλήθυναν αἱ ἀνομίαι μου, Κύριε, ἐπλήθυναν,
καὶ οὔκ εἰμι ἄξιος ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ
ἀπὸ πλήθους τῶν ἀδικιῶν μου
κατακαμπτόμενος πολλῷ δεσμῷ σιδήρου 10
εἰς τὸ ἀνανεῦσαί με ὑπὲρ ἁμαρτιῶν μου,
25 καὶ οὐκ ἔστι μοι ἄνεσις,
διότι παρώργισα τὸν θυμόν σου
καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα
στήσας βδελύγματα καὶ πληθύνας προσοχθίσματα.
καὶ νῦν κλίνω γόνυ καρδίας 11
30 δεόμενος τῆς παρὰ σοῦ χρηστότητος.
Ἡμάρτηκα, Κύριε, ἡμάρτηκα 12
καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω.
αἰτοῦμαι δεόμενός σου· Ἄνες μοι, Κύριε, ἄνες μοι, 13
μὴ συναπολέσῃς με ταῖς ἀνομίαις μου
35 μηδὲ εἰς τὸν αἰῶνα μηνίσας τηρήσῃς τὰ κακά μοι,
μηδὲ καταδικάσῃς με ἐν τοῖς κατωτάτοις τῆς γῆς.
ὅτι σὺ εἶ, Κύριε, ὁ θεὸς τῶν μετανοούντων,
καὶ ἐν ἐμοὶ δείξεις τὴν ἀγαθωσύνην σου· 14
ὅτι ἀνάξιον ὄντα σώσεις με κατὰ τὸ πολὺ ἔλεός σου.
40 καὶ αἰνέσω σε διὰ παντὸς ἐν ταῖς ἡμέραις τῆς ζωῆς μου. 15
ὅτι σὲ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν,
καὶ σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

12. ΤΩΒΙΤ

1 Βίβλος λόγων Τωβίτ, τοῦ Τωβιήλ, τοῦ Ἀνανιήλ, τοῦ Ἀ-
δουήλ, τοῦ Γαβαήλ, ἐκ τοῦ σπέρματος Ἀσιήλ, ἐκ τῆς φυλῆς
2 Νεφθαλίμ, ὃς ᾐχμαλωτεύθη ἐν ἡμέραις Ἐνεμεσσάρου τοῦ βα-
σιλέως Ἀσσυρίων ἐκ Θίσβης, ἥ ἐστιν ἐκ δεξιῶν Κυδιὼς τῆς
Νεφθαλὶμ ἐν τῇ Γαλιλαίᾳ ὑπεράνω Ἀσήρ.

Ἐγὼ Τωβὶτ ὁδοῖς ἀληθείας ἐπορευόμην καὶ δικαιοσύνης
3 πάσας τὰς ἡμέρας τῆς ζωῆς μου καὶ ἐλεημοσύνας πολλὰς ἐ-
ποίησα τοῖς ἀδελφοῖς μου καὶ τῷ ἔθνει, τοῖς προπορευθεῖσι
4 μετ' ἐμοῦ εἰς χώραν Ἀσσυρίων εἰς Νινευή. καὶ ὅτε ἤμην ἐν τῇ
χώρᾳ μου ἐν τῇ γῇ Ἰσραὴλ νεωτέρου μου ὄντος, πᾶσα φυλὴ
τοῦ Νεφθαλὶμ τοῦ πατρός μου ἀπέστη ἀπὸ τοῦ οἴκου Ἱεροσο-
λύμων, τῆς ἐκλεγείσης ἀπὸ πασῶν τῶν φυλῶν Ἰσραὴλ εἰς τὸ
θυσιάζειν πάσας τὰς φυλάς· καὶ ἡγιάσθη ὁ ναὸς τῆς κατασκη-
νώσεως τοῦ Ὑψίστου καὶ ᾠκοδομήθη εἰς πάσας τὰς γενεὰς
5 τοῦ αἰῶνος. καὶ πᾶσαι αἱ φυλαὶ αἱ συναποστᾶσαι ἔθυον τῇ Βά-
6 αλ τῇ δαμάλει καὶ ὁ οἶκος Νεφθαλὶμ τοῦ πατρός μου. κἀγὼ μό-
νος ἐπορευόμην πλεονάκις εἰς Ἱεροσόλυμα ἐν ταῖς ἑορταῖς,
καθὼς γέγραπται παντὶ τῷ Ἰσραὴλ ἐν προστάγματι αἰωνίῳ,
τὰς ἀπαρχὰς καὶ τὰς δεκάτας τῶν γενημάτων καὶ τὰς πρωτο-
7 κουρίας ἔχων· καὶ ἐδίδουν αὐτὰς τοῖς ἱερεῦσι τοῖς υἱοῖς Ἀα-
ρὼν πρὸς τὸ θυσιαστήριον πάντων τῶν γενημάτων. τὴν δεκά-
την ἐδίδουν τοῖς υἱοῖς Λευὶ τοῖς θεραπεύουσιν εἰς Ἱερουσα-
λήμ, καὶ τὴν δευτέραν δεκάτην ἀπεπρατιζόμην καὶ ἐπορευόμην
καὶ ἐδαπάνων αὐτὰ ἐν Ἱεροσολύμοις καθ' ἕκαστον ἐνιαυτόν.
8 καὶ τὴν τρίτην ἐδίδουν οἷς καθήκει, καθὼς ἐνετείλατο Δεβώρα
ἡ μήτηρ τοῦ πατρός μου, διότι ὀρφανὸς κατελείφθην ὑπὸ τοῦ
9 πατρός μου. καὶ ὅτε ἐγενόμην ἀνήρ, ἔλαβον Ἄνναν γυναῖκα ἐκ
τοῦ σπέρματος τῆς πατριᾶς ἡμῶν καὶ ἐγέννησα ἐξ αὐτῆς Τω-
10 βίαν. καὶ ὅτε ᾐχμαλωτίσθημεν εἰς Νινευή, πάντες οἱ ἀδελφοί
μου καὶ οἱ ἐκ τοῦ γένους μου ἤσθιον ἐκ τῶν ἄρτων τῶν ἐ-
11 12 θνῶν· ἐγὼ δὲ συνετήρησα τὴν ψυχήν μου μὴ φαγεῖν, καθότι ἐ-
13 μεμνήμην τοῦ θεοῦ ἐν ὅλῃ τῇ ψυχῇ μου. καὶ ἔδωκεν ὁ ὕψιστος
14 χάριν καὶ μορφὴν ἐνώπιον Ἐνεμεσσάρου, καὶ ἤμην αὐτοῦ ἀγο-
ραστής· καὶ ἐπορευόμην εἰς τὴν Μηδίαν καὶ παρεθέμην Γαβαή-
λῳ τῷ ἀδελφῷ Γαβρία ἐν Ῥάγοις τῆς Μηδίας ἀργυρίου τάλα-
ντα δέκα.

15 Καὶ ὅτε ἀπέθανεν Ἐνεμεσσάρ, ἐβασίλευσε Σενναχηρὶμ ὁ
υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ, καὶ αἱ ὁδοὶ αὐτοῦ ἠκαταστάθησαν, καὶ

16 οὐκ ἔτι ἠδυνάσθην πορευθῆναι εἰς τὴν Μηδίαν. καὶ ἐν ταῖς ἡμέ-
ραις Ἐνεμεσσάρου ἐλεημοσύνας πολλὰς ἐποίουν τοῖς ἀδελ-
17 φοῖς μου· τοὺς ἄρτους μου ἐδίδουν τοῖς πεινῶσι καὶ ἱμάτια
τοῖς γυμνοῖς, καὶ εἴ τινα ἐκ τοῦ γένους μου ἐθεώρουν τεθνηκό-
τα καὶ ἐρριμμένον ὀπίσω τοῦ τείχους Νινευή, ἔθαπτον αὐτόν.
18 καὶ εἴ τινα ἀπέκτεινε Σενναχηρὶμ ὁ βασιλεύς, ὅτε ἦλθε φεύγων
ἐκ τῆς Ἰουδαίας, ἔθαψα αὐτοὺς κλέπτων· πολλοὺς γὰρ ἀπέ-
κτεινεν ἐν τῷ θυμῷ αὐτοῦ· καὶ ἐζητήθη ὑπὸ τοῦ βασιλέως τὰ
19 σώματα, καὶ οὐχ εὑρέθη. πορευθεὶς δὲ εἷς τῶν ἐν Νινευή, ὑπέ-
δειξε τῷ βασιλεῖ περὶ ἐμοῦ ὅτι θάπτω αὐτούς, καὶ ἐκρύβην· ἐ-
20 πιγνοὺς δὲ ὅτι ζητοῦμαι ἀποθανεῖν, φοβηθεὶς ἀνεχώρησα. καὶ
διηρπάγη πάντα τὰ ὑπάρχοντά μου, καὶ οὐ κατελείφθη μοι οὐ-
δὲν πλὴν Ἄννης τῆς γυναικός μου καὶ Τωβίου τοῦ υἱοῦ μου.
21 καὶ οὐ διῆλθον ἡμέρας πεντήκοντα, ἕως οὗ ἀπέκτειναν αὐτὸν
οἱ δύο υἱοὶ αὐτοῦ καὶ ἔφυγον εἰς τὰ ὄρη Ἀραράθ, καὶ ἐβασί-
λευσε Σαχερδονὸς υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ, καὶ ἔταξεν Ἀχιάχα-
ρον τὸν Ἀναὴλ υἱὸν τοῦ ἀδελφοῦ μου ἐπὶ πᾶσαν τὴν ἐκλογι-
22 στίαν τῆς βασιλείας αὐτοῦ καὶ ἐπὶ πᾶσαν τὴν διοίκησιν. καὶ ἠ-
ξίωσεν Ἀχιάχαρος περὶ ἐμοῦ, καὶ ἦλθον εἰς Νινευή. Ἀχιάχα-
ρος δὲ ἦν ὁ οἰνοχόος καὶ ἐπὶ τοῦ δακτυλίου καὶ διοικητὴς καὶ
ἐκλογιστής, καὶ κατέστησεν αὐτὸν ὁ Σαχερδονὸς ἐκ δευτέρας·
ἦν δὲ ἐξάδελφός μου.

2 Ὅτε δὲ κατῆλθον εἰς τὸν οἶκόν μου καὶ ἀπεδόθη μοι Ἄννα
ἡ γυνή μου, καὶ Τωβίας ὁ υἱός μου, ἐν τῇ πεντηκοστῇ ἑορτῇ, ἥ
ἐστιν ἁγία ἑπτὰ ἑβδομάδων, ἐγενήθη ἄριστον καλόν μοι, καὶ ἀ-
2 νέπεσα τοῦ φαγεῖν. καὶ ἐθεασάμην ὄψα πολλὰ καὶ εἶπα τῷ υἱῷ
μου· Βάδισον καὶ ἄγαγε ὃν ἂν εὕρῃς τῶν ἀδελφῶν ἡμῶν ἐν-
3 δεῆ, ὃς μέμνηται τοῦ Κυρίου, καὶ ἰδοὺ μένω σε. καὶ ἐλθὼν εἶ-
πε· Πάτερ, εἷς ἐκ τοῦ γένους ἡμῶν ἐστραγγαλωμένος ἔρριπται
4 ἐν τῇ ἀγορᾷ. κἀγὼ πρὶν ἢ γεύσασθαί με, ἀναπηδήσας ἀνειλό-
5 μην αὐτὸν εἴς τι οἴκημα, ἕως οὗ ἔδυ ὁ ἥλιος. καὶ ἐπιστρέψας ἐ-
6 λουσάμην καὶ ἤσθιον τὸν ἄρτον μου ἐν λύπῃ· καὶ ἐμνήσθην
τῆς προφητείας Ἀμώς, καθὼς εἶπε· Στραφήσονται αἱ ἑορταὶ ὑ-
7 μῶν εἰς πένθος καὶ πᾶσαι αἱ εὐφροσύναι ὑμῶν εἰς θρῆνον, καὶ
ἔκλαυσα. καὶ ὅτε ἔδυ ὁ ἥλιος, ᾠχόμην καὶ ὀρύξας ἔθαψα αὐ-
8 τόν. καὶ οἱ πλησίον ἐπεγέλων λέγοντες· Οὐκ ἔτι φοβεῖται φο-
νευθῆναι περὶ τοῦ πράγματος τούτου, καὶ ἀπέδρα, καὶ ἰδοὺ πά-
9 λιν θάπτει τοὺς νεκρούς. καὶ ἐν αὐτῇ τῇ νυκτὶ ἀνέλυσα θάψας
καὶ ἐκοιμήθην μεμιαμμένος παρὰ τὸν τοῖχον τῆς αὐλῆς, καὶ τὸ
10 πρόσωπόν μου ἀκάλυπτον ἦν. καὶ οὐκ ᾔδειν ὅτι στρουθία ἐν
τῷ τοίχῳ ἐστί, καὶ τῶν ὀφθαλμῶν μου ἀνεῳγότων, ἀφώδευ-
σαν τὰ στρουθία θερμὸν εἰς τοὺς ὀφθαλμούς μου, καὶ ἐγενήθη
λευκώματα ἐν τοῖς ὀφθαλμοῖς μου. καὶ ἐπορεύθην πρὸς ἰα-
τρούς, καὶ οὐκ ὠφέλησάν με· Ἀχιάχαρος δὲ ἔτρεφέ με, ἕως οὗ
11 ἐπορεύθην εἰς τὴν Ἐλυμαΐδα. καὶ ἡ γυνή μου Ἄννα ἠριθεύετο

12 ἐν τοῖς γυναικείοις· καὶ ἀπέστελλε τοῖς κυρίοις, καὶ ἀπέδωκαν
αὐτῇ καὶ αὐτοὶ τὸν μισθὸν προσδόντες καὶ ἔριφον. ὅτε δὲ ἦλθε
13 πρός με, ἤρξατο κράζειν· καὶ εἶπα αὐτῇ· Πόθεν τὸ ἐρίφιον; μὴ
κλεψιμαῖόν ἐστιν; ἀπόδος αὐτὸ τοῖς κυρίοις· οὐ γὰρ θεμιτόν ἐ-
14 στι φαγεῖν κλεψιμαῖον. ἡ δὲ εἶπε· Δῶρον δέδοταί μοι ἐπὶ τῷ μι-
σθῷ. καὶ οὐκ ἐπίστευον αὐτῇ καὶ ἔλεγον ἀποδιδόναι αὐτὸ τοῖς
κυρίοις καὶ ἠρυθρίων πρὸς αὐτήν· ἡ δὲ ἀποκριθεῖσα εἶπέ μοι·
Ποῦ εἰσιν αἱ ἐλεημοσύναι σου καὶ αἱ δικαιοσύναι σου; ἰδοὺ
γνωστὰ πάντα μετὰ σοῦ.

3 Καὶ λυπηθεὶς ἔκλαυσα καὶ προσευξάμην μετ' ὀδύνης λέ-
2 γων· Δίκαιος εἶ, Κύριε, καὶ πάντα τὰ ἔργα σου καὶ πᾶσαι αἱ ὁ-
δοί σου ἐλεημοσύναι καὶ ἀλήθεια, καὶ κρίσιν ἀληθινὴν καὶ δι-
3 καίαν σὺ κρίνεις εἰς τὸν αἰῶνα. μνήσθητί μου καὶ ἐπίβλεψον
ἐπ' ἐμέ· μή με ἐκδικήσῃς ταῖς ἁμαρτίαις μου καὶ τοῖς ἀγνοήμα-
4 σί μου καὶ τῶν πατέρων μου, ἃ ἥμαρτον ἐνώπιόν σου· παρή-
κουσαν γὰρ τῶν ἐντολῶν σου, καὶ ἔδωκας ἡμᾶς εἰς διαρπα-
γὴν καὶ αἰχμαλωσίαν καὶ θάνατον καὶ παραβολὴν ὀνειδισμοῦ
5 πᾶσι τοῖς ἔθνεσιν, ἐν οἷς ἐσκορπίσμεθα. καὶ νῦν πολλαὶ αἱ κρί-
σεις σού εἰσι καὶ ἀληθιναὶ ἐξ ἐμοῦ ποιῆσαι περὶ τῶν ἁμαρτιῶν
μου καὶ τῶν πατέρων μου, ὅτι οὐκ ἐποιήσαμεν τὰς ἐντολάς
6 σου· οὐ γὰρ ἐπορεύθημεν ἐν ἀληθείᾳ ἐνώπιόν σου. καὶ νῦν κα-
τὰ τὸ ἀρεστὸν ἐνώπιόν σου ποίησον μετ' ἐμοῦ· ἐπίταξον ἀνα-
λαβεῖν τὸ πνεῦμά μου, ὅπως ἀπολυθῶ καὶ γένωμαι γῆ· διότι
λυσιτελεῖ μοι ἀποθανεῖν ἢ ζῆν, ὅτι ὀνειδισμοὺς ψευδεῖς ἤκου-
σα, καὶ λύπη ἐστὶ πολλὴ ἐν ἐμοί· ἐπίταξον ἀπολυθῆναί με τῆς
ἀνάγκης ἤδη εἰς τὸν αἰώνιον τόπον, μὴ ἀποστρέψῃς τὸ πρό-
σωπόν σου ἀπ' ἐμοῦ.
7 Ἐν τῇ αὐτῇ ἡμέρᾳ συνέβη τῇ θυγατρὶ Ῥαγουὴλ Σάρρᾳ ἐν
Ἐκβατάνοις τῆς Μηδίας καὶ ταύτην ὀνειδισθῆναι ὑπὸ παιδι-
8 σκῶν πατρὸς αὐτῆς, ὅτι ἦν δεδομένη ἀνδράσιν ἑπτά, καὶ Ἀ-
σμοδαῖος τὸ πονηρὸν δαιμόνιον ἀπέκτεινεν αὐτοὺς πρὶν ἢ γε-
νέσθαι αὐτοὺς μετ' αὐτῆς ὡς ἐν γυναιξί. καὶ εἶπαν αὐτῇ· Οὐ
συνιεῖς ἀποπνίγουσά σου τοὺς ἄνδρας; ἤδη ἑπτὰ ἔσχες καὶ ἑ-
9 νὸς αὐτῶν οὐκ ὠνομάσθης· τί ἡμᾶς μαστιγοῖς; εἰ ἀπέθανον,
βάδιζε μετ' αὐτῶν· μὴ ἴδοιμέν σου υἱὸν ἢ θυγατέρα εἰς τὸν
10 αἰῶνα. ταῦτα ἀκούσασα ἐλυπήθη σφόδρα ὥστε ἀπάγξασθαι.
καὶ εἶπε· Μία μέν εἰμι τῷ πατρί μου· ἐὰν ποιήσω τοῦτο, ὄνει-
δος αὐτῷ ἔσται, καὶ τὸ γῆρας αὐτοῦ κατάξω μετ' ὀδύνης εἰς ᾅ-
11 δου. καὶ ἐδεήθη πρὸς τῇ θυρίδι καὶ εἶπεν· Εὐλογητὸς εἶ, Κύριε
ὁ θεός μου, καὶ εὐλογητὸν τὸ ὄνομά σου τὸ ἅγιον καὶ ἔντιμον
εἰς τοὺς αἰῶνας· εὐλογήσαισάν σε πάντα τὰ ἔργα σου εἰς τὸν
12 αἰῶνα. καὶ νῦν, Κύριε, τοὺς ὀφθαλμούς μου καὶ τὸ πρόσωπόν
13 μου εἰς σὲ δέδωκα· εἰπὸν ἀπολῦσαί με ἀπὸ τῆς γῆς καὶ μὴ ἀ-
14 κοῦσαί με μηκέτι ὀνειδισμόν. σὺ γινώσκεις, Κύριε, ὅτι καθαρά
15 εἰμι ἀπὸ πάσης ἁμαρτίας ἀνδρὸς καὶ οὐκ ἐμόλυνα τὸ ὄνομά

μου οὐδὲ τὸ ὄνομα τοῦ πατρός μου ἐν τῇ γῇ τῆς αἰχμαλωσίας μου. μονογενής εἰμι τῷ πατρί μου, καὶ οὐχ ὑπάρχει αὐτῷ παιδίον, ὃ κληρονομήσει αὐτόν, οὐδὲ ἀδελφὸς ἐγγὺς οὐδὲ ὑπάρχων αὐτῷ υἱός, ἵνα συντηρήσω ἐμαυτὴν αὐτῷ γυναῖκα. ἤδη ἀπώλοντό μοι ἑπτά· ἵνα τί μοι ζῆν; καὶ εἰ μὴ δοκεῖ σοι ἀποκτεῖναί με, ἐπίταξον ἐπιβλέψαι ἐπ' ἐμὲ καὶ ἐλεῆσαί με καὶ μηκέτι ἀκοῦσαί με ὀνειδισμόν.

16 Καὶ εἰσηκούσθη ἡ προσευχὴ ἀμφοτέρων ἐνώπιον τῆς δό-
17 ξης τοῦ μεγάλου Ῥαφαήλ, καὶ ἀπεστάλη ἰάσασθαι τοὺς δύο, τοῦ Τωβὶτ λεπίσαι τὰ λευκώματα καὶ Σάρραν τὴν τοῦ Ῥαγουὴλ δοῦναι Τωβίᾳ τῷ υἱῷ Τωβὶτ γυναῖκα καὶ δῆσαι Ἀσμοδαῖον τὸ πονηρὸν δαιμόνιον, διότι Τωβίᾳ ἐπιβάλλει κληρονομῆσαι αὐτήν. ἐν αὐτῷ τῷ καιρῷ ἐπιστρέψας Τωβὶτ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ καὶ Σάρρα ἡ τοῦ Ῥαγουὴλ κατέβη ἐκ τοῦ ὑπερῴου αὐτῆς.

4 Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐμνήσθη Τωβὶτ περὶ τοῦ ἀργυρίου, οὗ
2 παρέθετο Γαβαὴλ ἐν Ῥάγοις τῆς Μηδίας, καὶ εἶπεν ἐν ἑαυτῷ· Ἐγὼ ᾐτησάμην θάνατον· τί οὐ καλῶ Τωβίαν τὸν υἱόν μου, ἵνα
3 αὐτῷ ὑποδείξω πρὶν ἀποθανεῖν με; καὶ καλέσας αὐτὸν εἶπε· Παιδίον, ἐὰν ἀποθάνω, θάψον με, καὶ μὴ ὑπερίδῃς τὴν μητέρα σου· τίμα αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου καὶ ποίει τὸ
4 ἀρεστὸν αὐτῇ καὶ μὴ λυπήσῃς αὐτήν. μνήσθητι, παιδίον, ὅτι πολλοὺς κινδύνους ἑώρακεν ἐπὶ σοὶ ἐν τῇ κοιλίᾳ· ὅταν ἀποθά-
5 νῃ, θάψον αὐτὴν παρ' ἐμοὶ ἐν ἑνὶ τάφῳ. πάσας τὰς ἡμέρας, παιδίον, Κυρίου τοῦ θεοῦ ἡμῶν μνημόνευε καὶ μὴ θελήσῃς ἁμαρτάνειν καὶ παραβῆναι τὰς ἐντολὰς αὐτοῦ. δικαιοσύνην ποίει πάσας τὰς ἡμέρας τῆς ζωῆς σου καὶ μὴ πορευθῇς ταῖς ὁ-
6 δοῖς τῆς ἀδικίας· διότι ποιοῦντός σου τὴν ἀλήθειαν, εὐοδίαι ἔσονται ἐν τοῖς ἔργοις σου καὶ πᾶσι τοῖς ποιοῦσι τὴν δικαιοσύ-
7 νην. ἐκ τῶν ὑπαρχόντων σοι ποίει ἐλεημοσύνην, καὶ μὴ φθονησάτω σου ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε ἐλεημοσύνην· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ παντὸς πτωχοῦ, καὶ ἀπὸ σοῦ
8 οὐ μὴ ἀποστραφῇ τὸ πρόσωπον τοῦ θεοῦ. ὡς σοι ὑπάρχει κατὰ τὸ πλῆθος, ποίησον ἐξ αὐτῶν ἐλεημοσύνην· ἐὰν ὀλίγον σοι
9 ὑπάρχῃ, κατὰ τὸ ὀλίγον μὴ φοβοῦ ποιεῖν ἐλεημοσύνην· θέμα
10 γὰρ ἀγαθὸν θησαυρίζεις σεαυτῷ εἰς ἡμέραν ἀνάγκης· διότι ἐλεημοσύνη ἐκ θανάτου ῥύεται καὶ οὐκ ἐᾷ εἰσελθεῖν εἰς τὸ σκό-
11 τος· δῶρον γὰρ ἀγαθόν ἐστιν ἐλεημοσύνη πᾶσι τοῖς ποιοῦσιν
12 αὐτὴν ἐνώπιον τοῦ ὑψίστου. πρόσεχε σεαυτῷ, παιδίον, ἀπὸ πάσης πορνείας καὶ γυναῖκα πρῶτον λάβε ἀπὸ τοῦ σπέρματος τῶν πατέρων σου· μὴ λάβῃς γυναῖκα ἀλλοτρίαν, ἣ οὐκ ἔστιν ἐκ τῆς φυλῆς τοῦ πατρός σου, διότι υἱοὶ προφητῶν ἐσμεν. Νῶε, Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ, οἱ πατέρες ἡμῶν ἀπὸ τοῦ αἰῶνος· μνήσθητι, παιδίον, ὅτι αὐτοὶ πάντες ἔλαβον γυναῖκας ἐκ τῶν ἀδελφῶν αὐτῶν καὶ εὐλογήθησαν ἐν τοῖς τέκνοις αὐτῶν,

13 καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει γῆν. καὶ νῦν, παιδίον, ἀ-
γάπα τοὺς ἀδελφούς σου καὶ μὴ ὑπερηφανεύου τῇ καρδίᾳ σου
ἀπὸ τῶν ἀδελφῶν σου καὶ τῶν υἱῶν καὶ θυγατέρων τοῦ λαοῦ
σου λαβεῖν σεαυτῷ ἐξ αὐτῶν γυναῖκα· διότι ἐν τῇ ὑπερηφανίᾳ
ἀπώλεια καὶ ἀκαταστασία πολλή, καὶ ἐν τῇ ἀχρειότητι ἐλάττω-
σις καὶ ἔνδεια μεγάλη· ἡ γὰρ ἀχρειότης μήτηρ ἐστὶ τοῦ λιμοῦ.
14 μισθός παντὸς ἀνθρώπου, ὃς ἐὰν ἐργάσηται παρὰ σοί, μὴ αὐ-
λισθήτω, ἀλλ' ἀπόδος αὐτῷ παραυτίκα, καὶ ἐὰν δουλεύσῃς τῷ
θεῷ, ἀποδοθήσεταί σοι. πρόσεχε σεαυτῷ, παιδίον, ἐν πᾶσι
τοῖς ἔργοις σου καὶ ἴσθι πεπαιδευμένος ἐν πάσῃ ἀναστροφῇ
15 σου. καὶ ὃ μισεῖς, μηδενὶ ποιήσῃς. οἶνον εἰς μέθην μὴ πίῃς, καὶ
16 μὴ πορευθήτω μετὰ σοῦ μέθη ἐν τῇ ὁδῷ σου. ἐκ τοῦ ἄρτου
σου δίδου πεινῶντι καὶ ἐκ τῶν ἱματίων σου τοῖς γυμνοῖς· πᾶν,
ὃ ἐὰν περισσεύσῃ σοι, ποίει ἐλεημοσύνην, καὶ μὴ φθονησάτω
17 σου ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε ἐλεημοσύνην. ἔκχεον τοὺς
ἄρτους σου ἐπὶ τὸν τάφον τῶν δικαίων καὶ μὴ δῷς τοῖς ἁμαρ-
18 τωλοῖς. συμβουλίαν παρὰ παντὸς φρονίμου ζήτησον καὶ μὴ
19 καταφρονήσῃς ἐπὶ πάσης συμβουλίας χρησίμης. καὶ ἐν παντὶ
καιρῷ εὐλόγει Κύριον τὸν θεὸν καὶ παρ' αὐτοῦ αἴτησον, ὅπως
αἱ ὁδοί σου εὐθεῖαι γένωνται, καὶ πᾶσαι αἱ τρίβοι καὶ βουλαί
σου εὐοδωθῶσι· διότι πᾶν ἔθνος οὐκ ἔχει βουλήν, ἀλλ' αὐτὸς
ὁ Κύριος δίδωσι πάντα τὰ ἀγαθὰ καὶ ὃν ἐὰν θέλῃ, ταπεινοῖ, κα-
θὼς βούλεται. καὶ νῦν, παιδίον, μνημόνευε τῶν ἐντολῶν μου,
20 καὶ μὴ ἐξαλειφθήτωσαν ἐκ τῆς καρδίας σου. καὶ νῦν ὑποδει-
κνύω σοι τὰ δέκα τάλαντα τοῦ ἀργυρίου, ἃ παρεθέμην Γαβαή-
21 λῳ τῷ τοῦ Γαβρία ἐν Ῥάγοις τῆς Μηδίας. καὶ μὴ φοβοῦ, παι-
δίον, ὅτι ἐπτωχεύσαμεν· ὑπάρχει σοι πολλά, ἐὰν φοβηθῇς τὸν
θεόν, καὶ ἀποστῇς ἀπὸ πάσης ἁμαρτίας καὶ ποιήσῃς τὸ ἀρε-
στὸν ἐνώπιον αὐτοῦ.

5 Καὶ ἀποκριθεὶς Τωβίας εἶπεν αὐτῷ· Πάτερ, ποιήσω πά-
2 ντα, ὅσα ἐντέταλσαί μοι· ἀλλὰ πῶς δυνήσομαι λαβεῖν τὸ ἀργύ-
3 ριον καὶ οὐ γινώσκω αὐτόν; καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον
καὶ εἶπεν αὐτῷ· Ζήτησον σεαυτῷ ἄνθρωπον, ὃς συμπορεύσε-
ταί σοι, καὶ δώσω αὐτῷ μισθὸν ἕως ζῶ· καὶ λάβε πορευθεὶς τὸ
4 ἀργύριον. καὶ ἐπορεύθη ζητῆσαι ἄνθρωπον καὶ εὗρε τὸν Ῥα-
5 φαήλ, ὃς ἦν ἄγγελος, καὶ οὐκ ᾔδει· καὶ εἶπεν αὐτῷ· Εἰ δύναμαι
πορευθῆναι μετὰ σοῦ ἐν Ῥάγοις τῆς Μηδίας, καὶ εἰ ἔμπειρος εἶ
6 τῶν τόπων; καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος· Πορεύσομαι μετὰ σοῦ
καὶ τῆς ὁδοῦ ἐμπειρῶ καὶ παρὰ Γαβαὴλ τὸν ἀδελφὸν ἡμῶν ηὐ-
7 λίσθην. καὶ εἶπεν αὐτῷ Τωβίας· Ὑπόμεινόν με, καὶ ἐρῶ τῷ πα-
8 9 τρί. καὶ εἶπεν αὐτῷ· Πορεύου καὶ μὴ χρονίσῃς. καὶ εἰσελθὼν
εἶπε τῷ πατρί· Ἰδοὺ εὕρηκα ὃς συμπορεύσεταί μοι. ὁ δὲ εἶπε·
Φώνησον αὐτὸν πρός με, ἵνα ἐπιγνῶ ποίας φυλῆς ἐστι καὶ εἰ
10 πιστὸς τοῦ πορευθῆναι μετὰ σοῦ. καὶ ἐκάλεσεν αὐτόν, καὶ εἰ-
11 σῆλθε, καὶ ἠσπάσαντο ἀλλήλους. καὶ εἶπεν αὐτῷ Τωβίτ· Ἀδελ-

φέ, ἐκ ποίας φυλῆς καὶ ἐκ ποίας πατριᾶς εἶ σύ; ὑπόδειξόν μοι.
12 καὶ εἶπεν αὐτῷ· Φυλὴν καὶ πατριὰν σὺ ζητεῖς ἢ μίσθιον, ὃς συ-
μπορεύσεται μετὰ τοῦ υἱοῦ σου; καὶ εἶπεν αὐτῷ Τωβίτ· Βούλο-
13 μαι, ἀδελφέ, ἐπιγνῶναι τὸ γένος σου καὶ τὸ ὄνομα. ὁ δὲ εἶπεν·
14 Ἐγὼ Ἀζαρίας Ἀνανίου τοῦ μεγάλου, τῶν ἀδελφῶν σου. καὶ
εἶπεν αὐτῷ· Ὑγιαίνων ἔλθοις, ἀδελφέ, καὶ μή μοι ὀργισθῇς, ὅ-
τι ἐζήτησα τὴν φυλήν σου καὶ τὴν πατριάν σου ἐπιγνῶναι. καὶ
σὺ τυγχάνεις ἀδελφός μου ἐκ τῆς καλῆς καὶ ἀγαθῆς γενεᾶς· ἐ-
πεγίνωσκον γὰρ ἐγὼ Ἀνανίαν καὶ Ἰωνάθαν τοὺς υἱοὺς Σεμεΐ
τοῦ μεγάλου, ὡς ἐπορευόμεθα κοινῶς εἰς Ἱεροσόλυμα προ-
σκυνεῖν, ἀναφέροντες τὰ πρωτότοκα καὶ τὰς δεκάτας τῶν γε-
νημάτων, καὶ οὐκ ἐπλανήθησαν ἐν τῇ πλάνῃ τῶν ἀδελφῶν ἡ-
15 μῶν. ἐκ ῥίζης καλῆς εἶ, ἀδελφέ, ἀλλὰ εἰπόν μοι τίνα σοι ἔσο-
μαι μισθὸν διδόναι· δραχμὴν τῆς ἡμέρας καὶ τὰ δέοντά σοι ὡς
16 καὶ τῷ υἱῷ μου. καὶ ἔτι προσθήσω σοι ἐπὶ τὸν μισθόν, ἐὰν ὑ-
17 γιαίνοντες ἐπιστρέψητε. καὶ εὐδόκησαν οὕτω. καὶ εἶπε πρὸς
Τωβίαν· Ἕτοιμος γίνου πρὸς τὴν ὁδόν· καὶ εὐοδωθείητε. καὶ
ἡτοίμασεν ὁ υἱὸς αὐτοῦ τὰ πρὸς τὴν ὁδόν. καὶ εἶπεν αὐτῷ ὁ
πατὴρ αὐτοῦ· Πορεύου μετὰ τοῦ ἀνθρώπου τούτου, ὁ δὲ ἐν τῷ
οὐρανῷ οἰκῶν θεὸς εὐοδώσει τὴν ὁδὸν ὑμῶν, καὶ ὁ ἄγγελος
αὐτοῦ συμπορευθήτω ὑμῖν. καὶ ἐξῆλθον ἀμφότεροι ἀπελθεῖν
18 καὶ ὁ κύων τοῦ παιδαρίου μετ' αὐτῶν. ἔκλαυσε δὲ Ἄννα ἡ μή-
τηρ αὐτοῦ καὶ εἶπε πρὸς Τωβίτ· Τί ἐξαπέστειλας τὸ παιδίον ἡ-
μῶν; ἢ οὐχὶ ἡ ῥάβδος τῆς χειρὸς ἡμῶν ἐστιν ἐν τῷ εἰσπορεύε-
19 σθαι αὐτὸν καὶ ἐκπορεύεσθαι ἐνώπιον ἡμῶν; ἀργύριον τῷ ἀρ-
20 γυρίῳ μὴ φθάσαι, ἀλλὰ περίψημα τοῦ παιδίου ἡμῶν γένοιτο·
ὡς γὰρ δέδοται ἡμῖν ζῆν παρὰ τοῦ Κυρίου, τοῦτο ἱκανὸν ἡμῖν
21 ὑπάρχει. καὶ εἶπεν αὐτῇ Τωβίτ· Μὴ λόγον ἔχε, ἀδελφή· ὑγιαί-
22 νων ἐλεύσεται, καὶ οἱ ὀφθαλμοί σου ὄψονται αὐτόν· ἄγγελος
γὰρ ἀγαθὸς συμπορεύσεται αὐτῷ, καὶ εὐοδωθήσεται ἡ ὁδὸς
αὐτοῦ, καὶ ὑποστρέψει ὑγιαίνων. καὶ ἐπαύσατο κλαίουσα.

6 Οἱ δὲ πορευόμενοι τὴν ὁδὸν ἦλθον ἑσπέρας ἐπὶ τὸν Τί-
2 γριν ποταμόν, καὶ ηὐλίζοντο ἐκεῖ. τὸ δὲ παιδάριον κατέβη πε-
ρικλύσασθαι, καὶ ἀνεπήδησεν ἰχθὺς ἀπὸ τοῦ ποταμοῦ καὶ ἐ-
3 βουλήθη καταπιεῖν τὸ παιδάριον. ὁ δὲ ἄγγελος εἶπεν αὐτῷ· Ἐ-
πιλαβοῦ τοῦ ἰχθύος. καὶ ἐκράτησε τὸν ἰχθὺν τὸ παιδάριον καὶ
4 ἀνέβαλεν αὐτὸν ἐπὶ τὴν γῆν. καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος· Ἀνάτε-
με τὸν ἰχθὺν καὶ λαβὼν τὴν καρδίαν καὶ τὸ ἧπαρ καὶ τὴν χολὴν
5 θὲς ἀσφαλῶς. καὶ ἐποίησε τὸ παιδάριον ὡς εἶπεν αὐτῷ ὁ ἄγγε-
6 λος, τὸν δὲ ἰχθὺν ὀπτήσαντες ἔφαγον. καὶ ὡδευον ἀμφότεροι,
7 ἕως οὗ ἤγγισαν ἐν Ἐκβατάνοις. καὶ εἶπε τὸ παιδάριον τῷ ἀγ-
γέλῳ· Ἀζαρία ἀδελφέ, τί ἐστιν ἡ καρδία καὶ τὸ ἧπαρ καὶ ἡ χο-
8 λὴ τοῦ ἰχθύος; καὶ εἶπεν αὐτῷ· Ἡ καρδία καὶ τὸ ἧπαρ, ἐάν τινα
ὀχλῇ δαιμόνιον ἢ πνεῦμα πονηρόν, ταῦτα δεῖ καπνίσαι ἐνώ-
9 πιον ἀνθρώπου ἢ γυναικός, καὶ οὐκέτι οὐ μὴ ὀχληθῇ· ἡ δὲ χο-

λή, ἐγχρῖσαι ἄνθρωπον, ὃς ἔχει λευκώματα ἐν τοῖς ὀφθαλμοῖς,
10 11 καὶ ἰαθήσεται. ὡς δὲ προσήγγισαν τῇ Ῥάγῃ, εἶπεν ὁ ἄγγελος
τῷ παιδαρίῳ· Ἀδελφέ, σήμερον αὐλισθησόμεθα παρὰ Ῥαγου-
ήλ, καὶ αὐτὸς συγγενής σού ἐστι, καὶ ἔστιν αὐτῷ θυγάτηρ ὀνό-
12 ματι Σάρρα· λαλήσω περὶ αὐτῆς τοῦ δοθῆναί σοι αὐτὴν εἰς γυ-
ναῖκα, ὅτι σοι ἐπιβάλλει ἡ κληρονομία αὐτῆς, καὶ σὺ μόνος εἶ
13 ἐκ τοῦ γένους αὐτῆς, καὶ τὸ κοράσιον καλὸν καὶ φρόνιμόν ἐ-
στι. καὶ νῦν ἄκουσόν μου καὶ λαλήσω τῷ πατρὶ αὐτῆς, καὶ ὅ-
ταν ὑποστρέψωμεν ἐκ Ῥαγῶν, ποιήσομεν τὸν γάμον· διότι ἐπί-
σταμαι Ῥαγουὴλ ὅτι οὐ μὴ δῷ αὐτὴν ἀνδρὶ ἑτέρῳ κατὰ τὸν
Νόμον Μωϋσῆ ἢ ὀφειλήσει θάνατον, ὅτι τὴν κληρονομίαν σοὶ
14 καθήκει λαβεῖν ἢ πάντα ἄνθρωπον. τότε εἶπε τὸ παιδάριον τῷ
ἀγγέλῳ· Ἀζαρία ἀδελφέ, ἀκήκοα ἐγὼ τὸ κοράσιον δεδόσθαι ἑ-
15 πτὰ ἀνδράσι καὶ πάντας ἐν τῷ νυμφῶνι ἀπολωλότας. καὶ νῦν
ἐγὼ μόνος εἰμὶ τῷ πατρὶ καὶ φοβοῦμαι μὴ εἰσελθὼν ἀποθάνω
καθὼς καὶ οἱ πρότεροι, ὅτι δαιμόνιον φιλεῖ αὐτήν, ὃ οὐκ ἀδικεῖ
οὐδένα πλὴν τῶν προσαγόντων αὐτῇ. καὶ νῦν ἐγὼ φοβοῦμαι
μὴ ἀποθάνω καὶ κατάξω τὴν ζωὴν τοῦ πατρός μου καὶ τῆς μη-
τρός μου μετ' ὀδύνης ἐπ' ἐμοὶ εἰς τὸν τάφον αὐτῶν· καὶ υἱὸς ἕ-
16 τερος οὐχ ὑπάρχει αὐτοῖς, ὃς θάψει αὐτούς. εἶπε δὲ αὐτῷ ὁ
ἄγγελος· Οὐ μέμνησαι τῶν λόγων, ὧν ἐνετείλατό σοι ὁ πατήρ
σου, ὑπὲρ τοῦ λαβεῖν σε γυναῖκα ἐκ τοῦ γένους σου; καὶ νῦν
ἄκουσόν μου, ἀδελφέ, διότι σοὶ ἔσται εἰς γυναῖκα, καὶ τοῦ δαι-
μονίου μηδένα λόγον ἔχε, ὅτι τὴν νύκτα ταύτην δοθήσεταί σοι
17 αὕτη εἰς γυναῖκα. καὶ ἐὰν εἰσέλθῃς εἰς τὸν νυμφῶνα, λήψῃ τέ-
φραν θυμιαμάτων καὶ ἐπιθήσεις ἀπὸ τῆς καρδίας καὶ τοῦ
18 ἥπατος τοῦ ἰχθύος καὶ καπνίσεις, καὶ ὀσφρανθήσεται τὸ δαι-
μόνιον καὶ φεύξεται καὶ οὐκ ἐπανελεύσεται εἰς τὸν αἰῶνα τοῦ
αἰῶνος. ὅταν δὲ προσπορεύῃ αὐτῇ, ἐγέρθητε ἀμφότεροι καὶ
βοήσατε πρὸς τὸν ἐλεήμονα θεόν, καὶ σώσει ὑμᾶς καὶ ἐλεήσει.
μὴ φοβοῦ, ὅτι σοὶ αὐτὴ ἡτοιμασμένη ἦν ἀπὸ τοῦ αἰῶνος, καὶ
σὺ αὐτὴν σώσεις, καὶ πορεύσεται μετὰ σοῦ, καὶ ὑπολαμβάνω
19 ὅτι σοι ἔσται ἐξ αὐτῆς παιδία. καὶ ὡς ἤκουσε Τωβίας ταῦτα, ἐ-
φίλησεν αὐτήν, καὶ ἡ ψυχὴ αὐτοῦ ἐκολλήθη σφόδρα αὐτῇ.

7 Καὶ ἦλθον εἰς Ἐκβάτανα καὶ παρεγένοντο εἰς τὴν οἰκίαν
Ῥαγουήλ, Σάρρα δὲ ὑπήντησεν αὐτοῖς καὶ ἐχαιρέτισεν αὐτοὺς
2 καὶ αὐτοὶ αὐτήν, καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὴν οἰκίαν. καὶ εἶπε
Ῥαγουὴλ Ἕδνᾳ τῇ γυναικὶ αὐτοῦ· Ὡς ὅμοιος ὁ νεανίσκος Τω-
3 βὶτ τῷ ἀνεψιῷ μου; καὶ ἠρώτησεν αὐτοὺς Ῥαγουήλ· Πόθεν ἐ-
στέ, ἀδελφοί; καὶ εἶπαν αὐτῷ· Ἐκ τῶν υἱῶν Νεφθαλὶμ τῶν αἰχ-
4 μαλώτων ἐκ Νινευή. καὶ εἶπεν αὐτοῖς· Γινώσκετε Τωβὶτ τὸν ἀ-
δελφὸν ἡμῶν; οἱ δὲ εἶπον· Γινώσκομεν. καὶ εἶπεν αὐτοῖς· Ὑ-
5 γιαίνει; οἱ δὲ εἶπαν· Καὶ ζῇ καὶ ὑγιαίνει. καὶ εἶπε Τωβίας· Πα-
6 τήρ μού ἐστι. καὶ ἀνεπήδησε Ῥαγουὴλ καὶ κατεφίλησεν αὐτὸν
7 καὶ ἔκλαυσε καὶ εὐλόγησεν αὐτὸν καὶ εἶπεν αὐτῷ· Ὁ τοῦ κα-

λοῦ καὶ ἀγαθοῦ ἀνθρώπου υἱός! καὶ ἀκούσας ὅτι Τωβὶτ ἀπώ-
8 λεσε τοὺς ὀφθαλμοὺς ἑαυτοῦ, ἐλυπήθη καὶ ἔκλαυσε. καὶ Ἕδνα
ἡ γυνὴ αὐτοῦ καὶ Σάρρα ἡ θυγάτηρ αὐτοῦ ἔκλαυσαν καὶ ὑπεδέ-
9 ξαντο αὐτοὺς προθύμως· καὶ ἔθυσαν κριὸν προβάτων καὶ παρέθηκαν ὄψα πλείονα. εἶπε δὲ Τωβίας τῷ Ῥαφαήλ· Ἀζαρία ἀδελφέ, λάλησον ὑπὲρ ὧν ἔλεγες ἐν τῇ πορείᾳ, καὶ τελεσθήτω
10 τὸ πρᾶγμα. καὶ μετέδωκε τὸν λόγον τῷ Ῥαγουήλ· καὶ εἶπε Ῥαγουὴλ πρὸς Τωβίαν· Φάγε, πίε καὶ ἡδέως γίνου· σοὶ γὰρ
11 καθήκει τὸ παιδίον μου λαβεῖν· πλὴν ὑποδείξω σοι τὴν ἀλήθειαν. ἔδωκα τὸ παιδίον μου ἑπτὰ ἀνδράσι, καὶ ὁπότε ἐὰν εἰσεπορεύοντο πρὸς αὐτήν, ἀπέθνῃσκον ὑπὸ τὴν νύκτα. ἀλλὰ τὸ νῦν ἔχον, ἡδέως γίνου. καὶ εἶπε Τωβίας· Οὐ γεύομαι οὐδὲν ὧδε, ἕως ἂν στήσητε καὶ σταθῆτε πρός με. καὶ εἶπε Ῥαγουήλ· Κομίζου αὐτὴν ἀπὸ τοῦ νῦν κατὰ τὴν κρίσιν· σὺ δὲ ἀδελφὸς εἶ
12 αὐτῆς, καὶ αὐτή σού ἐστιν· ὁ δὲ ἐλεήμων θεὸς εὐοδώσει ὑμῖν τὰ κάλλιστα. καὶ ἐκάλεσε Σάρραν τὴν θυγατέρα αὐτοῦ, καὶ λαβὼν τῆς χειρὸς αὐτῆς παρέδωκεν αὐτὴν Τωβίᾳ γυναῖκα καὶ εἶπεν· Ἰδοὺ κατὰ τὸν Νόμον Μωϋσέως κομίζου αὐτὴν καὶ ἄπα-
13 γε πρὸς τὸν πατέρα σου· καὶ εὐλόγησεν αὐτούς. καὶ ἐκάλεσεν Ἕδναν τὴν γυναῖκα αὐτοῦ· καὶ λαβὼν βιβλίον ἔγραψε συγγρα-
14 φήν, καὶ ἐσφραγίσατο. καὶ ἤρξαντο ἐσθίειν. καὶ ἐκάλεσε Ῥα-
15 γουὴλ Ἕδναν τὴν γυναῖκα αὐτοῦ καὶ εἶπεν αὐτῇ· Ἀδελφή, ἑ-
16 τοίμασον τὸ ἕτερον ταμιεῖον καὶ εἰσάγαγε αὐτήν. καὶ ἐποίησεν ὡς εἶπε καὶ εἰσήγαγεν αὐτὴν ἐκεῖ, καὶ ἔκλαυσε· καὶ ἀπεδέξατο
17 τὰ δάκρυα τῆς θυγατρὸς αὐτῆς καὶ εἶπεν αὐτῇ· Θάρσει, τέκνον, ὁ Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς δῴη σοι χάριν ἀντὶ τῆς λύπης σου ταύτης· θάρσει, θύγατερ.

8 Ὅτε δὲ συνετέλεσαν δειπνοῦντες, εἰσήγαγον Τωβίαν
2 πρὸς αὐτήν. ὁ δὲ πορευόμενος ἐμνήσθη τῶν λόγων Ῥαφαὴλ καὶ ἔλαβε τὴν τέφραν τῶν θυμιαμάτων καὶ ἐπέθηκε τὴν καρ-
3 δίαν τοῦ ἰχθύος καὶ τὸ ἧπαρ καὶ ἐκάπνισεν. ὅτε δὲ ὠσφράνθη τὸ δαιμόνιον τῆς ὀσμῆς, ἔφυγεν εἰς τὰ ἀνώτατα Αἰγύπτου καὶ
4 ἔδησεν αὐτὸ ὁ ἄγγελος. ὡς δὲ συνεκλίθησαν ἀμφότεροι, ἀνέστη Τωβίας ἀπὸ τῆς κλίνης καὶ εἶπεν· Ἀνάστηθι, ἀδελφή, καὶ
5 προσευξώμεθα, ἵνα ἐλεήσῃ ἡμᾶς ὁ Κύριος. καὶ ἤρξατο Τωβίας λέγειν· Εὐλογητὸς εἶ, ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ εὐλογητὸν τὸ ὄνομά σου τὸ ἅγιον καὶ ἔνδοξον εἰς τοὺς αἰῶνας· εὐλο-
6 γησάτωσάν σε οἱ οὐρανοὶ καὶ πᾶσαι αἱ κτίσεις σου. σὺ ἐποίησας Ἀδὰμ καὶ ἔδωκας αὐτῷ βοηθὸν Εὔαν στήριγμα τὴν γυναῖκα αὐτοῦ· ἐκ τούτων ἐγεννήθη τὸ ἀνθρώπων σπέρμα. σὺ εἶπας· Οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον, ποιήσωμεν αὐτῷ
7 βοηθὸν ὅμοιον αὐτῷ. καὶ νῦν, Κύριε, οὐ διὰ πορνείαν ἐγὼ λαμβάνω τὴν ἀδελφήν μου ταύτην, ἀλλὰ ἐπ' ἀληθείας ἐπίταξον ἐ-
8 λεῆσαί με καὶ αὐτῇ συγκαταγηρᾶσαι. καὶ εἶπε μετ' αὐτοῦ· Ἀ-
9 10 μήν. καὶ ἐκοιμήθησαν ἀμφότεροι τὴν νύκτα. καὶ ἀναστὰς Ῥα-

γουὴλ ἐπορεύθη καὶ ὤρυξε τάφον λέγων· Μὴ καὶ οὗτος ἀποθά-
11 12 νῃ; καὶ ἦλθε Ῥαγουὴλ εἰς τὴν οἰκίαν ἑαυτοῦ καὶ εἶπεν Ἔδνᾳ τῇ
γυναικὶ αὐτοῦ· Ἀπόστειλον μίαν τῶν παιδισκῶν, καὶ ἰδέτωσαν
13 εἰ ζῇ· εἰ δὲ μή, ἵνα θάψωμεν αὐτόν, καὶ μηδεὶς γνῷ. καὶ εἰσῆλ-
θεν ἡ παιδίσκη ἀνοίξασα τὴν θύραν καὶ εὗρε τοὺς δύο καθεύ-
14 15 δοντας. καὶ ἐξελθοῦσα ἀπήγγειλεν αὐτοῖς, ὅτι ζῇ. καὶ εὐλόγη-
σε Ῥαγουὴλ τὸν θεὸν λέγων· Εὐλογητὸς εἶ σύ, ὁ θεός, ἐν πά-
σῃ εὐλογίᾳ καθαρᾷ καὶ ἁγίᾳ, καὶ εὐλογείτωσάν σε οἱ ἅγιοί σου
καὶ πᾶσαι αἱ κτίσεις σου, καὶ πάντες οἱ ἄγγελοί σου καὶ οἱ ἐ-
16 κλεκτοί σου εὐλογείτωσάν σε εἰς τοὺς αἰῶνας. εὐλογητὸς εἶ ὅ-
τι ηὔφρανάς με, καὶ οὐκ ἐγένετό μοι καθὼς ὑπενόουν, ἀλλὰ
17 κατὰ τὸ πολὺ ἔλεός σου ἐποίησας μεθ' ἡμῶν. εὐλογητὸς εἶ ὅτι
ἠλέησας δύο μονογενεῖς· ποίησον αὐτοῖς, δέσποτα, ἔλεος, συ-
ντέλεσον τὴν ζωὴν αὐτῶν ἐν ὑγιείᾳ μετ' εὐφροσύνης καὶ ἐλέ-
18 19 ους. ἐκέλευσε δὲ τοῖς οἰκέταις χῶσαι τὸν τάφον. καὶ ἐποίησεν
20 αὐτοῖς γάμον ἡμερῶν δεκατεσσάρων. καὶ εἶπεν αὐτῷ Ῥαγου-
ὴλ πρὶν ἢ συντελεσθῆναι τὰς ἡμέρας τοῦ γάμου ἐνόρκως μὴ ἐ-
ξελθεῖν αὐτόν, ἐὰν μὴ πληρωθῶσιν αἱ δεκατέσσαρες ἡμέραι
21 τοῦ γάμου, καὶ τότε λαβόντα τὸ ἥμισυ τῶν ὑπαρχόντων αὐτοῦ
πορεύεσθαι μεθ' ὑγιείας πρὸς τὸν πατέρα· καὶ τὰ λοιπά, ὅταν
ἀποθάνω καὶ ἡ γυνή μου.

9 2 Καὶ ἐκάλεσε Τωβίας τὸν Ῥαφαὴλ καὶ εἶπεν αὐτῷ· Ἀζαρία
ἀδελφέ, λάβε μετὰ σεαυτοῦ παῖδα καὶ δύο καμήλους καὶ πο-
ρεύθητι ἐν Ῥάγοις τῆς Μηδίας παρὰ Γαβαὴλ καὶ κόμισαί μοι
3 τὸ ἀργύριον καὶ αὐτὸν ἄγε μοι εἰς τὸν γάμον· διότι ὀμώμοκε
4 Ῥαγουὴλ μὴ ἐξελθεῖν με, καὶ ὁ πατήρ μου ἀριθμεῖ τὰς ἡμέρας,
5 καὶ ἐὰν χρονίσω μέγα, ὀδυνηθήσεται λίαν. καὶ ἐπορεύθη Ῥα-
φαὴλ καὶ ηὐλίσθη παρὰ Γαβαήλ, καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγρα-
φον· ὁ δὲ προήνεγκε τὰ θυλάκια ἐν ταῖς σφραγῖσι καὶ ἔδωκεν
6 αὐτῷ. καὶ ὤρθρευσαν κοινῶς καὶ ἦλθον εἰς τὸν γάμον. καὶ εὐ-
λόγησε Τωβίας τὴν γυναῖκα αὐτοῦ.

10 Καὶ Τωβὶτ ὁ πατὴρ αὐτοῦ ἐλογίσατο ἑκάστης ἡμέρας· καὶ
2 ὡς ἐπληρώθησαν αἱ ἡμέραι τῆς πορείας καὶ οὐκ ἤρχοντο, εἶ-
πε· Μήποτε κατῃσχυνται; ἢ μήποτε ἀπέθανε Γαβαὴλ καὶ οὐδεὶς
3 4 αὐτῷ δίδωσι τὸ ἀργύριον; καὶ ἐλυπεῖτο λίαν. εἶπε δὲ αὐτῷ ἡ
γυνή· Ἀπώλετο τὸ παιδίον, διότι κεχρόνικε· καὶ ἤρξατο θρη-
5 νεῖν αὐτὸν καὶ εἶπεν· Οὐ μέλει μοι, τέκνον, ὅτι ἀφῆκά σε τὸ
6 φῶς τῶν ὀφθαλμῶν μου; καὶ Τωβὶτ λέγει αὐτῇ· Σίγα, μὴ λόγον
7 ἔχε, ὑγιαίνει. καὶ εἶπεν αὐτῷ· Σίγα, μὴ πλάνα με, ἀπώλετο τὸ
παιδίον μου. καὶ ἐπορεύετο καθ' ἡμέραν εἰς τὴν ὁδὸν ἔξω,
οἵας ἀπῆλθεν, ἡμέρας τε ἄρτον οὐκ ἤσθιε, τὰς δὲ νύκτας οὐ
διελίμπανε θρηνοῦσα Τωβίαν τὸν υἱὸν αὐτῆς, ἕως οὗ συνετε-
λέσθησαν αἱ δεκατέσσαρες ἡμέραι τοῦ γάμου, ἃς ὤμοσε Ῥα-
γουὴλ ποιῆσαι αὐτὸν ἐκεῖ· εἶπε δὲ Τωβίας τῷ Ῥαγουήλ· ἐξα-
πόστειλόν με, ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου οὐκέτι ἐλπί-

8 ζουσιν ὄψεσθαί με. εἶπε δὲ αὐτῷ ὁ πενθερός· Μεῖνον παρ' ἐ-
μοί, κἀγὼ ἐξαποστελῶ πρὸς τὸν πατέρα σου καὶ δηλώσουσιν
9 αὐτῷ τὰ κατὰ σέ. καὶ Τωβίας λέγει· Ἐξαπόστειλόν με πρὸς
10 τὸν πατέρα μου. ἀναστὰς δὲ Ῥαγουὴλ ἔδωκεν αὐτῷ Σάρραν
τὴν γυναῖκα αὐτοῦ καὶ τὸ ἥμισυ τῶν ὑπαρχόντων, σώματα καὶ
11 κτήνη καὶ ἀργύριον, καὶ εὐλογήσας αὐτοὺς ἐξαπέστειλε λέ-
γων· εὐοδώσει ὑμᾶς, τέκνα, ὁ θεὸς τοῦ οὐρανοῦ πρὸ τοῦ με ἀ-
12 ποθανεῖν. καὶ εἶπε τῇ θυγατρὶ αὐτοῦ· Τίμα τοὺς πενθερούς
σου, αὐτοὶ νῦν γονεῖς σού εἰσιν· ἀκούσαιμί σου ἀκοὴν καλήν,
καὶ ἐφίλησεν αὐτήν. καὶ Ἔδνα εἶπε πρὸς Τωβίαν· Ἀδελφὲ ἀγα-
πητέ, ἀποκαταστῆσαί σε ὁ Κύριος τοῦ οὐρανοῦ καὶ δῴη μοι
ἰδεῖν σου παιδία ἐκ Σάρρας τῆς θυγατρός μου, ἵνα εὐφρανθῶ
ἐνώπιον τοῦ Κυρίου· καὶ ἰδοὺ παρατίθεμαί σοι τὴν θυγατέρα
13 μου ἐν παρακαταθήκῃ, μὴ λυπήσῃς αὐτήν. μετὰ ταῦτα ἐπορεύ-
ετο καὶ Τωβίας εὐλογῶν τὸν θεόν, ὅτι εὐώδωσε τὴν ὁδὸν αὐ-
τοῦ, καὶ κατευλόγει Ῥαγουὴλ καὶ Ἔδναν τὴν γυναῖκα αὐτοῦ.

11 Καὶ ἐπορεύετο μέχρι οὗ ἐγγίσαι αὐτοὺς εἰς Νινευή. καὶ εἶ-
πε Ῥαφαὴλ πρὸς Τωβίαν· Οὐ γινώσκεις, ἀδελφέ, πῶς ἀφῆκας
2 τὸν πατέρα σου; προδράμωμεν ἔμπροσθεν τῆς γυναικός σου
3 καὶ ἑτοιμάσωμεν τὴν οἰκίαν· λάβε δὲ παρὰ χεῖρα τὴν χολὴν
τοῦ ἰχθύος. καὶ ἐπορεύθησαν, καὶ συνῆλθεν ὁ κύων ὄπισθεν
4 αὐτῶν. καὶ Ἄννα ἐκάθητο περιβλεπομένη εἰς τὴν ὁδὸν τὸν
5 παῖδα αὐτῆς· καὶ προσενόησεν αὐτὸν ἐρχόμενον καὶ εἶπε τῷ
πατρὶ αὐτοῦ· Ἰδοὺ ὁ υἱός μου ἔρχεται καὶ ὁ ἄνθρωπος ὁ πο-
6 ρευθεὶς μετ' αὐτοῦ. καὶ Ῥαφαὴλ εἶπεν· Ἐπίσταμαι ἐγὼ ὅτι ἀ-
7 νοίξει τοὺς ὀφθαλμοὺς ὁ πατήρ σου. σὺ ἔγχρισον τὴν χολὴν
εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ δηχθεὶς διατρίψει καὶ ἀποβαλεῖ-
8 ται τὰ λευκώματα καὶ ὄψεταί σε. καὶ προσδραμοῦσα Ἄννα ἐ-
πέπεσεν ἐπὶ τὸν τράχηλον τοῦ υἱοῦ αὐτῆς καὶ εἶπεν αὐτῷ· Εἶ-
δόν σε, παιδίον, ἀπὸ τοῦ νῦν ἀποθανοῦμαι. καὶ ἔκλαυσαν ἀμ-
9 φότεροι. καὶ Τωβὶτ ἐξήρχετο πρὸς τὴν θύραν καὶ προσέκο-
10 πτεν, ὁ δὲ υἱὸς αὐτοῦ προσέδραμεν αὐτῷ καὶ ἐπελάβετο τοῦ
πατρὸς αὐτοῦ καὶ προσέπασε τὴν χολὴν ἐπὶ τοὺς ὀφθαλμοὺς
11 τοῦ πατρὸς αὐτοῦ λέγων· Θάρσει, πάτερ. ὡς δὲ συνεδήχθη-
σαν, διέτριψε τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἐλεπίσθη ἀπὸ τῶν ἀ-
12 κανθῶν τῶν ὀφθαλμῶν αὐτοῦ τὰ λευκώματα. καὶ ἰδὼν τὸν υἱ-
13 ὸν αὐτοῦ ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ ἔκλαυσε καὶ εἶ-
πεν· Εὐλογητὸς εἶ, ὁ θεός, καὶ εὐλογητὸν τὸ ὄνομά σου εἰς
τοὺς αἰῶνας, καὶ εὐλογημένοι πάντες οἱ ἅγιοί σου ἄγγελοι· ὅτι
14 ἐμαστίγωσας καὶ ἠλέησάς με, ἰδοὺ βλέπω Τωβίαν τὸν υἱόν
μου. καὶ εἰσῆλθεν ὁ υἱὸς αὐτοῦ χαίρων καὶ ἀπήγγειλε τῷ πα-
15 τρὶ αὐτοῦ τὰ μεγαλεῖα τὰ γενόμενα αὐτῷ ἐν τῇ Μηδίᾳ. καὶ ἐ-
ξῆλθε Τωβὶτ εἰς συνάντησιν τῇ νύμφῃ αὐτοῦ χαίρων καὶ εὐλο-
γῶν τὸν θεὸν πρὸς τῇ πύλῃ Νινευή· καὶ ἐθαύμαζον οἱ θεωροῦ-
16 ντες αὐτὸν πορευόμενον, ὅτι ἔβλεψε. καὶ Τωβὶτ ἐξωμολογεῖτο

ἐνώπιον αὐτοῦ, ὅτι ἠλέησεν αὐτοὺς ὁ θεός· καὶ ὡς ἤγγισε Τω-
βὶτ Σάρρᾳ τῇ νύμφῃ αὐτοῦ, κατευλόγησεν αὐτὴν λέγων· Ἔλ-
θοις ὑγιαίνουσα, θύγατερ· εὐλογητὸς ὁ θεός, ὃς ἤγαγέ σε
πρὸς ἡμᾶς, καὶ ὁ πατήρ σου καὶ ἡ μήτηρ σου. καὶ ἐγένετο χα-
17 ρὰ πᾶσι τοῖς ἐν Νινευὴ ἀδελφοῖς αὐτοῦ. καὶ παρεγένετο Ἀχιά-
18 χαρος καὶ Νασβὰς ὁ ἐξάδελφος, αὐτοῦ, καὶ ἦχθη ὁ γάμος Τω-
βία μετ' εὐφροσύνης ἡμέρας ἑπτά.

12 Καὶ ἐκάλεσε Τωβὶτ Τωβίαν τὸν υἱὸν αὐτοῦ καὶ εἶπεν αὐ-
τῷ· Ὅρα, τέκνον, μισθὸν τῷ ἀνθρώπῳ τῷ συνελθόντι σοι, καὶ
2 προσθεῖναι αὐτῷ δεῖ. καὶ εἶπε· Πάτερ, οὐ βλάπτομαι δοὺς αὐ-
3 τῷ τὸ ἥμισυ, ὧν ἐνήνοχα, ὅτι με ἀγήοχέ σοι ὑγιῆ καὶ τὴν γυ-
ναῖκά μου ἐθεράπευσε καὶ τὸ ἀργύριόν μου ἤνεγκε καὶ σὲ ὁ-
4 μοίως ἐθεράπευσε. καὶ εἶπεν ὁ πρεσβύτης· Δικαιοῦται αὐτῷ.
5 καὶ ἐκάλεσε τὸν ἄγγελον καὶ εἶπεν αὐτῷ· Λάβε τὸ ἥμισυ πά-
6 ντων, ὧν ἐνηνόχατε, καὶ ὕπαγε ὑγιαίνων. τότε <Ῥαφαὴλ>
καλέσας τοὺς δύο κρυπτῶς εἶπεν αὐτοῖς· Εὐλογεῖτε τὸν θεὸν
καὶ αὐτῷ ἐξομολογεῖσθε καὶ μεγαλωσύνην δίδοτε αὐτῷ καὶ ἐ-
ξομολογεῖσθε αὐτῷ ἐνώπιον πάντων τῶν ζώντων, περὶ ὧν ἐ-
ποίησε μεθ' ὑμῶν. ἀγαθὸν τὸ εὐλογεῖν τὸν θεὸν καὶ ὑψοῦν τὸ
ὄνομα αὐτοῦ, τοὺς λόγους τῶν ἔργων τοῦ θεοῦ ἐντίμως ὑπο-
7 δεικνύοντες, καὶ μὴ ὀκνεῖτε ἐξομολογεῖσθαι αὐτῷ. μυστήριον
βασιλέως καλὸν κρύψαι, τὰ δὲ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν ἐν-
8 δόξως. ἀγαθὸν ποιήσατε, καὶ κακὸν οὐχ εὑρήσει ὑμᾶς. ἀγαθὸν
προσευχὴ μετὰ νηστείας καὶ ἐλεημοσύνης καὶ δικαιοσύνης· ἀ-
γαθὸν τὸ ὀλίγον μετὰ δικαιοσύνης ἢ πολὺ μετὰ ἀδικίας. καλὸν
9 ποιῆσαι ἐλεημοσύνην ἢ θησαυρίσαι χρυσίον· ἐλεημοσύνη γὰρ
ἐκ θανάτου ῥύεται, καὶ αὐτὴ ἀποκαθαριεῖ πᾶσαν ἁμαρτίαν· οἱ
10 ποιοῦντες ἐλεημοσύνας καὶ δικαιοσύνας πλησθήσονται ζωῆς,
11 οἱ δὲ παριστάνοντες πολέμιοί εἰσι τῆς ἑαυτῶν ζωῆς. οὐ μὴ
κρύψω ἀφ' ὑμῶν πᾶν ῥῆμα· εἴρηκα δὴ μυστήριον βασιλέως
12 κρύψαι καλόν, τὰ δὲ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν ἐνδόξως.
καὶ νῦν ὅτε προσηύξω σὺ καὶ ἡ νύμφη σου Σάρρα, ἐγὼ προσή-
γαγον τὸ μνημόσυνον τῆς προσευχῆς ὑμῶν ἐνώπιον τοῦ ἁ-
13 γίου· καὶ ὅτε ἔθαπτες τοὺς νεκρούς, ὡσαύτως συμπαρήμην
σοι. καὶ ὅτε οὐκ ὤκνησας ἀναστῆναι καὶ καταλιπεῖν τὸ ἄρι-
στόν σου, ὅπως ἀπελθὼν περιστείλῃς τὸν νεκρόν, οὐκ ἔλαθές
14 με ἀγαθοποιῶν, ἀλλὰ σὺν σοὶ ἤμην. καὶ νῦν ἀπέστειλέ με ὁ θε-
15 ὸς ἰάσασθαί σε καὶ τὴν νύμφην σου Σάρραν. ἐγώ εἰμι Ῥαφαήλ,
εἷς ἐκ τῶν ἑπτὰ ἁγίων ἀγγέλων, οἳ προσαναφέρουσι τὰς προ-
16 σευχὰς τῶν ἁγίων, καὶ εἰσπορεύονται ἐνώπιον τῆς δόξης τοῦ
ἁγίου. καὶ ἐταράχθησαν οἱ δύο καὶ ἔπεσον ἐπὶ πρόσωπον, ὅτι
17 ἐφοβήθησαν. καὶ εἶπεν αὐτοῖς· Μὴ φοβεῖσθε, εἰρήνη ὑμῖν ἔ-
18 σται· τὸν δὲ θεὸν εὐλογεῖτε εἰς τὸν αἰῶνα, ὅτι οὐ τῇ ἐμαυτοῦ
χάριτι, ἀλλὰ τῇ θελήσει τοῦ θεοῦ ἡμῶν ἦλθον, ὅθεν εὐλογεῖτε
19 αὐτὸν εἰς τὸν αἰῶνα. πάσας τὰς ἡμέρας ὠπτανόμην ὑμῖν, καὶ

20 οὐκ ἔφαγον οὐδὲ ἔπιον, ἀλλὰ ὅρασιν ὑμεῖς ἐθεωρεῖτε. καὶ νῦν
ἐξομολογεῖσθε τῷ θεῷ, διότι ἀναβαίνω πρὸς τὸν ἀποστείλα-
21 ντά με, καὶ γράψατε πάντα τὰ συντελεσθέντα εἰς βιβλίον. καὶ
22 ἀνέστησαν, καὶ οὐκ ἔτι εἶδον αὐτόν. καὶ ἐξωμολογοῦντο τὰ ἔρ-
γα τὰ μεγάλα καὶ θαυμαστὰ αὐτοῦ καὶ ὡς ὤφθη αὐτοῖς ὁ ἄγγε-
λος Κυρίου.

13 Καὶ Τωβὶτ ἔγραψε προσευχὴν εἰς ἀγαλλίασιν καὶ εἶπεν·
«Εὐλογητὸς ὁ θεὸς ὁ ζῶν εἰς τοὺς αἰῶνας καὶ ἡ βασιλεία αὐ-
2 τοῦ, ὅτι αὐτὸς μαστιγοῖ καὶ ἐλεεῖ, κατάγει εἰς ᾅδην καὶ ἀνάγει,
3 καὶ οὐκ ἔστιν ὃς ἐκφεύξεται τὴν χεῖρα αὐτοῦ. ἐξομολογεῖσθε
αὐτῷ οἱ υἱοὶ Ἰσραὴλ ἐνώπιον τῶν ἐθνῶν, ὅτι αὐτὸς διέσπειρεν
4 ἡμᾶς ἐν αὐτοῖς· ἐκεῖ ὑποδείξατε τὴν μεγαλωσύνην αὐτοῦ, ὑ-
ψοῦτε αὐτὸν ἐνώπιον παντὸς ζῶντος, καθότι αὐτὸς Κύριος ἡ-
5 μῶν καὶ θεός, αὐτὸς πατὴρ ἡμῶν εἰς πάντας τοὺς αἰῶνας. καὶ
μαστιγώσει ἡμᾶς ἐν ταῖς ἀδικίαις ἡμῶν καὶ πάλιν ἐλεήσει καὶ
συνάξει ἡμᾶς ἐκ πάντων τῶν ἐθνῶν, οὗ ἐὰν σκορπισθῆτε ἐν
6 αὐτοῖς. ἐὰν ἐπιστρέψητε πρὸς αὐτὸν ἐν ὅλῃ τῇ καρδίᾳ ὑμῶν
καὶ ἐν ὅλῃ τῇ ψυχῇ ὑμῶν ποιῆσαι ἐνώπιον αὐτοῦ ἀλήθειαν, τό-
τε ἐπιστρέψει πρὸς ὑμᾶς καὶ οὐ μὴ κρύψῃ τὸ πρόσωπον αὐτοῦ
ἀφ' ὑμῶν, καὶ θεάσασθε ἃ ποιήσει μεθ' ὑμῶν, καὶ ἐξομολογή-
σασθε αὐτῷ ἐν ὅλῳ τῷ στόματι ὑμῶν· καὶ εὐλογήσατε τὸν Κύ-
ριον τῆς δικαιοσύνης καὶ ὑψώσατε τὸν βασιλέα τῶν αἰώνων.
ἐγὼ ἐν τῇ γῇ τῆς αἰχμαλωσίας μου ἐξομολογοῦμαι αὐτῷ καὶ
δεικνύω τὴν ἰσχὺν καὶ τὴν μεγαλωσύνην αὐτοῦ ἔθνει ἁμαρτω-
λῶν. ἐπιστρέψατε, ἁμαρτωλοί, καὶ ποιήσατε δικαιοσύνην ἐνώ-
πιον αὐτοῦ· τίς γινώσκει εἰ θελήσει ὑμᾶς καὶ ποιήσει ἐλεημο-
7 σύνην ὑμῖν; τὸν θεόν μου ὑψῶ καὶ ἡ ψυχή μου τὸν βασιλέα
8 τοῦ οὐρανοῦ, καὶ ἀγαλλιάσεται τὴν μεγαλωσύνην αὐτοῦ. λεγέ-
τωσαν πάντες καὶ ἐξομολογείσθωσαν αὐτῷ ἐν Ἰεροσολύμοις·
9 Ἰεροσόλυμα πόλις ἁγία, μαστιγώσει ἐπὶ τὰ ἔργα τῶν υἱῶν σου
10 καὶ πάλιν ἐλεήσει τοὺς υἱοὺς τῶν δικαίων. ἐξομολογοῦ τῷ Κυ-
ρίῳ ἀγαθῶς καὶ εὐλόγει τὸν βασιλέα τῶν αἰώνων, ἵνα πάλιν ἡ
σκηνὴ αὐτοῦ οἰκοδομηθῇ ἐν σοὶ μετὰ χαρᾶς, καὶ εὐφράναι ἐν
σοὶ τοὺς αἰχμαλώτους καὶ ἀγαπῆσαι ἐν σοὶ τοὺς ταλαιπώρους
11 εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος. ἔθνη πολλὰ μακρόθεν ἥξει
πρὸς τὸ ὄνομα Κυρίου τοῦ θεοῦ δῶρα ἐν χερσὶν ἔχοντες καὶ
δῶρα τῷ βασιλεῖ τοῦ οὐρανοῦ, γενεαὶ γενεῶν δώσουσί σοι ἀ-
12 γαλλίαμα. ἐπικατάρατοι πάντες οἱ μισοῦντές σε, εὐλογημένοι
13 ἔσονται πάντες οἱ ἀγαπῶντές σε εἰς τὸν αἰῶνα. χάρηθι καὶ ἀ-
γαλλίασαι ἐπὶ τοῖς υἱοῖς τῶν δικαίων, ὅτι συναχθήσονται καὶ
14 εὐλογήσουσι τὸν Κύριον τῶν δικαίων. ὦ μακάριοι οἱ ἀγαπῶ-
ντές σε, χαρήσονται ἐπὶ τῇ εἰρήνῃ σου. μακάριοι ὅσοι ἐλυπή-
θησαν ἐπὶ πάσαις ταῖς μάστιξί σου, ὅτι ἐπὶ σοὶ χαρήσονται θε-
ασάμενοι πᾶσαν τὴν δόξαν σου καὶ εὐφρανθήσονται εἰς τὸν
15 αἰῶνα. ἡ ψυχή μου εὐλογείτω τὸν θεὸν τὸν βασιλέα τὸν μέγαν,

16 ὅτι οἰκοδομηθήσεται Ἰερουσαλὴμ σαπφίρῳ καὶ σμαράγδῳ καὶ
λίθῳ ἐντίμῳ τὰ τείχη σου καὶ οἱ πύργοι καὶ οἱ προμαχῶνες ἐν
17 χρυσίῳ καθαρῷ, καὶ αἱ πλατεῖαι Ἰερουσαλὴμ ἐν βηρύλλῳ καὶ
ἄνθρακι καὶ λίθῳ ἐκ Σουφὶρ ψηφολογηθήσονται. καὶ ἐροῦσι
18 πᾶσαι αἱ ῥύμαι αὐτῆς ‘Ἀλληλούια’ καὶ αἰνέσουσι λέγοντες·
‘Εὐλογητὸς ὁ θεός, ὃς ὕψωσέ σε εἰς πάντας τοὺς αἰῶνας’».

14 2 Καὶ ἐπαύσατο ἐξομολογούμενος Τωβίτ. καὶ ἦν ἐτῶν πε-
ντηκονταοκτώ, ὅτε ἀπώλεσε τὰς ὄψεις, καὶ μετὰ ἔτη ὀκτὼ ἀνέ-
βλεψε. καὶ ἐποίει ἐλεημοσύνας καὶ προσέθετο φοβεῖσθαι Κύ-
3 ριον τὸν θεὸν καὶ ἐξωμολογεῖτο αὐτῷ. μεγάλως δὲ ἐγήρασε·
καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπεν αὐ-
τῷ· Τέκνον, λάβε τοὺς υἱούς σου· ἰδοὺ γεγήρακα καὶ πρὸς τὸ
4 ἀποτρέχειν ἐκ τοῦ ζῆν εἰμι. ἄπελθε εἰς τὴν Μηδίαν, τέκνον, ὅτι
πέπεισμαι ὅσα ἐλάλησεν Ἰωνᾶς ὁ προφήτης περὶ Νινευή, ὅτι
καταστραφήσεται, ἐν δὲ τῇ Μηδίᾳ ἔσται εἰρήνη μᾶλλον ἕως
καιροῦ, καὶ ὅτι οἱ ἀδελφοὶ ἡμῶν ἐν τῇ γῇ σκορπισθήσονται ἀ-
πὸ τῆς ἀγαθῆς γῆς, καὶ Ἰεροσόλυμα ἔσται ἔρημος, καὶ ὁ οἶκος
τοῦ θεοῦ ἐν αὐτῇ κατακαήσεται καὶ ἔρημος ἔσται μέχρι χρό-
5 νου. καὶ πάλιν ἐλεήσει αὐτοὺς ὁ θεὸς καὶ ἐπιστρέψει αὐτοὺς
εἰς τὴν γῆν, καὶ οἰκοδομήσουσι τὸν οἶκον, οὐχ οἷος ὁ πρότε-
ρος, ὡς πληρωθῶσι καιροὶ τοῦ αἰῶνος. καὶ μετὰ ταῦτα ἐπι-
στρέψουσιν ἐκ τῶν αἰχμαλωσιῶν καὶ οἰκοδομήσουσιν Ἰερου-
σαλὴμ ἐντίμως, καὶ ὁ οἶκος τοῦ θεοῦ ἐν αὐτῇ οἰκοδομηθήσεται
εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος οἰκοδομῇ ἐνδόξῳ, καθὼς ἐ-
6 λάλησαν περὶ αὐτῆς οἱ προφῆται. καὶ πάντα τὰ ἔθνη ἐπιστρέ-
ψουσιν ἀληθινῶς φοβεῖσθαι Κύριον τὸν θεὸν καὶ κατορύξουσι
7 τὰ εἴδωλα αὐτῶν, καὶ εὐλογήσουσι πάντα τὰ ἔθνη Κύριον. καὶ
ὁ λαὸς αὐτοῦ ἐξομολογήσεται τῷ θεῷ, καὶ ὑψώσει Κύριος τὸν
λαὸν αὐτοῦ, καὶ χαρήσονται πάντες οἱ ἀγαπῶντες Κύριον τὸν
θεὸν ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ, ποιοῦντες ἔλεος τοῖς ἀδελ-
8 φοῖς ἡμῶν. καὶ νῦν, τέκνον, ἄπελθε ἀπὸ Νινευή, ὅτι πάντως ἔ-
9 σται ἃ ἐλάλησεν ὁ προφήτης Ἰωνᾶς. σὺ δὲ τήρησον τὸν Νό-
μον καὶ τὰ προστάγματα καὶ γενοῦ φιλελεήμων καὶ δίκαιος, ἵ-
να σοι καλῶς ᾖ. καὶ θάψον με καλῶς καὶ τὴν μητέρα σου μετ’
10 ἐμοῦ, καὶ μηκέτι αὐλισθῆτε εἰς Νινευή. τέκνον, ἴδε τί ἐποίησεν
Ἀμὰν Ἀχιαχάρῳ τῷ θρέψαντι αὐτόν, ὡς ἐκ τοῦ φωτὸς ἤγαγεν
αὐτὸν εἰς τὸ σκότος, καὶ ὅσα ἀνταπέδωκεν αὐτῷ· καὶ Ἀχιάχα-
ρος μὲν ἐσώθη, ἐκείνῳ δὲ τὸ ἀνταπόδομα ἀπεδόθη, καὶ αὐτὸς
κατέβη εἰς τὸ σκότος. Μανασσῆς ἐποίησεν ἐλεημοσύνην καὶ ἐ-
σώθη ἐκ παγίδος θανάτου, ἧς ἔπηξεν αὐτῷ, Ἀμὰν δὲ ἐνέπεσεν
11 εἰς τὴν παγίδα καὶ ἀπώλετο. καὶ νῦν, παιδία, ἴδετε τί ἐλεημο-
σύνη ποιεῖ, καὶ τί δικαιοσύνη ῥύεται. καὶ ταῦτα αὐτοῦ λέγο-
ντος, ἐξέλιπεν ἡ ψυχὴ αὐτοῦ ἐπὶ τῆς κλίνης· ἦν δὲ ἐτῶν ἑκα-
12 τὸν πεντήκοντα ὀκτώ, καὶ ἔθαψαν αὐτὸν ἐνδόξως. καὶ ὅτε ἀπέ-
θανεν Ἄννα, ἔθαψεν αὐτὴν μετὰ τοῦ πατρὸς αὐτοῦ. ἀπῆλθε δὲ

Τωβίας μετὰ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν υἱῶν αὐτοῦ εἰς Ἐκ-
13 βάτανα πρὸς Ῥαγουὴλ τὸν πενθερὸν αὐτοῦ, καὶ ἐγήρασεν ἐντί-
μως καὶ ἔθαψε τοὺς πενθεροὺς αὐτοῦ ἐνδόξως καὶ ἐκληρονό-
14 μησε τὴν οὐσίαν αὐτῶν καὶ Τωβὶτ τοῦ πατρὸς αὐτοῦ. καὶ ἀπέ-
15 θανεν ἐτῶν ἑκατὸν εἴκοσι ἑπτὰ ἐν Ἐκβατάνοις τῆς Μηδίας. καὶ
ἤκουσε πρὶν ἢ ἀποθανεῖν αὐτὸν τὴν ἀπώλειαν Νινευή, ἣν
ᾐχμαλώτισε Ναβουχοδονόσορ καὶ Ἀσύηρος, καὶ ἐχάρη πρὸ
τοῦ ἀποθανεῖν ἐπὶ Νινευή.

13. ΙΟΥΔΙΘ

1 Ἔτους δωδεκάτου τῆς βασιλείας Ναβουχοδονόσορ, ὃς ἐ-
βασίλευσεν Ἀσσυρίων ἐν Νινευὴ τῇ πόλει τῇ μεγάλῃ, ἐν ταῖς
2 ἡμέραις Ἀρφαξάδ, ὃς ἐβασίλευσε Μήδων ἐν Ἐκβατάνοις, καὶ
ᾠκοδόμησεν ἐπ' Ἐκβατάνων κύκλῳ τείχη ἐκ λίθων λελαξευμέ-
νων εἰς πλάτος πηχῶν τριῶν καὶ εἰς μῆκος πηχῶν ἓξ καὶ ἐποί-
ησε τὸ ὕψος τοῦ τείχους πηχῶν ἑβδομήκοντα καὶ τὸ πλάτος
3 αὐτοῦ πηχῶν πεντήκοντα καὶ τοὺς πύργους αὐτοῦ ἔστησεν ἐ-
πὶ ταῖς πύλαις αὐτῆς πηχῶν ἑκατὸν καὶ τὸ πλάτος αὐτῆς ἐθε-
4 μελίωσεν εἰς πήχεις ἑξήκοντα καὶ ἐποίησε τὰς πύλας αὐτῆς
πύλας διεγειρομένας εἰς ὕψος πηχῶν ἑβδομήκοντα καὶ τὸ πλά-
τος αὐτῶν πήχεις τεσσαράκοντα εἰς ἐξόδους δυνάμεων δυνα-
5 τῶν αὐτοῦ καὶ διατάξεις τῶν πεζῶν αὐτοῦ. καὶ ἐποίησε πόλε-
μον ἐν ταῖς ἡμέραις ἐκείναις ὁ βασιλεὺς Ναβουχοδονόσορ
πρὸς βασιλέα Ἀρφαξὰδ ἐν τῷ πεδίῳ τῷ μεγάλῳ· τοῦτό ἐστιν
6 ἐν τοῖς ὁρίοις Ῥαγαῦ. καὶ συνήντησαν πρὸς αὐτὸν πάντες οἱ
κατοικοῦντες τὴν ὀρεινὴν καὶ πάντες οἱ κατοικοῦντες τὸν Εὐ-
φράτην καὶ τὸν Τίγριν καὶ τὸν Ὑδάσπην καὶ πεδία Ἀριὼχ βα-
σιλέως Ἐλυμαίων· καὶ συνῆλθον ἔθνη πολλὰ σφόδρα εἰς παρά-
7 ταξιν υἱῶν Χελεούδ. καὶ ἀπέστειλε Ναβουχοδονόσορ ὁ βασι-
λεὺς Ἀσσυρίων ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν Περσίδα
καὶ ἐπὶ πάντας τοὺς κατοικοῦντας πρὸς δυσμαῖς, τοὺς κατοι-
κοῦντας Κιλικίαν καὶ Δαμασκόν, τὸν Λίβανον καὶ Ἀντιλί-
βανον, καὶ πάντας τοὺς κατοικοῦντας κατὰ πρόσωπον παρα-
8 λίας καὶ τοὺς ἐν τοῖς ἔθνεσι τοῦ Καρμήλου καὶ Γαλαὰδ καὶ τὴν
9 ἄνω Γαλιλαίαν καὶ τὸ μέγα πεδίον Ἐσδρηλὼν καὶ πάντας τοὺς
ἐν Σαμαρείᾳ καὶ ταῖς πόλεσιν αὐτῆς καὶ πέραν τοῦ Ἰορδάνου ἕ-
ως Ἰερουσαλὴμ καὶ Βετάνη καὶ Χελλοὺς καὶ Κάδης καὶ τοῦ
ποταμοῦ Αἰγύπτου καὶ Τάφνας καὶ Ῥαμεσσὴ καὶ πᾶσαν γῆν
10 Γεσὲμ ἕως τοῦ ἐλθεῖν ἐπάνω Τάνεως καὶ Μέμφεως, καὶ πάντας
τοὺς κατοικοῦντας τὴν Αἴγυπτον ἕως τοῦ ἐλθεῖν ἐπὶ τὰ ὅρια
11 τῆς Αἰθιοπίας. καὶ ἐφαύλισαν πάντες οἱ κατοικοῦντες πᾶσαν
τὴν γῆν τὸ ῥῆμα Ναβουχοδονόσορ τοῦ βασιλέως Ἀσσυρίων
καὶ οὐ συνῆλθον αὐτῷ εἰς τὸν πόλεμον, ὅτι οὐκ ἐφοβήθησαν
αὐτόν, ἀλλ' ἦν ἐναντίον αὐτῶν ὡς ἀνὴρ εἷς, καὶ ἀνέστρεψαν
12 τοὺς ἀγγέλους αὐτοῦ κενοὺς ἐν ἀτιμίᾳ προσώπου αὐτῶν. καὶ
ἐθυμώθη Ναβουχοδονόσορ ἐπὶ πᾶσαν τὴν γῆν ταύτην σφόδρα
καὶ ὤμοσε κατὰ τοῦ θρόνου καὶ τῆς βασιλείας αὐτοῦ, εἰ μὴν
ἐκδικήσειν πάντα τὰ ὅρια τῆς Κιλικίας καὶ Δαμασκηνῆς καὶ

Συρίας, ἀνελεῖν τῇ ῥομφαίᾳ αὐτοῦ καὶ πάντας τοὺς κατοικοῦ-
ντας ἐν γῇ Μωὰβ καὶ τοὺς υἱοὺς Ἀμμὼν καὶ πᾶσαν τὴν Ἰου-
δαίαν καὶ πάντας τοὺς ἐν Αἰγύπτῳ ἕως τοῦ ἐλθεῖν ἐπὶ τὰ ὅρια
13 τῶν δύο θαλασσῶν. καὶ παρετάξατο ἐν τῇ δυνάμει αὐτοῦ πρὸς
Ἀρφαξὰδ βασιλέα ἐν τῷ ἔτει τῷ ἑπτακαιδεκάτῳ καὶ ἐκραταιώ-
θη ἐν τῷ πολέμῳ αὐτοῦ καὶ ἀνέστρεψε πᾶσαν τὴν δύναμιν Ἀρ-
φαξὰδ καὶ πᾶσαν τὴν ἵππον αὐτοῦ καὶ πάντα τὰ ἅρματα αὐτοῦ
14 καὶ ἐκυρίευσε τῶν πόλεων αὐτοῦ καὶ ἀφίκετο ἕως Ἐκβατάνων
καὶ ἐκράτησε τῶν πύργων καὶ ἐπρονόμευσε τὰς πλατείας αὐ-
15 τῆς καὶ τὸν κόσμον αὐτῆς ἔθηκεν εἰς ὄνειδος αὐτῆς. καὶ ἔλαβε
τὸν Ἀρφαξὰδ ἐν τοῖς ὄρεσι Ῥαγαῦ καὶ κατηκόντισεν αὐτὸν ἐν
ταῖς ζιβύναις αὐτοῦ καὶ ἐξωλόθρευσεν αὐτὸν ἕως τῆς ἡμέρας
16 ἐκείνης. καὶ ἀνέστρεψε μετ' αὐτῶν αὐτὸς καὶ πᾶς ὁ σύμμικτος
αὐτοῦ, πλῆθος ἀνδρῶν πολεμιστῶν πολὺ σφόδρα· καὶ ἦν ἐκεῖ
ῥαθυμῶν καὶ εὐωχούμενος αὐτὸς καὶ ἡ δύναμις αὐτοῦ ἐφ' ἡμέ-
ρας ἑκατὸν εἴκοσι.

2 Καὶ ἐν τῷ ἔτει τῷ ὀκτωκαιδεκάτῳ, δευτέρᾳ καὶ εἰκάδι τοῦ
πρώτου μηνός, ἐγένετο λόγος ἐν οἴκῳ Ναβουχοδονόσορ βα-
σιλέως Ἀσσυρίων ἐκδικῆσαι πᾶσαν τὴν γῆν καθὼς ἐλάλησε.
2 καὶ συνεκάλεσε πάντας τοὺς θεράποντας αὐτοῦ καὶ πάντας
τοὺς μεγιστᾶνας αὐτοῦ καὶ ἔθετο μετ' αὐτῶν τὸ μυστήριον τῆς
βουλῆς αὐτοῦ καὶ συνετέλεσε πᾶσαν τὴν κακίαν τῆς γῆς ἐκ
3 τοῦ στόματος αὐτοῦ. καὶ αὐτοὶ ἔκριναν ὀλοθρεῦσαι πᾶσαν
4 σάρκα, οἳ οὐκ ἠκολούθησαν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ. καὶ
ἐγένετο ὡς συνετέλεσε τὴν βουλὴν αὐτοῦ, ἐκάλεσε Ναβουχο-
δονόσορ βασιλεὺς Ἀσσυρίων τὸν Ὀλοφέρνην, ἀρχιστράτηγον
τῆς δυνάμεως αὐτοῦ, δεύτερον ὄντα μετ' αὐτόν, καὶ εἶπε πρὸς
5 αὐτόν· Τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας, ὁ κύριος πάσης τῆς
γῆς· Ἰδοὺ σὺ ἐξελεύσῃ ἐκ τοῦ προσώπου μου καὶ λήψῃ μετὰ
σεαυτοῦ ἄνδρας πεποιθότας ἐν ἰσχύι αὐτῶν, πεζῶν εἰς χιλιά-
δας ἑκατὸν εἴκοσι καὶ πλῆθος ἵππων σὺν ἀναβάταις μυριάδων
6 δεκαδύο, καὶ ἐξελεύσῃ εἰς συνάντησιν πάσῃ τῇ γῇ ἐπὶ δυσμάς,
7 ὅτι ἠπείθησαν τῷ ῥήματι τοῦ στόματός μου. καὶ ἀπαγγελεῖς
αὐτοῖς ἑτοιμάζειν γῆν καὶ ὕδωρ, ὅτι ἐξελεύσομαι ἐν θυμῷ μου
ἐπ' αὐτοὺς καὶ καλύψω πᾶν τὸ πρόσωπον τῆς γῆς ἐν τοῖς πο-
σὶ τῆς δυνάμεώς μου καὶ δώσω αὐτοὺς εἰς διαρπαγὴν αὐτοῖς·
8 καὶ οἱ τραυματίαι αὐτῶν πληρώσουσι τὰς φάραγγας καὶ τοὺς
χειμάρρους αὐτῶν, καὶ ποταμὸς ἐπικλύζων τοῖς νεκροῖς αὐ-
9 τῶν πληρωθήσεται· καὶ ἄξω τὴν αἰχμαλωσίαν αὐτῶν ἐπὶ τὰ ἄ-
10 κρα πάσης τῆς γῆς. σὺ δὲ ἐξελθὼν προκαταλήψῃ μοι πᾶν ὅρ-
ιον αὐτῶν, καὶ ἐκδώσουσί σοι ἑαυτούς, καὶ διατηρήσεις ἐμοὶ
11 αὐτοὺς εἰς ἡμέραν ἐλεγμοῦ αὐτῶν· ἐπὶ δὲ τοὺς ἀπειθοῦντας οὐ
φείσεται ὁ ὀφθαλμός σου τοῦ δοῦναι αὐτοὺς εἰς φόνον καὶ ἁρ-
12 παγὴν ἐν πάσῃ τῇ γῇ σου. ὅτι ζῶν ἐγὼ καὶ τὸ κράτος τῆς βα-
13 σιλείας μου, λελάληκα καὶ ποιήσω ταῦτα ἐν χειρί μου. καὶ σὺ

δὲ οὐ παραβήσῃ ἕν τι τῶν ῥημάτων τοῦ κυρίου σου, ἀλλ' ἐπι-
τελῶν ἐπιτελέσεις καθότι προστέταχά σοι, καὶ οὐ μακρυνεῖς
14 τοῦ ποιῆσαι αὐτά. καὶ ἐξῆλθεν Ὀλοφέρνης ἀπὸ προσώπου
τοῦ κυρίου αὐτοῦ καὶ ἐκάλεσε πάντας τοὺς δυνάστας καὶ τοὺς
15 στρατηγοὺς καὶ ἐπιστάτας τῆς δυνάμεως Ἀσσοὺρ καὶ ἠρίθμη-
σεν ἐκλεκτοὺς ἄνδρας εἰς παράταξιν, καθότι ἐκέλευσεν αὐτῷ
ὁ κύριος αὐτοῦ εἰς μυριάδας δεκαδύο καὶ ἱππεῖς τοξότας μυ-
16 ρίους δισχιλίους, καὶ διέταξεν αὐτοὺς ὃν τρόπον πολέμου
17 πλῆθος συντάσσεται. καὶ ἔλαβε καμήλους καὶ ὄνους καὶ ἡμιό-
νους εἰς τὴν ἀπαρτίαν αὐτῶν, πλῆθος πολὺ σφόδρα, καὶ πρό-
βατα καὶ βόας καὶ αἶγας εἰς τὴν παρασκευὴν αὐτῶν, ὧν οὐκ
18 ἦν ἀριθμός, καὶ ἐπισιτισμὸν παντὶ ἀνδρὶ εἰς πλῆθος καὶ χρυ-
19 σίον καὶ ἀργύριον ἐξ οἴκου βασιλέως πολὺ σφόδρα. καὶ ἐξῆλ-
θεν αὐτὸς καὶ πᾶσα ἡ δύναμις αὐτοῦ εἰς πορείαν τοῦ προελ-
θεῖν βασιλέως Ναβουχοδονόσορ καὶ καλύψαι πᾶν τὸ πρόσω-
πον τῆς γῆς πρὸς δυσμαῖς ἐν ἅρμασι καὶ ἱππεῦσι καὶ πεζοῖς ἐ-
20 πιλέκτοις αὐτῶν. καὶ πολὺς ὁ ἐπίμικτος ὡς ἀκρὶς συνεξῆλθον
αὐτοῖς καὶ ὡς ἡ ἄμμος τῆς γῆς· οὐ γὰρ ἦν ἀριθμὸς ἀπὸ πλή-
21 θους αὐτῶν. καὶ ἀπῆλθον ἐκ Νινευὴ ὁδὸν τριῶν ἡμερῶν ἐπὶ
πρόσωπον τοῦ πεδίου Βεκτιλὲθ καὶ ἐστρατοπέδευσαν ἀπὸ Βε-
κτιλὲθ πλησίον τοῦ ὄρους τοῦ ἐπ' ἀριστερᾷ τῆς ἄνω Κιλικίας.
22 καὶ ἔλαβε πᾶσαν τὴν δύναμιν αὐτοῦ, τοὺς πεζοὺς καὶ τοὺς ἱπ-
πεῖς καὶ τὰ ἅρματα αὐτοῦ, καὶ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν ὀρει-
23 νήν. καὶ διέκοψε τὸν Φοὺδ καὶ Λοὺδ καὶ ἐπρονόμευσαν πά-
ντας υἱοὺς Ῥασσὶς καὶ υἱοὺς Ἰσμαὴλ τοὺς κατὰ πρόσωπον
24 τῆς ἐρήμου πρὸς νότον τῆς Χελεών. καὶ παρῆλθε τὸν Εὐφρά-
την καὶ διῆλθε τὴν Μεσοποταμίαν καὶ διέσκαψε πάσας τὰς πό-
λεις τὰς ὑψηλὰς τὰς ἐπὶ τοῦ χειμάρρου Ἀβρωνὰ ἕως τοῦ ἐλ-
25 θεῖν ἐπὶ θάλασσαν. καὶ κατελάβετο τὰ ὅρια τῆς Κιλικίας καὶ
κατέκοψε πάντας τοὺς ἀντιστάντας αὐτῷ καὶ ἦλθεν ἕως ὁρίων
26 Ἰάφεθ τὰ πρὸς νότον κατὰ πρόσωπον τῆς Ἀραβίας. καὶ ἐκύ-
κλωσε πάντας τοὺς υἱοὺς Μαδιὰμ καὶ ἐνέπρησε τὰ σκηνώματα
27 αὐτῶν καὶ ἐπρονόμευσε τὰς μάνδρας αὐτῶν. καὶ κατέβη εἰς
πεδίον Δαμασκοῦ ἐν ἡμέραις θερισμοῦ πυρῶν καὶ ἐνέπρησε
πάντας τοὺς ἀγροὺς αὐτῶν καὶ τὰ ποίμνια καὶ τὰ βουκόλια ἔ-
δωκεν εἰς ἀφανισμὸν καὶ τὰς πόλεις αὐτῶν ἐσκύλευσε καὶ τὰ
παιδία αὐτῶν ἐξελίκμησε καὶ ἐπάταξε πάντας τοὺς νεανίσκους
28 αὐτῶν ἐν στόματι ῥομφαίας. καὶ ἐπέπεσεν ὁ φόβος καὶ ὁ τρό-
μος αὐτοῦ ἐπὶ τοὺς κατοικοῦντας τὴν παραλίαν, τοὺς ὄντας ἐν
Σιδῶνι καὶ Τύρῳ καὶ τοὺς κατοικοῦντας Σοὺρ καὶ Ὀκινά, καὶ
πάντας τοὺς κατοικοῦντας Ἰεμναάν, καὶ οἱ κατοικοῦντες ἐν Ἀ-
ζώτῳ καὶ Ἀσκάλωνι ἐφοβήθησαν αὐτὸν σφόδρα.

3 Καὶ ἀπέστειλαν πρὸς αὐτὸν ἀγγέλους λόγοις εἰρηνικοῖς
2 λέγοντες· Ἰδοὺ ἡμεῖς οἱ παῖδες Ναβουχοδονόσορ βασιλέως
μεγάλου παρακείμεθα ἐνώπιόν σου, χρῆσαι ἡμῖν καθὼς ἀρε-

3 στόν ἐστι τῷ προσώπῳ σου· ἰδοὺ αἱ ἐπαύλεις ἡμῶν καὶ πᾶν
πεδίον πυρῶν καὶ τὰ ποίμνια καὶ τὰ βουκόλια καὶ πᾶσαι αἱ
μάνδραι τῶν σκηνῶν ἡμῶν παράκεινται πρὸ προσώπου σου,
4 χρῆσαι καθ' ὃ ἂν ἀρέσκῃ σοι. ἰδοὺ καὶ αἱ πόλεις ἡμῶν καὶ οἱ
κατοικοῦντες ἐν αὐταῖς δοῦλοί σού εἰσιν· ἐλθὼν ἀπάντησον
5 αὐταῖς ὡς ἔστιν ἀγαθὸν ἐν ὀφθαλμοῖς σου. καὶ παρεγένοντο οἱ
ἄνδρες πρὸς Ὀλοφέρνην καὶ ἀπήγγειλαν αὐτῷ κατὰ τὰ ῥήμα-
6 τα ταῦτα. καὶ κατέβη ἐπὶ τὴν παραλίαν αὐτὸς καὶ ἡ δύναμις αὐ-
τοῦ καὶ ἐφρούρησε τὰς πόλεις τὰς ὑψηλὰς καὶ ἔλαβεν ἐξ αὐ-
7 τῶν εἰς συμμαχίαν ἄνδρας ἐπιλέκτους· καὶ ἐδέξαντο αὐτὸν αὐ-
τοὶ καὶ πᾶσα ἡ περίχωρος αὐτῶν μετὰ στεφάνων καὶ χορῶν
8 καὶ τυμπάνων. καὶ κατέσκαψε πάντα τὰ ὅρια αὐτῶν καὶ τὰ ἄλ-
ση αὐτῶν ἐξέκοψε, καὶ ἦν δεδογμένον αὐτῷ ἐξολοθρεῦσαι πά-
ντας τοὺς θεοὺς τῆς γῆς, ὅπως αὐτῷ μόνῳ τῷ Ναβουχοδονό-
σορ λατρεύσωσι πάντα τὰ ἔθνη, καὶ πᾶσαι αἱ γλῶσσαι καὶ πᾶ-
9 σαι αἱ φυλαὶ αὐτῶν ἐπικαλέσωνται αὐτὸν εἰς θεόν. καὶ ἦλθε
κατὰ πρόσωπον Ἐσδρηλὼν πλησίον τῆς Δωταίας, ἥ ἐστιν ἀ-
10 πέναντι τοῦ πρίονος τοῦ μεγάλου τῆς Ἰουδαίας, καὶ κατεστρα-
τοπέδευσεν ἀνὰ μέσον Γεβαϊ καὶ Σκυθῶν πόλεως, καὶ ἦν ἐκεῖ
μῆνα ἡμερῶν εἰς τὸ συλλέξαι πᾶσαν τὴν ἀπαρτίαν τῆς δυνάμε-
ως αὐτοῦ.

4 Καὶ ἤκουσαν οἱ υἱοὶ Ἰσραὴλ οἱ κατοικοῦντες ἐν τῇ Ἰου-
δαίᾳ πάντα, ὅσα ἐποίησεν Ὀλοφέρνης τοῖς ἔθνεσιν, ὁ ἀρχι-
στράτηγος Ναβουχοδονόσορ βασιλέως Ἀσσυρίων, καὶ ὃν
τρόπον ἐσκύλευσε πάντα τὰ ἱερὰ αὐτῶν καὶ ἔδωκεν αὐτὰ εἰς
2 ἀφανισμόν, καὶ ἐφοβήθησαν σφόδρα σφόδρα ἀπὸ προσώπου
αὐτοῦ καὶ περὶ Ἰερουσαλὴμ καὶ τοῦ ναοῦ Κυρίου τοῦ θεοῦ αὐ-
3 τῶν ἐταράχθησαν. ὅτι προσφάτως ἦσαν ἀναβεβηκότες ἐκ τῆς
αἰχμαλωσίας, καὶ νεωστὶ πᾶς ὁ λαὸς συνελέλεκτο τῆς Ἰου-
δαίας, καὶ τὰ σκεύη καὶ τὸ θυσιαστήριον καὶ ὁ οἶκος ἐκ τῆς βε-
4 βηλώσεως ἡγιασμένα ἦν. καὶ ἀπέστειλαν εἰς πᾶν ὅριον Σαμα-
ρείας καὶ Κωνὰ καὶ Βεθωρὼν καὶ Βελμαῖν καὶ Ἰεριχὼ καὶ εἰς
5 Χωβὰ καὶ Ἀισωρὰ καὶ τὸν αὐλῶνα Σαλὴμ καὶ προκατελάβοντο
πάσας τὰς κορυφὰς τῶν ὀρέων τῶν ὑψηλῶν καὶ ἐτειχίσαντο
τὰς ἐν αὐτοῖς κώμας καὶ παρέθεντο εἰς ἐπισιτισμὸν εἰς παρα-
6 σκευὴν πολέμου, ὅτι προσφάτως ἦν τὰ πεδία αὐτῶν τεθερι-
σμένα. καὶ ἔγραψεν Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέγας, ὃς ἦν ἐν ταῖς ἡ-
μέραις ἐκείναις ἐν Ἰερουσαλήμ, τοῖς κατοικοῦσι Βαιτυλούα καὶ
Βαιτομεσθαίμ, ἥ ἐστιν ἀπέναντι Ἐσδρηλὼν κατὰ πρόσωπον
7 τοῦ πεδίου τοῦ πλησίον Δωθαΐμ, λέγων διακατασχεῖν τὰς ἀνα-
βάσεις τῆς ὀρεινῆς, ὅτι δι' αὐτῶν ἦν ἡ εἴσοδος εἰς τὴν Ἰου-
δαίαν, καὶ ἦν εὐχερῶς διακωλῦσαι αὐτοὺς προσβαίνοντας,
στενῆς τῆς προβάσεως οὔσης ἐπ' ἄνδρας τοὺς πάντας δύο.
8 καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ καθὰ συνέταξεν αὐτοῖς Ἰωακὶμ ὁ
ἱερεὺς ὁ μέγας καὶ ἡ γερουσία παντὸς δήμου Ἰσραήλ, οἳ ἐκά-

9 θηντο ἐν Ἰερουσαλήμ. καὶ ἀνεβόησαν πᾶς ἀνὴρ Ἰσραὴλ πρὸς
τὸν θεὸν ἐν ἐκτενίᾳ μεγάλῃ καὶ ἐταπείνουν τὰς ψυχὰς αὐτῶν
10 ἐν ἐκτενείᾳ μεγάλῃ. αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ νήπια
αὐτῶν καὶ τὰ κτήνη αὐτῶν καὶ πᾶς πάροικος ἢ μισθωτὸς καὶ
11 ἀργυρώνητος αὐτῶν ἐπέθεντο σάκκους ἐπὶ τὰς ὀσφύας αὐ-
τῶν. καὶ πᾶς ἀνὴρ Ἰσραὴλ καὶ γυνὴ καὶ τὰ παιδία καὶ οἱ κατοι-
κοῦντες ἐν Ἰερουσαλὴμ ἔπεσον κατὰ πρόσωπον τοῦ ναοῦ καὶ
ἐσποδώσαντο τὰς κεφαλὰς αὐτῶν καὶ ἐξέτειναν τοὺς σάκκους
12 αὐτῶν κατὰ πρόσωπον Κυρίου· καὶ τὸ θυσιαστήριον σάκκῳ
περιέβαλον καὶ ἐβόησαν πρὸς τὸν θεὸν Ἰσραὴλ ὁμοθυμαδὸν ἐ-
κτενῶς τοῦ μὴ δοῦναι εἰς διαρπαγὴν τὰ νήπια αὐτῶν καὶ τὰς
γυναῖκας εἰς προνομὴν καὶ τὰς πόλεις τῆς κληρονομίας αὐτῶν
εἰς ἀφανισμὸν καὶ τὰ ἅγια εἰς βεβήλωσιν καὶ ὀνειδισμόν, ἐπί-
13 χαρμα τοῖς ἔθνεσι. καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς αὐτῶν
καὶ εἰσεῖδε τὴν θλῖψιν αὐτῶν· καὶ ἦν ὁ λαὸς νηστεύων ἡμέρας
πλείους ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Ἰερουσαλὴμ κατὰ πρόσωπον
14 τῶν ἁγίων Κυρίου παντοκράτορος. καὶ Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέ-
γας καὶ πάντες οἱ παρεστηκότες ἐνώπιον Κυρίου, ἱερεῖς καὶ οἱ
λειτουργοῦντες Κυρίῳ, σάκκους περιεζωσμένοι τὰς ὀσφύας
αὐτῶν προσέφερον τὴν ὁλοκαύτωσιν τοῦ ἐνδελεχισμοῦ καὶ
15 τὰς εὐχὰς καὶ τὰ ἑκούσια δόματα τοῦ λαοῦ, καὶ ἦν σποδὸς ἐπὶ
τὰς κιδάρεις αὐτῶν. καὶ ἐβόων πρὸς Κύριον ἐκ πάσης δυνάμε-
ως εἰς ἀγαθὸν ἐπισκέψασθαι πάντα οἶκον Ἰσραήλ.

5 Καὶ ἀνηγγέλη Ὀλοφέρνῃ ἀρχιστρατήγῳ δυνάμεως Ἀσ-
σοὺρ ὅτι οἱ υἱοὶ Ἰσραὴλ παρεσκευάσαντο εἰς πόλεμον καὶ τὰς
διόδους τῆς ὀρεινῆς συνέκλεισαν καὶ ἐτείχισαν πᾶσαν κορυ-
2 φὴν ὄρους ὑψηλοῦ καὶ ἔθηκαν ἐν τοῖς πεδίοις σκάνδαλα. καὶ
ὠργίσθη θυμῷ σφόδρα καὶ ἐκάλεσε πάντας τοὺς ἄρχοντας
Μωὰβ καὶ τοὺς στρατηγοὺς Ἀμμὼν καὶ πάντας τοὺς σατρά-
3 πας τῆς παραλίας καὶ εἶπεν αὐτοῖς· ἀναγγείλατε δή μοι, υἱοὶ
Χαναάν, τίς ὁ λαὸς οὗτος ὁ καθήμενος ἐν τῇ ὀρεινῇ, καὶ τίνες
ἃς κατοικοῦσι πόλεις, καὶ τὸ πλῆθος τῆς δυνάμεως αὐτῶν, καὶ
ἐν τίνι τὸ κράτος αὐτῶν, καὶ ἡ ἰσχὺς αὐτῶν, καὶ τίς ἀνέστηκεν
4 ἐπ' αὐτῶν βασιλεὺς ἡγούμενος στρατιᾶς αὐτῶν, καὶ διατί κα-
τενωτίσαντο τοῦ μὴ ἐλθεῖν εἰς ἀπάντησίν μοι παρὰ πάντας
5 τοὺς κατοικοῦντας ἐν δυσμαῖς; καὶ εἶπε πρὸς αὐτὸν Ἀχιὼρ ὁ
ἡγούμενος πάντων υἱῶν Ἀμμών· ἀκουσάτω δὴ ὁ κύριός μου
λόγον ἐκ στόματος τοῦ δούλου σου, καὶ ἀναγγελῶ σοι τὴν ἀ-
λήθειαν περὶ τοῦ λαοῦ, ὃς κατοικεῖ τὴν ὀρεινὴν ταύτην, πλη-
σίον σου οἰκοῦντος, καὶ οὐκ ἐξελεύσεται ψεῦδος ἐκ τοῦ στό-
6 ματος τοῦ δούλου σου. ὁ λαὸς οὗτός εἰσιν ἀπόγονοι Χαλ-
7 δαίων, καὶ παρῴκησαν τὸ πρότερον ἐν τῇ Μεσοποταμίᾳ, ὅτι
οὐκ ἐβουλήθησαν ἀκολουθῆσαι τοῖς θεοῖς τῶν πατέρων αὐ-
8 τῶν, οἳ ἐγένοντο ἐν γῇ Χαλδαίων· καὶ ἐξέβησαν ἐξ ὁδοῦ τῶν
γονέων αὐτῶν καὶ προσεκύνησαν τῷ θεῷ τοῦ οὐρανοῦ, θεῷ ᾧ

ἐπέγνωσαν, καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ προσώπου τῶν θεῶν
αὐτῶν, καὶ ἔφυγον εἰς Μεσοποταμίαν καὶ παρῴκησαν ἐκεῖ ἡ-
9 μέρας πολλάς. καὶ εἶπεν ὁ θεὸς αὐτῶν ἐξελθεῖν ἐκ τῆς παροι-
κίας αὐτῶν καὶ πορευθῆναι εἰς γῆν Χαναάν, καὶ κατῴκησαν ἐ-
κεῖ καὶ ἐπληθύνθησαν χρυσίῳ καὶ ἀργυρίῳ καὶ ἐν κτήνεσι πολ-
10 λοῖς σφόδρα. καὶ κατέβησαν εἰς Αἴγυπτον, ἐκάλυψε γὰρ τὸ
πρόσωπον τῆς γῆς Χαναὰν λιμός, καὶ παρῴκησαν ἐκεῖ μέχρι
οὗ διετράφησαν· καὶ ἐγένοντο ἐκεῖ εἰς πλῆθος πολύ, καὶ οὐκ ἦν
11 ἀριθμὸς τοῦ γένους αὐτῶν. καὶ ἐπανέστη αὐτοῖς ὁ βασιλεὺς Αἰ-
γύπτου καὶ κατεσοφίσαντο αὐτοὺς ἐν πόνῳ καὶ ἐν πλίνθῳ, καὶ
12 ἐταπείνωσαν αὐτοὺς καὶ ἔθεντο αὐτοὺς εἰς δούλους· καὶ ἀνε-
βόησαν πρὸς τὸν θεὸν αὐτῶν, καὶ ἐπάταξε πᾶσαν τὴν γῆν Αἰ-
γύπτου πληγαῖς, ἐν αἷς οὐκ ἦν ἴασις· καὶ ἐξέβαλον αὐτοὺς οἱ
13 Αἰγύπτιοι ἀπὸ προσώπου αὐτῶν. καὶ κατεξήρανεν ὁ θεὸς τὴν
14 Ἐρυθρὰν Θάλασσαν ἔμπροσθεν αὐτῶν καὶ ἤγαγεν αὐτοὺς εἰς
ὁδὸν τοῦ Σινὰ καὶ Κάδης Βαρνή· καὶ ἐξέβαλον πάντας τοὺς κα-
15 τοικοῦντας ἐν τῇ ἐρήμῳ καὶ ᾤκησαν ἐν γῇ Ἀμορραίων καὶ πά-
ντας τοὺς Ἐσεβωνίτας ἐξωλόθρευσαν ἐν τῇ ἰσχύϊ αὐτῶν. καὶ
16 διαβάντες τὸν Ἰορδάνην ἐκληρονόμησαν πᾶσαν τὴν ὀρεινὴν
καὶ ἐξέβαλον ἐκ προσώπου αὐτῶν τὸν Χαναναῖον καὶ τὸν Φε-
ρεζαῖον καὶ τὸν Ἰεβουσαῖον καὶ τὸν Συχὲμ καὶ πάντας τοὺς
17 Γεργεσαίους καὶ κατῴκησαν ἐν αὐτῇ ἡμέρας πολλάς. καὶ ἕως
οὐχ ἥμαρτον ἐνώπιον τοῦ θεοῦ αὐτῶν, ἦν τὰ ἀγαθὰ μετ' αὐ-
18 τῶν, ὅτι θεὸς μισῶν ἀδικίαν μετ' αὐτῶν ἐστιν. ὅτε δὲ ἀπέστη-
σαν ἀπὸ τῆς ὁδοῦ, ἧς διέθετο αὐτοῖς, ἐξωλοθρεύθησαν ἐν πολ-
λοῖς πολέμοις ἐπὶ πολὺ σφόδρα καὶ ᾐχμαλωτεύθησαν εἰς γῆν
οὐκ ἰδίαν, καὶ ὁ ναὸς τοῦ θεοῦ αὐτῶν ἐγενήθη εἰς ἔδαφος, καὶ
19 αἱ πόλεις αὐτῶν ἐκρατήθησαν ὑπὸ τῶν ὑπεναντίων. καὶ νῦν ἐ-
πιστρέψαντες ἐπὶ τὸν θεὸν αὐτῶν ἀνέβησαν ἐκ τῆς διασπορᾶς,
οὗ διεσπάρησαν ἐκεῖ, καὶ κατέσχον τὴν Ἰερουσαλήμ, οὗ τὸ ἁ-
γίασμα αὐτῶν, καὶ κατῳκίσθησαν ἐν τῇ ὀρεινῇ, ὅτι ἦν ἔρημος.
20 καὶ νῦν, δέσποτα κύριε, εἰ μέν ἐστιν ἀγνόημα ἐν τῷ λαῷ τούτῳ
καὶ ἁμαρτάνουσιν εἰς τὸν θεὸν αὐτῶν καὶ ἐπισκεψόμεθα ὅτι ἐ-
στὶν ἐν αὐτοῖς σκάνδαλον τοῦτο, καὶ ἀναβησόμεθα καὶ ἐκπολε-
21 μήσομεν αὐτούς. εἰ δὲ οὐκ ἔστιν ἀνομία ἐν τῷ ἔθνει αὐτῶν, πα-
ρελθέτω δὴ ὁ κύριος μου, μήποτε ὑπερασπίσῃ ὁ Κύριος αὐτῶν
καὶ ὁ θεὸς αὐτῶν ὑπὲρ αὐτῶν, καὶ ἐσόμεθα εἰς ὀνειδισμὸν ἐνα-
22 ντίον πάσης τῆς γῆς. καὶ ἐγένετο ὡς ἐπαύσατο Ἀχιὼρ λαλῶν
τοὺς λόγους τούτους, καὶ ἐγόγγυσε πᾶς ὁ λαὸς ὁ κυκλῶν τὴν
σκηνὴν καὶ περιεστώς, καὶ εἶπαν οἱ μεγιστᾶνες Ὀλοφέρνου καὶ
πάντες οἱ κατοικοῦντες τὴν παραλίαν καὶ τὴν Μωὰβ συγκόψαι
23 αὐτόν· οὐ γὰρ φοβηθησόμεθα ἀπὸ υἱῶν Ἰσραήλ· ἰδοὺ γὰρ λαός,
ἐν ᾧ οὐκ ἔστι δύναμις οὐδὲ κράτος εἰς παράταξιν ἰσχυράν· διὸ
24 δὴ ἀναβησόμεθα, καὶ ἔσονται εἰς κατάβρωμα πάσης τῆς στρα-
τιᾶς σου, δέσποτα Ὀλοφέρνη.

6 Καὶ ὡς κατέπαυσεν ὁ θόρυβος τῶν ἀνδρῶν τῶν κύκλῳ
τῆς συνεδρίας, καὶ εἶπεν Ὀλοφέρνης ὁ ἀρχιστράτηγος δυνά-
μεως Ἀσσοὺρ πρὸς Ἀχιὼρ ἐναντίον παντὸς τοῦ δήμου ἀλλο-
2 φύλων καὶ πρὸς πάντας υἱοὺς Μωάβ· Καὶ τίς εἶ σύ, Ἀχιὼρ καὶ
οἱ μισθωτοὶ τοῦ Ἐφραΐμ, ὅτι ἐπροφήτευσας ἐν ἡμῖν καθὼς σή-
μερον καὶ εἶπας τὸ γένος Ἰσραὴλ μὴ πολεμῆσαι, ὅτι ὁ θεὸς αὐ-
τῶν ὑπερασπιεῖ αὐτῶν; καὶ τίς ὁ θεὸς εἰ μὴ Ναβουχοδονόσορ;
οὗτος ἀποστελεῖ τὸ κράτος αὐτοῦ καὶ ἐξολοθρεύσει αὐτοὺς ἀ-
πὸ προσώπου τῆς γῆς, καὶ οὐ ῥύσεται αὐτοὺς ὁ θεὸς αὐτῶν·
3 ἀλλ' ἡμεῖς οἱ δοῦλοι αὐτοῦ πατάξομεν αὐτοὺς ὡς ἄνθρωπον ἕ-
4 να, καὶ οὐχ ὑποστήσονται τὸ κράτος τῶν ἵππων ἡμῶν. κατα-
καύσομεν γὰρ αὐτοὺς ἐν αὐτοῖς, καὶ τὰ ὄρη αὐτῶν μεθυσθήσε-
ται ἐν τῷ αἵματι αὐτῶν, καὶ τὰ πεδία αὐτῶν πληρωθήσεται νε-
κρῶν αὐτῶν, καὶ οὐκ ἀντιστήσεται τὸ ἴχνος τῶν ποδῶν αὐτῶν
κατὰ πρόσωπον ἡμῶν, ἀλλὰ ἀπωλείᾳ ἀπολοῦνται, λέγει ὁ βα-
σιλεὺς Ναβουχοδονόσορ ὁ κύριος πάσης τῆς γῆς· εἶπε γάρ,
5 οὐ ματαιωθήσεται τὰ ῥήματα τῶν λόγων αὐτοῦ. σὺ δὲ Ἀχιὼρ
μισθωτὲ τοῦ Ἀμμών, ὃς ἐλάλησας τοὺς λόγους τούτους ἐν ἡ-
μέρᾳ ἀδικίας σου, οὐκ ὄψει ἔτι τὸ πρόσωπόν μου ἀπὸ τῆς ἡμέ-
6 ρας ταύτης, ἕως οὗ ἐκδικήσω τὸ γένος τῶν ἐξ Αἰγύπτου· καὶ
τότε διελεύσεται ὁ σίδηρος τῆς στρατιᾶς μου καὶ ὁ λαὸς τῶν
θεραπόντων μου τὰς πλευράς σου, καὶ πεσῇ ἐν τοῖς τραυμα-
7 τίαις αὐτῶν, ὅταν ἐπιστρέψω. καὶ ἀποκαταστήσουσί σε οἱ δοῦ-
λοί μου εἰς τὴν ὀρεινὴν καὶ θήσουσί σε ἐν μιᾷ τῶν πόλεων
8 τῶν ἀναβάσεων, καὶ οὐκ ἀπολῇ ἕως οὗ ἐξολοθρευθῇς μετ' αὐ-
9 τῶν. καὶ εἴπερ ἐλπίζεις τῇ καρδίᾳ σου ὅτι οὐ ληφθήσονται, μὴ
συμπεσέτω σου τὸ πρόσωπον· ἐλάλησα, καὶ οὐδὲν διαπεσεῖ-
10 ται τῶν ῥημάτων μου. καὶ προσέταξεν Ὀλοφέρνης τοῖς δού-
λοις αὐτοῦ, οἳ ἦσαν παρεστηκότες ἐν τῇ σκηνῇ αὐτοῦ, συλλα-
βεῖν τὸν Ἀχιὼρ καὶ ἀποκαταστῆσαι αὐτὸν εἰς Βαιτυλούα καὶ
11 παραδοῦναι εἰς χεῖρας υἱῶν Ἰσραήλ. καὶ συνέλαβον αὐτὸν οἱ
δοῦλοι αὐτοῦ καὶ ἤγαγον αὐτὸν ἔξω τῆς παρεμβολῆς εἰς τὸ
πεδίον καὶ ἀπῆραν ἐκ μέσου τῆς πεδινῆς εἰς τὴν ὀρεινὴν καὶ
12 παρεγένοντο ἐπὶ τὰς πηγάς, αἳ ἦσαν ὑποκάτω Βαιτυλούα. καὶ
ὡς εἶδαν αὐτοὺς οἱ ἄνδρες τῆς πόλεως ἐπὶ τὴν κορυφὴν τοῦ ὄ-
ρους, ἀνέλαβον τὰ ὅπλα αὐτῶν καὶ ἀπῆλθον ἔξω τῆς πόλεως
ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, καὶ πᾶς ἀνὴρ σφενδονήτης διε-
κράτησαν τὴν ἀνάβασιν αὐτῶν καὶ ἔβαλον ἐν λίθοις ἐπ' αὐ-
13 τούς. καὶ ὑποδύσαντες ὑποκάτω τοῦ ὄρους ἔδησαν τὸν Ἀ-
χιὼρ καὶ ἀφῆκαν ἐρριμμένον ὑπὸ τὴν ῥίζαν τοῦ ὄρους καὶ ἀ-
14 πῴχοντο πρὸς τὸν κύριον αὐτῶν. καταβάντες δὲ υἱοὶ Ἰσραὴλ
ἐκ τῆς πόλεως αὐτῶν ἐπέστησαν αὐτῷ καὶ λύσαντες αὐτὸν ἀ-
πήγαγον εἰς τὴν Βαιτυλούα καὶ κατέστησαν αὐτὸν ἐπὶ τοὺς ἄρ-
15 χοντας τῆς πόλεως αὐτῶν, οἳ ἦσαν ἐν ταῖς ἡμέραις ἐκείναις,
Ὀζίας ὁ τοῦ Μιχὰ ἐκ τῆς φυλῆς Συμεὼν καὶ Ἀβρὶς ὁ τοῦ Γο-

16 θονιὴλ καὶ Χαρμὶς υἱὸς Μελχιήλ. καὶ συνεκάλεσαν πάντας
τοὺς πρεσβυτέρους τῆς πόλεως, καὶ συνέδραμον πᾶς νεανί-
σκος αὐτῶν καὶ αἱ γυναῖκες εἰς τὴν ἐκκλησίαν, καὶ ἔστησαν
τὸν Ἀχιὼρ ἐν μέσῳ παντὸς τοῦ λαοῦ αὐτῶν, καὶ ἐπηρώτησεν
17 αὐτὸν Ὀζίας τὸ συμβεβηκός. καὶ ἀποκριθεὶς ἀπήγγειλεν αὐ-
τοῖς τὰ ῥήματα τῆς συνεδρίας Ὀλοφέρνου καὶ πάντα τὰ ῥήμα-
τα, ὅσα ἐλάλησεν ἐν μέσῳ τῶν ἀρχόντων υἱῶν Ἀσσούρ, καὶ ὅ-
18 σα ἐμεγαλορρημόνησεν Ὀλοφέρνης εἰς τὸν οἶκον Ἰσραήλ. καὶ
πεσόντες ὁ λαὸς προσεκύνησαν τῷ θεῷ καὶ ἐβόησαν λέγο-
19 ντες· Κύριε ὁ θεὸς τοῦ οὐρανοῦ, κάτιδε ἐπὶ τὰς ὑπερηφανίας
αὐτῶν καὶ ἐλέησον τὴν ταπείνωσιν τοῦ γένους ἡμῶν καὶ ἐπί-
βλεψον ἐπὶ τὸ πρόσωπον τῶν ἡγιασμένων σοι ἐν τῇ ἡμέρᾳ
20 ταύτῃ. καὶ παρεκάλεσαν τὸν Ἀχιὼρ καὶ ἐπῄνεσαν αὐτὸν σφό-
21 δρα. καὶ παρέλαβεν αὐτὸν Ὀζίας ἐκ τῆς ἐκκλησίας εἰς οἶκον
αὐτοῦ καὶ ἐποίησε πότον τοῖς πρεσβυτέροις, καὶ ἐπεκαλέσα-
ντο τὸν θεὸν Ἰσραὴλ εἰς βοήθειαν ὅλην τὴν νύκτα ἐκείνην.

7 Τῇ δ' ἐπαύριον παρήγγειλεν Ὀλοφέρνης πάσῃ τῇ στρατιᾷ
αὐτοῦ καὶ παντὶ τῷ λαῷ αὐτοῦ, οἳ παρεγένοντο ἐπὶ τὴν συμμα-
χίαν αὐτοῦ, ἀναζευγνύειν ἐπὶ Βαιτυλούα καὶ τὰς ἀναβάσεις
τῆς ὀρεινῆς προκαταλαμβάνεσθαι καὶ ποιεῖν πόλεμον πρὸς
2 τοὺς υἱοὺς Ἰσραήλ. καὶ ἀνέζευξεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πᾶς ἀ-
νὴρ δυνατὸς αὐτῶν· καὶ ἡ δύναμις αὐτῶν ἀνδρῶν πολεμιστῶν
χιλιάδες ἀνδρῶν πεζῶν ἑκατὸν ἑβδομήκοντα καὶ ἱππέων χιλιά-
δες δεκαδύο, χωρὶς τῆς ἀποσκευῆς καὶ τῶν ἀνδρῶν, οἳ ἦσαν
3 πεζοὶ ἐν αὐτοῖς, πλῆθος πολὺ σφόδρα. καὶ παρενέβαλον ἐν τῷ
αὐλῶνι πλησίον Βαιτυλούα ἐπὶ τῆς πηγῆς καὶ παρέτειναν εἰς
εὖρος ἐπὶ Δωθαΐμ καὶ ἕως Βελβαΐμ καὶ εἰς μῆκος ἀπὸ Βαιτυ-
4 λούα ἕως Κυαμῶνος, ἥ ἐστιν ἀπέναντι Ἐσδρηλών. οἱ δὲ υἱοὶ
Ἰσραήλ, ὡς εἶδον αὐτῶν τὸ πλῆθος, ἐταράχθησαν σφόδρα καὶ
εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· Νῦν ἐκλείξουσιν οὗ-
τοι τὸ πρόσωπον τῆς γῆς πάσης, καὶ οὔτε τὰ ὄρη τὰ ὑψηλὰ
οὔτε αἱ φάραγγες οὔτε οἱ βουνοὶ ὑποστήσονται τὸ βάρος αὐ-
5 τῶν. καὶ ἀναλαβόντες ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ αὐτῶν
καὶ ἀνακαύσαντες πυρὰς ἐπὶ τοὺς πύργους αὐτῶν, ἔμενον φυ-
6 λάσσοντες ὅλην τὴν νύκτα ἐκείνην. τῇ δὲ ἡμέρᾳ τῇ δευτέρᾳ ἐ-
ξήγαγεν Ὀλοφέρνης πᾶσαν τὴν ἵππον αὐτοῦ κατὰ πρόσωπον
7 τῶν υἱῶν Ἰσραήλ, οἳ ἦσαν ἐν Βαιτυλούα, καὶ ἐπεσκέψατο τὰς
ἀναβάσεις τῆς πόλεως αὐτῶν καὶ τὰς πηγὰς τῶν ὑδάτων αὐ-
τῶν ἐφώδευσε καὶ προκατελάβετο αὐτὰς καὶ ἐπέστησεν αὐ-
ταῖς παρεμβολὰς ἀνδρῶν πολεμιστῶν, καὶ αὐτὸς ἀνέζευξεν εἰς
8 τὸν λαὸν αὐτοῦ. καὶ προσελθόντες αὐτῷ οἱ ἄρχοντες τῶν υἱῶν
Ἠσαῦ καὶ πάντες οἱ ἡγούμενοι τοῦ λαοῦ Μωὰβ καὶ οἱ στρατη-
9 γοὶ τῆς παραλίας εἶπαν· Ἀκουσάτω δὴ λόγον ὁ δεσπότης ἡ-
10 μῶν, ἵνα μὴ γένηται θραῦσμα ἐν τῇ δυνάμει σου· ὁ γὰρ λαὸς
οὗτος τῶν υἱῶν Ἰσραὴλ οὐ πέποιθεν ἐπὶ τοῖς δόρασιν αὐτῶν,

ἀλλ' ἐπὶ τοῖς ὕψεσι τῶν ὀρέων αὐτῶν, ἐν οἷς αὐτοὶ ἐνοικοῦσιν
ἐν αὐτοῖς· οὐ γάρ ἐστιν εὐχερὲς προσβῆναι ταῖς κορυφαῖς τῶν
11 ὀρέων αὐτῶν. καὶ νῦν, δέσποτα, μὴ πολέμει πρὸς αὐτούς, κα-
θὼς γίνεται πόλεμος παρατάξεως, καὶ οὐ πεσεῖται ἐκ τοῦ λαοῦ
12 σου ἀνὴρ εἷς. ἀνάμεινον ἐπὶ τῆς παρεμβολῆς σου διαφυλάσ-
σων πάντα ἄνδρα ἐκ τῆς δυνάμεώς σου, καὶ ἐπικρατησάτω-
σαν οἱ παῖδές σου τῆς πηγῆς τοῦ ὕδατος, ἣ ἐκπορεύεται ἐκ
13 τῆς ῥίζης τοῦ ὄρους, διότι ἐκεῖθεν ὑδρεύονται πάντες οἱ κατοι-
κοῦντες Βαιτυλούα, καὶ ἀνελεῖ αὐτοὺς ἡ δίψα, καὶ ἐκδώσουσι
τὴν πόλιν ἑαυτῶν· καὶ ἡμεῖς καὶ ὁ λαὸς ἡμῶν ἀναβησόμεθα ἐπὶ
τὰς πλησίον κορυφὰς τῶν ὀρέων καὶ παρεμβαλοῦμεν ἐπ' αὐ-
ταῖς εἰς προφυλακὴν τοῦ μὴ ἐξελθεῖν ἐκ τῆς πόλεως ἄνδρα ἕ-
14 να. καὶ τακήσονται ἐν τῷ λιμῷ αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν
καὶ τὰ τέκνα αὐτῶν, καὶ πρὶν ἐλθεῖν τὴν ῥομφαίαν ἐπ' αὐτούς,
15 καταστρωθήσονται ἐν ταῖς πλατείαις τῆς οἰκήσεως αὐτῶν. καὶ
ἀνταποδώσεις αὐτοῖς ἀνταπόδομα πονηρόν, ἀνθ' ὧν ἐστασία-
16 σαν, καὶ οὐκ ἀπήντησαν τῷ προσώπῳ σου ἐν εἰρήνῃ. καὶ ἤρε-
σαν οἱ λόγοι αὐτῶν ἐνώπιον Ὀλοφέρνου καὶ ἐνώπιον πάντων
τῶν θεραπόντων αὐτοῦ, καὶ συνέταξαν ποιεῖν καθὼς ἐλάλη-
17 σαν. καὶ ἀπῆρε παρεμβολὴ υἱῶν Ἀμμὼν καὶ μετ' αὐτῶν χιλιά-
δες πέντε υἱῶν Ἀσσοὺρ καὶ παρενέβαλον ἐν τῷ αὐλῶνι καὶ
προκατελάβοντο τὰ ὕδατα καὶ τὰς πηγὰς τῶν ὑδάτων τῶν υἱ-
18 ῶν Ἰσραήλ. καὶ ἀνέβησαν υἱοὶ Ἠσαῦ καὶ οἱ υἱοὶ Ἀμμὼν καὶ
παρενέβαλον ἐν τῇ ὀρεινῇ ἀπέναντι Δωθαΐμ. καὶ ἀπέστειλαν ἐξ
αὐτῶν πρὸς νότον καὶ ἀπηλιώτην ἀπέναντι Ἐγρεβήλ, ἥ ἐστι
πλησίον Χούς, ἥ ἐστιν ἐπὶ τοῦ χειμάρρου Μοχμούρ. καὶ ἡ λοι-
πὴ στρατιὰ τῶν Ἀσσυρίων παρενέβαλον ἐν τῷ πεδίῳ καὶ ἐκά-
λυψαν πᾶν τὸ πρόσωπον τῆς γῆς· καὶ αἱ σκηναὶ καὶ αἱ ἀπαρ-
τίαι αὐτῶν κατεστρατοπέδευσαν ἐν ὄχλῳ πολλῷ καὶ ἦσαν εἰς
πλῆθος πολὺ σφόδρα.
19 Καὶ οἱ υἱοὶ Ἰσραὴλ ἀνεβόησαν πρὸς Κύριον τὸν θεὸν αὐ-
τῶν, ὅτι ὠλιγοψύχησε τὸ πνεῦμα αὐτῶν, ὅτι ἐκύκλωσαν πά-
20 ντες οἱ ἐχθροὶ αὐτῶν καὶ οὐκ ἦν διαφυγεῖν ἐκ μέσου αὐτῶν.
καὶ ἔμεινε κύκλῳ αὐτῶν πᾶσα παρεμβολὴ Ἀσσούρ, οἱ πεζοὶ
καὶ τὰ ἅρματα καὶ οἱ ἱππεῖς αὐτῶν, ἡμέρας τριάκοντα τέσσα-
ρας. καὶ ἐξέλιπε πάντας τοὺς κατοικοῦντας Βαιτυλούα πάντα
21 τὰ ἀγγεῖα αὐτῶν τῶν ὑδάτων, καὶ οἱ λάκκοι ἐξεκενοῦντο, καὶ
οὐκ εἶχον πιεῖν εἰς πλησμονὴν ὕδωρ ἡμέραν μίαν, ὅτι ἐν μέ-
22 τρῳ ἐδίδουν αὐτοῖς πιεῖν. καὶ ἠθύμησαν τὰ νήπια αὐτῶν, καὶ
αἱ γυναῖκες αὐτῶν καὶ οἱ νεανίσκοι ἐξέλιπον ἀπὸ τῆς δίψης
καὶ ἔπιπτον ἐν ταῖς πλατείαις τῆς πόλεως καὶ ἐν ταῖς διόδοις
23 τῶν πυλῶν, καὶ οὐκ ἦν κραταίωσις ἔτι ἐν αὐτοῖς. καὶ ἐπισυνή-
χθησαν πᾶς ὁ λαὸς ἐπὶ Ὀζίαν καὶ τοὺς ἄρχοντας τῆς πόλεως,
οἱ νεανίσκοι καὶ αἱ γυναῖκες καὶ τὰ παιδία, καὶ ἀνεβόησαν φω-
24 νῇ μεγάλῃ καὶ εἶπαν ἐναντίον πάντων τῶν πρεσβυτέρων· Κρί-

ναι ὁ θεὸς ἀνὰ μέσον ἡμῶν καὶ ὑμῶν, ὅτι ἐποιήσατε ἐν ἡμῖν ἀ-
δικίαν μεγάλην οὐ λαλήσαντες εἰρηνικὰ μετὰ τῶν υἱῶν Ἀσ-
25 σούρ. καὶ νῦν οὐκ ἔστι βοηθὸς ἡμῶν, ἀλλὰ πέπρακεν ἡμᾶς ὁ
θεὸς εἰς τὰς χεῖρας αὐτῶν τοῦ καταστρωθῆναι ἐναντίον αὐτῶν
26 ἐν δίψῃ καὶ ἀπωλείᾳ μεγάλῃ. καὶ νῦν ἐπικαλέσασθε αὐτοὺς καὶ
ἔκδοσθε τὴν πόλιν πᾶσαν εἰς προνομὴν τῷ λαῷ Ὀλοφέρνου
27 καὶ πάσῃ τῇ δυνάμει αὐτοῦ· κρεῖσσον γὰρ ἡμῖν γενηθῆναι αὐ-
τοῖς εἰς διαρπαγήν, ἐσόμεθα γὰρ εἰς δούλους, καὶ ζήσεται ἡ
ψυχὴ ἡμῶν, καὶ οὐκ ὀψόμεθα τὸν θάνατον τῶν νηπίων ἡμῶν
ἐν ὀφθαλμοῖς ἡμῶν καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα ἡμῶν ἐκλει-
28 πούσας τὰς ψυχὰς αὐτῶν. μαρτυρόμεθα ὑμῖν τὸν οὐρανὸν καὶ
τὴν γῆν καὶ τὸν θεὸν ἡμῶν καὶ Κύριον τῶν πατέρων ἡμῶν, ὃς
ἐκδικεῖ ἡμᾶς κατὰ ἁμαρτίας ἡμῶν καὶ κατὰ τὰ ἁμαρτήματα τῶν
πατέρων ἡμῶν, ἵνα μὴ ποιήσῃ κατὰ τὰ ῥήματα ταῦτα ἐν τῇ ἡ-
29 μέρᾳ τῇ σήμερον. καὶ ἐγένετο κλαυθμὸς μέγας ἐν μέσῳ τῆς ἐκ-
κλησίας πάντων ὁμοθυμαδὸν καὶ ἐβόησαν πρὸς Κύριον τὸν
30 θεὸν φωνῇ μεγάλῃ. καὶ εἶπε πρὸς αὐτοὺς Ὀζίας· Θαρσεῖτε, ἀ-
δελφοί, διακαρτερήσωμεν ἔτι πέντε ἡμέρας, ἐν αἷς ἐπιστρέψει
Κύριος ὁ θεὸς ἡμῶν τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, οὐ γὰρ ἐγκατα-
31 λείψει ἡμᾶς εἰς τέλος· ἐὰν δὲ διέλθωσιν αὗται καὶ μὴ ἔλθῃ ἐφ'
ἡμᾶς βοήθεια, ποιήσω κατὰ τὰ ῥήματα ὑμῶν. καὶ ἐσκόρπισε
τὸν λαὸν εἰς τὴν ἑαυτοῦ παρεμβολήν, καὶ ἐπὶ τὰ τείχη καὶ τοὺς
πύργους τῆς πόλεως αὐτῶν ἀπῆλθον, καὶ τὰς γυναῖκας καὶ τὰ
τέκνα εἰς τοὺς οἴκους αὐτῶν ἐξαπέστειλε· καὶ ἦσαν ἐν ταπει-
νώσει πολλῇ ἐν τῇ πόλει.

8 Καὶ ἤκουσεν ἐν ἐκείναις ταῖς ἡμέραις Ἰουδίθ, θυγάτηρ Με-
ραρί, υἱοῦ Ὤξ, υἱοῦ Ἰωσήφ, υἱοῦ Ὀζιήλ, υἱοῦ Ἐλκία, υἱοῦ Ἠ-
λιού, υἱοῦ Χελκίου, υἱοῦ Ἐλιάβ, υἱοῦ Ναθαναήλ, υἱοῦ Σαλαμι-
2 ήλ, υἱοῦ Σαρασαδαΐ, υἱοῦ Ἰσραήλ. καὶ ὁ ἀνὴρ αὐτῆς Μανασ-
σῆς τῆς φυλῆς αὐτῆς καὶ τῆς πατριᾶς αὐτῆς, καὶ ἀπέθανεν ἐν
3 ἡμέραις θερισμοῦ κριθῶν· ἐπέστη γὰρ ἐπὶ τοῦ δεσμεύοντος τὸ
δράγμα ἐν τῷ πεδίῳ, καὶ ὁ καύσων ἦλθεν ἐπὶ τὴν κεφαλὴν αὐ-
τοῦ, καὶ ἔπεσεν ἐπὶ τὴν κλίνην καὶ ἐτελεύτησεν ἐν Βαιτυλούα
τῇ πόλει αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν
4 τῷ ἀγρῷ τῷ ἀνὰ μέσον Δωθαϊμ καὶ Βαλαμών. καὶ ἦν Ἰουδὶθ ἐν
5 τῷ οἴκῳ αὐτῆς χηρεύουσα ἔτη τρία καὶ μῆνας τέσσαρας. καὶ ἐ-
ποίησεν ἑαυτῇ σκηνὴν ἐπὶ τοῦ δώματος τοῦ οἴκου αὐτῆς καὶ ἐ-
πέθηκεν ἐπὶ τὴν ὀσφὺν αὐτῆς σάκκον, καὶ ἦν ἐπ' αὐτῆς τὰ ἱμά-
6 τια τῆς χηρεύσεως αὐτῆς. καὶ ἐνήστευε πάσας τὰς ἡμέρας χη-
ρεύσεως αὐτῆς, χωρὶς προσαββάτων καὶ σαββάτων καὶ προ-
νουμηνιῶν καὶ νουμηνιῶν καὶ ἑορτῶν καὶ χαρμοσυνῶν οἴκου
7 Ἰσραήλ. καὶ ἦν καλὴ τῷ εἴδει καὶ ὡραία τῇ ὄψει σφόδρα· καὶ ὑ-
πελίπετο αὐτῇ Μανασσῆς, ὁ ἀνὴρ αὐτῆς, χρυσίον καὶ ἀργύ-
ριον καὶ παῖδας καὶ παιδίσκας καὶ κτήνη καὶ ἀγρούς, καὶ ἔμε-
8 νεν ἐπ' αὐτῶν. καὶ οὐκ ἦν ὃς ἐπήνεγκεν αὐτῇ ῥῆμα πονηρόν,

9 ὅτι ἐφοβεῖτο τὸν θεὸν σφόδρα καὶ ἤκουσε τὰ ῥήματα τοῦ λαοῦ
τὰ πονηρὰ ἐπὶ τὸν ἄρχοντα, ὅτι ὠλιγοψύχησαν ἐπὶ τῇ σπάνει
τῶν ὑδάτων, καὶ ἤκουσε πάντας τοὺς λόγους Ἰουδίθ, οὓς ἐλά-
λησε πρὸς αὐτοὺς Ὀζίας, ὡς ὤμοσεν αὐτοῖς παραδώσειν τὴν
10 πόλιν μετὰ ἡμέρας πέντε τοῖς Ἀσσυρίοις. καὶ ἀποστείλασα τὴν
ἄβραν αὐτῆς τὴν ἐφεστῶσαν πᾶσι τοῖς ὑπάρχουσιν αὐτῆς ἐκά-
λεσεν Ὀζίαν καὶ Χαβρὶν καὶ Χαρμὶν τοὺς πρεσβυτέρους τῆς
11 πόλεως αὐτῆς, καὶ ἦλθον πρὸς αὐτήν, καὶ εἶπε πρὸς αὐτούς·
Ἀκούσατε δή μου, ἄρχοντες τῶν κατοικούντων ἐν Βαιτυλούα,
ὅτι οὐκ εὐθὺς ὁ λόγος ὑμῶν, ὃν ἐλαλήσατε ἐναντίον τοῦ λαοῦ
ἐν τῇ ἡμέρᾳ ταύτῃ καὶ ἐστήσατε τὸν ὅρκον, ὃν ἐλαλήσατε ἀνὰ
μέσον τοῦ θεοῦ καὶ ὑμῶν καὶ εἴπατε ἐκδώσειν τὴν πόλιν τοῖς
ἐχθροῖς ἡμῶν, ἐὰν μὴ ἐν αὐταῖς ἐπιστρέψῃ ὁ Κύριος βοηθῆσαι
12 ἡμῖν. καὶ νῦν τίνες ἐστὲ ὑμεῖς, οἳ ἐπειράσατε τὸν θεὸν ἐν τῇ ἡ-
μέρᾳ τῇ σήμερον καὶ ἵστασθε ὑπὲρ τοῦ θεοῦ ἐν μέσῳ υἱῶν ἀν-
13 θρώπων; καὶ νῦν Κύριον παντοκράτορα ἐξετάζετε καὶ οὐθὲν ἐ-
14 πιγνώσεσθε ἕως τοῦ αἰῶνος, ὅτι βάθος καρδίας ἀνθρώπου
οὐχ εὑρήσετε καὶ λόγους τῆς διανοίας αὐτοῦ οὐ διαλήψεσθε·
καὶ πῶς τὸν θεόν, ὃς ἐποίησε τὰ πάντα ταῦτα, ἐρευνήσετε καὶ
τὸν νοῦν αὐτοῦ ἐπιγνώσεσθε καὶ τὸν λογισμὸν αὐτοῦ κατα-
νοήσετε; μηδαμῶς, ἀδελφοί, μὴ παροργίζετε Κύριον τὸν θεὸν
15 ἡμῶν· ὅτι ἐὰν μὴ βούληται ἐν ταῖς πέντε ἡμέραις βοηθῆσαι ἡ-
μῖν, αὐτὸς ἔχει τὴν ἐξουσίαν ἐν αἷς θέλει σκεπάσαι ἡμέραις ἢ
καὶ ὀλοθρεῦσαι ἡμᾶς πρὸ προσώπου τῶν ἐχθρῶν ἡμῶν. ὑμεῖς
16 δὲ μὴ ἐνεχυράζετε τὰς βουλὰς Κυρίου τοῦ θεοῦ ἡμῶν, ὅτι οὐχ
ὡς ἄνθρωπος ὁ θεὸς ἀπειληθῆναι, οὐδὲ ὡς υἱὸς ἀνθρώπου
17 διαιτηθῆναι. διόπερ ἀναμένοντες τὴν παρ' αὐτοῦ σωτηρίαν ἐ-
πικαλεσώμεθα αὐτὸν εἰς βοήθειαν ἡμῶν, καὶ εἰσακούσεται τῆς
18 φωνῆς ἡμῶν, ἐὰν ᾖ αὐτῷ ἀρεστόν. ὅτι οὐκ ἀνέστη ἐν ταῖς γε-
νεαῖς ἡμῶν οὐδέ ἐστιν ἐν τῇ ἡμέρᾳ τῇ σήμερον οὔτε φυλὴ οὔτε
πατριὰ οὔτε δῆμος οὔτε πόλις ἐξ ἡμῶν, οἳ προσκυνοῦσι θεοῖς
19 χειροποιήτοις, καθάπερ ἐγένετο ἐν ταῖς πρότερον ἡμέραις· ὧν
χάριν ἐδόθησαν εἰς ῥομφαίαν καὶ εἰς διαρπαγὴν οἱ πατέρες ἡ-
20 μῶν καὶ ἔπεσον πτῶμα μέγα ἐνώπιον τῶν ἐχθρῶν ὑμῶν. ἡμεῖς
δὲ ἕτερον θεὸν οὐκ ἐπέγνωμεν πλὴν αὐτοῦ· ὅθεν ἐλπίζομεν ὅτι
21 οὐχ ὑπερόψεται ἡμᾶς, οὐδ' ἀπὸ τοῦ γένους ἡμῶν. ὅτι ἐν τῷ
ληφθῆναι ἡμᾶς οὕτω καθήσεται πᾶσα ἡ Ἰουδαία, καὶ προνο-
μευθήσεται τὰ ἅγια ἡμῶν, καὶ ζητήσει τὴν βεβήλωσιν αὐτῶν
22 ἐκ τοῦ αἵματος ἡμῶν καὶ τὸν φόνον τῶν ἀδελφῶν ἡμῶν καὶ
τὴν αἰχμαλωσίαν τῆς γῆς καὶ τὴν ἐρήμωσιν τῆς κληρονομίας
ἡμῶν ἐπιστρέψει εἰς κεφαλὴν ἡμῶν ἐν τοῖς ἔθνεσιν, οὗ ἐὰν
δουλεύσωμεν ἐκεῖ, καὶ ἐσόμεθα εἰς πρόσκομμα καὶ εἰς ὄνειδος
23 ἐναντίον τῶν κτωμένων ἡμᾶς. ὅτι οὐ κατευθυνθήσεται ἡ δου-
λεία ἡμῶν εἰς χάριν, ἀλλ' εἰς ἀτιμίαν θήσει αὐτὴν Κύριος ὁ θε-
24 ὸς ἡμῶν. καὶ νῦν, ἀδελφοί, ἐπιδειξώμεθα τοῖς ἀδελφοῖς ἡμῶν,

ὅτι ἐξ ἡμῶν κρέμαται ἡ ψυχὴ αὐτῶν, καὶ τὰ ἅγια καὶ ὁ οἶκος
25 καὶ τὸ θυσιαστήριον ἐπεστήρικται ἐφ᾽ ἡμῖν. παρὰ ταῦτα πάντα
εὐχαριστήσωμεν Κυρίῳ τῷ θεῷ ἡμῶν, ὃς πειράζει ἡμᾶς καθὰ
26 καὶ τοὺς πατέρας ἡμῶν. μνήσθητε ὅσα ἐποίησε μετὰ Ἀβραὰμ
καὶ ὅσα ἐπείρασε τὸν Ἰσαὰκ καὶ ὅσα ἐγένετο τῷ Ἰακὼβ ἐν Με-
σοποταμίᾳ τῆς Συρίας ποιμαίνοντι τὰ πρόβατα Λάβαν τοῦ ἀ-
27 δελφοῦ τῆς μητρὸς αὐτοῦ. ὅτι οὐ καθὼς ἐκείνους ἐπύρωσεν
εἰς ἐτασμὸν τῆς καρδίας αὐτῶν, καὶ ἡμᾶς οὐκ ἐξεδίκησεν, ἀλλ᾽
εἰς νουθέτησιν μαστιγοῖ Κύριος τοὺς ἐγγίζοντας αὐτῷ. καὶ εἶ-
28 πε πρὸς αὐτὴν Ὀζίας· Πάντα, ὅσα εἶπας, ἀγαθῇ καρδίᾳ ἐλάλη-
29 σας, καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τοῖς λόγοις σου· ὅτι οὐκ ἐν
τῇ σήμερον ἡ σοφία σου πρόδηλός ἐστιν, ἀλλὰ ἀπ᾽ ἀρχῆς ἡμε-
ρῶν σου ἔγνω πᾶς ὁ λαὸς τὴν σύνεσίν σου, καθότι ἀγαθόν ἐ-
30 στι τὸ πλάσμα τῆς καρδίας σου. ἀλλ᾽ ὁ λαὸς ἐδίψησε σφόδρα
καὶ ἠνάγκασαν ποιῆσαι ἡμᾶς καθὰ ἐλαλήσαμεν αὐτοῖς καὶ ἐπα-
31 γαγεῖν ὅρκον ἐφ᾽ ἡμᾶς, ὃν οὐ παραβησόμεθα. καὶ νῦν δεήθητι
περὶ ἡμῶν, ὅτι γυνὴ εὐσεβὴς εἶ, καὶ ἀποστελεῖ Κύριος τὸν ὑε-
τὸν εἰς πλήρωσιν τῶν λάκκων ἡμῶν, καὶ οὐκ ἐκλείψωμεν ἔτι.
32 καὶ εἶπε πρὸς αὐτοὺς Ἰουδίθ· Ἀκούσατέ μου, καὶ ποιήσω
πρᾶγμα, ὃ ἀφίξεται εἰς γενεὰς γενεῶν υἱοῖς τοῦ γένους ἡμῶν.
33 ὑμεῖς στήσεσθε ἐπὶ τῆς πύλης τὴν νύκτα ταύτην, καὶ ἐξελεύσο-
μαι ἐγὼ μετὰ τῆς ἅβρας μου, καὶ ἐν ταῖς ἡμέραις, μεθ᾽ ἃς εἴπα-
τε παραδώσειν τὴν πόλιν τοῖς ἐχθροῖς ἡμῶν, ἐπισκέψεται Κύ-
34 ριος τὸν Ἰσραὴλ ἐν χειρί μου· ὑμεῖς δὲ οὐκ ἐξερευνήσετε τὴν
πρᾶξίν μου, οὐ γὰρ ἐρῶ ὑμῖν, ἕως τοῦ τελεσθῆναι ἃ ἐγὼ ποιῶ.
35 καὶ εἶπεν Ὀζίας καὶ οἱ ἄρχοντες πρὸς αὐτήν· Πορεύου εἰς εἰ-
ρήνην, καὶ Κύριος ὁ θεὸς ἔμπροσθέν σου εἰς ἐκδίκησιν τῶν ἐ-
36 χθρῶν ἡμῶν. καὶ ἀποστρέψαντες ἐκ τῆς σκηνῆς ἐπορεύθησαν
ἐπὶ τὰς διατάξεις αὐτῶν.

9 Ἰουδὶθ δὲ ἔπεσεν ἐπὶ πρόσωπον καὶ ἐπέθετο σποδὸν ἐπὶ
τὴν κεφαλὴν αὐτῆς καὶ ἐγύμνωσεν ὃν ἐνεδιδύσκετο σάκκον,
καὶ ἦν ἄρτι προσφερόμενον ἐν Ἰερουσαλὴμ εἰς τὸν οἶκον τοῦ
θεοῦ τὸ θυμίαμα τῆς ἑσπέρας ἐκείνης, καὶ ἐβόησε φωνῇ μεγά-
2 λῃ Ἰουδὶθ πρὸς Κύριον καὶ εἶπε· Κύριε ὁ θεὸς τοῦ πατρός μου
Συμεών, ᾧ ἔδωκας ἐν χειρὶ ῥομφαίαν εἰς ἐκδίκησιν ἀλλογε-
νῶν, οἳ ἔλυσαν μήτραν παρθένου εἰς μίασμα καὶ ἐγύμνωσαν
μηρὸν εἰς αἰσχύνην καὶ ἐβεβήλωσαν μήτραν εἰς ὄνειδος· εἶπας
3 γὰρ Οὐχ οὕτως ἔσται· καὶ ἐποίησαν. ἀνθ᾽ ὧν ἔδωκας ἄρχο-
ντας αὐτῶν εἰς φόνον καὶ τὴν στρωμνὴν αὐτῶν, ἣ ᾐδέσατο
τὴν ἀπάτην αὐτῶν, εἰς αἷμα, καὶ ἐπάταξας δούλους ἐπὶ δυνά-
4 σταις καὶ δυνάστας ἐπὶ θρόνους αὐτῶν. καὶ ἔδωκας γυναῖκας
αὐτῶν εἰς προνομὴν καὶ θυγατέρας εἰς αἰχμαλωσίαν καὶ πάντα
τὰ σκῦλα εἰς διαίρεσιν υἱῶν ἠγαπημένων ὑπὸ σοῦ, οἳ καὶ ἐζή-
λωσαν τὸν ζῆλόν σου καὶ ἐβδελύξαντο μίασμα αἵματος αὐτῶν
καὶ ἐπεκαλέσαντό σε εἰς βοηθόν. ὁ θεὸς ὁ θεὸς ὁ ἐμός, καὶ εἰ-

5 σάκουσον ἐμοῦ τῆς χήρας· σὺ γὰρ ἐποίησας τὰ πρότερα ἐκεί-
νων καὶ ἐκεῖνα καὶ τὰ μετέπειτα καὶ τὰ νῦν καὶ τὰ ἐπερχόμενα
6 διενοήθης, καὶ ἐγενήθησαν ἃ ἐνενοήθης, καὶ παρέστησαν ἃ ἐ-
βουλεύσω καὶ εἶπαν Ἰδοὺ πάρεσμεν· πᾶσαι γὰρ αἱ ὁδοί σου ἕ-
7 τοιμοι, καὶ ἡ κρίσις σου ἐν προγνώσει· ἰδοὺ γὰρ Ἀσσύριοι ἐ-
πληθύνθησαν ἐν δυνάμει αὐτῶν, ὑψώθησαν ἐφ' ἵππῳ καὶ ἀνα-
βάτῃ, ἐγαυρίασαν ἐν βραχίονι πεζῶν, ἤλπισαν ἐν ἀσπίδι καὶ ἐν
γαισῷ καὶ τόξῳ καὶ σφενδόνῃ καὶ οὐκ ἔγνωσαν ὅτι σὺ εἶ Κύ-
8 ριος συντρίβων πολεμίους. Κύριος ὄνομά σοι· σὺ ῥάξον αὐ-
τῶν τὴν ἰσχὺν ἐν δυνάμει σου καὶ κάταξον τὸ κράτος αὐτῶν
ἐν τῷ θυμῷ σου. ἐβουλεύσαντο γὰρ βεβηλῶσαι τὰ ἅγιά σου,
μιᾶναι τὸ σκήνωμα τῆς καταπαύσεως τοῦ ὀνόματος τῆς δόξης
9 σου καὶ καταβαλεῖν σιδήρῳ κέρας θυσιαστηρίου σου. βλέψον
εἰς ὑπερηφανίαν αὐτῶν, ἀπόστειλον τὴν ὀργήν σου εἰς κεφα-
10 λὰς αὐτῶν, δὸς ἐν χειρί μου τῆς χήρας ὃ διενοήθην κράτος.
πάταξον δοῦλον ἐκ χειλέων ἀπάτης μου ἐπ' ἄρχοντι καὶ ἄρχο-
ντα ἐπὶ θεράποντι αὐτοῦ, θραῦσον αὐτῶν τὸ ἀνάστημα ἐν χειρὶ
11 θηλείας· οὐ γὰρ ἐν πλήθει τὸ κράτος σου, οὐδὲ ἡ δυναστεία
σου ἐν ἰσχύουσιν, ἀλλὰ ταπεινῶν εἶ θεός, ἐλαττόνων εἶ βοη-
θός, ἀντιλήπτωρ ἀσθενούντων, ἀπεγνωσμένων σκεπαστής, ἀ-
12 πηλπισμένων σωτήρ. ναὶ ναὶ ὁ θεὸς τοῦ πατρός μου καὶ θεὸς
κληρονομίας Ἰσραήλ, δέσποτα τῶν οὐρανῶν καὶ τῆς γῆς, κτί-
στα τῶν ὑδάτων, βασιλεῦ πάσης κτίσεώς σου, σὺ εἰσάκουσον
13 τῆς δεήσεώς μου καὶ δὸς λόγον μου καὶ ἀπάτην εἰς τραῦμα
καὶ μώλωπα αὐτῶν, οἳ κατὰ τῆς διαθήκης σου καὶ οἴκου ἡγια-
σμένου σου καὶ κορυφῆς Σιὼν καὶ οἴκου κατασχέσεως υἱῶν
14 σου ἐβουλεύσαντο σκληρά. καὶ ποίησον ἐπὶ πᾶν τὸ ἔθνος σου,
καὶ πάσης φυλῆς ἐπίγνωσιν τοῦ εἰδῆσαι ὅτι σὺ εἶ ὁ θεὸς πά-
σης δυνάμεως καὶ κράτους, καὶ οὐκ ἔστιν ἄλλος ὑπερασπίζων
τοῦ γένους Ἰσραήλ, εἰ μὴ σύ.

10 Καὶ ἐγένετο ὡς ἐπαύσατο βοῶσα πρὸς τὸν θεὸν Ἰσραὴλ
2 καὶ συνετέλεσε πάντα τὰ ῥήματα ταῦτα, καὶ ἀνέστη ἀπὸ τῆς
πτώσεως καὶ ἐκάλεσε τὴν ἄβραν αὐτῆς καὶ κατέβη εἰς τὸν οἶ-
κον, ἐν ᾧ διέτριβεν ἐν αὐτῷ ἐν ταῖς ἡμέραις τῶν σαββάτων
3 καὶ ἐν ταῖς ἑορταῖς αὐτῆς· καὶ περιείλατο τὸν σάκκον, ὃν ἐνε-
δεδύκει, καὶ ἐξεδύσατο τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς καὶ πε-
ριεκλύσατο τὸ σῶμα ὕδατι καὶ ἐχρίσατο μύρῳ παχεῖ καὶ διέτα-
ξε τὰς τρίχας τῆς κεφαλῆς αὐτῆς καὶ ἐπέθετο μίτραν ἐπ' αὐτῆς
καὶ ἐνεδύσατο τὰ ἱμάτια τῆς εὐφροσύνης αὐτῆς, ἐν οἷς ἐστολίζετο ἐν ταῖς ἡμέραις τῆς ζωῆς τοῦ ἀνδρὸς αὐτῆς Μανασσῆ,
4 καὶ ἔλαβε σανδάλια εἰς τοὺς πόδας αὐτῆς καὶ περιέθετο τοὺς
χλιδῶνας καὶ τὰ ψέλλια καὶ τοὺς δακτυλίους καὶ τὰ ἐνώτια καὶ
πάντα τὸν κόσμον αὐτῆς καὶ ἐκαλλωπίσατο σφόδρα εἰς ἀπάτη-
5 σιν ὀφθαλμῶν ἀνδρῶν, ὅσοι ἂν ἴδωσιν αὐτήν. καὶ ἔδωκε τῇ ἄ-
βρᾳ αὐτῆς ἀσκοπυτίνην οἴνου καὶ καψάκην ἐλαίου καὶ πήραν

ἐπλήρωσεν ἀλφίτων καὶ παλάθης καὶ ἄρτων καθαρῶν καὶ περι-
6 εδίπλωσε πάντα τὰ ἀγγεῖα αὐτῆς καὶ ἐπέθηκεν ἐπ' αὐτῇ. καὶ
ἐξῆλθον ἐπὶ τὴν πύλην τῆς πόλεως Βαιτυλούα καὶ εὗρον ἐφε-
στῶτας ἐπ' αὐτῆς Ὀζίαν καὶ τοὺς πρεσβυτέρους τῆς πόλεως
7 Χαβρὶν καὶ Χαρμίν. ὡς δὲ εἶδον αὐτὴν καὶ ἦν ἠλλοιωμένον τὸ
πρόσωπον αὐτῆς καὶ τὴν στολὴν μεταβεβληκυῖαν αὐτῆς, καὶ ἐ-
θαύμασαν ἐπὶ τῷ κάλλει αὐτῆς ἐπὶ πολὺ σφόδρα καὶ εἶπαν αὐ-
8 τῇ· ὁ θεὸς ὁ θεὸς τῶν πατέρων ἡμῶν δῴη σε εἰς χάριν καὶ τε-
λειώσαι τὰ ἐπιτηδεύματά σου εἰς γαυρίαμα υἱῶν Ἰσραὴλ καὶ ὕ-
9 ψωμα Ἰερουσαλήμ. καὶ προσεκύνησε τῷ θεῷ καὶ εἶπε πρὸς
αὐτούς· Ἐπιτάξατε ἀνοῖξαί μοι τὴν πύλην τῆς πόλεως, καὶ ἐξε-
λεύσομαι εἰς τελείωσιν τῶν λόγων, ὧν ἐλαλήσατε μετ' ἐμοῦ·
καὶ συνέταξαν τοῖς νεανίσκοις ἀνοῖξαι αὐτῇ καθότι ἐλάλησε.
10 καὶ ἐποίησαν οὕτω. καὶ ἐξῆλθεν Ἰουδίθ, αὐτὴ καὶ ἡ παιδίσκη
αὐτῆς μετ' αὐτῆς· ἀπεσκόπευον δὲ αὐτὴν οἱ ἄνδρες τῆς πόλε-
ως, ἕως οὗ κατέβη τὸ ὄρος, ἕως διῆλθε τὸν αὐλῶνα καὶ οὐκέτι
11 ἐθεώρουν αὐτήν. καὶ ἐπορεύοντο ἐν τῷ αὐλῶνι εἰς εὐθεῖαν,
12 καὶ συνήντησεν αὐτῇ προφυλακὴ τῶν Ἀσσυρίων. καὶ συνέλα-
βον αὐτὴν καὶ ἐπηρώτησαν· Τίνων εἶ καὶ πόθεν ἔρχῃ καὶ ποῦ
πορεύῃ; καὶ εἶπε· Θυγάτηρ εἰμὶ τῶν Ἑβραίων καὶ ἀποδιδρά-
σκω ἀπὸ προσώπου αὐτῶν, ὅτι μέλλουσι δίδοσθαι ὑμῖν εἰς κα-
13 τάβρωμα· κἀγὼ ἔρχομαι εἰς τὸ πρόσωπον Ὀλοφέρνου ἀρχι-
στρατήγου δυνάμεως ὑμῶν τοῦ ἀναγγεῖλαι ῥήματα ἀληθείας
καὶ δείξω πρὸ προσώπου αὐτοῦ ὁδόν, καθ' ἣν πορεύσεται καὶ
κυριεύσει πάσης τῆς ὀρεινῆς, καὶ οὐ διαφωνήσει τῶν ἀνδρῶν
14 αὐτοῦ σὰρξ μία οὐδὲ πνεῦμα ζωῆς. ὡς δὲ ἤκουσαν οἱ ἄνδρες
τὰ ῥήματα αὐτῆς καὶ κατενόησαν τὸ πρόσωπον αὐτῆς –καὶ ἦν
ἐναντίον αὐτῶν θαυμάσιον τῷ κάλλει σφόδρα– καὶ εἶπαν πρὸς
15 αὐτήν· Σέσωκας τὴν ψυχήν σου σπεύσασα καταβῆναι εἰς πρό-
σωπον τοῦ κυρίου ἡμῶν· καὶ νῦν πρόσελθε ἐπὶ τὴν σκηνὴν αὐ-
τοῦ, καὶ ἀφ' ἡμῶν προπέμψουσί σε, ἕως παραδώσουσί σε εἰς
16 τὰς χεῖρας αὐτοῦ· ἐὰν δὲ στῇς ἐναντίον αὐτοῦ, μὴ φοβηθῇς τῇ
καρδίᾳ σου, ἀλλὰ ἀνάγγειλον κατὰ τὰ ῥήματά σου, καὶ εὖ σε
17 ποιήσει. καὶ ἐπέλεξαν ἐξ αὐτῶν ἄνδρας ἑκατὸν καὶ παρέζευ-
ξαν αὐτῇ καὶ τῇ ἅβρᾳ αὐτῆς, καὶ ἤγαγον αὐτὰς ἐπὶ τὴν σκηνὴν
18 Ὀλοφέρνου. καὶ ἐγένετο συνδρομὴ πάσῃ τῇ παρεμβολῇ, διε-
βοήθη γὰρ εἰς τὰ σκηνώματα ἡ παρουσία αὐτῆς· καὶ ἐλθόντες
ἐκύκλουν αὐτὴν ὡς εἱστήκει ἔξω τῆς σκηνῆς Ὀλοφέρνου, ἕως
19 προσήγγειλαν αὐτῷ περὶ αὐτῆς. καὶ ἐθαύμαζον ἐπὶ τῷ κάλλει
αὐτῆς καὶ ἐθαύμαζον τοὺς υἱοὺς Ἰσραὴλ ἀπ' αὐτῆς, καὶ εἶπεν
ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· Τίς καταφρονήσει τοῦ λαοῦ
τούτου, ὃς ἔχει ἐν ἑαυτῷ γυναῖκας τοιαύτας; ὅτι οὐ καλόν ἐ-
στιν ὑπολείπεσθαι ἐξ αὐτῶν ἄνδρα ἕνα, οἳ ἀφεθέντες δυνήσο-
20 νται κατασοφίσασθαι πᾶσαν τὴν γῆν. καὶ ἐξῆλθον οἱ παρακα-
θεύδοντες Ὀλοφέρνῃ καὶ πάντες οἱ θεράποντες αὐτοῦ καὶ εἰ-

21 σήγαγον αὐτὴν εἰς τὴν σκηνήν. καὶ ἦν Ὀλοφέρνης ἀναπαυό-
μενος ἐπὶ τῆς κλίνης αὐτοῦ ἐν τῷ κωνωπείῳ, ὃ ἦν ἐκ πορφύ-
ρας καὶ χρυσίου καὶ σμαράγδου καὶ λίθων πολυτελῶν καθυφα-
22 σμένων. καὶ ἀνήγγειλαν αὐτῷ περὶ αὐτῆς, καὶ ἐξῆλθεν εἰς τὸ
προσκήνιον, καὶ λαμπάδες ἀργυραῖ προάγουσαι αὐτοῦ. ὡς δὲ
23 ἦλθε κατὰ πρόσωπον αὐτοῦ Ἰουδὶθ καὶ τῶν θεραπόντων αὐ-
τοῦ, ἐθαύμασαν πάντες ἐπὶ τῷ κάλλει τοῦ προσώπου αὐτῆς·
καὶ πεσοῦσα ἐπὶ πρόσωπον προσεκύνησεν αὐτῷ, καὶ ἤγειραν
11 αὐτὴν οἱ δοῦλοι αὐτοῦ.

Καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης· Θάρσησον, γύναι, μὴ
φοβηθῇς τῇ καρδίᾳ σου, ὅτι ἐγὼ οὐκ ἐκύκλωσα ἄνθρωπον, ὅ-
στις ᾑρέτικε δουλεύειν Ναβουχοδονόσορ βασιλεῖ πάσης τῆς
2 γῆς. καὶ νῦν ὁ λαός σου ὁ κατοικῶν τὴν ὀρεινήν, εἰ μὴ ἐφαύλι-
σάν με, οὐκ ἂν ἦρα τὸ δόρυ μου ἐπ' αὐτούς, ἀλλ' αὐτοὶ ἑαυ-
3 τοῖς ἐποίησαν ταῦτα. καὶ νῦν λέγε μοι τίνος ἕνεκεν ἀπέδρας
ἀπ' αὐτῶν καὶ ἦλθες πρὸς ἡμᾶς; ἥκεις γὰρ εἰς σωτηρίαν· θάρ-
4 σει, ἐν τῇ νυκτὶ ταύτῃ ζήσῃ καὶ εἰς τὸ λοιπόν· οὐ γάρ ἐστιν ὃς
ἀδικήσει σε, ἀλλ' εὖ σε ποιήσει καθὰ γίνεται τοῖς δούλοις τοῦ
5 κυρίου μου βασιλέως Ναβουχοδονόσορ. καὶ εἶπε πρὸς αὐτὸν
Ἰουδίθ· Δέξαι τὰ ῥήματα τῆς δούλης σου, καὶ λαλησάτω ἡ παι-
δίσκη σου κατὰ πρόσωπόν σου, καὶ οὐκ ἀναγγελῶ ψεῦδος τῷ
6 κυρίῳ μου ἐν τῇ νυκτὶ ταύτῃ. καὶ ἐὰν κατακολουθήσῃς τοῖς λό-
γοις τῆς παιδίσκης σου, τελείως πρᾶγμα ποιήσει μετὰ σοῦ ὁ
θεός, καὶ οὐκ ἀποπεσεῖται ὁ κύριός μου τῶν ἐπιτηδευμάτων
7 αὐτοῦ· ζῇ γὰρ βασιλεὺς πάσης τῆς γῆς Ναβουχοδονόσορ καὶ
ζῇ τὸ κράτος αὐτοῦ, ὃς ἀπέστειλέ σε εἰς κατόρθωσιν πάσης
ψυχῆς, ὅτι οὐ μόνον ἄνθρωποι διὰ σὲ δουλεύουσιν αὐτῷ, ἀλλὰ
καὶ τὰ θηρία τοῦ ἀγροῦ καὶ τὰ κτήνη καὶ τὰ πετεινὰ τοῦ οὐρα-
νοῦ διὰ τῆς ἰσχύος σου ζήσονται ἐπὶ Ναβουχοδονόσορ καὶ
8 πάντα τὸν οἶκον αὐτοῦ· ἠκούσαμεν γὰρ τὴν σοφίαν σου καὶ τὰ
πανουργεύματα τῆς ψυχῆς σου, καὶ ἀνηγγέλη πάσῃ τῇ γῇ ὅτι
σὺ μόνος ἀγαθὸς ἐν πάσῃ βασιλείᾳ καὶ δυνατὸς ἐν ἐπιστήμῃ
9 καὶ θαυμαστὸς ἐν στρατεύμασι πολέμου. καὶ νῦν ὁ λόγος, ὃν ἐ-
λάλησεν Ἀχιὼρ ἐν τῇ συνεδρίᾳ σου, ἠκούσαμεν τὰ ῥήματα αὐ-
τοῦ, ὅτι περιεποιήσαντο αὐτὸν οἱ ἄνδρες Βαιτυλούα, καὶ ἀνήγ-
10 γειλεν αὐτοῖς πάντα, ὅσα ἐξελάλησε παρὰ σοί. διό, δέσποτα
κύριε, μὴ παρέλθῃς τὸν λόγον αὐτοῦ, ἀλλὰ κατάθου αὐτὸν ἐν
τῇ καρδίᾳ σου, ὅτι ἀληθής ἐστιν· οὐ γὰρ ἐκδικᾶται τὸ γένος ἡ-
μῶν, οὐ κατισχύει ῥομφαία ἐπ' αὐτούς, ἐὰν μὴ ἁμάρτωσιν εἰς
11 τὸν θεὸν αὐτῶν. καὶ νῦν, ἵνα μὴ γένηται ὁ κύριός μου ἔκβολος
καὶ ἄπρακτος καὶ ἐπιπεσεῖται θάνατος ἐπὶ πρόσωπον αὐτῶν,
καὶ κατελάβετο αὐτοὺς ἁμάρτημα, ἐν ᾧ παροργιοῦσι τὸν θεὸν
12 αὐτῶν, ὁπηνίκα ἂν ποιήσωσιν ἀτοπίαν· ἐπεὶ γὰρ ἐξέλιπεν αὐ-
τοὺς τὰ βρώματα καὶ ἐσπανίσθη πᾶν ὕδωρ, ἐβουλεύσαντο ἐπι-
βαλεῖν τοῖς κτήνεσιν αὐτῶν καὶ πάντα, ὅσα διεστείλατο αὐτοῖς

ὁ θεὸς ἐν τοῖς νόμοις αὐτοῦ μὴ φαγεῖν, διέγνωσαν δαπανῆσαι.
13 καὶ τὰς ἀπαρχὰς τοῦ σίτου καὶ τὰς δεκάτας τοῦ οἴνου καὶ τοῦ
ἐλαίου, ἃ διεφύλαξαν ἁγιάσαντες τοῖς ἱερεῦσι τοῖς παρεστηκό-
σιν ἐν Ἰερουσαλὴμ ἀπέναντι τοῦ προσώπου τοῦ θεοῦ ἡμῶν,
κεκρίκασιν ἐξαναλῶσαι, ὧν οὐδὲ ταῖς χερσὶν καθῆκεν ἅψασθαι
14 οὐδένα τῶν ἐκ τοῦ λαοῦ. καὶ ἀπεστάλκασιν εἰς Ἰερουσαλήμ, ὅ-
τι καὶ οἱ ἐκεῖ κατοικοῦντες ἐποίησαν ταῦτα, τοὺς μετακομίσα-
15 ντας αὐτοῖς τὴν ἄφεσιν παρὰ τῆς γερουσίας. καὶ ἔσται ὡς ἂν
ἀναγγείλῃ αὐτοῖς καὶ ποιήσωσι, δοθήσονταί σοι εἰς ὄλεθρον
16 ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ὅθεν ἐγὼ ἡ δούλη σου ἐπιγνοῦσα ταῦτα
πάντα ἀπέδρων ἀπὸ προσώπου αὐτῶν, καὶ ἀπέστειλέ με ὁ θε-
ὸς ποιῆσαι μετὰ σοῦ πράγματα, ἐφ' οἷς ἐκστήσεται πᾶσα ἡ γῆ,
17 ὅσοι ἐὰν ἀκούσωσιν αὐτά. ὅτι ἡ δούλη σου θεοσεβής ἐστι καὶ
θεραπεύουσα νυκτὸς καὶ ἡμέρας τὸν θεὸν τοῦ οὐρανοῦ· καὶ
νῦν μενῶ παρὰ σοί, κύριέ μου, καὶ ἐξελεύσεται ἡ δούλη σου
κατὰ τὴν νύκτα εἰς τὴν φάραγγα καὶ προσεύξομαι πρὸς τὸν θε-
18 όν, καὶ ἐρεῖ μοι πότε ἐποίησαν τὰ ἁμαρτήματα αὐτῶν. καὶ ἐλ-
θοῦσα προσανοίσω σοι, καὶ ἐξελεύσῃ σὺν πάσῃ τῇ δυνάμει
19 σου, καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεταί σοι ἐξ αὐτῶν. καὶ ἄξω σε
διὰ μέσου τῆς Ἰουδαίας ἕως τοῦ ἐλθεῖν ἀπέναντι Ἰερουσαλὴμ
καὶ θήσω τὸν δίφρον σου ἐν μέσῳ αὐτῆς, καὶ ἄξεις αὐτοὺς ὡς
πρόβατα, οἷς οὐκ ἔστι ποιμήν, καὶ οὐ γρύξει κύων τῇ γλώσσῃ
αὐτοῦ ἀπέναντί σου, ὅτι ταῦτα ἐλαλήθη μοι κατὰ πρόγνωσίν
20 μου καὶ ἀπηγγέλη μοι, καὶ ἀπεστάλην ἀναγγεῖλαί σοι. καὶ ἤρε-
σαν οἱ λόγοι αὐτῆς ἐναντίον Ὀλοφέρνου καὶ ἐναντίον πάντων
τῶν θεραπόντων αὐτοῦ, καὶ ἐθαύμασαν ἐπὶ τῇ σοφίᾳ αὐτῆς καὶ
21 εἶπαν· Οὐκ ἔστι τοιαύτη γυνὴ ἀπ' ἄκρου ἕως ἄκρου τῆς γῆς
22 καλῷ προσώπῳ καὶ συνέσει λόγων. καὶ εἶπε πρὸς αὐτὴν Ὀλο-
φέρνης· Εὖ ἐποίησεν ὁ θεὸς ἀποστείλας σε ἔμπροσθεν τοῦ λα-
οῦ τοῦ γενηθῆναι ἐν χερσὶν ἡμῶν κράτος, ἐν δὲ τοῖς φαυλίσα-
23 σι τὸν κύριόν μου ἀπώλειαν. καὶ νῦν ἀστεία εἶ σὺ ἐν τῷ εἴδει
σου καὶ ἀγαθὴ ἐν τοῖς λόγοις σου· ὅτι ἐὰν ποιήσῃς καθὰ ἐλά-
λησας, ὁ θεός σου ἔσται μου θεός, καὶ σὺ ἐν οἴκῳ βασιλέως
Ναβουχοδονόσορ καθήσῃ καὶ ἔσῃ ὀνομαστὴ παρὰ πᾶσαν τὴν
γῆν.

12 Καὶ ἐκέλευσεν εἰσαγαγεῖν αὐτὴν οὗ ἐτίθετο τὰ ἀργυρώμα-
τα αὐτοῦ καὶ συνέταξε καταστρῶσαι αὐτῇ ἀπὸ τῶν ὀψοποιη-
2 μάτων αὐτοῦ καὶ τοῦ οἴνου αὐτοῦ πίνειν. καὶ εἶπεν Ἰουδίθ· Οὐ
φάγομαι ἐξ αὐτῶν, ἵνα μὴ γένηται σκάνδαλον, ἀλλ' ἐκ τῶν ἠ-
3 κολουθηκότων μοι χορηγηθήσεται. καὶ εἶπε πρὸς αὐτὴν Ὀλο-
φέρνης· Ἐὰν δὲ ἐκλίπῃ τὰ ὄντα μετὰ σοῦ, πόθεν ἐξοίσομέν σοι
δοῦναι ὅμοια αὐτοῖς; οὐ γάρ ἐστι μεθ' ἡμῶν ἐκ τοῦ ἔθνους
4 σου. καὶ εἶπεν Ἰουδὶθ πρὸς αὐτόν· Ζῇ ἡ ψυχή σου, κύριέ μου,
ὅτι οὐ δαπανήσει ἡ δούλη σου τὰ ὄντα μετ' ἐμοῦ, ἕως ἂν ποιή-
5 σῃ Κύριος ἐν χειρί μου ἃ ἐβουλεύσατο. καὶ ἤγαγον αὐτὴν οἱ

θεράποντες Ὀλοφέρνου εἰς τὴν σκηνήν, καὶ ὕπνωσε μέχρι με-
σούσης τῆς νυκτός· καὶ ἀνέστη πρὸς τὴν ἑωθινὴν φυλακήν,
6 καὶ ἀπέστειλε πρὸς Ὀλοφέρνην λέγουσα· Ἐπιταξάτω δὴ ὁ κύ-
7 ριός μου ἐᾶσαι τὴν δούλην σου ἐπὶ προσευχὴν ἐξελθεῖν. καὶ
προσέταξεν Ὀλοφέρνης τοῖς σωματοφύλαξι μὴ διακωλύειν
αὐτήν. καὶ παρέμεινεν ἐν τῇ παρεμβολῇ ἡμέρας τρεῖς, καὶ ἐξε-
πορεύετο κατὰ νύκτα εἰς τὴν φάραγγα Βαιτυλούα καὶ ἐβαπτί-
8 ζετο ἐν τῇ παρεμβολῇ ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος· καὶ ὡς ἀνέ-
βη, ἐδέετο τοῦ Κυρίου θεοῦ Ἰσραὴλ κατευθῦναι τὴν ὁδὸν αὐ-
9 τῆς εἰς ἀνάστημα τῶν υἱῶν τοῦ λαοῦ αὐτοῦ. καὶ εἰσπορευομέ-
νη καθαρὰ παρέμενε τῇ σκηνῇ, μέχρι οὗ προσηνέγκατο τὴν
10 τροφὴν αὐτῆς πρὸς ἑσπέραν. καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ τε-
τάρτῃ, ἐποίησεν Ὀλοφέρνης πότον τοῖς δούλοις αὐτοῦ μόνοις
καὶ οὐκ ἐκάλεσεν εἰς τὴν χρῆσιν οὐδένα τῶν πρὸς ταῖς
11 χρείαις. καὶ εἶπε Βαγώᾳ τῷ εὐνούχῳ, ὃς ἦν ἐφεστηκὼς ἐπὶ πά-
ντων τῶν αὐτοῦ· Πεῖσον δὴ πορευθεὶς τὴν γυναῖκα τὴν Ἑ-
βραίαν ἥ ἐστι παρὰ σοί, τοῦ ἐλθεῖν πρὸς ἡμᾶς καὶ φαγεῖν καὶ
12 πιεῖν μεθ' ἡμῶν· ἰδοὺ γὰρ αἰσχρὸν τῷ προσώπῳ ἡμῶν, εἰ γυ-
ναῖκα τοιαύτην παρήσομεν οὐχ ὁμιλήσαντες αὐτῇ, ὅτι ἐὰν ταύ-
13 την μὴ ἐπισπασώμεθα, καταγελάσεται ἡμῶν. καὶ ἐξῆλθε Βαγώ-
ας ἀπὸ προσώπου Ὀλοφέρνου καὶ εἰσῆλθε πρὸς αὐτὴν καὶ εἶ-
πε· Μὴ ὀκνησάτω δὴ ἡ παιδίσκη ἡ καλὴ αὕτη ἐλθοῦσα πρὸς
τὸν κύριόν μου δοξασθῆναι κατὰ πρόσωπον αὐτοῦ καὶ πιεῖν
μεθ' ἡμῶν εἰς εὐφροσύνην οἶνον καὶ γενηθῆναι ἐν τῇ ἡμέρᾳ
ταύτῃ ὡς θυγάτηρ μία τῶν υἱῶν Ἀσσούρ, αἳ παρεστήκασιν ἐν
14 οἴκῳ Ναβουχοδονόσορ. καὶ εἶπε πρὸς αὐτὸν Ἰουδίθ· Καὶ τίς
εἰμι ἐγὼ ἀντεροῦσα τῷ κυρίῳ μου; ὅτι πᾶν, ὃ ἔσται ἐν τοῖς ὀ-
φθαλμοῖς αὐτοῦ ἀρεστόν, σπεύσασα ποιήσω, καὶ ἔσται τοῦτο
15 ἀγαλλίαμα ἕως ἡμέρας θανάτου μου. καὶ διαναστᾶσα ἐκοσμή-
θη τῷ ἱματισμῷ καὶ παντὶ τῷ κόσμῳ τῷ γυναικείῳ, καὶ προ-
σῆλθεν ἡ δούλη αὐτῆς καὶ ἔστρωσεν αὐτῇ κατέναντι Ὀλοφέρ-
νου χαμαὶ τὰ κώδια, ἃ ἔλαβε παρὰ Βαγώου εἰς τὴν καθημερι-
νὴν δίαιταν αὐτῆς, εἰς τὸ ἐσθίειν κατακλινομένην ἐπ' αὐτῶν.
16 καὶ εἰσελθοῦσα ἀνέπεσεν Ἰουδίθ, καὶ ἐξέστη ἡ καρδία Ὀλο-
φέρνου ἐπ' αὐτήν, καὶ ἐσαλεύθη ἡ ψυχὴ αὐτοῦ, καὶ ἦν κατεπί-
θυμος σφόδρα τοῦ συγγενέσθαι μετ' αὐτῆς· καὶ ἐτήρει καιρὸν
17 τοῦ ἀπατῆσαι αὐτὴν ἀφ' ἧς ἡμέρας εἶδεν αὐτήν. καὶ εἶπε πρὸς
αὐτὴν Ὀλοφέρνης· Πίε δὴ καὶ γενήθητι μεθ' ἡμῶν εἰς εὐφρο-
18 σύνην. καὶ εἶπεν Ἰουδίθ· Πίομαι δή, κύριε, ὅτι ἐμεγαλύνθη τὸ
ζῆν μου ἐν ἐμοὶ σήμερον παρὰ πάσας τὰς ἡμέρας τῆς γενέσε-
19 ώς μου. καὶ λαβοῦσα ἔφαγε καὶ ἔπιε κατέναντι αὐτοῦ ἃ ἡτοίμα-
20 σεν ἡ δούλη αὐτῆς. καὶ ηὐφράνθη Ὀλοφέρνης ἀπ' αὐτῆς καὶ ἔ-
πιεν οἶνον πολὺν σφόδρα, ὅσον οὐκ ἔπιε πώποτε ἐν ἡμέρᾳ μιᾷ
ἀφ' οὗ ἐγεννήθη.

13 Ὡς δὲ ὀψία ἐγένετο, ἐσπούδασαν οἱ δοῦλοι αὐτοῦ ἀναλύ-

εἰν. καὶ Βαγώας συνέκλεισε τὴν σκηνὴν ἔξωθεν καὶ ἀπέκλεισε
τοὺς παρεστῶτας ἐκ προσώπου τοῦ κυρίου αὐτοῦ, καὶ ἀπῴ-
χοντο εἰς τὰς κοίτας αὐτῶν· ἦσαν γὰρ πάντες κεκοπωμένοι,
2 διὰ τὸ ἐπὶ πλεῖον γεγονέναι τὸν πότον. ὑπελείφθη δὲ Ἰουδὶθ
μόνη ἐν τῇ σκηνῇ καὶ Ὀλοφέρνης προπεπτωκὼς ἐπὶ τὴν κλί-
3 νην αὐτοῦ· ἦν γὰρ περικεχυμένος αὐτῷ ὁ οἶνος. καὶ εἶπεν Ἰου-
δὶθ τῇ δούλῃ αὐτῆς στῆναι ἔξω τοῦ κοιτῶνος αὐτῆς καὶ ἐπιτη-
ρεῖν τὴν ἔξοδον αὐτῆς· καθάπερ καθ' ἡμέραν, ἐξελεύσεσθαι
γὰρ ἔφη ἐπὶ τὴν προσευχὴν αὐτῆς· καὶ τῷ Βαγώᾳ ἐλάλησε κα-
4 τὰ τὰ ῥήματα ταῦτα. καὶ ἀπῆλθον πάντες ἐκ προσώπου, καὶ
οὐδεὶς κατελείφθη ἐν τῷ κοιτῶνι ἀπὸ μικροῦ ἕως μεγάλου καὶ
στᾶσα Ἰουδὶθ παρὰ τὴν κλίνην αὐτοῦ εἶπεν ἐν τῇ καρδίᾳ αὐ-
τῆς· Κύριε ὁ θεὸς πάσης δυνάμεως ἐπίβλεψον ἐν τῇ ὥρᾳ ταύ-
5 τῃ ἐπὶ τὰ ἔργα τῶν χειρῶν μου εἰς ὕψωμα Ἱερουσαλήμ· ὅτι
νῦν καιρὸς ἀντιλαβέσθαι τῆς κληρονομίας σου καὶ ποιῆσαι τὸ
6 ἐπιτήδευμά μου εἰς θραῦμα ἐχθρῶν, οἳ ἐπανέστησαν ἡμῖν. καὶ
προσελθοῦσα τῷ κανόνι τῆς κλίνης, ὃς ἦν πρὸς κεφαλῆς Ὀλο-
7 φέρνου, καθεῖλε τὸν ἀκινάκην αὐτοῦ ἀπ' αὐτοῦ καὶ ἐγγίσασα
τῆς κλίνης ἐδράξατο τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ καὶ εἶπε·
8 Κραταίωσόν με, ὁ θεὸς Ἰσραήλ, ἐν τῇ ἡμέρᾳ ταύτῃ. καὶ ἐπάτα-
ξεν εἰς τὸν τράχηλον αὐτοῦ δὶς ἐν τῇ ἰσχύι αὐτῆς καὶ ἀφεῖλε
9 τὴν κεφαλὴν αὐτοῦ ἀπ' αὐτοῦ, καὶ ἀπεκύλισε τὸ σῶμα αὐτοῦ
ἀπὸ τῆς στρωμνῆς καὶ ἀφεῖλε τὸ κωνωπεῖον ἀπὸ τῶν στύλων.
καὶ μετ' ὀλίγον ἐξῆλθε, καὶ παρέδωκε τῇ ἅβρᾳ αὐτῆς τὴν κεφα-
10 λὴν Ὀλοφέρνου, καὶ ἐνέβαλεν αὐτὴν εἰς τὴν πήραν τῶν βρω-
μάτων αὐτῆς. καὶ ἐξῆλθον αἱ δύο ἅμα κατὰ τὸν ἐθισμὸν αὐτῶν
ἐπὶ τὴν προσευχήν· καὶ διελθοῦσαι τὴν παρεμβολὴν ἐκύκλω-
σαν τὴν φάραγγα ἐκείνην καὶ προσανέβησαν τὸ ὄρος Βαιτυ-
λούα καὶ ἦλθον πρὸς τὰς πύλας αὐτῆς.

11 Καὶ εἶπεν Ἰουδὶθ μακρόθεν τοῖς φυλάσσουσιν ἐπὶ τῶν πυ-
λῶν· Ἀνοίξατε, ἀνοίξατε δὴ τὴν πύλην, μεθ' ἡμῶν ὁ θεὸς ὁ θε-
ὸς ἡμῶν ποιῆσαι ἔτι ἰσχὺν ἐν Ἰσραὴλ καὶ κράτος κατὰ τῶν ἐ-
12 χθρῶν, καθὰ καὶ σήμερον ἐποίησε. καὶ ἐγένετο ὡς ἤκουσαν οἱ
ἄνδρες τῆς πόλεως αὐτῆς τὴν φωνὴν αὐτῆς, ἐσπούδασαν τοῦ
καταβῆναι εἰς τὴν πύλην τῆς πόλεως αὐτῶν καὶ συνεκάλεσαν
13 τοὺς πρεσβυτέρους τῆς πόλεως. καὶ συνέδραμον πάντες ἀπὸ
μικροῦ ἕως μεγάλου, ὅτι παράδοξον ἦν αὐτοῖς τὸ ἐλθεῖν αὐ-
τήν, καὶ ἤνοιξαν τὴν πύλην καὶ ὑπεδέξαντο αὐτὰς καὶ ἅψαντες
14 πῦρ εἰς φαῦσιν περιεκύκλωσαν αὐτάς. ἡ δὲ εἶπε πρὸς αὐτοὺς
φωνῇ μεγάλῃ· Αἰνεῖτε τὸν θεόν, αἰνεῖτε· αἰνεῖτε τὸν θεόν, ὃς
οὐκ ἀπέστησε τὸ ἔλεος αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰσραήλ, ἀλλ' ἔ-
θραυσε τοὺς ἐχθροὺς ἡμῶν διὰ χειρός μου ἐν τῇ νυκτὶ ταύτῃ.
15 καὶ προελοῦσα τὴν κεφαλὴν ἐκ τῆς πήρας ἔδειξε καὶ εἶπεν αὐ-
τοῖς· Ἰδοὺ ἡ κεφαλὴ Ὀλοφέρνου ἀρχιστρατήγου δυνάμεως
Ἀσσούρ, καὶ ἰδοὺ τὸ κωνωπεῖον, ἐν ᾧ κατέκειτο ἐν ταῖς μέ-

θαις αὐτοῦ· καὶ ἐπάταξεν αὐτὸν ὁ Κύριος ἐν χειρὶ θηλείας καὶ
16 ζῇ Κύριος, ὃς διεφύλαξέ με ἐν τῇ ὁδῷ μου, ᾗ ἐπορεύθην, ὅτι
ἠπάτησεν αὐτὸν τὸ πρόσωπόν μου εἰς ἀπώλειαν αὐτοῦ, καὶ
οὐκ ἐποίησεν ἁμάρτημα μετ' ἐμοῦ εἰς μίασμα καὶ αἰσχύνην.
17 καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα καὶ κύψαντες προσεκύνησαν
τῷ θεῷ καὶ εἶπαν ὁμοθυμαδόν· Εὐλογητὸς εἶ, ὁ θεὸς ἡμῶν, ὁ ἐ-
ξουδενώσας ἐν τῇ ἡμέρᾳ τῇ σήμερον τοὺς ἐχθροὺς τοῦ λαοῦ
18 σου. καὶ εἶπεν αὐτῇ Ὀζίας· Εὐλογητὴ σύ, θύγατερ, τῷ θεῷ τῷ
ὑψίστῳ παρὰ πάσας τὰς γυναῖκας τὰς ἐπὶ τῆς γῆς, καὶ εὐλογη-
μένος Κύριος ὁ θεός, ὃς ἔκτισε τοὺς οὐρανοὺς καὶ τὴν γῆν, ὃς
19 κατεύθυνέ σε εἰς τραῦμα κεφαλῆς ἄρχοντος ἐχθρῶν ἡμῶν· ὅτι
οὐκ ἀποστήσεται ἡ ἐλπίς σου ἀπὸ καρδίας ἀνθρώπων μνημο-
20 νευόντων ἰσχὺν θεοῦ ἕως αἰῶνος. καὶ ποιήσαι σοι αὐτὰ ὁ θεὸς
εἰς ὕψος αἰώνιον τοῦ ἐπισκέψασθαί σε ἐν ἀγαθοῖς, ἀνθ' ὧν
οὐκ ἐφείσω τῆς ψυχῆς σου διὰ τὴν ταπείνωσιν τοῦ γένους ἡ-
μῶν, ἀλλ' ἐπεξῆλθες πτώματι ἡμῶν ἐπ' εὐθεῖαν πορευθεῖσα ἐ-
νώπιον τοῦ θεοῦ ἡμῶν. καὶ εἶπαν πᾶς ὁ λαός· Γένοιτο, γένοι-
το.

14 Καὶ εἶπε πρὸς αὐτοὺς Ἰουδίθ· Ἀκούσατε δή μου, ἀδελφοί,
καὶ λαβόντες τὴν κεφαλὴν ταύτην κρεμάσατε αὐτὴν ἐπὶ τῆς ἐ-
2 πάλξεως τοῦ τείχους ἡμῶν. καὶ ἔσται ἡνίκα ἂν διαφαύσῃ ὁ ὄρ-
θρος καὶ ἐξέλθῃ ὁ ἥλιος ἐπὶ τὴν γῆν, ἀναλήψεσθε ἕκαστος τὰ
σκεύη τὰ πολεμικὰ ὑμῶν καὶ ἐξελεύσεσθε πᾶς ἀνὴρ ἰσχύων ἔ-
ξω τῆς πόλεως καὶ δώσετε ἀρχηγὸν εἰς αὐτοὺς ὡς καταβαίνο-
ντες ἐπὶ τὸ πεδίον εἰς τὴν προφυλακὴν υἱῶν Ἀσσούρ, καὶ οὐ
3 καταβήσεσθε. καὶ ἀναλαβόντες οὗτοι τὰς πανοπλίας αὐτῶν
πορεύσονται εἰς τὴν παρεμβολὴν αὐτῶν καὶ ἐγεροῦσι τοὺς
στρατηγοὺς τῆς δυνάμεως Ἀσσούρ· καὶ συνδραμοῦνται ἐπὶ
τὴν σκηνὴν Ὀλοφέρνου καὶ οὐχ εὑρήσουσιν αὐτόν, καὶ ἐπιπε-
σεῖται ἐπ' αὐτοὺς φόβος, καὶ φεύξονται ἀπὸ προσώπου ὑμῶν.
4 καὶ ἐπακολουθήσαντες ὑμεῖς καὶ πάντες οἱ κατοικοῦντες πᾶν
ὅριον Ἰσραήλ, καταστρώσατε αὐτοὺς ἐν ταῖς ὁδοῖς αὐτῶν.
5 πρὸ δὲ τοῦ ποιῆσαι ταῦτα, καλέσατέ μοι Ἀχιὼρ τὸν Ἀμανίτην,
ἵνα ἰδὼν ἐπιγνῷ τὸν ἐκφαυλίσαντα τὸν οἶκον τοῦ Ἰσραὴλ καὶ
6 αὐτὸν ὡς εἰς θάνατον ἀποστείλαντα εἰς ἡμᾶς. καὶ ἐκάλεσαν
τὸν Ἀχιὼρ ἐκ τοῦ οἴκου Ὀζία· ὡς δὲ ἦλθε καὶ εἶδε τὴν κεφα-
λὴν Ὀλοφέρνου ἐν χειρὶ ἀνδρὸς ἑνὸς ἐν τῇ ἐκκλησίᾳ τοῦ λα-
7 οῦ, ἔπεσεν ἐπὶ πρόσωπον, καὶ ἐξελύθη τὸ πνεῦμα αὐτοῦ. ὡς
δὲ ἀνέλαβον αὐτόν, προσέπεσε τοῖς ποσὶν Ἰουδὶθ καὶ προσε-
κύνησε τῷ προσώπῳ αὐτῆς καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν πα-
ντὶ σκηνώματι Ἰούδα καὶ ἐν παντὶ ἔθνει, οἵτινες ἀκούσαντες
8 τὸ ὄνομά σου ταραχθήσονται· καὶ νῦν ἀνάγγειλόν μοι ὅσα ἐ-
ποίησας ἐν ταῖς ἡμέραις ταύταις. καὶ ἀπήγγειλεν αὐτῷ Ἰουδὶθ
ἐν μέσῳ τοῦ λαοῦ πάντα, ὅσα ἦν πεποιηκυῖα, ἀφ' ἧς ἡμέρας ἐ-
9 ξῆλθεν ἕως οὗ ἐλάλει αὐτοῖς. ὡς δὲ ἐπαύσατο λαλοῦσα, ἠλά-

λαξεν ὁ λαὸς φωνῇ μεγάλῃ καὶ ἔδωκε φωνὴν εὐφρόσυνον ἐν
10 τῇ πόλει αὐτῶν. ἰδὼν δὲ Ἀχιὼρ πάντα, ὅσα ἐποίησεν ὁ θεὸς
τοῦ Ἰσραήλ, ἐπίστευσε τῷ θεῷ σφόδρα καὶ περιέτεμε τὴν σάρ-
κα τῆς ἀκροβυστίας αὐτοῦ καὶ προσετέθη πρὸς τὸν οἶκον Ἰσ-
ραὴλ ἕως τῆς ἡμέρας ταύτης.
11 Ἡνίκα δὲ ὁ ὄρθρος ἀνέβη, καὶ ἐκρέμασαν τὴν κεφαλὴν Ὀ-
λοφέρνου ἐκ τοῦ τείχους, καὶ ἀνέλαβε πᾶς ἀνὴρ Ἰσραὴλ τὰ ὅ-
πλα αὐτοῦ καὶ ἐξῆλθον κατὰ σπείρας ἐπὶ τὰς ἀναβάσεις τοῦ ὄ-
12 ρους. οἱ δὲ υἱοὶ Ἀσσοὺρ ὡς εἶδον αὐτούς, διέπεμψαν ἐπὶ τοὺς
ἡγουμένους αὐτῶν· οἱ δὲ ἦλθον ἐπὶ στρατηγοὺς καὶ χιλιάρ-
13 χους καὶ ἐπὶ πάντα ἄρχοντα αὐτῶν. καὶ παρεγένοντο ἐπὶ τὴν
σκηνὴν Ὀλοφέρνου καὶ εἶπαν τῷ ὄντι ἐπὶ πάντων τῶν αὐτοῦ·
Ἔγειρον δὴ τὸν κύριον ἡμῶν, ὅτι ἐτόλμησαν οἱ δοῦλοι κατα-
βαίνειν ἐφ' ἡμᾶς εἰς πόλεμον, ἵνα ἐξολοθρευθῶσιν εἰς τέλος.
14 καὶ εἰσῆλθε Βαγώας καὶ ἔκρουσε τὴν αὐλαίαν τῆς σκηνῆς· ὑπε-
15 νοεῖτο γὰρ καθεύδειν αὐτὸν μετὰ Ἰουδίθ· ὡς δὲ οὐδεὶς ἐπή-
κουσε, διαστείλας εἰσῆλθεν εἰς τὸν κοιτῶνα καὶ εὗρεν αὐτὸν ἐ-
πὶ τῆς χελωνίδος ἐρριμμένον νεκρόν, καὶ ἡ κεφαλὴ αὐτοῦ ἀ-
16 φῄρητο ἀπ' αὐτοῦ. καὶ ἐβόησε φωνῇ μεγάλῃ μετὰ κλαυθμοῦ
καὶ στεναγμοῦ καὶ βοῆς ἰσχυρᾶς καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ.
17 καὶ εἰσῆλθεν εἰς τὴν σκηνήν, οὗ ἦν Ἰουδὶθ καταλύουσα, καὶ
18 οὐχ εὗρεν αὐτήν· καὶ ἐξεπήδησεν εἰς τὸν λαὸν κράζων· Ἠθέτη-
σαν οἱ δοῦλοι, ἐποίησεν αἰσχύνην μία γυνὴ τῶν Ἑβραίων εἰς
τὸν οἶκον τοῦ βασιλέως Ναβουχοδονόσορ· ὅτι ἰδοὺ Ὀλοφέρ-
19 νης χαμαί, καὶ ἡ κεφαλὴ οὐκ ἔστιν ἐπ' αὐτῷ. ὡς δὲ ἤκουσαν
ταῦτα τὰ ῥήματα οἱ ἄρχοντες τῆς δυνάμεως Ἀσσούρ, τοὺς χι-
τῶνας αὐτῶν διέρρηξαν, καὶ ἐταράχθη ἡ ψυχὴ αὐτῶν σφόδρα,
καὶ ἐγένετο αὐτῶν κραυγὴ καὶ βοὴ μεγάλη σφόδρα ἐν μέσῳ
τῆς παρεμβολῆς.
15 Καὶ ὡς ἤκουσαν οἱ ἐν τοῖς σκηνώμασιν ὄντες, ἐξέστησαν
2 ἐπὶ τὸ γεγονός, καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς φόβος καὶ τρόμος,
καὶ οὐκ ἦν ἄνθρωπος μένων κατὰ πρόσωπον τοῦ πλησίον ἔτι,
ἀλλ' ἐκχυθέντες ὁμοθυμαδὸν ἔφευγον ἐπὶ πᾶσαν ὁδὸν τοῦ πε-
3 δίου καὶ τῆς ὀρεινῆς· καὶ οἱ παρεμβεβληκότες ἐν τῇ ὀρεινῇ κύ-
κλῳ Βαιτυλούα ἐτράπησαν εἰς φυγήν. καὶ τότε οἱ υἱοὶ Ἰσραήλ,
4 πᾶς ἀνὴρ πολεμιστὴς ἐξ αὐτῶν, ἐξεχύθησαν ἐπ' αὐτούς. καὶ ἀ-
πέστειλεν Ὀζίας εἰς Βαιτομασθαὶμ καὶ Βηβαϊ καὶ Κωλὰ καὶ εἰς
πᾶν ὅριον Ἰσραὴλ τοὺς ἀπαγγέλλοντας ὑπὲρ τῶν συντετελε-
σμένων καὶ ἵνα πάντες ἐπεκχυθῶσι τοῖς πολεμίοις εἰς τὴν ἀ-
5 ναίρεσιν αὐτῶν. ὡς δὲ ἤκουσαν οἱ υἱοὶ Ἰσραήλ, πάντες ὁμοθυ-
μαδὸν ἐπέπεσον ἐπ' αὐτοὺς καὶ ἔκοπτον αὐτοὺς ἕως Χωβά.
ὡσαύτως δὲ καὶ οἱ ἐξ Ἰερουσαλὴμ παρεγενήθησαν καὶ ἐκ πά-
σης τῆς ὀρεινῆς· ἀνήγγειλαν γὰρ αὐτοῖς τὰ γεγονότα τῇ πα-
ρεμβολῇ τῶν ἐχθρῶν αὐτῶν· καὶ οἱ ἐν Γαλαὰδ καὶ οἱ ἐν τῇ Γα-
λιλαίᾳ ὑπερεκέρασαν αὐτοὺς πληγῇ μεγάλῃ, ἕως οὗ παρῆλθον

6 Δαμασκὸν καὶ τὰ ὅρια αὐτῆς. οἱ δὲ λοιποὶ οἱ κατοικοῦντες Βαι-
τυλούα ἐπέπεσαν τῇ παρεμβολῇ Ἀσσοὺρ καὶ ἐπρονόμευσαν
7 αὐτοὺς καὶ ἐπλούτησαν σφόδρα. οἱ δὲ υἱοὶ Ἰσραὴλ ἀναστρέψα-
ντες ἀπὸ τῆς κοπῆς ἐκυρίευσαν τῶν λοιπῶν, καὶ αἱ κῶμαι καὶ
αἱ ἐπαύλεις ἐν τῇ ὀρεινῇ καὶ πεδινῇ ἐκράτησαν πολλῶν λαφύ-
8 ρων, ἦν γὰρ πλῆθος πολὺ σφόδρα. καὶ Ἰωακὶμ ὁ ἱερεὺς ὁ μέ-
γας καὶ ἡ γερουσία τῶν υἱῶν Ἰσραὴλ οἱ κατοικοῦντες ἐν Ἰε-
ρουσαλὴμ ἦλθον τοῦ θεάσασθαι τὰ ἀγαθά, ἃ ἐποίησε Κύριος
τῷ Ἰσραήλ, καὶ τοῦ ἰδεῖν τὴν Ἰουδὶθ καὶ λαλῆσαι μετ' αὐτῆς εἰ-
9 ρήνην. ὡς δὲ εἰσῆλθον πρὸς αὐτήν, εὐλόγησαν αὐτὴν πάντες
ὁμοθυμαδὸν καὶ εἶπαν πρὸς αὐτήν· Σὺ ὕψωμα Ἰσραήλ, σὺ γαυ-
10 ρίαμα μέγα τοῦ Ἰσραήλ, σὺ καύχημα μέγα τοῦ γένους ἡμῶν· ἐ-
ποίησας πάντα ταῦτα ἐν χειρί σου, ἐποίησας τὰ ἀγαθὰ μετὰ Ἰσ-
ραήλ, καὶ εὐδόκησεν ἐπ' αὐτοῖς ὁ θεός· εὐλογημένη γίνου πα-
ρὰ τῷ παντοκράτορι Κυρίῳ εἰς τὸν αἰῶνα χρόνον. καὶ εἶπε
11 πᾶς ὁ λαός· Γένοιτο. καὶ ἐλαφύρευσε πᾶς ὁ λαὸς τὴν παρεμβο-
λὴν ἐφ' ἡμέρας τριάκοντα· καὶ ἔδωκαν τῇ Ἰουδὶθ τὴν σκηνὴν
Ὀλοφέρνου καὶ πάντα τὰ ἀργυρώματα καὶ τὰς κλίνας καὶ τὰ
ὅλκια καὶ πάντα τὰ σκευάσματα αὐτοῦ. καὶ λαβοῦσα αὕτη ἐπέ-
θηκεν ἐπὶ τὴν ἡμίονον αὐτῆς καὶ ἔζευξε τὰς ἁμάξας αὐτῆς καὶ
12 ἐσώρευσεν αὐτὰ ἐπ' αὐτῶν. καὶ συνέδραμε πᾶσα γυνὴ Ἰσραὴλ
τοῦ ἰδεῖν αὐτὴν καὶ εὐλόγησαν αὐτὴν καὶ ἐποίησαν αὐτῇ χο-
ρὸν ἐξ αὐτῶν, καὶ ἔλαβε θύρσους ἐν ταῖς χερσὶν αὐτῆς καὶ ἔ-
13 δωκε ταῖς γυναιξὶ ταῖς μετ' αὐτῆς. καὶ ἐστεφανώσαντο τὴν ἐ-
λαίαν, αὐτὴ καὶ αἱ μετ' αὐτῆς, καὶ προῆλθε παντὸς τοῦ λαοῦ ἐν
χορείᾳ ἡγουμένη πασῶν τῶν γυναικῶν, καὶ ἠκολούθει πᾶς ἀ-
νὴρ Ἰσραὴλ ἐνωπλισμένοι μετὰ στεφάνων καὶ ὕμνων ἐν τῷ
14 στόματι αὐτῶν. καὶ ἐξῆρχεν Ἰουδὶθ τὴν ἐξομολόγησιν ταύτην
ἐν παντὶ Ἰσραήλ, καὶ ὑπεφώνει πᾶς ὁ λαὸς τὴν αἴνεσιν ταύτην.

16 Καὶ εἶπεν Ἰουδίθ·
Ἐξάρχετε τῷ θεῷ μου ἐν τυμπάνοις,
ᾄσατε τῷ Κυρίῳ μου ἐν κυμβάλοις,
ἐναρμόσασθε αὐτῷ ψαλμὸν καινόν,
ὑψοῦτε καὶ ἐπικαλέσασθε τὸ ὄνομα αὐτοῦ,
2 ὅτι θεὸς συντρίβων πολεμίους Κύριος,
ὅτι εἰς παρεμβολὰς αὐτοῦ ἐν μέσῳ λαοῦ
ἐξείλατό με ἐκ χειρὸς τῶν καταδιωκόντων με.
3 ἦλθεν Ἀσσοὺρ ἐξ ὀρέων ἀπὸ βορρᾶ,
ἦλθεν ἐν μυριάσι δυνάμεως αὐτοῦ,
ὧν τὸ πλῆθος αὐτῶν ἐνέφραξε χειμάρρους,
καὶ ἡ ἵππος αὐτῶν ἐκάλυψε βουνούς.
4 εἶπεν ἐμπρήσειν τὰ ὅριά μου
καὶ τοὺς νεανίσκους μου ἀνελεῖν ἐν ῥομφαίᾳ
καὶ τὰ θηλάζοντά μου θήσειν εἰς ἔδαφος
καὶ τὰ νήπιά μου δώσειν εἰς προνομὴν

καὶ τὰς παρθένους μου σκυλεῦσαι.
5 Κύριος παντοκράτωρ ἠθέτησεν αὐτοὺς ἐν χειρὶ θηλείας.
6 οὐ γὰρ ὑπέπεσεν ὁ δυνατὸς αὐτῶν ὑπὸ νεανίσκων,
οὐδὲ υἱοὶ τιτάνων ἐπάταξαν αὐτόν,
οὐδὲ ὑψηλοὶ γίγαντες ἐπέθεντο αὐτῷ,
ἀλλὰ Ἰουδὶθ θυγάτηρ Μεραρὶ
ἐν κάλλει προσώπου αὐτῆς παρέλυσεν αὐτόν·
7 ἐξεδύσατο γὰρ στολὴν χηρεύσεως αὐτῆς
εἰς ὕψος τῶν πονούντων ἐν Ἰσραήλ,
ἠλείψατο τὸ πρόσωπον αὐτῆς ἐν μυρισμῷ
8 καὶ ἐδήσατο τὰς τρίχας αὐτῆς ἐν μίτρᾳ
καὶ ἔλαβε στολὴν λινῆν εἰς ἀπάτην αὐτοῦ·
9 τὸ σανδάλιον αὐτῆς ἥρπασεν ὀφθαλμὸν αὐτοῦ,
καὶ τὸ κάλλος αὐτῆς ᾐχμαλώτισε ψυχὴν αὐτοῦ,
διῆλθεν ὁ ἀκινάκης τὸν τράχηλον αὐτοῦ.
10 ἔφριξαν Πέρσαι τὴν τόλμαν αὐτῆς,
καὶ Μῆδοι τὸ θράσος αὐτῆς ἐρράχθησαν.
11 τότε ἠλάλαξαν οἱ ταπεινοί μου,
καὶ ἐφοβήθησαν οἱ ἀσθενοῦντές μου καὶ ἐπτοήθησαν,
ὕψωσαν τὴν φωνὴν αὐτῶν καὶ ἀνετράπησαν.
12 υἱοὶ κορασίων κατεκέντησαν αὐτοὺς
καὶ ὡς παῖδας αὐτομολούντων ἐτίτρωσκον αὐτούς,
ἀπώλοντο ἐκ παρατάξεως Κυρίου μου.
13 ὑμνήσω τῷ θεῷ μου ὕμνον καινόν·
Κύριε, μέγας εἶ καὶ ἔνδοξος,
θαυμαστὸς ἐν ἰσχύι, ἀνυπέρβλητος.
14 σοὶ δουλευσάτω πᾶσα ἡ κτίσις σου·
ὅτι εἶπας, καὶ ἐγενήθησαν,
ἀπέστειλας τὸ πνεῦμά σου, καὶ ᾠκοδόμησε·
καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τῇ φωνῇ σου.
15 ὄρη γὰρ ἐκ θεμελίων σὺν ὕδασι σαλευθήσεται,
πέτραι δὲ ἀπὸ προσώπου σου ὡς κηρὸς τακήσονται,
ἔτι δὲ τοῖς φοβουμένοις σε,
σὺ εὐιλατεύεις αὐτοῖς.
16 ὅτι μικρὸν πᾶσα θυσία εἰς ὀσμὴν εὐωδίας,
καὶ ἐλάχιστον πᾶν στέαρ εἰς ὁλοκαύτωμά σοι·
ὁ δὲ φοβούμενος τὸν Κύριον μέγας διαπαντός.
οὐαὶ ἔθνεσιν ἐπανισταμένοις τῷ γένει μου·
17 Κύριος παντοκράτωρ ἐκδικήσει αὐτοὺς ἐν ἡμέρᾳ κρίσεως
δοῦναι πῦρ καὶ σκώληκας εἰς σάρκας αὐτῶν,
καὶ κλαύσονται ἐν αἰσθήσει ἕως αἰῶνος.
18 Ὡς δὲ ἦλθον εἰς Ἰερουσαλήμ, προσεκύνησαν τῷ θεῷ. καὶ
ἡνίκα ἐκαθαρίσθη ὁ λαός, ἀνήνεγκαν τὰ ὁλοκαυτώματα αὐτῶν
19 καὶ τὰ ἑκούσια αὐτῶν καὶ τὰ δόματα. καὶ ἀνέθηκεν Ἰουδὶθ πά-
ντα τὰ σκεύη Ὀλοφέρνου, ὅσα ἔδωκεν ὁ λαὸς αὐτῇ, καὶ τὸ

κωνωπεῖον, ὃ ἔλαβεν αὕτη ἐκ τοῦ κοιτῶνος αὐτοῦ, εἰς ἀνάθη-
20 μα τῷ θεῷ ἔδωκε. καὶ ἦν ὁ λαὸς εὐφραινόμενος ἐν Ἰερουσα-
λὴμ κατὰ πρόσωπον τῶν ἁγίων ἐπὶ μῆνας τρεῖς, καὶ Ἰουδὶθ
μετ' αὐτῶν κατέμεινε.

21 Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἀνέζευξεν ἕκαστος εἰς τὴν
κληρονομίαν αὐτοῦ, καὶ Ἰουδὶθ ἀπῆλθεν εἰς Βαιτυλούα καὶ κα-
τέμεινεν ἐπὶ τῆς ὑπάρξεως αὐτῆς· καὶ ἐγένετο κατὰ τὸν καιρὸν
22 αὐτῆς ἔνδοξος ἐν πάσῃ τῇ γῇ. καὶ πολλοὶ ἐπεθύμησαν αὐτήν,
καὶ οὐκ ἔγνω ἀνὴρ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῆς,
ἀφ' ἧς ἡμέρας ἀπέθανε Μανασσῆς ὁ ἀνὴρ αὐτῆς, καὶ προσετέ-
23 θη πρὸς τὸν λαὸν αὐτοῦ. καὶ ἦν προβαίνουσα μεγάλη σφόδρα
καὶ ἐγήρασεν ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς ἔτη ἑκατὸν πέντε·
καὶ ἀφῆκε τὴν ἄβραν αὐτῆς ἐλευθέραν. καὶ ἀπέθανεν εἰς Βαιτυ-
λούα, καὶ ἔθαψαν αὐτὴν ἐν τῷ σπηλαίῳ τοῦ ἀνδρὸς αὐτῆς Μα-
24 νασσῆ, καὶ ἐπένθησεν αὐτὴν οἶκος Ἰσραὴλ ἡμέρας ἑπτά. καὶ
διεῖλε τὰ ὑπάρχοντα αὐτῆς πρὸ τοῦ ἀποθανεῖν αὐτὴν πᾶσι τοῖς
ἔγγιστα Μανασσῆ τοῦ ἀνδρὸς αὐτῆς καὶ τοῖς ἔγγιστα τοῦ γέ-
25 νους αὐτῆς. καὶ οὐκ ἦν ἔτι ὁ ἐκφοβῶν τοὺς υἱοὺς Ἰσραὴλ ἐν
ταῖς ἡμέραις Ἰουδὶθ καὶ μετὰ τὸ ἀποθανεῖν αὐτὴν ἡμέρας πολ-
λάς.

14. ΕΣΘΗΡ

1 1 Ἔτους δευτέρου βασιλεύοντος Ἀρταξέρξου τοῦ μεγάλου 1α **1**
βασιλέως τῇ μιᾷ τοῦ Νισάν, ἐνύπνιον εἶδε Μαρδοχαῖος ὁ τοῦ
2 Ἰαΐρου, τοῦ Σεμεΐου, τοῦ Κισσαίου, ἐκ φυλῆς Βενιαμίν, ἄνθρω- 1β
πος Ἰουδαῖος οἰκῶν ἐν Σούσοις τῇ πόλει, ἄνθρωπος μέγας,
3 θεραπεύων ἐν τῇ αὐλῇ τοῦ βασιλέως. ἦν δὲ ἐκ τῆς αἰχμαλω- 1γ
σίας, ἧς ᾐχμαλώτευσε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος
4 ἐξ Ἱερουσαλὴμ μετὰ Ἰεχονίου τοῦ βασιλέως τῆς Ἰουδαίας. καὶ 1δ
τοῦτο αὐτοῦ τὸ ἐνύπνιον καὶ ἰδοὺ φωναὶ καὶ θόρυβος, βρονταὶ
5 καὶ σεισμός, τάραχος ἐπὶ τῆς γῆς. καὶ ἰδοὺ δύο δράκοντες με- 1ε
γάλοι ἕτοιμοι προῆλθον ἀμφότεροι παλαίειν, καὶ ἐγένετο αὐ-
6 τῶν φωνὴ μεγάλη· καὶ τῇ φωνῇ αὐτῶν ἡτοιμάσθη πᾶν ἔθνος 1ζ
7 εἰς πόλεμον, ὥστε πολεμῆσαι δικαίων ἔθνος. καὶ ἰδοὺ ἡμέρα 1η
σκότους καὶ γνόφου, θλῖψις καὶ στενοχωρία, κάκωσις καὶ τά-
8 ραχος μέγας ἐπὶ τῆς γῆς καὶ ἐταράχθη πᾶν ἔθνος δίκαιον φο- 1θ
βούμενοι τὰ ἑαυτῶν κακὰ καὶ ἡτοιμάσθησαν ἀπολέσθαι καὶ ἐ-
9 βόησαν πρὸς τὸν θεόν. ἀπὸ δὲ τῆς βοῆς αὐτῶν ἐγένετο ὡσα- 1ι
10 νεὶ ἀπὸ μικρᾶς πηγῆς ποταμὸς μέγας, ὕδωρ πολύ· καὶ φῶς καὶ 1κ
ὁ ἥλιος ἀνέτειλε, καὶ οἱ ταπεινοὶ ὑψώθησαν καὶ κατέφαγον
11 τοὺς ἐνδόξους. καὶ διεγερθεὶς Μαρδοχαῖος ὁ ἑωρακὼς τὸ ἐνύ- 1λ
πνιον τοῦτο καὶ τί ὁ θεὸς βεβούλευται ποιῆσαι, εἶχεν αὐτὸ ἐν
τῇ καρδίᾳ καὶ ἐν παντὶ λόγῳ ἤθελεν ἐπιγνῶναι αὐτὸ ἕως τῆς
12 νυκτός. καὶ ἡσύχασε Μαρδοχαῖος ἐν τῇ αὐλῇ μετὰ Γαβαθὰ καὶ 1μ
Θάρα τῶν δύο εὐνούχων τοῦ βασιλέως τῶν φυλασσόντων τὴν
13 αὐλὴν ἤκουσέ τε αὐτῶν τοὺς λογισμοὺς καὶ τὰς μερίμνας αὐ- 1ν
τῶν ἐξηρεύνησε καὶ ἔμαθεν, ὅτι ἑτοιμάζουσι τὰς χεῖρας ἐπιβα-
λεῖν Ἀρταξέρξῃ τῷ βασιλεῖ, καὶ ὑπέδειξε τῷ βασιλεῖ περὶ αὐ-
14 τῶν. καὶ ἐξήτασεν ὁ βασιλεὺς τοὺς δύο εὐνούχους, καὶ ὁμολο- 1ξ
15 γήσαντες ἀπήχθησαν. καὶ ἔγραψεν ὁ βασιλεὺς τοὺς λόγους 1ο
τούτους εἰς μνημόσυνον, καὶ Μαρδοχαῖος ἔγραψε περὶ τῶν λό-
16 γων τούτων. και ἐπέταξεν ὁ βασιλεὺς Μαρδοχαίῳ θεραπεύειν 1π
17 ἐν τῇ αὐλῇ καὶ ἔδωκεν αὐτῷ δόματα περὶ τούτων. καὶ ἦν Ἀ- 1ρ
μὰν Ἀμαδάθου Βουγαῖος ἔνδοξος ἐνώπιον τοῦς βασιλέως· καὶ
ἐζήτησε κακοποιῆσαι τὸν Μαρδοχαῖον καὶ τὸν λαὸν αὐτοῦ ὑ-
πὲρ τῶν δύο εὐνούχων τοῦ βασιλέως.

2 1 Καὶ ἐγένετο μετὰ τοὺς λόγους τούτους ἐν ταῖς ἡμέραις 1
Ἀρταξέρξου –οὗτος ὁ Ἀρταξέρξης ἀπὸ τῆς Ἰνδικῆς ἑκατὸν
2 εἴκοσιν ἑπτὰ χωρῶν ἐκράτησεν– ἐν αὐταῖς ταῖς ἡμέραις ὅτε ἐ- 2
3 θρονίσθη βασιλεὺς Ἀρταξέρξης ἐν Σούσοις τῇ πόλει, ἐν τῷ 3

τρίτῳ ἔτει βασιλεύοντος αὐτοῦ, δοχὴν ἐποίησε τοῖς φίλοις καὶ
τοῖς λοιποῖς ἔθνεσι καὶ τοῖς Περσῶν καὶ Μήδων ἐνδόξοις καὶ
4 τοῖς ἄρχουσι τῶν σατραπῶν. καὶ μετὰ ταῦτα μετὰ τὸ δεῖξαι αὐ- 4
τοῖς τὸν πλοῦτον τῆς βασιλείας αὐτοῦ καὶ τὴν δόξαν τῆς εὐ-
φροσύνης τοῦ πλούτου αὐτοῦ ἐν ἡμέραις ἑκατὸν ὀγδοήκοντα,
.....
5 ὅτε δὲ ἀνεπληρώθησαν αἱ ἡμέραι τοῦ γάμου, ἐποίησεν ὁ βασι- 5
λεὺς πότον τοῖς ἔθνεσι τοῖς εὑρεθεῖσιν εἰς τὴν πόλιν ἐπὶ ἡμέ-
6 ρας ἓξ ἐν αὐλῇ οἴκου τοῦ βασιλέως κεκοσμημένῃ βυσσίνοις 6
καὶ καρπασίνοις τεταμένοις ἐπὶ σχοινίοις βυσσίνοις καὶ πορ-
φυροῖς, ἐπὶ κύβοις χρυσοῖς καὶ ἀργυροῖς, ἐπὶ στύλοις παρί-
νοις καὶ λιθίνοις· κλῖναι χρυσαῖ καὶ ἀργυραῖ ἐπὶ λιθοστρώτου
σμαραγδίτου λίθου καὶ πιννίνου καὶ παρίνου λίθου καὶ στρω-
μναὶ διαφανεῖς ποικίλως διηνθισμέναι, κύκλῳ ῥόδα πεπασμέ-
7 να· ποτήρια χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἀνθράκινον κυλίκιον προ- 7
κείμενον ἀπὸ ταλάντων τρισμυρίων· οἶνος πολὺς καὶ ἡδύς, ὃν
8 αὐτὸς ὁ βασιλεὺς ἔπινεν. ὁ δὲ πότος οὗτος οὐ κατὰ προκείμε- 8
νον νόμον ἐγένετο, οὕτω δὲ ἠθέλησεν ὁ βασιλεὺς καὶ ἐπέταξε
τοῖς οἰκονόμοις ποιῆσαι τὸ θέλημα αὐτοῦ καὶ τῶν ἀνθρώπων.
9 καὶ Ἀστὶν ἡ βασίλισσα ἐποίησε πότον ταῖς γυναιξὶν ἐν τοῖς βα- 9
10 σιλείοις, ὅπου ὁ βασιλεὺς Ἀρταξέρξης. ἐν δὲ τῇ ἡμέρᾳ τῇ ἑ- 10
βδόμῃ ἡδέως γενόμενος ὁ βασιλεὺς εἶπε τῷ Ἀμὰν καὶ Βαζὰν
καὶ Θάρᾳ καὶ Βαραζὶ καὶ Ζαθολιθὰ καὶ Ἀβαταζὰ καὶ Θαραβά,
τοῖς ἑπτὰ εὐνούχοις τοῖς διακόνοις τοῦ βασιλέως Ἀρταξέρ-
11 ξου, εἰσαγαγεῖν τὴν βασίλισσαν πρὸς αὐτόν, βασιλεύειν αὐτὴν 11
καὶ περιθεῖναι αὐτῇ τὸ διάδημα καὶ δεῖξαι αὐτὴν τοῖς ἄρχουσι
12 καὶ τοῖς ἔθνεσι τὸ κάλλος αὐτῆς, ὅτι καλὴ ἦν. καὶ οὐκ εἰσήκου- 12
σεν αὐτοῦ Ἀστὶν ἡ βασίλισσα ἐλθεῖν μετὰ τῶν εὐνούχων. καὶ
13 ἐλυπήθη ὁ βασιλεὺς καὶ ὠργίσθη καὶ εἶπε τοῖς φίλοις αὐτοῦ· 13
Κατὰ ταῦτα ἐλάλησεν Ἀστίν. ποιήσατε οὖν περὶ τούτου νόμον
14 καὶ κρίσιν. καὶ προσῆλθεν αὐτῷ Ἀρκεσαῖος καὶ Σαρσαθαῖος 14
καὶ Μαλησεὰρ οἱ ἄρχοντες Περσῶν καὶ Μήδων, οἱ ἐγγὺς τοῦ
15 βασιλέως, οἱ πρῶτοι παρακαθήμενοι τῷ βασιλεῖ, καὶ ἀπήγγει- 15
λαν αὐτῷ κατὰ τοὺς νόμους, ὡς δεῖ ποιῆσαι Ἀστὶν τῇ βασιλίσ-
σῃ, ὅτι οὐκ ἐποίησε τὰ ὑπὸ τοῦ βασιλέως προσταχθέντα διὰ
16 τῶν εὐνούχων. καὶ εἶπεν ὁ Μουχαῖος πρὸς τὸν βασιλέα καὶ 16
τοὺς ἄρχοντας· Οὐ τὸν βασιλέα μόνον ἠδίκησεν Ἀστὶν ἡ βασί-
λισσα, ἀλλὰ καὶ πάντας τοὺς ἄρχοντας καὶ τοὺς ἡγουμένους
17 τοῦ βασιλέως (καὶ γὰρ διηγήσατο αὐτοῖς τὰ ῥήματα τῆς βασι- 17
λίσσης καὶ ὡς ἀντεῖπε τῷ βασιλεῖ). ὡς οὖν ἀντεῖπε τῷ βασιλεῖ
18 Ἀρταξέρξῃ, οὕτω σήμερον αἱ τυραννίδες αἱ λοιπαὶ τῶν ἀρχό- 18
ντων Περσῶν καὶ Μήδων ἀκούσασαι τὰ τῷ βασιλεῖ λεχθέντα
ὑπ' αὐτῆς, τολμήσουσιν ὁμοίως ἀτιμάσαι τοὺς ἄνδρας αὐτῶν.
19 εἰ οὖν δοκεῖ τῷ βασιλεῖ, προσταξάτω βασιλικόν, καὶ γραφήτω 19
κατὰ τοὺς νόμους Μήδων καὶ Περσῶν· καὶ μὴ ἄλλως χρησά-

σθω, μηδὲ εἰσελθέτω ἔτι ἡ βασίλισσα πρὸς αὐτόν, καὶ τὴν βα-
20 σιλείαν αὐτῆς δότω ὁ βασιλεὺς γυναικὶ κρείττονι αὐτῆς. καὶ ἀ- 20
κουσθήτω ὁ νόμος ὁ ὑπὸ τοῦ βασιλέως, ὃν ἐὰν ποιῇ ἐν τῇ βα-
σιλείᾳ αὐτοῦ, καὶ οὕτω πᾶσαι αἱ γυναῖκες περιθήσουσι τιμὴν
21 τοῖς ἀνδράσιν ἑαυτῶν, ἀπὸ πτωχοῦ ἕως πλουσίου. καὶ ἤρεσεν 21
ὁ λόγος τῷ βασιλεῖ καὶ τοῖς ἄρχουσι, καὶ ἐποίησεν ὁ βασιλεὺς
22 καθὰ ἐλάλησεν ὁ Μουχαῖος· καὶ ἀπέστειλεν εἰς πᾶσαν τὴν βα- 22
σιλείαν κατὰ χώραν, κατὰ τὴν λέξιν αὐτῶν, ὥστε εἶναι φόβον
αὐτοῖς ἐν ταῖς οἰκίαις αὐτῶν.

3 Καὶ μετὰ τοὺς λόγους τούτους ἐκόπασεν ὁ βασιλεὺς τοῦ 1 **2**
θυμοῦ καὶ οὐκέτι ἐμνήσθη τῆς Ἀστίν, μνημονεύων οἷα ἐλάλη-
2 σε καὶ ὡς κατέκρινεν αὐτήν. καὶ εἶπαν οἱ διάκονοι τοῦ βασιλέ- 2
3 ως· Ζητηθήτω τῷ βασιλεῖ κοράσια ἄφθορα καλὰ τῷ εἴδει· καὶ 3
καταστήσει ὁ βασιλεὺς κωμάρχας ἐν πάσαις ταῖς χώραις τῆς
βασιλείας αὐτοῦ, καὶ ἐπιλεξάτωσαν κοράσια παρθενικὰ καλὰ
τῷ εἴδει εἰς Σοῦσαν τὴν πόλιν εἰς τὸν γυναικῶνα· καὶ παραδο-
θήτωσαν τῷ εὐνούχῳ τοῦ βασιλέως τῷ φύλακι τῶν γυναικῶν,
4 καὶ δοθήτω σμῆγμα καὶ ἡ λοιπὴ ἐπιμέλεια· καὶ ἡ γυνή, ἣ ἂν ἀ- 4
ρέσῃ τῷ βασιλεῖ, βασιλεύσει ἀντὶ Ἀστίν. καὶ ἤρεσε τῷ βασιλεῖ
5 τὸ πρᾶγμα, καὶ ἐποίησεν οὕτω. καὶ ἄνθρωπος ἦν Ἰουδαῖος ἐν 5
Σούσοις τῇ πόλει, καὶ ὄνομα αὐτοῦ Μαρδοχαῖος ὁ τοῦ Ἰαΐρου,
6 τοῦ Σεμεΐου, τοῦ Κισαίου, ἐκ φυλῆς Βενιαμίν, ὃς ἦν αἰχμάλω- 6
τος ἐξ Ἱερουσαλήμ, ἣν ᾐχμαλώτευσε Ναβουχοδονόσορ βασι-
7 λεὺς Βαβυλῶνος. καὶ ἦν τούτῳ παῖς θρεπτή, θυγάτηρ Ἀμινα- 7
δὰβ ἀδελφοῦ πατρὸς αὐτοῦ, καὶ ὄνομα αὐτῇ Ἐσθήρ· ἐν δὲ τῷ
μεταλλάξαι αὐτῆς τοὺς γονεῖς ἐπαίδευσεν αὐτὴν ἑαυτῷ εἰς γυ-
8 ναῖκα· καὶ ἦν τὸ κοράσιον καλὸν τῷ εἴδει. καὶ ὅτε ἠκούσθη τὸ 8
τοῦ βασιλέως πρόσταγμα, συνήχθησαν πολλὰ κοράσια εἰς
Σοῦσαν τὴν πόλιν ὑπὸ χεῖρα Γαΐ, καὶ ἤχθη Ἐσθὴρ πρὸς Γαΐ
9 τὸν φύλακα τῶν γυναικῶν. καὶ ἤρεσεν αὐτῷ τὸ κοράσιον καὶ 9
εὗρε χάριν ἐνώπιον αὐτοῦ· καὶ ἔσπευδε δοῦναι αὐτῇ τὸ σμῆγ-
μα καὶ τὴν μερίδα καὶ τὰ ἑπτὰ κοράσια τὰ ὑποδεδειγμένα αὐτῇ
ἐκ βασιλικοῦ καὶ ἐχρήσατο αὐτῇ καλῶς καὶ ταῖς ἄβραις αὐτῆς
10 ἐν τῷ γυναικῶνι. καὶ οὐχ ὑπέδειξεν Ἐσθὴρ τὸ γένος αὐτῆς οὐ- 10
δὲ τὴν πατρίδα· ὁ γὰρ Μαρδοχαῖος ἐνετείλατο αὐτῇ μὴ ἀπαγ-
11 γεῖλαι. καθ' ἑκάστην δὲ ἡμέραν περιεπάτει ὁ Μαρδοχαῖος κατὰ 11
τὴν αὐλὴν τὴν γυναικείαν ἐπισκοπῶν τί Ἐσθὴρ συμβήσεται.
12 οὗτος δὲ ἦν καιρὸς κορασίου εἰσελθεῖν πρὸς τὸν βασιλέα, ὅ- 12
ταν ἀναπληρώσῃ μῆνας δεκαδύο· οὕτω γὰρ ἀναπληροῦνται αἱ
ἡμέραι τῆς θεραπείας, μῆνας ἓξ ἀλειφόμεναι ἐν σμυρνίνῳ ἐ-
λαίῳ καὶ μῆνας ἓξ ἐν τοῖς ἀρώμασι καὶ ἐν τοῖς σμήγμασι τῶν
13 γυναικῶν, καὶ τότε εἰσπορεύεται πρὸς τὸν βασιλέα. καὶ ᾧ ἐὰν 13
εἴπῃ, παραδώσει αὐτὴν συνεισέρχεσθαι αὐτῷ ἀπὸ τοῦ γυναι-
14 κῶνος ἕως τῶν βασιλείων. δείλης εἰσπορεύεται καὶ πρὸς ἡμέ- 14
ραν ἀποτρέχει εἰς τὸν γυναικῶνα τὸν δεύτερον, οὗ Γαΐ ὁ εὐ-

νοῦχος τοῦ βασιλέως ὁ φύλαξ τῶν γυναικῶν, καὶ οὐκέτι εἰ-
15 σπορεύεται πρὸς τὸν βασιλέα, ἐὰν μὴ κληθῇ ὀνόματι. ἐν δὲ τῷ 15
ἀναπληροῦσθαι τὸν χρόνον Ἐσθὴρ τῆς θυγατρὸς Ἀμιναδὰβ ἀ-
δελφοῦ πατρὸς Μαρδοχαίου εἰσελθεῖν πρὸς τὸν βασιλέα οὐδὲν
ἠθέτησεν, ὧν ἐνετείλατο ὁ εὐνοῦχος ὁ φύλαξ τῶν γυναικῶν·
ἦν γὰρ Ἐσθὴρ εὑρίσκουσα χάριν παρὰ πάντων τῶν βλεπό-
16 ντων αὐτήν. καὶ εἰσῆλθεν Ἐσθὴρ πρὸς Ἀρταξέρξην τὸν βασι- 16
λέα τῷ δωδεκάτῳ μηνί, ὅς ἐστιν Ἀδάρ, τῷ ἑβδόμῳ ἔτει τῆς
17 βασιλείας αὐτοῦ. καὶ ἠράσθη ὁ βασιλεὺς Ἐσθήρ, καὶ εὗρε χά- 17
ριν παρὰ πάσας τὰς παρθένους, καὶ ἐπέθηκεν αὐτῇ τὸ διάδημα
18 τὸ γυναικεῖον. καὶ ἐποίησεν ὁ βασιλεὺς πότον πᾶσι τοῖς φίλοις 18
αὐτοῦ καὶ ταῖς δυνάμεσιν ἐπὶ ἡμέρας ἑπτὰ καὶ ὕψωσε τοὺς γά-
μους Ἐσθὴρ καὶ ἄφεσιν ἐποίησε τοῖς ὑπὸ τὴν βασιλείαν αὐτοῦ.
19 20 ὁ δὲ Μαρδοχαῖος ἐθεράπευεν ἐν τῇ αὐλῇ. ἡ δὲ Ἐσθὴρ οὐχ ὑπέ- 19 20
δειξε τὴν πατρίδα αὐτῆς· οὕτω γὰρ ἐνετείλατο αὐτῇ Μαρδο-
χαῖος, φοβεῖσθαι τὸν θεὸν καὶ ποιεῖν τὰ προστάγματα αὐτοῦ,
καθὼς ἦν μετ' αὐτοῦ. καὶ Ἐσθὴρ οὐ μετήλλαξε τὴν ἀγωγὴν αὐ-
τῆς.

4 1 Καὶ ἐλυπήθησαν οἱ δύο εὐνοῦχοι τοῦ βασιλέως, οἱ ἀρχι- 21
σωματοφύλακες, ὅτι προήχθη Μαρδοχαῖος, καὶ ἐζήτουν ἀπο-
2 κτεῖναι Ἀρταξέρξην τὸν βασιλέα. καὶ ἐδηλώθη Μαρδοχαίῳ ὁ 22
λόγος, καὶ ἐσήμανεν Ἐσθήρ, καὶ αὐτὴ ἐνεφάνισε τῷ βασιλεῖ τὰ
3 τῆς ἐπιβουλῆς, ὁ δὲ βασιλεὺς ἤτασε τοὺς δύο εὐνούχους καὶ 23
ἐκρέμασεν αὐτούς· καὶ προσέταξεν ὁ βασιλεὺς καταχωρίσαι
εἰς μνημόσυνον ἐν τῇ βασιλικῇ βιβλιοθήκῃ ὑπὲρ τῆς εὐνοίας
Μαρδοχαίου ἐν ἐγκωμίῳ.

5 Μετὰ δὲ ταῦτα ἐδόξασεν ὁ βασιλεὺς Ἀρταξέρξης Ἀμὰν Ἀ- 1 **3**
μαδάθου Βουγαῖον καὶ ὕψωσεν αὐτόν, καὶ ἐπρωτοβάθρει πά-
2 ντων τῶν φίλων αὐτοῦ. καὶ πάντες οἱ ἐν τῇ αὐλῇ προσεκύνουν 2
αὐτῷ, οὕτω γὰρ προσέταξεν ὁ βασιλεὺς ποιῆσαι· ὁ δὲ Μαρδο-
3 χαῖος οὐ προσεκύνει αὐτῷ. καὶ ἐλάλησαν οἱ ἐν τῇ αὐλῇ τοῦ βα- 3
σιλέως τῷ Μαρδοχαίῳ· Μαρδοχαῖε, τί παρακούεις τὰ ὑπὸ τοῦ
4 βασιλέως λεγόμενα; καθ' ἑκάστην ἡμέραν ἐλάλουν αὐτῷ, καὶ 4
οὐχ ὑπήκουεν αὐτῶν· καὶ ὑπέδειξαν τῷ Ἀμὰν Μαρδοχαῖον τοῖς
τοῦ βασιλέως λόγοις ἀντιτασσόμενον· καὶ ὑπέδειξεν αὐτοῖς ὁ
5 Μαρδοχαῖος ὅτι Ἰουδαῖός ἐστι. καὶ ἐπιγνοὺς Ἀμὰν ὅτι οὐ προ- 5
6 σκυνεῖ αὐτῷ Μαρδοχαῖος, ἐθυμώθη σφόδρα καὶ ἐβουλεύσατο 6
ἀφανίσαι πάντας τοὺς ὑπὸ τὴν Ἀρταξέρξου βασιλείαν Ἰου-
7 δαίους. καὶ ἐποίησε ψήφισμα ἐν ἔτει δωδεκάτῳ τῆς βασιλείας 7
Ἀρταξέρξου καὶ ἔβαλε κλήρους ἡμέραν ἐξ ἡμέρας καὶ μῆνα ἐκ
μηνός, ὥστε ἀπολέσαι ἐν μιᾷ ἡμέρᾳ τὸ γένος Μαρδοχαίου, καὶ
ἔπεσεν ὁ κλῆρος εἰς τὴν τεσσαρεσκαιδεκάτην τοῦ μηνός, ὅς ἐ-
8 στιν Ἀδάρ. καὶ ἐλάλησε πρὸς τὸν βασιλέα Ἀρταξέρξην λέγων· 8
Ὑπάρχει ἔθνος διεσπαρμένον ἐν τοῖς ἔθνεσιν ἐν πάσῃ τῇ βασι-
λείᾳ σου, οἱ δὲ νόμοι αὐτῶν ἔξαλλοι παρὰ πάντα τὰ ἔθνη, τῶν

δὲ νόμων τοῦ βασιλέως παρακούουσι, καὶ οὐ συμφέρει τῷ βα-
9 σιλεῖ ἐᾶσαι αὐτούς· εἰ δοκεῖ τῷ βασιλεῖ, δογματισάτω ἀπολέσαι 9
αὐτούς, κἀγὼ διαγράψω εἰς τὸ γαζοφυλάκιον τοῦ βασιλέως
10 ἀργυρίου τάλαντα μύρια. καὶ περιελόμενος ὁ βασιλεὺς τὸ δα- 10
κτύλιον ἔδωκεν εἰς χεῖρας τῷ Ἀμὰν σφραγίσαι κατὰ τῶν γε-
11 γραμμένων κατὰ τῶν Ἰουδαίων. καὶ εἶπεν ὁ βασιλεὺς τῷ Ἀ- 11
12 μάν· τὸ μὲν ἀργύριον ἔχε, τῷ δὲ ἔθνει χρῶ ὡς βούλει. καὶ ἐκλή- 12
θησαν οἱ γραμματεῖς τοῦ βασιλέως μηνὶ πρώτῳ τῇ τρισκαιδε-
κάτῃ καὶ ἔγραψαν, ὡς ἐπέταξεν Ἀμάν, τοῖς στρατηγοῖς, καὶ
τοῖς ἄρχουσι κατὰ πᾶσαν χώραν ἀπὸ Ἰνδικῆς ἕως τῆς Αἰθιο-
13 πίας ταῖς ἑκατὸν εἴκοσιν ἑπτὰ χώραις, τοῖς τε ἄρχουσι τῶν ἐ- 13
θνῶν κατὰ τὴν αὐτῶν λέξιν δι' Ἀρταξέρξου τοῦ βασιλέως. καὶ
ἀπεστάλη διὰ βιβλιοφόρων εἰς τὴν Ἀρταξέρξου βασιλείαν ἀφα-
νίσαι τὸ γένος τῶν Ἰουδαίων ἐν ἡμέρᾳ μιᾷ μηνὸς δωδεκάτου,
ὅς ἐστιν Ἀδάρ, καὶ διαρπάσαι τὰ ὑπάρχοντα αὐτῶν.

6 1 Τῆς δὲ ἐπιστολῆς ἐστι τὸ ἀντίγραφον τόδε· «Βασιλεὺς μέ- 13α
γας Ἀρταξέρξης τοῖς ὑπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας ἑκα-
τὸν εἴκοσιν ἑπτὰ χωρῶν ἄρχουσι καὶ τοπάρχαις ὑποτεταγμέ-
2 νοις τάδε γράφει· Πολλῶν ἐπάρξας ἐθνῶν καὶ πάσης ἐπικρα- 13β
τήσας οἰκουμένης, ἐβουλήθην μὴ τῷ θράσει τῆς ἐξουσίας ἐ-
παιρόμενος, ἐπιεικέστερον δὲ καὶ μετὰ ἠπιότητος ἀεὶ διεξά-
γων, τοὺς τῶν ὑποτεταγμένων ἀκυμάντους διαπαντὸς κατα-
στῆσαι βίους, τήν τε βασιλείαν ἥμερον καὶ πορευτὴν μέχρι πε-
ράτων παρεξόμενος ἀνανεώσασθαί τε τὴν ποθουμένην τοῖς
3 πᾶσιν ἀνθρώποις εἰρήνην. πυθομένου δέ μου τῶν συμβούλων, 13γ
πῶς ἂν ἀχθείη τοῦτο ἐπὶ πέρας, ὁ σωφροσύνῃ παρ' ἡμῖν διενέ-
γκας καὶ ἐν τῇ εὐνοίᾳ ἀπαραλλάκτως καὶ βεβαίᾳ πίστει ἀποδε-
4 δειγμένος καὶ δεύτερον τῶν βασιλειῶν γέρας ἀπενηνεγμένος 13δ
Ἀμὰν ἐπέδειξεν ἡμῖν ἐν πάσαις ταῖς κατὰ τὴν οἰκουμένην φυ-
λαῖς ἀναμεμῖχθαι δυσμενῆ λαόν τινα τοῖς νόμοις ἀντίθετον
πρὸς πᾶν ἔθνος τά τε τῶν βασιλέων παραπέμποντας διηνεκῶς
διατάγματα, πρὸς τὸ μὴ κατατίθεσθαι τὴν ὑφ' ἡμῶν κατευθυ-
5 νομένην ἀμέμπτως συναρχίαν. διειληφότες οὖν τάδε τὸ ἔθνος 13ε
μονώτατον ἐν ἀντιπαραγωγῇ παντὶ διαπαντὸς ἀνθρώπῳ κείμε-
νον, διαγωγὴν νόμων ξενίζουσαν παραλλάσσον καὶ δυσνοοῦν
τοῖς ἡμετέροις πράγμασι τὰ χείριστα συντελοῦν κακὰ καὶ πρὸς
6 τὸ μὴ τὴν βασιλείαν εὐσταθείας τυγχάνειν· προστετάχαμεν οὖν 13ζ
τοὺς σημαινομένους ὑμῖν ἐν τοῖς γεγραμμένοις ὑπὸ Ἀμὰν τοῦ
τεταγμένου ἐπὶ τῶν πραγμάτων καὶ δευτέρου πατρὸς ἡμῶν
πάντας σὺν γυναιξὶ καὶ τέκνοις ἀπολέσαι ὁλορριζεὶ ταῖς τῶν ἐ-
χθρῶν μαχαίραις ἄνευ παντὸς οἴκτου καὶ φειδοῦς, τῇ τεσσαρε-
σκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς Ἀδάρ, τοῦ ἐνεστῶτος ἔ-
7 τους, ὅπως οἱ πάλαι καὶ νῦν δυσμενεῖς ἐν ἡμέρᾳ μιᾷ βιαίως εἰς 13η
τὸν ᾅδην κατελθόντες, εἰς τὸν μετέπειτα χρόνον εὐσταθῆ καὶ
ἀτάραχα παρέχωσιν ἡμῖν διὰ τέλους τὰ πράγματα».

7 1 Τὰ δὲ ἀντίγραφα τῶν ἐπιστολῶν ἐξετίθετο κατὰ χώραν. 14
καὶ προσετάγη πᾶσι τοῖς ἔθνεσιν ἑτοίμους εἶναι εἰς τὴν ἡμέραν
2 ταύτην. ἐσπεύδετο δὲ τὸ πρᾶγμα καὶ εἰς Σοῦσαν· ὁ δὲ βασι- 15
λεὺς καὶ ὁ Ἀμὰν ἐκωθωνίζοντο, ἐταράσσετο δὲ ἡ πόλις.

8 1 Ὁ δὲ Μαρδοχαῖος ἐπιγνοὺς τὸ συντελούμενον διέρρηξε 1 **4**
τὰ ἱμάτια ἑαυτοῦ καὶ ἐνεδύσατο σάκκον καὶ κατεπάσατο σπο-
δὸν καὶ ἐκπηδήσας διὰ τῆς πλατείας τῆς πόλεως ἐβόα φωνῇ
2 μεγάλῃ· Αἴρεται ἔθνος μηδὲν ἠδικηκός. καὶ ἦλθεν ἕως τῆς πύ- 2
λης τοῦ βασιλέως καὶ ἔστη· οὐ γὰρ ἦν αὐτῷ ἐξὸν εἰσελθεῖν εἰς
3 τὴν αὐλὴν σάκκον ἔχοντι καὶ σποδόν. καὶ ἐν πάσῃ χώρᾳ, οὗ ἐ- 3
ξετίθετο τὰ γράμματα, κραυγὴ καὶ κοπετὸς καὶ πένθος μέγα
4 τοῖς Ἰουδαίοις, σάκκον καὶ σποδὸν ἔστρωσαν ἑαυτοῖς. καὶ εἰ-
σῆλθον αἱ ἄβραι καὶ οἱ εὐνοῦχοι τῆς βασιλίσσης καὶ ἀνήγγει- 4
λαν αὐτῇ, καὶ ἐταράχθη ἀκούσασα τὸ γεγονὸς καὶ ἀπέστειλε
στολίσαι τὸν Μαρδοχαῖον καὶ ἀφελέσθαι αὐτοῦ τὸν σάκκον· ὁ
5 δὲ οὐκ ἐπείσθη. ἡ δὲ Ἐσθὴρ προσεκαλέσατο Ἀχραθαῖον τὸν 5
εὐνοῦχον αὐτῆς, ὃς παρειστήκει αὐτῇ, καὶ ἀπέστειλε μαθεῖν
6 αὕτη παρὰ τοῦ Μαρδοχαίου τὸ ἀκριβές. ὁ δὲ Μαρδοχαῖος ὑπέ- 7
δειξεν αὐτῷ τὸ γεγονὸς καὶ τὴν ἐπαγγελίαν, ἣν ἐπηγγείλατο
Ἀμὰν τῷ βασιλεῖ εἰς τὴν γάζαν ταλάντων μυρίων, ἵνα ἀπολέσῃ
7 τοὺς Ἰουδαίους· καὶ τὸ ἀντίγραφον τὸ ἐν Σούσοις ἐκτεθὲν ὑ- 8
πὲρ τοῦ ἀπολέσθαι αὐτοὺς ἔδωκεν αὐτῷ δεῖξαι τῇ Ἐσθήρ. καὶ
εἶπεν αὐτῷ, ἐντείλασθαι αὐτῇ εἰσελθούσῃ παραιτήσασθαι τὸν
βασιλέα καὶ ἀξιῶσαι αὐτὸν περὶ τοῦ λαοῦ μνησθεῖσα ἡμερῶν
8 ταπεινώσεώς σου, ὡς ἐτράφης ἐν χειρί μου, διότι Ἀμὰν ὁ δευ-
τερεύων τῷ βασιλεῖ ἐλάλησε καθ' ἡμῶν εἰς θάνατον· ἐπικάλε-
σαι τὸν Κύριον καὶ λάλησον τῷ βασιλεῖ περὶ ἡμῶν καὶ ῥῦσαι 9
9 ἡμᾶς ἐκ θανάτου. εἰσελθὼν δὲ ὁ Ἀχραθαῖος ἐλάλησεν αὐτῇ πά-
10 ντας τοὺς λόγους τούτους. εἶπε δὲ Ἐσθὴρ πρὸς Ἀχραθαῖον· 10
11 πορεύθητι πρὸς Μαρδοχαῖον καὶ εἰπόν. ὅτι τὰ ἔθνη πάντα τῆς 11
βασιλείας γινώσκει, ὅτι πᾶς ἄνθρωπος ἢ γυνή, ὃς εἰσελεύσε-
ται πρὸς τὸν βασιλέα εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν ἄκλητος,
οὐκ ἔστιν αὐτῷ σωτηρία· πλὴν ᾧ ἐκτείνῃ ὁ βασιλεὺς τὴν χρυ-
σῆν ῥάβδον, οὗτος σωθήσεται· κἀγὼ οὐ κέκλημαι εἰσελθεῖν
12 πρὸς τὸν βασιλέα, εἰσὶν αὗται ἡμέραι τριάκοντα. καὶ ἀπήγγει- 12
13 λεν Ἀχραθαῖος Μαρδοχαίῳ πάντας τοὺς λόγους Ἐσθήρ. καὶ 13
εἶπε Μαρδοχαῖος πρὸς Ἀχραθαῖον· Πορεύθητι καὶ εἰπὸν αὐτῇ·
Ἐσθήρ, μὴ εἴπῃς σεαυτῇ, ὅτι σωθήσῃ μόνη ἐν τῇ βασιλείᾳ πα-
14 ρὰ πάντας τοὺς Ἰουδαίους· ὡς ὅτι ἐὰν παρακούσῃς ἐν τούτῳ 14
τῷ καιρῷ, ἄλλοθεν βοήθεια καὶ σκέπη ἔσται τοῖς Ἰουδαίοις,
σὺ δὲ καὶ ὁ οἶκος τοῦ πατρός σου ἀπολεῖσθε· καὶ τίς οἶδεν εἰ
15 εἰς τὸν καιρὸν τοῦτον ἐβασίλευσας; καὶ ἐξαπέστειλεν Ἐσθὴρ 15
16 τὸν ἥκοντα πρὸς αὐτήν, πρὸς Μαρδοχαῖον λέγουσα· Βαδίσας 16
ἐκκλησίασον τοὺς Ἰουδαίους τοὺς ἐν Σούσοις καὶ νηστεύσατε
ἐπ' ἐμοὶ καὶ μὴ φάγητε μηδὲ πίητε ἐπὶ ἡμέρας τρεῖς νύκτα καὶ

ἡμέραν, κἀγὼ δὲ καὶ αἱ ἅβραι μου ἀσιτήσομεν, καὶ τότε εἰσε-
λεύσομαι πρὸς τὸν βασιλέα παρὰ τὸν νόμον, ἐὰν καὶ ἀπολέ-
17 σθαι με δέῃ. καὶ βαδίσας Μαρδοχαῖος ἐποίησεν ὅσα ἐνετείλα- 17
9 1 το αὐτῷ Ἐσθήρ. Καὶ ἐδεήθη Κυρίου μνημονεύων πάντα τὰ ἔρ- 17α
2 γα Κυρίου καὶ εἶπε· Κύριε Κύριε, βασιλεῦ πάντων κρατῶν, ὅτι 17β
ἐν ἐξουσίᾳ σου τὸ πᾶν ἐστι, καὶ οὐκ ἔστιν ὁ ἀντιδοξῶν σοι ἐν
3 τῷ θέλειν σε σῶσαι τὸν Ἰσραήλ· ὅτι σὺ ἐποίησας τὸν οὐρανὸν 17γ
καὶ τὴν γῆν καὶ πᾶν θαυμαζόμενον ἐν τῇ ὑπ' οὐρανὸν καὶ Κύ-
4 ριος εἶ πάντων, καὶ οὐκ ἔστιν ὃς ἀντιτάξεταί σοι τῷ Κυρίῳ. 17δ
σὺ πάντα γινώσκεις· σὺ οἶδας, Κύριε, ὅτι οὐκ ἐν ὕβρει οὐδὲ ἐν
ὑπερηφανίᾳ οὐδὲ ἐν φιλοδοξίᾳ ἐποίησα τοῦτο, τὸ μὴ προσκυ-
νεῖν τὸν ὑπερήφανον Ἀμάν, ὅτι ἠὐδόκουν φιλεῖν πέλματα πο-
5 δῶν αὐτοῦ πρὸς σωτηρίαν Ἰσραήλ· ἀλλ' ἐποίησα τοῦτο, ἵνα 17ε
μὴ θῶ δόξαν ἀνθρώπου ὑπεράνω δόξης θεοῦ, καὶ οὐ προσκυ-
νήσω οὐδένα, πλὴν σοῦ τοῦ Κυρίου μου καὶ οὐ ποιήσω αὐτὰ
6 ἐν ὑπερηφανίᾳ. καὶ νῦν, Κύριε ὁ θεός, ὁ βασιλεύς, ὁ θεὸς Ἀ- 17ζ
βραάμ, φεῖσαι τοῦ λαοῦ σου, ὅτι ἐπιβλέπουσιν ἡμῖν εἰς κατα-
φθορὰν καὶ ἐπεθύμησαν ἀπολέσαι τὴν ἐξ ἀρχῆς κληρονομίαν
7 σου· μὴ ὑπερίδῃς τὴν μερίδα σου, ἣν σεαυτῷ ἐλυτρώσω ἐκ 17η
8 γῆς Αἰγύπτου· ἐπάκουσον τῆς δεήσεώς μου καὶ ἱλάσθητι τῷ 17θ
κλήρῳ σου καὶ στρέψον τὸ πένθος ἡμῶν εἰς εὐωχίαν, ἵνα ζῶ-
ντες ὑμνῶμέν σου τὸ ὄνομα, Κύριε, καὶ μὴ ἀφανίσῃς στόμα αἰ-
9 νούντων σε, Κύριε. καὶ πᾶς Ἰσραὴλ ἐκέκραξεν ἐξ ἰσχύος αὐ- 17ι
τῶν, ὅτι θάνατος αὐτῶν ἐν ὀφθαλμοῖς αὐτῶν.
10 1 Καὶ Ἐσθὴρ ἡ βασίλισσα κατέφυγεν ἐπὶ τὸν Κύριον ἐν ἀ- 17κ
γῶνι θανάτου κατειλημμένη, καὶ ἀφελομένη τὰ ἱμάτια τῆς δό-
ξης αὐτῆς ἐνεδύσατο ἱμάτια στενοχωρίας καὶ πένθους, καὶ ἀ-
ντὶ τῶν ὑπερηφάνων ἡδυσμάτων, σποδοῦ καὶ κοπριῶν ἐνέ-
πλησε τὴν κεφαλὴν αὐτῆς καὶ τὸ σῶμα αὐτῆς ἐταπείνωσε σφό-
δρα καὶ πάντα τόπον κόσμου ἀγαλλιάματος αὐτῆς ἔπλησε
στρεπτῶν τριχῶν αὐτῆς καὶ ἐδεῖτο Κυρίου θεοῦ Ἰσραήλ, καὶ
2 εἶπε· Κύριέ μου, βασιλεὺς ἡμῶν σὺ εἶ μόνος· βοήθησόν μοι τῇ 17λ
μόνῃ καὶ μὴ ἐχούσῃ βοηθὸν εἰ μὴ σέ, ὅτι κίνδυνός μου ἐν χειρί
3 μου. ἐγὼ ἤκουον ἐκ γενετῆς μου ἐν φυλῇ πατριᾶς μου ὅτι σύ, 17μ
Κύριε, ἔλαβες τὸν Ἰσραὴλ ἐκ πάντων τῶν ἐθνῶν καὶ τοὺς πα-
τέρας ἡμῶν ἐκ πάντων τῶν προγόνων αὐτῶν εἰς κληρονομίαν
4 αἰώνιον καὶ ἐποίησας αὐτοῖς ὅσα ἐλάλησας. καὶ νῦν ἡμάρτο- 17ν
μεν ἐνώπιόν σου, καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας τῶν ἐχθρῶν
ἡμῶν, ἀνθ' ὧν ἐδοξάσαμεν τοὺς θεοὺς αὐτῶν· δίκαιος εἶ, Κύ-
5 ριε. καὶ νῦν οὐχ ἱκανώθησαν ἐν πικρασμῷ δουλείας ἡμῶν, 17ξ
ἀλλ' ἔθηκαν τὰς χεῖρας αὐτῶν ἐπὶ τὰς χεῖρας τῶν εἰδώλων αὐ-
τῶν ἐξᾶραι ὁρισμὸν στόματός σου καὶ ἀφανίσαι κληρονομίαν
σου καὶ ἐμφράξαι στόμα αἰνούντων σοι καὶ σβέσαι δόξαν οἴ-
6 κου σου καὶ θυσιαστηρίου σου, καὶ ἀνοῖξαι στόμα ἐθνῶν εἰς ἀ- 17ο
ρετὰς ματαίων καὶ θαυμασθῆναι βασιλέα σάρκινον εἰς αἰῶνα.

7 μὴ παραδῷς, Κύριε, τὸ σκῆπτρόν σου τοῖς μὴ οὖσι, καὶ μὴ κα- 17π
ταγελασάτωσαν ἐν τῇ πτώσει ἡμῶν, ἀλλὰ στρέψον τὴν βουλὴν
αὐτῶν ἐπ' αὐτούς, τὸν δὲ ἀρξάμενον ἐφ' ἡμᾶς παραδειγμάτι-
8 σον. μνήσθητι, Κύριε, γνώσθητι ἐν καιρῷ θλίψεως ἡμῶν καὶ ἐ- 17ρ
μὲ θάρσυνον, βασιλεῦ τῶν θεῶν καὶ πάσης ἀρχῆς ἐπικρατῶν·
9 δὸς λόγον εὔρυθμον εἰς τὸ στόμα μου ἐνώπιον τοῦ λέοντος 17σ
καὶ μετάθες τὴν καρδίαν αὐτοῦ εἰς μῖσος τοῦ πολεμοῦντος ἡ-
10 μᾶς εἰς συντέλειαν αὐτοῦ καὶ τῶν ὁμονοούντων αὐτῷ· ἡμᾶς δὲ 17τ
ῥῦσαι ἐν χειρί σου καὶ βοήθησόν μοι τῇ μόνῃ καὶ μὴ ἐχούσῃ εἰ
11 μὴ σέ, Κύριε· πάντων γνῶσιν ἔχεις καὶ οἶδας ὅτι ἐμίσησα δό- 17υ
ξαν ἀνόμων καὶ βδελύσσομαι κοίτην ἀπεριτμήτων καὶ παντὸς
12 ἀλλοτρίου. σὺ οἶδας τὴν ἀνάγκην μου, ὅτι βδελύσσομαι τὸ ση- 17φ
μεῖον τῆς ὑπερηφανίας μου, ὅ ἐστιν ἐπὶ τῆς κεφαλῆς μου ἐν ἡ-
μέραις ὀπτασίας μου· βδελύσσομαι αὐτὸ ὡς ῥάκος καταμη-
13 νίων καὶ οὐ φορῶ αὐτὸ ἐν ἡμέραις ἡσυχίας μου. καὶ οὐκ ἔφα- 17χ
γεν ἡ δούλη σου τράπεζαν Ἀμὰν καὶ οὐκ ἐδόξασα συμπόσιον
14 βασιλέως, οὐδὲ ἔπιον οἶνον σπονδῶν· καὶ οὐκ ηὐφράνθη ἡ 17ψ
δούλη σου ἀφ' ἡμέρας μεταβολῆς μου μέχρι νῦν, πλὴν ἐπὶ σοί,
15 Κύριε, ὁ θεὸς Ἀβραάμ. ὁ θεὸς ὁ ἰσχύων ἐπὶ πάντας, εἰσάκου- 17ω
σον φωνὴν ἀπηλπισμένων καὶ ῥῦσαι ἡμᾶς ἐκ χειρὸς τῶν πο-
νηρευομένων, καὶ ῥῦσαι με ἐκ τοῦ φόβου μου.

11 1 Καὶ ἐγενήθη ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, ὡς ἐπαύσατο προσευ- 1 **5**
χομένη, ἐξεδύσατο τὰ ἱμάτια τῆς θεραπείας καὶ περιεβάλετο
12 1 τὴν δόξαν αὐτῆς. καὶ γενηθεῖσα ἐπιφανής, ἐπικαλεσαμένη τῶν 1α
πάντων ἐπόπτην θεὸν καὶ σωτῆρα, παρέλαβε τὰς δύο ἅβρας·
καὶ τῇ μὲν μιᾷ ἐπηρείδετο ὡς τρυφερευομένη, ἡ δὲ ἑτέρα ἐπη-
2 κολούθει κουφίζουσα τὴν ἔνδυσιν αὐτῆς, καὶ αὐτὴ ἐρυθριῶσα 1β
ἀκμῇ κάλλους αὐτῆς, καὶ τὸ πρόσωπον αὐτῆς ἱλαρὸν ὡς προ-
3 σφιλές, ἡ δὲ καρδία αὐτῆς ἀπεστενωμένη ἀπὸ τοῦ φόβου. καὶ 1γ
εἰσελθοῦσα πάσας τὰς θύρας κατέστη ἐνώπιον τοῦ βασιλέως,
καὶ αὐτὸς ἐκάθητο ἐπὶ τοῦ θρόνου τῆς βασιλείας αὐτοῦ καὶ πᾶ-
σαν στολὴν τῆς ἐπιφανείας αὐτοῦ ἐνδεδύκει, ὅλος διὰ χρυσοῦ
4 καὶ λίθων πολυτελῶν, καὶ ἦν φοβερὸς σφόδρα. καὶ ἄρας τὸ 1δ
πρόσωπον αὐτοῦ πεπυρωμένον δόξῃ ἐν ἀκμῇ θυμοῦ ἔβλεψε,
καὶ ἔπεσεν ἡ βασίλισσα καὶ μετέβαλε τὸ χρῶμα αὐτῆς ἐν ἐκλύ-
σει καὶ κατεπέκυψεν ἐπὶ τὴν κεφαλὴν τῆς ἅβρας τῆς προπο-
5 ρευομένης. καὶ μετέβαλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ βασιλέως εἰς 1ε
πραΰτητα, καὶ ἀγωνιάσας ἀνεπήδησεν ἀπὸ τοῦ θρόνου αὐτοῦ
καὶ ἀνέλαβεν αὐτὴν ἐπὶ τὰς ἀγκάλας αὐτοῦ, μέχρι οὗ κατέστη,
6 καὶ παρεκάλει αὐτὴν λόγοις εἰρηνικοῖς καὶ εἶπεν αὐτῇ· Τί ἐστιν 1ζ
Ἐσθήρ; ἐγὼ ὁ ἀδελφός σου, θάρσει, οὐ μὴ ἀποθάνῃς, ὅτι κοι-
13 1 νὸν τὸ πρόσταγμα ἡμῶν ἐστι· πρόσελθε. καὶ ἄρας τὴν χρυσῆν 2
ῥάβδον ἐπέθηκεν ἐπὶ τὸν τράχηλον αὐτῆς καὶ ἠσπάσατο αὐτὴν
14 1 καὶ εἶπε· λάλησόν μοι. καὶ εἶπεν αὐτῷ· Εἶδόν σε, κύριε, ὡς ἄγ- 2α
γελον θεοῦ, καὶ ἐταράχθη ἡ καρδία μου ἀπὸ φόβου τῆς δόξης

σου, ὅτι θαυμαστὸς εἶ, κύριε, καὶ τὸ πρόσωπόν σου χαρίτων
2 μεστόν. ἐν δὲ τῷ διαλέγεσθαι αὐτῶν, ἔπεσεν ἀπὸ ἐκλύσεως 2β
αὐτῆς καὶ ὁ βασιλεὺς ἐταράσσετο, καὶ πᾶσα ἡ θεραπεία αὐτοῦ
15 1 παρεκάλει αὐτήν. καὶ εἶπεν ὁ βασιλεύς· Τί θέλεις, Ἐσθήρ; καὶ 3
τί σού ἐστι τὸ ἀξίωμα; ἕως τοῦ ἡμίσους τῆς βασιλείας μου,
2 καὶ ἔσται σοι. εἶπε δὲ Ἐσθήρ· Ἡμέρα μου ἐπίσημος σήμερόν ἐ- 4
στι· εἰ οὖν δοκεῖ τῷ βασιλεῖ, ἐλθάτω καὶ αὐτὸς καὶ Ἀμὰν εἰς
3 τὴν δοχήν, ἣν ποιήσω σήμερον. καὶ εἶπεν ὁ βασιλεύς· Κατα- 5
σπεύσατε Ἀμάν, ὅπως ποιήσωμεν τὸν λόγον Ἐσθήρ. καὶ πα-
4 ραγίνονται ἀμφότεροι εἰς τὴν δοχήν, ἣν εἶπεν Ἐσθήρ. ἐν δὲ τῷ 6
πότῳ εἶπεν ὁ βασιλεὺς πρὸς Ἐσθήρ· Τί ἐστι, βασίλισσα Ἐ-
σθήρ; καὶ ἔσται ὅσα ἀξιοῖς, καὶ εἶπε· Τὸ αἴτημά μου καὶ τὸ ἀ- 7
5 ξίωμα· εἰ εὗρον χάριν ἐνώπιον τοῦ βασιλέως, ἐλθάτω ὁ βασι- 8
λεὺς καὶ Ἀμὰν ἔτι τὴν αὔριον εἰς τὴν δοχήν, ἣν ποιήσω αὐ-
τοῖς, καὶ αὔριον ποιήσω τὰ αὐτά.
16 1 Καὶ ἐξῆλθεν ὁ Ἀμὰν ἀπὸ τοῦ βασιλέως ὑπερχαρὴς εὐ- 9
φραινόμενος· ἐν δὲ τῷ ἰδεῖν Ἀμὰν Μαρδοχαῖον τὸν Ἰουδαῖον
2 ἐν τῇ αὐλῇ ἐθυμώθη σφόδρα καὶ εἰσελθὼν εἰς τὰ ἴδια ἐκάλεσε 10
3 τοὺς φίλους καὶ Ζωσάραν τὴν γυναῖκα αὐτοῦ, καὶ ὑπέδειξεν 11
αὐτοῖς τὸν πλοῦτον αὐτοῦ καὶ τὴν δόξαν, ἣν ὁ βασιλεὺς αὐτῷ
περιέθηκε, καὶ ὡς ἐποίησεν αὐτὸν πρωτεύειν καὶ ἡγεῖσθαι τῆς
4 βασιλείας. καὶ εἶπεν Ἀμάν· Οὐ κέκληκεν ἡ βασίλισσα μετὰ τοῦ 12
βασιλέως οὐδένα εἰς τὴν δοχὴν ἀλλ' ἢ ἐμέ, καὶ εἰς τὴν αὔριον
5 κέκλημαι· καὶ ταῦτά μοι οὐκ ἀρέσκει, ὅταν ἴδω Μαρδοχαῖον 13
6 τὸν Ἰουδαῖον ἐν τῇ αὐλῇ. καὶ εἶπε πρὸς αὐτὸν Ζωσάρα ἡ γυνὴ 14
αὐτοῦ καὶ οἱ φίλοι· Κοπήτω σοι ξύλον πηχῶν πεντήκοντα, ὄρ-
θρου δὲ εἰπὸν τῷ βασιλεῖ καὶ κρεμασθήτω Μαρδοχαῖος ἐπὶ
τοῦ ξύλου· σὺ δὲ εἴσελθε εἰς τὴν δοχὴν σὺν τῷ βασιλεῖ καὶ εὐ-
φραίνου. καὶ ἤρεσε τὸ ῥῆμα τῷ Ἀμάν, καὶ ἡτοιμάσθη τὸ ξύ-
λον.
17 1 Ὁ δὲ Κύριος ἀπέστησε τὸν ὕπνον ἀπὸ τοῦ βασιλέως τὴν 1 **6**
νύκτα ἐκείνην. καὶ εἶπε τῷ διακόνῳ αὐτοῦ εἰσφέρειν γράμματα
2 μνημόσυνα τῶν ἡμερῶν ἀναγινώσκειν αὐτῷ. εὗρε δὲ τὰ γράμ- 2
ματα τὰ γραφέντα περὶ Μαρδοχαίου, ὡς ἀπήγγειλε τῷ βασιλεῖ
περὶ τῶν δύο εὐνούχων τοῦ βασιλέως ἐν τῷ φυλάσσειν αὐ-
3 τοὺς καὶ ζητῆσαι ἐπιβαλεῖν τὰς χεῖρας Ἀρταξέρξῃ. εἶπε δὲ ὁ 3
βασιλεύς· Τίνα δόξαν ἢ χάριν ἐποιήσαμεν τῷ Μαρδοχαίῳ; καὶ
4 εἶπαν οἱ διάκονοι τοῦ βασιλέως· οὐκ ἐποίησας αὐτῷ οὐδέν. ἐν 4
δὲ τῷ πυνθάνεσθαι τὸν βασιλέα περὶ τῆς εὐνοίας Μαρδοχαίου,
ἰδοὺ Ἀμὰν ἐν τῇ αὐλῇ. εἶπε δὲ ὁ βασιλεύς· Τίς ἐν τῇ αὐλῇ; ὁ δὲ
Ἀμὰν εἰσῆλθεν εἰπεῖν τῷ βασιλεῖ κρεμάσαι τὸν Μαρδοχαῖον ἐ-
5 πὶ τῷ ξύλῳ, ᾧ ἡτοίμασε. καὶ εἶπαν οἱ διάκονοι τοῦ βασιλέως· 5
Ἰδοὺ Ἀμὰν ἕστηκεν ἐν τῇ αὐλῇ. καὶ εἶπεν ὁ βασιλεύς· Καλέσα-
6 τε αὐτόν. εἶπε δὲ ὁ βασιλεὺς τῷ Ἀμάν· Τί ποιήσω τῷ ἀνθρώ- 6
πῳ, ὃν ἐγὼ θέλω δοξάσαι; εἶπε δὲ ἐν ἑαυτῷ Ἀμάν· Τίνα θέλει

7 ὁ βασιλεὺς δοξάσαι εἰ μὴ ἐμέ; εἶπε δὲ πρὸς τὸν βασιλέα· Ἄν- 7
8 θρωπον, ὃν ὁ βασιλεὺς θέλει δοξάσαι, ἐνεγκάτωσαν οἱ παῖδες 8
τοῦ βασιλέως στολὴν βυσσίνην, ἣν ὁ βασιλεὺς περιβάλλεται,
9 καὶ ἵππον ἐφ' ὃν ὁ βασιλεὺς ἐπιβαίνει, καὶ δότω ἑνὶ τῶν φίλων 9
τοῦ βασιλέως τῶν ἐνδόξων καὶ στολισάτω τὸν ἄνθρωπον, ὃν
ὁ βασιλεὺς ἀγαπᾷ, καὶ ἀναβιβασάτω αὐτὸν ἐπὶ τὸν ἵππον καὶ
κηρυσσέτω διὰ τῆς πλατείας τῆς πόλεως λέγων· Οὕτως ἔσται
10 παντὶ ἀνθρώπῳ, ὃν ὁ βασιλεὺς δοξάζει. εἶπε δὲ ὁ βασιλεὺς τῷ 10
Ἀμάν· Καλῶς ἐλάλησας. οὕτω ποίησον τῷ Μαρδοχαίῳ τῷ
Ἰουδαίῳ τῷ θεραπεύοντι ἐν τῇ αὐλῇ, καὶ μὴ παραπεσάτω σου
11 λόγος, ὧν ἐλάλησας. ἔλαβε δὲ Ἀμὰν τὴν στολὴν καὶ τὸν ἵπ- 11
πον, καὶ ἐστόλισε τὸν Μαρδοχαῖον, καὶ ἀνεβίβασεν αὐτὸν ἐπὶ
τὸν ἵππον καὶ διῆλθε διὰ τῆς πλατείας τῆς πόλεως καὶ ἐκήρυσ-
σε λέγων· Οὕτως ἔσται παντὶ ἀνθρώπῳ, ὃν ὁ βασιλεὺς θέλει
12 δοξάσαι. ἐπέστρεψε δὲ ὁ Μαρδοχαῖος εἰς τὴν αὐλήν. Ἀμὰν δὲ 12
13 ὑπέστρεψεν εἰς τὰ ἴδια λυπούμενος κατὰ κεφαλῆς. καὶ διηγή- 13
σατο Ἀμὰν τὰ συμβεβηκότα αὐτῷ Ζωσάρᾳ τῇ γυναικὶ αὐτοῦ
καὶ τοῖς φίλοις, καὶ εἶπαν πρὸς αὐτὸν οἱ φίλοι καὶ ἡ γυνή· Εἰ ἐκ
γένους Ἰουδαίων Μαρδοχαῖος, ἦρξαι ταπεινοῦσθαι ἐνώπιον
αὐτοῦ. πεσὼν πεσῇ καὶ οὐ μὴ δύνῃ αὐτὸν ἀμύνασθαι, ὅτι θεὸς
14 ζῶν μετ' αὐτοῦ. ἔτι αὐτῶν λαλούντων, παραγίνονται οἱ εὐνοῦ- 14
χοι ἐπισπεύδοντες τὸν Ἀμὰν ἐπὶ τὸν πότον, ὃν ἡτοίμασεν Ἐ-
18 σθήρ.
1 Εἰσῆλθε δὲ ὁ βασιλεὺς καὶ Ἀμὰν συμπιεῖν τῇ βασιλίσσῃ. 1 **7**
2 εἶπε δὲ ὁ βασιλεὺς Ἐσθὴρ τῇ δευτέρᾳ ἡμέρᾳ ἐν τῷ πότῳ· Τί ἐ- 2
στιν, Ἐσθὴρ βασίλισσα, καὶ τί τὸ αἴτημά σου καὶ τί τὸ ἀξίωμά
3 σου; καὶ ἔστω σοι ἕως ἡμίσους τῆς βασιλείας μου. καὶ ἀποκρι- 3
θεῖσα εἶπεν· Εἰ εὗρον χάριν ἐνώπιον τοῦ βασιλέως, δοθήτω ἡ
4 ψυχὴ τῷ αἰτήματί μου καὶ ὁ λαός μου τῷ ἀξιώματί μου· ἐπρά- 4
θημεν γὰρ ἐγώ τε καὶ ὁ λαός μου εἰς ἀπώλειαν καὶ διαρπαγὴν
καὶ δουλείαν, ἡμεῖς καὶ τὰ τέκνα ἡμῶν εἰς παῖδας καὶ παιδί-
σκας, καὶ παρήκουσα· οὐ γὰρ ἄξιος ὁ διάβολος τῆς αὐλῆς τοῦ
5 βασιλέως. εἶπε δὲ ὁ βασιλεύς· Τίς οὗτος, ὅστις ἐτόλμησε ποιῆ- 5
6 σαι τὸ πρᾶγμα τοῦτο; εἶπε δὲ Ἐσθήρ· Ἄνθρωπος ἐχθρὸς Ἀ- 6
μάν, ὁ πονηρὸς οὗτος. Ἀμὰν δὲ ἐταράχθη ἀπὸ τοῦ βασιλέως
7 καὶ τῆς βασιλίσσης. ὁ δὲ βασιλεὺς ἐξανέστη ἀπὸ τοῦ συμπο- 7
σίου εἰς τὸν κῆπον· ὁ δὲ Ἀμὰν παρῃτεῖτο τὴν βασίλισσαν, ἑώ-
8 ρα γὰρ ἑαυτὸν ἐν κακοῖς ὄντα. ἐπέστρεψε δὲ ὁ βασιλεὺς ἐκ 8
τοῦ κήπου, Ἀμὰν δὲ ἐπιπεπτώκει ἐπὶ τὴν κλίνην ἀξιῶν τὴν βα-
σίλισσαν. εἶπε δὲ ὁ βασιλεύς· Ὥστε καὶ τὴν γυναῖκα βιάζῃ ἐν
9 τῇ οἰκίᾳ μου; Ἀμὰν δὲ ἀκούσας διετράπη τῷ προσώπῳ. εἶπε 9
δὲ Βουγαθὰν εἷς τῶν εὐνούχων πρὸς τὸν βασιλέα· Ἰδοὺ καὶ
ξύλον ἡτοίμασεν Ἀμὰν Μαρδοχαίῳ τῷ λαλήσαντι περὶ τοῦ βα-
σιλέως, καὶ ὤρθωται ἐν τοῖς Ἀμὰν ξύλον πηχῶν πεντήκοντα.
10 εἶπε δὲ ὁ βασιλεύς· Σταυρωθήτω ἐπ' αὐτοῦ. καὶ ἐκρεμάσθη Ἀ- 10

μὰν ἐπὶ τοῦ ξύλου, ὃ ἡτοιμάσθη Μαρδοχαίῳ. καὶ τότε ὁ βασι-
λεὺς ἐκόπασε τοῦ θυμοῦ.

19 1 Καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ ὁ βασιλεὺς Ἀρταξέρξης ἐδωρήσατο 1 **8**
Ἐσθὴρ ὅσα ὑπῆρχεν Ἀμὰν τῷ διαβόλῳ, καὶ Μαρδοχαῖος προ-
σεκλήθη ὑπὸ τοῦ βασιλέως· ὑπέδειξε γὰρ Ἐσθήρ, ὅτι ἐνοι-
2 κείωται αὐτῇ. ἔλαβε δὲ ὁ βασιλεὺς τὸν δακτύλιον, ὃν ἀφείλετο 2
ἀπὸ Ἀμάν, καὶ ἔδωκεν αὐτὸν Μαρδοχαίῳ, καὶ κατέστησεν Ἐ-
3 σθὴρ Μαρδοχαῖον ἐπὶ πάντων τῶν Ἀμάν. καὶ προσθεῖσα ἐλά- 3
λησε πρὸς τὸν βασιλέα καὶ προσέπεσε πρὸς τοὺς πόδας αὐ-
τοῦ καὶ ἠξίου ἀφελεῖν τὴν Ἀμὰν κακίαν καὶ ὅσα ἐποίησε τοῖς
4 Ἰουδαίοις. ἐξέτεινε δὲ ὁ βασιλεὺς Ἐσθὴρ τὴν ῥάβδον τὴν χρυ- 4
5 σῆν, ἐξηγέρθη δὲ Ἐσθὴρ παρεστηκέναι τῷ βασιλεῖ, καὶ εἶπεν 5
Ἐσθήρ· Εἰ δοκεῖ σοι καὶ εὗρον χάριν, πεμφθήτω ἀποστραφῆναι
τὰ γράμματα τὰ ἀπεσταλμένα ὑπὸ Ἀμάν, τὰ γραφέντα ἀπολέ-
6 σθαι τοὺς Ἰουδαίους, οἵ εἰσιν ἐν τῇ βασιλείᾳ σου· πῶς γὰρ δυ- 6
νήσομαι ἰδεῖν τὴν κάκωσιν τοῦ λαοῦ μου καὶ πῶς δυνήσομαι
7 σωθῆναι ἐν τῇ ἀπωλείᾳ τῆς πατρίδος μου; καὶ εἶπεν ὁ βασι- 7
λεὺς πρὸς Ἐσθήρ· Εἰ πάντα τὰ ὑπάρχοντα Ἀμὰν ἔδωκα καὶ ἐ-
χαρισάμην σοι καὶ αὐτὸν ἐκρέμασα ἐπὶ ξύλου, ὅτι τὰς χεῖρας
8 ἐπήνεγκε τοῖς Ἰουδαίοις, τί ἔτι ἐπιζητεῖς; γράψατε καὶ ὑμεῖς ἐκ 8
τοῦ ὀνόματός μου, ὡς δοκεῖ ὑμῖν, καὶ σφραγίσατε τῷ δακτυ-
λίῳ μου· ὅσα γὰρ γράφεται τοῦ βασιλέως ἐπιτάξαντος καὶ
9 σφραγισθῇ τῷ δακτυλίῳ μου, οὐκ ἔστιν αὐτοῖς ἀντειπεῖν. ἐ- 9
κλήθησαν δὲ οἱ γραμματεῖς ἐν τῷ πρώπῳ μηνί, ὅς ἐστι Νισάν,
τρίτη καὶ εἰκάδι τοῦ αὐτοῦ ἔτους, καὶ ἐγράφη τοῖς Ἰουδαίοις ὅ-
σα ἐνετείλατο τοῖς οἰκονόμοις καὶ τοῖς ἄρχουσι τῶν σατρα-
πιῶν, ἀπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας, ἑκατὸν εἴκοσιν ἑ-
10 πτὰ σατραπίαις κατὰ χώραν καὶ χώραν, κατὰ τὴν ἑαυτῶν λέ- 10
ξιν. ἐγράφη δὲ διὰ τοῦ βασιλέως καὶ ἐσφραγίσθη τῷ δακτυλίῳ
11 αὐτοῦ, καὶ ἐξαπέστειλαν τὰ γράμματα διὰ βιβλιοφόρων, ὡς ἐ- 11
πέταξεν αὐτοῖς χρῆσθαι τοῖς νόμοις αὐτῶν ἐν πάσῃ πόλει βοη-
θῆσαί τε αὐτοῖς καὶ χρῆσθαι τοῖς ἀντιδίκοις αὐτῶν καὶ τοῖς ἀ-
12 ντικειμένοις αὐτῶν, ὡς βούλονται, ἐν ἡμέρᾳ μιᾷ ἐν πάσῃ τῇ 12
βασιλείᾳ Ἀρταξέρξου, τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μη-
νός, ὅς ἐστιν Ἀδάρ.

20 1 Ὧν ἐστιν ἀντίγραφον τῆς ἐπιστολῆς τὰ ὑπογεγραμμένα· 12α
2 «Βασιλεὺς μέγας Ἀρταξέρξης τοῖς ἀπὸ τῆς Ἰνδικῆς ἕως 12β
τῆς Αἰθιοπίας ἑκατὸν εἴκοσιν ἑπτὰ σατραπίαις χωρῶν ἄρχουσι
καὶ τοῖς τὰ ἡμέτερα φρονοῦσι, χαίρειν.
3 Πολλοὶ τῇ πλείστῃ τῶν εὐεργετούντων χρηστότητι πυκνό- 12γ
τερον τιμώμενοι μεῖζον ἐφρόνησαν καὶ οὐ μόνον τοὺς ὑποτε-
ταγμένους ἡμῖν ζητοῦσι κακοποιεῖν, τόν τε κόρον οὐ δυνάμε-
νοι φέρειν καὶ τοῖς ἑαυτῶν εὐεργέταις ἐπιχειροῦσι μηχανᾶ-
4 σθαι· καὶ τὴν εὐχαριστίαν οὐ μόνον ἐκ τῶν ἀνθρώπων ἀντα- 12δ
ναιροῦντες, ἀλλὰ καὶ τοῖς τῶν ἀπειραγάθων κόμποις ἐπαρθέ-

ντες, τοῦ τὰ πάντα κατοπτεύοντος ἀεὶ θεοῦ μισοπόνηρον ὑπο-
5 λαμβάνουσιν ἐκφεύξεσθαι δίκην. πολλάκις δὲ καὶ πολλοὺς τῶν 12ε
ἐπὶ ἐξουσίαις τεταγμένων τῶν πιστευθέντων χειρίζειν φίλων
τὰ πράγματα παραμυθία μετόχους αἱμάτων ἀθῴων καταστήσα-
6 σα, περιέβαλε συμφοραῖς ἀνηκέστοις, τῷ τῆς κακοηθείας ψευ- 12ζ
δεῖ παραλογισμῷ παραλογισαμένων τὴν τῶν ἐπικρατούντων
7 ἀκέραιον εὐγνωμοσύνην. σκοπεῖν δὲ ἔξεστιν, οὐ τοσοῦτον ἐκ 12η
τῶν παλαιοτέρων ὧν παρεδώκαμεν ἱστοριῶν, ὅσα ἐστὶ παρὰ
πόδας ὑμᾶς ἐκζητοῦντας ἀνοσίως συντετελεσμένα τῇ τῶν ἀ-
8 νάξια δυναστευόντων λοιμότητι, καὶ προσέχειν εἰς τὰ μετὰ 12θ
ταῦτα εἰς τὸ τὴν βασιλείαν ἀτάραχον τοῖς πᾶσιν ἀνθρώποις
9 μετ' εἰρήνης παρεξόμεθα, χρώμενοι ταῖς μεταβολαῖς, τὰ δὲ ὑ- 12ι
πὸ τὴν ὄψιν ἐρχόμενα διακρίνοντες ἀεὶ μετ' ἐπιεικεστέρας ἀ-
10 παντήσεως. ὡς γὰρ Ἀμὰν Ἀμαδάθου Μακεδών, ταῖς ἀλη- 12κ
θείαις ἀλλότριος τοῦ τῶν Περσῶν αἵματος καὶ πολὺ διεστη-
11 κὼς τῆς ἡμετέρας χρηστότητος, ἐπιξενωθεὶς ἡμῖν ἔτυχεν, ἧς 12λ
ἔχομεν πρὸς πᾶν ἔθνος φιλανθρωπίας ἐπὶ τοσοῦτον, ὥστε ἀ-
ναγορεύεσθαι ἡμῶν πατέρα καὶ προσκυνούμενον ὑπὸ πάντων
12 τὸ δεύτερον τοῦ βασιλικοῦ θρόνου πρόσωπον διατελεῖν· οὐκ 12μ
ἐνέγκας δὲ τὴν ὑπερηφανίαν ἐπετήδευσε τῆς ἀρχῆς στερῆσαι
13 ἡμᾶς καὶ τοῦ πνεύματος, τόν τε ἡμέτερον σωτῆρα καὶ διὰ πα- 12ν
ντὸς εὐεργέτην Μαρδοχαῖον καὶ τὴν ἄμεμπτον τῆς βασιλείας
κοινωνὸν Ἐσθὴρ σὺν παντὶ τῷ τούτων ἔθνει πολυπλόκοις με-
14 θόδων παραλογισμοῖς αἰτησάμενος εἰς ἀπώλειαν· διὰ γὰρ τῶν 12ξ
τρόπων τούτων ᾠήθη λαβὼν ἡμᾶς ἐρήμους, τὴν τῶν Περσῶν
15 ἐπικράτησιν εἰς τοὺς Μακεδόνας μετάξαι. ἡμεῖς δὲ τοὺς ὑπὸ 12ο
τοῦ τρισαλιτηρίου παραδεδομένους εἰς ἀφανισμὸν Ἰουδαίους,
εὑρίσκομεν οὐ κακούργους ὄντας, δικαιοτάτοις δὲ πολιτευο-
16 μένους νόμοις, ὄντας δὲ υἱοὺς τοῦ ὑψίστου μεγίστου ζῶντος 12π
θεοῦ τοῦ κατευθύνοντος ἡμῖν τε καὶ τοῖς προγόνοις ἡμῶν τὴν
17 βασιλείαν ἐν τῇ καλλίστῃ διαθέσει. καλῶς οὖν ποιήσετε μὴ 12ρ
προσχρησάμενοι τοῖς ὑπὸ Ἀμὰν Ἀμαδάθου ἀποσταλεῖσι γράμ-
μασι διὰ τὸ αὐτὸν τὸν ταῦτα ἐξεργασάμενον πρὸς ταῖς Σού-
σων πύλαις ἐσταυρῶσθαι σὺν τῇ πανοικίᾳ, τὴν καταξίαν τοῦ
τὰ πάντα ἐπικρατοῦντος θεοῦ διὰ τάχους ἀποδόντος αὐτῷ
18 κρίσιν. τὸ δὲ ἀντίγραφον τῆς ἐπιστολῆς ταύτης ἐκθέντες ἐν 12σ
παντὶ τόπῳ μετὰ παρρησίας, ἐᾶν τοὺς Ἰουδαίους χρῆσθαι τοῖς
ἑαυτῶν νομίμοις καὶ συνεπισχύειν αὐτοῖς, ὅπως τοὺς ἐν και-
ρῷ θλίψεως ἐπιθεμένους αὐτοῖς ἀμύνωνται τῇ τρισκαιδεκάτῃ
19 τοῦ δωδεκάτου μηνὸς Ἀδὰρ τῇ αὐτῇ ἡμέρᾳ· ταύτην γὰρ ὁ τὰ 12τ
πάντα δυναστεύων θεὸς ἀντ' ὀλεθρίας τοῦ ἐκλεκτοῦ γένους ἐ-
20 ποίησεν αὐτοῖς εὐφροσύνην. καὶ ὑμεῖς οὖν ἐν ταῖς ἐπωνύμοις 12υ
ὑμῶν ἑορταῖς ἐπίσημον ἡμέραν μετὰ πάσης εὐωχίας ἄγετε, ὅ-
πως καὶ νῦν καὶ μετὰ ταῦτα σωτηρία ᾖ ἡμῖν καὶ τοῖς εὐνοοῦσι
Πέρσαις, τοῖς δὲ ἡμῖν ἐπιβουλεύουσι μνημόσυνον τῆς ἀπω-

21 λείας. πᾶσα δὲ πόλις ἢ χώρα τὸ σύνολον, ἥτις κατὰ ταῦτα μὴ 12φ
ποιήσῃ, δόρατι καὶ πυρὶ καταναλωθήσεται μετ᾽ ὀργῆς· οὐ μό-
νον ἀνθρώποις ἄβατος, ἀλλὰ καὶ θηρίοις καὶ πετεινοῖς εἰς τὸν
21 1 ἅπαντα χρόνον ἔχθιστος κατασταθήσεται. τὰ δὲ ἀντίγραφα ἐ- 13
κτιθέσθωσαν ὀφθαλμοφανῶς ἐν πάσῃ τῇ βασιλείᾳ, ἑτοίμους τε
εἶναι πάντας τοὺς Ἰουδαίους εἰς ταύτην τὴν ἡμέραν, πολεμῆ-
σαι αὐτῶν τοὺς ὑπεναντίους».
22 1 Οἱ μὲν οὖν ἱππεῖς ἐξῆλθον σπεύδοντες τὰ ὑπὸ τοῦ βασιλέ- 14
ως λεγόμενα ἐπιτελεῖν· ἐξετέθη δὲ τὸ πρόσταγμα καὶ ἐν Σού-
2 σοις. ὁ δὲ Μαρδοχαῖος ἐξῆλθεν ἐστολισμένος τὴν βασιλικὴν 15
στολὴν καὶ στέφανον ἔχων χρυσοῦν καὶ διάδημα βύσσινον
πορφυροῦν· ἰδόντες δὲ οἱ ἐν Σούσοις ἐχάρησαν. τοῖς δὲ Ἰου- 16
3 δαίοις ἐγένετο φῶς καὶ εὐφροσύνη. κατὰ πόλιν καὶ χώραν, οὗ 17
ἂν ἐξετέθη τὸ πρόσταγμα, οὗ ἂν ἐξετέθη τὸ ἔκθεμα, χαρὰ καὶ
εὐφροσύνη τοῖς Ἰουδαίοις, κώθων καὶ εὐφροσύνη. καὶ πολλοὶ
τῶν ἐθνῶν περιετέμνοντο καὶ ἰουδάιζον διὰ τὸν φόβον τῶν
Ἰουδαίων.
23 1 Ἐν γὰρ τῷ δωδεκάτῳ μηνί, τῇ τρισκαιδεκάτῃ τοῦ μηνός, 1 **9**
ὅς ἐστιν Ἀδάρ, παρῆν τὰ γράμματα τὰ γραφέντα ὑπὸ τοῦ βασι-
2 λέως. ἐν αὐτῇ τῇ ἡμέρᾳ ἀπώλοντο οἱ ἀντικείμενοι τοῖς Ἰου- 2
3 δαίοις· οὐδεὶς γὰρ ἀντέστη, φοβούμενος αὐτούς. οἱ γὰρ ἄρχο- 3
ντες τῶν σατραπιῶν καὶ οἱ τύραννοι καὶ οἱ βασιλικοὶ γραμματεῖς ἐτίμων τοὺς Ἰουδαίους· ὁ γὰρ φόβος Μαρδοχαίου ἐνέκει-
4 το αὐτοῖς. προσέπεσε γὰρ τὸ πρόσταγμα τοῦ βασιλέως ὀνομα- 4
5 σθῆναι ἐν πάσῃ τῇ βασιλείᾳ καὶ ἐμεγαλύνετο. καὶ ἐπάταξαν οἱ 5
Ἰουδαῖοι πληγὴν ἐν πᾶσι τοῖς ἐχθροῖς αὐτῶν πληγὴν μαχαίρας
καὶ ἀναιρέσεως καὶ ἀπωλείας καὶ ἐποίησαν ἐν τοῖς μισοῦσιν
6 αὐτοὺς κατὰ τὸ θέλημα αὐτῶν. καὶ ἐν Σούσοις τῇ πόλει ἀπέ- 6
7 κτειναν οἱ Ἰουδαῖοι ἄνδρας πεντακοσίους, τόν τε Φαρσαννὲς 7
8 καὶ Δελφὼν καὶ Φασγὰ καὶ Φαραδαθὰ καὶ Βαρεὰ καὶ Σαρβακὰ 8
9 καὶ Μαρμασιμὰ καὶ Ῥουφαῖον καὶ Ἀρσαῖον καὶ Ζαβουθαῖον, 9
10 τοὺς δέκα υἱοὺς Ἀμὰν Ἀμαδάθου Βουγαίου τοῦ ἐχθροῦ τῶν 10
11 Ἰουδαίων, καὶ <οὐδὲν> διήρπασαν. ἐν αὐτῇ τῇ ἡμέρᾳ ἐπεδό- 11
12 θη ὁ ἀριθμὸς τῷ βασιλεῖ τῶν ἀπολωλότων ἐν Σούσοις. εἶπε δὲ 12
ὁ βασιλεὺς πρὸς Ἐσθήρ· Ἀπώλεσαν οἱ Ἰουδαῖοι ἐν Σούσοις τῇ
πόλει ἄνδρας πεντακοσίους· ἐν δὲ τῇ περιχώρῳ πῶς οἴει ἐ-
13 χρήσαντο; τί οὖν ἀξιοῖς ἔτι, καὶ ἔσται σοι; καὶ εἶπεν Ἐσθὴρ τῷ 13
βασιλεῖ· Δοθήτω τοῖς Ἰουδαίοις χρῆσθαι ὡσαύτως τὴν αὔριον,
14 ὥστε τοὺς δέκα υἱοὺς Ἀμὰν κρεμάσαι. καὶ ἐπέτρεψεν οὕτω γε- 14
νέσθαι καὶ ἐξέθηκε τοῖς Ἰουδαίοις τῆς πόλεως τὰ σώματα τῶν
15 υἱῶν Ἀμὰν κρεμάσαι. καὶ συνήχθησαν οἱ Ἰουδαῖοι ἐν Σούσοις 15
τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ Ἀδὰρ καὶ ἀπέκτειναν ἄνδρας τρια-
16 κοσίους καὶ οὐδὲν διήρπασαν. οἱ δὲ λοιποὶ τῶν Ἰουδαίων οἱ 16
ἐν τῇ βασιλείᾳ συνήχθησαν καὶ ἑαυτοῖς ἐβοήθουν καὶ ἀνεπαύσαντο ἀπὸ τῶν πολεμίων· ἀπώλεσαν γὰρ αὐτῶν μυρίους πε-

ντακισχιλίους τῇ τρισκαιδεκάτῃ τοῦ Ἀδὰρ καὶ οὐδὲν διήρπα-
17 σαν. καὶ ἀνεπαύσαντο τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ αὐτοῦ μηνὸς 17
καὶ ἦγον αὐτὴν ἡμέραν ἀναπαύσεως μετὰ χαρᾶς καὶ εὐφροσύ-
18 νης. οἱ δὲ Ἰουδαῖοι ἐν Σούσοις τῇ πόλει συνήχθησαν καὶ τῇ 18
τεσσαρεσκαιδεκάτῃ καὶ ἀνεπαύσαντο· ἦγον δὲ καὶ τὴν πεντε-
19 καιδεκάτην μετὰ χαρᾶς καὶ εὐφροσύνης. διὰ τοῦτο οὖν οἱ Ἰου- 19
δαῖοι οἱ διεσπαρμένοι ἐν πάσῃ χώρᾳ τῇ ἔξω ἄγουσι τὴν τεσσα-
ρεσκαιδεκάτην τοῦ Ἀδὰρ ἡμέραν ἀγαθὴν μετ' εὐφροσύνης ἀ-
ποστέλλοντες μερίδας ἕκαστος τῷ πλησίον.

24 1 Ἔγραψε δὲ Μαρδοχαῖος τοὺς λόγους τούτους εἰς βιβλίον 20
καὶ ἐξαπέστειλε τοῖς Ἰουδαίοις, ὅσοι ἦσαν ἐν τῇ Ἀρταξέρξου
2 βασιλείᾳ, τοῖς ἐγγὺς καὶ τοῖς μακράν, στῆσαι τὰς ἡμέρας ταύ- 21
τας ἀγαθὰς ἄγειν τε τὴν τεσσαρεσκαιδεκάτην καὶ τὴν πεντε-
3 καιδεκάτην τοῦ Ἀδὰρ –ἐν γὰρ ταύταις ταῖς ἡμέραις ἀνεπαύσα- 22
ντο οἱ Ἰουδαῖοι ἀπὸ τῶν ἐχθρῶν αὐτῶν– καὶ τὸν μῆνα. ἐν ᾧ ἐ-
στράφη αὐτοῖς (ὃς ἦν Ἀδὰρ) ἀπὸ πένθους εἰς χαρὰν καὶ ἀπὸ
ὀδύνης εἰς ἀγαθὴν ἡμέραν, ἄγειν ὅλον ἀγαθὰς ἡμέρας γάμων
καὶ εὐφροσύνης, ἐξαποστέλλοντας μερίδας τοῖς φίλοις καὶ
4 τοῖς πτωχοῖς. καὶ προσεδέξαντο οἱ Ἰουδαῖοι, καθὼς ἔγραψεν 23
5 αὐτοῖς ὁ Μαρδοχαῖος, πῶς Ἀμὰν Ἀμαδάθου, ὁ Μακεδών, ἐπο- 24
λέμει αὐτούς, καθὼς ἔθετο ψήφισμα καὶ κλῆρον ἀφανίσαι αὐ-
6 τούς, καὶ ὡς εἰσῆλθε πρὸς τὸν βασιλέα λέγων κρεμάσαι τὸν 25
Μαρδοχαῖον· ὅσα δὲ ἐπεχείρησαν ἐπάξαι ἐπὶ τοὺς Ἰουδαίους
κακά, ἐπ' αὐτὸν ἐγένοντο, καὶ ἐκρεμάσθη αὐτός, καὶ τὰ τέκνα
7 αὐτοῦ. διὰ τοῦτο ἐπεκλήθησαν αἱ ἡμέραι αὗται Φρουραὶ διὰ 26
τοὺς κλήρους, ὅτι τῇ διαλέκτῳ αὐτῶν καλοῦνται Φρουραί, διὰ
τοὺς λόγους τῆς ἐπιστολῆς ταύτης καὶ ὅσα πεπόνθασι διὰ ταῦ-
8 τα καὶ ὅσα αὐτοῖς ἐγένετο, καὶ ἔστησε· καὶ προσεδέχοντο οἱ 27
Ἰουδαῖοι ἐφ' ἑαυτοῖς καὶ ἐπὶ τῷ σπέρματι αὐτῶν καὶ ἐπὶ τοῖς
προστεθειμένοις ἐπ' αὐτῶν, οὐδὲ μὴν ἄλλως χρήσονται. αἱ δὲ
ἡμέραι αὗται μνημόσυνον ἐπιτελούμενον κατὰ γενεὰν καὶ γενε-
9 ὰν καὶ πόλιν καὶ πατριὰν καὶ χώραν. αἱ δὲ ἡμέραι αὗται τῶν 28
Φρουραὶ ἀχθήσονται εἰς τὸν ἅπαντα χρόνον, καὶ τὸ μνημόσυ-
10 νον αὐτῶν οὐ μὴ ἐκλίπῃ ἐκ τῶν γενεῶν. καὶ ἔγραψεν Ἐσθὴρ ἡ 29
βασίλισσα θυγάτηρ Ἀμιναδὰβ καὶ Μαρδοχαῖος ὁ Ἰουδαῖος ὅ-
11 σα ἐποίησαν τό τε στερέωμα τῆς ἐπιστολῆς τῶν Φρουραί. καὶ 30
Μαρδοχαῖος καὶ Ἐσθὴρ ἡ βασίλισσα ἔστησαν ἑαυτοῖς καθ' ἑ-
αυτῶν, καὶ τότε στήσαντες κατὰ τῆς ὑγιείας ἑαυτῶν καὶ τὴν
12 βουλὴν αὐτῶν. καὶ Ἐσθὴρ λόγῳ ἔστησεν εἰς τὸν αἰῶνα, καὶ ἐ- 31
γράφη εἰς μνημόσυνον.

25 1 Ἔγραψε δὲ ὁ βασιλεὺς ἐπὶ τὴν βασιλείαν τῆς τε γῆς καὶ 1 **10**
2 τῆς θαλάσσης, καὶ τὴν ἰσχὺν αὐτοῦ καὶ ἀνδραγαθίαν πλοῦτόν 2
τε καὶ δόξαν τῆς βασιλείας αὐτοῦ, ἰδοὺ γέγραπται ἐν Βιβλίῳ
3 βασιλέων Περσῶν καὶ Μήδων εἰς μνημόσυνον. ὁ δὲ Μαρδο- 3
χαῖος διεδέχετο τὸν βασιλέα Ἀρταξέρξην καὶ μέγας ἦν ἐν τῇ

βασιλείᾳ καὶ δεδοξασμένος ὑπὸ τῶν Ἰουδαίων· καὶ φιλούμε-
νος, διηγεῖτο τὴν ἀγωγὴν παντὶ τῷ ἔθνει αὐτοῦ.

26 1 2 Καὶ εἶπε Μαρδοχαῖος· παρὰ τοῦ θεοῦ ἐγένετο ταῦτα. ἐμνή- 3α 3β
σθην γὰρ περὶ τοῦ ἐνυπνίου, οὗ εἶδον περὶ τῶν λόγων τού-
3 των· οὐδὲ γὰρ παρῆλθεν ἀπ' αὐτῶν λόγος. ἡ μικρὰ πηγή, ἣ ἐ- 3γ
γένετο ποταμὸς καὶ ἦν φῶς καὶ ἥλιος καὶ ὕδωρ πολύ· Ἐσθὴρ
ἐστιν ὁ ποταμός, ἣν ἐγάμησεν ὁ βασιλεὺς καὶ ἐποίησε βασίλισ-
4 5 σαν. οἱ δὲ δύο δράκοντες, ἐγώ εἰμι καὶ Ἀμάν. τὰ δὲ ἔθνη τὰ ἐ- 3δ 3ε
6 πισυναχθέντα ἀπολέσαι τὸ ὄνομα τῶν Ἰουδαίων. τὸ δὲ ἔθνος 3ζ
τὸ ἐμόν, οὗτός ἐστιν Ἰσραήλ, οἱ βοήσαντες πρὸς τὸν θεὸν καὶ
σωθέντες· καὶ ἔσωσε Κύριος τὸν λαὸν αὐτοῦ καὶ ἐρρύσατο
Κύριος ἡμᾶς ἐκ πάντων τῶν κακῶν τούτων. καὶ ἐποίησεν ὁ
θεὸς τὰ σημεῖα καὶ τὰ τέρατα τὰ μεγάλα, ἃ οὐ γέγονεν ἐν τοῖς
7 ἔθνεσι. διὰ τοῦτο ἐποίησε κλήρους δύο, ἕνα τῷ λαῷ τοῦ θεοῦ 3η
8 καὶ ἕνα πᾶσι τοῖς ἔθνεσι· καὶ ἦλθον οἱ δύο κλῆροι οὗτοι εἰς ὥ- 3θ
ραν καὶ καιρὸν καὶ εἰς ἡμέραν κρίσεως ἐνώπιον τοῦ θεοῦ καὶ
9 πᾶσι τοῖς ἔθνεσι, καὶ ἐμνήσθη ὁ θεὸς τοῦ λαοῦ αὐτοῦ καὶ ἐδι- 3ι
10 καίωσε τὴν κληρονομίαν αὐτοῦ. καὶ ἔσονται αὐτοῖς αἱ ἡμέραι 3κ
αὗται ἐν μηνὶ Ἀδὰρ τῇ τεσσαρεσκαιδεκάτῃ καὶ τῇ πεντεκαιδε-
κάτῃ τοῦ μηνὸς μετὰ συναγωγῆς καὶ χαρᾶς καὶ εὐφροσύνης ἐ-
νώπιον τοῦ θεοῦ κατὰ γενεὰς εἰς τὸν αἰῶνα ἐν τῷ λαῷ αὐτοῦ
Ἰσραήλ.

27 1 Ἔτους τετάρτου βασιλεύοντος Πτολεμαίου καὶ Κλεοπά- 3λ
τρας εἰσήνεγκε Δοσίθεος, ὃς ἔφη εἶναι ἱερεὺς καὶ Λευῖτης, καὶ
Πτολεμαῖος ὁ υἱὸς αὐτοῦ τὴν προκειμένην ἐπιστολὴν τῶν
Φρουραί, ἣν ἔφασαν εἶναι καὶ ἡρμηνευκέναι Λυσίμαχον Πτολε-
μαίου τῶν ἐν Ἰερουσαλήμ.

Β΄. ΒΙΒΛΙΑ «ΠΟΙΗΤΙΚΑ»

15. ΨΑΛΜΟΙ ΣΟΛΟΜΩΝΤΟΣ

1 1 Ἐβόησα πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με εἰς τέλος, 1 **1**
πρὸς τὸν θεὸν ἐν τῷ ἐπιθέσθαι ἁμαρτωλούς·
ἐξάπινα ἠκούσθη κραυγὴ πολέμου ἐνώπιόν μου· 2
<εἶπα·> Ἐπακούσεταί μου, ὅτι ἐπλήσθην δικαιοσύνης.
5 ἐλογισάμην ἐν καρδίᾳ μου ὅτι ἐπλήσθην δικαιοσύνης 3
ἐν τῷ εὐθηνῆσαί με καὶ πολὺν γενέσθαι ἐν τέκνοις.
ὁ πλοῦτος αὐτῶν διεδόθη εἰς πᾶσαν τὴν γῆν 4
καὶ ἡ δόξα αὐτῶν ἕως ἐσχάτου τῆς γῆς.
ὑψώθησαν ἕως τῶν ἄστρων, 5
10 εἶπαν Οὐ μὴ πέσωσι·
καὶ ἐξύβρισαν ἐν τοῖς ἀγαθοῖς αὐτῶν 6
καὶ οὐκ ἤνεγκαν.
αἱ ἁμαρτίαι αὐτῶν ἐν ἀποκρύφοις, 7
καὶ ἐγὼ οὐκ ᾔδειν·
15 αἱ ἀνομίαι αὐτῶν ὑπὲρ τὰ πρὸ αὐτῶν ἔθνη, 8
ἐβεβήλωσαν τὰ ἅγια Κυρίου ἐν βεβηλώσει.

2 [Ψαλμός τῷ Σαλωμών· περὶ Ἰερουσαλήμ] **2**
1 Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἁμαρτωλὸν 1
ἐν κριῷ κατέβαλε τείχη ὀχυρά,
καὶ οὐκ ἐκώλυσας.
ἀνέβησαν ἐπὶ τὸ θυσιαστήριόν σου ἔθνη ἀλλότρια, 2
5 κατεπάτουν ἐν ὑποδήμασιν αὐτῶν ἐν ὑπερηφανίᾳ,
ἀνθ' ὧν οἱ υἱοὶ Ἰερουσαλὴμ ἐμίαναν τὰ ἅγια Κυρίου, 3
ἐβεβήλωσαν τὰ δῶρα τοῦ θεοῦ ἐν ἀνομίαις.
ἕνεκεν τούτων εἶπεν· Ἀπορρίψατε αὐτὰ μακρὰν ἀπ' ἐμοῦ, 4
οὐκ εὐδοκῶ ἐν αὐτοῖς.
10 τὸ κάλλος τῆς δόξης αὐτῆς ἐξουθενώθη ἐνώπιον τοῦ θεοῦ, 5
ἠτιμώθη ἕως εἰς τέλος.
οἱ υἱοὶ καὶ αἱ θυγατέρες ἐν αἰχμαλωσίᾳ πονηρᾷ, 6
ἐν σφραγῖδι ὁ τράχηλος αὐτῶν, ἐν ἐπισήμῳ ἐν τοῖς ἔθνεσι.
κατὰ τὰς ἁμαρτίας αὐτῶν ἐποίησεν αὐτοῖς, 7
15 ὅτι ἐγκατέλιπεν αὐτοὺς εἰς χεῖρας κατισχυόντων.
ἀπέστρεψε γὰρ τὸ πρόσωπον αὐτοῦ ἀπὸ ἐλέους αὐτῶν, 8

νέον καὶ πρεσβύτην καὶ τέκνα αὐτῶν εἰς ἅπαξ,
ὅτι πονηρὰ ἐποίησαν εἰς ἅπαξ τοῦ μὴ ἀκούειν.
καὶ ὁ οὐρανὸς ἐβαρυθύμησε, καὶ ἡ γῆ ἐβδελύξατο αὐτούς, 9
ὅτι οὐκ ἐποίησε πᾶς ἄνθρωπος ἐπ' αὐτῆς ὅσα ἐποίησαν.
καὶ γνώσεται ἡ γῆ τὰ κρίματά σου πάντα τὰ δίκαια, ὁ θεός. 10
ἔστησαν τοὺς υἱοὺς Ἰερουσαλὴμ εἰς ἐμπαιγμὸν 11
ἀντὶ πορνῶν ἐν αὐτῇ·
πᾶς ὁ παραπορευόμενος εἰσεπορεύετο κατέναντι τοῦ ἡλίου.
ἐνέπαιζον ταῖς ἀνομίαις αὐτῶν καθὰ ἐποίουν αὐτοί, 12
ἀπέναντι τοῦ ἡλίου παρεδειγμάτισαν ἀδικίας αὐτῶν.
καὶ θυγατέρες Ἰερουσαλὴμ βέβηλοι κατὰ τὸ κρῖμά σου, 13
ἀνθ' ὧν αὐταὶ ἐμίαινον αὐτὰς ἐν φυρμῷ ἀναμίξεως.
τὴν κοιλίαν μου καὶ τὰ σπλάγχνα μου πονῶ ἐπὶ τούτοις. 14
ἐγὼ δικαιώσω σε, ὁ θεός, ἐν εὐθύτητι καρδίας, 15
ὅτι ἐν τοῖς κρίμασί σου ἡ δικαιοσύνη σου, ὁ θεός.
ὅτι ἀπέδωκας τοῖς ἁμαρτωλοῖς κατὰ τὰ ἔργα αὐτῶν 16
καὶ κατὰ τὰς ἁμαρτίας αὐτῶν τὰς πονηρὰς σφόδρα.
ἀνεκάλυψας τὰς ἁμαρτίας αὐτῶν, ἵνα φανῇ τὸ κρῖμά σου, 17
ἐξήλειψας τὸ μνημόσυνον αὐτῶν ἀπὸ τῆς γῆς.
ὁ θεὸς κριτὴς δίκαιος καὶ οὐ θαυμάσει πρόσωπον. 18
ὠνείδισαν γὰρ ἔθνη Ἰερουσαλὴμ ἐν καταπατήσει, 19
κατεσπάσθη τὸ κάλλος αὐτῆς ἀπὸ θρόνου δόξης.
περιεζώσατο σάκκον ἀντὶ ἐνδύματος εὐπρεπείας, 20
σχοινίον περὶ τὴν κεφαλὴν αὐτῆς ἀντὶ στεφάνου.
περιείλατο μίτραν δόξης, ἣν περιέθηκεν αὐτῇ ὁ θεός· 21
ἐν ἀτιμίᾳ τὸ κάλλος αὐτῆς, ἀπερρίφη ἐπὶ τὴν γῆν.
καὶ ἐγὼ εἶδον καὶ ἐδεήθην τοῦ προσώπου Κυρίου καὶ εἶπον· 22
Ἱκάνωσον, Κύριε, τοῦ βαρύνεσθαι χεῖρά σου ἐπὶ Ἰερουσαλὴμ
ἐν ἐπαγωγῇ ἐθνῶν·
ὅτι ἐνέπαιξαν καὶ οὐκ ἐφείσαντο ἐν ὀργῇ καὶ θυμῷ 23
μετὰ μηνίσεως·
καὶ συντελεσθήσονται, ἐὰν μὴ σύ, Κύριε, ἐπιτιμήσῃς αὐτοῖς
ἐν ὀργῇ σου.
ὅτι οὐκ ἐν ζήλει ἐποίησαν, ἀλλ' ἐν ἐπιθυμίᾳ ψυχῆς 24
ἐκχέαι τὴν ὀργὴν αὐτῶν εἰς ἡμᾶς ἐν ἁρπάγματι.
μὴ χρονίσῃς, ὁ θεός, τοῦ ἀποδοῦναι αὐτοῖς εἰς κεφαλάς, 25
τοῦ εἰπεῖν τὴν ὑπερηφανίαν τοῦ δράκοντος ἐν ἀτιμίᾳ.
καὶ οὐκ ἐχρόνισα ἕως ἔδειξέ μοι ὁ θεὸς τὴν ὕβριν αὐτοῦ, 26
ἐκκεκεντημένον ἐπὶ τῶν ὀρέων Αἰγύπτου
ὑπὲρ ἐλάχιστον ἐξουδενωμένον ἐπὶ γῆς καὶ θαλάσσης·
τὸ σῶμα αὐτοῦ διαφερόμενον ἐπὶ κυμάτων ἐν ὕβρει πολλῇ, 27
καὶ οὐκ ἦν ὁ θάπτων,
ὅτι ἐξουθένωσεν αὐτὸν ἐν ἀτιμίᾳ.
Οὐκ ἐλογίσατο ὅτι ἄνθρωπός ἐστιν, 28
καὶ τὸ ὕστερον οὐκ ἐλογίσατο.

εἶπεν Ἐγὼ κύριος γῆς καὶ θαλάσσης ἔσομαι· 29
καὶ οὐκ ἐπέγνω ὅτι ὁ θεὸς μέγας,
κραταιὸς ἐν ἰσχύι αὐτοῦ τῇ μεγάλῃ.
αὐτὸς βασιλεὺς ἐπὶ τῶν οὐρανῶν 30
καὶ κρίνων βασιλεῖς καὶ ἀρχάς·
ὁ ἀνιστῶν ἐμὲ εἰς δόξαν 31
καὶ κοιμίζων ὑπερηφάνους εἰς ἀπώλειαν αἰῶνος ἐν ἀτιμίᾳ,
ὅτι οὐκ ἔγνωσαν αὐτόν.
καὶ νῦν ἴδετε, οἱ μεγιστᾶνες τῆς γῆς, τὸ κρῖμα τοῦ Κυρίου, 32
ὅτι μέγας βασιλεὺς καὶ δίκαιος κρίνων τὴν ὑπ' οὐρανόν.
εὐλογεῖτε τὸν θεόν, οἱ φοβούμενοι τὸν Κύριον ἐν ἐπιστήμῃ, 33
ὅτι τὸ ἔλεος Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν μετὰ κρίματος
τοῦ διαστεῖλαι ἀνὰ μέσον δικαίου καὶ ἁμαρτωλοῦ 34
ἀποδοῦναι ἁμαρτωλοῖς εἰς τὸν αἰῶνα κατὰ τὰ ἔργα αὐτῶν
καὶ ἐλεῆσαι δίκαιον ἀπὸ ταπεινώσεως ἁμαρτωλοῦ 35
καὶ ἀποδοῦναι ἁμαρτωλῷ ἀνθ' ὧν ἐποίησε δικαίῳ.
ὅτι χρηστὸς ὁ Κύριος τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ὑπομονῇ, 36
ποιῆσαι κατὰ τὸ ἔλεος αὐτοῦ τοῖς ὁσίοις αὐτοῦ
παρεστάναι διὰ παντὸς ἐνώπιον αὐτοῦ ἐν ἰσχύι.
εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα ἐνώπιον δούλων αὐτοῦ. 37

3 [Ψαλμὸς τῷ Σαλωμών· περὶ δικαίων] **3**

Ἵνα τί ὑπνοῖς, ψυχή, καὶ οὐκ εὐλογεῖς τὸν Κύριον; 1
ὕμνον καινὸν ψάλατε τῷ θεῷ τῷ αἰνετῷ.
ψάλλε καὶ γρηγόρησον ἐπὶ τὴν γρηγόρησιν αὐτοῦ, 2
ὅτι ἀγαθὸς ψαλμὸς τῷ θεῷ ἐξ ἀγαθῆς καρδίας.
δίκαιοι μνημονεύουσι διὰ παντὸς τοῦ Κυρίου, 3
ἐν ἐξομολογήσει καὶ δικαιώσει τὰ κρίματα Κυρίου.
οὐκ ὀλιγωρήσει δίκαιος παιδευόμενος ὑπὸ Κυρίου, 4
ἡ εὐδοκία αὐτοῦ διὰ παντὸς ἔναντι Κυρίου.
προσέκοψεν ὁ δίκαιος καὶ ἐδικαίωσε τὸν Κύριον, 5
ἔπεσε καὶ ἀποβλέπει τί ποιήσει αὐτῷ ὁ θεός,
ἀποσκοπεύει ὅθεν ἥξει ἡ σωτηρία αὐτοῦ.
ἀλήθεια τῶν δικαίων παρὰ θεοῦ σωτῆρος αὐτῶν, 6
οὐκ αὐλίζεται ἐν οἴκῳ δικαίου ἁμαρτία ἐφ' ἁμαρτίαν·
ἐπισκέπτεται διὰ παντὸς τὸν οἶκον αὐτοῦ ὁ δίκαιος 7
τοῦ ἐξᾶραι ἀδικίαν ἐν παραπτώματι αὐτοῦ.
ἐξιλάσατο περὶ ἀγνοίας ἐν νηστείᾳ καὶ ταπεινώσει ψυχῆς αὐτοῦ, 8
καὶ ὁ Κύριος καθαρίζει πάντα ἄνδρα ὅσιον καὶ τὸν οἶκον αὐτοῦ.
προσέκοψεν ἁμαρτωλὸς καὶ καταρᾶται τὴν ζωὴν αὐτοῦ, 9
τὴν ἡμέραν γενέσεως αὐτοῦ καὶ ὠδῖνας μητρός.
προσέθηκεν ἁμαρτίας ἐφ' ἁμαρτίας τῇ ζωῇ αὐτοῦ· 10
ἔπεσεν, ὅτι πονηρὸν τὸ πτῶμα αὐτοῦ, καὶ οὐκ ἀναστήσεται.
ἡ ἀπώλεια τοῦ ἁμαρτωλοῦ εἰς τὸν αἰῶνα, 11

καὶ οὐ μνησθήσεται, ὅταν ἐπισκέπτηται δικαίους.
αὕτη ἡ μερὶς τῶν ἁμαρτωλῶν εἰς τὸν αἰῶνα· 12
25 οἱ δὲ φοβούμενοι τὸν Κύριον ἀναστήσονται εἰς ζωὴν αἰώνιον,
καὶ ἡ ζωὴ αὐτῶν ἐν φωτὶ Κυρίου καὶ οὐκ ἐκλείψει ἔτι.

4 [Διαλογὴ τοῦ Σαλωμών· τοῖς ἀνθρωπαρέσκοις] **4**

1 Ἵνα τί σύ, βέβηλε, κάθησαι ἐν συνεδρίῳ ὁσίων 1
καὶ ἡ καρδία σου μακρὰν ἀφέστηκεν ἀπὸ τοῦ Κυρίου
ἐν παρανομίαις παροργίζων τὸν θεὸν Ἰσραήλ;
περισσὸς ἐν λόγοις, περισσὸς ἐν σημειώσει ὑπὲρ πάντα, 2
5 ὁ σκληρὸς ἐν λόγοις κατακρῖναι ἁμαρτωλοὺς ἐν κρίσει·
καὶ ἡ χεὶρ αὐτοῦ ἐν πρώτοις ἐπ' αὐτὸν ὡς ἐν ζήλει, 3
καὶ αὐτὸς ἔνοχος ἐν ποικιλίᾳ ἁμαρτιῶν καὶ ἐν ἀκρασίαις.
οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ πᾶσαν γυναῖκα ἄνευ διαστολῆς, 4
ἡ γλῶσσα αὐτοῦ ψευδὴς ἐν συναλλάγματι μεθ' ὅρκου.
10 ἐν νυκτὶ καὶ ἐν ἀποκρύφοις ἁμαρτάνει ὡς οὐχ ὁρώμενος, 5
ἐν ὀφθαλμοῖς αὐτοῦ λαλεῖ πάσῃ γυναικὶ ἐν συνταγῇ κακίας·
ταχὺς εἰσόδῳ εἰς πᾶσαν οἰκίαν ἐν ἱλαρότητι ὡς ἄκακος·
ἐξᾶραι ὁ θεὸς τοὺς ἐν ὑποκρίσει ζῶντας μετὰ ὁσίων, 6
ἐν φθορᾷ σαρκὸς αὐτοῦ καὶ πενίᾳ τὴν ζωὴν αὐτοῦ·
15 ἀνακαλύψαι ὁ θεὸς τὰ ἔργα ἀνθρώπων ἀνθρωπαρέσκων, 7
ἐν καταγέλωτι καὶ μυκτηρισμῷ τὰ ἔργα αὐτοῦ.
καὶ δικαιώσαισαν ὅσιοι τὸ κρῖμα τοῦ θεοῦ αὐτῶν 8
ἐν τῷ ἐξαίρεσθαι ἁμαρτωλοὺς ἀπὸ προσώπου δικαίου,
ἀνθρωπάρεσκον λαλοῦντα νόμον μετὰ δόλου.
20 καὶ οἱ ὀφθαλμοὶ αὐτῶν ἐπ' οἶκον ἀνδρὸς ἐν εὐσταθείᾳ 9
ὡς ὄφις διαλῦσαι σοφίαν ἀλλήλων ἐν λόγοις παρανόμων.
οἱ λόγοι αὐτοῦ παραλογισμοὶ εἰς πρᾶξιν ἐπιθυμίας ἀδίκου, 10
οὐκ ἀπέστη, ἕως ἐνίκησε σκορπίσαι ὡς ἐν ὀρφανίᾳ·
καὶ ἠρήμωσεν οἶκον ἕνεκεν ἐπιθυμίας παρανόμου, 11
25 παρελογίσατο ἐν λόγοις, ὅτι οὐκ ἔστιν ὁρῶν καὶ κρίνων·
ἐπλήσθη ἐν παρανομίᾳ ἐν ταύτῃ, 12
καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπ' οἶκον ἕτερον
ὀλοθρεῦσαι ἐν λόγοις ἀναπτερώσεως.
οὐκ ἐμπίμπλαται ἡ ψυχὴ αὐτοῦ ὡς ᾅδης ἐν πᾶσι τούτοις. 13
30 γένοιτο, Κύριε, ἡ μερὶς αὐτοῦ ἐν ἀτιμίᾳ ἐνώπιόν σου, 14
ἡ ἔξοδος αὐτοῦ ἐν στεναγμοῖς καὶ ἡ εἴσοδος αὐτοῦ ἐν ἀρᾷ·
ἐν ὀδύναις καὶ πενίᾳ καὶ ἀπορίᾳ ἡ ζωὴ αὐτοῦ, Κύριε, 15
ὁ ὕπνος αὐτοῦ ἐν λύπαις καὶ ἡ ἐξέγερσις αὐτοῦ ἐν ἀπορίαις.
ἀφαιρεθείη ὕπνος ἀπὸ κροτάφων αὐτοῦ ἐν νυκτί, 16
35 ἀποπέσοι ἀπὸ παντὸς ἔργου χειρῶν αὐτοῦ ἐν ἀτιμίᾳ.
κενὸς χερσὶν αὐτοῦ εἰσέλθοι εἰς τὸν οἶκον αὐτοῦ, 17
καὶ ἐλλιπὴς ὁ οἶκος αὐτοῦ ἀπὸ παντός, οὗ ἐμπλήσει ψυχὴν αὐτοῦ·
ἐν μονώσει ἀτεκνίας τὸ γῆρας αὐτοῦ εἰς ἀνάληψιν. 18

σκορπισθείησαν σάρκες ἀνθρωπαρέσκων ὑπὸ θηρίων, 19
καὶ ὀστᾶ παρανόμων κατέναντι τοῦ ἡλίου ἐν ἀτιμίᾳ.
ὀφθαλμοὺς ἐκκόψαισαν κόρακες ὑποκρινομένων, 20
ὅτι ἠρήμωσαν οἴκους πολλοὺς ἀνθρώπων ἐν ἀτιμίᾳ
καὶ ἐσκόρπισαν ἐν ἐπιθυμίᾳ
καὶ οὐκ ἐμνήσθησαν θεοῦ 21
καὶ οὐκ ἐφοβήθησαν τὸν θεὸν ἐν ἅπασι τούτοις
καὶ παρώργισαν τὸν θεὸν καὶ παρώξυναν.
ἐξάραι αὐτοὺς ἀπὸ τῆς γῆς, 22
ὅτι ψυχὰς ἀκάκων παραλογισμῷ ὑπεκρίνοντο.
μακάριοι οἱ φοβούμενοι τὸν Κύριον ἐν ἀκακίᾳ αὐτῶν· 23
ὁ Κύριος ῥύσεται αὐτοὺς ἀπὸ ἀνθρώπων δολίων καὶ ἁμαρτωλῶν
καὶ ῥύσεται ἡμᾶς ἀπὸ παντὸς σκανδάλου παρανόμου.
ἐξάραι ὁ θεὸς τοὺς ποιοῦντας ἐν ὑπερηφανίᾳ πᾶσαν ἀδικίαν, 24
ὅτι κριτὴς μέγας καὶ κραταιὸς Κύριος
ὁ θεὸς ἡμῶν ἐν δικαιοσύνῃ.
γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐπὶ πάντας τοὺς ἀγαπῶντάς σε. 25

5 [Ψαλμὸς τῷ Σαλωμών] **5**

Κύριε ὁ θεός, αἰνέσω τῷ ὀνόματί σου ἐν ἀγαλλιάσει, 1
ἐν μέσῳ ἐπισταμένων τὰ κρίματά σου τὰ δίκαια·
ὅτι σὺ χρηστὸς καὶ ἐλεήμων, ἡ καταφυγὴ τοῦ πτωχοῦ· 2
ἐν τῷ κεκραγέναι με πρὸς σὲ μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ.
οὐ γὰρ λήψεταί <τις> σκῦλα παρὰ ἀνδρὸς δυνατοῦ· 3
καὶ τίς λήψεται ἀπὸ πάντων, ὧν ἐποίησας, ἐὰν μὴ σὺ δῷς;
ὅτι ἄνθρωπος καὶ ἡ μερὶς αὐτοῦ παρὰ σοῦ ἐν σταθμῷ· 4
οὐ προσθήσει τοῦ πλεονάσαι παρὰ τὸ κρῖμά σου, ὁ θεός.
ἐν τῷ θλίβεσθαι ἡμᾶς ἐπικαλεσόμεθά σε εἰς βοήθειαν, 5
καὶ σὺ οὐκ ἀποστρέψῃ τὴν δέησιν ἡμῶν,
ὅτι σὺ ὁ θεὸς ἡμῶν εἶ.
μὴ βαρύνῃς τὴν χεῖρά σου ἐφ' ἡμᾶς, 6
ἵνα μὴ δι' ἀνάγκην ἁμάρτωμεν.
καὶ ἐὰν μὴ ἐπιστρέψῃς ἡμᾶς, οὐκ ἀφεξόμεθα, 7
ἀλλ' ἐπὶ σὲ ἥξομεν.
ἐὰν γὰρ πεινάσω, πρὸς σὲ κεκράξομαι, ὁ θεός, 8
καὶ σὺ δώσεις μοι.
τὰ πετεινὰ καὶ τοὺς ἰχθύας σὺ τρέφεις 9
ἐν τῷ διδόναι σε ὑετὸν ἐρήμοις εἰς ἀνατολὴν χλόης·
ἡτοίμασας χορτάσματα ἐν ἐρήμῳ παντὶ ζῶντι, 10
καὶ ἐὰν πεινάσωσι, πρὸς σὲ ἀροῦσι πρόσωπον αὐτῶν.
τοὺς βασιλεῖς καὶ ἄρχοντας καὶ λαοὺς σὺ τρέφεις, ὁ θεός, 11
καὶ πτωχοῦ καὶ πένητος ἡ ἐλπὶς τίς ἐστιν, εἰ μὴ σύ, Κύριε;
καὶ σὺ ἐπακούσῃ· ὅτι τίς χρηστὸς καὶ ἐπιεικὴς ἀλλ' ἢ σὺ 12
εὐφρᾶναι ψυχὴν ταπεινοῦ ἐν τῷ ἀνοῖξαι χεῖρά σου ἐν ἐλέει;

χρηστότης ἀνθρώπου ἐν φειδοῖ καὶ ἡ αὔριον, 13
καὶ ἐὰν δευτερώσῃ ἄνευ γογγυσμοῦ, καὶ τοῦτο θαυμάσειας.
τὸ δὲ δόμα σου πολὺ μετὰ χρηστότητος καὶ πλούσιον, 14
καὶ οὗ ἐστιν ἡ ἐλπὶς ἐπὶ σέ, οὐ φείσεται ἐν δόματι.
ἐπὶ πᾶσαν τὴν γῆν τὸ ἔλεός σου, Κύριε, ἐν χρηστότητι. 15
μακάριος οὗ μνημονεύει ὁ θεὸς ἐν συμμετρίᾳ αὐταρκείας· 16
ἐὰν ὑπερπλεονάσῃ ὁ ἄνθρωπος, ἐξαμαρτάνει.
ἱκανὸν τὸ μέτριον ἐν δικαιοσύνῃ, 17
καὶ ἐν τούτῳ ἡ εὐλογία Κυρίου εἰς πλησμονὴν ἐν δικαιοσύνῃ.
εὐφρανθείησαν οἱ φοβούμενοι Κύριον ἐν ἀγαθοῖς, 18
καὶ ἡ χρηστότης σου ἐπὶ Ἰσραὴλ ἐν τῇ βασιλείᾳ σου.
εὐλογημένη ἡ δόξα Κυρίου ὅτι αὐτὸς βασιλεὺς ἡμῶν. 19

6 [Ἐν ἐλπίδι· τῷ Σαλωμών] **6**

Μακάριος ἀνήρ, οὗ ἡ καρδία αὐτοῦ ἑτοίμη 1
ἐπικαλέσασθαι τὸ ὄνομα Κυρίου·
ἐν τῷ μνημονεύειν αὐτὸν τὸ ὄνομα Κυρίου σωθήσεται.
αἱ ὁδοὶ αὐτοῦ κατευθύνονται ὑπὸ Κυρίου, 2
καὶ πεφυλαγμένα ἔργα χειρῶν αὐτοῦ ὑπὸ Κυρίου θεοῦ αὐτοῦ.
ἀπὸ ὁράσεως πονηρῶν ἐνυπνίων αὐτοῦ 3
οὐ ταραχθήσεται ἡ ψυχὴ αὐτοῦ,
ἐν διαβάσει ποταμῶν καὶ σάλῳ θαλασσῶν οὐ πτοηθήσεται.
ἐξανέστη ἐξ ὕπνου αὐτοῦ καὶ ηὐλόγησε τῷ ὀνόματι Κυρίου, 4
ἐπ' εὐσταθείᾳ καρδίας αὐτοῦ ἐξύμνησε
τῷ ὀνόματι τοῦ θεοῦ αὐτοῦ·
καὶ ἐδεήθη τοῦ προσώπου Κυρίου περὶ παντὸς τοῦ οἴκου αὐτοῦ, 5
καὶ Κύριος εἰσήκουσε προσευχὴν παντὸς ἐν φόβῳ θεοῦ.
καὶ πᾶν αἴτημα ψυχῆς ἐλπιζούσης πρὸς αὐτὸν ἐπιτελεῖ ὁ Κύριος· 6
εὐλογητὸς Κύριος ὁ ποιῶν ἔλεος
τοῖς ἀγαπῶσιν αὐτὸν ἐν ἀληθείᾳ.

7 [Τῷ Σαλωμών· ἐπιστροφῆς] **7**

Μὴ ἀποσκηνώσῃς ἀφ' ἡμῶν, ὁ θεός, 1
ἵνα μὴ ἐπιθῶνται ἡμῖν οἳ ἐμίσησαν ἡμᾶς δωρεάν.
ὅτι ἀπώσω αὐτούς, ὁ θεός· 2
μὴ πατησάτω ὁ ποὺς αὐτῶν κληρονομίαν ἁγιάσματός σου.
σὺ ἐν θελήματί σου παίδευσον ἡμᾶς 3
καὶ μὴ δῷς ἔθνεσιν.
ἐὰν γὰρ ἀποστείλῃς θάνατον, 4
σὺ ἐντελῇ αὐτῷ περὶ ἡμῶν·
ὅτι σὺ ἐλεήμων 5
καὶ οὐκ ὀργισθήσῃ τοῦ συντελέσαι ἡμᾶς.
ἐν τῷ κατασκηνοῦν τὸ ὄνομά σου ἐν μέσῳ ἡμῶν ἐλεηθησόμεθα, 6

καὶ οὐκ ἰσχύσει πρὸς ἡμᾶς ἔθνος.
ὅτι σὺ ὑπερασπιστὴς ἡμῶν, 7
καὶ ἡμεῖς ἐπικαλεσόμεθά σε, καὶ σὺ ἐπακούσῃ ἡμῶν.
ὅτι σὺ οἰκτιρήσεις τὸ γένος Ἰσραὴλ εἰς τὸν αἰῶνα 8
καὶ οὐκ ἀπώσῃ.
καὶ ἡμεῖς ὑπὸ ζυγόν σου εἰς τὸν αἰῶνα 9
καὶ μάστιγα παιδείας σου.
κατευθυνεῖς ἡμᾶς ἐν καιρῷ ἀντιλήψεώς σου 10
τοῦ ἐλεῆσαι τὸν οἶκον Ἰακὼβ εἰς ἡμέραν ἐν ᾗ ἐπηγγείλω αὐτοῖς.

8 [Τῷ Σαλωμών· εἰς νῖκος] **8**

Θλῖψιν καὶ φωνὴν πολέμου ἤκουσε τὸ οὖς μου, 1
φωνὴν σάλπιγγος ἠχούσης σφαγὴν καὶ ὄλεθρον·
φωνὴ λαοῦ πολλοῦ ὡς ἀνέμου πολλοῦ σφόδρα, 2
ὡς καταιγὶς πυρὸς πολλοῦ φερομένου δι' ἐρήμου.
καὶ εἶπα <ἐν> τῇ καρδίᾳ μου· 3
ποῦ ἆρα κρινεῖ αὐτὸν ὁ θεός;
φωνὴν ἤκουσα εἰς Ἰερουσαλὴμ πόλιν ἁγιάσματος· 4
συνετρίβη ἡ ὀσφύς μου ἀπὸ ἀκοῆς, 5
παρελύθη γόνατά μου, ἐφοβήθη ἡ καρδία μου,
ἐταράχθη τὰ ὀστᾶ μου ὡς λίνον.
εἶπα κατευθυνοῦσιν ὁδοὺς αὐτῶν ἐν δικαιοσύνῃ. 6
ἀνελογισάμην τὰ κρίματα τοῦ θεοῦ 7
ἀπὸ κτίσεως οὐρανοῦ καὶ γῆς,
ἐδικαίωσα τὸν θεὸν ἐν τοῖς κρίμασιν αὐτοῦ τοῖς ἀπ' αἰῶνος.
ἀνεκάλυψεν ὁ θεὸς τὰς ἁμαρτίας αὐτῶν ἐναντίον τοῦ ἡλίου, 8
ἔγνω πᾶσα ἡ γῆ τὰ κρίματα τοῦ θεοῦ τὰ δίκαια.
ἐν καταγαίοις κρυφίοις αἱ παρανομίαι αὐτῶν ἐν παροργισμῷ· 9
υἱὸς μετὰ μητρὸς καὶ πατὴρ μετὰ θυγατρὸς συνεφύροντο.
ἐμοιχῶντο ἕκαστος τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ, 10
συνέθεντο αὐτοῖς συνθήκας μετὰ ὅρκου περὶ τούτων.
τὰ ἅγια τοῦ θεοῦ διήρπαζον 11
ὡς μὴ ὄντος κληρονόμου λυτρουμένου.
ἐπάτουν τὸ θυσιαστήριον Κυρίου ἀπὸ πάσης ἀκαθαρσίας 12
καὶ ἐν ἀφέδρῳ αἵματος ἐμίαναν τὰς θυσίας ὡς κρέα βέβηλα.
οὐ παρέλιπον ἁμαρτίαν, ἣν οὐκ ἐποίησαν ὑπὲρ τὰ ἔθνη. 13
διὰ τοῦτο ἐκέρασεν αὐτοῖς ὁ θεὸς πνεῦμα πλανήσεως, 14
ἐπότισεν αὐτοὺς ποτήριον οἴνου ἀκράτου εἰς μέθην.
ἤγαγεν τὸν ἀπ' ἐσχάτου τῆς γῆς, τὸν παίοντα κραταιῶς, 15
ἔκρινε τὸν πόλεμον ἐπὶ Ἰερουσαλὴμ καὶ τὴν γῆν αὐτῆς.
ἀπήντησαν αὐτῷ οἱ ἄρχοντες τῆς γῆς μετὰ χαρᾶς, 16
εἶπαν αὐτῷ· Ἐπευκτὴ ἡ ὁδός σου, δεῦτε εἰσέλθατε μετ' εἰρήνης.
ὡμάλισαν ὁδοὺς τραχείας ἀπὸ εἰσόδου αὐτοῦ, 17
ἤνοιξαν πύλας ἐπὶ Ἰερουσαλήμ, ἐστεφάνωσαν τείχη αὐτῆς.

εἰσῆλθεν ὡς πατὴρ εἰς οἶκον υἱῶν αὐτοῦ μετ' εἰρήνης, 18
ἔστησε τοὺς πόδας αὐτοῦ μετὰ ἀσφαλείας πολλῆς.
κατελάβετο τὰς πυργοβάρεις αὐτῆς καὶ τὸ τεῖχος Ἰερουσαλήμ, 19
ὅτι ὁ θεὸς ἤγαγεν αὐτὸν μετὰ ἀσφαλείας ἐν τῇ πλανήσει αὐτῶν.
ἀπώλεσεν ἄρχοντας αὐτῶν καὶ πάντα σοφὸν ἐν βουλῇ, 20
ἐξέχεε τὸ αἷμα τῶν οἰκούντων Ἰερουσαλὴμ
ὡς ὕδωρ ἀκαθαρσίας.
ἀπήγαγε τοὺς υἱοὺς καὶ τὰς θυγατέρας αὐτῶν, 21
ἃ ἐγέννησαν ἐν βεβηλώσει.
ἐποίησαν κατὰ τὰς ἀκαθαρσίας αὐτῶν 22
καθὼς οἱ πατέρες αὐτῶν,
ἐμίαναν Ἰερουσαλὴμ καὶ τὰ ἡγιασμένα τῷ ὀνόματι τοῦ θεοῦ.
ἐδικαιώθη ὁ θεὸς ἐν τοῖς κρίμασιν αὐτοῦ 23
ἐν τοῖς ἔθνεσιν τῆς γῆς,
καὶ οἱ ὅσιοι τοῦ θεοῦ ὡς ἀρνία ἐν ἀκακίᾳ ἐν μέσῳ αὐτῶν.
αἰνετὸς Κύριος ὁ κρίνων πᾶσαν τὴν γῆν ἐν δικαιοσύνῃ αὐτοῦ. 24
ἰδοὺ δή, ὁ θεός, ἔδειξας ἡμῖν τὸ κρῖμά σου 25
ἐν τῇ δικαιοσύνῃ σου,
εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν τὰ κρίματά σου, ὁ θεός.
ἐδικαιώσαμεν τὸ ὄνομά σου τὸ ἔντιμον εἰς αἰῶνας, 26
ὅτι σὺ ὁ θεὸς τῆς δικαιοσύνης κρίνων τὸν Ἰσραὴλ ἐν παιδείᾳ.
ἐπίστρεψον, ὁ θεός, τὸ ἔλεός σου ἐφ' ἡμᾶς 27
καὶ οἰκτίρησον ἡμᾶς·
συνάγαγε τὴν διασποράν Ἰσραὴλ μετὰ ἐλέους καὶ χρηστότητος, 28
ὅτι ἡ πίστις σου μεθ' ἡμῶν.
καὶ ἡμεῖς ἐσκληρύναμεν τὸν τράχηλον ἡμῶν, 29
καὶ σὺ παιδευτὴς ἡμῶν εἶ.
μὴ ὑπερίδῃς ἡμᾶς, ὁ θεὸς ἡμῶν, 30
ἵνα μὴ καταπίωσιν ἡμᾶς ἔθνη ὡς μὴ ὄντος λυτρουμένου.
καὶ σὺ ὁ θεὸς ἡμῶν ἀπ' ἀρχῆς, 31
καὶ ἐπὶ σοὶ ἡ ἐλπὶς ἡμῶν, Κύριε·
καὶ ἡμεῖς οὐκ ἀφεξόμεθά σου, 32
ὅτι χρηστὰ τὰ κρίματά σου ἐφ' ἡμᾶς.
ἡμῖν καὶ τοῖς τέκνοις ἡμῶν ἡ εὐδοκία εἰς τὸν αἰῶνα· 33
Κύριε σωτὴρ ἡμῶν, οὐ σαλευθησόμεθα ἔτι τὸν αἰῶνα χρόνον.
αἰνετὸς Κύριος ἐν τοῖς κρίμασιν αὐτοῦ ἐν στόματι ὁσίων, 34
καὶ εὐλογημένος Ἰσραὴλ ὑπὸ Κυρίου εἰς τὸν αἰῶνα.

9 [Τῷ Σαλωμών· εἰς ἔλεγχον] **9**

Ἐν τῷ ἀπαχθῆναι Ἰσραὴλ ἐν ἀποικεσίᾳ εἰς γῆν ἀλλοτρίαν, 1
ἐν τῷ ἀποστῆναι αὐτοὺς ἀπὸ Κυρίου τοῦ λυτρωσαμένου αὐτούς,
ἀπερρίφησαν ἀπὸ κληρονομίας, ἧς ἔδωκεν αὐτοῖς Κύριος.
ἐν παντὶ ἔθνει ἡ διασπορὰ τοῦ Ἰσραὴλ κατὰ τὸ ῥῆμα τοῦ θεοῦ, 2
ἵνα δικαιωθῇς, ὁ θεός, ἐν τῇ δικαιοσύνῃ σου

ἐν ταῖς ἀνομίαις ἡμῶν,
ὅτι σὺ κριτὴς δίκαιος ἐπὶ πάντας τοὺς λαοὺς τῆς γῆς.
οὐ γὰρ κρυβήσεται ἀπὸ τῆς γνώσεώς σου πᾶς ποιῶν ἄδικα, 3
καὶ αἱ δικαιοσύναι τῶν ὁσίων σου ἐνώπιόν σου, Κύριε·
καὶ ποῦ κρυβήσεται ἄνθρωπος ἀπὸ τῆς γνώσεώς σου, ὁ θεός;
τὰ ἔργα ἡμῶν ἐν ἐκλογῇ καὶ ἐξουσίᾳ τῆς ψυχῆς ἡμῶν 4
τοῦ ποιῆσαι δικαιοσύνην καὶ ἀδικίαν ἐν ἔργοις χειρῶν ἡμῶν·
καὶ ἐν τῇ δικαιοσύνῃ σου ἐπισκέπτῃ υἱοὺς ἀνθρώπων.
ὁ ποιῶν δικαιοσύνην θησαυρίζει ζωὴν αὐτῷ παρὰ Κυρίῳ, 5
καὶ ὁ ποιῶν ἀδικίαν αὐτὸς αἴτιος τῆς ψυχῆς ἐν ἀπωλείᾳ·
τὰ γὰρ κρίματα Κυρίου ἐν δικαιοσύνῃ κατ' ἄνδρα καὶ οἶκον.
τίνι χρηστεύσῃ, ὁ θεός, εἰ μὴ τοῖς ἐπικαλουμένοις τὸν Κύριον; 6
καθαριεῖς ἐν ἁμαρτίαις ψυχὴν ἐν ἐξομολογήσει, ἐν ἐξαγορείαις,
ὅτι αἰσχύνη ἡμῖν καὶ τοῖς προσώποις ἡμῶν περὶ ἁπάντων.
καὶ τίνι ἀφήσεις ἁμαρτίας εἰ μὴ τοῖς ἡμαρτηκόσι; 7
δικαίους εὐλογήσεις καὶ οὐκ εὐθυνεῖς περὶ ὧν ἥμαρτον,
καὶ ἡ χρηστότης σου ἐπὶ ἁμαρτάνοντας ἐν μεταμελείᾳ.
καὶ νῦν σὺ ὁ θεός, καὶ ἡμεῖς λαός, ὃν ἠγάπησας· 8
ἴδε καὶ οἰκτίρησον, ὁ θεὸς Ἰσραήλ, ὅτι σοί ἐσμεν,
καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, ἵνα μὴ ἐπιθῶνται ἡμῖν.
ὅτι σὺ ᾑρετίσω τὸ σπέρμα Ἀβραὰμ παρὰ πάντα τὰ ἔθνη 9
καὶ ἔθου τὸ ὄνομά σου ἐφ' ἡμᾶς, Κύριε,
καὶ οὐκ ἀπώσῃ εἰς τὸν αἰῶνα.
ἐν διαθήκῃ διέθου τοῖς πατράσιν ἡμῶν περὶ ἡμῶν, 10
καὶ ἡμεῖς ἐλπιοῦμεν ἐπὶ σὲ ἐν ἐπιστροφῇ ψυχῆς ἡμῶν.
τοῦ Κυρίου ἡ ἐλεημοσύνη ἐπὶ οἶκον Ἰσραὴλ 11
εἰς τὸν αἰῶνα καὶ ἔτι.

10 [Ἐν ὕμνοις· τῷ Σαλωμών] **10**

Μακάριος ἀνήρ, οὗ ὁ Κύριος ἐμνήσθη ἐν ἐλεγμῷ, 1
καὶ ἐκυκλώθη ἀπὸ ὁδοῦ πονηρᾶς ἐν μάστιγι
καθαρισθῆναι ἀπὸ ἁμαρτίας τοῦ μὴ πληθῦναι.
ὁ ἑτοιμάζων νῶτον εἰς μάστιγας καθαρισθήσεται· 2
χρηστὸς γὰρ ὁ Κύριος τοῖς ὑπομένουσι παιδείαν.
ὀρθώσει γὰρ ὁδοὺς δικαίων καὶ οὐ διαστρέψει ἐν παιδείᾳ, 3
καὶ τὸ ἔλεος Κυρίου ἐπὶ τοὺς ἀγαπῶντας αὐτὸν ἐν ἀληθείᾳ.
καὶ μνησθήσεται Κύριος τῶν δούλων αὐτοῦ ἐν ἐλέει· 4
ἡ γὰρ μαρτυρία ἐν Νόμῳ Διαθήκης αἰωνίου,
ἡ μαρτυρία Κυρίου ἐπὶ ὁδοὺς ἀνθρώπων ἐν ἐπισκοπῇ.
δίκαιος καὶ ὅσιος ὁ Κύριος ἡμῶν 5
ἐν κρίμασιν αὐτοῦ εἰς τὸν αἰῶνα,
καὶ Ἰσραὴλ αἰνέσει τῷ ὀνόματι Κυρίου ἐν εὐφροσύνῃ.
καὶ ὅσιοι ἐξομολογήσονται ἐν ἐκκλησίᾳ λαοῦ, 6
καὶ πτωχοὺς ἐλεήσει ὁ θεὸς ἐν εὐφροσύνῃ Ἰσραήλ·

ὅτι χρηστὸς καὶ ἐλεήμων ὁ θεὸς εἰς τὸν αἰῶνα, 7
καὶ συναγωγαὶ Ἰσραὴλ δοξάσουσι τὸ ὄνομα Κυρίου.
τοῦ Κυρίου ἡ σωτηρία ἐπὶ οἶκον Ἰσραὴλ εἰς εὐφροσύνην αἰώνιον. 8

11 [Τῷ Σαλωμών· εἰς προσδοκίαν] **11**

Σαλπίσατε ἐν Σιὼν ἐν σάλπιγγι σημασίας ἁγίων, 1
κηρύξατε ἐν Ἰερουσαλὴμ φωνὴν εὐαγγελιζομένου·
ὅτι ἠλέησεν ὁ θεὸς Ἰσραὴλ ἐν τῇ ἐπισκοπῇ αὐτῶν.
στῆθι, Ἰερουσαλήμ, ἐφ' ὑψηλοῦ καὶ ἴδε τὰ τέκνα σου 2
ἀπὸ ἀνατολῶν καὶ δυσμῶν συνηγμένα εἰς ἅπαξ ὑπὸ Κυρίου.
ἀπὸ βορρᾶ ἔρχονται τῇ εὐφροσύνῃ τοῦ θεοῦ αὐτῶν, 3
ἐκ νήσων μακρόθεν συνήγαγεν αὐτοὺς ὁ θεός.
ὄρη ὑψηλὰ ἐταπείνωσεν εἰς ὁμαλισμὸν αὐτοῖς, 4
οἱ βουνοὶ ἔφυγον ἀπὸ εἰσόδου αὐτῶν·
οἱ δρυμοὶ ἐσκίασαν αὐτοῖς ἐν τῇ παρόδῳ αὐτῶν, 5
πᾶν ξύλον εὐωδίας ἀνέτειλεν αὐτοῖς ὁ θεός,
ἵνα παρέλθῃ Ἰσραὴλ ἐν ἐπισκοπῇ δόξης θεοῦ αὐτῶν. 6
ἔνδυσαι, Ἰερουσαλήμ, τὰ ἱμάτια τῆς δόξης σου, 7
ἑτοίμασον τὴν στολὴν τοῦ ἁγιάσματός σου·
ὅτι ὁ θεὸς ἐλάλησεν ἀγαθὰ Ἰσραὴλ εἰς τὸν αἰῶνα καὶ ἔτι.
ποιήσαι Κύριος ἃ ἐλάλησεν ἐπὶ Ἰσραὴλ καὶ Ἰερουσαλήμ, 8
ἀναστήσαι Κύριος τὸν Ἰσραὴλ ἐν ὀνόματι δόξης αὐτοῦ·
τοῦ Κυρίου τὸ ἔλεος ἐπὶ τὸν Ἰσραὴλ εἰς τὸν αἰῶνα καὶ ἔτι. 9

12 [Τῷ Σαλωμών· ἐν γλώσσῃ παρανόμων] **12**

Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀνδρὸς παρανόμου καὶ πονηροῦ, 1
ἀπὸ γλώσσης παρανόμου καὶ ψιθύρου
καὶ λαλούσης ψευδῆ καὶ δόλια.
ἐν ποικιλίᾳ στροφῆς οἱ λόγοι τῆς γλώσσης ἀνδρὸς πονηροῦ 2
ὥσπερ ἐν λαῷ πῦρ ἀνάπτον καλλονὴν αὐτοῦ.
ἡ παροικία αὐτοῦ ἐμπρήσαι οἴκους ἐν γλώσσῃ ψευδεῖ, 3
ἐκκόψαι δένδρα εὐφροσύνης φλογιζούσης παρανόμους,
συγχέαι οἴκους ἐν πολέμῳ χείλεσι ψιθύροις.
μακρύναι ὁ θεὸς ἀπὸ ἀκάκων χείλη παρανόμων ἐν ἀπορίᾳ, 4
καὶ σκορπισθείησαν ὀστᾶ ψιθύρων ἀπὸ φοβουμένων Κύριον·
ἐν πυρὶ φλογὸς γλῶσσα ψίθυρος ἀπόλοιτο ἀπὸ ὁσίων.
φυλάξαι Κύριος ψυχὴν ἡσύχιον μισοῦσαν ἀδίκους, 5
καὶ κατευθύναι Κύριος ἄνδρα ποιοῦντα εἰρήνην ἐν οἴκῳ.
τοῦ Κυρίου ἡ σωτηρία ἐπὶ Ἰσραὴλ παῖδα αὐτοῦ εἰς τὸν αἰῶνα· 6
καὶ ἀπόλοιντο οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου Κυρίου ἅπαξ,
καὶ ὅσιοι Κυρίου κληρονομήσαισαν ἐπαγγελίας Κυρίου.

13 [Τῷ Σαλωμὼν ψαλμός· παράκλησις τῶν δικαίων] **13**

Δεξιὰ Κυρίου ἐσκέπασέ με, 1
δεξιὰ Κυρίου ἐφείσατο ἡμῶν·
ὁ βραχίων Κυρίου ἔσωσεν ἡμᾶς ἀπὸ ῥομφαίας διαπορευομένης, 2
ἀπὸ λιμοῦ καὶ θανάτου ἁμαρτωλῶν.
θηρία ἐπέδραμον αὐτοῖς πονηρά· 3
ἐν τοῖς ὀδοῦσιν αὐτῶν ἔτιλλον σάρκα αὐτῶν
καὶ ἐν ταῖς μύλαις ἔθλων ὀστᾶ αὐτῶν·
καὶ ἐκ τούτων ἁπάντων ἐρρύσατο ἡμᾶς Κύριος. 4
ἐταράχθη ὁ εὐσεβὴς διὰ τὰ παραπτώματα αὐτοῦ, 5
μήποτε συμπαραληφθῇ μετὰ τῶν ἁμαρτωλῶν·
ὅτι δεινὴ ἡ καταστροφὴ τοῦ ἁμαρτωλοῦ, 6
καὶ οὐχ ἅψεται δικαίου οὐδὲν ἐκ πάντων τούτων.
ὅτι οὐχ ὁμοία ἡ παιδεία τῶν δικαίων ἐν ἀγνοίᾳ 7
καὶ ἡ καταστροφὴ τῶν ἁμαρτωλῶν.
ἐν περιστολῇ παιδεύεται δίκαιος, 8
ἵνα μὴ ἐπιχαρῇ ὁ ἁμαρτωλὸς ἐπὶ τῷ δικαίῳ·
ὅτι νουθετήσει δίκαιον ὡς υἱὸν ἀγαπήσεως, 9
καὶ ἡ παιδεία αὐτοῦ ὡς πρωτοτόκου.
ὅτι φείσεται Κύριος τῶν ὁσίων αὐτοῦ 10
καὶ τὰ παραπτώματα αὐτῶν ἐξαλείψει ἐν παιδείᾳ.
ἡ γὰρ ζωὴ τῶν δικαίων εἰς τὸν αἰῶνα· 11
ἁμαρτωλοὶ δὲ ἀρθήσονται εἰς ἀπώλειαν,
καὶ οὐχ εὑρεθήσεται μνημόσυνον αὐτῶν ἔτι·
ἐπὶ δὲ τοὺς ὁσίους τὸ ἔλεος Κυρίου, 12
καὶ ἐπὶ τοὺς φοβουμένους αὐτὸν τὸ ἔλεος αὐτοῦ.

14 [Ὕμνος τῷ Σαλωμών] **14**

Πιστὸς Κύριος τοῖς ἀγαπῶσιν αὐτὸν ἐν ἀληθείᾳ, 1
τοῖς ὑπομένουσι παιδείαν αὐτοῦ,
τοῖς πορευομένοις ἐν δικαιοσύνῃ προσταγμάτων αὐτοῦ, 2
ἐν Νόμῳ, ᾧ ἐνετείλατο ἡμῖν εἰς ζωὴν ἡμῶν.
ὅσιοι Κυρίου ζήσονται ἐν αὐτῷ εἰς τὸν αἰῶνα· 3
ὁ παράδεισος τοῦ Κυρίου, τὰ ξύλα τῆς ζωῆς, ὅσιοι αὐτοῦ.
ἡ φυτεία αὐτῶν ἐρριζωμένη εἰς τὸν αἰῶνα, 4
οὐκ ἐκτιλήσονται πάσας τὰς ἡμέρας τοῦ οὐρανοῦ·
ὅτι ἡ μερὶς καὶ κληρονομία τοῦ θεοῦ ἐστιν Ἰσραήλ. 5
καὶ οὐχ οὕτως οἱ ἁμαρτωλοὶ καὶ παράνομοι, 6
οἳ ἠγάπησαν ἡμέραν ἐν μετοχῇ ἁμαρτίας αὐτῶν·
ἐν μικρότητι σαπρίας ἐπιθυμία αὐτῶν, 7
καὶ οὐκ ἐμνήσθησαν τοῦ θεοῦ.
ὅτι ὁδοὶ ἀνθρώπων γνωσταὶ ἐνώπιον αὐτοῦ διὰ παντός, 8
καὶ ταμιεῖα καρδίας ἐπίσταται πρὸ τοῦ γενέσθαι.

διὰ τοῦτο ἡ κληρονομία αὐτῶν ᾅδης καὶ σκότος καὶ ἀπώλεια, 9
καὶ οὐχ εὑρεθήσονται ἐν ἡμέρᾳ ἐλέους δικαίων·
οἱ δὲ ὅσιοι Κυρίου κληρονομήσουσι ζωὴν ἐν εὐφροσύνῃ. 10

15 [Ψαλμὸς τῷ Σαλωμὼν μετὰ ᾠδῆς] **15**

1 Ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸ ὄνομα Κυρίου, 1
εἰς βοήθειαν ἤλπισα τοῦ θεοῦ Ἰακὼβ καὶ ἐσώθην·
ὅτι ἐλπὶς καὶ καταφυγὴ τῶν πτωχῶν σύ, ὁ θεός.
τίς γὰρ ἰσχύει, ὁ θεός, εἰ μὴ ἐξομολογήσασθαί σοι ἐν ἀληθείᾳ; 2
5 καὶ τί δυνατὸς ἄνθρωπος
εἰ μὴ ἐξομολογήσασθαι τῷ ὀνόματί σου;
ψαλμὸν καινὸν μετὰ ᾠδῆς ἐν εὐφροσύνῃ καρδίας, 3
καρπὸν χειλέων ἐν ὀργάνῳ ἡρμοσμένῳ γλώσσῃ,
ἀπαρχὴν χειλέων ἀπὸ καρδίας ὁσίας καὶ δικαίας,
10 ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ἀπὸ κακοῦ, 4
φλὸξ πυρὸς καὶ ὀργὴ ἀδίκων οὐχ ἅψεται αὐτοῦ,
ὅταν ἐξέλθῃ ἐπὶ ἁμαρτωλοὺς ἀπὸ προσώπου Κυρίου 5
ὀλοθρεῦσαι πᾶσαν ὑπόστασιν ἁμαρτωλῶν·
ὅτι τὸ σημεῖον τοῦ θεοῦ ἐπὶ δικαίους εἰς σωτηρίαν. 6
15 λιμὸς καὶ ῥομφαία καὶ θάνατος ἀπὸ δικαίων μακράν, 7
φεύξονται γὰρ ὡς διωκόμενοι πολέμου ἀπὸ ὁσίων·
καταδιώξονται δὲ ἁμαρτωλοὺς καὶ καταλήψονται, 8
καὶ οὐκ ἐκφεύξονται οἱ ποιοῦντες ἀνομίαν τὸ κρῖμα Κυρίου·
ὡς ὑπὸ πολεμίων ἐμπείρων καταληφθήσονται, 9
20 τὸ γὰρ σημεῖον τῆς ἀπωλείας ἐπὶ τοῦ μετώπου αὐτῶν.
καὶ ἡ κληρονομία τῶν ἁμαρτωλῶν ἀπώλεια καὶ σκότος, 10
καὶ αἱ ἀνομίαι αὐτῶν διώξονται αὐτοὺς ἕως ᾅδου κάτω.
ἡ κληρονομία αὐτῶν οὐχ εὑρεθήσεται τοῖς τέκνοις αὐτῶν, 11
αἱ γὰρ ἁμαρτίαι ἐξερημώσουσιν οἴκους ἁμαρτωλῶν·
25 καὶ ἀπολοῦνται ἁμαρτωλοὶ 12
ἐν ἡμέρᾳ κρίσεως Κυρίου εἰς τὸν αἰῶνα,
ὅταν ἐπισκέπτηται ὁ θεὸς τὴν γῆν ἐν κρίματι αὐτοῦ·
οἱ δὲ φοβούμενοι τὸν Κύριον ἐλεηθήσονται ἐν αὐτῇ 13
καὶ ζήσονται ἐν τῇ ἐλεημοσύνῃ τοῦ θεοῦ αὐτῶν·
30 καὶ ἁμαρτωλοὶ ἀπολοῦνται εἰς τὸν αἰῶνα χρόνον.

16 [Ὕμνος τῷ Σαλωμών· εἰς ἀντίληψιν ὁσίοις] **16**

1 Ἐν τῷ νυστάξαι ψυχήν μου ἀπὸ Κυρίου παρὰ μικρὸν ὠλίσθησα 1
ἐν καταφορᾷ ὑπνούντων μακρὰν ἀπὸ θεοῦ,
παρ' ὀλίγον ἐξεχύθη ἡ ψυχή μου εἰς θάνατον 2
σύνεγγυς πυλῶν ᾅδου μετὰ ἁμαρτωλοῦ
5 ἐν τῷ διενεχθῆναι ψυχήν μου ἀπὸ Κυρίου θεοῦ Ἰσραήλ, 3
εἰ μὴ ὁ Κύριος ἀντελάβετό μου τῷ ἐλέει αὐτοῦ εἰς τὸν αἰῶνα.

ἔνυξέ με ὡς κέντρον ἵππου ἐπὶ τὴν γρηγόρησιν αὐτοῦ, 4
ὁ σωτὴρ καὶ ἀντιλήπτωρ μου ἐν παντὶ καιρῷ ἔσωσέ με.
ἐξομολογήσομαί σοι, ὁ θεός, ὅτι ἀντελάβου μου εἰς σωτηρίαν 5
καὶ οὐκ ἐλογίσω με μετὰ τῶν ἁμαρτωλῶν εἰς ἀπώλειαν.
μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀπ' ἐμοῦ, ὁ θεός, 6
μηδὲ τὴν μνήμην σου ἀπὸ καρδίας μου ἕως θανάτου.
ἐπικράτησόν μου, ὁ θεός, ἀπὸ ἁμαρτίας πονηρᾶς 7
καὶ ἀπὸ πάσης γυναικὸς πονηρᾶς σκανδαλιζούσης ἄφρονα.
καὶ μὴ ἀπατησάτω με κάλλος γυναικὸς παρανομούσης 8
καὶ παντὸς ὑποκειμένου ἀπὸ ἁμαρτίας ἀνωφελοῦς.
τὰ ἔργα τῶν χειρῶν μου κατεύθυνον ἐν τόπῳ σου 9
καὶ τὰ διαβήματά μου ἐν τῇ μνήμῃ σου διαφύλαξον.
τὴν γλῶσσάν μου καὶ τὰ χείλη μου 10
ἐν λόγοις ἀληθείας περίστειλον,
ὀργὴν καὶ θυμὸν ἄλογον μακρὰν ποίησον ἀπ' ἐμοῦ.
γογγυσμὸν καὶ ὀλιγοψυχίαν ἐν θλίψει μάκρυνον ἀπ' ἐμοῦ, 11
ἐὰν ἁμαρτήσω ἐν τῷ σὲ παιδεύειν εἰς ἐπιστροφήν.
εὐδοκίᾳ δὲ μετὰ ἱλαρότητος στήριξον τὴν ψυχήν μου· 12
ἐν τῷ ἐνισχῦσαί σε τὴν ψυχήν μου ἀρκέσει μοι τὸ δοθέν.
ὅτι ἐὰν μὴ σὺ ἐνισχύσῃς, 13
τίς ὑφέξεται παιδείαν ἐν πενίᾳ;
ἐν τῷ ἐλέγχεσθαι ψυχὴν ἐν χειρὶ σαπρίας αὐτοῦ 14
ἡ δοκιμασία σου ἐν σαρκὶ αὐτοῦ καὶ ἐν θλίψει πενίας·
ἐν τῷ ὑπομεῖναι δίκαιον ἐν τούτοις ἐλεηθήσεσθε ὑπὸ Κυρίου. 15

17 [Ψαλμὸς τῷ Σαλωμὼν μετὰ ᾠδῆς· τῷ βασιλεῖ] **17**

Κύριε, σὺ αὐτὸς βασιλεὺς ἡμῶν εἰς τὸν αἰῶνα καὶ ἔτι· 1
ὅτι ἐν σοί, ὁ θεός, καυχήσεται ἡ ψυχὴ ἡμῶν.
καὶ τίς ὁ χρόνος τῆς ζωῆς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς; 2
κατὰ τὸν χρόνον αὐτοῦ καὶ ἡ ἐλπὶς αὐτοῦ ἐπ' αὐτόν.
ἡμεῖς δὲ ἐλπιοῦμεν ἐπὶ τὸν θεὸν σωτῆρα ἡμῶν· 3
ὅτι τὸ κράτος τοῦ θεοῦ ἡμῶν εἰς τὸν αἰῶνα μετ' ἐλέους,
καὶ ἡ βασιλεία τοῦ θεοῦ ἡμῶν εἰς τὸν αἰῶνα ἐπὶ τὰ ἔθνη ἐν κρίσει.
σύ, Κύριε, ᾑρετίσω τὸν Δαυὶδ βασιλέα ἐπὶ Ἰσραήλ, 4
καὶ σὺ ὤμοσας αὐτῷ περὶ τοῦ σπέρματος αὐτοῦ εἰς τὸν αἰῶνα,
τοῦ μὴ ἐκλείπειν ἀπέναντί σου βασίλειον αὐτοῦ.
καὶ ἐν ταῖς ἁμαρτίαις ἡμῶν ἐπανέστησαν ἡμῖν ἁμαρτωλοί· 5
ἐπέθεντο ἡμῖν καὶ ἔξωσαν ἡμᾶς οἷς οὐκ ἐπηγγείλω,
μετὰ βίας ἀφείλαντο καὶ οὐκ ἐδόξασαν τὸ ὄνομά σου τὸ ἔντιμον.
ἐν δόξῃ ἔθεντο βασίλειον ἀντὶ ὕψους αὐτῶν, 6
ἠρήμωσαν τὸν θρόνον Δαυὶδ ἐν ὑπερηφανίᾳ ἀλλάγματος.
καὶ σύ, ὁ θεός, καταβαλεῖς αὐτοὺς 7
καὶ ἀρεῖς τὸ σπέρμα αὐτῶν ἀπὸ τῆς γῆς
ἐν τῷ ἐπαναστῆναι αὐτοῖς ἄνθρωπον ἀλλότριον γένους ἡμῶν.

κατὰ τὰ ἁμαρτήματα αὐτῶν ἀποδώσεις αὐτοῖς, ὁ θεός, 8
εὑρεθῆναι αὐτοῖς κατὰ τὰ ἔργα αὐτῶν.
οὐκ ἠλέησεν αὐτοὺς ὁ θεός, 9
ἐξηρεύνησε τὸ σπέρμα αὐτῶν καὶ οὐκ ἀφῆκεν αὐτῶν ἕνα.
πιστὸς ὁ Κύριος ἐν πᾶσι τοῖς κρίμασιν αὐτοῦ, 10
οἷς ποιεῖ ἐπὶ τὴν γῆν.
ἠρήμωσεν ὁ ἄνομος τὴν γῆν ἡμῶν ἀπὸ ἐνοικούντων αὐτήν, 11
ἠφάνισαν νέον καὶ πρεσβύτην καὶ τέκνα αὐτῶν ἅμα·
ἐν ὀργῇ κάλλους αὐτοῦ ἐξαπέστειλεν αὐτὰ ἕως ἐπὶ δυσμῶν 12
καὶ τοὺς ἄρχοντας τῆς γῆς εἰς ἐμπαιγμὸν καὶ οὐκ ἐφείσατο.
ἐν ἀλλοτριότητι ὁ ἐχθρὸς ἐποίησεν ὑπερηφανίαν, 13
καὶ ἡ καρδία αὐτοῦ ἀλλοτρία ἀπὸ τοῦ θεοῦ ἡμῶν.
καὶ πάντα, ὅσα ἐποίησεν ἐν Ἰερουσαλήμ, 14
καθὼς καὶ τὰ ἔθνη ἐν ταῖς πόλεσι τοῦ σθένους αὐτῶν.
καὶ ἐπεκράτουν αὐτῶν οἱ υἱοὶ τῆς διαθήκης 15
ἐν μέσῳ ἐθνῶν συμμίκτων,
οὐκ ἦν ἐν αὐτοῖς ὁ ποιῶν ἐν Ἰερουσαλὴμ ἔλεος καὶ ἀλήθειαν.
ἔφυγον ἀπ' αὐτῶν οἱ ἀγαπῶντες συναγωγὰς ὁσίων, 16
ὡς στρουθία ἐξεπετάσθησαν ἀπὸ κοίτης αὐτῶν.
ἐπλανῶντο ἐν ἐρήμοις σωθῆναι ψυχὰς αὐτῶν ἀπὸ κακοῦ, 17
καὶ τίμιον ἐν ὀφθαλμοῖς παροικίας ψυχὴ σεσωσμένη ἐξ αὐτῶν.
εἰς πᾶσαν τὴν γῆν ἐγενήθη ὁ σκορπισμὸς αὐτῶν ὑπὸ ἀνόμων, 18
ὅτι ἀνέσχεν ὁ οὐρανὸς τοῦ στάξαι ὑετὸν ἐπὶ τὴν γῆν.
πηγαὶ συνεσχέθησαν αἰώνιοι ἐξ ἀβύσσων ἀπὸ ὀρέων ὑψηλῶν, 19
ὅτι οὐκ ἦν ἐν αὐτοῖς ποιῶν δικαιοσύνην καὶ κρῖμα.
ἀπὸ ἄρχοντος αὐτῶν καὶ λαοῦ ἐλαχίστου ἐν πάσῃ ἁμαρτίᾳ, 20
ὁ βασιλεὺς ἐν παρανομίᾳ καὶ ὁ κριτὴς ἐν ἀπειθείᾳ
καὶ ὁ λαὸς ἐν ἁμαρτίᾳ.
ἴδε, Κύριε, καὶ ἀνάστησον αὐτοῖς 21
τὸν βασιλέα αὐτῶν υἱὸν Δαυΐδ
εἰς τὸν καιρόν, ὃν εἵλου σύ, ὁ θεός,
τοῦ βασιλεῦσαι ἐπὶ Ἰσραὴλ παῖδά σου·
καὶ ὑπόζωσον αὐτὸν ἰσχὺν τοῦ θραῦσαι ἄρχοντας ἀδίκους, 22
καθαρίσαι Ἰερουσαλὴμ ἀπὸ ἐθνῶν καταπατούντων ἐν ἀπωλείᾳ,
ἐν σοφίᾳ δικαιοσύνης ἐξῶσαι ἁμαρτωλοὺς ἀπὸ κληρονομίας, 23
ἐκτρῖψαι ὑπερηφανίαν ἁμαρτωλοῦ ὡς σκεύη κεραμέως,
ἐν ῥάβδῳ σιδηρᾷ συντρῖψαι πᾶσαν ὑπόστασιν αὐτῶν, 24
ὀλεθρεῦσαι ἔθνη παράνομα ἐν λόγῳ στόματος αὐτοῦ,
ἐν ἀπειλῇ αὐτοῦ φυγεῖν ἔθνη ἀπὸ προσώπου αὐτοῦ 25
καὶ ἐλέγξαι ἁμαρτωλοὺς ἐν λόγῳ καρδίας αὐτῶν.
καὶ συνάξει λαὸν ἅγιον, οὗ ἀφηγήσεται ἐν δικαιοσύνῃ, 26
καὶ κρινεῖ φυλὰς λαοῦ ἡγιασμένου ὑπὸ Κυρίου θεοῦ αὐτοῦ·
καὶ οὐκ ἀφήσει ἀδικίαν ἐν μέσῳ αὐτῶν αὐλισθῆναι ἔτι, 27
καὶ οὐ κατοικήσει πᾶς ἄνθρωπος μετ' αὐτῶν εἰδὼς κακίαν·
γνώσεται γὰρ αὐτοὺς ὅτι πάντες υἱοὶ θεοῦ εἰσιν αὐτῶν.

καὶ καταμερίσει αὐτοὺς ἐν ταῖς φυλαῖς αὐτῶν ἐπὶ τῆς γῆς, 28
καὶ πάροικος καὶ ἀλλογενὴς οὐ παροικήσει αὐτοῖς ἔτι·
κρινεῖ λαοὺς καὶ ἔθνη ἐν σοφίᾳ δικαιοσύνης αὐτοῦ. 29

[Διάψαλμα]

καὶ ἕξει λαοὺς ἐθνῶν δουλεύειν αὐτῷ ὑπὸ τὸν ζυγὸν αὐτοῦ 30
καὶ τὸν Κύριον δοξάσει ἐν ἐπισήμῳ πάσης τῆς γῆς
καὶ καθαριεῖ Ἰερουσαλὴμ ἐν ἁγιασμῷ ὡς καὶ τὸ ἀπ' ἀρχῆς
ἔρχεσθαι ἔθνη ἀπ' ἄκρου τῆς γῆς ἰδεῖν τὴν δόξαν αὐτοῦ 31
φέροντα δῶρα τοὺς ἐξησθενηκότας υἱοὺς αὐτῆς
καὶ ἰδεῖν τὴν δόξαν Κυρίου, ἣν ἐδόξασεν αὐτὴν ὁ θεός.
καὶ αὐτὸς βασιλεὺς δίκαιος διδακτὸς ὑπὸ θεοῦ ἐπ' αὐτούς, 32
καὶ οὐκ ἔστιν ἀδικία ἐν ταῖς ἡμέραις αὐτοῦ ἐν μέσῳ αὐτῶν,
ὅτι πάντες ἅγιοι, καὶ βασιλεὺς αὐτῶν χριστὸς Κυρίου.
οὐ γὰρ ἐλπιεῖ ἐπὶ ἵππον καὶ ἀναβάτην καὶ τόξον 33
οὐδὲ πληθυνεῖ αὐτῷ χρυσίον οὐδὲ ἀργύριον εἰς πόλεμον
καὶ πολλοῖς <λαοῖς> οὐ συνάξει ἐλπίδας εἰς ἡμέραν πολέμου.
Κύριος αὐτὸς βασιλεὺς αὐτοῦ, ἐλπὶς τοῦ δυνατοῦ ἐλπίδι θεοῦ, 34
καὶ ἐλεήσει πάντα τὰ ἔθνη ἐνώπιον αὐτοῦ ἐν φόβῳ.
πατάξει γὰρ γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ εἰς αἰῶνα, 35
εὐλογήσει λαὸν Κυρίου ἐν σοφίᾳ μετ' εὐφροσύνης·
καὶ αὐτὸς καθαρὸς ἀπὸ ἁμαρτίας τοῦ ἄρχειν λαοῦ μεγάλου, 36
ἐλέγξαι ἄρχοντας καὶ ἐξᾶραι ἁμαρτωλοὺς ἐν ἰσχύι λόγου.
καὶ οὐκ ἀσθενήσει ἐν ταῖς ἡμέραις αὐτοῦ ἐπὶ θεῷ αὐτοῦ· 37
ὅτι ὁ θεὸς κατειργάσατο αὐτὸν δυνατὸν ἐν πνεύματι ἁγίῳ
καὶ σοφὸν ἐν βουλῇ συνέσεως μετὰ ἰσχύος καὶ δικαιοσύνης.
καὶ εὐλογία Κυρίου μετ' αὐτοῦ ἐν ἰσχύι, 38
καὶ οὐκ ἀσθενήσει.
ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον, 39
καὶ τίς δύναται πρὸς αὐτόν;
ἰσχυρὸς ἐν ἔργοις αὐτοῦ καὶ κραταιὸς ἐν φόβῳ θεοῦ, 40
ποιμαίνων τὸ ποίμνιον Κυρίου ἐν πίστει καὶ δικαιοσύνῃ
καὶ οὐκ ἀφήσει ἀσθενῆσαι ἐν αὐτοῖς ἐν τῇ νομῇ αὐτῶν.
ἐν ἰσότητι πάντας αὐτοὺς ἄξει, 41
καὶ οὐκ ἔσται ἐν αὐτοῖς ὑπερηφανία
τοῦ καταδυναστευθῆναι ἐν αὐτοῖς.
αὕτη ἡ εὐπρέπεια τοῦ βασιλέως Ἰσραήλ, ἣν ἔγνω ὁ θεός, 42
ἀναστῆσαι αὐτὸν ἐπ' οἶκον Ἰσραὴλ παιδεῦσαι αὐτόν.
τὰ ῥήματα αὐτοῦ πεπυρωμένα ὑπὲρ χρυσίον τὸ πρῶτον τίμιον, 43
ἐν συναγωγαῖς διακρινεῖ λαοῦ φυλὰς ἡγιασμένου,
οἱ λόγοι αὐτοῦ ὡς λόγοι ἁγίων ἐν μέσῳ λαῶν ἡγιασμένων.
μακάριοι οἱ γενόμενοι ἐν ταῖς ἡμέραις ἐκείναις 44
ἰδεῖν τὰ ἀγαθὰ Ἰσραὴλ ἐν συναγωγῇ φυλῶν, ἃ ποιήσει ὁ θεός.
ταχύναι ὁ θεὸς ἐπὶ Ἰσραὴλ τὸ ἔλεος αὐτοῦ, 45
ῥύσαιτο ἡμᾶς ἀπὸ ἀκαθαρσίας ἐχθρῶν βεβήλων.

Κύριος αὐτὸς βασιλεὺς ἡμῶν εἰς τὸν αἰῶνα καὶ ἔτι. 46

18 [Ψαλμὸς τῷ Σαλωμών· ἔτι τοῦ χριστοῦ Κυρίου] **18**

1 Κύριε, τὸ ἔλεός σου ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου εἰς τὸν αἰῶνα, 1
ἡ χρηστότης σου μετὰ αἵματος πλουσίου ἐπὶ Ἰσραήλ·
οἱ ὀφθαλμοί σου ἐπιβλέποντες ἐπ' αὐτά, 2
καὶ οὐχ ὑστερήσει ἐξ αὐτῶν·
5 τὰ ὦτά σου ἐπακούει εἰς δέησιν πτωχοῦ ἐν ἐλπίδι.
τὰ κρίματά σου ἐπὶ πᾶσαν τὴν γῆν μετὰ ἐλέους, 3
καὶ ἡ ἀγάπη σου ἐπὶ σπέρμα Ἀβραὰμ υἱοὺς Ἰσραήλ.
ἡ παιδεία σου ἐφ' ἡμᾶς ὡς ἐφ' υἱὸν πρωτότοκον μονογενῆ 4
ἀποστρέψαι ψυχὴν εὐήκοον ἀπὸ ἀμαθείας ἐν ἀγνοίᾳ.
10 καθαρίσαι ὁ θεὸς Ἰσραὴλ εἰς ἡμέραν ἐλέους ἐν εὐλογίᾳ, 5
εἰς ἡμέραν ἐκλογῆς ἐν ἀνάξει χριστοῦ αὐτοῦ.
μακάριοι οἱ γενόμενοι ἐν ταῖς ἡμέραις ἐκείναις 6
ἰδεῖν τὰ ἀγαθὰ Κυρίου, ἃ ποιήσει γενεᾷ τῇ ἐρχομένῃ,
ὑπὸ ῥάβδον παιδείας χριστοῦ Κυρίου ἐν φόβῳ θεοῦ αὐτοῦ, 7
15 ἐν σοφίᾳ πνεύματος καὶ δικαιοσύνης καὶ ἰσχύος,
κατευθῦναι ἄνδρα ἐν ἔργοις δικαιοσύνης φόβῳ θεοῦ, 8
καταστῆσαι πάντας αὐτοὺς ἐνώπιον Κυρίου
γενεὰν ἀγαθὴν ἐν φόβῳ θεοῦ ἐν ἡμέραις ἐλέους. 9

[Διάψαλμα]

Μέγας ἡμῶν ὁ θεὸς καὶ ἔνδοξος ἐν ὑψίστοις κατοικῶν, 10
20 ὁ διατάξας ἐν πορείᾳ φωστῆρας εἰς καιροὺς ὡρῶν
ἀφ' ἡμερῶν εἰς ἡμέρας,
καὶ οὐ παρέβησαν ἀπὸ ὁδοῦ, ἧς ἐνετείλω αὐτοῖς·
ἐν φόβῳ θεοῦ ἡ ὁδὸς αὐτῶν καθ' ἑκάστην ἡμέραν, 11
ἀφ' ἧς ἡμέρας ἔκτισεν αὐτοὺς ὁ θεὸς καὶ ἕως αἰῶνος·
καὶ οὐκ ἐπλανήθησαν, ἀφ' ἧς ἡμέρας ἔκτισεν αὐτούς, 12
25 ἀπὸ γενεῶν ἀρχαίων οὐκ ἀπέστησαν ὁδῶν αὐτῶν,
εἰ μὴ ὁ θεὸς ἐνετείλατο αὐτοῖς ἐν ἐπιταγῇ δούλων αὐτοῦ.

16. ΠΡΟΣΕΥΧΗΤΑΡΙΟΝ ΤΟΥ ΙΟΥΔΑΙΟΥ

α΄. ΠΡΟΣΕΥΧΗ

[Προσευχὴ Ἀζαρίου]*

1 1 Εὐλογητὸς εἶ, Κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετός, 26 **3**
καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας,
ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν, 27
καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ ὁδοί σου,
5 καὶ πᾶσαι αἱ κρίσεις σου ἀλήθεια,
καὶ κρίματα ἀληθείας ἐποίησας 28
κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν
καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἰερουσαλήμ,
10 ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες πάντα ταῦτα
διὰ τὰς ἁμαρτίας ἡμῶν.
ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ 29
καὶ ἐξημάρτομεν ἐν πᾶσι καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν
οὐδὲ συνετηρήσαμεν οὐδὲ ἐποιήσαμεν 30
15 καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται.
καὶ πάντα, ὅσα ἡμῖν ἐπήγαγες, καὶ πάντα, ὅσα ἐποίησας ἡμῖν, 31
ἐν ἀληθινῇ κρίσει ἐποίησας·
καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν 32
ἀνόμων ἐχθίστων ἀποστατῶν
20 καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν.
καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα, 33
αἰσχύνη καὶ ὄνειδος ἐγενήθη τοῖς δούλοις σου
καὶ τοῖς σεβομένοις σε.
μὴ δὴ παραδῷς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου 34
25 καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου
καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν 35
δι' Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ
καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου
καὶ Ἰσραὴλ τὸν ἅγιόν σου,
30 οἷς ἐλάλησας πρὸς αὐτοὺς λέγων 36
πληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ
καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.
ὅτι, δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη 37
καί ἐσμεν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον
35 διὰ τὰς ἁμαρτίας ἡμῶν,

καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ 38
ἄρχων καὶ προφήτης καὶ ἡγούμενος
οὐδὲ ὁλοκαύτωσις οὐδὲ θυσία οὐδὲ προσφορὰ οὐδὲ θυμίαμα,
οὐ τόπος τοῦ καρπῶσαι ἐναντίον σου καὶ εὑρεῖν ἔλεος·
ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ 39
καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν
ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων
καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων·
οὕτω γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου σήμερον 40
καὶ ἐκτελέσαι ὄπισθέν σου,
ὅτι οὐκ ἔσται αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί.
καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ καὶ φοβούμεθά σε 41
καὶ ζητοῦμεν τὸ πρόσωπόν σου, μὴ καταισχύνῃς ἡμᾶς,
ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου 42
καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου
καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου 43
καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε.
καὶ ἐντραπείησαν πάντες 44
οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακὰ
καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυνάμεως καὶ δυναστείας,
καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη·
γνώτωσαν ὅτι σὺ εἶ Κύριος ὁ θεὸς μόνος 45
καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην**.

* Συστὰς Ἀζαρίας προσηύξατο οὕτω· καὶ ἀνοίξας τὸ στόμα αὐ- 25
τοῦ ἐν μέσῳ τοῦ πυρὸς εἶπεν·
** Καὶ οὐ διέλειπον οἱ ἐμβαλόντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως 46
καίοντες τὴν κάμινον νάφθαν καὶ πίσσαν καὶ στυππίον καὶ κληματίδα.
καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαράκοντα ἐν- 47
νέα καὶ διώδευσε καὶ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλ- 48
δαίων. ὁ δὲ ἄγγελος Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς 49
τὴν κάμινον καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου καὶ ἐ- 50
ποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον, καὶ οὐχ
ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ καὶ οὐκ ἐλύπησεν οὐδὲ παρηνώχλη-
σεν αὐτοῖς.

β΄. ΥΜΝΟΣ
[Ὕμνος τῶν τριῶν παίδων]*

2 1 Εὐλογητὸς εἶ, Κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, 52 **3**
καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας,
καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον
καὶ ὑπεραινετὸν καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας.
5 εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου 53
καὶ ὑπερυμνητὸς καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας.

εὐλογημένος εἶ, ὁ ἐπιβλέπων ἀβύσσους καθήμενος ἐπὶ χερουβίμ, 55
καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.
εὐλογημένος εἶ ἐπὶ θρόνου τῆς βασιλείας σου 54
καὶ ὑπερυμνητὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.
εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ 56
καὶ ὑμνητὸς καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον· 57
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, οὐρανοί, τὸν Κύριον· 59
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, ἄγγελοι Κυρίου, τὸν Κύριον· 58
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, ὕδατα πάντα τὰ ἐπάνω τοῦ οὐρανοῦ, τὸν Κύριον· 60
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, πᾶσαι αἱ δυνάμεις, τὸν Κύριον· 61
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, ἥλιος καὶ σελήνη, τὸν Κύριον· 62
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, ἄστρα τοῦ οὐρανοῦ, τὸν Κύριον· 63
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, πᾶς ὄμβρος καὶ δρόσος, τὸν Κύριον· 64
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, πάντα τὰ πνεύματα, τὸν Κύριον· 65
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, πῦρ καὶ καῦμα, τὸν Κύριον· 66
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, ψῦχος καὶ καύσων, τὸν Κύριον· 67
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, δρόσοι καὶ νιφετοί, τὸν Κύριον· 68
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, νύκτες καὶ ἡμέραι, τὸν Κύριον· 71
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, φῶς καὶ σκότος, τὸν Κύριον· 72
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, πάγος καὶ ψῦχος, τὸν Κύριον· 69
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, πάχναι καὶ χιόνες, τὸν Κύριον· 70
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, ἀστραπαὶ καὶ νεφέλαι, τὸν Κύριον· 73
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογείτω ἡ γῆ τὸν Κύριον· 74
ὑμνείτω καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, ὄρη καὶ βουνοί, τὸν Κύριον· 75
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, πάντα τὰ φυόμενα ἐν τῇ γῇ, τὸν Κύριον· 76

ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, θάλασσαι καὶ ποταμοί, τὸν Κύριον· 78
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
55 εὐλογεῖτε, αἱ πηγαί, τὸν Κύριον· 77
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, κήτη καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασιν, τὸν Κύριον· 79
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ τὸν Κύριον· 80
60 ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, πάντα τὰ θηρία καὶ τὰ κτήνη, τὸν Κύριον· 81
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, οἱ υἱοὶ τῶν ἀνθρώπων, τὸν Κύριον· 82
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
65 εὐλογεῖτε, Ἰσραήλ, τὸν Κύριον· 83
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, ἱερεῖς Κυρίου, τὸν Κύριον· 84
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, δοῦλοι Κυρίου, τὸν Κύριον· 85
70 ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ δικαίων, τὸν Κύριον· 86
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, τὸν Κύριον· 87
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας**.
75 ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός, 89
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
εὐλογεῖτε, πάντες οἱ σεβόμενοι τὸν Κύριον τὸν θεὸν τῶν θεῶν· 90
ὑμνεῖτε καὶ ἐξομολογεῖσθε,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

* Τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ ἐδόξαζον καὶ εὐλόγουν τὸν θεὸν ἐν τῇ καμίνῳ λέγοντες· 51
** εὐλογεῖτε, Ἀνανία, Ἀζαρία, Μισαήλ, τὸν Κύριον· 87
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας, 88
ὅτι ἐξείλατο ἡμᾶς ἐξ ᾅδου καὶ ἐκ χειρὸς θανάτου ἔσωσεν ἡμᾶς
καὶ ἐρρύσατο ἡμᾶς ἐκ μέσου καμίνου καιομένης φλογὸς
καὶ ἐκ μέσου πυρὸς ἐρρύσατο ἡμᾶς.

γ΄. ΠΡΟΣΕΥΧΗ ΕΙΣ ΑΓΑΛΛΙΑΣΙΝ
[Προσευχὴ Τωβίτ]

3 1 Εὐλογητὸς ὁ θεὸς ὁ ζῶν εἰς τοὺς αἰῶνας 1 **13**
καὶ ἡ βασιλεία αὐτοῦ,
ὅτι αὐτὸς μαστιγοῖ καὶ ἐλεεῖ, 2

κατάγει εἰς ᾅδην καὶ ἀνάγει,
5 καὶ οὐκ ἔστιν ὃς ἐκφεύξεται τὴν χεῖρα αὐτοῦ.
ἐξομολογεῖσθε αὐτῷ οἱ υἱοὶ Ἰσραὴλ ἐνώπιον τῶν ἐθνῶν, 3
ὅτι αὐτὸς διέσπειρεν ἡμᾶς ἐν αὐτοῖς·
ἐκεῖ ὑποδείξατε τὴν μεγαλωσύνην αὐτοῦ, 4
ὑψοῦτε αὐτὸν ἐνώπιον παντὸς ζῶντος,
10 καθότι αὐτὸς Κύριος ἡμῶν καὶ θεός,
αὐτὸς πατὴρ ἡμῶν εἰς πάντας τοὺς αἰῶνας.
καὶ μαστιγώσει ἡμᾶς ἐν ταῖς ἀδικίαις ἡμῶν 5
καὶ πάλιν ἐλεήσει καὶ συνάξει ἡμᾶς ἐκ πάντων τῶν ἐθνῶν,
οὗ ἐὰν σκορπισθῆτε ἐν αὐτοῖς.
15 ἐὰν ἐπιστρέψητε πρὸς αὐτὸν ἐν ὅλῃ τῇ καρδίᾳ ὑμῶν 6
καὶ ἐν ὅλῃ τῇ ψυχῇ ὑμῶν ποιῆσαι ἐνώπιον αὐτοῦ ἀλήθειαν,
τότε ἐπιστρέψει πρὸς ὑμᾶς
καὶ οὐ μὴ κρύψῃ τὸ πρόσωπον αὐτοῦ ἀφ' ὑμῶν,
καὶ θεάσασθε ἃ ποιήσει μεθ' ὑμῶν,
20 καὶ ἐξομολογήσασθε αὐτῷ ἐν ὅλῳ τῷ στόματι ὑμῶν·
καὶ εὐλογήσατε τὸν Κύριον τῆς δικαιοσύνης
καὶ ὑψώσατε τὸν βασιλέα τῶν αἰώνων.
ἐγὼ ἐν τῇ γῇ τῆς αἰχμαλωσίας μου ἐξομολογοῦμαι αὐτῷ
καὶ δεικνύω τὴν ἰσχὺν
25 καὶ τὴν μεγαλωσύνην αὐτοῦ ἔθνει ἁμαρτωλῶν.
ἐπιστρέψατε, ἁμαρτωλοί,
καὶ ποιήσατε δικαιοσύνην ἐνώπιον αὐτοῦ·
τίς γινώσκει εἰ θελήσει ὑμᾶς
καὶ ποιήσει ἐλεημοσύνην ὑμῖν; τὸν θεόν μου ὑψῶ 7
30 καὶ ἡ ψυχή μου τὸν βασιλέα τοῦ οὐρανοῦ,
καὶ ἀγαλλιάσεται τὴν μεγαλωσύνην αὐτοῦ.
λεγέτωσαν πάντες 8
καὶ ἐξομολογείσθωσαν αὐτῷ ἐν Ἰεροσολύμοις·
Ἰεροσόλυμα πόλις ἁγία, 9
35 μαστιγώσει ἐπὶ τὰ ἔργα τῶν υἱῶν σου
καὶ πάλιν ἐλεήσει τοὺς υἱοὺς τῶν δικαίων.
ἐξομολογοῦ τῷ Κυρίῳ ἀγαθῶς 10
καὶ εὐλόγει τὸν βασιλέα τῶν αἰώνων,
ἵνα πάλιν ἡ σκηνὴ αὐτοῦ οἰκοδομηθῇ ἐν σοὶ μετὰ χαρᾶς,
40 καὶ εὐφράναι ἐν σοὶ τοὺς αἰχμαλώτους
καὶ ἀγαπήσαι ἐν σοὶ τοὺς ταλαιπώρους
εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος.
ἔθνη πολλὰ μακρόθεν ἥξει 11
πρὸς τὸ ὄνομα Κυρίου τοῦ θεοῦ
45 δῶρα ἐν χερσὶν ἔχοντες
καὶ δῶρα τῷ βασιλεῖ τοῦ οὐρανοῦ,
γενεαὶ γενεῶν δώσουσί σοι ἀγαλλίαμα.
ἐπικατάρατοι πάντες οἱ μισοῦντές σε, 12

εὐλογημένοι ἔσονται πάντες οἱ ἀγαπῶντές σε εἰς τὸν αἰῶνα.
χάρηθι καὶ ἀγαλλίασαι ἐπὶ τοῖς υἱοῖς τῶν δικαίων, 13
ὅτι συναχθήσονται καὶ εὐλογήσουσι τὸν Κύριον τῶν δικαίων.
ὦ μακάριοι οἱ ἀγαπῶντές σε, 14
χαρήσονται ἐπὶ τῇ εἰρήνῃ σου.
μακάριοι ὅσοι ἐλυπήθησαν ἐπὶ πάσαις ταῖς μάστιξί σου,
ὅτι ἐπὶ σοὶ χαρήσονται θεασάμενοι πᾶσαν τὴν δόξαν σου
καὶ εὐφρανθήσονται εἰς τὸν αἰῶνα.
ἡ ψυχή μου εὐλογείτω τὸν θεὸν τὸν βασιλέα τὸν μέγαν, 15
ὅτι οἰκοδομηθήσεται Ἰερουσαλὴμ 16
σαπφίρῳ καὶ σμαράγδῳ καὶ λίθῳ ἐντίμῳ τὰ τείχη σου
καὶ οἱ πύργοι καὶ οἱ προμαχῶνες ἐν χρυσίῳ καθαρῷ,
καὶ αἱ πλατεῖαι Ἰερουσαλὴμ ἐν βηρύλλῳ καὶ ἄνθρακι 17
καὶ λίθῳ ἐκ Σουφὶρ ψηφολογηθήσονται.
καὶ ἐροῦσι πᾶσαι αἱ ῥύμαι αὐτῆς Ἀλληλούια 18
καὶ αἰνέσουσι λέγοντες·
Εὐλογητὸς ὁ θεός,
ὃς ὕψωσέ σε εἰς πάντας τοὺς αἰῶνας.

δ΄. ΠΡΟΣΕΥΧΗ ΜΕΤΑΝΟΙΑΣ

[Προσευχὴ μετανοίας βασιλέως Μανασσῆ]

4 Κύριε παντοκράτωρ, 1 **12**
ὁ θεὸς τῶν πατέρων ἡμῶν,
τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ
καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δικαίου,
ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν 2
σὺν παντὶ τῷ κόσμῳ αὐτῶν,
ὁ πεδήσας τὴν θάλασσαν τῷ λόγῳ τοῦ προστάγματός σου, 3
ὁ κλείσας τὴν ἄβυσσον καὶ σφραγισάμενος
τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματί σου·
ὃν πάντα φρίττει καὶ τρέμει ἀπὸ προσώπου δυνάμεώς σου, 4
ὅτι ἄστεκτος ἡ μεγαλοπρέπεια τῆς δόξης σου, 5
καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου,
ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας σου, 6
ὅτι σὺ εἶ Κύριος ὕψιστος, 7
εὔσπλαγχνος, μακρόθυμος καὶ πολυέλεος
καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων·
σὺ οὖν, Κύριε ὁ θεὸς τῶν δικαίων, 8
οὐκ ἔθου μετάνοιαν δικαίοις,
τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τοῖς οὐχ ἡμαρτηκόσι σοι,
ἀλλ' ἔθου μετάνοιαν ἐμοὶ τῷ ἁμαρτωλῷ,
διότι ἥμαρτον ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης, 9
ἐπλήθυναν αἱ ἀνομίαι μου, Κύριε, ἐπλήθυναν,

καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ
ἀπὸ πλήθους τῶν ἀδικιῶν μου,
25 κατακαμπτόμενος πολλῷ δεσμῷ σιδήρου 10
εἰς τὸ ἀνανεῦσαί με ὑπὲρ ἁμαρτιῶν μου,
καὶ οὐκ ἔστι μοι ἄνεσις,
διότι παρώργισα τὸν θυμόν σου
καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα
30 στήσας βδελύγματα καὶ πληθύνας προσοχθίσματα.
καὶ νῦν κλίνω γόνυ καρδίας 11
δεόμενος τῆς παρὰ σοῦ χρηστότητος
Ἡμάρτηκα, Κύριε, ἡμάρτηκα 12
καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω.
35 αἰτοῦμαι δεόμενός σου 13
Ἄνες μοι, Κύριε, ἄνες μοι.
μὴ συναπολέσῃς με ταῖς ἀνομίαις μου
μηδὲ εἰς τὸν αἰῶνα μηνίσας τηρήσῃς τὰ κακά μοι
μηδὲ καταδικάσῃς με ἐν τοῖς κατωτάτοις τῆς γῆς.
40 ὅτι σὺ εἶ, Κύριε, ὁ θεὸς τῶν μετανοούντων,
καὶ ἐν ἐμοὶ δείξῃς τὴν ἀγαθωσύνην σου· 14
ὅτι ἀνάξιον ὄντα σώσεις με κατὰ τὸ πολὺ ἔλεός σου,
καὶ αἰνέσω σε διὰ παντὸς ἐν ταῖς ἡμέραις τῆς ζωῆς μου. 15
ὅτι σὲ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν,
45 καὶ σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

ε΄. ΩΔΗ ΝΙΚΗΤΗΡΙΟΣ
[Ὠδὴ θριάμβου Ἰουδίθ]

5 1 Ἐξάρχετε τῷ θεῷ μου ἐν τυμπάνοις, 1 **16**
ᾄσατε τῷ Κυρίῳ ἐν κυμβάλοις,
ἐναρμόσασθε αὐτῷ ψαλμὸν καὶ αἶνον,
ὑψοῦτε καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ,
5 ὅτι θεὸς συντρίβων πολεμίους Κύριος, 2
ὅτι εἰς παρεμβολὰς αὐτοῦ ἐν μέσῳ λαοῦ
ἐξείλατό με ἐκ χειρὸς καταδιωκόντων με.
ἦλθεν Ἀσσοὺρ ἐξ ὀρέων ἀπὸ βορρᾶ, 3
ἦλθεν ἐν μυριάσι δυνάμεως αὐτοῦ,
10 ὧν τὸ πλῆθος αὐτῶν ἐνέφραξε χειμάρρους,
καὶ ἡ ἵππος αὐτῶν ἐκάλυψε βουνούς.
εἶπεν ἐμπρήσειν τὰ ὅριά μου 4
καὶ τοὺς νεανίσκους μου ἀνελεῖν ἐν ῥομφαίᾳ
καὶ τὰ θηλάζοντά μου θῆσειν εἰς ἔδαφος
15 καὶ τὰ νήπιά μου δώσειν εἰς προνομὴν
καὶ τὰς παρθένους μου σκυλεῦσαι.
Κύριος παντοκράτωρ ἠθέτησεν αὐτούς*. 5

ἔφριξαν Πέρσαι τὴν τόλμαν [αὐτῆς] αὐτῶν, 10
καὶ Μῆδοι τὸ θράσος [αὐτῆς] αὐτῶν ἐταράχθησαν·
τότε ἠλάλαξαν οἱ ταπεινοί μου, 11
καὶ ἐφοβήθησαν οἱ ἀσθενοῦντές μου καὶ ἐπτοήθησαν,
ὕψωσαν τὴν φωνὴν αὐτῶν καὶ ἀνετράπησαν·
υἱοὶ κορασίων κατεκέντησαν αὐτοὺς 12
καὶ ὡς παῖδας αὐτομολούντων ἐτίτρωσκον αὐτούς,
ἀπώλοντο ἐκ παρατάξεως Κυρίου μου.
ὑμνήσω τῷ θεῷ μου ὕμνον καινὸν 13
Κύριε, μέγας εἶ καὶ ἔνδοξος,
θαυμαστὸς ἐν ἰσχύι, ἀνυπέρβλητος.
σοὶ δουλευσάτω πᾶσα ἡ κτίσις σου· 14
ὅτι εἶπας, καὶ ἐγενήθησαν·
ἀπέστειλας τὸ πνεῦμά σου, καὶ ᾠκοδόμησε·
καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τῇ φωνῇ σου.
ὄρη γὰρ ἐκ θεμελίων σὺν ὕδασι σαλευθήσεται, 15
πέτραι δ' ἀπὸ προσώπου σου ὡς κηρὸς τακήσονται·
ἔτι δὲ τοῖς φοβουμένοις σε,
σὺ εὐιλατεύεις αὐτοῖς.
ὅτι μικρὸν πᾶσα θυσία εἰς ὀσμὴν εὐωδίας, 16
καὶ ἐλάχιστον πᾶν στέαρ εἰς ὁλοκαύτωμά σοι·
ὁ δὲ φοβούμενος τὸν Κύριον μέγας διὰ παντός.
οὐαὶ ἔθνεσιν ἐπανισταμένοις τῷ γένει μου· 17
Κύριος παντοκράτωρ ἐκδικήσει αὐτοὺς ἐν ἡμέρᾳ κρίσεως,
δοῦναι πῦρ καὶ σκώληκας εἰς σάρκας αὐτῶν,
καὶ κλαύσονται ἐν αἰσθήσει ἕως αἰῶνος.

* ἐν χειρὶ θηλείας. 5
οὐ γὰρ ὑπέπεσεν ὁ δυνατὸς αὐτῶν ὑπὸ νεανίσκων, 6
οὐδὲ υἱοὶ τιτάνων ἐπάταξαν αὐτόν,
οὐδὲ ὑψηλοὶ γίγαντες ἐπέθεντο αὐτῷ,
ἀλλὰ Ἰουδὶθ θυγάτηρ Μεραρὶ
ἐν κάλλει προσώπου αὐτῆς παρέλυσεν αὐτόν, 7
ἐξεδύσατο γὰρ στολὴν χηρεύσεως αὐτῆς
εἰς ὕψος τῶν πονούντων ἐν Ἰσραήλ,
ἠλείψατο τὸ πρόσωπον αὐτῆς ἐν μυρισμῷ 8
καὶ ἐδήσατο τὰς τρίχας αὐτῆς ἐν μίτρᾳ
καὶ ἔλαβε στολὴν λινῆν εἰς ἀπάτην αὐτοῦ· 9
τὸ σανδάλιον αὐτῆς ἥρπασεν ὀφθαλμὸν αὐτοῦ,
καὶ τὸ κάλλος αὐτῆς ᾐχμαλώτισε ψυχὴν αὐτοῦ·
διῆλθεν ὁ ἀκινάκης τὸν τράχηλον αὐτοῦ.

Γ΄. ΒΙΒΛΙΑ «ΠΡΟΦΗΤΙΚΑ»

17. «ΕΠΙΣΤΟΛΗ ΙΕΡΕΜΙΟΥ»

Ἀντίγραφον <τῆς> ἐπιστολῆς, ἧς ἀπέστειλεν Ἰερεμίας πρὸς τοὺς ἀχθησομένους αἰχμαλώτους εἰς Βαβυλῶνα ὑπὸ τοῦ βασιλέως τῶν Βαβυλωνίων ἀναγγεῖλαι αὐτοῖς καθότι ἐπετάγη αὐτῷ ὑπὸ τοῦ θεοῦ.

1 Διὰ τὰς ἁμαρτίας, ἃς ἡμαρτήκατε ἐναντίον τοῦ θεοῦ, ἀχθήσεσθε εἰς Βαβυλῶνα αἰχμάλωτοι ὑπὸ Ναβουχοδονόσορ βασιλέως τῶν Βαβυ-
2 λωνίων. εἰσελθόντες οὖν εἰς Βαβυλῶνα ἔσεσθε ἐκεῖ ἔτη πλείονα καὶ χρόνον μακρὸν ἕως γενεῶν ἑπτά· μετὰ τοῦτο δὲ ἐξάξω ὑμᾶς ἐκεῖθεν
3 μετ' εἰρήνης. νυνὶ δὲ ὄψεσθε ἐν Βαβυλῶνι θεοὺς ἀργυροῦς καὶ χρυσοῦς καὶ ξυλίνους ἐπ' ὤμοις αἰρομένους, δεικνύντας φόβον τοῖς ἔθνε-
4 σιν. εὐλαβήθητε οὖν μὴ καὶ ὑμεῖς ἀφομοιωθέντες τοῖς ἀλλοφύλοις ἀ-
5 φομοιωθῆτε καὶ φόβος ὑμᾶς λάβῃ ἐπ' αὐτοῖς ἰδόντας ὄχλον ἔμπροσθεν καὶ ὄπισθεν αὐτῶν προσκυνοῦντας αὐτά· εἴπατε δὲ τῇ διανοίᾳ·
6 Σοὶ δεῖ προσκυνεῖν, δέσποτα. ὁ γὰρ ἄγγελός μου μεθ' ὑμῶν ἐστιν, αὐ-
7 τός τε ἐκζητῶν τὰς ψυχὰς ὑμῶν. <ἡ> γλῶσσα γὰρ αὐτῶν ἐστι κατεξυσμένη ὑπὸ τέκτονος, αὐτά τε περίχρυσα καὶ περιάργυρα, ψευδῆ δ'
8 ἐστὶ καὶ οὐ δύνανται λαλεῖν. καὶ ὥσπερ παρθένῳ φιλοκόσμῳ λαμβάνοντες χρυσίον κατασκευάζουσι στεφάνους ἐπὶ τὰς κεφαλὰς τῶν θεῶν
9 αὐτῶν· ἔστι δὲ καὶ ὅτε ὑφαιρούμενοι οἱ ἱερεῖς ἀπὸ τῶν θεῶν αὐτῶν χρυσίον καὶ ἀργύριον εἰς ἑαυτοὺς καταναλώσουσι, δώσουσι δὲ ἀπ'
10 αὐτῶν καὶ ταῖς ἐπὶ τοῦ στέγους πόρναις. κοσμοῦσί τε αὐτοὺς ὡς ἀνθρώπους τοῖς ἐνδύμασι, θεοὺς ἀργυροῦς καὶ θεοὺς χρυσοῦς καὶ ξυλί-
11 νους· οὗτοι δὲ οὐ διασῴζονται ἀπὸ ἰοῦ καὶ βρωμάτων. περιβεβλημένων αὐτῶν ἱματισμὸν πορφυροῦν, ἐκμάσσονται τὸ πρόσωπον αὐτῶν
12 διὰ τὸν ἐκ τῆς οἰκίας κονιορτόν, ὅς ἐστι πλείων ἐπ' αὐτοῖς. καὶ σκῆπτρον ἔχει ὡς ἄνθρωπος κριτὴς χώρας, ὃς τὸν εἰς αὐτὸν ἁμαρτάνο-
13 ντα οὐκ ἀνελεῖ. ἔχει δὲ ἐγχειρίδιον ἐν δεξιᾷ καὶ πέλεκυν, ἑαυτὸν δὲ ἐκ
14 πολέμου καὶ λῃστῶν οὐκ ἐξελεῖται. ὅθεν γνώριμοί εἰσιν οὐκ ὄντες θε-
15 οί· μὴ οὖν φοβηθῆτε αὐτούς. ὥσπερ γὰρ σκεῦος ἀνθρώπου συντριβὲν ἀχρεῖον γίνεται, τοιοῦτοι ὑπάρχουσιν οἱ θεοὶ αὐτῶν, καθιδρυμένων
16 αὐτῶν ἐν τοῖς οἴκοις. οἱ ὀφθαλμοὶ αὐτῶν πλήρεις εἰσὶ κονιορτοῦ ἀπὸ
17 τῶν ποδῶν τῶν εἰσπορευομένων. καὶ ὥσπερ τινὶ ἠδικηκότι βασιλέα περιπεφραγμέναι εἰσὶν αἱ αὐλαί, ὡς ἐπὶ θανάτῳ ἀπηγμένῳ, τοὺς οἴκους αὐτῶν ὀχυροῦσιν οἱ ἱερεῖς θυρώμασί τε καὶ κλείθροις καὶ μο-
18 χλοῖς, ὅπως ἀπὸ τῶν λῃστῶν μὴ συληθῶσι. λύχνους καίουσι καὶ
19 πλείους ἢ ἑαυτοῖς, ὧν οὐδένα δύνανται ἰδεῖν. ἔστι μὲν ὥσπερ δοκὸς τῶν ἐκ τῆς οἰκίας, τὰς δὲ καρδίας αὐτῶν φασὶν ἐκλείχεσθαι <ὑπὸ> τῶν ἀπὸ τῆς γῆς ἑρπετῶν κατεσθιόντων αὐτούς τε καὶ τὸν ἱματισμὸν

20 αὐτῶν, <καὶ> οὐκ αἰσθάνονται. μεμελανωμένοι τὸ πρόσωπον αὐτῶν
21 ἀπὸ τοῦ καπνοῦ τοῦ ἐκ τῆς οἰκίας. ἐπὶ τὸ σῶμα αὐτῶν καὶ ἐπὶ τὴν κε-
φαλὴν αὐτῶν ἐφίπτανται νυκτερίδες, χελιδόνες καὶ τὰ ὄρνεα, ὡσαύ-
22 τως δὲ καὶ οἱ αἴλουροι. ὅθεν γνώσεσθε ὅτι οὐκ εἰσὶ θεοί· μὴ οὖν φο-
23 βεῖσθε αὐτά. τὸ γὰρ χρυσίον, ὃ περίκεινται εἰς κάλλος, ἐὰν μή τις ἐκ-
μάξῃ τὸν ἰόν, οὐ μὴ στίλψωσιν· οὐδὲ γάρ, ὅτε ἐχωνεύοντο, ᾐσθάνο-
24 25 ντο. ἐκ πάσης τιμῆς ἠγορασμένα ἐστίν, ἐν οἷς οὐκ ἔστι πνεῦμα. ἄνευ
ποδῶν ἐπ' ὤμοις φέρονται ἐνδεικνύμενοι τὴν ἑαυτῶν ἀτιμίαν τοῖς ἀν-
θρώποις, αἰσχύνονταί τε καὶ οἱ θεραπεύοντες αὐτὰ διὰ τὸ εἴ ποτε ἐπὶ
26 τὴν γῆν πέσῃ, μὴ δι' αὐτῶν ἀνίστασθαι· μήτε ἐάν τις αὐτὸ ὀρθὸν στήσῃ, δι' ἑαυτοῦ κινηθήσεται, μήτε ἐὰν κλιθῇ, οὐ μὴ ὀρθωθῇ, ἀλλ' ὥ-
27 σπερ νεκροῖς τὰ δῶρα αὐτοῖς παρατίθεται. τὰς δὲ θυσίας αὐτῶν ἀπο-
δόμενοι οἱ ἱερεῖς αὐτῶν καταχρῶνται· ὡσαύτως δὲ καὶ αἱ γυναῖκες
αὐτῶν ἀπ' αὐτῶν ταριχεύουσαι οὔτε πτωχῷ οὔτε ἀδυνάτῳ μὴ μετα-
28 δῶσι. τῶν θυσιῶν αὐτῶν ἀποκαθημένη καὶ λεχὼ ἅπτονται. γνόντες
29 οὖν ἀπὸ τούτων ὅτι οὐκ εἰσὶ θεοί, μὴ φοβηθῆτε αὐτούς. πόθεν γὰρ
κληθείησαν θεοί; ὅτι γυναῖκες παρατιθέασι θεοῖς ἀργυροῖς καὶ χρυ-
30 σοῖς καὶ ξυλίνοις· καὶ ἐν τοῖς οἴκοις αὐτῶν οἱ ἱερεῖς διφρεύουσιν, ἔχο-
ντες τοὺς χιτῶνας διερρωγότας καὶ τὰς κεφαλὰς καὶ τοὺς πώγωνας
31 ἐξυρημένους, ὧν αἱ κεφαλαὶ ἀκάλυπτοί εἰσιν, ὠρύονται δὲ βοῶντες ἐ-
32 ναντίον τῶν θεῶν αὐτῶν ὥσπερ τινὲς ἐν περιδείπνῳ νεκροῦ. ἀπὸ τοῦ
ἱματισμοῦ αὐτῶν ἀφελόμενοι οἱ ἱερεῖς ἐνδύσουσι τὰς γυναῖκας αὐτῶν
33 καὶ τὰ παιδία. οὔτε ἐὰν κακὸν πάθωσιν ὑπό τινος οὔτε ἐὰν ἀγαθόν,
δυνήσονται ἀνταποδοῦναι· οὔτε καταστῆσαι βασιλέα δύνανται οὔτε ἀ-
34 φελέσθαι. ὡσαύτως οὔτε πλοῦτον οὔτε χαλκὸν οὐ μὴ δύνωνται διδό-
ναι· ἐάν τις εὐχὴν αὐτοῖς εὐξάμενος μὴ ἀποδῷ, οὐ μὴ ἐπιζητήσωσιν.
35 ἐκ θανάτου ἄνθρωπον οὐ μὴ ῥύσωνται οὔτε ἥττονα ἀπὸ ἰσχυροῦ
36 <οὐ> μὴ ἐξέλωνται. ἄνθρωπον τυφλὸν εἰς ὅρασιν οὐ μὴ περιστήσω-
37 σιν, ἐν ἀνάγκῃ ἄνθρωπον ὄντα οὐ μὴ ἐξέλωνται. χήραν οὐ μὴ ἐλεήσω-
38 σιν οὔτε ὀρφανὸν εὖ ποιήσωσι. τοῖς ἀπὸ τοῦ ὄρους λίθοις ὡμοιωμέ-
νοι εἰσὶ τὰ ξύλινα καὶ τὰ περίχρυσα καὶ τὰ περιάργυρα, οἱ δὲ θερα-
39 πεύοντες αὐτὰ καταισχυνθήσονται. πῶς οὖν νομιστέον ἢ κλητέον ὑ-
40 πάρχειν αὐτοὺς θεούς; ἔτι δὲ καὶ αὐτῶν τῶν Χαλδαίων ἀτιμαζόντων
αὐτά, οἵ, ὅταν ἴδωσιν ἐνεὸν μὴ δυνάμενον λαλῆσαι, προσενεγκάμενοι
41 τὸν Βῆλον ἀξιοῦσι φωνῆσαι, ὡς δυνατοῦ ὄντος αὐτοῦ αἰσθέσθαι, καὶ
οὐ δύνανται αὐτοὶ νοήσαντες καταλιπεῖν αὐτά· αἴσθησιν γὰρ οὐκ ἔ-
42 χουσιν. αἱ δὲ γυναῖκες περιθέμεναι σχοινία ἐν ταῖς ὁδοῖς ἐγκάθηνται
43 θυμιῶσαι τὰ πίτυρα· ὅταν δέ τις αὐτῶν ἐφελκυσθεῖσα ὑπό τινος τῶν
παραπορευομένων κοιμηθῇ, τὴν πλησίον ὀνειδίζει, ὅτι οὐκ ἠξίωται ὥ-
44 σπερ καὶ αὐτὴ οὔτε τὸ σχοινίον αὐτῆς διερράγη. πάντα τὰ γενόμενα
ἐν αὐτοῖς ἐστι ψευδῆ· πῶς οὖν νομιστέον ἢ κλητέον ὡς θεοὺς αὐτοὺς
45 ὑπάρχειν; ὑπὸ τεκτόνων καὶ χρυσοχόων κατεσκευασμένα εἰσίν· οὐ-
46 δὲν ἄλλο μὴ γένωνται ἢ ὃ βούλονται οἱ τεχνῖται αὐτὰ γενέσθαι. αὐτοί
47 τε οἱ κατασκευάζοντες αὐτὰ οὐ μὴ γένωνται πολυχρόνιοι· πῶς τε δὴ
μέλλει τὰ ὑπ' αὐτῶν κατασκευασθέντα εἶναι θεοί; κατέλιπον γὰρ ψεύ-

48 δη καὶ ὄνειδος τοῖς ἐπιγινομένοις. ὅταν γὰρ ἐπέλθῃ ἐπ' αὐτὰ πόλεμος
καὶ κακά, βουλεύονται πρὸς ἑαυτοὺς οἱ ἱερεῖς ποῦ συναποκρυβῶσι
49 μετ' αὐτῶν. πῶς οὖν οὐκ ἔστιν αἰσθέσθαι ὅτι οὐκ εἰσὶ θεοί, οἳ οὔτε
50 σῴζουσιν ἑαυτοὺς ἐκ πολέμου οὔτε ἐκ κακῶν; ὑπάρχοντα γὰρ ξύλινα
καὶ περίχρυσα καὶ περιάργυρα γνωσθήσεται μετὰ ταῦτα, ὅτι ἐστὶ ψευ-
δῆ· τοῖς ἔθνεσι πᾶσι τοῖς τε βασιλεῦσι φανερὸν ἔσται, ὅτι οὐκ εἰσὶ θε-
οί, ἀλλὰ ἔργα χειρῶν ἀνθρώπων, καὶ οὐδὲν θεοῦ ἔργον ἐν αὐτοῖς ἐ-
51 52 στι. τίνι οὖν γνωστέον ἐστίν, ὅτι οὐκ εἰσὶ θεοί; βασιλέα γὰρ χώρας οὐ
53 μὴ ἀναστήσωσιν οὔτε ὑετὸν ἀνθρώποις οὐ μὴ δῶσι, κρίσιν τε οὐ μὴ
διακρίνωσιν αὐτῶν, οὐδὲ μὴ ῥύσωνται ἀδικούμενον ἀδύνατοι ὄντες·
54 ὥσπερ γὰρ κορῶναι ἀνὰ μέσον τοῦ οὐρανοῦ καὶ τῆς γῆς. καὶ γὰρ ὅ-
ταν ἐμπέσῃ εἰς οἰκίαν θεῶν ξυλίνων ἢ περιχρύσων ἢ περιαργύρων
πῦρ, οἱ μὲν ἱερεῖς αὐτῶν φεύξονται καὶ διασωθήσονται, αὐτοὶ δὲ ὥ-
55 σπερ δοκοὶ μέσοι κατακαυθήσονται. βασιλεῖ δὲ καὶ πολεμίοις οὐ μὴ ἀ-
56 ντιστῶσι. πῶς οὖν ἐκδεκτέον ἢ νομιστέον ὅτι εἰσὶ θεοί; οὔτε ἀπὸ κλε-
πτῶν οὔτε ἀπὸ λῃστῶν οὐ μὴ διασωθῶσι θεοὶ ξύλινοι καὶ περιάργυ-
57 ροι καὶ περίχρυσοι, ὧν οἱ ἰσχύοντες περιελοῦνται τὸ χρυσίον καὶ τὸ
ἀργύριον, καὶ τὸν ἱματισμὸν τὸν περικείμενον αὐτοῖς ἀπελεύσονται ἔ-
58 χοντες, οὔτε ἑαυτοῖς οὐ μὴ βοηθήσωσιν· ὥστε κρεῖσσον εἶναι βασιλέα
ἐπιδεικνύμενον τὴν ἑαυτοῦ ἀνδρείαν ἢ σκεῦος ἐν οἰκίᾳ χρήσιμον, ἐφ'
ᾧ χρήσεται ὁ κεκτημένος, ἢ οἱ ψευδεῖς θεοί· ἢ καὶ θύρα ἐν οἰκίᾳ δια-
σῴζουσα τὰ ἐν αὐτῇ ὄντα ἢ οἱ ψευδεῖς θεοί· καὶ ξύλινος στῦλος ἐν βα-
59 σιλείοις ἢ οἱ ψευδεῖς θεοί. ἥλιος μὲν γὰρ καὶ σελήνη καὶ ἄστρα ὄντα
λαμπρὰ καὶ ἀποστελλόμενα ἐπὶ χρείας εὐήκοά εἰσιν· ὡσαύτως καὶ ἀ-
60 στραπή. ὅταν ἐπιφανῇ, εὔοπτός ἐστι, τὸ δ' αὐτὸ καὶ πνεῦμα ἐν πάσῃ
61 χώρᾳ πνεῖ. καὶ νεφέλαις ὅταν ἐπιταγῇ ὑπὸ τοῦ θεοῦ ἐπιπορεύεσθαι
ἐφ' ὅλην τὴν οἰκουμένην, συντελοῦσι τὸ ταχθέν· τό τε πῦρ ἐξαποστα-
62 λὲν ἄνωθεν ἐξαναλῶσαι ὄρη καὶ δρυμούς, ποιεῖ τὸ συνταχθέν. ταῦτα
63 δὲ οὔτε ταῖς ἰδέαις οὔτε ταῖς δυνάμεσιν αὐτῶν ἀφωμοιωμένα ἐστίν. ὅ-
θεν οὔτε νομιστέον οὔτε κλητέον ὑπάρχειν αὐτοὺς θεούς, οὐ δυνατῶν
64 ὄντων αὐτῶν οὔτε κρίσιν κρῖναι οὔτε εὖ ποιῆσαι ἀνθρώποις. γνόντες
65 οὖν ὅτι οὐκ εἰσὶ θεοί, μὴ φοβηθῆτε αὐτούς· οὔτε γὰρ βασιλεῦσιν οὐ
66 μὴ καταράσωνται οὔτε μὴ εὐλογήσωσι. σημεῖά τε ἐν ἔθνεσιν ἐν οὐρα-
νῷ οὐ μὴ δείξωσιν, οὐδὲ ὡς ὁ ἥλιος λάμψουσιν οὐδὲ φωτιοῦσιν ὡς ἡ
67 σελήνη. τὰ θηρία ἐστὶ κρείττω αὐτῶν, ἃ δύνανται ἐκφυγόντα εἰς σκέ-
68 πην ἑαυτὰ ὠφελῆσαι. κατ' οὐδένα οὖν τρόπον ἡμῖν ἐστι φανερὸν ὅτι
69 εἰσὶ θεοί. διὸ μὴ φοβηθῆτε αὐτούς· ὥσπερ γὰρ ἐν σικυηράτῳ προβα-
σκάνιον οὐδὲν φυλάσσον, οὕτως οἱ θεοὶ αὐτῶν εἰσὶ ξύλινοι καὶ περί-
70 χρυσοι καὶ περιάργυροι. τὸν αὐτὸν τρόπον καὶ τῇ ἐν κήπῳ ῥάμνῳ, ἐφ'
ἧς πᾶν ὄρνεον ἐπικάθηται, ὡσαύτως δὲ καὶ νεκρῷ ἐρριμμένῳ ἐν σκό-
τει ἀφωμοίωνται οἱ θεοὶ αὐτῶν ξύλινοι καὶ περίχρυσοι καὶ περιάργυ-
71 ροι. ἀπό τε τῆς πορφύρας καὶ τῆς μαρμάρου τῆς ἐπ' αὐτοῖς σηπομέ-
νης γνωσθήσονται ὅτι οὐκ εἰσὶ θεοί· αὐτά τε ἐξ ὑστέρου βρωθήσο-
72 νται, καὶ ἔσται ὄνειδος ἐν τῇ χώρᾳ. κρεῖσσον οὖν ἄνθρωπος δίκαιος
οὐκ ἔχων εἴδωλα, ἔσται γὰρ μακρὰν ἀπὸ ὀνειδισμοῦ.

18. ΣΙΒΥΛΛΙΚΟΙ ΧΡΗΣΜΟΙ

Λόγος πρῶτος

Ἀρχομένη πρώτης γενεῆς μερόπων ἀνθρώπων
ἄχρις ἐπ' ἐσχατίῃσι προφητεύσω τὰ ἕκαστα,
ὁππόσα πρὶν γέγονεν, πόσα δ' ἔστιν, ὁπόσσα δὲ μέλλει
ἔσσεσθαι κόσμῳ διὰ δυσσεβίας ἀνθρώπων.
.....
κλπ.

19. ΑΠΟΚΑΛΥΨΙΣ ΕΣΔΡΑ

Violet B., Die Esra Apokalypse (Esra IV), I: Die Uberlieferung, GCS, Leipzig 1920˙ (κεφ. 14 §§ 17-48 = Ὅρασις Ζ΄, §§ 2-8˙ σελ. 412-430).

2 *Prolongabit enim magis veritas et adpropinquabit mendacium;*
.....et feci sic.

2 Μακρυνεῖ γὰρ ἐπὶ πλεῖον ἡ ἀλήθεια καὶ ἐγγιεῖ τὸ ψεῦδος˙ ἤδη γὰρ
3 σπεύδει ἐλθεῖν ὁ ἀετός, ὃν εἶδες ἐν τῇ ὁράσει. καὶ ἀποκριθεὶς εἶπον˙ Λαλήσω ἐναντίον σου, Κύριε. ἰδοὺ γὰρ ἐγὼ ἀπελεύσομαι, καθ' ἃ ἐνετείλω μοι, καὶ ἐπιλήψομαι τοῦ λαοῦ τοῦ παρόντος˙ ἀλλὰ τοῖς ὕστερον γεννηθησομένοις τίς ὑπομνήσει; ὁ γὰρ αἰὼν <οὗτος> ἐν τῷ σκότει κεῖται καὶ οἱ κατοικοῦντες ἐν αὐτῷ χωρὶς φωτός. ὅτι ὁ Νόμος σου κατεκάη καὶ διὰ τοῦτο οὐδεὶς γινώσκει ὅσα ἐποίησας ἢ ὅσα ἄρξονται... ἔργα. εἰ γὰρ εὗρον χάριν ἐναντίον σου, πέμψον ἐπ' ἐμὲ τὸ πνεῦμά σου τὸ ἅγιον, καὶ γράψαιμι πᾶν ὅ τι ἐγένετο ἐν τῷ αἰῶνι ἀπ' ἀρχῆς ὅσα ἐν τῷ Νόμῳ σου ἦσαν γεγραμμένα, ὅπως δύνωνται οἱ ἄνθρωποι εὑρί-
4 σκειν τὴν τρίβον, καὶ οἱ θέλοντες ζῆν ἐν τοῖς ἐσχάτοις ζήσονται. καὶ ἀποκριθεὶς πρός με εἶπε˙ Πορευθεὶς ἐπισυνάγαγε τὸν λαόν, καὶ λαλήσεις πρὸς αὐτούς, ὅπως μή σε ζητῶσιν ἡμέρας τεσσαράκοντα. σὺ δὲ ἑτοίμασον σεαυτῷ πυξία πολλὰ καὶ λάβε μετὰ σοῦ Σαραΐαν, Δαβρίαν, Σελεμίαν, Ἀιθάν, καὶ Ἀζιήλ, τοὺς πέντε τούτους, ὅτι ἡτοιμασμένοι εἰσὶν εἰς τὸ γράφειν ὀξέως. καὶ πορεύσῃ ἐνθάδε, κἀγὼ ἅψω ἐν τῇ καρδίᾳ σου τὸν λύχνον τοῦ συνιέναι, ὃς οὐ σβεθήσεται, ἕως ἂν τελειωθῶσιν ὅσα ἄρξῃ γράφειν. καὶ ὅταν τελειώσῃς, ἄλλα μὲν φανερὰ ποιήσεις, ἄλλα δὲ ἀπόκρυφα τοῖς σοφοῖς παραδώσεις. αὔριον γὰρ ταύτῃ τῇ ὥ-
5 ρᾳ ἄρξῃ γράφειν. καὶ ἐπορεύθην, καθ' ἃ ἐνετείλατό μοι, καὶ ἐπισυνήγαγον πάντα τὸν λαὸν καὶ εἶπον˙ Ἄκουε, Ἰσραήλ, τὰ ῥήματα ταῦτα˙ ἀποδημοῦντες ἀπεδήμησαν οἱ πατέρες ἡμῶν ἀπ' ἀρχῆς εἰς Αἴγυπτον καὶ ἐλυτρώθησαν ἐκεῖθεν. καὶ ἔλαβον νόμον ζωῆς, ὃν οὐκ ἐφύλαξαν, ὃν καὶ ὑμεῖς μετ' ἐκείνους παρέβητε. καὶ παρεδόθη ἡ γῆ ὑμῶν εἰς προνομὴν ἐν τῇ γῇ Σιών. καὶ ὑμεῖς καὶ οἱ πατέρες ὑμῶν ἀδικίαν ἐποιήσατε καὶ οὐκ ἐφυλάξατε τὰς ὁδούς, ἃς ὁ ὕψιστος ἐνετείλατο ὑμῖν. δίκαιος δὲ κριτὴς ὑπάρχων, ἀφεῖλεν ἀφ' ὑμῶν ἐν καιρῷ ὃ ἐδωρήσατο ὑμῖν. καὶ νῦν πάρεστε ἐνθάδε καὶ οἱ ἀδελφοὶ ὑμῶν ἐν μέσῳ ὑμῶν εἰσιν. ἐὰν οὖν τάξητε τῷ νοῖ ὑμῶν καὶ παιδεύσητε τὴν καρδίαν ὑμῶν, ζῶντες τηρηθήσεσθε καὶ μετὰ θάνατον εὑρήσετε ἔλεος. ἐλεύσεται γὰρ κρίσις μετὰ θάνατον, ὅταν πάλιν ἀναβιώσωμεν καὶ τότε φανερωθήσεται τὰ ὀνόματα τῶν δικαίων καὶ δειχθήσεται τὰ ἔργα τῶν ἀσεβῶν. πρός με δὲ μηδεὶς νῦν προσέλθῃ μηδὲ ζητήσῃ με ἄχρι ἡμερῶν τεσσα-

6 ράκοντα. καὶ ἔλαβον τοὺς πέντε ἄνδρας, καθ' ἃ ἐνετείλατό μοι, καὶ ἐ-
πορεύθημεν εἰς τὸ πεδίον καὶ ηὐλίσθημεν ἐκεῖ. καὶ ἐγένετο τῇ ἐπαύ-
ριον, καὶ ἰδοὺ φωνὴ κέκληκέ με λέγουσα· Ἔσδρα, ἄνοιξον τὸ στόμα
σου καὶ πίε ὃ ποτιῶ σε. καὶ ἤνοιξα τὸ στόμα μου, καὶ ἰδοὺ ποτήριον
πεπληρωμένον προσεφέρετό μοι· τοῦτο ἦν πεπληρωμένον ὡσεὶ ὕδατι.
καὶ τὸ εἶδος αὐτοῦ ὅμοιον πυρί. καὶ ἔλαβον καὶ ἔπιον. καὶ ὡς ἔπιον,
παραχρῆμα ἡ καρδία μου ἐξηρεύγετο σύνεσιν καὶ τὸ στῆθός μου ἐ-
πληροῦτο σοφίας, τὸ δὲ πνεῦμά μου διετήρει τὴν αἴσθησιν. καὶ ἠνοί-
7 χθη τὸ στόμα μου καὶ οὐκέτι ἐκλείσθη. ὁ δὲ ὕψιστος ἔδωκε σύνεσιν
τοῖς πέντε ἀνδράσι, καὶ ἔγραψαν ἐκ διαδοχῆς τὰ λαλούμενα γράμμα-
σιν οἷς οὐκ ἐγίνωσκον. καὶ ἐκάθισαν ἡμέρας τεσσαράκοντα. αὐτοὶ δὲ
ἡμέρας ἔγραφον, νυκτὸς δὲ ἤσθιον ἄρτον· ἐγὼ δὲ ἡμέρας ἐλάλουν καὶ
νυκτὸς οὐκ ἐσιώπων. ἐγράφησαν δὲ ἐν ἡμέραις τεσσαράκοντα βιβλία
8 τέσσαρα καὶ ἐνενήκοντα. καὶ ἐγένετο ὡς ἐπληρώθησαν ἡμέραι τεσσα-
ράκοντα, καὶ ἐλάλησε πρός με ὁ ὕψιστος λέγων· Τὰ πρῶτα ἃ γέγρα-
φας εἰς φανερὸν τίθει, καὶ ἀναγνώσονται ἄξιοι καὶ ἀνάξιοι· τὰ δὲ ἔ-
σχατα ἑβδομήκοντα διαφυλάξεις, ὅπως παραδῷς αὐτὰ τοῖς σοφοῖς
τοῦ λαοῦ σου. ἐν τούτοις γάρ ἐστιν ἡ φλὲψ τῆς συνέσεως καὶ ἡ πηγὴ
τῆς σοφίας καὶ ὁ ποταμὸς τῆς ἐπιστήμης. καὶ ἐποίησα οὕτως.

ΛΕΥΚΗ

Γ
ΑΛΛΑΙ ΕΛΛΗΝΟΓΛΩΣΣΟΙ ΙΟΥΔΑΪΚΑΙ ΜΕΤΑΦΡΑΣΕΙΣ ΤΗΣ ΒΙΒΛΟΥ

Γ

ΑΛΛΑΙ ΜΕΤΑΦΡΑΣΕΙΣ ΤΗΣ ΒΙΒΛΟΥ

1. Ἀγνώστου Μετάφρασις ἱστορικῶν βιβλίων
2. Ἀγνώστου Μετάφρασις ψαλμῶν
3. Φίλωνος Ἰουδαίου «Μετάφρασις τοῦ Νόμου»
4. Ἰωσήπου «Μετάφρασις» (= Ἀρχαιολογία)

5-10. Ἑξαπλικαὶ Μεταφράσεις

11. Μαρκιανὴ Μετάφρασις
12. Θεοδοτίωνος Μετάφρασις «Δανιήλ»

Ι. ΑΓΝΩΣΤΟΥ ΜΕΤΑΦΡΑΣΙΣ ΙΣΤΟΡΙΚΩΝ ΒΙΒΛΙΩΝ

(ΕΣΔΡΑΣ ΙΕΡΕΥΣ ἢ ΕΣΔΡΑΣ Α΄)

α΄. ΠΑΡΑΛΕΙΠΟΜΕΝΗ

.....

90 Καὶ ἤγαγεν Ἰωσίας τὸ πάσχα ἐν Ἰερουσαλὴμ τῷ Κυρίῳ 1 I
αὐτοῦ καὶ ἔθυσε τὸ πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ
μηνὸς τοῦ πρώτου στήσας τοὺς ἱερεῖς κατ' ἐφημερίας ἐστολι- 2
σμένους ἐν τῷ ἱερῷ τοῦ Κυρίου. καὶ εἶπε τοῖς Λευΐταις, ἱερο- 3
δούλοις τοῦ Ἰσραήλ, ἁγιάσαι ἑαυτοὺς τῷ Κυρίῳ ἐν τῇ θέσει
τῆς ἁγίας κιβωτοῦ τοῦ Κυρίου ἐν τῷ οἴκῳ, ᾧ ᾠκοδόμησε Σα-
λωμὼν ὁ τοῦ Δαυὶδ ὁ βασιλεύς· Οὐκ ἔσται ὑμῖν ἆραι ἐπ' ὤ- 4
μων αὐτήν· καὶ νῦν λατρεύετε τῷ Κυρίῳ θεῷ ὑμῶν καὶ θερα-
πεύετε τὸ ἔθνος αὐτοῦ Ἰσραὴλ καὶ ἑτοιμάσατε κατὰ τὰς πα-
τριὰς καὶ τὰς φυλὰς ὑμῶν κατὰ τὴν γραφὴν Δαυὶδ βασιλέως
Ἰσραὴλ καὶ κατὰ τὴν μεγαλειότητα Σαλωμὼν τοῦ υἱοῦ αὐτοῦ.
καὶ στάντες ἐν τῷ ἁγίῳ κατὰ τὴν μεριδαρχίαν τὴν πατρικὴν ὑ- 5
μῶν τῶν Λευϊτῶν, τῶν ἔμπροσθεν τῶν ἀδελφῶν ὑμῶν υἱῶν
Ἰσραήλ, ἐν τάξει θύσατε τὸ πάσχα καὶ τὰς θυσίας ἑτοιμάσατε 6
τοῖς ἀδελφοῖς ὑμῶν καὶ ποιήσατε τὸ πάσχα κατὰ τὸ πρόσταγ-
μα τοῦ Κυρίου τὸ δοθὲν τῷ Μωϋσῇ. καὶ ἐδωρήσατο Ἰωσίας 7
τῷ λαῷ τῷ εὑρεθέντι ἀρνῶν καὶ ἐρίφων τριάκοντα χιλιάδας,
μόσχους τρισχιλίους· ταῦτα ἐκ τῶν βασιλικῶν ἐδόθη κατ' ἐ-
παγγελίαν τῷ λαῷ καὶ τοῖς ἱερεῦσι καὶ Λευΐταις. καὶ ἔδωκε 8
Χελκίας καὶ Ζαχαρίας καὶ Ἠσκῆλος οἱ ἐπιστάται τοῦ ἱεροῦ
τοῖς ἱερεῦσιν εἰς πάσχα πρόβατα δισχίλια ἑξακόσια, μόσχους
τριακοσίους. καὶ Ἰεχονίας καὶ Σαμαΐας καὶ Ναθαναὴλ ὁ ἀδελ- 9
φὸς καὶ Ἀσαβίας καὶ Ὀχιῆλος καὶ Ἰωρὰμ χιλίαρχοι ἔδωκαν
τοῖς Λευΐταις εἰς πάσχα πρόβατα πεντακισχίλια, μόσχους ἑ-
πτακοσίους. καὶ ταῦτα τὰ γενόμενα· εὐπρεπῶς ἔστησαν οἱ ἱε- 10
ρεῖς καὶ οἱ Λευῖται ἔχοντες τὰ ἄζυμα κατὰ τὰς φυλὰς καὶ κατὰ
τὰς μεριδαρχίας τῶν πατέρων ἔμπροσθεν τοῦ λαοῦ προσενε-
γκεῖν τῷ Κυρίῳ κατὰ τὰ γεγραμμένα ἐν βιβλίῳ Μωϋσῇ, καὶ
οὕτω τὸ πρωϊνόν. καὶ ὤπτησαν τὸ πάσχα πυρὶ ὡς καθήκει, 11
καὶ τὰς θυσίας ἥψησαν ἐν τοῖς χαλκίοις καὶ λέβησι μετ' εὐω-
δίας καὶ ἀπήνεγκαν πᾶσι τοῖς ἐκ τοῦ λαοῦ. μετὰ δὲ ταῦτα ἡτοί- 12
μασαν ἑαυτοῖς τε καὶ τοῖς ἱερεῦσιν ἀδελφοῖς αὐτῶν υἱοῖς Ἀα-

ρών· οἱ γὰρ ἱερεῖς ἀνέφερον τὰ στέατα ἕως ἀωρίας, καὶ οἱ 13
Λευῖται ἡτοίμασαν ἑαυτοῖς καὶ τοῖς ἱερεῦσιν ἀδελφοῖς αὐτῶν
υἱοῖς Ἀαρών. καὶ οἱ ἱεροψάλται υἱοὶ Ἀσὰφ ἦσαν ἐπὶ τῆς τάξε- 14
ως αὐτῶν, κατὰ τὰ ὑπὸ Δαυῖδ τεταγμένα καὶ Ἀσὰφ καὶ Ζαχα-
ρίας καὶ Ἐδδινοῦς ὁ παρὰ τοῦ βασιλέως, καὶ οἱ θυρωροὶ ἐφ' ἑ-
κάστου πυλῶνος· οὐκ ἔστι παραβῆναι ἕκαστον τὴν ἑαυτοῦ ἐ- 15
φημερίαν, οἱ γὰρ ἀδελφοὶ αὐτῶν οἱ Λευῖται ἡτοίμασαν αὐτοῖς.
καὶ συνετελέσθη τὰ τῆς θυσίας τοῦ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, 16
ἀχθῆναι τὸ πάσχα καὶ προσαχθῆναι τὰς θυσίας ἐπὶ τὸ τοῦ Κυ-
ρίου θυσιαστήριον κατὰ τὴν ἐπιταγὴν τοῦ βασιλέως Ἰωσίου.
καὶ ἤγαγον οἱ υἱοὶ Ἰσραὴλ οἱ εὑρεθέντες ἐν τῷ καιρῷ τούτῳ 17
τὸ πάσχα καὶ τὴν ἑορτὴν τῶν ἀζύμων ἡμέρας ἑπτά. καὶ οὐκ ἤ- 18
χθη τὸ πάσχα τοιοῦτον ἐν τῷ Ἰσραὴλ ἀπὸ τῶν χρόνων Σαμου-
ὴλ τοῦ προφήτου, καὶ πάντες οἱ βασιλεῖς τοῦ Ἰσραὴλ οὐκ ἤγα- 19
γον πάσχα τοιοῦτον, οἷον ἤγαγεν Ἰωσίας καὶ οἱ ἱερεῖς καὶ οἱ
Λευῖται καὶ οἱ Ἰουδαῖοι καὶ πᾶς Ἰσραὴλ ὁ εὑρεθεὶς ἐν τῇ κατοι-
κήσει αὐτῶν ἐν Ἰερουσαλήμ· ὀκτωκαιδεκάτῳ ἔτει βασιλεύο- 20
ντος Ἰωσίου ἤχθη τὸ πάσχα τοῦτο.

91 Καὶ ὠρθώθη τὰ ἔργα Ἰωσίου ἐνώπιον τοῦ Κυρίου αὐτοῦ 21
ἐν καρδίᾳ πλήρει εὐσεβείας. καὶ τὰ κατ' αὐτὸν δὲ ἀναγέγρα- 22
πται ἐν τοῖς ἔμπροσθεν χρόνοις, περὶ τῶν ἡμαρτηκότων καὶ ἠ-
σεβηκότων εἰς τὸν Κύριον παρὰ πᾶν ἔθνος καὶ βασιλείαν, καὶ
ἃ ἐλύπησαν αὐτὸν ἐν αἰσθήσει, καὶ οἱ λόγοι τοῦ Κυρίου ἀνέ-
στησαν τῷ Ἰσραήλ.

92 Καὶ μετὰ πᾶσαν τὴν πρᾶξιν ταύτην Ἰωσίου συνέβη Φα- 23
ραὼ βασιλέα Αἰγύπτου ἐλθόντα πόλεμον ἐγεῖραι ἐν Χαρκαμὺς
ἐπὶ τοῦ Εὐφράτου, καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτῷ Ἰωσίας.
καὶ διεπέμψατο πρὸς αὐτὸν βασιλεὺς Αἰγύπτου λέγων· Τί ἐμοὶ 24
καὶ σοί ἐστι, βασιλεῦ τῆς Ἰουδαίας; οὐχὶ πρός σε ἐξαπέσταλ- 25
μαι ὑπὸ Κυρίου τοῦ θεοῦ· ἐπὶ γὰρ τοῦ Εὐφράτου ὁ πόλεμός
μού ἐστι. καὶ νῦν Κύριος μετ' ἐμοῦ ἐστι, καὶ Κύριος μετ' ἐμοῦ
ἐπισπεύδων ἐστίν· ἀπόστηθι καὶ μὴ ἐναντιοῦ τῷ Κυρίῳ. καὶ 26
οὐκ ἀπέστρεψεν ἑαυτὸν Ἰωσίας ἐπὶ τὸ ἅρμα αὐτοῦ, ἀλλὰ πολε-
μεῖν αὐτὸν ἐπεχείρει, οὐ προσέχων ῥήμασιν Ἰερεμίου προφή-
του ἐκ στόματος Κυρίου· ἀλλὰ συνεστήσατο πρὸς αὐτὸν πόλε- 27
μον ἐν τῷ πεδίῳ Μαγεδδώ, καὶ κατέβησαν οἱ ἄρχοντες πρὸς
τὸν βασιλέα Ἰωσίαν. καὶ εἶπεν ὁ βασιλεὺς τοῖς παισὶν ἑαυτοῦ· 28
ἀποστήσατέ με ἀπὸ τῆς μάχης, ἠσθένησα γὰρ λίαν. καὶ εὐθέ-
ως ἀπέστησαν αὐτὸν οἱ παῖδες αὐτοῦ ἀπὸ τῆς παρατάξεως, 29
καὶ ἀνέβη ἐπὶ τὸ ἅρμα τὸ δευτέριον αὐτοῦ· καὶ ἀποκατασταθεὶς εἰς Ἰερουσαλήμ, μετήλλαξε τὸν βίον αὐτοῦ καὶ ἐτάφη ἐν
τῷ πατρικῷ τάφῳ. καὶ ἐν ὅλῃ τῇ Ἰουδαίᾳ ἐπένθησαν τὸν Ἰω- 30
σίαν, καὶ ἐθρήνησεν Ἰερεμίας ὁ προφήτης ὑπὲρ Ἰωσίου, καὶ οἱ
προκαθήμενοι σὺν γυναιξὶν ἐθρήνουν αὐτὸν ἕως τῆς ἡμέρας
ταύτης· καὶ ἐξεδόθη τοῦτο γίνεσθαι ἀεὶ εἰς ἅπαν τὸ γένος Ἰσ-

ραήλ. ταῦτα δὲ ἀναγέγραπται ἐν τῇ Βίβλῳ τῶν ἱστορουμένων 31
περὶ τῶν βασιλέων τῆς Ἰουδαίας· καὶ τὸ καθ' ἓν πραχθὲν τῆς
πράξεως Ἰωσίου καὶ τῆς δόξης αὐτοῦ καὶ τῆς συνέσεως αὐτοῦ
ἐν τῷ Νόμῳ Κυρίου, τά τε προπραχθέντα ὑπ' αὐτοῦ καὶ τὰ νῦν
ἱστόρηται ἐν τῷ Βιβλίῳ τῶν βασιλέων Ἰσραὴλ καὶ Ἰούδα.

93 Καὶ ἀναλαβόντες οἱ ἐκ τοῦ ἔθνους τὸν Ἰεχονίαν υἱὸν Ἰω- 32
σίου ἀνέδειξαν βασιλέα ἀντὶ Ἰωσίου τοῦ πατρὸς αὐτοῦ ὄντα ἐ-
τῶν εἴκοσι τριῶν. καὶ ἐβασίλευσεν ἐν Ἰσραὴλ καὶ Ἰερουσαλὴμ 33
μῆνας τρεῖς. καὶ ἀπέστησεν αὐτὸν βασιλεὺς Αἰγύπτου τοῦ μὴ
βασιλεύειν ἐν Ἰερουσαλὴμ καὶ ἐζημίωσε τὸ ἔθνος ἀργυρίου τα- 34
λάντοις ἑκατὸν καὶ χρυσίου ταλάντῳ ἑνί. καὶ ἀνέδειξε βασι- 35
λεὺς Αἰγύπτου βασιλέα Ἰωακὶμ τὸν ἀδελφὸν αὐτοῦ βασιλέα
τῆς Ἰουδαίας καὶ Ἰερουσαλήμ. καὶ ἔδησεν Ἰωακὶμ τοὺς μεγι- 36
στᾶνας, Ζαράκην δὲ τὸν ἀδελφὸν αὐτοῦ συλλαβὼν ἀνήγαγεν
ἐξ Αἰγύπτου.

94 Ἐτῶν δὲ ἦν εἴκοσι πέντε Ἰωακίμ, ὅτε ἐβασίλευσε τῆς Ἰου- 37
δαίας καὶ Ἰερουσαλήμ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυ-
ρίου. μετ' αὐτὸν δὲ ἀνέβη Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυ- 38
λῶνος καὶ δήσας αὐτὸν ἐν χαλκείῳ δεσμῷ ἀπήγαγεν εἰς Βαβυ-
λῶνα. καὶ ἀπὸ τῶν ἱερῶν σκευῶν τοῦ Κυρίου λαβὼν Ναβου- 39
χοδονόσορ καὶ ἀνενέγκας ἀπηρείσατο ἐν τῷ ναῷ αὐτοῦ ἐν Βα-
βυλῶνι. τὰ δὲ ἱστορηθέντα περὶ αὐτοῦ καὶ τῆς ἀκαθαρσίας αὐ- 40
τοῦ καὶ δυσσεβείας ἀναγέγραπται ἐν τῇ Βίβλῳ τῶν χρόνων
τῶν βασιλέων.

95 Καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἰωακὶμ ὁ υἱὸς αὐτοῦ· ὅτε γὰρ 41
ἀνεδείχθη, ἦν ἐτῶν ὀκτώ. βασιλεύει δὲ μῆνας τρεῖς καὶ ἡμέρας 42
δέκα ἐν Ἰερουσαλὴμ καὶ ἐποίησε τὸ πονηρὸν ἔναντι Κυρίου.

Καὶ μετ' ἐνιαυτὸν ἀποστείλας Ναβουχοδονόσορ μετήγα- 43
γεν αὐτὸν εἰς Βαβυλῶνα ἅμα τοῖς ἱεροῖς σκεύεσι τοῦ Κυρίου
καὶ ἀνέδειξε Σεδεκίαν βασιλέα τῆς Ἰουδαίας καὶ Ἰερουσαλὴμ 44
ὄντα ἐτῶν εἴκοσιν ἑνός.

96 Βασιλεύει δὲ ἔτη ἕνδεκα, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον 45
Κυρίου καὶ οὐκ ἐνετράπη ἀπὸ τῶν ῥηθέντων λόγων ὑπὸ Ἱερε-
μίου τοῦ προφήτου ἐκ στόματος τοῦ Κυρίου. καὶ ὁρκισθεὶς ἀ- 46
πὸ τοῦ βασιλέως Ναβουχοδονόσορ τῷ ὀνόματι Κυρίου, ἐπιορ-
κήσας ἀπέστη· καὶ σκληρύνας αὐτοῦ τὸν τράχηλον καὶ τὴν
καρδίαν αὐτοῦ παρέβη τὰ νόμιμα Κυρίου θεοῦ Ἰσραήλ. καὶ οἱ 47
ἡγούμενοι δὲ τοῦ λαοῦ καὶ τῶν ἱερέων πολλοὶ ἠσέβησαν καὶ ὑ-
πὲρ πάσας τὰς ἀκαθαρσίας πάντων τῶν ἐθνῶν καὶ ἐμίαναν τὸ
ἱερὸν τοῦ Κυρίου τὸ ἁγιαζόμενον ἐν Ἰερουσαλήμ. καὶ ἀπέστει- 48
λεν ὁ θεὸς τῶν πατέρων αὐτῶν διὰ τοῦ ἀγγέλου αὐτοῦ μετα-
καλέσαι αὐτούς, καθότι ἐφείδετο αὐτῶν καὶ τοῦ σκηνώματος
αὐτοῦ. αὐτοὶ δὲ ἐμυκτήρισαν ἐν τοῖς ἀγγέλοις αὐτοῦ καὶ ᾗ ἡ- 49
μέρᾳ ἐλάλησε Κύριος ἦσαν ἐκπαίζοντες τοὺς προφήτας αὐτοῦ,
ἕως οὗ θυμωθέντα αὐτὸν ἐπὶ τῷ ἔθνει αὐτοῦ διὰ τὰ δυσσεβή-

ματα προστάξαι ἀναβιβάσαι ἐπ' αὐτοὺς τοὺς βασιλεῖς τῶν
Χαλδαίων. οὗτοι ἀπέκτειναν τοὺς νεανίσκους αὐτῶν ἐν ῥομ- 50
φαίᾳ περικύκλῳ τοῦ ἁγίου αὐτῶν ἱεροῦ καὶ οὐκ ἐφείσαντο νε-
ανίσκου καὶ παρθένου καὶ πρεσβύτου καὶ νεωτέρου, ἀλλὰ πά-
ντας παρέδωκαν εἰς τὰς χεῖρας αὐτῶν. καὶ πάντα τὰ ἱερὰ 51
σκεύη τοῦ Κυρίου τὰ μεγάλα καὶ τὰ μικρὰ καὶ τὰς κιβωτοὺς
τοῦ Κυρίου καὶ τὰς βασιλικὰς ἀποθήκας ἀναλαβόντες ἀπήνε-
γκαν εἰς Βαβυλῶνα. καὶ ἐνεπύρισαν τὸν οἶκον τοῦ Κυρίου καὶ 52
ἔλυσαν τὰ τείχη Ἰερουσαλὴμ καὶ τοὺς πύργους αὐτῆς ἐνεπύρι-
σαν ἐν πυρὶ καὶ συνετέλεσαν πάντα τὰ ἔνδοξα αὐτῆς ἀχρειῶ- 53
σαι, καὶ τοὺς ἐπιλοίπους ἀπήγαγε μετὰ ῥομφαίας εἰς Βαβυλῶ-
να. καὶ ἦσαν παῖδες αὐτῷ καὶ τοῖς υἱοῖς αὐτοῦ μέχρι τοῦ βασι- 54
λεῦσαι Πέρσας εἰς ἀναπλήρωσιν ῥήματος τοῦ Κυρίου ἐν στό-
ματι Ἰερεμίου· ἕως τοῦ εὐδοκῆσαι τὴν γῆν τὰ σάββατα αὐτῆς, 55
πάντα τὸν χρόνον τῆς ἐρημώσεως αὐτῆς, σαββατιεῖ εἰς συ-
μπλήρωσιν ἐτῶν ἑβδομήκοντα.

β΄. ΑΝΑΒΑΣΙΣ

Ζοροβάβελ

1 Βασιλεύοντος Κύρου Περσῶν ἔτους πρώτου εἰς συντέ- **2**
λειαν ῥήματος Κυρίου ἐν στόματι Ἰερεμίου, ἤγειρε Κύριος τὸ 2
πνεῦμα Κύρου βασιλέως Περσῶν, καὶ ἐκήρυξεν ἐν ὅλῃ τῇ βα-
σιλείᾳ αὐτοῦ καὶ ἅμα διὰ γραπτῶν λέγων· «Τάδε λέγει ὁ βασι- 3
λεὺς Περσῶν Κῦρος· ἐμὲ ἀνέδειξε βασιλέα τῆς οἰκουμένης ὁ
Κύριος τοῦ Ἰσραήλ, Κύριος ὁ ὕψιστος. καὶ ἐσήμηνέ μοι οἰκο- 4
δομῆσαι αὐτῷ οἶκον ἐν Ἰερουσαλήμ, τῇ ἐν τῇ Ἰουδαίᾳ. εἴ τίς ἐ- 5
στιν οὖν ὑμῶν ἐκ τοῦ ἔθνους αὐτοῦ, ἔστω ὁ Κύριος αὐτοῦ
μετ' αὐτοῦ, καὶ ἀναβὰς εἰς τὴν Ἰερουσαλὴμ τὴν ἐν τῇ Ἰουδαίᾳ
οἰκοδομείτω τὸν οἶκον τοῦ Κυρίου τοῦ Ἰσραὴλ (οὗτος ὁ Κύ-
ριος ὁ κατασκηνώσας ἐν Ἰερουσαλήμ). ὅσοι οὖν κατὰ τοὺς τό- 6
πους οἰκοῦσι, βοηθείτωσαν αὐτῷ οἱ ἐν τῷ τόπῳ αὐτοῦ ἐν χρυ-
σίῳ καὶ ἐν ἀργυρίῳ, ἐν δόσεσι μεθ' ἵππων καὶ κτηνῶν σὺν
τοῖς ἄλλοις τοῖς κατ' εὐχὰς προστεθειμένοις εἰς τὸ ἱερὸν τοῦ
Κυρίου τὸ ἐν Ἰερουσαλήμ».

2 Καὶ καταστήσαντες οἱ ἀρχίφυλοι τῶν πατριῶν τῆς Ἰούδα 7
καὶ Βενιαμὶν φυλῆς καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ πάντων, ὧν
ἤγειρε Κύριος τὸ πνεῦμα ἀναβῆναι οἰκοδομῆσαι οἶκον τῷ Κυ-
ρίῳ τὸν ἐν Ἰερουσαλήμ, καὶ οἱ περικύκλῳ αὐτῶν ἐβοήθησαν 8
ἐν πᾶσιν ἐν ἀργυρίῳ καὶ χρυσίῳ, ἵπποις, κτήνεσι καὶ εὐχαῖς
ὡς πλείσταις πολλῶν, ὧν ὁ νοῦς ἠγέρθη. καὶ ὁ βασιλεὺς Κῦ- 9
ρος ἐξήνεγκε τὰ ἱερὰ σκεύη τοῦ Κυρίου, ἃ μετήνεγκε Ναβου-
χοδονόσορ ἐξ Ἰερουσαλήμ, καὶ ἀπηρείσατο αὐτὰ ἐν τῷ εἰδω-
λείῳ αὐτοῦ· ἐξενέγκας δὲ αὐτὰ Κῦρος ὁ βασιλεὺς Περσῶν πα- 10

ρέδωκεν αὐτὰ Μιθραδάτῃ τῷ ἑαυτοῦ γαζοφύλακι· διὰ δὲ τού- 11
του παρεδόθησαν Σαμανασσάρῳ προστάτῃ τῆς Ἰουδαίας. ὁ δὲ 12
τούτων ἀριθμὸς ἦν· σπονδεῖα χρυσᾶ χίλια, σπονδεῖα ἀργυρᾶ χίλια, θυΐσκαι ἀργυραῖ εἴκοσιν ἐννέα, φιάλαι χρυσαῖ τριάκοντα, ἀργυραῖ δισχίλιαι τετρακόσιαι δέκα, καὶ ἄλλα σκεύη χίλια. τὰ δὲ πάντα σκεύη διεκομίσθη, χρυσᾶ καὶ ἀργυρᾶ, πεντακισχί- 13
λια τετρακόσια ἑξήκοντα ἐννέα· ἀνηνέχθη δὲ ὑπὸ Σαμανασσά- 14
ρου ἅμα τοῖς ἐκ τῆς αἰχμαλωσίας ἐκ Βαβυλῶνος εἰς Ἰερουσαλήμ.

9 Ἐν δὲ τοῖς ἐπὶ Ἀρταξέρξου τῶν Περσῶν βασιλέως χρό- 15
νοις κατέγραψαν αὐτῷ κατὰ τῶν κατοικούντων ἐν τῇ Ἰουδαίᾳ καὶ Ἰερουσαλὴμ Βήλεμος καὶ Μιθραδάτης καὶ Ταβέλλιος καὶ Ῥάθυμος καὶ Βεέλτεθμος καὶ Σαμέλλιος ὁ γραμματεὺς καὶ οἱ λοιποὶ οἱ τούτοις συντασσόμενοι, οἰκοῦντες δὲ ἐν Σαμαρείᾳ καὶ τοῖς ἄλλοις τόποις, τὴν ὑπογεγραμμένην ἐπιστολήν· «Βα- 16
σιλεῖ Ἀρταξέρξῃ κυρίῳ οἱ παῖδές σου Ῥάθυμος ὁ τὰ προσπίπτοντα καὶ Σαμέλλιος ὁ γραμματεὺς καὶ ἐπίλοιποι τῆς βουλῆς αὐτῶν καὶ κριταὶ οἱ ἐν Κοίλῃ Συρίᾳ καὶ Φοινίκῃ· καὶ νῦν γνω- 17
στὸν ἔστω τῷ κυρίῳ βασιλεῖ, ὅτι οἱ Ἰουδαῖοι ἀναβάντες παρ' ὑμῶν πρὸς ἡμᾶς ἐλθόντες εἰς Ἰερουσαλήμ, τὴν πόλιν τὴν ἀποστάτιν καὶ πονηρὰν οἰκοδομοῦσι, τάς τε ἀγορὰς αὐτῆς καὶ τὰ τείχη θεραπεύουσι καὶ ναὸν ὑποβάλλονται. ἐὰν οὖν ἡ πόλις 18
αὕτη οἰκοδομηθῇ καὶ τὰ τείχη συντελεσθῇ, φορολογίαν οὐ μὴ ὑπομείνωσι δοῦναι, ἀλλὰ καὶ βασιλεῦσιν ἀντιστήσονται. καὶ ἐπεὶ ἐνεργεῖται τὰ κατὰ τὸν ναόν, καλῶς ἔχειν ὑπολαμβάνομεν μὴ ὑπεριδεῖν τὸ τοιοῦτον, ἀλλὰ προσφωνῆσαι τῷ κυρίῳ βασιλεῖ, ὅπως, ἂν φαίνηταί σοι, ἐπισκεφθῇ ἐν τοῖς ἀπὸ τῶν πατέρων σου βιβλίοις· καὶ εὑρήσεις ἐν τοῖς ὑπομνηματισμοῖς γε- 19
γραμμένα περὶ τούτων καὶ γνώσῃ ὅτι ἡ πόλις ἐκείνη ἦν ἀποστάτις καὶ βασιλεῖς καὶ πόλεις ἐνοχλοῦσα καὶ οἱ Ἰουδαῖοι ἀποστάται καὶ πολιορκίας συνιστάμενοι ἐν αὐτῇ ἔτι ἐξ αἰῶνος, δι' ἣν αἰτίαν καὶ ἡ πόλις αὕτη ἠρημώθη. νῦν οὖν ὑποδεικνύομέν 20
σοι, κύριε βασιλεῦ, ὅτι ἐὰν ἡ πόλις αὕτη οἰκοδομηθῇ καὶ τὰ ταύτης τείχη ἀνασταθῇ, κάθοδος οὐκ ἔτι σοι ἔσται εἰς Κοίλην Συρίαν καὶ Φοινίκην».

10 Τότε ἀντέγραψεν ὁ βασιλεὺς Ῥαθύμῳ τῷ γράφοντι τὰ 21
προσπίπτοντα καὶ Βεελτέθμῳ καὶ Σαμελλίῳ γραμματεῖ καὶ τοῖς λοιποῖς τοῖς συντασσομένοις καὶ οἰκοῦσιν ἐν τῇ Σαμαρείᾳ καὶ Συρίᾳ καὶ Φοινίκῃ τὰ ὑπογεγραμμένα· «Ἀνέγνων τὴν ἐπιστο- 22
λήν, ἣν πεπόμφατε πρός με. ἐπέταξα οὖν ἐπισκέψασθαι, καὶ εὑρέθη ὅτι ἡ πόλις ἐκείνη ἐστὶν ἐξ αἰῶνος βασιλεῦσιν ἀντιπαρατάσσουσα καὶ οἱ ἄνθρωποι ἀποστάσεις καὶ πολέμους ἐν αὐ- 23
τῇ συντελοῦντες καὶ βασιλεῖς ἰσχυροὶ καὶ σκληροὶ ἦσαν ἐν Ἰερουσαλὴμ κυριεύοντες καὶ φορολογοῦντες Κοίλην Συρίαν καὶ Φοινίκην. νῦν οὖν ἐπέταξα ἀποκωλῦσαι τοὺς ἀνθρώπους ἐκεί- 24

νους τοῦ οἰκοδομῆσαι τὴν πόλιν καὶ προνοηθῆναι ὅπως μηδὲν παρὰ ταῦτα γένηται καὶ μὴ προβῇ ἐπὶ πλεῖον τὰ τῆς κακίας εἰς τὸ βασιλεῖς ἐνοχλῆσαι».

11 Τότε ἀναγνωσθέντων τῶν παρὰ τοῦ βασιλέως Ἀρταξέρξου γραφέντων, Ῥάθυμος καὶ Σαμέλλιος ὁ γραμματεὺς καὶ οἱ τούτοις συντασσόμενοι ἀναζεύξαντες εἰς Ἰερουσαλὴμ κατὰ σπουδὴν μεθ' ἵππου καὶ ὄχλου παρατάξεως, ἤρξαντο κωλύειν τοὺς οἰκοδομοῦντας. καὶ ἤργει ἡ οἰκοδομὴ τοῦ ἱεροῦ τοῦ ἐν Ἰερουσαλὴμ μέχρι τοῦ δευτέρου ἔτους τῆς βασιλείας Δαρείου τοῦ Περσῶν βασιλέως.

20 Μετὰ δὲ ταῦτα ἐξελέγησαν ἀναβῆναι ἀρχηγοὶ οἴκου πατριῶν κατὰ φυλὰς αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες καὶ οἱ παῖδες αὐτῶν καὶ αἱ παιδίσκαι καὶ τὰ κτήνη αὐτῶν. καὶ Δαρεῖος συναπέστειλε μετ' αὐτῶν ἱππεῖς χιλίους ἕως τοῦ ἀποκαταστῆσαι αὐτοὺς εἰς Ἰερουσαλὴμ μετ' εἰρήνης καὶ μετὰ μουσικῶν τυμπάνων καὶ αὐλῶν· καὶ πάντες οἱ ἀδελφοὶ αὐτῶν παίζοντες, καὶ ἐποίησεν αὐτοῖς συναναβῆναι μετ' ἐκείνων.

Καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν τῶν ἀναβαινόντων κατὰ πατριὰς αὐτῶν εἰς τὰς φυλὰς ἐπὶ τὴν μεριδαρχίαν αὐτῶν. οἱ ἱερεῖς υἱοὶ Φινεὲς υἱοῦ Ἀαρών· Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ τοῦ Σαραΐου καὶ Ἰωακὶμ ὁ τοῦ Ζοροβάβελ τοῦ Σαλαθιὴλ ἐκ τοῦ οἴκου τοῦ Δαυΐδ, ἐκ τῆς γενεᾶς Φαρές, φυλῆς δὲ Ἰούδα, ὃς ἐλάλησεν ἐπὶ Δαρείου τοῦ βασιλέως Περσῶν λόγους σοφοὺς ἐν τῷ δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ μηνὶ Νισὰν τοῦ πρώτου μηνός. εἰσὶ δὲ οὗτοι οἱ ἐκ τῆς Ἰουδαίας ἀναβάντες ἐκ τῆς αἰχμαλωσίας τῆς παροικίας, οὓς μετῴκισε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος εἰς Βαβυλῶνα καὶ ἐπέστρεψαν εἰς Ἰερουσαλὴμ καὶ τὴν λοιπὴν Ἰουδαίαν ἕκαστος εἰς τὴν ἰδίαν πόλιν, οἱ ἐλθόντες μετὰ Ζοροβάβελ καὶ Ἰησοῦ, Νεεμίου, Ζαραΐου, Ῥησαΐου, Ἐνηνέος, Μαρδοχαίου, Βεελσάρου, Ἀσφαράσου, Ῥεελίου, Ῥοῖμου, Βαανά, τῶν προηγουμένων αὐτῶν. ἀριθμὸς τῶν ἀπὸ τοῦ ἔθνους καὶ οἱ προηγούμενοι αὐτῶν· υἱοὶ Φόρος δύο χιλιάδες καὶ ἑκατὸν ἑβδομήκοντα δύο. υἱοὶ Σαφὰτ τετρακόσιοι ἑβδομήκοντα δύο. υἱοὶ Ἀρὲς ἑπτακόσιοι πεντήκοντα ἕξ. υἱοὶ Φαὰθ Μωὰβ εἰς τοὺς υἱοὺς Ἰησοῦ καὶ Ἰωὰβ δισχίλιοι ὀκτακόσιοι δεκαδύο. υἱοὶ Ἠλὰμ χίλιοι διακόσιοι πεντήκοντα τέσσαρες. υἱοὶ Ζαθουῒ ἐνακόσιοι ἑβδομήκοντα πέντε. υἱοὶ Χορβὲ ἑπτακόσιοι πέντε. υἱοὶ Βανὶ ἑξακόσιοι τεσσαράκοντα ὀκτώ. υἱοὶ Βηβαΐ ἑξακόσιοι τριάκοντα τρεῖς. υἱοὶ Ἀργαΐ χίλιοι τριακόσιοι εἴκοσι δύο. υἱοὶ Ἀδωνικὰμ ἑξακόσιοι τριάκοντα ἑπτά. υἱοὶ Βαγοῒ δισχίλιοι ἑξακόσιοι ἕξ. υἱοὶ Ἀδινοὺ τετρακόσιοι πεντήκοντα τέσσαρες. υἱοὶ Ἀτὴρ Ἐζεκίου ἐνενήκοντα δύο. υἱοὶ Κιλὰν καὶ Ἀζηνὰν ἑξήκοντα ἑπτά. υἱοὶ Ἀζαροὺ τετρακόσιοι τριάκοντα δύο. υἱοὶ Ἀννὶς ἑκατὸν εἷς. υἱοὶ Ἀρὸμ τριάκοντα δύο. υἱοὶ

Βασαΐ τριακόσιοι εἴκοσι τρεῖς. υἱοὶ Ἀρσιφουρὶθ ἑκατὸν δύο.
υἱοὶ Βαιτηροὺς τρισχίλιοι πέντε. υἱοὶ ἐκ Βεθλωμὼν ἑκατὸν εἴ- 17
κοσι τρεῖς. οἱ ἐκ Νετωφὰς πεντήκοντα πέντε. οἱ ἐξ Ἀναθὼθ ἑ- 18
κατὸν πεντήκοντα ὀκτώ. οἱ ἐκ Βεθασμὼν τεσσαράκοντα δύο. 19
οἱ ἐκ Καριαθιρὶ εἴκοσι πέντε. οἱ ἐκ Καφίρας καὶ Βηρὼγ ἑπτα-
κόσιοι τεσσαράκοντα τρεῖς. οἱ Χαδιασαΐ καὶ Ἀμμίδιοι τετρακό- 20
σιοι εἴκοσι δύο. οἱ ἐκ Κιραμὰς καὶ Γαββὴς ἑξακόσιοι εἴκοσιν
εἷς. οἱ ἐκ Μακαλὼν ἑκατὸν εἴκοσι δύο. οἱ ἐκ Βετολιὼ πεντήκο- 21
ντα δύο. υἱοὶ Νιφὶς ἑκατὸν πεντήκοντα ἕξ. υἱοὶ Καλαμωλάλου 22
καὶ Ὠνοὺς ἑπτακόσιοι εἴκοσι πέντε. υἱοὶ Ἱερεχοὺ διακόσιοι
τεσσαράκοντα πέντε. υἱοἱ Σανάας τρισχίλιοι τριακόσιοι εἷς. οἱ 23 24
ἱερεῖς οἱ υἱοὶ Ἰεδδοὺ τοῦ Ἰησοῦ εἰς τοὺς υἱοὺς Σανασὶβ ὀκτα-
κόσιοι ἑβδομήκοντα δύο. υἱοὶ Ἐμμηροὺθ διακόσιοι πεντήκο-
ντα δύο. υἱοὶ Φασσούρου χίλιοι τεσσαράκοντα ἑπτά. υἱοὶ Χαρ- 25
μὶ διακόσιοι δεκαεπτά. οἱ Λευῖται οἱ υἱοὶ Ἰησοῦ καὶ Καδοήλου 26
καὶ Βάννου καὶ Σουδίου ἑβδομήκοντα τέσσαρες. οἱ ἱεροψάλται 27
υἱοὶ Ἀσὰφ ἑκατὸν εἴκοσιν ὀκτώ. οἱ θυρωροὶ υἱοὶ Σαλούμ, υἱοὶ 28
Ἀτάρ, υἱοὶ Τολμάν, υἱοὶ Δακούβ, υἱοὶ Ἀτητά, υἱοὶ Τωβίς, πά-
ντες ἑκατὸν τριάκοντα ἐννέα. οἱ ἱερόδουλοι υἱοὶ Ἠσαῦ, υἱοὶ Ἀ- 29
σιφά, υἱοὶ Ταβαώθ, υἱοὶ Κηράς, υἱοὶ Σουδά, υἱοὶ Φαλαΐου, υἱοὶ
Λαβανά, υἱοὶ Ἀγραβά, υἱοὶ Ἀκούδ, υἱοὶ Οὐτά, υἱοὶ Κητάβ, υἱοὶ 30
Ἀκκαβά, υἱοὶ Συβαΐ, υἱοὶ Ἀνάν, υἱοὶ Καθουά, υἱοὶ Γεδδούρ, υἱ- 31
οὶ Ἰαΐρου, υἱοὶ Δαισάν, υἱοὶ Νοεβά, υἱοὶ Χασεβά, υἱοὶ Καζηρά,
υἱοὶ Ὀζίου, υἱοὶ Φινοέ, υἱοὶ Ἀσαρά, υἱοὶ Βασθαΐ, υἱοὶ Ἀσσανά,
υἱοὶ Μανί, υἱοὶ Ναφισί, υἱοὶ Ἀκούφ, υἱοὶ Ἀχιβά, υἱοὶ Ἀσούβ,
υἱοὶ Φαρακέμ, υἱοὶ Βασαλέμ, υἱοὶ Μεεδδά, υἱοὶ Κουθά, υἱοὶ Χα- 32
ρέα, υἱοὶ Βαρχουέ, υἱοὶ Σεράρ, υἱοὶ Θομοῖ, υἱοὶ Νασί, υἱοὶ Ἀτε-
φά, υἱοὶ παίδων Σαλωμών, υἱοὶ Ἀσσαπφιώθ, υἱοὶ Φαριρά, υἱοὶ 33
Ἰεϊηλί, υἱοὶ Λοζών, υἱοὶ Ἰσραήλ, υἱοὶ Σαφυΐ, υἱοὶ Ἀγιά, υἱοὶ 34
Φαχαρέθ, υἱοὶ Σαβιή, υἱοὶ Σαρωθί, υἱοὶ Μισαΐας, υἱοὶ Τάς, υἱοὶ
Ἀδδούς, υἱοὶ Σουβά, υἱοὶ Ἀφερρά, υἱοὶ Βαρωδίς, υἱοὶ Σαφάγ,
υἱοὶ Ἀλλών. πάντες οἱ ἱερόδουλοι καὶ οἱ υἱοὶ τῶν παίδων Σα- 35
λωμὼν τριακόσιοι ἑβδομήκοντα δύο. οὗτοι ἀναβάντες ἀπὸ 36
Θερμελὲθ καὶ Θελερσάς, ἡγούμενος αὐτῶν Χαραάθαλὰν καὶ
Ἀαλάρ. καὶ οὐκ ἠδύναντο ἀπαγγεῖλαι τὰς πατριὰς αὐτῶν καὶ 37
γενεάς, ... ὡς ἐκ τοῦ Ἰσραήλ εἰσιν· υἱοὶ Δαλὰν τοῦ υἱοῦ τοῦ
Βαενάν, υἱοὶ Νεκωδὰν ἑξακόσιοι πεντήκοντα δύο. καὶ ἐκ τῶν 38
ἱερέων οἱ ἐμποιούμενοι ἱερωσύνης καὶ οὐχ εὑρέθησαν· υἱοὶ Ὀ-
βδία, υἱοὶ Ἀκβώς, υἱοὶ Ἰαδδοὺ τοῦ λαβόντος Αὐγίαν γυναῖκα
τῶν θυγατέρων Φαηζελδαΐου, καὶ ἐκλήθη ἐπὶ τῷ ὀνόματι αὐ-
τοῦ. καὶ τούτων ζητηθείσης τῆς γενικῆς γραφῆς ἐν τῷ καταλο- 39
χισμῷ καὶ μὴ εὑρεθείσης, ἐχωρίσθησαν τοῦ ἱερατεύειν. καὶ εἶ- 40
πεν αὐτοῖς Νεεμίας καὶ Ἀθαρίας μὴ μετέχειν τῶν ἁγίων ἕως
ἀναστῇ ἀρχιερεὺς ἐνδεδυμένος τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν.
οἱ δὲ πάντες Ἰσραὴλ ἦσαν ἀπὸ δωδεκαετοῦς καὶ ἐπάνω, χω- 41

ρὶς παίδων καὶ παιδισκῶν, μυριάδες τέσσαρες δισχίλιοι τρια-
κόσιοι ἑξήκοντα· παῖδες τούτων καὶ παιδίσκαι ἑπτακισχίλιοι
τριακόσιοι τριάκοντα ἑπτά· ψάλται καὶ ψαλτῳδοὶ διακόσιοι
τεσσαράκοντα πέντε· κάμηλοι τετρακόσιοι τριάκοντα πέντε 42
καὶ ἵπποι ἑπτακισχίλιοι τριάκοντα ἕξ, ἡμίονοι διακόσιοι τεσσα-
ράκοντα πέντε, ὑποζύγια πεντακισχίλια πεντακόσια εἴκοσι πέ-
ντε. καὶ ἐκ τῶν ἡγουμένων κατὰ τὰς πατριὰς ἐν τῷ παραγίνε- 43
σθαι αὐτοὺς εἰς τὸ ἱερὸν τοῦ θεοῦ, τὸ ἐν Ἰερουσαλήμ, ηὔξαντο
ἐγεῖραι τὸν οἶκον ἐπὶ τοῦ τόπου αὐτοῦ κατὰ τὴν αὐτῶν δύνα-
μιν καὶ δοῦναι εἰς τὸ ἱερὸν γαζοφυλάκιον τῶν ἔργων χρυσίου 44
μνᾶς χιλίας καὶ ἀργυρίου μνᾶς πεντακισχιλίας καὶ στολὰς ἱε-
ρατικὰς ἑκατόν. καὶ κατῳκίσθησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ 45
οἱ ἐκ τοῦ λαοῦ αὐτοῦ ἐν Ἰερουσαλὴμ καὶ τῇ χώρᾳ, οἵ τε ἱερο-
ψάλται καὶ οἱ θυρωροὶ καὶ πᾶς Ἰσραὴλ ἐν ταῖς κώμαις αὐτῶν.

Ἐνστάντος δὲ τοῦ ἑβδόμου μηνὸς καὶ ὄντων τῶν υἱῶν Ἰσ- 46
ραὴλ ἑκάστου ἐν τοῖς ἰδίοις, συνήχθησαν ὁμοθυμαδὸν εἰς τὸ
εὐρύχωρον τοῦ πρώτου πυλῶνος τοῦ πρὸς τῇ ἀνατολῇ. καὶ 47
καταστὰς Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ οἱ ἀδελφοὶ αὐτοῦ οἱ ἱε-
ρεῖς καὶ Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ καὶ οἱ τούτου ἀδελφοὶ ἡ-
τοίμασαν τὸ θυσιαστήριον τοῦ θεοῦ τοῦ Ἰσραὴλ προσενέγκαι 48
ἐπ' αὐτοῦ ὁλοκαυτώσεις ἀκολούθως τοῖς ἐν τῇ Μωϋσέως Βί-
βλῳ τοῦ ἀνθρώπου τοῦ θεοῦ διηγορευμένοις. καὶ ἐπισυνήχθη- 49
σαν αὐτοῖς ἐκ τῶν ἄλλων ἐθνῶν τῆς γῆς, καὶ κατώρθωσαν τὸ
θυσιαστήριον ἐπὶ τοῦ τόπου αὐτῶν, ὅτι ἐν ἔχθρᾳ ἦσαν αὐτοῖς.
καὶ κατίσχυσαν αὐτοὺς πάντα τὰ ἔθνη τὰ ἐπὶ τῆς γῆς, καὶ ἀνέ-
φερον θυσίας κατὰ τὸν καιρὸν καὶ ὁλοκαυτώματα Κυρίῳ τὸ
πρωϊνὸν καὶ τὸ δειλινὸν καὶ ἤγαγον τὴν τῆς σκηνοπηγίας ἑορ- 50
τήν, ὡς ἐπιτέτακται ἐν τῷ Νόμῳ, καὶ θυσίας καθ' ἡμέραν, ὡς
προσῆκον ἦν, καὶ μετὰ ταῦτα προσφορὰς ἐνδελεχισμοῦ καὶ θυ- 51
σίας σαββάτων καὶ νουμηνιῶν καὶ ἑορτῶν πασῶν ἡγιασμέ-
νων. καὶ ὅσοι ηὔξαντο εὐχὴν τῷ θεῷ, ἀπὸ τῆς νουμηνίας τοῦ 52
ἑβδόμου μηνὸς ἤρξαντο προσφέρειν θυσίας τῷ θεῷ· καὶ ὁ ναὸς
τοῦ θεοῦ οὔπω ᾠκοδόμητο. καὶ ἔδωκαν ἀργύριον τοῖς λα- 53
τόμοις καὶ τέκτοσι καὶ ποτὰ καὶ βρωτὰ καὶ κάρυα τοῖς Σιδω-
νίοις καὶ Τυρίοις εἰς τὸ παράγειν αὐτοὺς ἐκ τοῦ Λιβάνου ξύλα
κέδρινα, διαφέρειν σχεδίας εἰς τὸν Ἰόππης λιμένα, κατὰ τὸ
πρόσταγμα τὸ γραφὲν αὐτοῖς παρὰ Κύρου τοῦ Περσῶν βασι-
λέως. καὶ τῷ δευτέρῳ ἔτει παραγενόμενος εἰς τὸ ἱερὸν τοῦ θε- 54
οῦ εἰς Ἰερουσαλὴμ μηνὸς δευτέρου ἤρξατο Ζοροβάβελ ὁ τοῦ
Σαλαθιὴλ καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ οἱ ἀδελφοὶ αὐτῶν καὶ
οἱ ἱερεῖς οἱ Λευῖται καὶ πάντες οἱ παραγενόμενοι ἐκ τῆς αἰχμα-
λωσίας εἰς Ἰερουσαλὴμ καὶ ἐθεμελίωσαν τὸν ναὸν τοῦ θεοῦ τῇ 55
νουμηνίᾳ τοῦ δευτέρου μηνός, τοῦ δευτέρου ἔτους, ἐν τῷ ἐλ-
θεῖν εἰς τὴν Ἰουδαίαν καὶ Ἰερουσαλήμ. καὶ ἔστησαν τοὺς Λευί- 56
τας ἀπὸ εἰκοσαετοῦς ἐπὶ τῶν ἔργων τοῦ Κυρίου, καὶ ἔστη Ἰη-

σοῦς καὶ οἱ υἱοὶ καὶ οἱ ἀδελφοὶ καὶ Καδμιὴλ ὁ ἀδελφὸς καὶ οἱ
υἱοὶ Ἡμαδαβοῦν καὶ οἱ υἱοὶ Ἰωδὰ τοῦ Ἡλιαδοὺδ σὺν τοῖς υἱ-
οῖς καὶ ἀδελφοῖς, πάντες οἱ Λευῖται, ὁμοθυμαδὸν ἐργοδιῶκται
ποιοῦντες εἰς τὰ ἔργα ἐν τῷ οἴκῳ τοῦ Κυρίου. καὶ ᾠκοδόμη-
σαν οἱ οἰκοδόμοι τὸν ναὸν τοῦ Κυρίου, καὶ ἔστησαν οἱ ἱερεῖς 57
ἐστολισμένοι μετὰ μουσικῶν καὶ σαλπίγγων καὶ οἱ Λευῖται υἱ-
οὶ Ἀσὰφ ἔχοντες τὰ κύμβαλα ὑμνοῦντες τῷ Κυρίῳ καὶ εὐλο-
γοῦντες κατὰ Δαυὶδ βασιλέα τοῦ Ἰσραὴλ καὶ ἐφώνησαν δι' ὕ- 58
μνων εὐλογοῦντες τῷ Κυρίῳ, ὅτι ἡ χρηστότης αὐτοῦ καὶ ἡ δό-
ξα εἰς τοὺς αἰῶνας ἐν παντὶ Ἰσραήλ. καὶ πᾶς ὁ λαὸς ἐσάλπι- 59
σαν καὶ ἐβόησαν φωνῇ μεγάλῃ ὑμνοῦντες τῷ Κυρίῳ ἐπὶ τῇ ἐ-
γέρσει τοῦ οἴκου Κυρίου. καὶ ἦλθον ἐκ τῶν ἱερέων τῶν Λευῖ- 60
τῶν καὶ τῶν προκαθημένων κατὰ τὰς πατριὰς αὐτῶν οἱ πρε-
σβύτεροι οἱ ἑωρακότες τὸν πρὸ τούτου οἶκον πρὸς τὴν τούτου
οἰκοδομὴν μετὰ κλαυθμοῦ καὶ κραυγῆς μεγάλης καὶ πολλοὶ διὰ 61
σαλπίγγων καὶ χαρᾶς μεγάλῃ τῇ φωνῇ, ὥστε τὸν λαὸν μὴ ἀ- 62
κούειν τῶν σαλπίγγων διὰ τὸν κλαυθμὸν τοῦ λαοῦ· ὁ γὰρ ὄ-
χλος ἦν ὁ σαλπίζων μεγάλως, ὥστε μακρόθεν ἀκούεσθαι.

Καὶ ἀκούσαντες οἱ ἐχθροὶ τῆς φυλῆς Ἰούδα καὶ Βενιαμὶν 63
ἦλθον ἐπιγνῶναι τίς ἡ φωνὴ τῶν σαλπίγγων. καὶ ἐπέγνωσαν 64
ὅτι οἱ ἐκ τῆς αἰχμαλωσίας οἰκοδομοῦσι τὸν ναὸν Κυρίῳ τῷ
θεῷ Ἰσραήλ, καὶ προσελθόντες ἐν τῷ Ζοροβάβελ καὶ Ἰησοῦ 65
καὶ τοῖς ἡγουμένοις τῶν πατριῶν λέγουσιν αὐτοῖς· Συνοικοδο-
μήσωμεν ὑμῖν· ὁμοίως γὰρ ὑμῖν ἀκούομεν τοῦ Κυρίου ὑμῶν 66
καὶ αὐτῷ ἐπιθύομεν ἀφ' ἡμερῶν Ἀσβασαρὲθ βασιλέως Ἀσσυ-
ρίων, ὃς μετήγαγεν ἡμᾶς ἐνταῦθα. καὶ εἶπεν αὐτοῖς Ζοροβάβελ 67
καὶ Ἰησοῦς καὶ οἱ ἡγούμενοι τῶν πατριῶν τοῦ Ἰσραήλ· Οὐχ ἡ-
μῖν καὶ ὑμῖν τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίῳ τῷ θεῷ ἡμῶν·
ἡμεῖς γὰρ μόνοι οἰκοδομήσομεν τῷ Κυρίῳ τοῦ Ἰσραὴλ ἀκο- 68
λούθως, οἷς προσέταξεν ἡμῖν Κῦρος ὁ βασιλεὺς Περσῶν. τὰ 69
δὲ ἔθνη τῆς γῆς ἐπικοιμώμενα τοῖς ἐν τῇ Ἰουδαίᾳ καὶ πολιορ-
κοῦντες εἶργον τοῦ οἰκοδομεῖν. καὶ βουλὰς δημαγωγοῦντες 70
καὶ συστάσεις ποιούμενοι ἀπεκώλυσαν τοῦ ἀποτελεσθῆναι τὴν
οἰκοδομὴν πάντα τὸν χρόνον τῆς ζωῆς τοῦ βασιλέως Κύρου.
καὶ εἴρχθησαν τῆς οἰκοδομῆς ἔτη δύο ἕως τῆς Δαρείου βασι-
λείας.

12 Ἐν δὲ τῷ δευτέρῳ ἔτει τῆς Δαρείου βασιλείας ἐπροφήτευ- **6**
σεν Ἀγγαῖος καὶ Ζαχαρίας ὁ τοῦ Ἀδδὼ οἱ προφῆται ἐπὶ τοὺς
Ἰουδαίους τοὺς ἐν τῇ Ἰουδαίᾳ καὶ Ἰερουσαλὴμ ἐπὶ τῷ ὀνόματι
Κυρίου τοῦ θεοῦ Ἰσραὴλ ἐπ' αὐτούς. τότε στὰς Ζοροβάβελ ὁ 2
τοῦ Σαλαθιὴλ καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ἤρξαντο οἰκοδομεῖν
τὸν οἶκον τοῦ Κυρίου τὸν ἐν Ἰερουσαλήμ, συνόντων τῶν προ-
φητῶν τοῦ Κυρίου βοηθούντων αὐτοῖς. ἐν αὐτῷ τῷ χρόνῳ πα- 3
ρῆν πρὸς αὐτοὺς Σισίννης ὁ ἔπαρχος Συρίας καὶ Φοινίκης καὶ
Σαθραβουζάνης καὶ οἱ συνεταῖροι καὶ εἶπαν αὐτοῖς· Τίνος ὑμῖν 4

συντάξαντος τὸν οἶκον τοῦτον οἰκοδομεῖτε, καὶ τὴν στέγην
ταύτην καὶ τὰ ἄλλα πάντα ἐπιτελεῖτε; καὶ τίνες εἰσὶν οἰκοδόμοι
οἱ ταῦτα ἐπιτελοῦντες; καὶ ἔσχον χάριν ἐπισκοπῆς γενομένης 5
ἐπὶ τὴν αἰχμαλωσίαν παρὰ τοῦ Κυρίου οἱ πρεσβύτεροι τῶν
Ἰουδαίων καὶ οὐκ ἐκωλύθησαν τῆς οἰκοδομῆς, μέχρι τοῦ ὑπο- 6
σημανθῆναι Δαρείῳ περὶ αὐτῶν καὶ προσφωνηθῆναι.

13 Ἀντίγραφον ἐπιστολῆς, ἧς ἔγραψαν Δαρείῳ καὶ ἀπέστει- 7
λαν· «Σισίννης ὁ ἔπαρχος Συρίας καὶ Φοινίκης καὶ Σαθραβου-
ζάνης καὶ οἱ συνεταῖροι οἱ ἐν Συρίᾳ καὶ Φοινίκῃ ἡγεμόνες βα-
σιλεῖ Δαρείῳ χαίρειν. πάντα γνωστὰ ἔστω τῷ κυρίῳ ἡμῶν τῷ 8
βασιλεῖ, ὅτι παραγενόμενοι εἰς τὴν χώραν τῆς Ἰουδαίας καὶ
ἐλθόντες εἰς Ἱερουσαλὴμ τὴν πόλιν κατελάβομεν τῆς αἰχμαλω-
σίας τοὺς πρεσβυτέρους τῶν Ἰουδαίων ἐν Ἱερουσαλὴμ τῇ πό-
λει οἰκοδομοῦντας οἶκον τῷ Κυρίῳ μέγαν, καινὸν διὰ λίθων
ξυστῶν πολυτελῶν, ξύλων τιθεμένων ἐν τοῖς τοίχοις, καὶ τὰ 9
ἔργα ἐκεῖνα ἐπὶ σπουδῆς γινόμενα καὶ εὐοδούμενον τὸ ἔργον
ἐν ταῖς χερσὶν αὐτῶν καὶ ἐν πάσῃ δόξῃ, καὶ ἐπιμελείᾳ συντε-
λούμενον. τότε ἐπυνθανόμεθα τῶν πρεσβυτέρων τούτων λέγο- 10
ντες· Τίνος ὑμῖν προστάξαντος οἰκοδομεῖτε τὸν οἶκον τοῦτον
καὶ τὰ ἔργα ταῦτα θεμελιοῦτε; ἐπερωτήσαμεν οὖν αὐτοὺς εἵνε- 11
κεν τοῦ γνωρίσαι σοι καὶ γράψαι σοι τοὺς ἀνθρώπους τοὺς ἀ-
φηγουμένους καὶ τὴν ὀνοματογραφίαν ᾐτοῦμεν αὐτοὺς τῶν
προκαθηγουμένων. οἱ δὲ ἀπεκρίθησαν ἡμῖν λέγοντες· Ἡμεῖς ἐ- 12
σμεν παῖδες τοῦ Κυρίου τοῦ κτίσαντος τὸν οὐρανὸν καὶ τὴν
γῆν· καὶ ᾠκοδόμητο οἶκος ἔμπροσθεν ἐτῶν πλειόνων διὰ βασι- 13
λέως τοῦ Ἰσραὴλ μεγάλου καὶ ἰσχυροῦ καὶ ἐπετελέσθη. καὶ ἐ- 14
πεὶ οἱ πατέρες ἡμῶν παραπικράναντες ἥμαρτον εἰς τὸν Κύριον
τοῦ Ἰσραὴλ τὸν οὐράνιον, παρέδωκεν αὐτοὺς εἰς χεῖρας Να-
βουχοδονόσορ βασιλέως Βαβυλῶνος βασιλέως τῶν Χαλ-
δαίων· τόν τε οἶκον καθελόντες ἐνεπύρισαν καὶ τὸν λαὸν 15
ᾐχμαλώτευσαν εἰς Βαβυλῶνα. ἐν δὲ τῷ πρώτῳ ἔτει βασιλεύο- 16
ντος Κύρου χώρας Βαβυλωνίας ἔγραψεν ὁ βασιλεὺς Κῦρος
τὸν οἶκον τοῦτον οἰκοδομῆσαι· καὶ τὰ ἱερὰ σκεύη τὰ χρυσᾶ 17
καὶ τὰ ἀργυρᾶ, ἃ ἐξήνεγκε Ναβουχοδονόσορ ἐκ τοῦ οἴκου τοῦ
ἐν Ἱερουσαλὴμ καὶ ἀπηρείσατο αὐτὰ ἐν τῷ αὐτοῦ ναῷ, πάλιν
ἐξήνεγκεν αὐτὰ Κῦρος ὁ βασιλεὺς ἐκ τοῦ ναοῦ τοῦ ἐν Βαβυ-
λωνίᾳ, καὶ παρεδόθη Σαβανασσάρῳ Ζοροβάβελ τῷ ἐπάρχῳ,
καὶ ἐπετάγη αὐτῷ, καὶ ἀπήνεγκε πάντα τὰ σκεύη ταῦτα ἀπο- 18
θεῖναι ἐν τῷ ναῷ τῷ ἐν Ἱερουσαλὴμ καὶ τὸν ναὸν τοῦ Κυρίου
οἰκοδομηθῆναι ἐπὶ τοῦ τόπου. τότε ὁ Σαβανάσσαρος παραγε- 19
νόμενος ἐνεβάλετο τοὺς θεμελίους τοῦ οἴκου Κυρίου τοῦ ἐν Ἱε-
ρουσαλήμ, καὶ ἀπ' ἐκείνου μέχρι τοῦ νῦν οἰκοδομούμενος οὐκ
ἔλαβε συντέλειαν. νῦν οὖν εἰ κρίνεται, βασιλεῦ, ἐπισκεπήτω ἐν 20
τοῖς βασιλικοῖς βιβλιοφυλακίοις τοῦ Κύρου· καὶ ἐὰν εὑρίσκη- 21
ται μετὰ τῆς γνώμης Κύρου τοῦ βασιλέως γενομένην τὴν οἰκο-

δομὴν τοῦ οἴκου Κυρίου τοῦ ἐν Ἰερουσαλὴμ καὶ κρίνηται τῷ κυρίῳ βασιλεῖ ἡμῶν, προσφωνησάτω ἡμῖν περὶ τούτων».

14 Τότε ὁ βασιλεὺς Δαρεῖος προσέταξεν ἐπισκέψασθαι ἐν 22
τοῖς βιβλιοφυλακίοις τοῖς κειμένοις ἐν Βαβυλῶνι, καὶ εὑρέθη
ἐν Ἐκβατάνοις τῇ βάρει τῇ ἐν Μηδίᾳ χώρᾳ τόμος εἷς, ἐν ᾧ ὑ-
πομνημάτιστο τάδε· «Ἔτους πρώτου βασιλεύοντος Κύρου βα- 23
σιλεὺς Κῦρος προσέταξε τὸν οἶκον τοῦ Κυρίου τὸν ἐν Ἰερου-
σαλὴμ οἰκοδομῆσαι, ὅπου ἐπιθύουσι διὰ πυρὸς ἐνδελεχοῦς,
οὗ τὸ ὕψος πηχῶν ἑξήκοντα, πλάτος πηχῶν ἑξήκοντα, διὰ δό- 24
μων λιθίνων ξυστῶν τριῶν καὶ δόμου ξυλίνου ἐγχωρίου και-
νοῦ ἑνός, καὶ τὸ δαπάνημα δοθῆναι ἐκ τοῦ οἴκου Κύρου τοῦ
βασιλέως, καὶ τὰ ἱερὰ σκεύη τοῦ οἴκου Κυρίου τά τε χρυσᾶ 25
καὶ ἀργυρᾶ, ἃ ἐξήνεγκε Ναβουχοδονόσορ ἐκ τοῦ οἴκου τοῦ ἐν
Ἰερουσαλὴμ καὶ ἀπήνεγκεν εἰς Βαβυλῶνα, ἀποκατασταθῆναι
εἰς τὸν οἶκον τὸν ἐν Ἰερουσαλήμ, οὗ ἦν κείμενα, ὅπως τεθῇ ἐ-
κεῖ. προσέταξε δὲ ἐπιμεληθῆναι Σισίννῃ ἐπάρχῳ Συρίας καὶ 26
Φοινίκης καὶ Σαθραβουζάνῃ καὶ τοῖς συνεταίροις καὶ τοῖς ἀπο-
τεταγμένοις ἐν Συρίᾳ καὶ Φοινίκῃ ἡγεμόσιν ἀπέχεσθαι τοῦ τό-
που, ἐᾶσαι δὲ τὸν παῖδα Κυρίου Ζοροβάβελ, ἔπαρχον δὲ τῆς
Ἰουδαίας, καὶ τοὺς πρεσβυτέρους τῶν Ἰουδαίων τὸν οἶκον
τοῦ Κυρίου ἐκεῖνον οἰκοδομεῖν ἐπὶ τοῦ τόπου. καὶ ἐγὼ δὲ ἐπέ- 27
ταξα ὁλοσχερῶς οἰκοδομῆσαι καὶ ἀτενίσαι, ἵνα συμποιῶσι
τοῖς ἐκ τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας μέχρι τοῦ ἐπιτελεσθῆ-
ναι τὸν οἶκον τοῦ Κυρίου· καὶ ἀπὸ τῆς φορολογίας Κοίλης Συ- 28
ρίας καὶ Φοινίκης ἐπιμελῶς σύνταξιν δίδοσθαι τούτοις τοῖς
ἀνθρώποις εἰς θυσίαν τῷ Κυρίῳ, Ζοροβάβελ ἐπάρχῳ, εἰς ταύ-
ρους καὶ κριοὺς καὶ ἄρνας, ὁμοίως δὲ καὶ πυρὸν καὶ ἅλα καὶ 29
οἶνον καὶ ἔλαιον ἐνδελεχῶς κατ' ἐνιαυτόν, καθὼς ἂν οἱ ἱερεῖς
οἱ ἐν Ἰερουσαλὴμ ὑπαγορεύσωσιν ἀναλίσκεσθαι καθ' ἡμέραν
ἀναμφισβητήτως, ὅπως προσφέρωνται σπονδαὶ τῷ θεῷ τῷ ὑ- 30
ψίστῳ ὑπὲρ τοῦ βασιλέως καὶ τῶν παίδων καὶ προσεύχωνται
περὶ τῆς αὐτῶν ζωῆς, καὶ προστάξαι ἵνα ὅσοι ἐὰν παραβῶσί τι 31
τῶν γεγραμμένων καὶ ἀκυρώσωσι, ληφθῆναι ξύλον ἐκ τῶν ἰ-
δίων αὐτοῦ καὶ ἐπὶ τούτου κρεμασθῆναι καὶ τὰ ὑπάρχοντα αὐ-
τοῦ εἶναι βασιλικά. διὰ ταῦτα καὶ ὁ Κύριος, οὗ τὸ ὄνομα αὐτοῦ 32
ἐπικέκληται ἐκεῖ, ἀφανίσαι πάντα βασιλέα καὶ ἔθνος, ὃς ἐκτε-
νεῖ τὴν χεῖρα αὐτοῦ κωλῦσαι ἢ κακοποιῆσαι τὸν οἶκον Κυρίου
ἐκεῖνον τὸν ἐν Ἰερουσαλήμ. ἐγὼ βασιλεὺς Δαρεῖος δεδογμάτι- 33
κα ἐπιμελῶς κατὰ ταῦτα γίνεσθαι».

15 Τότε Σισίννης ἔπαρχος Κοίλης Συρίας καὶ Φοινίκης, καὶ **7**
Σαθραβουζάνης καὶ οἱ συνεταῖροι κατακολουθήσαντες τοῖς ὑ-
πὸ τοῦ βασιλέως Δαρείου προσταγεῖσιν ἐπεστάτουν τῶν ἱε- 2
ρῶν ἔργων ἐπιμελέστερον συνεργοῦντες τοῖς πρεσβυτέροις
τῶν Ἰουδαίων καὶ ἱεροστάταις. καὶ εὔοδα ἐγίνετο τὰ ἱερὰ ἔργα 3
προφητευόντων Ἀγγαίου καὶ Ζαχαρίου τῶν προφητῶν. καὶ 4

συνετέλεσαν ταῦτα διὰ προστάγματος Κυρίου τοῦ θεοῦ Ἰσ-
ραήλ, καὶ μετὰ τῆς γνώμης τοῦ Κύρου καὶ Δαρείου καὶ Ἀρτα-
ξέρξου βασιλέων Περσῶν συνετελέσθη ὁ οἶκος ὁ ἅγιος ἕως 5
τρίτης καὶ εἰκάδος μηνὸς Ἀδὰρ τοῦ ἕκτου ἔτους βασιλέως Δα-
ρείου. καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται 6
καὶ οἱ λοιποὶ οἱ ἐκ τῆς αἰχμαλωσίας οἱ προστεθέντες ἀκολού-
θως τοῖς ἐν τῇ Μωϋσέως Βίβλῳ· καὶ προσήνεγκαν εἰς τὸν ἐ- 7
γκαινισμὸν τοῦ ἱεροῦ τοῦ Κυρίου ταύρους ἑκατόν, κριοὺς δια-
16 κοσίους, ἄρνας τετρακοσίους, χιμάρους ὑπὲρ ἁμαρτίας πα- 8
ντὸς τοῦ Ἰσραὴλ δώδεκα πρὸς ἀριθμόν, ἐκ τῶν φυλάρχων τοῦ
Ἰσραὴλ δώδεκα. καὶ ἔστησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται κατὰ φυ- 9
λὰς ἐστολισμένοι ἐπὶ τῶν ἔργων Κυρίου τοῦ θεοῦ Ἰσραὴλ ἀκο-
λούθως τῇ Μωϋσέως Βίβλῳ καὶ οἱ θυρωροὶ ἐφ' ἑκάστου πυ-
λῶνος.

Καὶ ἤγαγον οἱ υἱοὶ Ἰσραὴλ τῶν ἐκ τῆς αἰχμαλωσίας τὸ πά- 10
σχα ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ πρώτου μηνός· ὅτι ἡγνίσθη-
σαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται ἅμα καὶ πάντες οἱ υἱοὶ τῆς αἰχμα- 11
λωσίας. [ὅτι ἡγνίσθησαν. ὅτι οἱ Λευῖται ἅμα πάντες ἡγνίσθη-
σαν]. καὶ ἔθυσαν τὸ πάσχα πᾶσι τοῖς υἱοῖς τῆς αἰχμαλωσίας 12
καὶ τοῖς ἀδελφοῖς αὐτῶν τοῖς ἱερεῦσι καὶ ἑαυτοῖς. καὶ ἔφαγον 13
οἱ υἱοὶ Ἰσραὴλ οἱ ἐκ τῆς αἰχμαλωσίας, πάντες οἱ χωρισθέντες
ἀπὸ τῶν βδελυγμάτων τῶν ἐθνῶν τῆς γῆς, ζητοῦντες τὸν Κύ-
ριον. καὶ ἤγαγον τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας εὐφραι- 14
νόμενοι ἔναντι Κυρίου, ὅτι μετέστρεψε τὴν βουλὴν τοῦ βασιλέ- 15
ως Ἀσσυρίων ἐπ' αὐτοὺς κατισχῦσαι τὰς χεῖρας αὐτῶν ἐπὶ τὰ
ἔργα Κυρίου τοῦ θεοῦ Ἰσραήλ.

Ἔσδρας

17 Καὶ μεταγενέστερος τούτων βασιλεύοντος Ἀρταξέρξου **8**
τοῦ Περσῶν βασιλέως προσέβη Ἔσδρας Σαραΐου, τοῦ Ἐζε-
ρίου, τοῦ Χελκίου τοῦ Σαλήμου, τοῦ Σαδδούκου, τοῦ Ἀχιτώβ, 2
τοῦ Ἀμαρίου, τοῦ Ὀζίου, τοῦ Βοκκά, τοῦ Ἀβισαΐ, τοῦ Φινεές,
τοῦ Ἐλεάζαρ, τοῦ Ἀαρὼν τοῦ ἱερέως τοῦ πρώτου. οὗτος Ἔσ- 3
δρας ἀνέβη ἐκ Βαβυλῶνος ὡς γραμματεὺς εὐφυὴς ὢν ἐν τῷ
Μωϋσέως Νόμῳ τῷ ἐκδεδομένῳ ὑπὸ τοῦ θεοῦ τοῦ Ἰσραήλ,
καὶ ἔδωκεν αὐτῷ ὁ βασιλεὺς δόξαν, εὑρόντος χάριν ἐνώπιον 4
αὐτοῦ ἐπὶ πάντα τὰ ἀξιώματα αὐτοῦ. καὶ συνανέβησαν ἐκ τῶν 5
υἱῶν Ἰσραὴλ καὶ τῶν ἱερέων καὶ Λευϊτῶν καὶ ἱεροψαλτῶν καὶ
θυρωρῶν καὶ ἱεροδούλων εἰς Ἱερουσαλὴμ ἔτους ἑβδόμου βα- 6
σιλεύοντος Ἀρταξέρξου ἐν τῷ πέμπτῳ μηνὶ (οὗτος ἐνιαυτὸς
ἕβδομος τῷ βασιλεῖ). ἐξελθόντες γὰρ ἐκ Βαβυλῶνος τῇ νουμη-
νίᾳ τοῦ πρώτου μηνὸς παρεγένοντο εἰς Ἱερουσαλὴμ κατὰ τὴν
δοθεῖσαν αὐτοῖς εὐοδίαν παρὰ τοῦ Κυρίου ἐπ' αὐτῷ· ὁ γὰρ Ἔσ-
δρας πολλὴν ἐπιστήμην περιεῖχεν εἰς τὸ μηδὲν παραλιπεῖν τῶν 7

ἐκ τοῦ Νόμου Κυρίου καὶ ἐκ τῶν ἐντολῶν διδάξαι πάντα τὸν
Ἰσραὴλ δικαιώματα καὶ κρίματα.

18 Προσπεσόντος δὲ τοῦ γραφέντος προστάγματος παρὰ 8
Ἀρταξέρξου βασιλέως πρὸς Ἔσδραν τὸν ἱερέα καὶ ἀναγνώ-
στην τοῦ Νόμου Κυρίου, οὗ ἐστιν ἀντίγραφον τὸ ὑποκείμενον·

«Βασιλεὺς Ἀρταξέρξης Ἔσδρᾳ τῷ ἱερεῖ καὶ ἀναγνώστῃ 9
τοῦ Νόμου Κυρίου χαίρειν. κατὰ τὰ φιλάνθρωπα ἐγὼ κρίνας 10
προσέταξα τοὺς βουλομένους ἐκ τοῦ ἔθνους τῶν Ἰουδαίων αἱ-
ρετίζοντας καὶ τῶν ἱερέων καὶ τῶν Λευϊτῶν, καὶ τῶνδε ἐν τῇ
ἡμετέρᾳ βασιλείᾳ, συμπορεύεσθαί σοι εἰς Ἱερουσαλήμ. ὅσοι 11
οὖν ἐνθυμοῦνται, συνεξορμάσθωσαν καθάπερ δέδοκται ἐμοί τε
καὶ τοῖς ἑπτὰ φίλοις συμβουλευταῖς, ὅπως ἐπισκέψωνται τὰ 12
κατὰ τὴν Ἰουδαίαν καὶ Ἱερουσαλὴμ ἀκολούθως ᾧ ἔχει ἐν τῷ
Νόμῳ Κυρίου, καὶ ἀπενεγκεῖν δῶρα τῷ Κυρίῳ τοῦ Ἰσραήλ, ἃ 13
ηὐξάμην ἐγώ τε καὶ οἱ φίλοι, εἰς Ἱερουσαλήμ, καὶ πᾶν χρυσίον
καὶ ἀργύριον, ὃ ἐὰν εὑρεθῇ ἐν τῇ χώρᾳ τῆς Βαβυλωνίας, τῷ
Κυρίῳ εἰς Ἱερουσαλὴμ σὺν τῷ δεδωρημένῳ ὑπὸ τοῦ ἔθνους
εἰς τὸ ἱερὸν Κυρίου τοῦ θεοῦ αὐτῶν τὸ ἐν Ἱερουσαλὴμ συνα- 14
χθῆναι, τό τε χρυσίον καὶ τὸ ἀργύριον εἰς ταύρους καὶ κριοὺς
καὶ ἄρνας καὶ τὰ τούτοις ἀκόλουθα, ὥστε προσενεγκεῖν θυ- 15
σίας τῷ Κυρίῳ ἐπὶ τὸ θυσιαστήριον Κυρίου τοῦ θεοῦ αὐτῶν
τὸ ἐν Ἱερουσαλήμ. καὶ πάντα, ὅσα ἐὰν βούλῃ μετὰ τῶν ἀδελ- 16
φῶν σου ποιῆσαι χρυσίῳ καὶ ἀργυρίῳ, ἐπιτέλει κατὰ τὸ θέλη-
μα τοῦ θεοῦ σου, καὶ τὰ ἱερὰ σκεύη τοῦ Κυρίου τὰ διδόμενά 17
σοι εἰς τὴν χρείαν τοῦ ἱεροῦ τοῦ θεοῦ σου τοῦ ἐν Ἱερουσαλὴμ 18
καὶ τὰ λοιπὰ ὅσα ἂν ὑποπίπτῃ σοι εἰς τὴν χρείαν τοῦ ἱεροῦ
τοῦ θεοῦ σου δώσεις ἐκ τοῦ βασιλικοῦ γαζοφυλακίου. κἀγὼ ἰ- 19
δοὺ Ἀρταξέρξης βασιλεὺς προσέταξα τοῖς γαζοφύλαξι Συρίας
καὶ Φοινίκης, ἵνα ὅσα ἐὰν ἀποστείλῃ Ἔσδρας ὁ ἱερεὺς καὶ ἀ-
ναγνώστης τοῦ Νόμου τοῦ θεοῦ τοῦ ὑψίστου, ἐπιμελῶς διδῶ-
σιν ἕως ἀργυρίου ταλάντων ἑκατόν, ὁμοίως δὲ καὶ ἕως πυροῦ 20
κόρων ἑκατὸν καὶ οἴνου μετρητῶν ἑκατὸν καὶ ἄλλα ἐκ πλή- 21
θους· πάντα κατὰ τὸν τοῦ θεοῦ Νόμον ἐπιτελεσθήτω ἐπιμελῶς
τῷ θεῷ τῷ ὑψίστῳ, ἕνεκεν τοῦ μὴ γενέσθαι ὀργὴν εἰς τὴν βα-
σιλείαν τοῦ βασιλέως καὶ τῶν υἱῶν αὐτοῦ. καὶ ὑμῖν δὲ λέγεται 22
ὅπως πᾶσι τοῖς ἱερεῦσι καὶ τοῖς Λευΐταις καὶ ἱεροψάλταις καὶ
θυρωροῖς καὶ ἱεροδούλοις καὶ πραγματικοῖς τοῦ ἱεροῦ τούτου
μηδεμία φορολογία μηδὲ ἄλλη ἐπιβουλὴ γίνηται, καὶ μηδένα ἔ-
χειν ἐξουσίαν ἐπιβαλεῖν τι τούτοις. καὶ σύ, Ἔσδρα, κατὰ τὴν 23
σοφίαν τοῦ θεοῦ ἀνάδειξον κριτὰς καὶ δικαστάς, ὅπως δικά-
ζωσιν ἐν ὅλῃ Συρίᾳ καὶ Φοινίκῃ πάντας τοὺς ἐπισταμένους
τὸν Νόμον τοῦ θεοῦ σου· καὶ τοὺς μὴ ἐπισταμένους διδάξεις.
καὶ πάντες, ὅσοι ἂν παραβαίνωσι τὸν Νόμον τοῦ θεοῦ καὶ τὸν 24
βασιλικόν, ἐπιμελῶς κολασθήσονται, ἐάν τε καὶ θανάτῳ ἐάν τε
καὶ τιμωρίᾳ ἢ ἀργυρικῇ ζημίᾳ ἢ ἀπαγωγῇ».

19 Καὶ εἶπεν Ἔσδρας ὁ γραμματεύς· Εὐλογητὸς μόνος Κύ- 25
ριος ὁ θεὸς τῶν πατέρων μου ὁ δοὺς ταῦτα εἰς τὴν καρδίαν
τοῦ βασιλέως, δοξάσαι τὸν οἶκον αὐτοῦ τὸν ἐν Ἰερουσαλήμ,
καὶ ἐμὲ ἐτίμησεν ἐναντίον τοῦ βασιλέως καὶ τῶν συμβουλευό- 26
ντων καὶ πάντων τῶν φίλων καὶ μεγιστάνων αὐτοῦ. καὶ ἐγὼ 27
εὐθαρσὴς ἐγενόμην κατὰ τὴν ἀντίληψιν Κυρίου τοῦ θεοῦ μου
καὶ συνήγαγον ἄνδρας ἐκ τοῦ Ἰσραὴλ ὥστε συναναβῆναί μοι.

20 Καὶ οὗτοι οἱ προηγούμενοι κατὰ τὰς πατριὰς αὐτῶν καὶ 28
τὰς μεριδαρχίας οἱ ἀναβάντες μετ' ἐμοῦ ἐκ Βαβυλῶνος ἐν τῇ
βασιλείᾳ Ἀρταξέρξου τοῦ βασιλέως· ἐκ τῶν υἱῶν Φινεές, Γηρ- 29
σών· ἐκ τῶν υἱῶν Ἰθαμάρου, Γαμαλιήλ· ἐκ τῶν υἱῶν Δαυΐδ,
Λαττοὺς ὁ Σεχενίου· ἐκ τῶν υἱῶν Φόρος, Ζαχαρίας καὶ μετ' 30
αὐτοῦ ἀπεγράφησαν ἄνδρες ἑκατὸν πεντήκοντα· ἐκ τῶν υἱῶν 31
Φαὰθ Μωάβ, Ἐλιωνίας Ζαραΐου καὶ μετ' αὐτοῦ ἄνδρες διακό-
σιοι· ἐκ τῶν υἱῶν Ζαθόης, Σεχενίας Ἰεζήλου καὶ μετ' αὐτοῦ 32
ἄνδρες τριακόσιοι· ἐκ τῶν υἱῶν Ἀδίν, Ὠβὴθ Ἰωνάθου καὶ μετ'
αὐτοῦ ἄνδρες διακόσιοι πεντήκοντα· ἐκ τῶν υἱῶν Ἠλάμ, Ἰε- 33
σίας Γοθολίου καὶ μετ' αὐτοῦ ἄνδρες ἑβδομήκοντα· ἐκ τῶν υἱ- 34
ῶν Σαφατίου, Ζαραΐας Μιχαήλου καὶ μετ' αὐτοῦ ἄνδρες ἑβδο-
μήκοντα· ἐκ τῶν υἱῶν Ἰωάβ, Ἀβαδίας Ἰεζήλου καὶ μετ' αὐτοῦ 35
ἄνδρες διακόσιοι δεκαδύο· ἐκ τῶν υἱῶν Βανίας, Σαλιμὼθ Ἰω- 36
σαφίου καὶ μετ' αὐτοῦ ἄνδρες ἑξήκοντα καὶ ἑκατόν· ἐκ τῶν υἱ- 37
ῶν Βαβί, Ζαχαρίας Βηβαΐ καὶ μετ' αὐτοῦ ἄνδρες εἴκοσιν ὀκτώ·
ἐκ τῶν υἱῶν Ἀστάθ, Ἰωάννης Ἀκατὰν καὶ μετ' αὐτοῦ ἄνδρες 38
ἑκατὸν δέκα· ἐκ τῶν υἱῶν Ἀδωνικάμ, οἱ ἔσχατοι. καὶ ταῦτα τὰ 39
ὀνόματα αὐτῶν· Ἐλιφαλὰ τοῦ Ἰεουὴλ καὶ Σαμαΐας καὶ μετ' αὐ-
τῶν ἄνδρες ἑβδομήκοντα· ἐκ τῶν υἱῶν Βαγώ, Οὐθὶ ὁ τοῦ Ἰ- 40
σταλκούρου καὶ μετ' αὐτοῦ ἄνδρες ἑβδομήκοντα.

21 Καὶ συνήγαγον αὐτοὺς ἐπὶ τὸν λεγόμενον Θερὰν ποτα- 41
μόν, καὶ παρενεβάλομεν ἡμέρας τρεῖς αὐτόθι, καὶ κατέμαθον
αὐτούς. καὶ ἐκ τῶν ἱερέων καὶ ἐκ τῶν Λευϊτῶν οὐχ εὑρὼν ἐκεῖ 42
ἀπέστειλα πρὸς Ἐλεάζαρον καὶ Ἰδουῆλον καὶ Μαϊὰ καὶ Μα- 43
σμὰν καὶ Ἀλναθὰν καὶ Σαμαΐαν καὶ Ἰώριβον, Νάθαν, Ἐννατάν,
Ζαχαρίαν, καὶ Μοσόλλαμον τοὺς ἡγουμένους καὶ ἐπιστήμονας
καὶ εἶπα αὐτοῖς ἐλθεῖν πρὸς Λοδδαῖον τὸν ἡγούμενον τὸν ἐν 44
τῷ τόπῳ τοῦ γαζοφυλακίου, ἐντειλάμενος αὐτοῖς διαλεχθῆναι 45
Λοδδαίῳ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ καὶ τοῖς ἐν τῷ τόπῳ γαζο-
φύλαξιν, ἀποστεῖλαι ἡμῖν τοὺς ἱερατεύσοντας ἐν τῷ οἴκῳ τοῦ
Κυρίου ἡμῶν. καὶ ἤγαγον ἡμῖν κατὰ τὴν κραταιὰν χεῖρα τοῦ 46
Κυρίου ἡμῶν ἄνδρας ἐπιστήμονας τῶν υἱῶν Μοολὶ τοῦ Λευΐ
τοῦ Ἰσραήλ, Ἀσεβηβίαν καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τοὺς ἀδελ-
φούς, ὄντας δέκα καὶ ὀκτώ, καὶ Ἀσεβίαν καὶ Ἄννουον καὶ Ὠ- 47
σαΐαν ἀδελφὸν ἐκ τῶν υἱῶν Χανουναΐου καὶ οἱ υἱοὶ αὐτῶν, εἴ-
κοσιν ἄνδρες· καὶ ἐκ τῶν ἱεροδούλων, ὧν ἔδωκε Δαυΐδ, καὶ οἱ 48
ἡγούμενοι εἰς τὴν ἐργασίαν τῶν Λευϊτῶν, ἱεροδούλους διακο-

σίους καὶ εἴκοσι· πάντων ἐσημάνθη ἡ ὀνοματογραφία. καὶ εὐ- 49
ξάμην ἐκεῖ νηστείαν τοῖς νεανίσκοις ἔναντι Κυρίου ἡμῶν ζητῆ- 50
σαι παρ' αὐτοῦ εὐοδίαν ἡμῖν τε καὶ τοῖς συνοῦσιν ἡμῖν τέκνοις
ἡμῶν καὶ κτήνεσιν· ἐνετράπην γὰρ αἰτῆσαι τὸν βασιλέα πε- 51
ζούς τε καὶ ἱππεῖς καὶ προπομπὴν ἕνεκεν ἀσφαλείας τῆς πρὸς
τοὺς ἐναντιουμένους ἡμῖν· εἴπομεν γὰρ τῷ βασιλεῖ, ὅτι ἡ ἰσχὺς 52
τοῦ Κυρίου ἡμῶν ἔσται μετὰ τῶν ἐπιζητούντων αὐτὸν εἰς πᾶ-
σαν ἐπανόρθωσιν. καὶ πάλιν ἐδεήθημεν τοῦ Κυρίου ἡμῶν πά- 53
ντα ταῦτα καὶ ἐτύχομεν εὐιλάτου. καὶ ἐχώρισα τῶν φυλάρχων 54
τῶν ἱερέων ἄνδρας δεκαδύο, καὶ Ἐσερεβίαν καὶ Σαμίαν καὶ
μετ' αὐτῶν ἐκ τῶν ἀδελφῶν αὐτῶν ἄνδρας δώδεκα, καὶ ἔστη- 55
σα αὐτοῖς τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ ἱερὰ σκεύη τοῦ
οἴκου τοῦ Κυρίου ἡμῶν, ἃ ἐδωρήσατο ὁ βασιλεύς, καὶ οἱ σύμ-
βουλοι αὐτοῦ καὶ οἱ μεγιστᾶνες καὶ πᾶς Ἰσραήλ. καὶ στήσας 56
παρέδωκα αὐτοῖς ἀργυρίου τάλαντα ἑξακόσια πεντήκοντα καὶ
σκεύη ἀργυρᾶ ταλάντων ἑκατὸν καὶ χρυσίου τάλαντα ἑκατὸν
καὶ χρυσώματα εἴκοσι καὶ σκεύη χάλκεα ἀπὸ χρηστοῦ χαλκοῦ
στίλβοντα χρυσοειδῆ σκεύη δώδεκα. καὶ εἶπα αὐτοῖς· Καὶ ὑ- 57
μεῖς ἅγιοί ἐστε τῷ Κυρίῳ καὶ τὰ σκεύη τὰ ἅγια, καὶ τὸ χρυσίον
καὶ τὸ ἀργύριον εὐχὴ τῷ Κυρίῳ, Κυρίῳ τῶν πατέρων ἡμῶν· ἀ- 58
γρυπνεῖτε καὶ φυλάσσετε ἕως τοῦ παραδοῦναι ὑμᾶς αὐτὰ τοῖς
φυλάρχοις τῶν ἱερέων καὶ τῶν Λευϊτῶν καὶ τοῖς ἡγουμένοις
τῶν πατριῶν τοῦ Ἰσραὴλ ἐν Ἰερουσαλήμ, ἐν τοῖς παστοφο-
ρίοις τοῦ οἴκου τοῦ θεοῦ ἡμῶν. καὶ παραλαβόντες οἱ ἱερεῖς καὶ 59
οἱ Λευῖται τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη τὰ ἐν Ἰε-
ρουσαλὴμ εἰσήνεγκαν εἰς τὸ ἱερὸν τοῦ Κυρίου.

22 Καὶ ἀναζεύξαντες ἀπὸ τοῦ ποταμοῦ Θεραὰν τῇ δωδεκάτῃ 60
τοῦ πρώτου μηνὸς ἕως εἰσήλθομεν εἰς Ἰερουσαλὴμ κατὰ τὴν
κραταιὰν χεῖρα τοῦ Κυρίου ἡμῶν τὴν ἐφ' ἡμῖν· καὶ ἐρρύσατο ἡ-
μᾶς ἀπὸ τῆς εἰσόδου ἀπὸ παντὸς ἐχθροῦ, καὶ ἤλθομεν εἰς Ἰε-
ρουσαλήμ. καὶ γενομένης αὐτόθι ἡμέρας τρίτης, τῇ ἡμέρᾳ τῇ 61
τετάρτῃ σταθὲν τὸ ἀργύριον καὶ τὸ χρυσίον παρεδόθη ἐν τῷ
οἴκῳ Κυρίου ἡμῶν Μαρμωθὶ Οὐρίᾳ ἱερεῖ –καὶ μετ' αὐτοῦ Ἐλε- 62
άζαρ ὁ τοῦ Φινεές, καὶ ἦσαν μετ' αὐτοῦ Ἰωσαβδὸς Ἰησοῦ καὶ
Μωὲθ Σαβάννου, οἱ Λευῖται– πρὸς ἀριθμὸν καὶ ὁλκὴν ἅπαντα,
καὶ ἐγράφη πᾶσα ἡ ὁλκὴ αὐτῶν αὐτῇ τῇ ὥρᾳ. οἱ δὲ παραγενό- 63
μενοι ἐκ τῆς αἰχμαλωσίας προσήνεγκαν θυσίας τῷ θεῷ τοῦ Ἰσ-
ραὴλ Κυρίῳ, ταύρους δώδεκα ὑπὲρ παντὸς Ἰσραήλ, κριοὺς ἐ-
νενήκοντα ἕξ, ἄρνας ἑβδομήκοντα δύο, τράγους ὑπὲρ σωτη-
ρίου δώδεκα· ἅπαντα θυσίαν τῷ Κυρίῳ. καὶ ἀπέδωκαν τὰ προ- 64
στάγματα τοῦ βασιλέως τοῖς βασιλικοῖς οἰκονόμοις καὶ τοῖς ἐ-
πάρχοις Κοίλης Συρίας καὶ Φοινίκης, καὶ ἐδόξασαν τὸ ἔθνος
καὶ τὸ ἱερὸν τοῦ Κυρίου.

23 Καὶ τούτων τελεσθέντων προσῆλθόν μοι οἱ ἡγούμενοι λέ- 65
γοντες· Οὐκ ἐχώρισαν τὸ ἔθνος τοῦ Ἰσραὴλ καὶ οἱ ἄρχοντες 66

καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται τὰ ἀλλογενῆ ἔθνη τῆς γῆς καὶ τὰς
ἀκαθαρσίας αὐτῶν, Χαναναίων καὶ Χετταίων καὶ Φερεζαίων
καὶ Ἰεβουσαίων καὶ Μωαβιτῶν καὶ Αἰγυπτίων καὶ Ἰδουμαίων·
συνῴκησαν γὰρ μετὰ τῶν θυγατέρων αὐτῶν καὶ αὐτοὶ καὶ οἱ 67
υἱοὶ αὐτῶν, καὶ ἐπεμίγη τὸ σπέρμα τὸ ἅγιον εἰς τὰ ἀλλογενῆ ἔ-
θνη τῆς γῆς, καὶ μετεῖχον οἱ προηγούμενοι καὶ οἱ μεγιστᾶνες
τῆς ἀνομίας ταύτης ἀπὸ τῆς ἀρχῆς τοῦ πράγματος. καὶ ἅμα τῷ 68
ἀκοῦσαί με ταῦτα διέρρηξα τὰ ἱμάτια καὶ τὴν ἱερὰν ἐσθῆτα καὶ
κατέτιλα τοῦ τριχώματος τῆς κεφαλῆς καὶ τοῦ πώγωνος καὶ ἐ-
κάθισα σύννους καὶ περίλυπος. καὶ ἐπισυνήχθησαν πρός με ὅ- 69
σοι ποτὲ ἐπεκινοῦντο ἐπὶ τῷ ῥήματι Κυρίου θεοῦ τοῦ Ἰσραήλ,
ἐμοῦ πενθοῦντος ἐπὶ τῇ ἀνομίᾳ, καὶ ἐκαθήμην περίλυπος ἕως
τῆς δειλινῆς θυσίας.

24 Καὶ ἐξεγερθεὶς ἐκ τῆς νηστείας, διερρηγμένα ἔχων τὰ ἱμά- 70
τια καὶ τὴν ἱερὰν ἐσθῆτα, κάμψας τὰ γόνατα καὶ ἐκτείνας τὰς
χεῖρας πρὸς τὸν Κύριον ἔλεγον· Κύριε, ᾔσχυμμαι καὶ ἐντέ- 71
τραμμαι κατὰ πρόσωπόν σου· αἱ γὰρ ἁμαρτίαι ἡμῶν ἐπλεόνα- 72
σαν ὑπὲρ τὰς κεφαλὰς ὑμῶν, αἱ δὲ ἄγνοιαι ἡμῶν ὑπερήνεγκαν
ἕως τοῦ οὐρανοῦ ἔτι ἀπὸ τῶν χρόνων τῶν πατέρων ἡμῶν, καί 73
ἐσμεν ἐν μεγάλῃ ἁμαρτίᾳ ἕως τῆς ἡμέρας ταύτης. καὶ διὰ τὰς 74
ἁμαρτίας ἡμῶν καὶ τῶν πατέρων ἡμῶν παρεδόθημεν σὺν τοῖς
ἀδελφοῖς ἡμῶν καὶ σὺν τοῖς βασιλεῦσιν ἡμῶν καὶ σὺν τοῖς ἱε-
ρεῦσιν ἡμῶν τοῖς βασιλεῦσι τῆς γῆς εἰς ῥομφαίαν καὶ αἰχμα-
λωσίαν καὶ προνομὴν μετὰ αἰσχύνης μέχρι τῆς σήμερον ἡμέ-
ρας. καὶ νῦν κατὰ πόσον τι ἐγενήθη ἡμῖν ἔλεος παρὰ σοῦ, Κύ- 75
ριε, καταλειφθῆναι ἡμῖν ῥίζαν καὶ ὄνομα ἐν τῷ τόπῳ τοῦ ἁγιά-
σματός σου καὶ τοῦ ἀνακαλύψαι φωστῆρα ἡμῖν ἐν τῷ οἴκῳ Κυ- 76
ρίου τοῦ θεοῦ ἡμῶν δοῦναι ἡμῖν τροφὴν ἐν τῷ καιρῷ τῆς δου-
λείας ἡμῶν; καὶ ἐν τῷ δουλεύειν ἡμᾶς οὐκ ἐγκατελείφθημεν ὑ- 77
πὸ τοῦ Κυρίου ἡμῶν, ἀλλὰ ἐποίησεν ἡμᾶς ἐν χάριτι ἐνώπιον
τῶν βασιλέων Περσῶν δοῦναι ἡμῖν τροφὴν καὶ δοξάσαι τὸ ἱε- 78
ρὸν τοῦ Κυρίου ἡμῶν καὶ ἐγεῖραι τὴν ἔρημον Σιών, δοῦναι ἡ-
μῖν στερέωμα ἐν τῇ Ἰουδαίᾳ καὶ Ἰερουσαλήμ. καὶ νῦν τί ἐροῦ-
μεν, Κύριε, ἔχοντες ταῦτα; παρέβημεν γὰρ τὰ προστάγματά 79
σου, ἃ ἔδωκας ἐν χειρὶ τῶν παίδων σου τῶν προφητῶν λέ-
γων, ὅτι ἡ γῆ, εἰς ἣν εἰσέρχεσθε κληρονομῆσαι, ἔστι γῆ μεμο- 80
λυσμένη μολυσμῷ τῶν ἀλλογενῶν τῆς γῆς, καὶ τῆς ἀκαθαρ-
σίας αὐτῶν ἐνέπλησαν αὐτήν. καὶ νῦν τὰς θυγατέρας ὑμῶν μὴ 81
συνοικήσητε τοῖς υἱοῖς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν μὴ λά-
βητε τοῖς υἱοῖς ὑμῶν· καὶ οὐ ζητήσετε εἰρηνεῦσαι τὰ πρὸς αὐ- 82
τοὺς τὸν ἅπαντα χρόνον, ἵνα ἰσχύσαντες φάγητε τὰ ἀγαθὰ τῆς
γῆς, καὶ κατακληρονομήσητε τοῖς τέκνοις ὑμῶν ἕως αἰῶνος.
καὶ τὰ συμβαίνοντα πάντα ἡμῖν γίνεται διὰ τὰ ἔργα ἡμῶν τὰ 83
πονηρὰ καὶ τὰς μεγάλας ἁμαρτίας ἡμῶν. σὺ γάρ, Κύριε, ἐκού- 84
φισας τὰς ἁμαρτίας ἡμῶν καὶ ἔδωκας ἡμῖν τοιαύτην ῥίζαν· πά-

λιν ἀνεκάμψαμεν παραβῆναι τὸν νόμον σου εἰς τὸ ἐπιμιγῆναι
τῇ ἀκαθαρσίᾳ τῶν ἐθνῶν τῆς γῆς. οὐχὶ ὠργίσθης ἡμῖν ἀπολέ- 85
σαι ἡμᾶς ἕως τοῦ μὴ καταλιπεῖν ῥίζαν καὶ σπέρμα καὶ ὄνομα
ἡμῶν; Κύριε τοῦ Ἰσραήλ, ἀληθινὸς εἶ· κατελείφθημεν γὰρ ῥίζα 86
ἐν τῇ σήμερον. ἰδοὺ νῦν ἐσμεν ἐνώπιόν σου ἐν ταῖς ἀνομίαις 87
ἡμῶν· οὐ γάρ ἐστι στῆναι ἔτι ἔμπροσθέν σου ἐπὶ τούτοις.

25 Καὶ ὅτε προσευχόμενος Ἔσδρας ἀνθωμολογεῖτο κλαίων 88
χαμαιπετὴς ἔμπροσθεν τοῦ ἱεροῦ, ἐπισυνήχθησαν πρὸς αὐτὸν
ἀπὸ Ἰερουσαλὴμ ὄχλος πολὺς σφόδρα, ἄνδρες καὶ γυναῖκες
καὶ νεανίαι· κλαυθμὸς γὰρ ἦν μέγας ἐν τῷ πλήθει. καὶ φωνή- 89
σας Ἰεχονίας Ἰεήλου τῶν υἱῶν Ἰσραὴλ εἶπεν· Ἔσδρα, ἡμεῖς ἡ-
μάρτομεν εἰς τὸν Κύριον καὶ συνῳκίσαμεν γυναῖκας ἀλλογε-
νεῖς ἐκ τῶν ἐθνῶν τῆς γῆς. καὶ νῦν ἐστιν ἐπάνω πᾶς Ἰσραήλ·
ἐν τούτῳ γινέσθω ἡμῖν ὁρκωμοσία πρὸς τὸν Κύριον, ἐκβαλεῖν 90
πάσας τὰς γυναῖκας ἡμῶν τὰς ἐκ τῶν ἀλλογενῶν σὺν τοῖς τέ-
κνοις αὐτῶν, ὡς ἐκρίθη σοι, καὶ ὅσοι πειθαρχοῦσι τῷ νόμῳ
Κυρίου. ἀναστὰς ἐπιτέλει· πρός σε γὰρ τὸ πρᾶγμα, καὶ ἡμεῖς 91
μετὰ σοῦ ἰσχὺν ποιεῖν. καὶ ἀναστὰς Ἔσδρας ὥρκισε τοὺς φυ- 92
λάρχους τῶν ἱερέων καὶ Λευϊτῶν παντὸς τοῦ Ἰσραὴλ ποιῆσαι
κατὰ ταῦτα· καὶ ὤμοσαν.

Καὶ ἀναστὰς Ἔσδρας ἀπὸ τῆς αὐλῆς τοῦ ἱεροῦ ἐπορεύθη **9**
εἰς τὸ παστοφόριον Ἰωνὰν τοῦ Ἐλιασίβου, καὶ αὐλισθεὶς ἐκεῖ 2
ἄρτου οὐκ ἐγεύσατο οὐδὲ ὕδωρ ἔπιε, πενθῶν ἐπὶ τῶν ἀνομιῶν
τῶν μεγάλων τοῦ πλήθους. καὶ ἐγένετο κήρυγμα ἐν ὅλῃ τῇ 3
Ἰουδαίᾳ καὶ Ἰερουσαλὴμ πᾶσι τοῖς ἐκ τῆς αἰχμαλωσίας συνα-
χθῆναι εἰς Ἰερουσαλήμ· καὶ ὅσοι ἂν μὴ ἀπαντήσωσιν ἐν δυσὶν 4
ἢ τρισὶν ἡμέραις κατὰ τὸ κρῖμα τῶν προκαθημένων πρεσβυτέ-
ρων, ἀνιερωθήσονται τὰ κτήνη αὐτῶν, καὶ αὐτὸς ἀλλοτριωθή-
σεται ἀπὸ τοῦ πλήθους τῆς αἰχμαλωσίας.

26 Καὶ ἐπισυνήχθησαν πάντες οἱ ἐκ τῆς φυλῆς Ἰούδα καὶ Βε- 5
νιαμὶν ἐν τρισὶν ἡμέραις εἰς Ἰερουσαλὴμ (οὗτος ὁ μὴν ἔνατος)
τῇ εἰκάδι τοῦ μηνός, καὶ συνεκάθισαν πᾶν τὸ πλῆθος ἐν τῷ εὐ- 6
ρυχώρῳ τοῦ ἱεροῦ τρέμοντες διὰ τὸν ἐνεστῶτα χειμῶνα. καὶ
ἀναστὰς Ἔσδρας εἶπεν αὐτοῖς· Ὑμεῖς ἠνομήσατε καὶ συνῳκί- 7
σατε γυναιξὶν ἀλλογενέσι τοῦ προσθεῖναι ἁμαρτίας τῷ Ἰσ-
ραήλ· καὶ νῦν δότε ὁμολογίαν καὶ δόξαν Κυρίῳ τῷ θεῷ τῶν 8
πατέρων ἡμῶν καὶ ποιήσατε τὸ θέλημα αὐτοῦ καὶ χωρίσθητε 9
ἀπὸ τῶν ἐθνῶν τῆς γῆς καὶ ἀπὸ τῶν γυναικῶν τῶν ἀλλογε-
νῶν. καὶ ἐφώνησεν ἅπαν τὸ πλῆθος καὶ εἶπον μεγάλῃ τῇ φω- 10
νῇ· Οὕτως ὡς εἴρηκας ποιήσομεν. ἀλλὰ τὸ πλῆθος πολὺ καὶ
ὥρα χειμερινή, καὶ οὐκ ἰσχύομεν στῆναι αἴθριοι, καὶ τὸ ἔργον 11
οὐκ ἔστιν ἡμῖν ἡμέρας μιᾶς οὐδὲ δύο· ἐπὶ πλεῖον γὰρ ἡμάρτο-
μεν ἐν τούτοις. στήτωσαν δὲ οἱ προηγούμενοι τοῦ πλήθους, 12
καὶ πάντες οἱ ἐκ τῶν κατοικιῶν ἡμῶν ὅσοι ἔχουσι γυναῖκας
ἀλλογενεῖς, παραγενηθήτωσαν λαβόντες χρόνον· ἑκάστου δὲ 13

τόπου τοὺς πρεσβυτέρους καὶ τοὺς κριτὰς ἕως τοῦ λῦσαι τὴν
ὀργὴν Κυρίου ἀφ' ἡμῶν τοῦ πράγματος τούτου. Ἰωνάθαν Ἀ- 14
ζαήλου καὶ Ἐζεκίας Θεωκανοῦ ἐπεδέξαντο κατὰ ταῦτα, καὶ
Μοσόλλαμος καὶ Λευῖς καὶ Σαββαταῖος συνεβράβευσαν αὐ-
τοῖς. καὶ ἐποίησαν κατὰ πάντα ταῦτα οἱ ἐκ τῆς αἰχμαλωσίας. 15
καὶ ἐπελέξατο αὐτῷ Ἔσδρας ὁ ἱερεὺς ἄνδρας ἡγουμένους τῶν 16
πατριῶν αὐτῶν πάντας κατ' ὄνομα, καὶ συνεκλείσθησαν τῇ
νουμηνίᾳ τοῦ μηνὸς τοῦ δεκάτου ἐτάσαι τὸ πρᾶγμα. καὶ ἤχθη 17
ἐπὶ πέρας τὰ κατὰ τοὺς ἄνδρας τοὺς ἐπισυνέχοντας γυναῖκας
ἀλλογενεῖς ἕως τῆς νουμηνίας τοῦ πρώτου μηνός.

27 Καὶ εὑρέθησαν τῶν ἱερέων οἱ ἐπισυναχθέντες ἀλλογενεῖς 18
γυναῖκας ἔχοντες· ἐκ τῶν υἱῶν Ἰησοῦ τοῦ Ἰωσεδὲκ καὶ τῶν ἀ- 19
δελφῶν αὐτοῦ Μαθήλας καὶ Ἐλεάζαρος καὶ Ἰώριβος καὶ Ἰωα-
δάνος· καὶ ἐπέβαλον τὰς χεῖρας ἐκβαλεῖν τὰς γυναῖκας αὐτῶν, 20
καὶ εἰς ἐξιλασμὸν κριοὺς ὑπὲρ τῆς ἀγνοίας αὐτῶν. καὶ ἐκ τῶν
υἱῶν Ἐμμήρ, Ἀνανίας καὶ Ζαβδαῖος καὶ Μάνης καὶ Σαμαῖος 21
καὶ Ἰερεὴλ καὶ Ἀζαρίας· καὶ ἐκ τῶν υἱῶν Φαισούρ, Ἐλιωνίας 22
Μασσίας Ἰσμαῆλος καὶ Ναθαναῆλος καὶ Ὠκόδηλος καὶ Σαλό-
ας· καὶ ἐκ τῶν Λευϊτῶν, Ἰωζαβάδος καὶ Σεμεῖς καὶ Κώιος 23
(οὗτός ἐστι Καλίτας) καὶ Παθαῖος καὶ Ἰούδας καὶ Ἰωνᾶς· ἐκ 24
τῶν ἱεροψαλτῶν, Ἐλιάσεβος, Βακχοῦρος· ἐκ τῶν θυρωρῶν, 25
Σαλοῦμος καὶ Τολβάνης· ἐκ τοῦ Ἰσραὴλ ἐκ τῶν υἱῶν Φόρος, 26
Ἱερμὰς καὶ Ἰεζίας καὶ Μελχίας καὶ Μαῆλος καὶ Ἐλεάζαρος καὶ
Ἀσεβίας καὶ Βαναΐας· ἐκ τῶν υἱῶν Ἠλά, Ματθανίας, Ζαχαρίας 27
καὶ Ἰεζριῆλος καὶ Ἰωαβδίος καὶ Ἰερεμὼθ καὶ Ἀιδίας· καὶ ἐκ
τῶν υἱῶν Ζαμώθ, Ἐλιαδάς, Ἐλιάσιμος, Ὀθονίας, Ἰαριμὼθ καὶ 28
Σάβαθος καὶ Ζεραλίας· καὶ ἐκ τῶν υἱῶν Βηβαΐ, Ἰωάννης καὶ Ἀ- 29
νανίας καὶ Ἰωζάβδος καὶ Ἀμαθίας· ἐκ τῶν υἱῶν Μανί, Ὠλα- 30
μός, Μαμοῦχος, Ἰεδαῖος, Ἰασοῦβος καὶ Ἰασαῆλος καὶ Ἰερε-
μώθ· καὶ ἐξ υἱῶν Ἀδδί, Νάαθος καὶ Μοοσίας, Λακκοῦνος καὶ 31
Ναΐδος, Ματθανίας καὶ Σεσθήλ· καὶ Βαλνοῦος καὶ Μανασσίας·
καὶ ἐκ τῶν υἱῶν Ἀνάν, Ἐλιωνίας καὶ Ἀσαΐας καὶ Μελχίας καὶ 32
Σαββαῖος καὶ Σίμων Χοσαμαῖος· καὶ ἐκ τῶν υἱῶν Ἀσόμ, Ἀλτα- 33
ναῖος καὶ Ματταθίας καὶ Σαβανναῖος καὶ Ἐλιφαλὰτ καὶ Μανασ-
σῆς καὶ Σεμεΐ, καὶ ἐκ τῶν υἱῶν Βαανί, Ἱερεμίας, Μομδίος, Ἰ- 34
σμαῆρος, Ἰουήλ, Μαβδαΐ καὶ Πεδίας καὶ Ἄνως, Ῥαβασίων καὶ
Ἐνάσιβος καὶ Μαμνιτάναιμος, Ἐλίασις, Βαννούς, Ἐλιαλί, Σο-
μεῖς, Σελεμίας, Ναθανίας· καὶ ἐκ τῶν υἱῶν Ἐζωρά, Σεσίς, Ἐσ-
ρήλ, Ἀζαῆλος, Σαματός, Ζαμβρί, Ἰώσηφος· καὶ ἐκ τῶν υἱῶν 35
Ἐθμά, Μαζιτίας, Ζαβαδαίας, Ἠδαΐς, Ἰουήλ, Βαναΐας. πάντες 36
οὗτοι συνῴκισαν γυναῖκας ἀλλογενεῖς, καὶ ἀπέλυσαν αὐτὰς
σὺν τέκνοις.

Νεεμίας

47 Καὶ κατῴκησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ ἐκ τοῦ Ἰσ- 37
ραὴλ ἐν Ἰερουσαλὴμ καὶ ἐν τῇ χώρᾳ τῇ νουμηνίᾳ τοῦ μηνὸς
τοῦ ἑβδόμου καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐν ταῖς κατοικίαις αὐτῶν.

43 Καὶ συνήχθη πᾶν τὸ πλῆθος ὁμοθυμαδὸν ἐπὶ τὸ εὐρύχω- 38
ρον τοῦ πρὸς ἀνατολὰς τοῦ ἱεροῦ πυλῶνος, καὶ εἶπον Ἔσδρᾳ 39
τῷ ἱερεῖ καὶ ἀναγνώστῃ· Κόμισαι τὸν Νόμον Μωϋσῆ τὸν πα-
ραδοθέντα ὑπὸ Κυρίου τοῦ θεοῦ Ἰσραήλ. καὶ ἐκόμισεν Ἔσ- 40
δρας ὁ ἀρχιερεὺς τὸν Νόμον παντὶ τῷ πλήθει ἀνθρώπου ἕως
γυναικὸς καὶ πᾶσι τοῖς ἱερεῦσιν ἀκοῦσαι τοῦ Νόμου νουμηνίᾳ
τοῦ ἑβδόμου μηνός. καὶ ἀνεγίνωσκεν ἐν τῷ πρὸ τοῦ ἱεροῦ πυ- 41
λῶνος εὐρυχώρῳ, ἐξ ὄρθρου ἕως μέσης ἡμέρας, ἐνώπιον ἀν-
δρῶν τε καὶ γυναικῶν, καὶ ἀπέδωκαν πᾶν τὸ πλῆθος τὸν νοῦν
εἰς τὸν Νόμον. καὶ ἔστη Ἔσδρας ὁ ἱερεὺς καὶ ἀναγνώστης 42
τοῦ Νόμου ἐπὶ τοῦ ξυλίνου βήματος τοῦ κατασκευασθέντος,
καὶ ἔστησαν παρ' αὐτῷ Ματταθίας, Σαμμούς, Ἀνανίας, Ἀζα- 43
ρίας, Οὐρίας, Ἐζεκίας, Βαάλσαμος ἐκ δεξιῶν, καὶ ἐξ εὐωνύ- 44
μων Φαλδαῖος καὶ Μισαήλ, Μελχίας, Λωθάσουβος, Ναβαρίας, 45
Ζαχαρίας. καὶ ἀναλαβὼν Ἔσδρας τὸ βιβλίον ἐνώπιον τοῦ πλή-
θους προεκάθητο ἐπιδόξως ἐνώπιον πάντων, καὶ ἐν τῷ λῦσαι 46
τὸν Νόμον πάντες ὀρθοὶ ἔστησαν. καὶ εὐλόγησεν Ἔσδρας Κυ-
ρίῳ τῷ θεῷ ὑψίστῳ θεῷ σαβαὼθ παντοκράτορι, καὶ ἐπεφώνη- 47
σε πᾶν τὸ πλῆθος Ἀμήν. καὶ ἄραντες ἄνω τὰς χεῖρας, προσπε-
σόντες ἐπὶ τὴν γῆν, προσεκύνησαν τῷ Κυρίῳ. Ἰησοῦς καὶ Ἀν- 48
νιοὺθ καὶ Σαραβίας καὶ Ἰαδινὸς καὶ Ἰάκουβος, Σαββαταῖος,
Αὐταΐας, Μαϊάννας καὶ Καλίτας, Ἀζαρίας καὶ Ἰώζαβδος καὶ Ἀ-
νανίας, Φαλίας, καὶ οἱ Λευῖται, ἐδίδασκον τὸν Νόμον τοῦ Κυ-
ρίου καὶ πρὸς τὸ πλῆθος ἀνεγίνωσκον τὸν Νόμον τοῦ Κυρίου,
ἐμφυσιοῦντες ἅμα τὴν ἀνάγνωσιν. καὶ εἶπεν Ἀτθαράτης Ἔσ- 49
δρᾳ τῷ ἀρχιερεῖ καὶ ἀναγνώστῃ καὶ τοῖς Λευΐταις τοῖς διδά-
σκουσι τὸ πλῆθος ἐπὶ πάντας· Ἡ ἡμέρα αὕτη ἐστὶν ἁγία τῷ 50
Κυρίῳ, καὶ πάντες ἔκλαιον ἐν τῷ ἀκοῦσαι τοῦ Νόμου· Βαδίσα- 51
ντες οὖν φάγετε λιπάσματα καὶ πίετε γλυκάσματα καὶ ἀποστεί-
λατε ἀποστολὰς τοῖς μὴ ἔχουσιν· ἁγία γὰρ ἡ ἡμέρα τῷ Κυρίῳ. 52
καὶ μὴ λυπεῖσθε· ὁ γὰρ Κύριος δοξάσει ὑμᾶς. καὶ οἱ Λευῖται ἐ- 53
κέλευον παντὶ τῷ δήμῳ λέγοντες· Ἡ ἡμέρα αὕτη ἁγία· μὴ λυ- 54
πεῖσθε. καὶ ᾤχοντο πάντες φαγεῖν καὶ πιεῖν καὶ εὐφραίνεσθαι
καὶ δοῦναι ἀποστολὰς τοῖς μὴ ἔχουσι καὶ εὐφρανθῆναι μεγά-
λως· καὶ γὰρ ἐνεφυσιώθησαν ἐν τοῖς ῥήμασιν, οἷς ἐδιδάχθη- 55
σαν.

44 Καὶ ἐπισυνήχθησαν.....
.....

2. ΑΓΝΩΣΤΟΥ ΜΕΤΑΦΡΑΣΙΣ ΨΑΛΜΩΝ

Καὶ ἐλάλησε Δαυῖδ τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύ- 1 **22**
της ἐν ᾗ ἡμέρᾳ ἐξείλετο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν Β΄Βα
ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαούλ· καὶ εἶπε· 2

Κύριε, πέτρα μου καὶ ὀχύρωμά μου **(Ψα 18)**
καὶ ἐξαιρούμενός με ἐμοί, 3
ὁ θεός μου φύλαξ μου ἔσται μοι,
πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ,
ὑπερασπιστής μου καὶ κέρας σωτηρίας μου,
ἀντιλήπτωρ μου καὶ καταφυγή μου σωτηρίας μου,
ἐξ ἀδίκου σώσεις με.
αἰνετὸν ἐπικαλέσομαι Κύριον 4
καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.
ὅτι περιέσχον με συντριμμοὶ θανάτου, 5
χείμαρροι ἀνομίας ἐθάμβησάν με·
ὠδῖνες θανάτου ἐκύκλωσάν με, 6
προέφθασάν με σκληρότητες θανάτου.
ἐν τῷ θλίβεσθαί με ἐπικαλέσομαι τὸν Κύριον 7
καὶ πρὸς τὸν θεόν μου βοήσομαι·
καὶ ἐπακούσεται ἐκ ναοῦ αὐτοῦ φωνῆς μου,
καὶ ἡ κραυγή μου ἐν τοῖς ὠσὶν αὐτοῦ.
καὶ ἐταράχθη καὶ ἐσείσθη ἡ γῆ, 8
καὶ τὰ θεμέλια τοῦ οὐρανοῦ συνεταράχθησαν καὶ ἐσπαράχθησαν,
ὅτι ἐθυμώθη Κύριος αὐτοῖς.
ἀνέβη καπνὸς ἐν τῇ ὀργῇ αὐτοῦ,
καὶ πῦρ ἐκ στόματος αὐτοῦ κατέδεται, 9
ἄνθρακες ἐξεκαύθησαν ἀπ' αὐτοῦ.
καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη, 10
καὶ γνόφος ὑποκάτω τῶν ποδῶν αὐτοῦ.
καὶ ἐπεκάθισεν ἐπὶ χερουβὶμ καὶ ἐπετάσθη 11
καὶ ὤφθη ἐπὶ πτερύγων ἀνέμου.
καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ κύκλῳ αὐτοῦ, 12
ἡ σκηνὴ αὐτοῦ σκότος ὑδάτων·
ἐπάχυνεν ἐν νεφέλαις ἀέρος.
ἀπὸ τοῦ φέγγους ἐναντίον αὐτοῦ 13

ἐξεκαύθησαν ἄνθρακες πυρός.
ἐβρόντησεν ἐξ οὐρανοῦ Κύριος, 14
καὶ ὁ ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ
καὶ ἀπέστειλε βέλη καὶ ἐσκόρπισεν αὐτούς, 15
καὶ ἤστραψεν ἀστραπὴν καὶ ἐξέστησεν αὐτούς.
καὶ ὤφθησαν ἀφέσεις θαλάσσης, 16
καὶ ἀπεκαλύφθη θεμέλια τῆς οἰκουμένης
ἐν τῇ ἐπιτιμήσει Κυρίου,
ἀπὸ πνοῆς πνεύματος θυμοῦ αὐτοῦ.
ἀπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέ με, 17
εἵλκυσέ με ἐξ ὑδάτων πολλῶν·
ἐρρύσατό με ἐξ ἐχθρῶν μου ἰσχύος, ἐκ τῶν μισούντων με, 18
ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.
προέφθασάν με ἡμέραι θλίψεώς μου, 19
καὶ ἐγένετο Κύριος ἐπιστήριγμά μου
καὶ ἐξήγαγέ με εἰς πλατυσμὸν καὶ ἐξείλετό με, 20
ὅτι ηὐδόκησεν ἐν ἐμοί.
καὶ ἀνταπέδωκέ μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, 21
καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταπέδωκέ μοι.
ὅτι ἐφύλαξα ὁδοὺς Κυρίου 22
καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ θεοῦ μου,
ὅτι πάντα τὰ κρίματα αὐτοῦ κατεναντίον μου, 23
καὶ τὰ δικαιώματα αὐτοῦ, οὐκ ἀπέστην ἀπ' αὐτῶν.
καὶ ἔσομαι ἄμωμος αὐτῷ 24
καὶ προφυλάξομαι ἀπὸ τῆς ἀνομίας μου.
καὶ ἀποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου 25
καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ.
μετὰ ὁσίου ὁσιωθήσῃ 26
καὶ μετὰ ἀνδρὸς τελείου τελειωθήσῃ
καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ 27
καὶ μετὰ στρεβλοῦ στρεβλωθήσῃ.
καὶ τὸν λαὸν τὸν πτωχὸν σώσεις 28
καὶ ὀφθαλμοὺς ἐπὶ μετεώρων ταπεινώσεις.
ὅτι σὺ ὁ λύχνος μου, Κύριε, 29
καὶ Κύριος ἐκλάμψει μοι τὸ σκότος μου.
ὅτι ἐν σοὶ δραμοῦμαι μονόζωνος 30
καὶ ἐν τῷ θεῷ μου ὑπερβήσομαι τεῖχος.
ὁ ἰσχυρός, ἄμωμος ἡ ὁδὸς αὐτοῦ, 31
τὸ ῥῆμα Κυρίου κραταιόν, πεπυρωμένον,
ὑπερασπιστής ἐστι πᾶσι τοῖς πεποιθόσιν ἐπ' αὐτόν.
τίς ἰσχυρὸς πλὴν Κυρίου; 32
καὶ τίς κτίστης ἔσται πλὴν τοῦ θεοῦ ἡμῶν;
ὁ ἰσχυρὸς ὁ κραταιῶν με δυνάμει, 33
καὶ ἐξετίναξεν ἄμωμον τὴν ὁδόν μου·

τιθεὶς τοὺς πόδας μου ὡς ἐλάφων 34
καὶ ἐπὶ τὰ ὕψη ἱστῶν με·
διδάσκων χεῖράς μου εἰς πόλεμον 35
καὶ κατάξας τόξον χαλκοῦν ἐν βραχίονί μου.
καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας μου, 36
καὶ ἡ ὑπακοή σου ἐπλήθυνέ με εἰς πλατυσμὸν
εἰς τὰ διαβήματά μου ὑποκάτω μου, 37
καὶ οὐκ ἐσαλεύθησαν τὰ σκέλη μου.
διώξω ἐχθρούς μου καὶ ἀφανιῶ αὐτοὺς 38
καὶ οὐκ ἀναστρέψω, ἕως ἂν συντελέσω αὐτούς·
καὶ θλάσω αὐτοὺς καὶ οὐκ ἀναστήσονται 39
καὶ πεσοῦνται ὑπὸ τοὺς πόδας μου.
καὶ ἐνισχύσεις με δυνάμει εἰς πόλεμον, 40
κάμψεις τοὺς ἐπανισταμένους μοι ὑποκάτω μου·
καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον, 41
τοὺς μισοῦντάς με, καὶ ἐθανάτωσας αὐτούς.
βοήσονται, καὶ οὐκ ἔστι βοηθός, 42
πρὸς Κύριον, καὶ οὐκ ἐπήκουσεν αὐτῶν.
καὶ ἐλέανα αὐτοὺς ὡς χοῦν γῆς, 43
ὡς πηλὸν ἐξόδων ἐλέπτυνα αὐτούς.
καὶ ῥύσῃ με ἐκ μάχης λαῶν, 44
φυλάξεις με εἰς κεφαλὴν ἐθνῶν.
λαός, ὃν οὐκ ἔγνω, ἐδούλευσάν μοι,
υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, εἰς ἀκοὴν ὠτίου ἤκουσάν μου· 45
υἱοὶ ἀλλότριοι ἀπορριφήσονται 46
καὶ σφαλοῦσιν ἐκ τῶν συγκλεισμῶν αὐτῶν.
ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ φύλαξ μου, 47
καὶ ὑψωθήσεται ὁ θεός μου, ὁ φύλαξ τῆς σωτηρίας μου.
ἰσχυρὸς Κύριος ὁ διδοὺς ἐκδικήσεις ἐμοί, 48
παιδεύων λαοὺς ὑποκάτω μου
καὶ ἐξάγων με ἐξ ἐχθρῶν μου, 49
καὶ ἐκ τῶν ἐπεγειρομένων μοι ὑψώσεις με,
ἐξ ἀνδρὸς ἀδικημάτων ῥύσῃ με.
διὰ τοῦτο ἐξομολογήσομαί σοι, Κύριε, ἐν τοῖς ἔθνεσι 50
καὶ ἐν τῷ ὀνόματί σου ψαλῶ,
μεγαλύνων τὰς σωτηρίας βασιλέως αὐτοῦ 51
καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ,
τῷ Δαυΐδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Καὶ οὗτοι οἱ λόγοι Δαυΐδ οἱ ἔσχατοι· **(Ψα ἄγνωστος)** 1 **23**
Πιστὸς Δαυΐδ υἱὸς Ἰεσσαί, καὶ πιστὸς ἀνήρ,
ὃν ἀνέστησε Κύριος ἐπὶ χριστὸν θεοῦ Ἰακώβ,
καὶ εὐπρεπεῖς ψαλμοὶ Ἰσραήλ.
πνεῦμα Κυρίου ἐλάλησεν ἐν ἐμοί, 2
καὶ ὁ λόγος αὐτοῦ ἐπὶ γλώσσης μου.

λέγει ὁ θεὸς Ἰσραήλ, 3
ἐμοὶ ἐλάλησε φύλαξ Ἰσραήλ·
παραβολὴν εἰπὸν ἐν ἀνθρώπῳ·
πῶς κραταιώσητε φόβον θεοῦ;
καὶ ἐν θεῷ φωτὶ πρωΐας ἀνατείλαι ἥλιος, 4
τὸ πρωῒ παρῆλθεν ἐκ φέγγους
καὶ ὡς ἐξ ὑετοῦ χλόης ἀπὸ γῆς.
σὺ γὰρ οὕτως ὁ οἶκός μου μετὰ ἰσχυροῦ; 5
διαθήκην γὰρ αἰώνιον ἔθετό μοι,
ἑτοίμην ἐν παντὶ καιρῷ πεφυλαγμένην,
ὅτι πᾶσα σωτηρία μου καὶ πᾶν θέλημα,
ὅτι οὐ μὴ βλαστήσῃ ὁ παράνομος.
ὥσπερ ἄκανθα ἐξωσμένη πάντες οὗτοι, 6
ὅτι οὐ χειρὶ ληφθήσονται, 7
καὶ ἀνὴρ οὐ κοπιάσει ἐν αὐτοῖς,
καὶ πλῆρες σιδήρου καὶ ξύλον δόρατος,
καὶ ἐν πυρὶ καύσει καυθήσονται αἰσχύνην αὐτῶν.

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τότε ἔταξε Δαυῖδ ἐν ἀρχῇ τοῦ αἰνεῖν 7 **16**
τὸν Κύριον ἐν χειρὶ Ἀσὰφ καὶ τῶν ἀδελφῶν αὐτοῦ. **Α΄Πα**

ΩΔΗ **(Ψα 104)**

Ἐξομολογεῖσθε τῷ Κυρίῳ 8
ἐπικαλεῖσθε αὐτὸν ἐν ὀνόματι αὐτοῦ,
γνωρίσατε ἐν λαοῖς τὰ ἐπιτηδεύματα αὐτοῦ.
ᾄσατε αὐτῷ καὶ ὑμνήσατε αὐτῷ, 9
διηγήσασθε πᾶσι τὰ θαυμάσια αὐτοῦ, ἃ ἐποίησε Κύριος.
αἰνεῖτε ἐν ὀνόματι ἁγίῳ αὐτοῦ, 10
εὐφρανθήσεται καρδία ζητοῦσα τὴν εὐδοκίαν αὐτοῦ.
ζητήσατε τὸν Κύριον καὶ ἰσχύσατε, 11
ζητήσατε τὸ πρόσωπον αὐτοῦ διὰ παντός.
μνημονεύετε τὰ θαυμάσια αὐτοῦ, ἃ ἐποίησε, 12
τέρατα καὶ κρίματα τοῦ στόματος αὐτοῦ.
σπέρμα Ἰσραὴλ παῖδες αὐτοῦ, 13
υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.
αὐτὸς Κύριος ὁ θεὸς ἡμῶν, 14
ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.
μνημονεύων εἰς αἰῶνα διαθήκης αὐτοῦ, 15
λόγον αὐτοῦ, ὃν ἐνετείλατο εἰς χιλίας γενεάς, 16
ὃν διέθετο τῷ Ἀβραὰμ καὶ τὸν ὅρκον αὐτοῦ τῷ Ἰσαάκ·
ἔστησεν αὐτὸν τῷ Ἰακὼβ εἰς πρόσταγμα, 17
τῷ Ἰσραὴλ διαθήκην αἰώνιον λέγων·
Σοὶ δώσω τὴν γῆν Χαναὰν 18
σχοίνισμα κληρονομίας ὑμῶν.
ἐν τῷ γενέσθαι αὐτοὺς ὀλιγοστοὺς ἀριθμῷ 19

ὡς ἐσμικρύνθησαν καὶ παρῴκησαν ἐν αὐτῇ.
καὶ ἐπορεύθησαν ἀπὸ ἔθνους εἰς ἔθνος 20
καὶ ἀπὸ βασιλείας εἰς λαὸν ἕτερον.
οὐκ ἀφῆκεν ἄνδρα τοῦ δυναστεῦσαι αὐτοὺς 21
καὶ ἤλεγξε περὶ αὐτῶν βασιλεῖς·
μὴ ἅψησθε τῶν χριστῶν μου 22
καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.

Ἄσατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ, **(Ψα 95)** 23
ἀναγγείλατε ἐξ ἡμέρας εἰς ἡμέραν σωτηρίαν αὐτοῦ.
ἐξηγεῖσθε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, 24
ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ.
ὅτι μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, 25
φοβερός ἐστιν ἐπὶ πάντας τοὺς θεούς.
ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν εἴδωλα, 26
καὶ ὁ θεὸς ἡμῶν οὐρανοὺς ἐποίησε.
δόξα καὶ ἔπαινος κατὰ πρόσωπον αὐτοῦ, 27
ἰσχὺς καὶ καύχημα ἐν τόπῳ αὐτοῦ.
δότε τῷ Κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, 28
δότε τῷ Κυρίῳ δόξαν καὶ ἰσχύν·
δότε τῷ Κυρίῳ δόξαν ὀνόματος αὐτοῦ, 29
λάβετε δῶρα καὶ ἐνέγκατε κατὰ πρόσωπον αὐτοῦ
καὶ προσκυνήσατε Κυρίῳ ἐν αὐλαῖς ἁγίαις αὐτοῦ.
φοβηθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ, 30
κατορθωθήτω ἡ γῆ καὶ μὴ σαλευθήτω·
εὐφρανθήτω ὁ οὐρανὸς καὶ ἀγαλλιάσθω ἡ γῆ, 31
καὶ εἰπάτωσαν ἐν τοῖς ἔθνεσι· Κύριος βασιλεύων.
βομβήσει ἡ θάλασσα σὺν τῷ πληρώματι 32
καὶ ξύλον ἀγροῦ καὶ πάντα τὰ ἐν αὐτῷ·
τότε εὐφρανθήσεται τὰ ξύλα τοῦ δρυμοῦ ἀπὸ προσώπου Κυρίου, 33
ὅτι ἦλθε κρῖναι τὴν γῆν.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθόν, **(Ψα 105)** 34
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
καὶ εἴπατε· Σῶσον ἡμᾶς, ὁ θεὸς τῆς σωτηρίας ἡμῶν, 35
καὶ ἄθροισον ἡμᾶς, καὶ ἐξελοῦ ἡμᾶς ἐκ τῶν ἐθνῶν
τοῦ αἰνεῖν τὸ ὄνομα τὸ ἅγιόν σου
καὶ καυχᾶσθαι ἐν ταῖς αἰνέσεσί σου.

Εὐλογημένος Κύριος ὁ θεὸς Ἰσραὴλ 36
ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος.

Καὶ ἐρεῖ πᾶς ὁ λαός· Ἀμήν.

καὶ ᾔνεσαν τῷ Κυρίῳ.

3. ΦΙΛΩΝΟΣ «ΜΕΤΑΦΡΑΣΙΣ ΤΟΥ ΝΟΜΟΥ»

(ΠΕΡΙ ΤΗΣ ΚΑΤΑ ΜΩΪΣΕΑ ΚΟΣΜΟΠΟΙΙΑΣ)

(ΔΕΙΓΜΑ)

1 Τῶν ἄλλων νομοθετῶν οἱ μὲν ἀκαλλώπιστα καὶ γυμνὰ τὰ νομι-
σθέντα παρ' αὐτοῖς εἶναι δίκαια διετάξαντο, οἱ δὲ πολὺν ὄγκον τοῖς
νοήμασι προσπεριβαλόντες ἐξετύφωσαν τὰ πλήθη μυθικοῖς πλάσμασι
2 τὴν ἀλήθειαν ἐπικρύψαντες. Μωϋσῆς δ' ἑκάτερον ὑπερβάς, τὸ μὲν ὡς
ἄσκεπτον καὶ ἀταλαίπωρον καὶ ἀφιλόσοφον, τὸ δ' ὡς κατεψευσμένον
καὶ μεστὸν γοητείας, παγκάλην καὶ σεμνοτάτην ἀρχὴν ἐποιήσατο τῶν
νόμων, μήτ' εὐθὺς ἃ χρὴ πράττειν ἢ τοὐναντίον ὑπειπὼν μήτ', ἐπειδὴ
προτυπῶσαι τὰς διανοίας τῶν χρησομένων τοῖς νόμοις ἀναγκαῖον ἦν,
μύθους πλασάμενος ἢ συναινέσας τοῖς ὑφ' ἑτέρων συντεθεῖσιν.

4. ΙΩΣΗΠΟΥ «ΜΕΤΑΦΡΑΣΙΣ» (=ΑΡΧΑΙΟΛΟΓΙΑ)

(ΔΕΙΓΜΑ)

1

1 1 Τοῖς τὰς ἱστορίας συγγράφειν βουλομένοις οὐ μίαν οὐδὲ τὴν αὐτὴν ὁρῶ τῆς σπουδῆς γενομένης αἰτίαν, ἀλλὰ πολλὰς καὶ πλεῖστον ἀλ-
2 λήλων διαφερούσας. τινὲς μὲν γὰρ ἐπιδεικνύμενοι λόγων δεινότητα καὶ τὴν ἀπ' αὐτῆς θηρευόμενοι δόξαν ἐπὶ τοῦτο τῆς παιδείας τὸ μέρος ὁρμῶσιν, ἄλλοι δὲ χάριν ἐκείνοις φέροντες, περὶ ὧν τὴν ἀναγραφὴν εἶναι συμβέβηκε, τὸν εἰς αὐτὴν πόνον καὶ παρὰ δύναμιν ὑπέστησαν·
3 εἰσὶ δ' οἵτινες ἐβιάσθησαν ὑπ' αὐτῆς τῆς τῶν πραγμάτων ἀνάγκης οἷς πραττομένοις παρέτυχον ταῦτα γραφῇ δηλούσῃ περιλαβεῖν· πολλοὺς δὲ χρησίμων μέγεθος πραγμάτων ἐν ἀγνοίᾳ κειμένων προύτρεψε τὴν
4 περὶ αὐτῶν ἱστορίαν εἰς κοινὴν ὠφέλειαν ἐξενεγκεῖν. τούτων δὴ τῶν προειρημένων αἰτιῶν αἱ τελευταῖαι δύο κἀμοὶ συμβεβήκασι· τὸν μὲν γὰρ πρὸς τοὺς Ῥωμαίους πόλεμον ἡμῖν τοῖς Ἰουδαίοις γενόμενον καὶ τὰς ἐν αὐτῷ πράξεις καὶ τὸ τέλος οἷον ἀπέβη πείρᾳ μαθὼν ἐβιάσθην ἐκδιηγήσασθαι διὰ τοὺς ἐν τῷ γράφειν λυμαινομένους τὴν ἀλήθειαν,
5 ταύτην δὲ τὴν ἐνεστῶσαν ἐγκεχείρισμαι πραγματείαν νομίζων ἅπασι φανεῖσθαι τοῖς Ἕλλησιν ἀξίαν σπουδῆς· **μέλλει γὰρ περιέξειν ἅπασαν τὴν παρ' ἡμῖν ἀρχαιολογίαν καὶ διάταξιν τοῦ πολιτεύματος ἐκ τῶν ἑβραϊκῶν μεθηρμηνευμένην γραμμάτων** (1,1-5).

2

10 218 Ἐγκαλέσῃ δέ μοι μηδεὶς οὕτως ἕκαστα τούτων ἀπαγγέλλοντι διὰ τῆς γραφῆς, ὡς ἐν τοῖς ἀρχαίοις εὑρίσκω βιβλίοις· καὶ γὰρ εὐθὺς ἐν ἀρχῇ τῆς ἱστορίας πρὸς τοὺς ἐπιζητήσοντάς τι περὶ τῶν πραγμάτων ἢ μεμψομένους ἠσφαλισάμην, **μόνον τε μεταφράζειν τὰς Ἑβραίων βίβλους εἰπὼν εἰς τὴν ἑλλάδα γλῶτταν καὶ ταῦτα δηλώσειν μήτε προστιθεὶς τοῖς πράγμασιν αὐτὸς ἰδίᾳ μήτ' ἀφαιρῶν ὑπεσχημένος** (10,218).

5-10. ΕΞΑΠΛΙΚΑΙ ΜΕΤΑΦΡΑΣΕΙΣ

5. ΑΚΥΛΑ ΜΕΤΑΦΡΑΣΙΣ (Α)
6. ΘΕΟΔΟΤΙΩΝΟΣ ΜΕΤΑΦΡΑΣΙΣ (Θ)
7. ΣΥΜΜΑΧΟΥ ΜΕΤΑΦΡΑΣΙΣ (Σ)
8. ΠΕΜΠΤΗ ΜΕΤΑΦΡΑΣΙΣ (Ε)
9. ΕΚΤΗ ΜΕΤΑΦΡΑΣΙΣ (F)
10. ΕΒΔΟΜΗ ΜΕΤΑΦΡΑΣΙΣ (Ζ)

(ΔΕΙΓΜΑ)

Ψα 22,31· ונפשו לא חיה. Ο΄. καὶ ἡ ψυχή μου αὐτῷ (לו) ζῇ. Α. ... αὐτῷ ζῇ. Σ. οὗ ἡ ψυχὴ ζήσει. Θ. καὶ ἡ ψυχὴ αὐτοῦ ζῇ. Ε΄. F΄. Ζ΄. ἡ ψυχή μου.

11. ΜΑΡΚΙΑΝΗ ΜΕΤΑΦΡΑΣΙΣ
(ΔΕΙΓΜΑ)

ΓΕΝΕΣΙΣ

1 2 Ἐν ἀρχῇ ἔκτισεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ἡ γῆ δ' 2 1
ὑπῆρξε στέρησις κενόν τε, σκότος τ' ἐπὶ προσώπου τῆς ἀβύσ-
3 σου· καὶ πνεῦμα θεοῦ ἵπτατο κατὰ προσώπου τοῦ ὕδατος. ἔφη 3
4 γοῦν ὁ θεός· Ὑπαρξάτω φῶς. καὶ ὑπῆρξε φῶς. ἤθρησε δ' ὁ θε- 4
ὸς τὸ φῶς ὅτι χρηστόν. καὶ διέστειλεν ὁ θεὸς ἀνὰ τὸ φῶς ἀνά 5
5 τε τὸ σκότος· καὶ ἐκάλεσεν ὁ θεὸς τὸ φῶς ἡμέραν, τὸ δὲ σκό-
τος ἐκάλεσε νύκτα. τετέλεκεν οὖν ἑσπέρα κἀτέλεσεν ἕως, ἡμέ-
ρα μία.

12. ΘΕΟΔΟΤΙΩΝΟΣ ΜΕΤΑΦΡΑΣΙΣ «ΔΑΝΙΗΛ»

ΣΟΥΣΑΝΝΑ

6 ..... καὶ ἤρχοντο κρίσεις ἐξ ἄλλων πόλεων πρὸς αὐτούς.
7 8 οὗτοι ἰδόντες γυναῖκα ἀστείαν τῷ εἴδει, γυναῖκα ἀδελφοῦ αὐτῶν ἐκ
τῶν υἱῶν Ἰσραήλ, ὄνομα Σουσάνναν θυγατέρα Χελκίου γυναῖκα Ἰωα-
κίμ, περιπατοῦσαν ἐν τῷ παραδείσῳ τοῦ ἀνδρὸς αὐτῆς τὸ δειλινὸν
9 καὶ ἐπιθυμήσαντες αὐτῆς διέστρεψαν τὸν νοῦν αὐτῶν καὶ ἐξέκλιναν
τοὺς ὀφθαλμοὺς αὐτῶν τοῦ μὴ βλέπειν εἰς τὸν οὐρανὸν μηδὲ μνημο-
10 11 νεύειν κριμάτων δικαίων. καὶ ἀμφότεροι ἦσαν κατανενυγμένοι περὶ
αὐτῆς, καὶ ἕτερος τῷ ἑτέρῳ οὐ προσεποιεῖτο τὸ κακὸν τὸ ἔχον αὐ-
12 τοὺς περὶ αὐτῆς, οὐδὲ ἡ γυνὴ ἔγνω τὸ πρᾶγμα τοῦτο. καὶ ὡς ἐγίνετο
ὄρθρος, ἐρχόμενοι ἔκλεπτον ἀλλήλους σπεύδοντες, τίς φανήσεται αὐ-
13 14 τῇ πρότερος καὶ λαλήσει πρὸς αὐτήν. καὶ ἰδοὺ αὕτη κατὰ τὸ εἰωθὸς
περιεπάτει, καὶ ὁ εἷς τῶν πρεσβυτέρων ἐληλύθει, καὶ ἰδοὺ ὁ ἕτερος
παρεγένετο, καὶ εἷς τὸν ἕτερον ἀνέκρινε λέγων· Τί σὺ οὕτως ὄρθρου
ἐξῆλθες οὐ παραλαβών με; καὶ ἐξωμολογήσαντο πρὸς ἀλλήλους ἑκά-
19 τερος τὴν ὀδύνην αὐτοῦ. καὶ εἶπεν εἷς τῷ ἑτέρῳ· Πορευθῶμεν πρὸς
22 αὐτήν· καὶ συνθέμενοι προσῆλθον αὐτῇ καὶ ἐξεβιάζοντο αὐτήν. καὶ εἶ-
πεν αὐτοῖς ἡ Ἰουδαία· Οἶδα ὅτι ἐὰν πράξω τοῦτο, θάνατός μοί ἐστι,
23 καὶ ἐὰν μὴ πράξω, οὐκ ἐκφεύξομαι τὰς χεῖρας ὑμῶν· κάλλιον δέ με μὴ
πράξασαν ἐμπεσεῖν εἰς τὰς χεῖρας ὑμῶν ἢ ἁμαρτεῖν ἐνώπιον Κυρίου.
28 Οἱ δὲ παράνομοι ἄνδρες ἀπέστρεψαν ἀπειλοῦντες ἐν ἑαυτοῖς καὶ
ἐνεδρεύοντες ἵνα θανατώσουσιν αὐτήν· καὶ ἐλθόντες ἐπὶ τὴν συναγω-
γὴν τῆς πόλεως, οὗ παρῴκουν, καὶ συνήδρευον, οἱ ὄντες ἐκεῖ πάντες
29 υἱοὶ Ἰσραήλ· καὶ ἀναστάντες οἱ δύο πρεσβύτεροι καὶ κριταὶ εἶπαν· Ἀ-
ποστείλατε ἐπὶ Σουσάνναν θυτατέρα Χελκίου, ἥτις ἐστὶ γυνὴ Ἰωακίμ·
30 οἱ δὲ εὐθέως ἐκάλεσαν αὐτήν. ὡς δὲ παρεγενήθη ἡ γυνὴ σὺν τῷ πατρὶ
ἑαυτῆς καὶ τῇ μητρί, καὶ οἱ παῖδες καὶ αἱ παιδίσκαι αὐτῆς ὄντες τὸν ἀ-
ριθμὸν πεντακόσιοι παρεγένοντο καὶ τὰ παιδία Σουσάννας τέσσαρα·
31 32 ἦν δὲ ἡ γυνὴ τρυφερὰ σφόδρα. καὶ προσέταξαν οἱ παράνομοι ἀποκα-
33 λύψαι αὐτήν, ἵνα ἐμπλησθῶσι κάλλους ἐπιθυμίας αὐτῆς· καὶ ἔκλαιον
34 οἱ παρ' αὐτῆς πάντες καὶ ὅσοι αὐτὴν ᾔδεισαν πάντες. ἀναστάντες δὲ
οἱ πρεσβύτεροι καὶ κριταὶ ἐπέθηκαν τὰς χεῖρας αὐτῶν ἐπὶ τῆς κεφα-
35 λῆς αὐτῆς· ἡ δὲ καρδία αὐτῆς ἐπεποίθει ἐπὶ Κυρίῳ τῷ θεῷ αὐτῆς, καὶ
35a ἀνακύψασα ἔκλαυσεν ἐν ἑαυτῇ λέγουσα· Κύριε ὁ θεὸς ὁ αἰώνιος ὁ εἰ-
δὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, σὺ οἶδας ὅτι οὐκ ἐποίησα ἃ πο-
νηρεύονται οἱ ἄνομοι οὗτοι ἐπ' ἐμοί. καὶ εἰσήκουσε Κύριος τῆς δεήσε-
36 ως αὐτῆς. οἱ δὲ δύο πρεσβύτεροι εἶπαν· Ἡμεῖς περιεπατοῦμεν ἐν τῷ
37 παραδείσῳ τοῦ ἀνδρὸς αὐτῆς καὶ κυκλοῦντες τὸ στάδιον, εἴδομεν

ταύτην ἀναπαυομένην μετὰ ἀνδρὸς καὶ στάντες ἐθεωροῦμεν αὐτοὺς ὁ-
38 μιλοῦντας ἀλλήλοις, καὶ αὐτοὶ οὐκ ᾔδεισαν ὅτι εἱστήκειμεν. τότε συ-
νειπάμεθα ἀλλήλοις λέγοντες· Μάθωμεν τίνες εἰσὶν οὗτοι. καὶ προσελ-
39 θόντες ἐπέγνωμεν αὐτήν, ὁ δὲ νεανίσκος ἔφυγε συγκεκαλυμμένος,
40 ταύτης δὲ ἐπιλαβόμενοι ἐπηρωτῶμεν αὐτήν· Τίς ὁ ἄνθρωπος; καὶ οὐκ
41 ἀπήγγειλεν ἡμῖν, τίς ἦν. ταῦτα μαρτυροῦμεν. καὶ ἐπίστευσεν αὐτοῖς ἡ
συναγωγὴ πᾶσα ὡς πρεσβυτέρων ὄντων καὶ κριτῶν τοῦ λαοῦ.

44 45 Καὶ ἰδοὺ ἄγγελος Κυρίου, ἐκείνης ἐξαγομένης ἀπολέσθαι, καὶ ἔ-
δωκεν ὁ ἄγγελος, καθὼς προσετάγη, πνεῦμα συνέσεως νεωτέρῳ ὄντι
48 Δανιήλ. διαστείλας δὲ Δανιὴλ τὸν ὄχλον καὶ στὰς ἐν μέσῳ αὐτῶν εἶ-
49 πεν· Οὕτω μωροί, υἱοὶ Ἰσραήλ; οὐκ ἀνακρίναντες οὐδὲ τὸ σαφὲς ἐπι-
51 γνόντες ἀπεκρίνατε θυγατέρα Ἰσραήλ; καὶ νῦν διαχωρίσατέ μοι αὐ-
52 τοὺς ἀπ' ἀλλήλων μακράν, ἵνα ἐτάσω αὐτούς. ὡς δὲ διεχωρίσθησαν,
εἶπε Δανιὴλ τῇ συναγωγῇ· Νῦν μὴ βλέψητε ὅτι οὗτοί εἰσι πρεσβύτε-
ροι, λέγοντες Οὐ μὴ ψεύσωνται· ἀλλὰ ἀνακρινῶ αὐτοὺς κατὰ τὰ ὑπο-
πίπτοντά μοι. καὶ ἐκάλεσε τὸν ἕνα αὐτῶν, καὶ προσήγαγον τὸν πρε-
σβύτερον τῷ νεωτέρῳ, καὶ εἶπεν αὐτῷ Δανιήλ· Ἄκουε ἄκουε, πεπα-
λαιωμένε ἡμερῶν κακῶν· νῦν ἥκασί σου αἱ ἁμαρτίαι, ἃς ἐποίεις τὸ
53 πρότερον πιστευθεὶς ἀκούειν καὶ κρίνειν κρίσεις θάνατον ἐπιφερούσας καὶ τὸν μὲν ἀθῷον κατέκρινας, τοὺς δὲ ἐνόχους ἠφίεις, τοῦ Κυ-
54 ρίου λέγοντος Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς· νῦν οὖν ὑπὸ τί
δένδρον καὶ ποταπῷ τοῦ παραδείσου τόπῳ ἑώρακας αὐτοὺς ὄντας
55 σὺν ἑαυτοῖς; καὶ εἶπεν ὁ ἀσεβής· Ὑπὸ σχῖνον. εἶπε δὲ ὁ νεώτερος·
Ὀρθῶς ἔψευσαι εἰς τὴν σεαυτοῦ ψυχήν· ὁ γὰρ ἄγγελος Κυρίου σχίσει
56 σου τὴν ψυχὴν σήμερον. καὶ τοῦτον μεταστήσας εἶπε προσαγαγεῖν
αὐτῷ τὸν ἕτερον· καὶ τούτῳ δὲ εἶπε· Διὰ τί διεστραμμένον τὸ σπέρμα
σου, ὡς Σιδῶνος καὶ οὐχ ὡς Ἰούδα; τὸ κάλλος σε ἠπάτησεν, ἡ μιαρὰ
57 ἐπιθυμία· καὶ οὕτως ἐποιεῖτε θυγατράσιν Ἰσραήλ, καὶ ἐκεῖναι φοβούμεναι ὡμίλουν ὑμῖν· ἀλλ' οὐ θυγάτηρ Ἰούδα ὑπέμεινε τὴν νόσον ὑμῶν
58 ἐν ἀνομίᾳ ὑπενεγκεῖν· νῦν οὖν λέγε μοι· Ὑπὸ τί δένδρον καὶ ἐν ποίῳ
τοῦ κήπου τόπῳ κατέλαβες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις; ὁ δὲ εἶπεν·
59 Ὑπὸ πρῖνον. καὶ εἶπε Δανιήλ· Ἁμαρτωλέ, νῦν ὁ ἄγγελος Κυρίου τὴν
ῥομφαίαν ἔστηκεν ἔχων, ἕως ὁ λαὸς ἐξολεθρεύσει ὑμᾶς, ἵνα καταπρί-
60 - 62 σῃ σε. καὶ πᾶσα ἡ συναγωγὴ ἀνεβόησεν ἐπὶ τῷ νεωτέρῳ, ὡς ἐκ τοῦ ἰ-
δίου στόματος ὁμολόγους αὐτοὺς κατέστησεν ἀμφοτέρους ψευδομάρτυρας· καὶ ὡς ὁ νόμος διαγορεύει, ἐποίησαν αὐτοῖς, καθὼς ἐπονηρεύσαντο κατὰ τῆς ἀδελφῆς. καὶ ἐφίμωσαν αὐτοὺς καὶ ἐξαγαγόντες ἔρριψαν εἰς φάραγγα. τότε ὁ ἄγγελος Κυρίου ἔρριψε πῦρ διὰ μέσου αὐτῶν. καὶ ἐσώθη αἷμα ἀναίτιον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

63 Διὰ τοῦτο οἱ νεώτεροι ἀγαπητοὶ Ἰακὼβ ἐν τῇ ἁπλότητι αὐτῶν. καὶ ἡμεῖς φυλασσώμεθα εἰς υἱοὺς δυνατοὺς νεωτέρους· εὐσεβήσουσι γὰρ νεώτεροι, καὶ ἔσται ἐν αὐτοῖς πνεῦμα ἐπιστήμης καὶ συνέσεως εἰς αἰῶνα αἰῶνος.

< ΑΙΧΜΑΛΩΣΙΑ >

I 1 Ἐπὶ βασιλέως Ἰωακὶμ τῆς Ἰουδαίας ἔτους τρίτου παραγε- 1 I
νόμενος Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος εἰς Ἱερουσα-
2 λὴμ ἐπολιόρκει αὐτήν. καὶ παρέδωκεν αὐτὴν Κύριος εἰς χεῖρας 2
αὐτοῦ καὶ Ἰωακὶμ τὸν βασιλέα τῆς Ἰουδαίας καὶ μέρος τι τῶν
ἱερῶν σκευῶν τοῦ Κυρίου, καὶ ἀπήνεγκεν αὐτὰ εἰς Βαβυλῶνα
3 καὶ ἀπηρείσατο αὐτὰ ἐν τῷ εἰδωλείῳ αὐτοῦ. καὶ εἶπεν ὁ βασι- 3
λεὺς Ἀβιεσδρὶ τῷ ἑαυτοῦ ἀρχιευνούχῳ ἀγαγεῖν αὐτῷ ἐκ τῶν
υἱῶν τῶν μεγιστάνων τοῦ Ἰσραὴλ καὶ ἐκ τοῦ βασιλικοῦ γέ-
4 νους καὶ ἐκ τῶν ἐπιλέκτων, νεανίσκους ἀμώμους καὶ εὐειδεῖς 4
καὶ ἐπιστήμονας ἐν πάσῃ σοφίᾳ καὶ γραμματικοὺς καὶ συνε-
τοὺς καὶ σοφοὺς καὶ ἰσχύοντας ὥστε εἶναι ἐν τῷ οἴκῳ τοῦ βα-
5 σιλέως· καὶ διδάξαι αὐτοὺς γράμματα καὶ διάλεκτον χαλδαϊ-
6 κήν, καὶ δίδοσθαι αὐτοῖς ἔκθεσιν ἐκ τοῦ οἴκου τοῦ βασιλέως 5
καθ' ἑκάστην ἡμέραν καὶ ἀπὸ τῆς βασιλικῆς τραπέζης καὶ ἀπὸ
τοῦ οἴνου, οὗ πίνει ὁ βασιλεύς, καὶ ἐκπαιδεῦσαι αὐτοὺς ἔτη
7 τρία καὶ ἐκ τούτων στῆσαι ἔμπροσθεν τοῦ βασιλέως. καὶ ἦσαν 6
ἐκ τοῦ γένους τῶν υἱῶν Ἰσραὴλ τῶν ἀπὸ τῆς Ἰουδαίας Δανι-
8 ήλ, Ἀνανίας, Μισαήλ, Ἀζαρίας. καὶ ἐπέθηκεν αὐτοῖς ὁ ἀρχιευ- 7
νοῦχος ὀνόματα, τῷ μὲν Δανιὴλ Βαλτάσαρ, τῷ δὲ Ἀνανίᾳ Σε-
9 δρὰχ καὶ τῷ Μισαὴλ Μισὰχ καὶ τῷ Ἀζαρίᾳ Ἀβδεναγώ. καὶ ἐ- 8
νεθυμήθη Δανιὴλ ἐν τῇ καρδίᾳ ὅπως μὴ ἀλισγηθῇ ἐν τῷ δεί-
πνῳ τοῦ βασιλέως καὶ ἐν ᾧ πίνει οἴνῳ, καὶ ἠξίωσε τὸν ἀρχιευ-
10 νοῦχον ἵνα μὴ συμμολυνθῇ. καὶ ἔδωκε κύριος τῷ Δανιὴλ τιμὴν 9
11 καὶ χάριν ἐναντίον τοῦ ἀρχιευνούχου. καὶ εἶπεν ὁ ἀρχιευνοῦ- 10
χος τῷ Δανιήλ· Ἀγωνιῶ τὸν κύριόν μου τὸν βασιλέα τὸν ἐκτά-
ξαντα τὴν βρῶσιν ὑμῶν καὶ τὴν πόσιν ὑμῶν, ἵνα μὴ ἴδῃ τὰ
πρόσωπα ὑμῶν διατετραμμένα καὶ ἀσθενῆ παρὰ τοὺς συντρε-
φομένους ὑμῖν νεανίας τῶν ἀλλογενῶν, καὶ κινδυνεύσω τῷ ἰ-
12 δίῳ τραχήλῳ. καὶ εἶπε Δανιὴλ Ἀβιεσδρὶ τῷ ἀναδειχθέντι ἀρ- 11
13 χιευνούχῳ ἐπὶ τὸν Δανιήλ, Ἀνανίαν, Μισαήλ, Ἀζαρίαν· Πείρα- 12
σον δὴ τοὺς παῖδάς σου ἐφ' ἡμέρας δέκα, καὶ δοθήτω ἡμῖν ἀ-
14 πὸ τῶν ὀσπρίων τῆς γῆς, ὥστε κάπτειν καὶ ὑδροποτεῖν· καὶ ἐ- 13
ὰν φανῇ ἡ ὄψις ἡμῶν διατετραμμένη παρὰ τοὺς ἄλλους νεανί-
σκους τοὺς ἐσθίοντας ἀπὸ τοῦ βασιλικοῦ δείπνου, καθὼς ἐὰν
15 θέλῃς, οὕτω χρῆσαι τοῖς παισί σου. καὶ ἐχρήσατο αὐτοῖς τὸν 14
16 τρόπον τοῦτον καὶ ἐπείρασεν αὐτοὺς ἡμέρας δέκα. μετὰ δὲ 15
τὰς δέκα ἡμέρας ἐφάνη ἡ ὄψις αὐτῶν καλὴ καὶ ἡ ἕξις τοῦ σώ-
ματος κρείσσων τῶν ἄλλων νεανίσκων τῶν ἐσθιόντων τὸ βα-
17 σιλικὸν δεῖπνον. καὶ ἦν Ἀβιεσδρὶ ἀναιρούμενος τὸ δεῖπνον αὐ- 16
18 τῶν καὶ τὸν οἶνον αὐτῶν καὶ ἀντεδίδου αὐτοῖς ἀπὸ τῶν ὀ- 17
σπρίων. καὶ τοῖς νεανίσκοις ἔδωκεν ὁ Κύριος ἐπιστήμην καὶ

19 σύνεσιν καὶ φρόνησιν ἐν πάσῃ γραμματικῇ τέχνῃ· καὶ τῷ Δανι-
ὴλ ἔδωκε σύνεσιν ἐν παντὶ ῥήματι καὶ ὁράματι καὶ ἐνυπνίοις
20 καὶ ἐν πάσῃ σοφίᾳ. μετὰ δὲ τὰς ἡμέρας ταύτας ἐπέταξεν ὁ βα- 18
σιλεὺς εἰσαγαγεῖν αὐτούς, καὶ εἰσήχθησαν ἀπὸ τοῦ ἀρχιευνού-
21 χου πρὸς τὸν βασιλέα Ναβουχοδονόσορ. καὶ ὡμίλησεν αὐτοῖς 19
ὁ βασιλεύς, καὶ οὐχ εὑρέθη ἐν τοῖς σοφοῖς ὅμοιος τῷ Δανιὴλ
22 καὶ Ἀνανίᾳ καὶ Μισαὴλ καὶ Ἀζαρίᾳ· καὶ ἦσαν παρὰ τῷ βασι- 20
λεῖ. καὶ ἐν παντὶ λόγῳ καὶ συνέσει καὶ παιδείᾳ, ὅσα ἐζήτησε
παρ' αὐτῶν ὁ βασιλεύς, κατέλαβεν αὐτοὺς σοφωτέρους δεκα-
πλασίως ὑπὲρ τοὺς σοφιστὰς καὶ τοὺς φιλοσόφους τοὺς ἐν
23 πάσῃ τῇ βασιλείᾳ αὐτοῦ· καὶ ἐδόξασεν αὐτοὺς ὁ βασιλεὺς καὶ
κατέστησεν αὐτοὺς ἄρχοντας καὶ ἀνέδειξεν αὐτοὺς σοφοὺς
παρὰ πάντας τοὺς αὐτοῦ ἐν πράγμασιν ἐν πάσῃ τῇ γῇ αὐτοῦ
24 καὶ ἐν τῇ βασιλείᾳ αὐτοῦ. καὶ ἦν Δανιὴλ ἕως τοῦ πρώτου ἔ- 21
τους τῆς βασιλείας Κύρου βασιλέως Περσῶν.

2 1 Καὶ ἐν τῷ ἔτει τῷ δευτέρῳ τῆς βασιλείας Ναβουχοδονό- 1 **2**
σορ συνέβη εἰς ὁράματα καὶ ἐνύπνια ἐμπεσεῖν τὸν βασιλέα καὶ
ταραχθῆναι ἐν τῷ ἐνυπνίῳ αὐτοῦ, καὶ ὁ ὕπνος αὐτοῦ ἐγένετο
2 ἀπ' αὐτοῦ. καὶ ἐπέταξεν ὁ βασιλεὺς εἰσενεχθῆναι τοὺς ἐπαοι- 2
δοὺς καὶ τοὺς μάγους καὶ τοὺς φαρμακοὺς τῶν Χαλδαίων ἀ-
ναγγεῖλαι τῷ βασιλεῖ τὰ ἐνύπνια αὐτοῦ, καὶ παραγενόμενοι ἔ-
3 στησαν παρὰ τῷ βασιλεῖ. καὶ εἶπεν αὐτοῖς ὁ βασιλεύς· Ἐνύ- 3
πνιον ἑώρακα καὶ ἐκινήθη μου τὸ πνεῦμα· ἐπιγνῶναι οὖν θέλω
4 τὸ ἐνύπνιον. καὶ ἐλάλησαν οἱ Χαλδαῖοι πρὸς τὸν βασιλέα Συρι- 4
στί· Κύριε βασιλεῦ, <εἰς> τὸν αἰῶνα ζῆθι· ἀνάγγειλον τὸ ἐνύ-
πνιόν σου τοῖς παισί σου, καὶ ἡμεῖς σοι φράσομεν τὴν σύγκρι-
5 σιν αὐτοῦ. ἀποκριθεὶς δὲ ὁ βασιλεὺς εἶπε τοῖς Χαλδαίοις ὅτι Ἐ- 5
ὰν μὴ ἀπαγγείλητέ μοι ἐπ' ἀληθείας τὸ ἐνύπνιον καὶ τὴν τού-
του σύγκρισιν δηλώσητέ μοι, παραδειγματισθήσεσθε, καὶ ἀνα-
6 ληφθήσεται ὑμῶν τὰ ὑπάρχοντα εἰς τὸ βασιλικόν· ἐὰν δὲ τὸ ἐ- 6
νύπνιον διασαφήσητέ μοι καὶ τὴν τούτου σύγκρισιν ἀναγγεί-
λητε, λήψεσθε δόματα παντοῖα καὶ δοξασθήσεσθε ὑπ' ἐμοῦ·
7 δηλώσατέ μοι τὸ ἐνύπνιον καὶ κρίνατε. ἀπεκρίθησαν δὲ ἐκ 7
δευτέρου λέγοντες· Βασιλεῦ, τὸ ὅραμα εἰπόν, καὶ οἱ παῖδές
8 σου κρινοῦσι πρὸς ταῦτα. καὶ εἶπεν αὐτοῖς ὁ βασιλεύς· Ἐπ' ἀ- 8
ληθείας οἶδα ὅτι καιρὸν ὑμεῖς ἐξαγοράζετε, καθάπερ ἑωράκατε
9 ὅτι ἀπέστη ἀπ' ἐμοῦ τὸ πρᾶγμα· καθάπερ οὖν προστέταχα, οὕ- 9
τως ἔσται· ἐὰν μὴ τὸ ἐνύπνιον ἀπαγγείλητέ μοι ἐπ' ἀληθείας
καὶ τὴν τούτου σύγκρισιν δηλώσητε, θανάτῳ περιπεσεῖσθε·
συνείπασθε γὰρ λόγους ψευδεῖς ποιήσασθαι ἐπ' ἐμοῦ, ἕως ἂν
10 ὁ καιρὸς ἀλλοιωθῇ· νῦν οὖν ἐὰν τὸ ῥῆμα εἴπητέ μοι, ὃ τὴν νύ-
11 κτα ἑώρακα, γνώσομαι ὅτι καὶ τὴν τούτου κρίσιν δηλώσετε. 10
καὶ ἀπεκρίθησαν οἱ Χαλδαῖοι ἐπὶ τοῦ βασιλέως ὅτι Οὐδεὶς τῶν
12 ἐπὶ τῆς γῆς δυνήσεται εἰπεῖν τῷ βασιλεῖ ὃ ἑώρακε, καθάπερ
σὺ ἐρωτᾷς, καὶ πᾶς βασιλεὺς καὶ πᾶς δυνάστης τοιοῦτο πρᾶγ-

13 μα οὐκ ἐπερωτᾷ πάντα σοφὸν καὶ μάγον καὶ Χαλδαῖον· καὶ ὁ 11
λόγος, ὃν ζητεῖς, βασιλεῦ, βαρύς ἐστι καὶ ἐπίδοξος, καὶ οὐδείς
ἐστιν, ὃς δηλώσει ταῦτα τῷ βασιλεῖ, εἰ μήτι ἄγγελος, οὗ οὐκ ἔ-
στι κατοικητήριον μετὰ πάσης σαρκός· ὅθεν οὐκ ἐνδέχεται γε-
14 νέσθαι καθάπερ οἴει. τότε ὁ βασιλεὺς στυγνὸς γενόμενος καὶ 12
περίλυπος προσέταξεν ἐξαγαγεῖν πάντας τοὺς σοφοὺς τῆς Βα-
15 βυλωνίας· καὶ ἐδογματίσθη πάντας ἀποκτεῖναι, ἐζητήθη δὲ ὁ 13
16 Δανιὴλ καὶ πάντες οἱ μετ' αὐτοῦ χάριν τοῦ συναπολέσθαι. τότε 14
Δανιὴλ εἶπε βουλὴν καὶ γνώμην, ἣν εἶχεν, Ἀριώχῃ τῷ ἀρχιμα-
γείρῳ τοῦ βασιλέως, ᾧ προσέταξεν ἐξαγαγεῖν τοὺς σοφιστὰς
17 τῆς Βαβυλωνίας, καὶ ἐπυνθάνετο αὐτοῦ λέγων· Περὶ τίνος 15
δογματίζεται πικρῶς παρὰ τοῦ βασιλέως; τότε τὸ πρόσταγμα
18 ἐσήμανεν ὁ Ἀριώχης τῷ Δανιήλ. ὁ δὲ Δανιὴλ εἰσῆλθε ταχέως 16
πρὸς τὸν βασιλέα καὶ ἠξίωσεν ἵνα δοθῇ αὐτῷ χρόνος παρὰ
19 τοῦ βασιλέως, καὶ δηλώσῃ πάντα ἐπὶ τοῦ βασιλέως. τότε ἀ- 17
πελθὼν Δανιὴλ εἰς τὸν οἶκον αὐτοῦ τῷ Ἀνανίᾳ καὶ Μισαὴλ καὶ
20 Ἀζαρίᾳ τοῖς συνεταίροις ὑπέδειξε πάντα· καὶ παρήγγειλε νη- 18
στείαν καὶ δέησιν καὶ τιμωρίαν ζητῆσαι παρὰ τοῦ Κυρίου τοῦ
ὑψίστου περὶ τοῦ μυστηρίου τούτου, ὅπως μὴ ἐκδοθῶσι Δανι-
21 ὴλ καὶ οἱ μετ' αὐτοῦ εἰς ἀπώλειαν ἅμα τοῖς σοφισταῖς Βαβυλῶ- 19
νος. τότε τῷ Δανιὴλ ἐν ὁράματι ἐν αὐτῇ τῇ νυκτὶ τὸ μυστήριον
22 τοῦ βασιλέως ἐξεφάνθη εὐσήμως· τότε Δανιὴλ εὐλόγησε τὸν
Κύριον τὸν ὕψιστον καὶ ἐκφωνήσας εἶπεν· Ἔσται τὸ ὄνομα 20
τοῦ Κυρίου τοῦ μεγάλου εὐλογημένον εἰς τὸν αἰῶνα, ὅτι ἡ σο-
23 φία καὶ ἡ μεγαλωσύνη αὐτοῦ ἐστι· καὶ αὐτὸς ἀλλοιοῖ καιροὺς 21
καὶ χρόνους, μεθιστῶν βασιλεῖς καὶ καθιστῶν, διδοὺς σοφοῖς
24 σοφίαν καὶ σύνεσιν τοῖς ἐν ἐπιστήμῃ οὖσιν· ἀνακαλύπτων τὰ 22
βαθέα καὶ σκοτεινὰ καὶ γινώσκων τὰ ἐν τῷ σκότει καὶ τὰ ἐν
25 τῷ φωτί, καὶ παρ' αὐτῷ κατάλυσις· σοί, Κύριε τῶν πατέρων 23
μου, ἐξομολογοῦμαι καὶ αἰνῶ, ὅτι σοφίαν καὶ φρόνησιν ἔδω-
26 κάς μοι καὶ νῦν ἐσήμανάς μοι ὅσα ἠξίωσα τοῦ δηλῶσαι τῷ βα- 24
σιλεῖ πρὸς ταῦτα. εἰσελθὼν δὲ Δανιὴλ πρὸς τὸν Ἀριὼχ τὸν κα-
τασταθέντα ὑπὸ τοῦ βασιλέως ἀποκτεῖναι πάντας τοὺς σοφι-
27 στὰς τῆς Βαβυλωνίας, εἶπεν αὐτῷ· Τοὺς μὲν σοφιστὰς τῆς Βα-
βυλωνίας μὴ ἀπολέσῃς, εἰσάγαγε δέ με πρὸς τὸν βασιλέα, καὶ
28 ἕκαστα τῷ βασιλεῖ δηλώσω. τότε Ἀριὼχ κατὰ σπουδὴν εἰσή- 25
γαγεν τὸν Δανιὴλ πρὸς τὸν βασιλέα καὶ εἶπεν αὐτῷ ὅτι Εὕρη-
κα ἄνθρωπον σοφὸν ἐκ τῆς αἰχμαλωσίας τῶν υἱῶν τῆς Ἰου-
29 δαίας, ὃς τῷ βασιλεῖ δηλώσει ἕκαστα. ἀποκριθεὶς δὲ ὁ βασι- 26
λεὺς εἶπε τῷ Δανιὴλ ἐπικαλουμένῳ δὲ χαλδαϊστὶ Βαλτάσαρ·
30 Δυνήσῃ δηλῶσαί μοι τὸ ὅραμα, ὃ εἶδον, καὶ τὴν τούτου σύ- 27
γκρισιν; ἐκφωνήσας δὲ ὁ Δανιὴλ ἐπὶ τοῦ βασιλέως εἶπε· Τὸ
μυστήριον, ὃ ἑώρακεν ὁ βασιλεύς, οὐκ ἔστι σοφῶν καὶ φαρμα-
31 κῶν καὶ ἐπαοιδῶν καὶ γαζαρηνῶν ἡ δήλωσις· ἀλλ' ἔστι θεὸς 28
ἐν οὐρανῷ ἀνακαλύπτων μυστήρια, ὃς ἐδήλωσε τῷ βασιλεῖ

Ναβουχοδονόσορ ἃ δεῖ γενέσθαι ἐπ' ἐσχάτων τῶν ἡμερῶν.
32 βασιλεῦ, εἰς τὸν αἰῶνα ζῆθι· τὸ ἐνύπνιον καὶ τὸ ὅραμα τῆς κε-
33 φαλῆς σου ἐπὶ τῆς κοίτης σου τοῦτό ἐστι. σύ, βασιλεῦ, κατα- 29
κλιθεὶς ἐπὶ τῆς κοίτης σου ἑώρακας πάντα, ὅσα δεῖ γενέσθαι
ἐπ' ἐσχάτων τῶν ἡμερῶν, καὶ ὁ ἀνακαλύπτων μυστήρια ἐδή- 30
34 λωσέ σοι ἃ δεῖ γενέσθαι. κἀμοὶ δὲ οὐ παρὰ τὴν σοφίαν τὴν οὖ-
σαν ἐν ἐμοὶ ὑπὲρ πάντας τοὺς ἀνθρώπους τὸ μυστήριον τοῦτο
35 ἐξεφάνθη, ἀλλ' ἕνεκεν τοῦ δηλωθῆναι τῷ βασιλεῖ ἐσημάνθη μοι
36 ἃ ὑπέλαβες τῇ καρδίᾳ σου ἐν γνώσει. καὶ σύ, βασιλεῦ, ἑώρα- 31
κας, καὶ ἰδοὺ εἰκὼν μία, καὶ ἦν ἡ εἰκὼν ἐκείνη μεγάλη σφόδρα,
καὶ ἡ πρόσοψις αὐτῆς ὑπερφερὴς ἑστήκει ἐναντίον σου, καὶ ἡ
37 πρόσοψις τῆς εἰκόνος φοβερά· καὶ ἦν ἡ κεφαλὴ αὐτῆς ἀπὸ 32
38 χρυσίου χρηστοῦ, τὸ στῆθος καὶ οἱ βραχίονες ἀργυροῖ, ἡ κοι- 33
λία καὶ οἱ μηροὶ χαλκοῖ, τὰ δὲ σκέλη σιδηρᾶ, οἱ πόδες μέρος
39 μέν τι σιδήρου, μέρος δέ τι ὀστράκινον. ἑώρακας, ἕως ὅτου ἐ- 34
τμήθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν καὶ ἐπάταξε τὴν εἰκόνα ἐπὶ
τοὺς πόδας τοὺς σιδηροῦς καὶ ὀστρακίνους καὶ κατήλεσεν αὐ- 35
40 τά. τότε λεπτὰ ἐγένετο ἅμα ὁ σίδηρος καὶ τὸ ὄστρακον καὶ ὁ
χαλκὸς καὶ ὁ ἄργυρος καὶ τὸ χρυσίον καὶ ἐγένετο ὡσεὶ λεπτό-
41 τερον ἀχύρου ἐν ἅλωνι. καὶ ἐρρίπισεν αὐτὰ ὁ ἄνεμος, ὥστε
μηδὲν καταλειφθῆναι ἐξ αὐτῶν· καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰ-
42 κόνα ἐγένετο ὄρος μέγα καὶ ἐπάταξε πᾶσαν τὴν γῆν. τοῦτο τὸ 36
43 ὅραμα· καὶ τὴν κρίσιν δὲ ἐροῦμεν ἐπὶ τοῦ βασιλέως. σὺ βασι- 37
λεῦ, βασιλεὺς βασιλέων, καὶ σοὶ ὁ Κύριος τοῦ οὐρανοῦ τὴν
ἀρχὴν καὶ τὴν βασιλείαν καὶ τὴν ἰσχὺν καὶ τὴν τιμὴν καὶ τὴν 38
δόξαν ἔδωκεν, ἐν πάσῃ τῇ οἰκουμένῃ ἀπὸ ἀνθρώπων καὶ θη-
44 ρίων ἀγρίων καὶ πετεινῶν <τοῦ> οὐρανοῦ καὶ τῶν ἰχθύων
τῆς θαλάσσης παρέδωκεν ὑπὸ τὰς χεῖράς σου κυριεύειν πά- 39
45 ντων, σὺ εἶ ἡ κεφαλὴ ἡ χρυσῆ. καὶ μετὰ σὲ ἀναστήσεται βασι-
λεία ἐλάττων σου, καὶ τρίτη βασιλεία ἄλλη χαλκῆ, ἣ κυριεύσει 40
46 πάσης τῆς γῆς. καὶ βασιλεία τετάρτη ἰσχυρὰ ὥσπερ ὁ σίδηρος
ὁ δαμάζων πάντα καὶ πᾶν δένδρον ἐκκόπτων, καὶ σεισθήσεται 41
47 πᾶσα ἡ γῆ. καὶ ὡς ἑώρακας τοὺς πόδας αὐτῆς μέρος μέν τι ὀ-
στράκου κεραμικοῦ μέρος δέ τι σιδήρου, βασιλεία ἄλλη διμε-
ρὴς ἔσται ἐν αὐτῇ, καθάπερ εἶδες τὸν σίδηρον ἀναμεμιγμένον 42
48 ἅμα τῷ πηλίνῳ ὀστράκῳ· καὶ οἱ δάκτυλοι τῶν ποδῶν μέρος
μέν τι σιδηροῦν μέρος δέ τι ὀστράκινον, μέρος τι τῆς βασι-
49 λείας ἔσται ἰσχυρὸν καὶ μέρος τι ἔσται συντετριμμένον. καὶ ὡς 43
εἶδες τὸν σίδηρον ἀναμεμιγμένον ἅμα τῷ πηλίνῳ ὀστράκῳ,
50 συμμιγεῖς ἔσονται εἰς γένεσιν ἀνθρώπων, οὐκ ἔσονται δὲ ὁμο-
νοοῦντες οὔτε εὐνοοῦντες ἀλλήλοις, ὥσπερ οὐδὲ ὁ σίδηρος 44
δύναται συγκραθῆναι τῷ ὀστράκῳ. καὶ ἐν τοῖς χρόνοις τῶν
βασιλέων τούτων στήσει ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἄλλην,
51 ἥτις ἔσται εἰς τοὺς αἰῶνας καὶ οὐ φθαρήσεται, καὶ αὕτη ἡ βα-
σιλεία ἄλλο ἔθνος οὐ μὴ ἐάσῃ, πατάξει δὲ καὶ ἀφανίσει τὰς βα-

52 σιλείας ταύτας, καὶ αὐτὴ στήσεται εἰς τὸν αἰῶνα. καθάπερ ἑώ- 45
ρακας ἐξ ὄρους τμηθῆναι λίθον ἄνευ χειρῶν, καὶ συνηλόησε
τὸ ὄστρακον, τὸν σίδηρον καὶ τὸν χαλκὸν καὶ τὸν ἄργυρον καὶ
53 τὸν χρυσόν. ὁ θεὸς ὁ μέγας ἐσήμανε τῷ βασιλεῖ τὰ ἐσόμενα
ἐπ' ἐσχάτων τῶν ἡμερῶν. καὶ ἀκριβὲς τὸ ὅραμα, καὶ πιστὴ ἡ 46
54 τούτου κρίσις. τότε Ναβουχοδονόσορ ὁ βασιλεὺς πεσὼν ἐπὶ
πρόσωπον χαμαὶ προσεκύνησε τῷ Δανιὴλ καὶ ἐπέταξε θυσίας 47
55 καὶ σπονδὰς ποιῆσαι αὐτῷ. καὶ ἐκφωνήσας ὁ βασιλεὺς πρὸς
τὸν Δανιὴλ εἶπεν· Ἐπ' ἀληθείας ἐστὶν ὁ θεὸς ὑμῶν θεὸς τῶν
θεῶν καὶ κύριος τῶν βασιλέων ὁ ἐκφαίνων μυστήρια κρυπτὰ
56 μόνος, ὅτι ἐδυνάσθης δηλῶσαι τὸ μυστήριον τοῦτο. τότε ὁ βα- 48
σιλεὺς Ναβουχοδονόσορ Δανιὴλ μεγαλύνας καὶ δοὺς δωρεὰς
μεγάλας καὶ πολλὰς κατέστησεν ἐπὶ τῶν πραγμάτων τῆς Βα-
βυλωνίας καὶ ἀπέδειξεν αὐτὸν ἄρχοντα καὶ ἡγούμενον πάντων 49
57 τῶν σοφιστῶν Βαβυλωνίας. καὶ Δανιὴλ ἠξίωσε τὸν βασιλέα ἵ-
να κατασταθῶσιν ἐπὶ τῶν πραγμάτων τῆς Βαβυλωνίας Σε-
58 δράχ, Μισάχ, Ἀβδεναγώ· καὶ Δανιὴλ ἦν ἐν τῇ βασιλικῇ αὐλῇ.

3 1 Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονόσορ βασιλεὺς διοι- 1 **3**
κῶν πόλεις καὶ χώρας καὶ πάντας τοὺς κατοικοῦντας ἐπὶ τῆς
γῆς ἀπὸ Ἰνδικῆς ἕως Αἰθιοπίας ἐποίησεν εἰκόνα χρυσῆν, τὸ ὕ-
ψος αὐτῆς πηχῶν ἑξήκοντα καὶ τὸ πλάτος αὐτῆς πηχῶν ἕξ,
καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ τοῦ περιβόλου χώρας Βαβυλω-
2 νίας. καὶ Ναβουχοδονόσορ βασιλεὺς βασιλέων καὶ κυριεύων 2
τῆς οἰκουμένης ὅλης ἀπέστειλεν ἐπισυναγαγεῖν πάντα τὰ ἔθνη
καὶ φυλὰς καὶ γλώσσας, σατράπας, στρατηγούς, τοπάρχας καὶ
ὑπάτους, διοικητὰς καὶ τοὺς ἐπ' ἐξουσιῶν κατὰ χώραν καὶ πά-
ντας τοὺς κατὰ τὴν οἰκουμένην ἐλθεῖν εἰς τὸν ἐγκαινισμὸν τῆς
εἰκόνος τῆς χρυσῆς, ἣν ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς·
3 4 καὶ ἔστησαν οἱ προγεγραμμένοι κατέναντι τῆς εἰκόνος. καὶ ὁ 3 4
κήρυξ ἐκήρυξε τοῖς ὄχλοις· Ὑμῖν παραγγέλλεται, ἔθνη καὶ χῶ-
ραι, λαοὶ καὶ γλῶσσαι· ὅταν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγ- 5
5 γος, σύριγγος καὶ κιθάρας, σαμβύκης καὶ ψαλτηρίου, συμφω-
νίας καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσατε τῇ
6 εἰκόνι τῇ χρυσῇ, ἣν ἔστησε Ναβουχοδονόσορ βασιλεύς· καὶ 6
πᾶς, ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ, ἐμβαλοῦσιν αὐτὸν εἰς τὴν
κάμινον τοῦ πυρὸς τὴν καιομένην. καὶ ἐν τῷ καιρῷ ἐκείνῳ, ὅ- 7
7 τε ἤκουσαν πάντα τὰ ἔθνη τῆς φωνῆς τῆς σάλπιγγος καὶ πα-
ντὸς ἤχου μουσικῶν, πίπτοντα πάντα τὰ ἔθνη, φυλαὶ καὶ
γλῶσσαι προσεκύνησαν τῇ εἰκόνι τῇ χρυσῇ, ἣν ἔστησε Να-
8 βουχοδονόσορ, κατέναντι τούτου. ἐν ἐκείνῳ τῷ καιρῷ προ- 8
σελθόντες ἄνδρες Χαλδαῖοι διέβαλον τοὺς Ἰουδαίους καὶ ὑπο- 9
9 λαβόντες εἶπον· Κύριε βασιλεῦ, εἰς τὸν αἰῶνα ζῆθι· σύ, βασι- 10
λεῦ, προσέταξας καὶ ἔκρινας, ἵνα πᾶς ἄνθρωπος, ὃς ἂν ἀκού-
σῃ τῆς φωνῆς τῆς σάλπιγγος καὶ παντὸς ἤχου μουσικῶν, πε-
10 σὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, καὶ ὃς ἂν μὴ πεσὼν 11

προσκυνήσῃ, ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν
11 καιομένην· εἰσὶ δέ τινες ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ 12
12 τῆς χώρας τῆς Βαβυλωνίας, Σεδράχ, Μισάχ, Ἀβδεναγώ, οἱ ἄν-
θρωποι ἐκεῖνοι οὐκ ἐφοβήθησάν σου τὴν ἐντολὴν καὶ τῷ εἰδώ-
λῳ σου οὐκ ἐλάτρευσαν καὶ τῇ εἰκόνι σου τῇ χρυσῇ, ᾗ ἔστη-
13 σας, οὐ προσεκύνησαν. τότε Ναβουχοδονόσορ θυμωθεὶς ὀργῇ 13
προσέταξεν ἀγαγεῖν τὸν Σεδράχ, Μισάχ, Ἀβδεναγώ· τότε οἱ
14 ἄνθρωποι ἤχθησαν πρὸς τὸν βασιλέα. οὓς καὶ συνιδὼν Να- 14
βουχοδονόσορ ὁ βασιλεὺς εἶπεν αὐτοῖς· Διὰ τί, Σεδράχ, Μι-
σάχ, Ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε καὶ τῇ εἰκόνι τῇ
15 χρυσῇ, ἣν ἔστησα, οὐ προσκυνεῖτε; καὶ νῦν εἰ μὲν ἔχετε ἑτοί- 15
μως ἅμα τῷ ἀκοῦσαι τῆς σάλπιγγος καὶ παντὸς ἤχου μουσι-
16 κῶν πεσόντες προσκυνῆσαι τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησα· εἰ
δὲ μή γε, γινώσκετε ὅτι, μὴ προσκυνησάντων ὑμῶν, αὐθωρὶ
ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην· καὶ
17 ποῖος θεὸς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου; ἀποκριθέντες δὲ 16
Σεδράχ, Μισάχ, Ἀβδεναγὼ εἶπαν τῷ βασιλεῖ Ναβουχοδονό-
σορ· Βασιλεῦ, οὐ χρείαν ἔχομεν ἡμεῖς ἐπὶ τῇ ἐπιταγῇ ταύτῃ ἀ-
18 ποκριθῆναί σοι· ἔστι γὰρ θεὸς ἐν οὐρανοῖς εἷς Κύριος ἡμῶν, 17
ὃν φοβούμεθα, ὅς ἐστι δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου
19 τοῦ πυρός, καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ἐξελεῖται ἡμᾶς· 18
καὶ τότε φανερόν σοι ἔσται, ὅτι οὔτε τῷ εἰδώλῳ σου λατρεύο-
20 μεν οὔτε τῇ εἰκόνι σου τῇ χρυσῇ, ἣν ἔστησας, προσκυνοῦμεν. 19
τότε Ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ, καὶ ἡ μορφὴ τοῦ προ-
21 σώπου αὐτοῦ ἠλλοιώθη, καὶ ἐπέταξε καῆναι τὴν κάμινον ἑπτα-
22 πλασίως παρ' ὃ ἔδει αὐτὴν καῆναι· καὶ ἄνδρας ἰσχυροτάτους 20
τῶν ἐν τῇ δυνάμει ἐπέταξε συμποδίσαντας τὸν Σεδράχ, Μι-
σάχ, Ἀβδεναγὼ ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιο-
23 μένην. τότε οἱ ἄνδρες ἐκεῖνοι συνεποδίσθησαν ἔχοντες τὰ ὑ- 21
ποδήματα αὐτῶν καὶ τὰς τιάρας αὐτῶν ἐπὶ τῶν κεφαλῶν αὐ-
24 τῶν σὺν τῷ ἱματισμῷ αὐτῶν καὶ ἐβλήθησαν εἰς τὴν κάμινον. ἐ- 22
πειδὴ τὸ πρόσταγμα τοῦ βασιλέως ἤπειγε καὶ ἡ κάμινος ἐξε-
25 καύθη ὑπὲρ τὸ πρότερον ἑπταπλασίως, καὶ οἱ ἄνδρες οἱ προ-
χειρισθέντες συμποδίσαντες αὐτοὺς καὶ προσαγαγόντες τῇ
καμίνῳ ἐνέβαλον εἰς αὐτήν. τοὺς μὲν οὖν ἄνδρας τοὺς συμπο- 23
δίσαντας τοὺς περὶ τὸν Ἀζαρίαν ἐξελθοῦσα ἡ φλὸξ ἐκ τῆς καμίνου ἐνεπύρισε καὶ ἀπέκτεινεν, αὐτοὶ δὲ συνετηρήθησαν.

<ΠΡΟΣΕΥΧΗ ΑΖΑΡΙΟΥ>

1 Οὕτως οὖν προσηύξατο Ἀνανίας καὶ Ἀζαρίας καὶ Μι- 24
σαήλ καὶ ὕμνησαν τῷ Κυρίῳ, ὅτε αὐτοὺς ὁ βασιλεὺς προσέτα-
2 ξεν ἐμβληθῆναι εἰς τὴν κάμινον. στὰς δὴ Ἀζαρίας προσηύξατο 25
οὕτω καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐξωμολογεῖτο τῷ Κυρίῳ ἅ-

μα τοῖς συνεταίροις αὐτοῦ ἐν μέσῳ τῷ πυρὶ ὑποκαιομένης τῆς
καμίνου ὑπὸ τῶν Χαλδαίων σφόδρα, καὶ εἶπαν·

3 Εὐλογητὸς εἶ, Κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, 26
καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας·
5 ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν, 27
καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ αἱ ὁδοί σου εὐθεῖαι,
καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθιναί,
καὶ κρίματα ἀληθείας ἐποίησας 28
κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν
10 καὶ ἐπὶ τὴν πόλιν σου τὴν ἁγίαν
τὴν τῶν πατέρων ἡμῶν Ἰερουσαλήμ,
διότι ἐν ἀληθείᾳ καὶ κρίσει ἐποίησας πάντα ταῦτα
διὰ τὰς ἁμαρτίας ἡμῶν.
ὅτι ἡμάρτομεν ἐν πᾶσι καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ 29
15 καὶ ἐξημάρτομεν ἐν πᾶσι
καὶ τῶν ἐντολῶν τοῦ Νόμου σου οὐχ ὑπηκούσαμεν,
οὐδὲ συνετηρήσαμεν οὐδὲ ἐποιήσαμεν, 30
καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται.
καὶ νῦν πάντα, ὅσα ἡμῖν ἐπήγαγες, 31
20 καὶ πάντα, ὅσα ἐποίησας ἡμῖν,
ἐν ἀληθινῇ κρίσει ἐποίησας
καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἡμῶν 32
ἀνόμων καὶ ἐχθίστων ἀποστατῶν
καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν.
25 καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα, 33
αἰσχύνη καὶ ὄνειδος ἐγενήθη τοῖς δούλοις σου
καὶ τοῖς σεβομένοις σε.
μὴ παραδῷς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου 34
καὶ μὴ διασκεδάσῃς σου τὴν διαθήκην
30 καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν 35
διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ
καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου
καὶ Ἰσραὴλ τὸν ἅγιόν σου,
ὡς ἐλάλησας πρὸς αὐτοὺς λέγων 36
35 πληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ
καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.
ὅτι, δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη 37
καί ἐσμεν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον
διὰ τὰς ἁμαρτίας ἡμῶν,
40 καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης 38
οὐδὲ ἡγούμενος
οὐδὲ ὁλοκαύτωσις οὐδὲ θυσία οὐδὲ προσφορὰ οὐδὲ θυμίαμα
οὐδὲ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος·
ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ 39

45 καὶ πνεύματι τεταπεινωμένῳ προσδεχθείημεν
ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων
καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων·
οὕτω γενέσθω ἡμῶν ἡ θυσία ἐνώπιόν σου σήμερον 40
καὶ ἐξιλάσαι ὄπισθέν σου,
50 ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί,
καὶ τελειῶσαι ὄπισθέν σου.
καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ καὶ φοβούμεθά σε 41
καὶ ζητοῦμεν τὸ πρόσωπόν σου, μὴ καταισχύνῃς ἡμᾶς,
ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου 42
55 καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου,
καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου 43
καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε.
καὶ ἐντραπείησαν πάντες 44
οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακὰ
60 καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας,
καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη·
γνώτωσαν ὅτι σὺ εἶ μόνος Κύριος ὁ θεὸς 45
καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην.

< ΥΜΝΟΣ ΤΩΝ ΤΡΙΩΝ ΠΑΙΔΩΝ >

1 Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασι- 46
λέως καίοντες τὴν κάμινον. καὶ ἡνίκα ἐνέβαλον τοὺς τρεῖς εἰσά-
παξ εἰς τὴν κάμινον, καὶ ἡ κάμινος ἦν διάπυρος κατὰ τὴν θερμα-
σίαν αὐτῆς ἑπταπλασίως, καὶ ὅτε αὐτοὺς ἐνέβαλον, οἱ μὲν ἐμ-
βάλλοντες αὐτοὺς ἦσαν ὑπεράνω αὐτῶν, οἱ δὲ ὑπέκαιον ὑποκά-
τωθεν αὐτῶν νάφθαν καὶ στυππίον καὶ πίσσαν καὶ κληματίδα.
2 καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαράκο- 47
3 ντα ἐννέα καὶ διεξώδευσε καὶ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κά- 48
4 μινον τῶν Χαλδαίων. ἄγγελος δὲ Κυρίου συγκατέβη ἅμα τοῖς 49
περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον καὶ ἐξετίναξε τὴν φλόγα τοῦ
5 πυρὸς ἐκ τῆς καμίνου καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡσεὶ 50
πνεῦμα δρόσου διασυρίζον, καὶ οὐχ ἥψατο αὐτῶν καθόλου τὸ
πῦρ καὶ οὐκ ἐλύπησε καὶ οὐ παρηνώχλησεν αὐτούς.
6 Ἀναλαβόντες δὲ οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ 51
ἐδόξαζον καὶ εὐλόγουν καὶ ἐξύψουν τὸν θεὸν ἐν τῇ καμίνῳ λέ-
γοντες·
7 Εὐλογητὸς εἶ, Κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, 52
καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας,
8 καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον
καὶ ὑπεραινετὸν καὶ ὑπερυψωμένον εἰς πάντας τοὺς αἰῶνας.
9 εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου 53
καὶ ὑπερυμνητὸς καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας.

10 εὐλογητὸς εἶ ἐπὶ θρόνου τῆς βασιλείας σου 54
καὶ ὑμνητὸς καὶ ὑπερυψωμένος εἰς τοὺς αἰῶνας.
11 εὐλογητὸς εἶ, ὁ βλέπων ἀβύσσους καθήμενος ἐπὶ χερουβίμ, 55
καὶ αἰνετὸς καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.
12 εὐλογητὸς εἶ ἐν τῷ στερεώματι 56
καὶ ὑμνητὸς καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.
13 εὐλογεῖτε, πάντα τὰ ἔργα τοῦ Κυρίου, τὸν Κύριον· 57
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
14 εὐλογεῖτε, ἄγγελοι Κυρίου, τὸν Κύριον· 58
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
15 εὐλογεῖτε, οὐρανοί, τὸν Κύριον· 59
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
16 εὐλογεῖτε, ὕδατα πάντα τὰ ἐπάνω τοῦ οὐρανοῦ, τὸν Κύριον· 60
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
17 εὐλογεῖτε, πᾶσαι αἱ δυνάμεις Κυρίου, τὸν Κύριον· 61
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
18 εὐλογεῖτε, ἥλιος καὶ σελήνη, τὸν Κύριον· 62
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
19 εὐλογεῖτε, ἄστρα τοῦ οὐρανοῦ, τὸν Κύριον· 63
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
20 εὐλογεῖτε, πᾶς ὄμβρος καὶ δρόσος, τὸν Κύριον· 64
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
21 εὐλογεῖτε, πάντα τὰ πνεύματα, τὸν Κύριον· 65
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
22 εὐλογεῖτε, πῦρ καὶ καῦμα, τὸν Κύριον· 66
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
23 εὐλογεῖτε, ῥῖγος καὶ ψῦχος, τὸν Κύριον· 67
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
24 εὐλογεῖτε, δρόσοι καὶ νιφετοί, τὸν Κύριον· 68
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
25 εὐλογεῖτε, πάγοι καὶ ψῦχος, τὸν Κύριον· 69
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
26 εὐλογεῖτε, πάχναι καὶ χιόνες, τὸν Κύριον· 70
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
27 εὐλογεῖτε, νύκτες καὶ ἡμέραι, τὸν Κύριον· 71
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
28 εὐλογεῖτε, φῶς καὶ σκότος, τὸν Κύριον· 72
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
29 εὐλογεῖτε, ἀστραπαὶ καὶ νεφέλαι, τὸν Κύριον· 73
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
30 εὐλογεῖτε, ἡ γῆ <καὶ ὁ οὐρανὸς>, τὸν Κύριον· 74
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
31 εὐλογεῖτε, ὄρη καὶ βουνοί, τὸν Κύριον· 75
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
32 εὐλογεῖτε, πάντα τὰ φυόμενα ἐπὶ τῆς γῆς, τὸν Κύριον· 76

ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
33 εὐλογεῖτε, αἱ πηγαί, τὸν Κύριον· 77
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
34 εὐλογεῖτε, θάλασσαι καὶ ποταμοί, τὸν Κύριον· 78
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
35 εὐλογεῖτε, κήτη καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι, τὸν Κύριον· 79
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
36 εὐλογεῖτε, πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὸν Κύριον· 80
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
37 εὐλογεῖτε, τετράποδα καὶ θηρία τῆς γῆς, τὸν Κύριον· 81
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
38 εὐλογεῖτε, οἱ υἱοὶ τῶν ἀνθρώπων, τὸν Κύριον· 82
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
39 εὐλογεῖτε, Ἰσραήλ, τὸν Κύριον· 83
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
40 εὐλογεῖτε, ἱερεῖς, τὸν Κύριον· 84
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
41 εὐλογεῖτε, δοῦλοι <Κυρίου>, τὸν Κύριον· 85
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
42 εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ δικαίων, τὸν Κύριον· 86
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
43 εὐλογεῖτε, ὅσιοι καὶ ταπεινοὶ <τῇ> καρδίᾳ, τὸν Κύριον· 87
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
44 εὐλογεῖτε, Ἀνανία, Ἀζαρία, Μισαήλ, τὸν Κύριον· 88
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας,
45 ὅτι ἐξείλετο ἡμᾶς ἐξ ᾅδου καὶ ἔσωσεν ἡμᾶς ἐκ χειρὸς θανάτου
καὶ ἐρρύσατο ἡμᾶς ἐκ μέσου καιομένης φλογὸς
καὶ ἐκ τοῦ πυρὸς ἐλυτρώσατο ἡμᾶς.
46 ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός, 89
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
47 εὐλογεῖτε, πάντες οἱ σεβόμενοι τὸν θεὸν τῶν θεῶν· 90
ὑμνεῖτε καὶ ἐξομολογεῖσθε <τῷ Κυρίῳ>,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ
καὶ εἰς τὸν αἰῶνα τῶν αἰώνων.

26 Καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαι τὸν βασιλέα ὑμνούντων αὐ- 91
τῶν, καὶ ἑστὼς ἐθεώρει αὐτοὺς ζῶντας, τότε Ναβουχοδονό-
σορ ὁ βασιλεὺς ἐθαύμασε καὶ ἀνέστη σπεύσας καὶ εἶπε τοῖς φί-
27 λοις αὐτοῦ· Ἰδοὺ ἐγὼ ὁρῶ ἄνδρας τέσσαρας λελυμένους περι- 92
28 πατοῦντας ἐν τῷ πυρί, καὶ φθορὰ οὐδεμία ἐγενήθη ἐν αὐτοῖς,
29 καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοίωμα ἀγγέλου θεοῦ. καὶ προ- 93
σελθὼν ὁ βασιλεὺς πρὸς τὴν θύραν τῆς καμίνου <τῆς> καιο-
μένης τῷ πυρὶ ἐκάλεσεν αὐτοὺς ἐξ ὀνόματος Σεδράχ, Μισάχ,
Ἀβδεναγώ, οἱ παῖδες τοῦ θεοῦ τῶν θεῶν τοῦ ὑψίστου, ἐξέλθε-

30 τε ἐκ τοῦ πυρός. οὕτως οὖν ἐξῆλθον οἱ ἄνδρες ἐκ μέσου τοῦ 94
πυρός. καὶ συνήχθησαν οἱ ὕπατοι, τοπάρχαι καὶ ἀρχιπατριῶ-
ται καὶ οἱ φίλοι τοῦ βασιλέως καὶ ἐθεώρουν τοὺς ἀνθρώπους
ἐκείνους, ὅτι οὐχ ἥψατο τὸ πῦρ τοῦ σώματος αὐτῶν, καὶ αἱ
τρίχες αὐτῶν οὐ κατεκάησαν καὶ τὰ σαράβαρα αὐτῶν οὐκ ἠλ-
31 λοιώθησαν, οὐδὲ ὀσμὴ τοῦ πυρὸς ἦν ἐν αὐτοῖς. ὑπολαβὼν δὲ 95
Ναβουχοδονόσορ ὁ βασιλεὺς εἶπεν· Εὐλογητὸς Κύριος ὁ θεὸς
τοῦ Σεδράχ, Μισάχ, Ἀβδεναγώ, ὃς ἀπέστειλε τὸν ἄγγελον αὐ-
τοῦ καὶ ἔσωσε τοὺς παῖδας αὐτοῦ τοὺς ἐλπίσαντας ἐπ' αὐτόν·
32 τὴν γὰρ προσταγὴν τοῦ βασιλέως ἠθέτησαν καὶ παρέδωκαν τὰ
σώματα αὐτῶν εἰς ἐμπυρισμόν, ἵνα μὴ λατρεύσωσι μηδὲ προ-
33 σκυνήσωσι θεῷ ἑτέρῳ ἀλλ' ἢ τῷ θεῷ αὐτῶν· καὶ νῦν ἐγὼ κρί- 96
νω ἵνα πᾶν ἔθνος καὶ πᾶσαι φυλαὶ καὶ πᾶσαι γλῶσσαι, ὃς ἂν
βλασφημήσῃ εἰς τὸν Κύριον τὸν θεὸν Σεδράχ, Μισάχ, Ἀβδεναγώ, διαμελισθήσεται καὶ ἡ οἰκία αὐτοῦ δημευθήσεται, διότι
34 οὐκ ἔστι θεὸς ἕτερος ὃς δυνήσεται ἐξελέσθαι οὕτως. οὕτως 97
οὖν ὁ βασιλεὺς τῷ Σεδράχ, Μισάχ, Ἀβδεναγὼ ἐξουσίαν δοὺς
ἐφ' ὅλης τῆς χώρας κατέστησεν αὐτοὺς ἄρχοντας.

4 1 Ἔτους ὀκτωκαιδεκάτου τῆς βασιλείας Ναβουχοδονόσορ 4 **4**
εἶπεν· Εἰρηνεύων ἤμην ἐν τῷ οἴκῳ μου καὶ εὐθηνῶν ἐπὶ τοῦ
2 θρόνου μου. ἐνύπνιον εἶδον καὶ εὐλαβήθην, καὶ φόβος μοι ἐπέ- 5
3 πεσεν. ἐκάθευδον καὶ ἰδοὺ δένδρον ὑψηλὸν φυόμενον ἐπὶ τῆς 10
4 γῆς· ἡ ὅρασις αὐτοῦ μεγάλη, καὶ οὐκ ἦν ἄλλο ὅμοιον αὐτῷ. οἱ 12
κλάδοι αὐτοῦ τῷ μήκει ὡς σταδίων τριάκοντα, καὶ ὑποκάτω
αὐτοῦ ἐσκίαζον πάντα τὰ θηρία τῆς γῆς, καὶ ἐν αὐτῷ τὰ πετεινὰ τοῦ οὐρανοῦ ἐνόσσευον· ὁ καρπὸς αὐτοῦ πολὺς καὶ ἀγα-
5 θὸς καὶ ἐχορήγει πᾶσι τοῖς ζῴοις. καὶ ἡ ὅρασις αὐτοῦ μεγάλη· 11
ἡ κορυφὴ αὐτοῦ ἤγγιζεν ἕως τοῦ οὐρανοῦ καὶ τὸ κύτος αὐτοῦ
ἕως τῶν νεφελῶν πληροῦν τὰ ὑποκάτω τοῦ οὐρανοῦ, ὁ ἥλιος
6 καὶ ἡ σελήνη ἐν αὐτῷ ᾤκουν καὶ ἐφώτιζον πᾶσαν τὴν γῆν. ἐθε- 13
ώρουν ἐν τῷ ὕπνῳ μου, καὶ ἰδοὺ ἄγγελος ἀπεστάλη ἐν ἰσχύι
7 ἐκ τοῦ οὐρανοῦ καὶ ἐφώνησε καὶ εἶπεν αὐτῷ· Ἐκκόψατε αὐτὸ 14
καὶ καταφθείρατε αὐτό· προστέτακται γὰρ ἀπὸ τοῦ ὑψίστου ἐ-
8 κριζῶσαι καὶ ἀχρειῶσαι αὐτό. καὶ οὕτως εἶπε· Ῥίζαν μίαν ἄφε- 15
τε αὐτοῦ ἐν τῇ γῇ, ὅπως μετὰ τῶν θηρίων τῆς γῆς ἐν τοῖς ὄρεσι χόρτον ὡς βοῦς νέμηται· καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ 16
9 τὸ σῶμα αὐτοῦ ἀλλοιωθῇ, καὶ ἑπτὰ ἔτη βοσκηθῇ σὺν αὐτοῖς, ἕ- 17
ως ἂν γνῷ τὸν Κύριον τοῦ οὐρανοῦ ἐξουσίαν ἔχειν πάντων
τῶν ἐν τῷ οὐρανῷ καὶ τῶν ἐπὶ τῆς γῆς, καὶ ὅσα ἂν θέλῃ, ποιεῖ
10 ἐν αὐτοῖς. ἐνώπιόν μου ἐξεκόπη ἐν ἡμέρᾳ μιᾷ, καὶ ἡ καταφθο- 17a
ρὰ αὐτοῦ ἐν ὥρᾳ μιᾷ τῆς ἡμέρας, καὶ οἱ κλάδοι αὐτοῦ ἐδόθη-
11 σαν εἰς πάντα ἄνεμον, καὶ εἱλκύσθη καὶ ἐρρίφη· καὶ τὸν χόρ-
τον τῆς γῆς μετὰ τῶν θηρίων τῆς γῆς ἤσθιε καὶ εἰς φυλακὴν παρεδόθη καὶ ἐν πέδαις καὶ ἐν χειροπέδαις χαλκαῖς ἐδέθη ὑπ'
12 αὐτῶν. σφόδρα ἐθαύμασα ἐπὶ πᾶσι τούτοις, καὶ ὁ ὕπνος μου ἀ-

13 πέστη ἀπὸ τῶν ὀφθαλμῶν μου. καὶ ἀναστὰς τὸ πρωὶ ἐκ τῆς 18
κοίτης μου ἐκάλεσα τὸν Δανιὴλ τὸν ἄρχοντα τῶν σοφιστῶν
καὶ τὸν ἡγούμενον τῶν κρινόντων τὰ ἐνύπνια καὶ διηγησάμην
αὐτῷ τὸ ἐνύπνιον, καὶ ὑπέδειξέ μοι πᾶσαν τὴν σύγκρισιν αὐ-
14 τοῦ. μεγάλως δὲ ἐθαύμασεν ὁ Δανιήλ, καὶ ὑπόνοια κατέσπευ- 19
δεν αὐτόν, καὶ φοβηθεὶς τρόμου λαβόντος αὐτὸν καὶ ἀλλοιω-
θείσης τῆς ὁράσεως αὐτοῦ κινήσας τὴν κεφαλὴν ὥραν μίαν ἀ-
15 ποθαυμάσας, ἀπεκρίθη μοι φωνῇ πραείᾳ· Βασιλεῦ, τὸ ἐνύπνιον
τοῦτο τοῖς μισοῦσί σε καὶ ἡ σύγκρισις αὐτοῦ τοῖς ἐχθροῖς σου
16 ἐπέλθοι. τὸ δένδρον τὸ ἐν τῇ γῇ πεφυτευμένον, οὗ ἡ ὅρασις 20
17 μεγάλη, σὺ εἶ, βασιλεῦ. καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ τὰ 21
νοσσεύοντα ἐν αὐτῷ· ἡ ἰσχὺς τῆς γῆς καὶ τῶν ἐθνῶν καὶ τῶν
γλωσσῶν πασῶν ἕως τῶν περάτων τῆς γῆς καὶ πᾶσαι αἱ χῶ-
18 ραι σοὶ δουλεύουσι. τὸ δὲ ἀνυψωθῆναι τὸ δένδρον ἐκεῖνο καὶ 22
ἐγγίσαι τῷ οὐρανῷ καὶ τὸ κύτος αὐτοῦ ἅψασθαι τῶν νεφελῶν,
σύ, βασιλεῦ, ὑψώθης ὑπὲρ πάντας τοὺς ἀνθρώπους τοὺς ὄν-
τας ἐπὶ προσώπου πάσης τῆς γῆς, ὑψώθη σου ἡ καρδία ὑπε-
ρηφανίᾳ καὶ ἰσχύι τὰ πρὸς τὸν ἅγιον καὶ τοὺς ἀγγέλους αὐ-
19 τοῦ. τὰ ἔργα σου ὤφθη, καθότι ἐξερήμωσας τὸν οἶκον τοῦ θε-
οῦ τοῦ ζῶντος ἐπὶ ταῖς ἁμαρτίαις τοῦ λαοῦ τοῦ ἡγιασμένου.
20 καὶ ἡ ὅρασις, ἣν εἶδες, ὅτι ἄγγελος ἐν ἰσχύι ἀπεστάλη παρὰ 23
τοῦ Κυρίου καὶ ὅτι εἶπεν ἐξᾶραι τὸ δένδρον καὶ ἐκκόψαι· ἡ κρί-
σις τοῦ θεοῦ τοῦ μεγάλου ἥξει ἐπὶ σέ, καὶ ὁ ὕψιστος καὶ οἱ ἄγ- 24
21 γελοι αὐτοῦ ἐπὶ σὲ κατατρέχουσιν. εἰς φυλακὴν ἀπάξουσί σε 25
22 καὶ εἰς τόπον ἔρημον ἀποστελοῦσί σε. καὶ ἡ ῥίζα τοῦ δένδρου 26
ἡ ἀφεθεῖσα, ἐπεὶ οὐκ ἐξερριζώθη· ὁ τόπος τοῦ θρόνου σού σοι
23 συντηρηθήσεται εἰς καιρὸν καὶ ὥραν. ἰδοὺ ἐπὶ σὲ ἑτοιμάζονται
24 καὶ μαστιγώσουσί σε καὶ ἐπάξουσι τὰ κεκριμένα ἐπὶ σέ. κύ- 27
ριος ζῇ ἐν οὐρανῷ, καὶ ἡ ἐξουσία αὐτοῦ ἐπὶ πάσῃ τῇ γῇ· αὐ-
τοῦ δεήθητι περὶ τῶν ἁμαρτιῶν σου καὶ πάσας τὰς ἀδικίας
σου ἐν ἐλεημοσύναις λύτρωσαι, ἵνα ἐπιείκεια δοθῇ σοι καὶ πο-
λυήμερος γένῃ ἐπὶ τοῦ θρόνου τῆς βασιλείας σου, καὶ μὴ κατα-
25 φθείρῃ σε. τούτους τοὺς λόγους ἀγάπησον· ἀκριβὴς γάρ μου
26 ὁ λόγος, καὶ πλήρης ὁ χρόνος σου. καὶ ἐπὶ συντελείᾳ τῶν λό- 28
γων Ναβουχοδονόσορ, ὡς ἤκουσε τὴν κρίσιν τοῦ ὁράματος,
27 τοὺς λόγους ἐν τῇ καρδίᾳ συνετήρησε. καὶ μετὰ μῆνας δώδε- 29
κα ὁ βασιλεὺς ἐπὶ τῶν τειχῶν τῆς πόλεως μετὰ πάσης τῆς δό-
ξης αὐτοῦ περιεπάτει καὶ ἐπὶ τῶν πύργων αὐτῆς διεπορεύετο
28 καὶ ἀποκριθεὶς εἶπεν· Αὕτη ἐστὶ Βαβυλὼν ἡ μεγάλη, ἣν ἐγὼ 30
ᾠκοδόμησα, καὶ οἶκος βασιλείας μου ἐν ἰσχύι κράτους μου
29 κληθήσεται εἰς τιμὴν τῆς δόξης μου. καὶ ἐπὶ συντελείας τοῦ 31
λόγου αὐτοῦ φωνὴν ἐκ τοῦ οὐρανοῦ ἤκουσε· Σοὶ λέγεται, Να-
βουχοδονόσορ βασιλεῦ, ἡ βασιλεία Βαβυλῶνος ἀφῄρηταί σου
καὶ ἑτέρῳ δίδοται, ἐξουθενημένῳ ἀνθρώπῳ ἐν τῷ οἴκῳ σου.
30 ἰδοὺ <ἑπτὰ> ἔτη καθίστημι αὐτὸν ἐπὶ τῆς βασιλείας σου, καὶ

τὴν ἐξουσίαν σου καὶ τὴν δόξαν σου καὶ τὴν τρυφήν σου πα-
31 ραλήψεται, ὅπως ἐπιγνῷς ὅτι ἐξουσίαν ἔχει ὁ θεὸς τοῦ οὐρα-
32 νοῦ ἐν τῇ βασιλείᾳ τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν βούληται δώσει
αὐτήν. ἕως δὲ ἡλίου ἀνατολῆς βασιλεὺς ἕτερος εὐφρανθήσεται
ἐν τῷ οἴκῳ σου καὶ κρατήσει τῆς δόξης σου καὶ τῆς ἰσχύος
33 σου καὶ τῆς ἐξουσίας σου. καὶ οἱ ἄγγελοι διώξονταί σε ἐπὶ ἔτη 32
ἑπτά, καὶ οὐ μὴ ὀφθῇς οὐδ' οὐ μὴ λαλήσῃς μετὰ παντὸς ἀν-
θρώπου· χόρτον ὡς βοῦν σε ψωμίσουσι, καὶ ἀπὸ τῆς χλόης
34 τῆς γῆς ἔσται ἡ νομή σου· ἰδοὺ ἀντὶ τῆς δόξης σου δήσουσί
σε, καὶ τὸν οἶκον τῆς τρυφῆς σου καὶ τὴν βασιλείαν σου ἕτε-
ρος ἕξει. ἕως δὲ πρωὶ πάντα τελεσθήσεται ἐπὶ σέ, Ναβουχοδο- 33
νόσορ βασιλεῦ Βαβυλῶνος, καὶ οὐχ ὑστερήσει ἀπὸ πάντων
τούτων οὐθέν.

35 Ἐγὼ Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος ἑπτὰ ἔτη ἐ- 33a
πεδήθην· χόρτον ὡς βοῦν ἐψώμισάν με, καὶ ἀπὸ τῆς χλόης τῆς
36 γῆς ἤσθιον. καὶ μετὰ ἔτη ἑπτὰ ἔδωκα τὴν ψυχήν μου εἰς δέη-
σιν καὶ ἠξίωσα περὶ τῶν ἁμαρτιῶν μου κατὰ πρόσωπον Κυ-
ρίου τοῦ θεοῦ τοῦ οὐρανοῦ καὶ περὶ τῶν ἀγνοιῶν μου τοῦ θε-
37 οῦ τῶν θεῶν τοῦ μεγάλου ἐδεήθην. καὶ αἱ τρίχες μου ἐγένοντο 33b
ὡς πτέρυγες ἀετοῦ, οἱ ὄνυχές μου ὡσεὶ λέοντος· ἠλλοιώθη ἡ
σάρξ μου καὶ ἡ καρδία μου, γυμνὸς περιεπάτουν μετὰ τῶν θη-
38 ρίων τῆς γῆς. ἐνύπνιον εἶδον, καὶ ὑπόνοιαί με εἰλήφασι, καὶ
διὰ χρόνου ὕπνος με ἔλαβε πολὺς καὶ νυσταγμὸς ἐπέπεσέ μοι. 34
39 καὶ ἐπὶ συντελείᾳ τῶν ἑπτὰ ἐτῶν ὁ χρόνος μου τῆς ἀπολυτρώ-
σεως ἦλθε, καὶ αἱ ἁμαρτίαι μου καὶ αἱ ἄγνοιαί μου ἐπληρώθη-
40 σαν ἐναντίον τοῦ θεοῦ τοῦ οὐρανοῦ. καὶ ἐδεήθην περὶ τῶν ἀ- 35
γνοιῶν μου τοῦ θεοῦ τῶν θεῶν τοῦ μεγάλου, καὶ ἰδοὺ ἄγγελος
41 εἷς ἐκάλεσέ με ἐκ τοῦ οὐρανοῦ λέγων· Ναβουχοδονόσορ, δού-
λευσον τῷ θεῷ τοῦ οὐρανοῦ τῷ ἁγίῳ καὶ δὸς δόξαν τῷ ὑψί-
42 στῳ· τὸ βασίλειον τοῦ ἔθνους σού σοι ἀποδίδοται. ἐν ἐκείνῳ 36
τῷ καιρῷ ἀποκατεστάθη ἡ βασιλεία μου ἐμοί, καὶ ἡ δόξα μου
43 ἀπεδόθη μοι. τῷ ὑψίστῳ ἀνθομολογοῦμαι καὶ αἰνῶ τῷ κτίσα- 37
ντι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰς θαλάσσας καὶ τοὺς ποτα-
μοὺς καὶ πάντα τὰ ἐν αὐτοῖς· ἐξομολογοῦμαι καὶ αἰνῶ, ὅτι αὐ-
τός ἐστι θεὸς τῶν θεῶν καὶ κύριος τῶν κυρίων καὶ βασιλεὺς
44 τῶν βασιλέων, ὅτι αὐτὸς ποιεῖ σημεῖα καὶ τέρατα καὶ ἀλλοιοῖ
καιροὺς καὶ χρόνους ἀφαιρῶν βασιλείαν βασιλέων καὶ καθι-
45 στῶν ἑτέρους ἀντ' αὐτῶν. ἀπὸ τοῦ νῦν αὐτῷ λατρεύσω, καὶ ἀ- 37a
πὸ τοῦ φόβου αὐτοῦ τρόμος εἴληφέ με, καὶ πάντας τοὺς ἁ-
46 γίους αὐτοῦ αἰνῶ. οἱ γὰρ θεοὶ τῶν ἐθνῶν οὐκ ἔχουσιν ἐν ἑαυ-
τοῖς ἰσχὺν ἀποστρέψαι βασιλείαν βασιλέως εἰς ἕτερον βασιλέα
καὶ ἀποκτεῖναι καὶ ζῆν ποιῆσαι καὶ ποιῆσαι σημεῖα καὶ θαυμά-
σια μεγάλα καὶ φοβερὰ καὶ ἀλλοιῶσαι ὑπερμεγέθη πράγματα·
47 καθὼς ἐποίησεν ἐν ἐμοὶ ὁ θεὸς τοῦ οὐρανοῦ καὶ ἠλλοίωσεν
48 ἐπ' ἐμοὶ μεγάλα πράγματα. ἐγὼ πάσας τὰς ἡμέρας τῆς βασι-

λείας μου περὶ τῆς ψυχῆς μου τῷ ὑψίστῳ θυσίας προσοίσω
εἰς ὀσμὴν εὐωδίας τῷ Κυρίῳ καὶ τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ
ποιήσω, ἐγὼ καὶ ὁ λαός μου, τὸ ἔθνος μου καὶ αἱ χῶραί μου αἱ
49 ἐν τῇ ἐξουσίᾳ μου. καὶ ὅσοι ἐλάλησαν εἰς τὸν θεὸν τοῦ οὐρα-
νοῦ, καὶ ὅσοι ἂν καταληφθῶσι λαλοῦντες τι, τούτους κατακρι-
50 νῶ θανάτῳ. ἔγραψε δὲ ὁ βασιλεὺς Ναβουχοδονόσορ ἐπιστο- 37b
λὴν ἐγκύκλιον πᾶσι τοῖς κατὰ τόπον ἔθνεσι καὶ χώραις καὶ
51 γλώσσαις πάσαις ταῖς οἰκούσαις ἐν πάσαις ταῖς χώραις. Ἐν
γενεαῖς καὶ γενεαῖς Κυρίῳ· «Τῷ θεῷ τοῦ οὐρανοῦ αἰνεῖτε καὶ
52 θυσίαν καὶ προσφορὰν προσφέρετε αὐτῷ ἐνδόξως. ἐγὼ βασι-
λεὺς βασιλέων ἀνθομολογοῦμαι αὐτῷ ἐνδόξως, ὅτι οὕτως ἐ-
ποίησε μετ' ἐμοῦ· ἐν αὐτῇ τῇ ἡμέρᾳ ἐκάθισέ με ἐπὶ τοῦ θρόνου
μου, καὶ τῆς ἐξουσίας μου καὶ τῆς βασιλείας μου ἐν τῷ λαῷ
53 μου ἐκράτησα, καὶ ἡ μεγαλωσύνη μου ἀποκατεστάθη μοι. Να- 37c
βουχοδονόσορ βασιλεὺς πᾶσι τοῖς ἔθνεσι καὶ πάσαις ταῖς χώ-
ραις καὶ πᾶσι τοῖς οἰκοῦσιν ἐν αὐταῖς· Εἰρήνη ὑμῖν πληθυνθείη
54 ἐν παντὶ καιρῷ. καὶ νῦν ὑποδείξω ὑμῖν τὰς πράξεις, ἃς ἐποίη-
55 σε μετ' ἐμοῦ ὁ θεὸς ὁ μέγας. ἔδοξε δέ μοι ἀποδεῖξαι ὑμῖν καὶ
τοῖς σοφισταῖς ὑμῶν ὅτι ἔστι θεός, καὶ τὰ θαυμάσια αὐτοῦ με-
γάλα, τὸ βασίλειον αὐτοῦ βασίλειον εἰς τὸν αἰῶνα, ἡ ἐξουσία
56 αὐτοῦ ἀπὸ γενεῶν εἰς γενεάς». καὶ ἀπέστειλεν ἐπιστολὰς περὶ
πάντων τῶν γενηθέντων αὐτῷ ἐν τῇ βασιλείᾳ αὐτοῦ πᾶσι τοῖς
ἔθνεσι τοῖς οὖσιν ὑπὸ τὴν βασιλείαν αὐτοῦ.

5 [Βαλτάσαρ ὁ βασιλεὺς ἐποίησε δοχὴν μεγάλην ἐν ἡμέρᾳ ἐγκαι- **5**
νισμοῦ τῶν βασιλείων αὐτοῦ καὶ ἀπὸ τῶν μεγιστάνων αὐτοῦ ἐ-
κάλεσεν ἄνδρας δισχιλίους. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Βαλτάσαρ ἀνυ-
ψούμενος ἀπὸ τοῦ οἴνου καὶ καυχώμενος ἐπῄνεσε πάντας τοὺς
θεοὺς τῶν ἐθνῶν τοὺς χωνευτοὺς καὶ γλυπτοὺς ἐν τῷ τόπῳ
αὐτοῦ, καὶ τῷ θεῷ τῷ ὑψίστῳ οὐκ ἔδωκεν αἴνεσιν. ἐν αὐτῇ τῇ
νυκτὶ ἐξῆλθον δάκτυλοι ὡσεὶ ἀνθρώπου καὶ ἐπέγραψαν ἐπὶ τοῦ
τοίχου οἴκου αὐτοῦ ἐπὶ τοῦ κονιάματος κατέναντι τοῦ λύχνου·
Μανὴ φαρὲς θεκέλ. ἔστι δὲ ἡ ἑρμηνεία αὐτῶν· μανὴ ἠρίθμηται,
φαρὲς ἐξῆρται, θεκὲλ ἕσταται].

1 Βαλτάσαρ ὁ βασιλεὺς ἐποίησεν ἑστιατορίαν μεγάλην τοῖς 1
2 ἑταίροις αὐτοῦ καὶ ἔπινεν οἶνον. καὶ ἀνυψώθη ἡ καρδία αὐτοῦ, 2
καὶ εἶπεν ἐνέγκαι τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ τοῦ οἴκου
3 τοῦ θεοῦ, ἃ ἤνεγκε Ναβουχοδονόσορ ὁ πατὴρ αὐτοῦ ἀπὸ Ἰε-
4 ρουσαλήμ, καὶ οἰνοχοῆσαι ἐν αὐτοῖς τοῖς ἑταίροις αὐτοῦ. καὶ 3
ἠνέχθη, καὶ ἔπινον ἐν αὐτοῖς καὶ ηὐλόγουν τὰ εἴδωλα τὰ χειρο- 4
5 ποίητα αὐτῶν, καὶ τὸν θεὸν τοῦ αἰῶνος οὐκ εὐλόγησαν τὸν ἔ-
6 χοντα τὴν ἐξουσίαν τοῦ πνεύματος αὐτῶν. ἐν αὐτῇ τῇ ὥρᾳ [ἐ- 5
κείνῃ] ἐξῆλθον δάκτυλοι ὡσεὶ χειρὸς ἀνθρώπου καὶ ἔγραψαν
ἐπὶ τοῦ τοίχου τοῦ οἴκου αὐτοῦ ἐπὶ τοῦ κονιάματος κατέναντι
7 τοῦ φωτὸς ἔναντι τοῦ βασιλέως Βαλτάσαρ, καὶ εἶδε χεῖρα γρά-
8 φουσαν. καὶ ἡ ὅρασις αὐτοῦ ἠλλοιώθη, καὶ φόβοι καὶ ὑπόνοιαι 6

9 αὐτὸν κατέσπευδον. ἔσπευσεν οὖν ὁ βασιλεὺς καὶ ἐξανέστη
καὶ ἑώρα τὴν γραφὴν ἐκείνην, καὶ οἱ συνεταῖροι κύκλῳ αὐτοῦ
10 ἐκαυχῶντο. καὶ ὁ βασιλεὺς ἐφώνησε φωνῇ μεγάλῃ καλέσαι 7
τοὺς ἐπαοιδοὺς καὶ φαρμακοὺς καὶ Χαλδαίους καὶ γαζαρη-
11 νοὺς ἀπαγγεῖλαι τὸ σύγκριμα τῆς γραφῆς. καὶ εἰσεπορεύοντο
ἐπὶ θεωρίαν ἰδεῖν τὴν γραφήν, καὶ τὸ σύγκριμα τῆς γραφῆς
12 οὐκ ἐδύναντο συγκρῖναι τῷ βασιλεῖ. τότε ὁ βασιλεὺς ἐξέθηκε
πρόσταγμα λέγων· Πᾶς ἀνήρ, ὃς ἂν ὑποδείξῃ τὸ σύγκριμα τῆς
γραφῆς, στολιεῖ αὐτὸν πορφύραν καὶ μανιάκην χρυσοῦν περι-
θήσει αὐτῷ, καὶ δοθήσεται αὐτῷ ἐξουσία τοῦ τρίτου μέρους
13 τῆς βασιλείας. καὶ εἰσεπορεύοντο οἱ ἐπαοιδοὶ καὶ φαρμακοὶ 8
καὶ γαζαρηνοί, καὶ οὐκ ἠδύνατο οὐδεὶς τὸ σύγκριμα τῆς γρα-
14 φῆς ἀπαγγεῖλαι. τότε ὁ βασιλεὺς ἐκάλεσε τὴν βασίλισσαν περὶ 9
τοῦ σημείου καὶ ὑπέδειξεν αὐτῇ, ὡς μέγα ἐστί, καὶ ὅτι πᾶς ἄν-
θρωπος οὐ δύναται ἀπαγγεῖλαι τῷ βασιλεῖ τὸ σύγκριμα τῆς
15 γραφῆς. τότε ἡ βασίλισσα ἐμνήσθη πρὸς αὐτὸν περὶ τοῦ Δανι- 10
ήλ, ὃς ἦν ἐκ τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας, καὶ εἶπε τῷ βασι- 11
16 λεῖ· Ὁ ἄνθρωπος ἐπιστήμων ἦν καὶ σοφὸς καὶ ὑπερέχων πά-
ντας τοὺς σοφοὺς Βαβυλῶνος, καὶ πνεῦμα ἅγιον ἐν αὐτῷ ἐστι, 12
καὶ ἐν ταῖς ἡμέραις τοῦ πατρός σου τοῦ βασιλέως συγκρίματα
17 ὑπέρογκα ὑπέδειξε Ναβουχοδονόσορ τῷ πατρί σου. τότε Δα- 13
νιὴλ εἰσήχθη πρὸς τὸν βασιλέα, καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶ-
18 πεν αὐτῷ· Ὦ Δανιήλ, δύνῃ μοι ὑποδεῖξαι τὸ σύγκριμα τῆς 16
γραφῆς; καὶ στολιῶ σε πορφύραν καὶ μανιάκην χρυσοῦν περι-
θήσω σοι, καὶ ἕξεις ἐξουσίαν τοῦ τρίτου μέρους τῆς βασιλείας
19 μου. τότε Δανιὴλ ἔστη κατέναντι τῆς γραφῆς καὶ ἀνέγνω καὶ 17
οὕτως ἀπεκρίθη τῷ βασιλεῖ· Αὕτη ἡ γραφή· Ἠρίθμηται, κατε-
λογίσθη, ἐξῆρται· καὶ ἔστη ἡ γράψασα χείρ. καὶ αὕτη ἡ σύγκρι-
20 σις αὐτῶν. βασιλεῦ, σὺ ἐποιήσω ἑστιατορίαν τοῖς φίλοις σου 23
καὶ ἔπινες οἶνον, καὶ τὰ σκεύη τοῦ οἴκου τοῦ θεοῦ τοῦ ζῶντος
ἠνέχθη σοι, καὶ ἐπίνετε ἐν αὐτοῖς σὺ καὶ οἱ μεγιστᾶνές σου καὶ
21 ᾔνεσατε πάντα τὰ εἴδωλα τὰ χειροποίητα τῶν ἀνθρώπων· καὶ 24
τῷ θεῷ τῷ ζῶντι οὐκ εὐλογήσατε, καὶ τὸ πνεῦμά σου ἐν τῇ
χειρὶ αὐτοῦ, καὶ τὸ βασίλειόν σου αὐτὸς ἔδωκέ σοι, καὶ οὐκ
22 εὐλόγησας αὐτὸν οὐδὲ ᾔνεσας αὐτῷ. τοῦτο τὸ σύγκριμα τῆς 26
γραφῆς· ἠρίθμηται ὁ χρόνος σου τῆς βασιλείας, ἀπολήγει ἡ 27 - 28
βασιλεία σου, συντέτμηται καὶ συντετέλεσται ἡ βασιλεία σου·
23 τοῖς Μήδοις καὶ τοῖς Πέρσαις δίδοται. τότε Βαλτάσαρ ὁ βασι- 29
λεὺς ἐνέδυσε τὸν Δανιὴλ πορφύραν καὶ μανιάκην χρυσοῦν πε-
ριέθηκεν αὐτῷ καὶ ἔδωκεν ἐξουσίαν αὐτῷ τοῦ τρίτου μέρους
24 τῆς βασιλείας αὐτοῦ. καὶ τὸ σύγκριμα ἐπῆλθε Βαλτάσαρ τῷ 30
βασιλεῖ, καὶ τὸ βασίλειον ἐξῆρται ἀπὸ τῶν Χαλδαίων καὶ ἐδό-
25 θη τοῖς Μήδοις καὶ τοῖς Πέρσαις. καὶ [Ἀρταξέρξης] <Δα-
ρεῖος> ὁ τῶν Μήδων παρέλαβε τὴν βασιλείαν.

6 1 Καὶ Δαρεῖος πλήρης τῶν ἡμερῶν καὶ ἔνδοξος ἐν γήρει· 1 **6**

καὶ κατέστησε σατράπας ἑκατὸν εἴκοσιν ἑπτὰ ἐπὶ πάσης τῆς 2
2 βασιλείας αὐτοῦ· καὶ ἐπ' αὐτῶν ἄνδρας τρεῖς ἡγουμένους αὐ- 3
τῶν, καὶ Δανιὴλ εἷς ἦν τῶν τριῶν ἀνδρῶν ὑπὲρ πάντας ἔχων 4
3 ἐξουσίαν ἐν τῇ βασιλείᾳ. καὶ Δανιὴλ ἦν ἐνδεδυμένος πορφύ-
ραν καὶ μέγας καὶ ἔνδοξος ἔναντι Δαρείου τοῦ βασιλέως, κα-
θότι ἦν ἔνδοξος καὶ ἐπιστήμων καὶ συνετός, καὶ πνεῦμα ἅγιον
ἐν αὐτῷ, καὶ εὐοδούμενος ἐν ταῖς πραγματείαις τοῦ βασιλέως,
4 αἷς ἔπρασσε. τότε ὁ βασιλεὺς ἐβουλεύσατο καταστῆσαι τὸν
Δανιὴλ ἐπὶ πάσης τῆς βασιλείας αὐτοῦ καὶ τοὺς δύο ἄνδρας,
οὓς κατέστησε μετ' αὐτοῦ, καὶ σατράπας ἑκατὸν εἴκοσι ἑπτά.
5 ὅτε δὲ ἐβουλεύσατο ὁ βασιλεὺς καταστῆσαι τὸν Δανιὴλ ἐπὶ πά- 5
σης τῆς βασιλείας αὐτοῦ, τότε βουλὴν καὶ γνώμην ἐβουλεύσα-
6 ντο ἐν ἑαυτοῖς οἱ δύο νεανίσκοι πρὸς ἀλλήλους λέγοντες, ἐπεὶ
οὐδεμίαν ἁμαρτίαν οὐδὲ ἄγνοιαν ηὕρισκον κατὰ τοῦ Δανιὴλ
περὶ ἧς κατηγορήσουσιν αὐτοῦ πρὸς τὸν βασιλέα, καὶ εἶπαν· 6
7 Δεῦτε στήσωμεν ὁρισμὸν καθ' ἑαυτῶν ὅτι πᾶς ἄνθρωπος οὐκ
ἀξιώσει ἀξίωμα καὶ οὐ μὴ εὔξηται εὐχὴν ἀπὸ παντὸς θεοῦ ἕως
8 ἡμερῶν τριάκοντα, ἀλλ' ἢ παρὰ Δαρείου τοῦ βασιλέως· εἰ δὲ
μή, ἀποθανεῖται· ἵνα ἡττήσωσι τὸν Δανιὴλ ἐναντίον τοῦ βασι-
9 λέως, καὶ ῥιφῇ εἰς τὸν λάκκον τῶν λεόντων. ᾔδεισαν γὰρ ὅτι
Δανιὴλ προσεύχεται καὶ δεῖται Κυρίου τοῦ θεοῦ αὐτοῦ τρὶς
10 τῆς ἡμέρας. τότε προσῆλθον οἱ ἄνθρωποι ἐκεῖνοι καὶ εἶπαν ἐ- 7
ναντίον τοῦ βασιλέως· Ὁρισμὸν καὶ στάσιν ἐστήσαμεν ὅτι πᾶς 8
11 ἄνθρωπος. ὃς ἂν εὔξηται εὐχὴν ἢ ἀξιώσῃ ἀξίωμά τι παρὰ πα-
ντὸς θεοῦ ἕως ἡμερῶν τριάκοντα ἀλλ' ἢ παρὰ Δαρείου τοῦ βα-
12 σιλέως, ῥιφήσεται εἰς τὸν λάκκον τῶν λεόντων. καὶ ἠξίωσαν 9
τὸν βασιλέα ἵνα στήσῃ τὸν ὁρισμὸν καὶ μὴ ἀλλοιώσῃ αὐτόν,
διότι ᾔδεισαν ὅτι Δανιὴλ προσεύχεται καὶ δεῖται τρὶς τῆς ἡμέ-
ρας, ἵνα ἡττηθῇ διὰ τοῦ βασιλέως καὶ ῥιφῇ εἰς τὸν λάκκον τῶν
13 λεόντων. καὶ οὕτως ὁ βασιλεὺς Δαρεῖος ἔστησε καὶ ἐκύρω- 10
14 σεν. ἐπιγνοὺς δὲ Δανιὴλ τὸν ὁρισμόν, ὃν ἔστησε κατ' αὐτοῦ, 11
θυρίδας ἤνοιξεν ἐν τῷ ὑπερῴῳ αὐτοῦ κατέναντι Ἰερουσαλὴμ
καὶ ἔπιπτεν ἐπὶ πρόσωπον αὐτοῦ τρὶς τῆς ἡμέρας, καθὼς ἐ-
15 ποίει ἔμπροσθεν, καὶ ἐδεῖτο. καὶ αὐτοὶ ἐτήρησαν τὸν Δανιὴλ 12
καὶ κατέλαβον αὐτὸν εὐχόμενον τρὶς τῆς ἡμέρας καθ' ἑκάστην
16 ἡμέραν. τότε οὗτοι οἱ ἄνθρωποι ἐνέτυχον τῷ βασιλεῖ καὶ εἶ- 13
παν· Δαρεῖε βασιλεῦ, οὐχ ὁρισμὸν ὡρίσω ἵνα πᾶς ἄνθρωπος
μὴ εὔξηται εὐχὴν μηδὲ ἀξιώσῃ ἀξίωμα παρὰ παντὸς θεοῦ ἕως
ἡμερῶν τριάκοντα ἀλλὰ παρὰ σοῦ, βασιλεῦ, εἰ δὲ μή, ῥιφήσε-
17 ται εἰς τὸν λάκκον τῶν λεόντων; ἀποκριθεὶς δὲ ὁ βασιλεὺς εἶ-
18 πεν αὐτοῖς· Ἀκριβὴς ὁ λόγος, καὶ μενεῖ ὁ ὁρισμός. καὶ εἶπον 13a
αὐτῷ· Ὁρκίζομέν σε τοῖς Μήδων καὶ Περσῶν δόγμασιν, ἵνα
μὴ ἀλλοιώσῃς τὸ πρόσταγμα μηδὲ θαυμάσῃς πρόσωπον καὶ ἵ-
να μὴ ἐλαττώσῃς τι τῶν εἰρημένων καὶ κολάσῃς τὸν ἄνθρω-
19 πον, ὃς οὐκ ἐνέμεινε τῷ ὁρισμῷ τούτῳ. καὶ εἶπεν· Οὕτω ποιή-

20 σω καθὼς λέγετε, καὶ ἔστηκέ μοι τοῦτο. καὶ εἶπαν· Ἰδοὺ εὕρο- 14
μεν Δανιὴλ τὸν φίλον σου εὐχόμενον καὶ δεόμενον τοῦ προ-
21 σώπου τοῦ θεοῦ αὐτοῦ τρὶς τῆς ἡμέρας. καὶ λυπούμενος ὁ βα- 15
σιλεὺς εἶπε ῥιφῆναι τὸν Δανιὴλ εἰς τὸν λάκκον τῶν λεόντων
22 κατὰ τὸν ὁρισμόν, ὃν ἔστησε κατ' αὐτοῦ. τότε ὁ βασιλεὺς σφό-
δρα ἐλυπήθη ἐπὶ τῷ Δανιὴλ καὶ ἐβοήθει τοῦ ἐξελέσθαι αὐτὸν ἕ-
ως δυσμῶν ἡλίου ἀπὸ τῶν χειρῶν τῶν σατραπῶν καὶ οὐκ ἠ- 16
23 δύνατο ἐξελέσθαι αὐτὸν ἀπ' αὐτῶν. ἀναβοήσας δὲ Δαρεῖος ὁ 17
βασιλεὺς εἶπε τῷ Δανιήλ· Ὁ θεός σου, ᾧ σὺ λατρεύεις ἐνδελε-
χῶς τρὶς τῆς ἡμέρας, αὐτὸς ἐξελεῖταί σε ἐκ χειρὸς τῶν λεό-
24 ντων· ἕως πρωῒ θάρρει. τότε Δανιὴλ ἐρρίφη εἰς τὸν λάκκον 18
τῶν λεόντων, καὶ ἠνέχθη λίθος καὶ ἐτέθη εἰς τὸ στόμα τοῦ λάκ-
κου, καὶ ἐσφραγίσατο ὁ βασιλεὺς ἐν τῷ δακτυλίῳ ἑαυτοῦ καὶ
ἐν τοῖς δακτυλίοις τῶν μεγιστάνων αὐτοῦ, ὅπως μὴ ἀπ' αὐτῶν
ἀρθῇ ὁ Δανιὴλ ἢ ὁ βασιλεὺς αὐτὸν ἀνασπάσῃ ἐκ τοῦ λάκκου.
25 τότε ἐπέστρεψεν ὁ βασιλεὺς εἰς τὰ βασίλεια αὐτοῦ καὶ ηὐλίσθη 19
26 νῆστις καὶ ἦν λυπούμενος περὶ τοῦ Δανιήλ. τότε ὁ θεὸς τοῦ
Δανιήλ, πρόνοιαν ποιούμενος αὐτοῦ, ἀπέκλεισε τὰ στόματα
27 τῶν λεόντων, καὶ οὐ παρηνώχλησαν τῷ Δανιήλ. καὶ ὁ βασι- 20
λεὺς Δαρεῖος ὤρθρισε πρωῒ καὶ παρέλαβε μεθ' ἑαυτοῦ τοὺς
σατράπας καὶ πορευθεὶς ἔστη ἐπὶ τοῦ στόματος τοῦ λάκκου
28 τῶν λεόντων. τότε ὁ βασιλεὺς ἐκάλεσε τὸν Δανιὴλ φωνῇ μεγά- 21
λῃ μετὰ κλαυθμοῦ λέγων· Ὦ Δανιήλ, εἰ ἆρα ζῇς, καὶ ὁ θεός
σου, ᾧ λατρεύεις ἐνδελεχῶς, σέσωκέ σε ἀπὸ τῶν λεόντων,
29 καὶ οὐκ ἠχρείωκάν σε; τότε Δανιὴλ ἐπήκουσε καὶ φωνῇ μεγά- 22
λῃ εἶπε· Βασιλεῦ, ἔτι εἰμὶ ζῶν, καὶ σέσωκέ με ὁ θεὸς ἀπὸ τῶν 23
λεόντων, καθότι δικαιοσύνη ἐν ἐμοὶ εὑρέθη ἐναντίον αὐτοῦ.
30 καὶ ἐναντίον δὲ σοῦ, βασιλεῦ, οὔτε ἄγνοια οὔτε ἁμαρτία εὑρέ-
θη ἐν ἐμοί· σὺ δὲ ἤκουσας ἀνθρώπων πλανώντων βασιλεῖς καὶ
31 ἔρριψάς με εἰς τὸν λάκκον τῶν λεόντων εἰς ἀπώλειαν. τότε συ- 24
νήχθησαν πᾶσαι αἱ δυνάμεις καὶ εἶδον τὸν Δανιήλ, ὡς οὐ πα-
32 ρηνώχλησαν αὐτῷ οἱ λέοντες. τότε οἱ δύο ἄνθρωποι ἐκεῖνοι οἱ 25
καταμαρτυρήσαντες τοῦ Δανιήλ, αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν
καὶ τὰ τέκνα αὐτῶν, ἐρρίφησαν τοῖς λέουσι, καὶ οἱ λέοντες ἀ-
33 πέκτειναν αὐτοὺς καὶ ἔθλασαν τὰ ὀστᾶ αὐτῶν. τότε Δαρεῖος ἔ- 26
γραψε πᾶσι τοῖς ἔθνεσι καὶ χώραις καὶ γλώσσαις, τοῖς οἰκοῦ-
34 σιν ἐν πάσῃ τῇ γῇ αὐτοῦ λέγων· Πάντες οἱ ἄνθρωποι οἱ ὄντες 27
ἐν τῇ βασιλείᾳ μου ἔστωσαν προσκυνοῦντες καὶ λατρεύοντες
τῷ θεῷ τοῦ Δανιήλ, αὐτὸς γάρ ἐστι θεὸς μένων καὶ ζῶν εἰς γε-
35 νεὰς γενεῶν ἕως τοῦ αἰῶνος· ἐγὼ Δαρεῖος ἔσομαι αὐτῷ προ- 28
36 σκυνῶν καὶ δουλεύων πάσας τὰς ἡμέρας μου. τὰ γὰρ εἴδωλα
τὰ χειροποίητα οὐ δύνανται σῶσαι, ὡς ἐλυτρώσατο ὁ θεὸς
37 τοῦ Δανιὴλ τὸν Δανιήλ. καὶ ὁ βασιλεὺς Δαρεῖος προσετέθη 29
πρὸς τὸ γένος αὐτοῦ, καὶ Δανιὴλ κατεστάθη ἐπὶ τῆς βασιλείας
Δαρείου· καὶ Κῦρος ὁ Πέρσης παρέλαβε τὴν βασιλείαν αὐτοῦ.

ΔΑΝΙΗΛ

1 1 Ἔτους πρώτου βασιλεύοντος Βαλτάσαρ χώρας Βαβυλω- 1 **7**
νίας Δανιὴλ ὅραμα εἶδε παρὰ κεφαλὴν ἐπὶ τῆς κοίτης αὐτοῦ· τότε Δανιὴλ τὸ ὅραμα, ὃ εἶδεν, ἔγραψεν εἰς κεφάλαια λόγων.
2 Ἐπὶ τῆς κοίτης μου ἐθεώρουν καθ' ὕπνους νυκτὸς καὶ ἰ- 2
δοὺ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ ἐνέπεσον εἰς τὴν θάλασσαν
3 τὴν μεγάλην. καὶ τέσσαρα θηρία ἀνέβαινον ἐκ τῆς θαλάσσης 3
4 διαφέροντα ἓν παρὰ τὸ ἕν. τὸ πρῶτον ὡσεὶ λέαινα ἔχουσα πτε- 4
ρὰ ὡσεὶ ἀετοῦ· ἐθεώρουν ἕως ὅτου ἐτίλη τὰ πτερὰ αὐτῆς, καὶ ἤρθη ἀπὸ τῆς γῆς καὶ ἐπὶ ποδῶν ἀνθρωπίνων ἐστάθη, καὶ ἀν-
5 θρωπίνη καρδία ἐδόθη αὐτῇ. καὶ ἰδοὺ μετ' αὐτὴν ἄλλο θηρίον 5
ὁμοίωσιν ἔχον ἄρκου, καὶ ἐπὶ τοῦ ἑνὸς πλευροῦ ἐστάθη, καὶ τρία πλευρὰ ἦν ἐν τῷ στόματι αὐτῆς, καὶ οὕτως εἶπεν· Ἀνάστα
6 κατάφαγε σάρκας πολλάς. καὶ μετὰ ταῦτα ἐθεώρουν θηρίον 6
ἄλλο ὡσεὶ πάρδαλιν, καὶ πτερὰ τέσσαρα ἐπέτεινον ἐπάνω αὐτοῦ, καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ, καὶ γλῶσσα ἐδόθη αὐτῷ. 7
7 μετὰ δὲ ταῦτα ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς θηρίον τέταρτον φοβερόν, καὶ ὁ φόβος αὐτοῦ ὑπερφέρων ἰσχύι, ἔχον ὀδόντας σιδηροῦς μεγάλους, ἐσθίον καὶ κοπανίζον, κύκλῳ τοῖς ποσὶ καταπατοῦν, διαφόρως χρώμενον παρὰ πάντα τὰ πρὸ αὐτοῦ θηρία· εἶχε δὲ κέρατα δέκα, καὶ βουλαὶ πολλαὶ ἐν τοῖς κέ-
8 ρασιν αὐτοῦ. καὶ ἰδοὺ ἄλλο ἓν κέρας ἀνεφύη ἀνὰ μέσον αὐτῶν 8
μικρὸν ἐν τοῖς κέρασιν αὐτοῦ, καὶ τρία τῶν κεράτων τῶν πρώτων ἐξηράνθησαν δι' αὐτοῦ· καὶ ἰδοὺ ὀφθαλμοὶ ὥσπερ ὀφθαλμοὶ ἀνθρώπινοι ἐν τῷ κέρατι τούτῳ καὶ στόμα λαλοῦν μεγάλα,
9 καὶ ἐποίει πόλεμον πρὸς τοὺς ἁγίους. ἐθεώρουν ἕως ὅτε θρό- 9
νοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο ἔχων περιβολὴν ὡσεὶ χιόνα, καὶ τὸ τρίχωμα τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον λευ-
10 κὸν καθαρόν, ὁ θρόνος ὡσεὶ φλὸξ πυρός. καὶ ἐξεπορεύετο κα- 10
τὰ πρόσωπον αὐτοῦ ποταμὸς πυρός, χίλιαι χιλιάδες ἐθεράπευον αὐτὸν καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ· καὶ
11 κριτήριον ἐκάθισε καὶ βίβλοι ἠνεῴχθησαν. ἐθεώρουν τότε τὴν 11
φωνὴν τῶν λόγων τῶν μεγάλων, ὧν τὸ κέρας ἐλάλει, καὶ ἀπετυμπανίσθη τὸ θηρίον, καὶ ἀπώλετο τὸ σῶμα αὐτοῦ καὶ ἐδόθη
12 εἰς καῦσιν πυρός. καὶ τοὺς κύκλῳ αὐτοῦ ἀπέστησε τῆς ἐξου- 12
σίας αὐτῶν, καὶ χρόνος ζωῆς ἐδόθη αὐτοῖς ἕως χρόνου καὶ
13 καιροῦ. ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς καὶ ἰδοὺ ἐπὶ τῶν νε- 13
φελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἤρχετο, καὶ ὡς πα-
14 λαιὸς ἡμερῶν παρῆν, καὶ οἱ παρεστηκότες παρῆσαν αὐτῷ. καὶ 14
ἐδόθη αὐτῷ ἐξουσία, καὶ πάντα τὰ ἔθνη τῆς γῆς κατὰ γένη καὶ πᾶσα δόξα αὐτῷ λατρεύουσα· καὶ ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ μὴ ἀρθῇ, καὶ ἡ βασιλεία αὐτοῦ, ἥτις οὐ μὴ
15 φθαρῇ. καὶ ἀκηδιάσας ἐγὼ Δανιὴλ ἐν τούτοις ἐν τῷ ὁράματι 15
τῆς νυκτὸς προσῆλθον πρὸς ἕνα τῶν ἑστώτων καὶ τὴν ἀκρί-

16 βειαν ἐζήτουν παρ' αὐτοῦ ὑπὲρ πάντων τούτων. ἀποκριθεὶς δὲ 16
17 λέγει μοι καὶ τὴν κρίσιν τῶν λόγων ἐδήλωσέ μοι Ταῦτα τὰ θη- 17
ρία τὰ μεγάλα εἰσὶ τέσσαρες βασιλεῖαι, αἳ ἀπολοῦνται ἀπὸ τῆς
18 γῆς· καὶ παραλήψονται τὴν βασιλείαν ἅγιοι ὑψίστου καὶ καθέ- 18
ξουσι τὴν βασιλείαν ἕως τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος τῶν
19 αἰώνων. τότε ἤθελον ἐξακριβάσασθαι περὶ τοῦ θηρίου τοῦ τε- 19
τάρτου τοῦ διαφθείροντος πάντα καὶ ὑπερφόβου, καὶ ἰδοὺ οἱ ὀ-
δόντες αὐτοῦ σιδηροῖ καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ κατεσθίο-
20 ντες πάντας κυκλόθεν καὶ καταπατοῦντες τοῖς ποσί· καὶ περὶ 20
τῶν δέκα κεράτων αὐτοῦ τῶν ἐπὶ τῆς κεφαλῆς καὶ τοῦ ἑνὸς
τοῦ ἄλλου τοῦ προσφυέντος, καὶ ἐξέπεσαν δι' αὐτοῦ τρία, καὶ
τὸ κέρας ἐκεῖνο εἶχεν ὀφθαλμοὺς καὶ στόμα λαλοῦν μεγάλα,
21 καὶ ἡ πρόσοψις αὐτοῦ ὑπερέφερε τὰ ἄλλα. καὶ κατενόουν τὸ 21
κέρας ἐκεῖνο πόλεμον συνιστάμενον πρὸς τοὺς ἁγίους καὶ
22 τροπούμενον αὐτοὺς ἕως τοῦ ἐλθεῖν τὸν παλαιὸν ἡμερῶν, καὶ 22
τὴν κρίσιν ἔδωκε τοῖς ἁγίοις τοῦ ὑψίστου, καὶ ὁ καιρὸς ἐδόθη
23 καὶ τὸ βασίλειον κατέσχον οἱ ἅγιοι. καὶ ἐρρέθη μοι περὶ τοῦ 23
θηρίου τοῦ τετάρτου, ὅτι βασιλεία τετάρτη ἔσται ἐπὶ τῆς γῆς,
ἥτις διοίσει παρὰ πᾶσαν τὴν γῆν καὶ ἀναστατώσει αὐτὴν καὶ
24 καταλεανεῖ αὐτήν. καὶ τὰ δέκα κέρατα τῆς βασιλείας, δέκα βα- 24
σιλεῖς στήσονται, καὶ ὁ ἄλλος βασιλεὺς μετὰ τούτου στήσεται,
καὶ αὐτὸς διοίσει κακοῖς ὑπὲρ τοὺς πρώτους καὶ τρεῖς βασι-
25 λεῖς ταπεινώσει· καὶ ῥήματα εἰς τὸν ὕψιστον λαλήσει καὶ τοὺς 25
ἁγίους τοῦ ὑψίστου κατατρίψει καὶ προσδέξεται, ἀλλοιῶσαι
καιροὺς καὶ νόμον, καὶ παραδοθήσεται πάντα εἰς τὰς χεῖρας
26 αὐτοῦ ἕως καιροῦ καὶ καιρῶν καὶ ἕως ἡμίσους καιροῦ. καὶ ἡ 26
κρίσις καθίσεται καὶ τὴν ἐξουσίαν ἀπολοῦσι καὶ βουλεύσο-
27 νται μιᾶναι καὶ ἀπολέσαι ἕως τέλους. καὶ τὴν βασιλείαν καὶ 27
τὴν ἐξουσίαν καὶ τὴν μεγαλειότητα αὐτῶν καὶ τὴν ἀρχὴν πα-
σῶν τῶν ὑπὸ τὸν οὐρανὸν βασιλειῶν ἔδωκε λαῷ ἁγίῳ ὑψί-
στου βασιλεῦσαι βασιλείαν αἰώνιον, καὶ πᾶσαι <αἱ> ἐξουσίαι
28 αὐτῷ ὑποταγήσονται καὶ πειθαρχήσουσιν αὐτῷ. ἕως κατα- 28
στροφῆς τοῦ λόγου ἐγὼ Δανιὴλ σφόδρα ἐκστάσει περιειχόμην, καὶ ἡ ἕξις μου διήνεγκεν ἐμοί, καὶ τὸ ῥῆμα ἐν καρδίᾳ μου ἐστήριξα.

2 1 Ἔτους τρίτου βασιλεύοντος Βαλτάσαρ, ὅρασις ἣν εἶδον ἐ- 1 **8**
2 γὼ Δανιὴλ μετὰ τὸ ἰδεῖν με τὴν πρώτην. καὶ εἶδον ἐν τῷ ὁράμα- 2
τι τοῦ ἐνυπνίου μου, ἐμοῦ ὄντος ἐν Σούσοις τῇ πόλει, ἥτις ἐστὶν
3 ἐν Ἐλυμαΐδι χώρᾳ, ἔτι ὄντος μου πρὸς τῇ πύλῃ Αἰλάμ, ἀναβλέ- 3
ψας εἶδον κριὸν ἕνα μέγαν ἑστῶτα ἀπέναντι τῆς πύλης, καὶ εἶχε
κέρατα, καὶ τὸ ἓν ὑψηλότερον τοῦ ἑτέρου, καὶ τὸ ὑψηλότερον ἀ-
4 νέβαινε. μετὰ δὲ ταῦτα εἶδον τὸν κριὸν κερατίζοντα πρὸς ἀνατο- 4
λὰς καὶ πρὸς βορρᾶν καὶ πρὸς δυσμὰς καὶ <πρὸς> μεσημβρίαν, καὶ πάντα τὰ θηρία οὐκ ἔστησαν ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἦν ὁ ῥυόμενος ἐκ τῶν χειρῶν αὐτοῦ, καὶ ἐποίει ὡς ἤθελε καὶ ὑ-

5 ψώθη. καὶ ἐγὼ διενοούμην, καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο ἀπὸ 5
δυσμῶν ἐπὶ προσώπου τῆς γῆς καὶ οὐχ ἥπτετο τῆς γῆς, καὶ ἦν
τοῦ τράγου κέρας ἓν ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ. καὶ ἦλ-
6 θεν ἐπὶ τὸν κριὸν τὸν τὰ κέρατα ἔχοντα, ὃν εἶδον ἑστῶτα πρὸς 6
7 τῇ πύλῃ, καὶ ἔδραμε πρὸς αὐτὸν ἐν θυμῷ ὀργῆς. καὶ εἶδον αὐ- 7
τὸν προσάγοντα πρὸς τὸν κριόν, καὶ ἐθυμώθη ἐπ' αὐτὸν καὶ ἐ-
πάταξε καὶ συνέτριψε τὰ δύο κέρατα αὐτοῦ, καὶ οὐκέτι ἦν ἰσχὺς
ἐν τῷ κριῷ στῆναι κατέναντι τοῦ τράγου· καὶ ἐσπάραξεν αὐτὸν
ἐπὶ τὴν γῆν καὶ συνέτριψεν αὐτόν, καὶ οὐκ ἦν ὁ ῥυόμενος τὸν
8 κριὸν ἀπὸ τοῦ τράγου. καὶ ὁ τράγος τῶν αἰγῶν κατίσχυσε σφό- 8
δρα, καὶ ὅτε κατίσχυσε, συνετρίβη αὐτοῦ τὸ κέρας τὸ μέγα, καὶ
ἀνέβη ἕτερα τέσσαρα κέρατα κατόπισθεν αὐτοῦ εἰς τοὺς τέσσα-
9 ρας ἀνέμους τοῦ οὐρανοῦ. καὶ ἐξ ἑνὸς αὐτῶν ἀνεφύη κέρας ἰ- 9
σχυρὸν ἓν καὶ κατίσχυσε καὶ ἐπάταξεν ἐπὶ μεσημβρίαν καὶ ἐπ'
10 ἀνατολὰς καὶ ἐπὶ βορρᾶν· καὶ ὑψώθη ἕως τῶν ἀστέρων τοῦ οὐ- 10
ρανοῦ, καὶ ἐρράχθη ἐπὶ τὴν γῆν ἀπὸ τῶν ἀστέρων καὶ ἀπ' αὐ-
11 τῶν κατεπατήθη, ἕως ὁ ἀρχιστράτηγος ῥύσεται τὴν αἰχμαλω- 11
σίαν, καὶ δι' αὐτὸν τὰ ὄρη τὰ ἀπ' αἰῶνος ἐρράχθη, καὶ ἐξήρθη ὁ
τόπος αὐτῶν καὶ θυσία, καὶ ἔθηκεν αὐτὴν ἕως χαμαὶ ἐπὶ τὴν γῆν
12 καὶ εὐωδώθη καὶ ἐγενήθη, καὶ τὸ ἅγιον ἐρημωθήσεται· καὶ ἐγε- 12
νήθησαν ἐπὶ τῇ θυσίᾳ αἱ ἁμαρτίαι, καὶ ἐρρίφη χαμαὶ ἡ δικαιοσύ-
13 νη, καὶ ἐποίησε καὶ εὐωδώθη. καὶ ἤκουον ἑτέρου ἁγίου λαλοῦ- 13
ντος, καὶ εἶπεν ὁ ἕτερος τῷ φελμουνὶ τῷ λαλοῦντι· Ἕως τίνος
τὸ ὅραμα στήσεται καὶ ἡ θυσία ἡ ἀρθεῖσα καὶ ἡ ἁμαρτία ἐρημώ-
14 σεως ἡ δοθεῖσα, καὶ τὰ ἅγια ἐρημωθήσεται εἰς καταπάτημα; καὶ 14
εἶπεν αὐτῷ· Ἕως ἑσπέρας καὶ πρωΐ ἡμέραι δισχίλιαι τριακόσιαι,
15 καὶ καθαρισθήσεται τὸ ἅγιον. καὶ ἐγένετο ἐν τῷ θεωρεῖν με, ἐγὼ 15
Δανιήλ, τὸ ὅραμα ἐζήτουν διανοηθῆναι, καὶ ἰδοὺ ἔστη κατενα-
16 ντίον μου ὡς ὅρασις ἀνθρώπου. καὶ ἤκουσα φωνὴν ἀνθρώπου 16
ἀνὰ μέσον τοῦ Οὐλαί, καὶ ἐκάλεσε καὶ εἶπε· Γαβριήλ, συνέτισον
17 ἐκεῖνον τὴν ὅρασιν. καὶ ἀναβοήσας εἶπεν ὁ ἄνθρωπος· Ἐπὶ τὸ 17
πρόσταγμα ἐκεῖνο ἡ ὅρασις. καὶ ἦλθε καὶ ἔστη ἐχόμενός μου
τῆς στάσεως, καὶ ἐν τῷ ἔρχεσθαι αὐτὸν ἐθορυβήθην καὶ ἔπεσα
ἐπὶ πρόσωπόν μου, καὶ εἶπέ μοι· Διανοήθητι, υἱὲ ἀνθρώπου, ἔτι
18 γὰρ εἰς ὥραν καιροῦ τοῦτο τὸ ὅραμα. καὶ λαλοῦντος αὐτοῦ μετ' 18
ἐμοῦ ἐκοιμήθην ἐπὶ πρόσωπον χαμαί, καὶ ἁψάμενός μου ἤγειρέ
19 με ἐπὶ τοῦ τόπου καὶ εἶπέ μοι· Ἰδοὺ ἐγὼ ἀπαγγέλλω σοι ἃ ἔσται 19
ἐπ' ἐσχάτου τῆς ὀργῆς τοῖς υἱοῖς τοῦ λαοῦ σου· ἔτι γὰρ εἰς ὥ-
20 ρας καιροῦ συντελείας μενεῖ. τὸν κριὸν ὃν εἶδες τὸν ἔχοντα τὰ 20
21 κέρατα, βασιλεὺς Μήδων καὶ Περσῶν ἐστι. καὶ ὁ τράγος τῶν αἰ- 21
γῶν βασιλεὺς τῶν Ἑλλήνων ἐστί· καὶ τὸ κέρας τὸ μέγα τὸ ἀνὰ
22 μέσον τῶν ὀφθαλμῶν αὐτοῦ, αὐτὸς ὁ βασιλεὺς ὁ πρῶτος. καὶ 22
τὰ συντριβέντα καὶ ἀναβάντα ὀπίσω αὐτοῦ τέσσαρα κέρατα,
τέσσαρες βασιλεῖς τοῦ ἔθνους αὐτοῦ ἀναστήσονται οὐ κατὰ τὴν
23 ἰσχὺν αὐτοῦ. καὶ ἐπ' ἐσχάτου τῆς βασιλείας αὐτῶν, πληρουμέ- 23

νων τῶν ἁμαρτιῶν αὐτῶν, ἀναστήσεται βασιλεὺς ἀναιδὴς προ-
24 σώπῳ διανοούμενος αἰνίγματα. καὶ στερεωθήσεται ἡ ἰσχὺς αὐ- 24
τοῦ καὶ οὐκ ἐν τῇ ἰσχύι αὐτοῦ, καὶ θαυμαστῶς φθερεῖ καὶ εὐο-
δωθήσεται καὶ ποιήσει καὶ φθερεῖ δυνάστας καὶ δῆμον ἁγίων.
25 καὶ ἐπὶ τοὺς ἁγίους τὸ διανόημα αὐτοῦ, καὶ εὐοδωθήσεται τὸ 25
ψεῦδος ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ ἡ καρδία αὐτοῦ ὑψωθήσεται,
καὶ δόλῳ ἀφανιεῖ πολλοὺς καὶ ἐπὶ ἀπωλείας ἀνδρῶν στήσεται
26 καὶ ποιήσει συναγωγὴν χειρὸς καὶ ἀποδώσεται. τὸ ὅραμα τὸ ἑ- 26
σπέρας καὶ πρωὶ ηὑρέθη ἐπ' ἀληθείας· καὶ νῦν πεφραγμένον τὸ
27 ὅραμα, ἔτι γὰρ εἰς ἡμέρας πολλάς. ἐγὼ Δανιὴλ ἀσθενήσας ἡμέ- 27
ρας πολλὰς καὶ ἀναστὰς ἐπραγματευόμην πάλιν <τὰ> βασιλι-
κά. καὶ ἐξελυόμην ἐπὶ τῷ ὁράματι, καὶ οὐδεὶς ἦν ὁ διανοούμε-
νος.

3 1 Ἔτους πρώτου ἐπὶ Δαρείου τοῦ Ξέρξου ἀπὸ τῆς γενεᾶς 1 **9**
τῆς Μηδικῆς, οἳ ἐβασίλευσαν ἐπὶ τὴν βασιλείαν τῶν Χαλ-
2 δαίων, τῷ πρώτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, ἐγὼ Δανιὴλ διε- 2
νοήθην ἐν ταῖς Βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, ὅτε ἐγένετο
πρόσταγμα τῇ γῇ ἐπὶ Ἱερεμίαν τὸν προφήτην ἐγεῖραι εἰς ἀνα-
3 πλήρωσιν ὀνειδισμοῦ Ἱερουσαλήμ, ἑβδομήκοντα ἔτη. καὶ ἔδω- 3
κα τὸ πρόσωπόν μου ἐπὶ κύριον τὸν θεὸν εὑρεῖν προσευχὴν
4 καὶ ἔλεος ἐν νηστείαις καὶ σάκκῳ καὶ σποδῷ. καὶ προσηυξά- 4
μην πρὸς Κύριον τὸν θεὸν καὶ ἐξωμολογησάμην καὶ εἶπα· Ἰ-
δού, Κύριε, σὺ εἶ ὁ θεὸς ὁ μέγας καὶ ὁ ἰσχυρὸς καὶ ὁ φοβερὸς
τηρῶν τὴν διαθήκην καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσί σε καὶ τοῖς φυ-
5 λάσσουσι τὰ προστάγματά σου· ἡμάρτομεν, ἠδικήσαμεν, ἠσε- 5
βήσαμεν καὶ ἀπέστημεν καὶ παρέβημεν τὰς ἐντολάς σου καὶ τὰ
6 κρίματά σου καὶ οὐκ ἠκούσαμεν τῶν παίδων σου τῶν προφη- 6
τῶν, ἃ ἐλάλησαν ἐπὶ τῷ ὀνόματί σου ἐπὶ τοὺς βασιλεῖς ἡμῶν
καὶ δυνάστας ἡμῶν καὶ πατέρας ἡμῶν καὶ παντὶ ἔθνει ἐπὶ τῆς
7 γῆς. σοί, Κύριε, ἡ δικαιοσύνη, καὶ ἡμῖν ἡ αἰσχύνη τοῦ προσώ- 7
που κατὰ τὴν ἡμέραν ταύτην, ἀνθρώποις Ἰούδα καὶ καθημέ-
νοις ἐν Ἱερουσαλὴμ καὶ παντὶ τῷ λαῷ Ἰσραὴλ τῷ ἔγγιστα καὶ
τῷ ἀπωτέρῳ ἐν πάσαις ταῖς χώραις, εἰς ἃς διεσκόρπισας αὐ-
8 τοὺς ἐκεῖ ἐν τῇ πλημμελείᾳ, ᾗ ἐπλημμέλησαν ἐναντίον σου. δέ- 8
σποτα, ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου καὶ τοῖς βασιλεῦσιν ἡ-
μῶν καὶ δυνάσταις καὶ τοῖς πατράσιν ἡμῶν, ὅτι ἡμάρτομέν
9 σοι. τῷ Κυρίῳ ἡ δικαιοσύνη καὶ τὸ ἔλεος, ὅτι ἀπέστημεν ἀπὸ 9
10 σοῦ καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς Κυρίου τοῦ θεοῦ ἡμῶν κα- 10
τακολουθῆσαι τῷ Νόμῳ σου, ᾧ ἔδωκας ἐνώπιον Μωσῆ καὶ ἡ-
11 μῶν διὰ τῶν παίδων σου τῶν προφητῶν. καὶ πᾶς Ἰσραὴλ ἐ- 11
γκατέλιπε τὸν Νόμον σου καὶ ἀπέστησαν τοῦ μὴ ἀκοῦσαι τῆς
φωνῆς σου, καὶ ἐπῆλθεν ἐφ' ἡμᾶς ἡ κατάρα καὶ ὁ ὅρκος ὁ γε-
γραμμένος ἐν τῷ Νόμῳ Μωσῆ παιδὸς τοῦ θεοῦ, ὅτι ἡμάρτο-
12 μεν αὐτῷ. καὶ ἔστησεν ἡμῖν τὰ προστάγματα αὐτοῦ, ὅσα ἐλά- 12
λησεν ἐφ' ἡμᾶς καὶ ἐπὶ τοὺς κριτὰς ἡμῶν, ὅσα ἔκρινας ἡμῖν, ἐ-

παγαγεῖν ἐφ' ἡμᾶς κακὰ μεγάλα, οἷα οὐκ ἐγενήθη ὑπὸ τὸν οὐ-
13 ρανὸν καθότι ἐγενήθη ἐν Ἰερουσαλήμ. κατὰ τὰ γεγραμμένα ἐν 13
διαθήκῃ Μωσῇ πάντα τὰ κακὰ ἐπῆλθεν ἡμῖν, καὶ οὐκ ἐξεζητή-
σαμεν τὸ πρόσωπον Κυρίου <τοῦ> θεοῦ ἡμῶν ἀποστῆναι ἀ-
πὸ τῶν ἁμαρτιῶν ἡμῶν καὶ διανοηθῆναι τὴν δικαιοσύνην σου,
14 Κύριε. καὶ ἠγρύπνησε Κύριος ὁ θεὸς ἐπὶ τὰ κακὰ καὶ ἐπήγα- 14
γεν ἐφ' ἡμᾶς, ὅτι δίκαιος Κύριος ὁ θεὸς ἡμῶν ἐπὶ πάντα, ὅσα
15 ἂν ποιήσῃ, καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς αὐτοῦ. καὶ νῦν, δέ- 15
σποτα Κύριε ὁ θεὸς ἡμῶν ὁ ἐξαγαγὼν τὸν λαόν σου ἐξ Αἰγύ-
πτου τῷ βραχίονί σου τῷ ὑψηλῷ καὶ ἐποίησας σεαυτῷ ὄνομα
16 κατὰ τὴν ἡμέραν ταύτην, ἡμάρτομεν, ἠγνοήκαμεν. δέσποτα, 16
κατὰ τὴν δικαιοσύνην σου ἀποστραφήτω ὁ θυμός σου καὶ ἡ
ὀργή σου ἀπὸ τῆς πόλεώς σου Ἰερουσαλὴμ ὄρους τοῦ ἁγίου
σου, ὅτι ἐν ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐν ταῖς ἀγνοίαις τῶν πατέ-
ρων ἡμῶν Ἰερουσαλὴμ καὶ ὁ δῆμός σου, Κύριε, εἰς ὀνειδισμὸν
17 ἐν πᾶσι τοῖς περικύκλῳ ἡμῶν. καὶ νῦν ἐπάκουσον, δέσποτα, 17
τῆς προσευχῆς τοῦ παιδός σου καὶ ἐπὶ τὰς δεήσεις μου, καὶ ἐ-
πιβλεψάτω τὸ πρόσωπόν σου ἐπὶ τὸ ὄρος τὸ ἅγιόν σου τὸ ἔ-
18 ρημον ἕνεκεν τῶν δούλων σου, δέσποτα. πρόσσχες, Κύριε, τὸ 18
οὖς σου καὶ ἐπάκουσόν μου· ἄνοιξον τοὺς ὀφθαλμούς σου καὶ
ἴδε τὴν ἐρήμωσιν ἡμῶν καὶ τῆς πόλεώς σου, ἐφ' ἧς ἐπεκλήθη
τὸ ὄνομά σου ἐπ' αὐτῆς· οὐ γὰρ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν ἡ-
μεῖς δεόμεθα ἐν ταῖς προσευχαῖς ἡμῶν ἐνώπιόν σου, ἀλλὰ διὰ
19 τὸ σὸν ἔλεος, Κύριε, σὺ ἱλάτευσον. Κύριε, ἐπάκουσον καὶ ποί- 19
ησον καὶ μὴ χρονίσῃς ἕνεκα σεαυτοῦ, δέσποτα, ὅτι τὸ ὄνομά
σου ἐπεκλήθη ἐπὶ τὴν πόλιν σου Σιὼν καὶ ἐπὶ τὸν λαόν σου Ἰσ-
20 ραήλ. καὶ ἕως ἐγὼ ἐλάλουν προσευχόμενος καὶ ἐξομολογούμε- 20
νος τὰς ἁμαρτίας μου καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου Ἰσραὴλ
καὶ δεόμενος ἐν ταῖς προσευχαῖς ἐναντίον Κυρίου <τοῦ> θε-
21 οῦ μου καὶ ὑπὲρ τοῦ ὄρους τοῦ ἁγίου τοῦ θεοῦ ἡμῶν, καὶ ἔτι 21
λαλοῦντός μου ἐν τῇ προσευχῇ μου, καὶ ἰδοὺ ὁ ἀνήρ, ὃν εἶδον
ἐν τῷ ὕπνῳ μου τὴν ἀρχήν, Γαβριήλ, τάχει φερόμενος προσήγ-
22 γισέ μοι ἐν ὥρᾳ θυσίας ἑσπερινῆς. καὶ προσῆλθε καὶ ἐλάλησε 22
23 μετ' ἐμοῦ καὶ εἶπε· Δανιήλ, ἄρτι ἐξῆλθον ὑποδεῖξαί σοι διά- 23
νοιαν. ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθε πρόσταγμα παρὰ Κυ-
ρίου, καὶ ἐγὼ ἦλθον ὑποδεῖξαί σοι, ὅτι ἐλεεινὸς εἶ· καὶ διανοή-
24 θητι τὸ πρόσταγμα. ἑβδομήκοντα ἑβδομάδες ἐκρίθησαν ἐπὶ 24
τὸν λαόν σου καὶ ἐπὶ τὴν πόλιν Σιὼν συντελεσθῆναι τὴν ἁμαρ-
τίαν καὶ τὰς ἀδικίας σπανίσαι καὶ ἀπαλεῖψαι τὰς ἀδικίας καὶ
διανοηθῆναι τὸ ὅραμα καὶ δοθῆναι δικαιοσύνην αἰώνιον καὶ
25 συντελεσθῆναι τὸ ὅραμα καὶ εὐφρᾶναι ἅγιον ἁγίων. καὶ γνώσῃ 25
καὶ διανοηθήσῃ καὶ εὐφρανθήσῃ καὶ εὑρήσεις προστάγματα ἀ-
26 ποκριθῆναι καὶ οἰκοδομήσεις Ἰερουσαλὴμ πόλιν Κυρίῳ. καὶ 26
μετὰ ἑπτὰ καὶ ἑβδομήκοντα <καιροὺς> καὶ ἑξήκοντα δύο
<ἔτη> ἀποσταθήσεται χρῖσμα καὶ οὐκ ἔσται, καὶ βασιλεία ἐ-

θνῶν φθερεῖ τὴν πόλιν καὶ τὸ ἅγιον μετὰ τοῦ χριστοῦ, καὶ ἥξει
ἡ συντέλεια αὐτοῦ μετ' ὀργῆς καὶ ἕως καιροῦ συντελείας· ἀπὸ
27 πολέμου πολεμηθήσεται. καὶ δυναστεύσει ἡ διαθήκη εἰς πολ- 27
λούς, καὶ πάλιν ἐπιστρέψει καὶ ἀνοικοδομηθήσεται εἰς πλάτος
καὶ μῆκος· καὶ κατὰ συντέλειαν καιρῶν καὶ μετὰ ἑπτὰ καὶ ἑ-
βδομήκοντα καιροὺς καὶ ἑξήκοντα δύο ἔτη ἕως καιροῦ συντε-
λείας πολέμου καὶ ἀφαιρεθήσεται ἡ ἐρήμωσις ἐν τῷ κατισχῦ-
28 σαι τὴν διαθήκην ἐπὶ πολλὰς ἑβδομάδας· καὶ ἐν τῷ τέλει τῆς ἑ- 28
βδομάδος ἀρθήσεται ἡ θυσία καὶ ἡ σπονδή, καὶ ἐπὶ τὸ ἱερὸν
βδέλυγμα τῶν ἐρημώσεων ἔσται ἕως συντελείας, καὶ συντέ-
λεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.

4 1 Ἐν τῷ ἐνιαυτῷ τῷ πρώτῳ Κύρου τοῦ βασιλέως Περσῶν 1 **10**
πρόσταγμα ἐδείχθη τῷ Δανιήλ, ὃς ἐπεκλήθη τὸ ὄνομα Βαλτά-
σαρ, καὶ ἀληθὲς τὸ ὅραμα καὶ τὸ πρόσταγμα, καὶ τὸ πλῆθος τὸ
ἰσχυρὸν διανοηθήσεται τὸ πρόσταγμα, καὶ διενοήθην αὐτὸ ἐν
2 ὁράματι. ἐν ταῖς ἡμέραις ἐκείναις ἐγὼ Δανιὴλ ἤμην πενθῶν 2
τρεῖς ἑβδομάδας· ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον, καὶ κρέας καὶ 3
οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ στόμα μου, ἔλαιον οὐκ ἠλειψάμην ἕ-
3 ως τοῦ συντελέσαι με τὰς τρεῖς ἑβδομάδας τῶν ἡμερῶν. καὶ ἐ- 4
γένετο τῇ ἡμέρᾳ τῇ τετάρτῃ καὶ εἰκάδι τοῦ μηνὸς τοῦ πρώτου,
καὶ ἐγὼ ἤμην ἐπὶ τοῦ χείλους τοῦ ποταμοῦ τοῦ μεγάλου, ὅς ἐ-
4 στι Τίγρης, καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον καὶ ἰδοὺ ἄν- 5
θρωπος εἷς ἐνδεδυμένος βύσσινα καὶ τὴν ὀσφὺν περιεζωσμέ-
5 νος βυσσίνῳ, καὶ ἐκ μέσου αὐτοῦ φῶς, καὶ τὸ σῶμα αὐτοῦ ὡ- 6
σεὶ θαρσίς, καὶ τὸ πρόσωπον αὐτοῦ ὡσεὶ ὅρασις ἀστραπῆς,
καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ λαμπάδες πυρός, καὶ οἱ βραχίονες
αὐτοῦ καὶ οἱ πόδες ὡσεὶ χαλκὸς ἐξαστράπτων, καὶ φωνὴ λα-
6 λιᾶς αὐτοῦ ὡσεὶ φωνὴ θορύβου. καὶ εἶδον ἐγὼ Δανιὴλ τὴν ὅ- 7
ρασιν τὴν μεγάλην ταύτην, καὶ οἱ ἄνθρωποι οἱ ὄντες μετ' ἐμοῦ
οὐκ εἶδον τὴν ὅρασιν ταύτην, καὶ φόβος ἰσχυρὸς ἐπέπεσεν ἐπ'
7 αὐτούς, καὶ ἀπέδρασαν ἐν σπουδῇ· καὶ ἐγὼ κατελείφθην μό- 8
νος καὶ εἶδον τὴν ὅρασιν τὴν μεγάλην ταύτην, καὶ οὐκ
ἐ<γ>κατελείφθη ἐν ἐμοὶ ἰσχύς, καὶ ἰδοὺ πνεῦμα ἐπεστράφη
8 ἐπ' ἐμὲ εἰς φθοράν, καὶ οὐ κατίσχυσα. καὶ οὐκ ἤκουσα τὴν φω- 9
νὴν λαλιᾶς αὐτοῦ, ἐγὼ ἤμην πεπτωκὼς ἐπὶ πρόσωπόν μου ἐπὶ
9 τὴν γῆν. καὶ ἰδοὺ χεῖρα προσήγαγέ μοι καὶ ἤγειρέ με ἐπὶ τῶν 10
10 γονάτων ἐπὶ τὰ ἴχνη τῶν ποδῶν μου. καὶ εἶπέ μοι· Δανιήλ, ἄν- 11
θρωπος ἐλεεινὸς εἶ· διανοήθητι τοῖς προστάγμασιν, οἷς ἐγὼ
λαλῶ ἐπὶ σέ, καὶ στῆθι ἐπὶ τοῦ τόπου σου, ἄρτι γὰρ ἀπεστάλην
ἐπὶ σέ. καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ τὸ πρόσταγμα τοῦ-
11 το ἔστην τρέμων. καὶ εἶπεν πρός με· Μὴ φοβοῦ, Δανιήλ· ὅτι ἀ- 12
πὸ τῆς ἡμέρας τῆς πρώτης, ἧς ἔδωκας τὸ πρόσωπόν σου διανοηθῆναι καὶ ταπεινωθῆναι ἐναντίον Κυρίου τοῦ θεοῦ σου, εἰσηκούσθη τὸ ῥῆμά σου, καὶ ἐγὼ εἰσῆλθον <ἐν> τῷ ῥήματί
12 σου. καὶ ὁ στρατηγὸς βασιλέως Περσῶν ἀνθειστήκει ἐναντίον 13

μου εἴκοσι καὶ μίαν ἡμέραν, καὶ ἰδοὺ Μιχαὴλ εἷς τῶν ἀρχό-
ντων τῶν πρώτων ἐπῆλθε βοηθῆσαί μοι, καὶ αὐτὸν ἐκεῖ κατέλι-
13 πον μετὰ τοῦ στρατηγοῦ τοῦ βασιλέως Περσῶν. καὶ εἶπέ μοι· 14
Ἦλθον ὑποδεῖξαί σοι τί ὑπαντήσεται τῷ λαῷ σου ἐπ' ἐσχάτου
14 τῶν ἡμερῶν, ἔτι γὰρ <ἡ> ὅρασις εἰς ἡμέρας. καὶ ἐν τῷ αὐτὸν 15
λαλῆσαι μετ' ἐμοῦ τὰ προστάγματα ταῦτα ἔδωκα τὸ πρόσωπόν
15 μου ἐπὶ τὴν γῆν καὶ ἐσιώπησα. καὶ ἰδοὺ ὡς ὁμοίωσις χειρὸς 16
ἀνθρώπου ἥψατό μου τῶν χειλέων· καὶ ἤνοιξα τὸ στόμα μου
καὶ ἐλάλησα καὶ εἶπα τῷ ἑστηκότι ἀπέναντί μου· Κύριε. καὶ ὡς
ὅρασις ἀπεστράφη ἐπὶ τὸ πλευρόν μου ἐπ' ἐμέ, καὶ οὐκ ἦν ἐν
16 ἐμοὶ ἰσχύς· καὶ πῶς δυνήσεται ὁ παῖς λαλῆσαι μετὰ τοῦ κυ- 17
ρίου αὐτοῦ; καὶ ἐγὼ ἠσθένησα, καὶ οὐκ ἔστιν ἐν ἐμοὶ ἰσχύς,
17 καὶ πνεῦμα οὐ κατελείφθη ἐν ἐμοί. καὶ προσέθηκε καὶ ἥψατό 18
μου ὡς ὅρασις ἀνθρώπου καὶ κατίσχυσέ με καὶ εἶπέ μοι· Ἄν- 19
18 θρωπος ἐλεεινὸς εἶ, μὴ φοβοῦ, ὑγίαινε· ἀνδρίζου καὶ ἴσχυε.
καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ ἴσχυσα καὶ εἶπα· Λαλησά-
19 τω ὁ κύριός μου, ὅτι ἐνίσχυσέ με. καὶ εἶπε πρός με· Γινώσκεις 20
τί ἦλθον πρὸς σέ; καὶ νῦν ἐπιστρέψω διαμάχεσθαι μετὰ τοῦ
στρατηγοῦ βασιλέως τῶν Περσῶν· καὶ ἐγὼ ἐξεπορευόμην, καὶ
20 ἰδοὺ στρατηγὸς Ἑλλήνων εἰσεπορεύετο. καὶ μάλα ὑποδείξω 21
σοι τὰ πρῶτα ἐν ἀπογραφῇ ἀληθείας, καὶ οὐθεὶς ἦν ὁ βοηθῶν
21 μετ' ἐμοῦ ὑπὲρ τούτων ἀλλ' ἢ Μιχαὴλ ὁ ἄγγελος. καὶ ἐν τῷ ἐ- 1 **11**
νιαυτῷ τῷ πρώτῳ Κύρου τοῦ βασιλέως εἶπέ μοι ἐνισχῦσαι καὶ
22 ἀνδρίζεσθαι. καὶ νῦν ἦλθον τὴν ἀλήθειαν ὑποδεῖξαί σοι. ἰδοὺ 2
τρεῖς βασιλεῖς ἀνθεστήκασιν ἐν τῇ Περσίδι, καὶ ὁ τέταρτος
πλουτήσει πλοῦτον μέγαν παρὰ πάντας· καὶ ἐν τῷ κατισχῦσαι
αὐτὸν ἐν τῷ πλούτῳ αὐτοῦ ἐπαναστήσεται παντὶ βασιλεῖ Ἑλλή-
23 νων. καὶ στήσεται βασιλεὺς δυνατὸς καὶ κυριεύσει κυ- 3
24 ρ<ι>είας πολλῆς καὶ ποιήσει καθὼς ἂν βούληται. καὶ ἐν τῷ 4
ἀναστῆναι αὐτὸν συντριβήσεται ἡ βασιλεία αὐτοῦ καὶ μερισθή-
σεται εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ, οὐ κατὰ τὴν
ἀλκὴν αὐτοῦ οὐδὲ κατὰ τὴν κυρ<ι>είαν αὐτοῦ, ἣν ἐδυνά-
στευσε, ὅτι ἀποσταθήσεται ἡ βασιλεία αὐτοῦ, καὶ ἑτέρους δι-
25 δάξει ταῦτα. καὶ ἐνισχύσει βασιλείαν Αἰγύπτου· καὶ εἷς ἐκ τῶν 5
δυναστῶν κατισχύσει αὐτὸν καὶ δυναστεύσει· δυναστεία μεγά-
26 λη ἡ δυναστεία αὐτοῦ. καὶ εἰς συντέλειαν ἐνιαυτῶν ἄξει αὐ- 6
τούς, καὶ εἰσελεύσεται βασιλεὺς Αἰγύπτου εἰς τὴν βασιλείαν
τοῦ βορρᾶ ποιήσασθαι συνθήκας· καὶ οὐ μὴ κατισχύσῃ, ὅτι ὁ
βραχίων αὐτοῦ οὐ στήσει ἰσχύν, καὶ ὁ βραχίων αὐτοῦ ναρκή-
σει καὶ τῶν συμπορευομένων μετ' αὐτοῦ, καὶ μενεῖ εἰς ὥρας.
27 καὶ ἀναστήσεται φυτὸν ἐκ τῆς ῥίζης αὐτοῦ καθ' ἑαυτόν, καὶ ἥ- 7
ξει ἐπὶ τὴν δύναμιν αὐτοῦ ἐν ἰσχύι αὐτοῦ βασιλεὺς βορρᾶ καὶ
28 ποιήσει ταραχὴν καὶ κατισχύσει. καὶ τοὺς θεοὺς αὐτῶν κατα- 8
στρέψει μετὰ τῶν χωνευτῶν αὐτῶν καὶ τοὺς ὄχλους αὐτῶν με-
τὰ τῶν σκευῶν τῶν ἐπιθυμημάτων αὐτῶν, τὸ ἀργύριον καὶ τὸ

χρυσίον, ἐν αἰχμαλωσίᾳ ἀποίσουσιν εἰς Αἴγυπτον· καὶ ἔσται ἔ-
29 τος βασιλεῖ βορρᾶ. καὶ εἰσελεύσεται εἰς βασιλείαν Αἰγύπτου ἡ- 9
30 μέρας· καὶ ἐπιστρέψει ἐπὶ τὴν γῆν αὐτοῦ καὶ ὁ υἱὸς αὐτοῦ. καὶ 10
ἐρεθισθήσεται καὶ συνάξει συναγωγὴν ὄχλου πολλοῦ καὶ εἰσε-
λεύσεται κατ' αὐτὴν κατασύρων· παρελεύσεται καὶ ἐπιστρέψει
31 καὶ παροξυνθήσεται ἐπὶ πολύ. καὶ ὀργισθήσεται βασιλεὺς Αἰ- 11
γύπτου καὶ πολεμήσει μετὰ βασιλέως βορρᾶ, καὶ παραδοθήσε-
32 ται ἡ συναγωγὴ εἰς τὰς χεῖρας αὐτοῦ· καὶ λήψεται τὴν συνα- 12
γωγήν, καὶ ὑψωθήσεται ἡ καρδία αὐτοῦ, καὶ ταράξει πολλοὺς
33 καὶ οὐ μὴ φοβηθῇ. καὶ ἐπιστρέψει βασιλεὺς βορρᾶ καὶ συνάξει 13
πόλεως συναγωγὴν μείζονα παρὰ τὴν πρώτην κατὰ συντέ-
λειαν καιροῦ ἐνιαυτοῦ καὶ εἰσελεύσεται εἰς αὐτὴν ἐπ' αὐτὸν ἐν
34 ὄχλῳ πολλῷ καὶ ἐν χρήμασι πολλοῖς. καὶ ἐν τοῖς καιροῖς ἐκεί- 14
νοις διάνοιαι ἀναστήσονται ἐπὶ τὸν βασιλέα Αἰγύπτου· καὶ ἀ-
νοικοδομήσει τὰ πεπτωκότα τοῦ ἔθνους σου καὶ ἀναστήσεται
35 εἰς τὸ ἀναστῆσαι τὴν προφητείαν, καὶ προσκόψουσι. καὶ ἐπε- 15
λεύσεται βασιλεὺς βορρᾶ καὶ ἐπιστρέψει τὰ δόρατα αὐτοῦ καὶ
λήψεται τὴν πόλιν τὴν ὀχυράν, καὶ οἱ βραχίονες βασιλέως Αἰ-
γύπτου στήσονται μετὰ τῶν δυναστῶν αὐτοῦ, καὶ οὐκ ἔσται
36 αὐτῷ ἰσχὺς εἰς τὸ ἀντιστῆναι αὐτῷ. καὶ ποιήσει ὁ εἰσπορευό- 16
μενος ἐπ' αὐτὸν κατὰ τὸ θέλημα αὐτοῦ, καὶ οὐκ ἔσται ὁ ἀνθε-
στηκὼς ἐναντίον αὐτοῦ· καὶ στήσεται ἐν τῇ χώρᾳ, καὶ ἐπιτελε-
37 σθήσεται πάντα ἐν ταῖς χερσὶν αὐτοῦ. καὶ δώσει τὸ πρόσωπον 17
αὐτοῦ ἐπελθεῖν βίᾳ πᾶν τὸ ἔργον αὐτοῦ καὶ συνθήκας μετ' αὐ-
τοῦ ποιήσεται· καὶ θυγατέρα ἀνθρώπου δώσει αὐτῷ εἰς τὸ
38 φθεῖραι αὐτήν, καὶ οὐ πείσεται καὶ οὐκ ἔσται. καὶ δώσει τὸ 18
πρόσωπον αὐτοῦ ἐπὶ τὴν θάλασσαν καὶ λήψεται πολλοὺς καὶ ἐ-
πιστρέψει ὀργὴν ὀνειδισμοῦ αὐτῶν ἐν ὅρκῳ κατὰ τὸν ὀνειδι-
39 σμὸν αὐτοῦ. ἐπιστρέψει τὸ πρόσωπον αὐτοῦ εἰς τὸ κατισχῦσαι 19
τὴν χώραν αὐτοῦ καὶ προσκόψει καὶ πεσεῖται καὶ οὐχ εὑρεθή-
40 σεται. καὶ ἀναστήσεται ἐκ τῆς δόξης αὐτοῦ φυτὸν βασιλείας 20
εἰς ἀνάστασιν, ἀνὴρ τύπτων δόξαν βασιλέως· καὶ ἐν ἡμέραις ἐ-
41 σχάταις συντριβήσεται καὶ οὐκ ἐν ὀργῇ οὐδὲ ἐν πολέμῳ. καὶ 21
ἀναστήσεται ἐπὶ τὸν τόπον αὐτοῦ εὐκαταφρόνητος, καὶ οὐ δο-
θήσεται ἐπ' αὐτὸν δόξα βασιλέως· καὶ ἥξει ἐξάπινα, κατισχύ-
42 σει βασιλεὺς ἐν κληροδοσίᾳ αὐτοῦ. καὶ τοὺς βραχίονας τοὺς 22
συντριβέντας συντρίψει ἀπὸ προσώπου αὐτοῦ· καὶ μετὰ τῆς 23
διαθήκης καὶ δήμου συνταγέντος μετ' αὐτοῦ ποιήσει ψεῦδος
43 καὶ ἐπὶ ἔθνος ἰσχυρὸν ἐν ὀλιγοστῷ ἔθνει. ἐξάπινα ἐρημώσει 24
πόλιν καὶ ποιήσει ὅσα οὐκ ἐποίησαν οἱ πατέρες αὐτοῦ οὐδὲ οἱ
πατέρες τῶν πατέρων αὐτοῦ· προνομὴν καὶ σκῦλα καὶ χρήμα-
τα αὐτοῖς δώσει καὶ ἐπὶ τὴν πόλιν τὴν ἰσχυρὰν διανοηθήσεται,
44 καὶ οἱ λογισμοὶ αὐτοῦ εἰς μάτην. καὶ ἐγερθήσεται ἡ ἰσχὺς αὐ- 25
τοῦ καὶ ἡ καρδία αὐτοῦ ἐπὶ τὸν βασιλέα Αἰγύπτου ἐν ὄχλῳ
πολλῷ, καὶ ὁ βασιλεὺς Αἰγύπτου ἐρεθισθήσεται εἰς πόλεμον ἐν

ὄχλῳ ἰσχυρῷ σφόδρα λίαν· καὶ οὐ στήσεται, ὅτι διανοηθήσε-
45 ται ἐπ' αὐτὸν διανοίᾳ· καὶ καταναλώσουσιν αὐτὸν μέριμναι αὐ- 26
τοῦ καὶ ἀποστρέψουσιν αὐτόν, καὶ παρελεύσεται καὶ κατασυ-
46 ριεῖ, καὶ πεσοῦνται τραυματίαι πολλοί. καὶ δύο βασιλεῖς μόνοι 27
δειπνήσουσιν ἐπὶ τὸ αὐτὸ καὶ ἐπὶ μιᾶς τραπέζης φάγονται καὶ
ψευδολογήσουσι καὶ οὐκ εὐοδωθήσονται· ἔτι γὰρ συντέλεια
47 εἰς καιρόν. καὶ ἐπιστρέψει εἰς τὴν χώραν αὐτοῦ ἐν χρήμασι 28
πολλοῖς, καὶ καρδία αὐτοῦ ἐπὶ τὴν διαθήκην τοῦ ἁγίου· ποιή-
48 σει καὶ ἐπιστρέψει ἐπὶ τὴν χώραν αὐτοῦ εἰς καιρόν. καὶ εἰσε- 29
λεύσεται εἰς Αἴγυπτον, καὶ οὐκ ἔσται ὡς ἡ πρώτη καὶ ἡ ἐσχά-
49 τη. καὶ ἥξουσι Ῥωμαῖοι καὶ ἐξώσουσιν αὐτὸν καὶ ἐμβριμήσο- 30
νται αὐτῷ· καὶ ἐπιστρέψει καὶ ὀργισθήσεται ἐπὶ τὴν διαθήκην
τοῦ ἁγίου· καὶ ποιήσει καὶ ἐπιστρέψει καὶ διανοηθήσεται ἐπ'
50 αὐτούς, ἀνθ' ὧν ἐγκατέλιπον τὴν διαθήκην τοῦ ἁγίου. καὶ βρα- 31
χίονες παρ' αὐτοῦ στήσονται καὶ μιανοῦσι τὸ ἅγιον τοῦ φόβου
καὶ ἀποστήσουσι τὴν θυσίαν καὶ δώσουσι βδέλυγμα ἐρημώσε-
51 ως. καὶ ἐν ἁμαρτίαις διαθήκης μιανοῦσιν ἐν σκληρῷ λαῷ, καὶ 32
52 ὁ δῆμος ὁ γινώσκων ταῦτα κατισχύσουσι καὶ ποιήσουσι. καὶ 33
ἐννοούμενοι τοῦ ἔθνους συνήσουσιν εἰς πολλούς· καὶ προσκό-
ψουσι ῥομφαίᾳ καὶ παλαιωθήσονται ἐν αὐτῇ καὶ ἐν αἰχμαλωσίᾳ
53 καὶ ἐν προνομῇ ἡμερῶν κηλιδωθήσονται. καὶ ὅταν συντρίβω- 34
νται, συνάδουσιν ἰσχὺν βραχεῖαν, καὶ ἐπισυναχθήσονται ἐπ'
54 αὐτοὺς πολλοὶ ἐπὶ πόλεως καὶ πολλοὶ ὡς ἐν κληροδοσίᾳ. καὶ 35
ἐκ τῶν συνιέντων διανοηθήσονται εἰς τὸ καθαρίσαι ἑαυτοὺς
καὶ εἰς τὸ ἐκλεγῆναι καὶ εἰς τὸ καθαρισθῆναι ἕως καιροῦ συ-
55 ντελείας· ἔτι γὰρ καιρὸς εἰς ὥρας. καὶ ποιήσει κατὰ τὸ θέλημα 36
αὐτοῦ ὁ βασιλεὺς καὶ παροργισθήσεται καὶ ὑψωθήσεται ἐπὶ
πάντα θεὸν καὶ ἐπὶ τὸν θεὸν τῶν θεῶν ἔξαλλα λαλήσει καὶ εὐο-
δωθήσεται, ἕως ἂν συντελεσθῇ ἡ ὀργή· εἰς αὐτὸν γὰρ συντέ-
56 λεια γίνεται. καὶ ἐπὶ τοὺς θεοὺς τῶν πατέρων αὐτοῦ οὐ μὴ 37
προνοηθῇ καὶ ἐν ἐπιθυμίᾳ γυναικὸς οὐ μὴ προνοηθῇ, ὅτι ἐν
57 παντὶ ὑψωθήσεται, καὶ ὑποταγήσεται αὐτῷ ἔθνη ἰσχυρά· ἐπὶ 38
τὸν τόπον αὐτοῦ κινήσει καὶ θεόν, ὃν οὐκ ἔγνωσαν οἱ πατέρες
58 αὐτοῦ, τιμήσει ἐν χρυσίῳ καὶ ἀργυρίῳ καὶ λίθῳ πολυτελεῖ. καὶ
ἐν ἐπιθυμήμασι ποιήσει πόλεων καὶ εἰς ὀχύρωμα ἰσχυρὸν ἥξει· 39
μετὰ θεοῦ ἀλλοτρίου, οὗ ἐὰν ἐπιγνῷ, πληθυνεῖ δόξαν καὶ κατα-
κυριεύσει αὐτοῦ ἐπὶ πολὺ καὶ χώραν ἀπομεριεῖ εἰς δωρεάν.
59 καὶ καθ' ὥραν συντελείας συγκερατισθήσεται αὐτῷ ὁ βασι- 40
λεὺς Αἰγύπτου, καὶ ἐποργισθήσεται αὐτῷ βασιλεὺς βορρᾶ ἐν
ἅρμασι καὶ ἐν ἵπποις πολλοῖς καὶ ἐν πλοίοις πολλοῖς καὶ εἰσε-
λεύσεται εἰς χώραν Αἰγύπτου καὶ ἐπελεύσεται εἰς τὴν χώραν 41
μου, καὶ ἐν χώρᾳ Αἰγύπτου οὐκ ἔσται ἐν αὐτῇ διασῳζόμενος. 42
60 καὶ κρατήσει τοῦ τόπου τοῦ χρυσίου καὶ τοῦ τόπου τοῦ ἀργυ- 43
ρίου καὶ πάσης τῆς ἐπιθυμίας Αἰγύπτου, καὶ Λίβυες καὶ Αἰθίο-
61 πες ἔσονται ἐν τῷ ὄχλῳ αὐτοῦ. καὶ ἀκοὴ ταράξει αὐτὸν ἀπὸ ἀ- 44

νατολῶν καὶ βορρᾶ, καὶ ἐξελεύσεται ἐν θυμῷ ἰσχυρῷ καὶ ῥομ-
62 φαίᾳ ἀφανίσαι καὶ ἀποκτεῖναι πολλούς. καὶ στήσει αὐτοῦ τὴν 45
σκηνὴν τότε ἀνὰ μέσον τῶν θαλασσῶν καὶ τοῦ ὄρους τῆς θε-
λήσεως τοῦ ἁγίου· καὶ ἥξει ὥρα τῆς συντελείας αὐτοῦ, καὶ
63 οὐκ ἔσται ὁ βοηθῶν αὐτῷ. καὶ κατὰ τὴν ὥραν ἐκείνην παρε- 1 **12**
λεύσεται Μιχαὴλ ὁ ἄγγελος ὁ μέγας ὁ ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς
67 τοῦ λαοῦ σου· ἐκείνη ἡ ἡμέρα θλίψεως, οἵα οὐκ ἐγενήθη ἀφ'
οὗ ἐγενήθησαν ἕως τῆς ἡμέρας ἐκείνης· καὶ ἐν ἐκείνῃ τῇ ἡμέ-
ρᾳ ὑψωθήσεται πᾶς ὁ λαός, ὃς ἂν εὑρεθῇ ἐγγεγραμμένος ἐν
65 τῷ βιβλίῳ. καὶ πολλοὶ τῶν καθευδόντων ἐν τῷ πλάτει τῆς γῆς 2
ἀναστήσονται, οἱ μὲν εἰς ζωὴν αἰώνιον, οἱ δὲ εἰς ὀνειδισμόν,
66 οἱ δὲ εἰς διασπορὰν καὶ αἰσχύνην αἰώνιον. καὶ οἱ συνιέντες φα- 3
νοῦσιν ὡς φωστῆρες τοῦ οὐρανοῦ καὶ οἱ κατισχύοντες τοὺς
λόγους μου ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ εἰς τὸν αἰῶνα τοῦ
67 αἰῶνος. καὶ σύ, Δανιήλ, κάλυψον τὰ προστάγματα καὶ σφράγι- 4
σαι τὸ βιβλίον ἕως καιροῦ συντελείας, ἕως ἂν ἀπομανῶσιν οἱ
68 πολλοὶ καὶ πλησθῇ ἡ γῇ ἀδικίας. καὶ εἶδον ἐγὼ Δανιὴλ καὶ ἰ- 5
δοὺ δύο ἕτεροι εἱστήκεισαν, εἷς ἔνθεν τοῦ ποταμοῦ καὶ εἷς ἔν-
69 θεν. καὶ εἶπα τῷ ἑνὶ τῷ περιβεβλημένῳ τὰ βύσσινα τῷ ἐπάνω· 6
Πότε οὖν συντέλεια ὧν εἴρηκάς μοι τῶν θαυμαστῶν καὶ ὁ κα-
70 θαρισμὸς τούτων; καὶ ἤκουσα τοῦ περιβεβλημένου τὰ βύσσι- 7
να, ὃς ἦν ἐπάνω τοῦ ὕδατος τοῦ ποταμοῦ· Ἕως καιροῦ συντε-
71 λείας· καὶ ὕψωσε τὴν δεξιὰν καὶ τὴν ἀριστερὰν εἰς τὸν οὐρα-
νὸν καὶ ὤμοσε τὸν ζῶντα εἰς τὸν αἰῶνα θεὸν ὅτι εἰς καιρὸν
καὶ καιροὺς καὶ ἥμισυ καιροῦ ἡ συντέλεια χειρῶν ἀφέσεως λα-
72 οῦ ἁγίου, καὶ συντελεσθήσεται πάντα ταῦτα. καὶ ἐγὼ ἤκουσα 8
καὶ οὐ διενοήθην παρ' αὐτὸν τὸν καιρὸν καὶ εἶπα· Κύριε, τίς ἡ
73 λύσις τοῦ λόγου τούτου, καὶ τίνος αἱ παραβολαὶ αὗται; καὶ εἶ- 9
πέ μοι· Ἀπότρεχε, Δανιήλ, ὅτι κατακεκαλυμμένα καὶ ἐσφραγι-
74 σμένα τὰ προστάγματα, ἕως ἂν πειρασθῶσι καὶ ἁγιασθῶσι 10
πολλοί, καὶ ἁμάρτωσιν οἱ ἁμαρτωλοί· καὶ οὐ μὴ διανοηθῶσι
75 πάντες οἱ ἁμαρτωλοί, καὶ οἱ διανοούμενοι προσέξουσιν. ἀφ' 11
οὗ ἂν ἀποσταθῇ ἡ θυσία διὰ παντὸς καὶ ἑτοιμασθῇ δοθῆναι τὸ
βδέλυγμα τῆς ἐρημώσεως, ἡμέρας χιλίας διακοσίας ἐνενήκο-
76 ντα. μακάριος ὁ ἐμμένων καὶ συνάξει εἰς ἡμέρας χιλίας τριακο- 12
77 σίας τριάκοντα πέντε. καὶ σὺ βάδισον ἀναπαύου· ἔτι γὰρ εἰσιν 13
ἡμέραι καὶ ὧραι εἰς ἀναπλήρωσιν συντελείας, καὶ ἀναπαύσῃ
καὶ ἀναστήσῃ ἐπὶ τὴν δόξαν σου εἰς συντέλειαν ἡμερῶν.

ΒΗΛ ΚΑΙ ΔΡΑΚΩΝ

Ἐκ προφητείας Ἀμβακοὺμ υἱοῦ Ἰησοῦ ἐκ τῆς φυλῆς Λευΐ.

2 Ἄνθρωπός τις ἦν ἱερεύς, ᾧ ὄνομα Δανιὴλ υἱὸς Ἀβάλ, συμβιωτὴς
3 τοῦ βασιλέως Βαβυλῶνος. καὶ ἦν εἴδωλον, Βήλ, ὃ ἐσέβοντο οἱ Βαβυ-
λώνιοι· ἀνηλίσκετο δὲ αὐτῷ καθ' ἑκάστην ἡμέραν σεμιδάλεως ἀρτά-
4 βαι δεκαδύο καὶ πρόβατα τέσσαρα καὶ ἐλαίου μετρηταὶ ἕξ. καὶ ὁ βασι-
λεὺς ἐσέβετο αὐτόν, καὶ ἐπορεύετο ὁ βασιλεὺς καθ' ἑκάστην ἡμέραν
5 καὶ προσεκύνει αὐτῷ· Δανιὴλ δὲ προσηύχετο πρὸς Κύριον. καὶ εἶπεν
ὁ βασιλεὺς τῷ Δανιήλ· Διὰ τί οὐ προσκυνεῖς τῷ Βήλ; καὶ εἶπε Δανιὴλ
πρὸς τὸν βασιλέα· Οὐδένα σέβομαι ἐγὼ εἰ μὴ Κύριον τὸν θεὸν τὸν
κτίσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ ἔχοντα πάσης σαρκὸς κυ-
6 ρ<ι>είαν. εἶπε δὲ ὁ βασιλεὺς αὐτῷ· Οὗτος οὖν οὐκ ἔστι θεός; οὐχ ὁ-
7 ρᾷς ὅσα εἰς αὐτὸν δαπανᾶται καθ' ἑκάστην ἡμέραν; καὶ εἶπεν αὐτῷ
Δανιήλ· Μηδαμῶς· μηδείς σε παραλογιζέσθω· οὗτος γὰρ ἔσωθεν μὲν
πήλινός ἐστιν, ἔξωθεν δὲ χαλκοῦς· ὀμνύω δέ σοι Κύριον τὸν θεὸν
8 τῶν θεῶν, ὅτι οὐθὲν βέβρωκε πώποτε οὗτος. καὶ θυμωθεὶς ὁ βασι-
λεὺς ἐκάλεσε τοὺς προεστηκότας τοῦ ἱεροῦ καὶ εἶπεν αὐτοῖς· Παρα-
δείξατε τὸν ἐσθίοντα τὰ παρασκευαζόμενα τῷ Βήλ· εἰ δὲ μή γε, ἀποθα-
νεῖσθε ἢ Δανιὴλ ὁ φάσκων μὴ ἐσθίεσθαι αὐτὰ ὑπ' αὐτοῦ. οἱ δὲ εἶπαν·
9 Αὐτὸς ὁ Βήλ ἐστιν ὁ κατεσθίων αὐτά. εἶπε δὲ Δανιὴλ πρὸς τὸν βασι-
λέα Γινέσθω οὕτως· ἐὰν μὴ παραδείξω ὅτι οὐκ ἔστιν ὁ Βὴλ ὁ κατε-
σθίων ταῦτα, ἀποθανοῦμαι καὶ πάντες οἱ παρ' ἐμοῦ. ἦσαν δὲ τῷ Βὴλ
10 ἱερεῖς ἑβδομήκοντα χωρὶς γυναικῶν καὶ τέκνων. ἤγαγον δὲ τὸν βασι-
11 λέα εἰς τὸ εἰδωλεῖον. καὶ παρετέθη τὰ βρώματα ἐνώπιον τοῦ βασιλέως
καὶ τοῦ Δανιήλ, καὶ οἶνος κερασθεὶς εἰσηνέχθη καὶ παρετέθη τῷ Βήλ.
12 καὶ εἶπε Δανιήλ· Σὺ αὐτὸς ὁρᾷς ὅτι κεῖται ταῦτα, βασιλεῦ· σὺ οὖν ἐπι-
13 σφράγισαι τὰς κλεῖδας τοῦ ναοῦ, ἐπὰν κλεισθῇ. ἤρεσε δὲ ὁ λόγος τῷ
14 βασιλεῖ. ὁ δὲ Δανιὴλ ἐκέλευσε τοὺς παρ' αὐτοῦ ἐκβαλόντας πάντας ἐκ
τοῦ ναοῦ κατασῆσαι ὅλον τὸν ναὸν σποδῷ οὐθενὸς τῶν ἐκτὸς αὐτοῦ
εἰδότος. καὶ τότε τὸν ναὸν ἐκέλευσε σφραγίσαι τῷ τοῦ βασιλέως δα-
κτυλίῳ καὶ τοῖς δακτυλίοις τινῶν ἐνδόξων ἱερέων· καὶ ἐγένετο οὕτω.
15 - 17 καὶ ἐγένετο τῇ ἐπαύριον παρεγένοντο ἐπὶ τὸν τόπον· οἱ δὲ ἱερεῖς τοῦ
Βὴλ διὰ ψευδοθυρίδων εἰσελθόντες κατέφαγον πάντα τὰ παρακείμενα
τῷ Βὴλ καὶ ἐξέπιον τὸν οἶνον. καὶ εἶπε Δανιήλ· Ἐπίδετε τὰς σφραγῖ-
δας ὑμῶν εἰ μένουσιν, ἄνδρες ἱερεῖς· καὶ σὺ δέ, βασιλεῦ, σκέψαι μή τί
σοι ἀσύμφωνον γεγένηται. καὶ εὗρον, ὡς ἦν ἡ σφραγίς, καὶ ἀπέβαλον
18 τὴν σφραγῖδα. καὶ ἀνοίξαντες τὰς θύρας εἶδον δεδαπανημένα πάντα
τὰ παρατεθέντα καὶ τὰς τραπέζας κενάς· καὶ ἐχάρη ὁ βασιλεὺς καὶ εἶ-
πε πρὸς τὸν Δανιήλ· Μέγας ἐστὶν ὁ Βήλ, καὶ οὐκ ἔστι παρ' αὐτῷ
19 δόλος. καὶ ἐγέλασε Δανιὴλ σφόδρα καὶ εἶπε τῷ βασιλεῖ· Δεῦρο ἴδε τὸν
20 δόλον τῶν ἱερέων. καὶ εἶπε Δανιήλ· Βασιλεῦ, ταῦτα τὰ ἴχνη τίνος ἐστί;
21 καὶ εἶπεν ὁ βασιλεύς· Ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων. καὶ ἐπῆλθεν

ἐπὶ τὸν οἶκον, ἐν ᾧ ἦσαν οἱ ἱερεῖς καταγινόμενοι, καὶ εὗρε τὰ βρώμα-
τα τοῦ Βὴλ καὶ τὸν οἶνον· καὶ ἐπέδειξε Δανιὴλ τῷ βασιλεῖ τὰ ψευδοθύ-
ρια, δι' ὧν εἰσπορευόμενοι οἱ ἱερεῖς ἐδαπάνων τὰ παρατιθέμενα τῷ
22 Βήλ. καὶ ἐξήγαγεν αὐτοὺς ὁ βασιλεὺς ἐκ τοῦ Βηλείου καὶ παρέδωκεν
αὐτοὺς τῷ Δανιήλ· καὶ τὴν δαπάνην τὴν εἰς αὐτὸν ἔδωκε τῷ Δανιήλ,
τὸν δὲ Βὴλ κατέστρεψε.

23 Καὶ ἦν δράκων ἐν τῷ αὐτῷ τόπῳ, καὶ ἐσέβοντο αὐτὸν οἱ Βαβυλώ-
24 νιοι. καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ· Μὴ καὶ τοῦτον ἐρεῖς ὅτι χαλ-
25 κοῦς ἐστιν; ἰδοὺ ζῇ καὶ ἐσθίει καὶ πίνει· προσκύνησον αὐτῷ. καὶ εἶπε
Δανιήλ· Βασιλεῦ, δός μοι τὴν ἐξουσίαν, καὶ ἀνελῶ τὸν δράκοντα ἄνευ
26 σιδήρου καὶ ῥάβδου. καὶ συνεχώρησεν αὐτῷ ὁ βασιλεὺς καὶ εἶπεν αὐ-
27 τῷ· Δέδοταί σοι. καὶ λαβὼν ὁ Δανιὴλ πίσσης μνᾶς τριάκοντα καὶ στέ-
αρ καὶ τρίχας ἥψησεν ἐπὶ τὸ αὐτὸ καὶ ἐποίησε μᾶζαν καὶ ἐνέβαλεν εἰς
τὸ στόμα τοῦ δράκοντος, καὶ φαγὼν διερράγη. καὶ ἔδειξεν αὐτὸν τῷ
28 βασιλεῖ λέγων· Οὐ ταῦτα σέβεσθε, βασιλεῦ; καὶ συνήχθησαν οἱ ἀπὸ
τῆς χώρας πάντες ἐπὶ τὸν Δανιὴλ καὶ εἶπαν· Ἰουδαῖος γέγονεν ὁ βασι-
30 λεύς· τὸν Βὴλ κατέστρεψε καὶ τὸν δράκοντα ἀπέκτεινε. καὶ ἰδὼν ὁ βα-
σιλεὺς ὅτι ἐπισυνήχθη ὁ ὄχλος τῆς χώρας ἐπ' αὐτόν, ἐκάλεσε τοὺς
31 32 συμβιωτὰς αὐτοῦ καὶ εἶπε· Δίδωμι τὸν Δανιὴλ εἰς ἀπώλειαν. ἦν δὲ
λάκκος ἐν ᾧ ἐτρέφοντο λέοντες ἑπτά, οἷς παρεδίδοντο οἱ ἐπίβουλοι
τοῦ βασιλέως, καὶ ἐχορηγεῖτο αὐτοῖς καθ' ἑκάστην ἡμέραν τῶν ἐπιθα-
νατίων σώματα δύο. καὶ ἐνέβαλον τὸν Δανιὴλ οἱ ὄχλοι εἰς ἐκεῖνον τὸν
λάκκον, ἵνα καταβρωθῇ καὶ μηδὲ ταφῆς τύχῃ. καὶ ἦν ἐν τῷ λάκκῳ Δα-
33 νιὴλ ἡμέρας ἕξ. καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ ἕκτῃ καὶ ἦν Ἀμβακοὺμ ἔχων
ἄρτους ἐντεθρυμμένους ἐν σκάφῃ ἐν ἑψήματι καὶ στάμνον οἴνου κε-
34 κραμένου καὶ ἐπορεύετο εἰς τὸ πεδίον πρὸς τοὺς θεριστάς. καὶ ἐλάλη-
σεν ἄγγελος Κυρίου πρὸς Ἀμβακοὺμ λέγων Τάδε λέγει σοι Κύριος ὁ
θεός· Τὸ ἄριστον, ὃ ἔχεις, ἀπένεγκε <εἰς> Δανιὴλ εἰς τὸν λάκκον
35 τῶν λεόντων ἐν Βαβυλῶνι. καὶ εἶπεν Ἀμβακούμ· Κύριε ὁ θεός, οὐχ ἑ-
36 ώρακα τὴν Βαβυλῶνα καὶ τὸν λάκκον οὐ γινώσκω ποῦ ἐστι. καὶ ἐπι-
λαβόμενος ὁ ἄγγελος Κυρίου τοῦ Ἀμβακοὺμ ἐκ τῆς κόμης αὐτοῦ τῆς
37 κεφαλῆς ἔθηκεν αὐτὸν ἐπάνω τοῦ λάκκου τοῦ ἐν Βαβυλῶνι. καὶ εἶπεν
38 Ἀμβακοὺμ πρὸς Δανιήλ, Ἀναστὰς φάγε τὸ ἄριστον, ὃ ἀπέστειλέ σοι
Κύριος ὁ θεός. καὶ εἶπε Δανιήλ· Ἐμνήσθη γάρ μου Κύριος ὁ θεὸς ὁ μὴ
39 ἐγκαταλείπων τοὺς ἀγαπῶντας αὐτόν. καὶ ἔφαγε Δανιήλ· ὁ δὲ ἄγγε-
λος Κυρίου κατέστησε τὸν Ἀμβακοὺμ ὅθεν αὐτὸν ἔλαβε τῇ αὐτῇ ἡμέ-
40 ρᾳ. ὁ δὲ Κύριος ὁ θεὸς ἐμνήσθη τοῦ Δανιήλ. ἐξῆλθε δὲ ὁ βασιλεὺς με-
τὰ ταῦτα πενθῶν τὸν Δανιὴλ καὶ ἐγκύψας εἰς τὸν λάκκον ὁρᾷ αὐτὸν
41 καθήμενον. καὶ ἀναβοήσας εἶπεν ὁ βασιλεύς· Μέγας ἐστὶ Κύριος ὁ θε-
42 ός, καὶ οὐκ ἔστι πλὴν αὐτοῦ ἄλλος. καὶ ἐξήγαγεν ὁ βασιλεὺς τὸν Δανι-
ὴλ ἐκ τοῦ λάκκου· καὶ τοὺς αἰτίους τῆς ἀπωλείας αὐτοῦ ἐνέβαλεν εἰς
τὸν λάκκον ἐνώπιον τοῦ Δανιήλ, καὶ κατεβρώθησαν.

Δ
ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ ΒΙΒΛΟΝ

Δ
ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ ΒΙΒΛΟΝ

1. Σχόλια εἰς τὴν Παλαιὰν Διαθήκην
2. Σχόλια εἰς τὴν Καινὴν Διαθήκην

I. ΣΧΟΛΙΑ
ΕΙΣ ΤΗΝ ΠΑΛΑΙΑΝ ΔΙΑΘΗΚΗΝ

Σὲ ὅσα ἀποσπάσματα - σχόλια ὑπάρχουν ἀγκύλες [...], εἶναι σχόλια μόνο τὰ ἐντὸς ἀγκυλῶν.

ΣΧΟΛΙΑ ΕΙΣ ΓΕΝΕΣΙΝ

1 3 ...καὶ εἰς ἐνιαυτούς. [καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς]. 15 **1**

5 ...ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, [ὥστε φαίνειν ἐπὶ τῆς γῆς καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτὸς καὶ διαχωρίζειν ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους]. 17 18

21 ...κατὰ γένος, [καὶ τὰ κτήνη κατὰ γένος] αὐτῶν 25

25 ...καὶ πάντων τῶν κτηνῶν [καὶ πάσης] τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν... 28

27 [καὶ πάντα χόρτον χλωρὸν] εἰς βρῶσιν. καὶ ἐγένετο οὕτω. 30

31+ Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο· ᾗ ἡμέρᾳ ἐποίησε Κύριος ὁ θεός τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι· οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι αὐτήν· πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς. 4 5 6 **2**

2 4+ ...ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς. ὄνομα τῷ ἑνὶ Φισών· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλάτ, ἐκεῖ οὗ ἐστι τὸ χρυσίον· τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν· καὶ ἐκεῖ ἐστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος. καὶ ὄνομα τῷ ποταμῷ τῷ δευτέρῳ Γεών· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας. καὶ ὁ ποταμὸς ὁ τρίτος Τίγρης· οὗτος ὁ προπορευόμενος κατέναντι Ἀσσυρίων. ὁ δὲ ποταμὸς ὁ τέταρτος Εὐφράτης. 10 11 11 12 13 14

...ἐκάλεσεν Ἀδὰμ ὀνόματα [πᾶσι τοῖς κτήνεσι καὶ] πᾶσι... 20

3 17 ...ἐπικατάρατος σὺ [ἀπὸ πάντων τῶν κτηνῶν καὶ] ἀπὸ πάντων τῶν θηρίων... 14 **3**

...καὶ [ἔφαγες] ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι... 17

4 18+ ...καὶ εἶπε Κάιν πρὸς Κύριον τὸν θεόν· Μείζων ἡ αἰτία μου τοῦ 13 **4**
ἀφεθῆναί με· εἰ ἐκβάλλεις με σήμερον ἀπὸ προσώπου τῆς γῆς 14
καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, καὶ ἔσομαι στένων
καὶ τρέμων ἐπὶ τῆς γῆς, καὶ ἔσται πᾶς ὁ εὑρίσκων με, ἀποκτε-
νεῖ με. καὶ εἶπεν αὐτῷ Κύριος ὁ θεός· Οὐχ οὕτως· πᾶς ὁ ἀπο- 15
κτείνας Κάιν ἑπτὰ ἐκδικούμενα παραλύσει. καὶ ἔθετο Κύριος ὁ
θεὸς σημεῖον τῷ Κάιν τοῦ μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρί-
σκοντα αὐτόν. ἐξῆλθε δὲ Κάιν ἀπὸ προσώπου τοῦ θεοῦ καὶ ᾤ- 16
κησεν ἐν γῇ Ναΐδ κατέναντι Ἐδέμ.

Καὶ ἔγνω Κάιν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε 17
τὸν Ἐνώχ. καὶ ἦν οἰκοδομῶν πόλιν καὶ ἐπωνόμασε τὴν πόλιν
ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἐνώχ. ἐγεννήθη δὲ τῷ Ἐνὼχ 18
Γαϊδάδ, καὶ Γαϊδὰδ ἐγέννησε τὸν Μαλελεήλ, καὶ Μαλελεὴλ ἐ-
γέννησε τὸν Μαθουσάλα, καὶ Μαθουσάλα ἐγέννησε τὸν Λάμεχ.
καὶ ἔλαβεν ἑαυτῷ Λάμεχ δύο γυναῖκας, ὄνομα τῇ μιᾷ Ἀδά, καὶ 19
ὄνομα τῇ δευτέρᾳ Σελλά. καὶ ἔτεκεν Ἀδὰ τὸν Ἰωβήλ· οὗτος ἦν 20
πατὴρ οἰκούντων ἐν σκηναῖς κτηνοτρόφων. καὶ ὄνομα τῷ ἀ- 21
δελφῷ αὐτοῦ Ἰουβάλ· οὗτος ἦν ὁ καταδείξας ψαλτήριον καὶ κι-
θάραν. Σελλὰ δέ καὶ αὐτὴ ἔτεκε τὸν Θόβελ· καὶ ἦν σφυροκό- 22
πος χαλκεὺς χαλκοῦ καὶ σιδήρου. ἀδελφὴ δὲ Θόβελ Νοεμά. εἶ- 23
πε δὲ Λάμεχ ταῖς ἑαυτοῦ γυναιξίν·

Ἀδὰ καὶ Σελλά, ἀκούσατέ μου τῆς φωνῆς,
γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους,
ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ
καὶ νεανίσκον εἰς μώλωπα ἐμοί·
ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάιν, 24
ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά.

5 6+ ...Ἀδὰμ... [τριάκοντα καὶ διακόσια] ἔτη... [ἑπτακόσια].. [τριά- 3-5 **5**
κοντα καὶ ἐνακόσια]...
Σὴθ· πέντε καὶ διακόσια... ἑπτὰ καὶ ἑπτακόσια... δώδεκα καὶ ἐ- 6-8
νακόσια.
Ἐνὼς· ἑκατὸν ἐνενήκοντα... πεντεκαίδεκα καὶ ἑπτακόσια... πέ- 9 - 11
ντε καὶ ἐνακόσια.
Καϊνάν· ἑβδομήκοντα καὶ ἑκατὸν... τεσσαράκοντα καὶ ἑπτακό- 12 - 14
σια... δέκα καὶ ἐνακόσια.
Μαλελεήλ· πέντε καὶ ἑξήκοντα καὶ ἑκατὸν... τριάκοντα καὶ ἑ- 15 - 17
πτακόσια... πέντε καὶ ἐνενήκοντα καὶ ὀκτακόσια.
Ἰάρεδ· δύο καὶ ἑξήκοντα καὶ ἑκατὸν... ὀκτακόσια... δύο καὶ ἑ- 18 - 20
ξήκοντα καὶ ἐνακόσια.

Ἐνώχ· πέντε καὶ ἑξήκοντα καὶ ἑκατὸν... διακόσια... πέντε καὶ 21 - 24
ἑξήκοντα καὶ τριακόσια.
Μαθουσάλα· ἑπτὰ καὶ ἑξήκοντα καὶ ἑκατὸν... δύο καὶ ὀκτακό- 25 - 27
σια... ἐννέα καὶ ἑξήκοντα καὶ ἐνακόσια.
Λάμεχ· ὀκτὼ καὶ ὀγδοήκοντα καὶ ἑκατὸν... πεντακόσια καὶ ἑ- 28 - 31
ξήκοντα καὶ πέντε... ἑπτακόσια καὶ πεντήκοντα τρία.

< ΝΩΕ >

< 1. Κατακλυσμός >

6 33+ [Καὶ ἦν Νῶε ἐτῶν πεντακοσίων καὶ ἐγέννησε τρεῖς υἱούς, 32
τὸν Σήμ, τὸν Χάμ, καὶ τὸν Ἰάφεθ.
Καὶ ἐγένετο ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι 1 **6**
ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς. ἰδόντες δὲ οἱ 2
υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰσιν, ἔ-
λαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο. καὶ εἶπε 3
Κύριος ὁ θεός· οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώ-
ποις τούτοις εἰς τὸν αἰῶνα διὰ τὸ εἶναι αὐτοὺς σάρκας, ἔσο-
νται δὲ αἱ ἡμέραι αὐτῶν ἑκατὸν εἴκοσιν ἔτη. οἱ δὲ γίγαντες ἦ- 4
σαν ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ μετ' ἐκεῖνο, ὡς
ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ θεοῦ πρὸς τὰς θυγατέρας τῶν
ἀνθρώπων, καὶ ἐγεννῶσαν ἑαυτοῖς· ἐκεῖνοι ἦσαν οἱ γίγαντες
οἱ ἀπ' αἰῶνος οἱ ἄνθρωποι οἱ ὀνομαστοί].
7 1+ Ἰδὼν δὲ Κύριος ὁ θεός, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν 5
ἀνθρώπων ἐπὶ τῆς γῆς καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐ-
τοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας, μετεμελήθη ὁ 6
θεὸς ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς καὶ διενοήθη. καὶ 7
εἶπεν ὁ θεός· Ἀπαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα ἀπὸ προ-
σώπου τῆς γῆς, [ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ ἀπὸ ἑρπε-
τῶν ἕως πετεινῶν τοῦ οὐρανοῦ], ὅτι μετεμελήθην ὅτι ἐποίησα
αὐτούς. Νῶε δὲ εὗρε χάριν ἐναντίον Κυρίου τοῦ θεοῦ. 8
7 1+ Αὗται δὲ αἱ γενέσεις Νῶε· Νῶε ἄνθρωπος δίκαιος, τέ- 9
λειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ· τῷ θεῷ εὐηρέστησε Νῶε. ἐγέννη- 10
σε δὲ Νῶε τρεῖς υἱούς, τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ. ἐφθάρη 11
δὲ ἡ γῆ ἐναντίον Κυρίου τοῦ θεοῦ, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας.
καὶ εἶδε Κύριος ὁ θεὸς τὴν γῆν, καὶ ἦν κατεφθαρμένη, ὅτι κα- 12
τέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτοῦ ἐπὶ τῆς γῆς. καὶ εἶπε Κύ- 13
ριος ὁ θεὸς τῷ Νῶε· Καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον
μου, ὅτι ἐπλήσθη ἡ γῆ ἀδικίας ἀπ' αὐτῶν, καὶ ἰδοὺ ἐγὼ κατα-
φθείρω αὐτούς. [καὶ τὴν γῆν]. ποίησον οὖν σεαυτῷ κιβωτὸν 14
ἐκ ξύλων τετραγώνων· νοσσιὰς ποιήσεις εἰς τὴν κιβωτὸν καὶ
ἀσφαλτώσεις αὐτὴν ἔσωθεν καὶ ἔξωθεν τῇ ἀσφάλτῳ. καὶ οὕτω 15
ποιήσεις τὴν κιβωτόν· [τριακοσίων] πήχεων τὸ μῆκος τῆς κι-

βωτοῦ καὶ [πεντήκοντα] πήχεων τὸ πλάτος καὶ [τριάκοντα]
πήχεων τὸ ὕψος αὐτῆς· ἐπισυνάγων ποιήσεις τὴν κιβωτὸν καὶ 16
εἰς πῆχυν συντελέσεις αὐτὴν ἄνωθεν· τὴν δὲ θύραν τῆς κιβω-
τοῦ ποιήσεις ἐκ πλαγίων· κατάγαια διώροφα καὶ τριώροφα
ποιήσεις αὐτήν. ἐγὼ δὲ ἰδοὺ ἐπάγω [τὸν] κατακλυσμόν, ὕδωρ 17
ἐπὶ τὴν γῆν καταφθεῖραι πᾶσαν σάρκα, [ἐν ᾗ ἐστι πνεῦμα ζω-
ῆς], ὑποκάτω τοῦ οὐρανοῦ· [καὶ ὅσα ἐὰν ᾖ ἐπὶ τῆς γῆς, τελευ-
τήσει]. καὶ στήσω τὴν διαθήκην μου μετὰ σοῦ· εἰσελεύσῃ δὲ 18
εἰς τὴν κιβωτὸν σὺ καὶ οἱ υἱοί σου καὶ ἡ γυνή σου καὶ αἱ γυ-
ναῖκες τῶν υἱῶν σου μετὰ σοῦ, καὶ ἀπὸ πάντων τῶν κτηνῶν
σου. [καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν καὶ ἀπὸ πάντων τῶν θη- 19
ρίων καὶ ἀπὸ πάσης σαρκός, δύο δύο ἀπὸ πάντων εἰσάξεις εἰς
τὴν κιβωτόν, ἵνα τρέφῃς μετὰ σεαυτοῦ· ἄρσεν καὶ θῆλυ ἔσο-
νται. ἀπὸ πάντων τῶν ὀρνέων τῶν πετεινῶν κατὰ γένος, καὶ 20
ἀπὸ πάντων τῶν κτηνῶν κατὰ γένος καὶ ἀπὸ πάντων τῶν ἑρ-
πετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς κατὰ γένος αὐτῶν. δύο δύο
ἀπὸ πάντων εἰσελεύσονται πρὸς σὲ τρέφεσθαι μετὰ σοῦ, ἄρ-
σεν καὶ θῆλυ]. σὺ δὲ λήψῃ σεαυτῷ ἀπὸ πάντων τῶν βρωμά- 21
των, ἃ ἔδεσθε, καὶ συνάξεις πρὸς σεαυτόν, καὶ ἔσται σοι καὶ ἐ-
κείνοις φαγεῖν. καὶ ἐποίησε Νῶε πάντα, ὅσα ἐνετείλατο αὐτῷ 22
Κύριος ὁ θεός, οὕτως ἐποίησε.

8 1 Καὶ εἶπε Κύριος ὁ θεὸς πρὸς Νῶε· εἴσελθε σὺ καὶ πᾶς ὁ 1 **7**
οἶκός σου εἰς τὴν κιβωτόν, ὅτι σὲ εἶδον δίκαιον ἐναντίον μου
ἐν τῇ γενεᾷ ταύτῃ. [ἀπὸ δὲ τῶν κτηνῶν τῶν καθαρῶν εἰσάγα- 2
γε πρὸς σὲ ἑπτὰ ἑπτά, ἄρσεν καὶ θῆλυ, ἀπὸ δὲ τῶν κτηνῶν
τῶν μὴ καθαρῶν δύο δύο, ἄρσεν καὶ θῆλυ, καὶ ἀπὸ τῶν πετει- 3
νῶν τοῦ οὐρανοῦ τῶν καθαρῶν ἑπτὰ ἑπτά, ἄρσεν καὶ θῆλυ,
καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν μὴ καθαρῶν δύο δύο, ἄρ-
σεν καὶ θῆλυ, διαθρέψαι σπέρμα ἐπὶ πᾶσαν τὴν γῆν]. ἔτι γὰρ ἡ- 4
μερῶν ἑπτὰ ἐγὼ ἐπάγω ὑετὸν ἐπὶ τὴν γῆν τεσσαράκοντα ἡμέ-
ρας καὶ τεσσαράκοντα νύκτας καὶ ἐξαλείψω πάντα ἄνθρωπον
[πᾶν τὸ ἀνάστημα], ὃν ἐποίησα, ἀπὸ προσώπου [πάσης] τῆς
γῆς. καὶ ἐποίησε Νῶε πάντα, ὅσα ἐνετείλατο αὐτῷ Κύριος ὁ 5
θεός.

Νῶε δὲ ἦν ἐτῶν [ἑξακοσίων], καὶ ὁ κατακλυσμὸς τοῦ ὕ- 6
δατος ἐγένετο ἐπὶ τῆς γῆς. εἰσῆλθε δὲ Νῶε καὶ οἱ υἱοὶ αὐτοῦ 7
καὶ ἡ γυνὴ αὐτοῦ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ
εἰς τὴν κιβωτὸν διὰ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ. [καὶ ἀπὸ τῶν 8
πετεινῶν τῶν καθαρῶν καὶ ἀπὸ τῶν πετεινῶν τῶν μὴ καθα-
ρῶν καὶ ἀπὸ τῶν κτηνῶν τῶν καθαρῶν καὶ ἀπὸ τῶν κτηνῶν
τῶν μὴ καθαρῶν καὶ ἀπὸ πάντων τῶν ἑρπόντων ἐπὶ τῆς γῆς
δύο δύο εἰσῆλθον πρὸς Νῶε εἰς τὴν κιβωτόν, ἄρσεν καὶ θῆλυ, 9
καθὰ ἐνετείλατο ὁ θεὸς τῷ Νῶε]. καὶ ἐγένετο μετὰ τὰς ἑπτὰ ἡ- 10
μέρας καὶ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ ἐγένετο ἐπὶ τῆς γῆς. [ἐν 11
τῷ ἑξακοσιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ Νῶε, τοῦ δευτέρου μη-

νός, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός, τῇ ἡμέρᾳ ταύτῃ] καὶ ἐρράγη-
σαν πᾶσαι αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταρράκται τοῦ οὐ-
ρανοῦ ἠνεῴχθησαν. καὶ ἐγένετο ὑετὸς ἐπὶ τῆς γῆς τεσσαράκο- 12
ντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας. [ἐν τῇ ἡμέρᾳ ταύτῃ εἰ- 13
σῆλθε Νῶε, Σήμ, Χάμ, Ἰάφεθ, οἱ υἱοὶ Νῶε, καὶ ἡ γυνὴ Νῶε
καὶ αἱ τρεῖς γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ εἰς τὴν κιβω-
τόν. καὶ πάντα τὰ θηρία κατὰ γένος καὶ πάντα τὰ κτήνη κατὰ 14
γένος καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς κατὰ γένος καὶ
πᾶν ὄρνεον πετεινὸν κατὰ γένος αὐτοῦ εἰσῆλθον πρὸς Νῶε
εἰς τὴν κιβωτόν, δύο δύο ἄρσεν καὶ θῆλυ ἀπὸ πάσης σαρκός, 15
ἐν ᾧ ἐστι πνεῦμα ζωῆς. καὶ τὰ εἰσπορευόμενα ἄρσεν καὶ θῆλυ 16
ἀπὸ πάσης σαρκὸς εἰσῆλθε, καθὰ ἐνετείλατο ὁ θεὸς τῷ Νῶε.
καὶ ἔκλεισε Κύριος ὁ θεὸς τὴν κιβωτὸν ἔξωθεν αὐτοῦ.

Καὶ ἐγένετο ὁ κατακλυσμὸς τεσσαράκοντα ἡμέρας καὶ 17
τεσσαράκοντα νύκτας ἐπὶ τῆς γῆς], καὶ ἐπεπληθύνθη τὸ ὕδωρ
καὶ ἐπῆρε τὴν κιβωτόν, καὶ ὑψώθη ἀπὸ τῆς γῆς. καὶ ἐπεκράτει 18
τὸ ὕδωρ καὶ ἐπληθύνετο ἐπὶ τῆς γῆς σφόδρα, καὶ ἐπεφέρετο ἡ
κιβωτὸς ἐπάνω τοῦ ὕδατος. [τὸ δὲ ὕδωρ ἐπεκράτει σφόδρα 19
σφόδρα ἐπὶ τῆς γῆς καὶ ἐκάλυψε πάντα τὰ ὄρη τὰ ὑψηλά, ἃ ἦν
ὑποκάτω τοῦ οὐρανοῦ· πεντεκαίδεκα πήχεις ὑπεράνω ὑψώθη 20
τὸ ὕδωρ καὶ ἐπεκάλυψε πάντα τὰ ὄρη τὰ ὑψηλά]. καὶ ἀπέθανε 21
[πᾶσα σὰρξ κινουμένη ἐπὶ τῆς γῆς τῶν πετεινῶν καὶ τῶν κτη-
νῶν καὶ τῶν θηρίων καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς
καὶ] πᾶς ἄνθρωπος. [καὶ πάντα, ὅσα ἔχει πνοὴν ζωῆς, καὶ 22
πᾶν, ὃ ἦν ἐπὶ τῆς ξηρᾶς, ἀπέθανε. καὶ ἐξήλειψε πᾶν τὸ ἀνάστη- 23
μα, ὃ ἦν ἐπὶ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους
καὶ ἑρπετῶν καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ ἐξηλείφθησαν
ἀπὸ τῆς γῆς· καὶ κατελείφθη μόνος Νῶε καὶ οἱ μετ' αὐτοῦ ἐν
τῇ κιβωτῷ. καὶ ὑψώθη τὸ ὕδωρ ἐπὶ τῆς γῆς ἡμέρας ἑκατὸν πε- 24
ντήκοντα].

Καὶ ἐμνήσθη ὁ θεὸς τοῦ Νῶε [καὶ πάντων τῶν θηρίων καὶ 1 **8**
πάντων τῶν κτηνῶν καὶ πάντων τῶν πετεινῶν καὶ πάντων
τῶν ἑρπετῶν τῶν ἑρπόντων, ὅσα ἦν μετ' αὐτοῦ ἐν τῇ κιβω-
τῷ], καὶ ἐπήγαγεν ὁ θεὸς πνεῦμα ἐπὶ τὴν γῆν, καὶ ἐκόπασε τὸ 2
ὕδωρ, καὶ ἐπεκαλύφθησαν αἱ πηγαὶ τῆς ἀββύσσου καὶ οἱ κα-
ταρράκται τοῦ οὐρανοῦ, καὶ συνεσχέθη ὁ ὑετὸς ἀπὸ τοῦ οὐρα-
νοῦ. καὶ ἐνεδίδου τὸ ὕδωρ πορευόμενον ἀπὸ τῆς γῆς, καὶ ἠ- 3
λαττονοῦτο τὸ ὕδωρ [μετὰ πεντήκοντα καὶ ἑκατὸν ἡμέρας].
καὶ ἐκάθισεν ἡ κιβωτὸς [ἐν μηνὶ τῷ ἑβδόμῳ, ἑβδόμῃ καὶ εἰκάδι 4
τοῦ μηνός], ἐπὶ τὰ ὄρη τὰ Ἀραράτ. [τὸ δέ ὕδωρ ἠλαττονοῦτο 5
ἕως τοῦ δεκάτου μηνός· καὶ ἐν τῷ δεκάτῳ μηνί, τῇ πρώτῃ τοῦ
μηνός, ὤφθησαν αἱ κεφαλαὶ τῶν ὀρέων. καὶ ἐγένετο μετὰ τεσ- 6
σαράκοντα ἡμέρας ἠνέῳξε Νῶε τὴν θυρίδα τῆς κιβωτοῦ, ἣν ἐ-
ποίησε, καὶ ἀπέστειλε τὸν κόρακα τοῦ ἰδεῖν, εἰ κεκόπακε τὸ ὕ-
δωρ· καὶ ἐξελθών, οὐκ ἀνέστρεψεν ἕως τοῦ ξηρανθῆναι τὸ ὕ- 7

δωρ ἀπὸ τῆς γῆς. καὶ ἀπέστειλε τὴν περιστερὰν ὀπίσω αὐτοῦ 8
ἰδεῖν, εἰ κεκόπακε τὸ ὕδωρ ἀπὸ τῆς γῆς. καὶ οὐχ εὑροῦσα ἡ 9
περιστερὰ ἀνάπαυσιν τοῖς ποσὶν αὐτῆς, ἀνέστρεψε πρὸς αὐ-
τὸν εἰς τὴν κιβωτόν, ὅτι ὕδωρ ἦν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς
γῆς, καὶ ἐκτείνας τὴν χεῖρα ἔλαβεν αὐτήν, καὶ εἰσήγαγεν αὐτὴν
πρὸς ἑαυτὸν εἰς τὴν κιβωτόν. καὶ ἐπισχὼν ἔτι ἡμέρας ἑπτὰ ἑ- 10
τέρας, πάλιν ἐξαπέστειλε τὴν περιστερὰν ἐκ τῆς κιβωτοῦ· καὶ 11
ἀνέστρεψε πρὸς αὐτὸν ἡ περιστερὰ τὸ πρὸς ἑσπέραν, καὶ εἶχε
φύλλον ἐλαίας κάρφος ἐν τῷ στόματι αὐτῆς, καὶ ἔγνω Νῶε ὅτι
κεκόπακε τὸ ὕδωρ ἀπὸ τῆς γῆς. καὶ ἐπισχὼν ἔτι ἡμέρας ἑπτὰ 12
ἑτέρας, πάλιν ἐξαπέστειλε τὴν περιστεράν, καὶ οὐ προσέθετο
τοῦ ἐπιστρέψαι πρὸς αὐτὸν ἔτι. καὶ ἐγένετο ἐν τῷ ἑνὶ καὶ ἑξα- 13
κοσιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ Νῶε, τοῦ πρώτου μηνός, μιᾷ τοῦ
μηνός, ἐξέλιπε τὸ ὕδωρ ἀπὸ τῆς γῆς· καὶ ἀπεκάλυψε Νῶε τὴν
στέγην τῆς κιβωτοῦ, ἣν ἐποίησε, καὶ εἶδεν ὅτι ἐξέλιπε τὸ ὕ-
δωρ ἀπὸ προσώπου τῆς γῆς]. ἐν δὲ τῷ δευτέρῳ μηνὶ ἐξηράν- 14
θη ἡ γῆ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός.

9 1 Καὶ εἶπε Κύριος ὁ θεὸς πρὸς Νῶε λέγων· Ἔξελθε ἐκ τῆς 15 16
κιβωτοῦ, σὺ καὶ ἡ γυνή σου καὶ οἱ υἱοί σου καὶ αἱ γυναῖκες
τῶν υἱῶν σου μετὰ σοῦ καὶ πάντα τὰ [θηρία] κτήνη, ὅσα ἐστὶ 17
μετὰ σοῦ. [καὶ πᾶσα σὰρξ ἀπὸ πετεινῶν ἕως κτηνῶν, καὶ πᾶν
ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς ἐξάγαγε μετὰ σεαυτοῦ· καὶ
αὐξάνεσθε καὶ πληθύνεσθε ἐπὶ τῆς γῆς]. καὶ ἐξῆλθε Νῶε καὶ ἡ 18
γυνὴ αὐτοῦ καὶ οἱ υἱοὶ αὐτοῦ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ
μετ' αὐτοῦ. [καὶ πάντα τὰ θηρία], καὶ πάντα τὰ κτήνη, [καὶ πᾶν 19
πετεινόν, καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς κατὰ γένος
αὐτῶν], ἐξῆλθον ἐκ τῆς κιβωτοῦ. καὶ ᾠκοδόμησε Νῶε θυσια- 20
στήριον τῷ Κυρίῳ, καὶ ἔλαβεν ἀπὸ [πάντων] τῶν κτηνῶν [τῶν
καθαρῶν καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν καθαρῶν] καὶ ἀ-
νήνεγκεν εἰς ὁλοκάρπωσιν ἐπὶ τὸ θυσιαστήριον. καὶ ὠσφράν- 21
θη Κύριος ὁ θεὸς ὀσμὴν εὐωδίας, καὶ εἶπε Κύριος ὁ θεὸς δια-
νοηθείς· Οὐ μὴ προσθήσω ἔτι τοῦ καταράσασθαι τὴν γῆν διὰ
τὰ ἔργα τῶν ἀνθρώπων. [ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου
ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ· οὐ προσθήσω οὖν
ἔτι πατάξαι πᾶσαν σάρκα ζῶσαν, καθὼς ἐποίησα. πάσας τὰς 22
ἡμέρας τῆς γῆς σπέρμα καὶ θερισμός, ψῦχος καὶ καῦμα, θέρος
καὶ ἔαρ, ἡμέραν καὶ νύκτα οὐ καταπαύσουσι].

<2. Διασπορὰ τῶν ἀνθρώπων>

Καὶ εὐλόγησεν ὁ θεὸς τὸν Νῶε καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ 1 **9**
εἶπεν αὐτοῖς· Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν
γῆν καὶ κατακυριεύσατε αὐτῆς. καὶ ὁ τρόμος καὶ ὁ φόβος ὑ- 2
μῶν ἔσται ἐπὶ πάντα τὰ θηρία τῆς γῆς, ἐπὶ πάντα τὰ πετεινὰ
τοῦ οὐρανοῦ, καὶ ἐπὶ πάντα τὰ κινούμενα ἐπὶ τῆς γῆς καὶ ἐπὶ

πάντας τοὺς ἰχθύας τῆς θαλάσσης· ὑπὸ χεῖρας ὑμῖν δέδωκα.
καὶ πάντες οἱ ἰχθύες τῆς θαλάσσης καὶ πάντα τὰ πετεινὰ τοῦ 3
οὐρανοῦ καὶ πάντα τὰ θηρία τῆς γῆς καὶ πᾶν ἑρπετόν, ὅ ἐστι
ζῶν, ὑμῖν ἔσται εἰς βρῶσιν· ὡς λάχανα χόρτου δέδωκα ὑμῖν
τὰ πάντα. πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε· καὶ γὰρ τὸ 4
ὑμέτερον αἷμα τῶν ψυχῶν ὑμῶν [ἐκ χειρὸς πάντων τῶν θη- 5
ρίων] ἐκζητήσω· [αὐτό], καὶ ἐκ χειρὸς ἀνθρώπου ἀδελφοῦ ἐκ-
ζητήσω τὴν ψυχὴν τοῦ ἀνθρώπου. ὁ ἐκχέων αἷμα ἀνθρώπου, 6
ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται, ὅτι ἐν εἰκόνι θεοῦ ἐποίη-
σα τὸν ἄνθρωπον. ὑμεῖς δὲ αὐξάνεσθε καὶ πληθύνεσθε καὶ 7
πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς.

Καὶ εἶπεν ὁ θεὸς τῷ Νῶε καὶ τοῖς υἱοῖς αὐτοῦ μετ' αὐτοῦ 8
λέγων· [καὶ] Ἰδοὺ ἐγὼ ἀνίστημι τὴν διαθήκην μου ὑμῖν καὶ τῷ 9
σπέρματι ὑμῶν μεθ' ὑμᾶς [καὶ πάσῃ ψυχῇ ζώσῃ μεθ' ὑμῶν, ἀ- 10
πὸ ὀρνέων καὶ ἀπὸ κτηνῶν, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, ὅ-
σα ἐστὶ μεθ' ὑμῶν ἀπὸ πάντων τῶν ἐξελθόντων ἐκ τῆς κιβω-
τοῦ]. καὶ στήσω τὴν διαθήκην μου πρὸς ὑμᾶς, καὶ οὐκ ἀποθα- 11
νεῖται πᾶσα σὰρξ ἔτι ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ, καὶ
οὐκέτι ἔσται κατακλυσμὸς ὕδατος [τοῦ καταφθεῖραι πᾶσαν τὴν
γῆν. καὶ εἶπε Κύριος ὁ θεὸς πρὸς Νῶε· τοῦτο τὸ σημεῖον τῆς 12
διαθήκης, ὃ ἐγὼ δίδωμι ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν καὶ ἀνὰ μέ-
σον πάσης ψυχῆς ζώσης, ἥ ἐστι μεθ' ὑμῶν εἰς γενεὰς αἰω-
νίους· τὸ τόξον μου τίθημι ἐν τῇ νεφέλῃ, καὶ ἔσται εἰς σημεῖον 13
διαθήκης ἀνὰ μέσον ἐμοῦ καὶ τῆς γῆς, καὶ ἔσται ἐν τῷ συννε- 14
φεῖν με νεφέλας ἐπὶ τὴν γῆν, ὀφθήσεται τὸ τόξον ἐν τῇ νεφέλῃ,
καὶ μνησθήσομαι τῆς διαθήκης μου, ἥ ἐστιν ἀνὰ μέσον ἐμοῦ 15
καὶ ὑμῶν, καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης ἐν πᾶσι σαρκί,
καὶ οὐκ ἔσται ἔτι τὸ ὕδωρ εἰς κατακλυσμόν, ὥστε ἐξαλεῖψαι
πᾶσαν σάρκα. καὶ ἔσται τὸ τόξον μου ἐν τῇ νεφέλῃ, καὶ ὄψομαι 16
τοῦ μνησθῆναι διαθήκην αἰώνιον ἀνὰ μέσον ἐμοῦ καὶ τῆς γῆς
καὶ ἀνὰ μέσον ψυχῆς ζώσης ἐν πάσῃ σαρκί, ἥ ἐστιν ἐπὶ τῆς
γῆς. καὶ εἶπεν ὁ θεὸς τῷ Νῶε· Τοῦτο τὸ σημεῖον τῆς διαθή- 17
κης, ἧς διεθέμην ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον πάσης σαρ-
κός, ἥ ἐστιν ἐπὶ τῆς γῆς].

Ἦσαν δὲ οἱ υἱοὶ Νῶε, οἱ ἐξελθόντες ἐκ τῆς κιβωτοῦ, Σήμ, 18
Χάμ, Ἰάφεθ· [Χὰμ δὲ ἦν πατὴρ Χαναάν]. τρεῖς οὗτοί εἰσιν υἱοὶ 19
Νῶε· ἀπὸ τούτων διεσπάρησαν ἐπὶ πᾶσαν τὴν γῆν.

[Καὶ ἤρξατο Νῶε ἄνθρωπος γεωργὸς γῆς καὶ ἐφύτευσεν 20
ἀμπελῶνα. καὶ ἔπιεν ἐκ τοῦ οἴνου καὶ ἐμεθύσθη καὶ ἐγυμνώθη 21
ἐν τῷ οἴκῳ αὐτοῦ. καὶ εἶδε Χὰμ ὁ πατὴρ Χαναάν τὴν γύμνω- 22
σιν τοῦ πατρὸς αὐτοῦ καὶ ἐξελθὼν ἀνήγγειλε τοῖς δυσὶν ἀδελ-
φοῖς αὐτοῦ ἔξω. καὶ λαβόντες Σὴμ καὶ Ἰάφεθ τὸ ἱμάτιον ἐπέθε- 23
ντο ἐπὶ τὰ δύο νῶτα αὐτῶν καὶ ἐπορεύθησαν ὀπισθοφανῶς
καὶ συνεκάλυψαν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν, καὶ τὸ
πρόσωπον αὐτῶν ὀπισθοφανῶς, καὶ τὴν γύμνωσιν τοῦ πα-

τρὸς αὐτῶν οὐκ εἶδον. ἐξένηψε δὲ Νῶε ἀπὸ τοῦ οἴνου καὶ ἔ- 24
γνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος, καὶ εἶπεν· ἐ-
πικατάρατος Χαναάν· παῖς οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ. 25
καὶ εἶπεν· εὐλογητὸς Κύριος ὁ θεὸς τοῦ Σήμ, καὶ ἔσται Χανα- 26
ὰν παῖς οἰκέτης αὐτοῦ. πλατύναι ὁ θεὸς τῷ Ἰάφεθ, καὶ κατοι- 27
κησάτω ἐν τοῖς οἴκοις τοῦ Σὴμ καὶ γενηθήτω Χαναὰν παῖς αὐ-
τοῦ].

Ἔζησε δὲ Νῶε μετὰ τὸν κατακλυσμὸν ἔτη [τριακόσια πε- 28
ντήκοντα], καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Νῶε [ἐνακόσια πε- 29
ντήκοντα] ἔτη, καὶ ἀπέθανεν.

[Αὗται δὲ αἱ γενέσεις τῶν υἱῶν Νῶε, Σήμ, Χάμ, Ἰάφεθ, 1 **10**
καὶ ἐγεννήθησαν αὐτοῖς υἱοὶ μετὰ τὸν κατακλυσμόν.

Υἱοὶ Ἰάφεθ· Γαμὲρ καὶ Μαγὼγ καὶ Μαδοὶ καὶ Ἰωνὰν καὶ Ἐ- 2
λισὰ καὶ Θοβὲλ καὶ Μοσὸχ καὶ Θείρας. καὶ υἱοὶ Γαμέρ· Ἀσχα- 3
νὰζ καὶ Ῥιφὰθ καὶ Θοργαμά. καὶ υἱοὶ Ἰωνάν· Ἐλισὰ καὶ Θαρ- 4
σίς, Κίτιοι, Ῥόδιοι. ἐκ τούτων ἀφωρίσθησαν Νῆσοι τῶν ἐθνῶν 5
ἐν τῇ γῇ αὐτῶν, ἕκαστος κατὰ γλῶσσαν ἐν ταῖς φυλαῖς αὐτῶν
καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν.

Υἱοὶ δὲ Χάμ· Χοὺς καὶ Μεσραΐν, Φοὺδ καὶ Χαναάν. υἱοὶ 6 7
δὲ Χούς· Σαβὰ καὶ Εὐϊλὰ καὶ Σαβαθὰ καὶ Ῥεγμὰ καὶ Σαβαθακά.
υἱοὶ δὲ Ῥεγμά· Σαβὰ καὶ Δαδάν. Χοὺς δὲ ἐγέννησε τὸν Νε- 8
βρώδ. οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ τῆς γῆς· οὗτος ἦν γίγας 9
κυνηγὸς ἐναντίον Κυρίου τοῦ θεοῦ· διὰ τοῦτο ἐροῦσιν ‘Ὡς
Νεβρὼδ γίγας κυνηγὸς ἐναντίον Κυρίου’. καὶ ἐγένετο ἀρχὴ 10
τῆς βασιλείας αὐτοῦ Βαβυλὼν καὶ Ὀρὲχ καὶ Ἀρχὰδ καὶ Χα-
λάννη ἐν τῇ γῇ Σενναάρ. ἐκ τῆς γῆς ἐκείνης ἐξῆλθεν Ἀσσοὺρ 11
καὶ ᾠκοδόμησε τὴν Νινευὶ καὶ τὴν Ροωβὼθ πόλιν καὶ τὴν Χα- 12
λὰχ καὶ τὴν Δασὴ ἀνὰ μέσον Νινευὶ καὶ ἀνὰ μέσον Χαλάχ· αὕ- 13
τη ἡ πόλις μεγάλη. καὶ Μεσραΐν ἐγέννησε τοὺς Λουδιεὶμ καὶ 14
τοὺς Ἐνεμετιεὶμ καὶ τοὺς Λαβιεὶμ καὶ τοὺς Νεφθαλιεὶμ καὶ 15
τοὺς Πατροσωνιεὶμ καὶ τοὺς Χασλωνιείμ, ὅθεν ἐξῆλθε Φυλι- 16
στιείμ, καὶ τοὺς Καφθοριείμ. Χαναὰν δὲ ἐγέννησε τὸν Σιδῶνα 17
πρωτότοκον αὐτοῦ καὶ τὸν Χετταῖον καὶ τὸν Ἰεβουσαῖον καὶ 18
τὸν Ἀμορραῖον καὶ τὸν Γεργεσαῖον καὶ τὸν Εὐαῖον καὶ τὸν Ἀ- 19
ρουκαῖον καὶ τὸν Ἀσενναῖον καὶ τὸν Ἀράδιον καὶ τὸν Σαμα-
ραῖον καὶ τὸν Ἀμαθί. καὶ μετὰ τοῦτο διεσπάρησαν αἱ φυλαὶ 20
τῶν Χαναναίων, καὶ ἐγένετο τὰ ὅρια τῶν Χαναναίων ἀπὸ Σι-
δῶνος ἕως ἐλθεῖν εἰς Γέραρα καὶ Γάζαν, ἕως ἐλθεῖν ἕως Σοδό-
μων καὶ Γομόρρας, Ἀδαμὰ καὶ Σεβωΐμ ἕως Δασά. οὗτοι υἱοὶ
Χάμ, ἐν ταῖς φυλαῖς αὐτῶν, κατὰ γλώσσας αὐτῶν, ἐν ταῖς χώ-
ραις αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν.

Καὶ τῷ Σὴμ ἐγεννήθη καὶ αὐτῷ, πατρὶ πάντων τῶν υἱῶν 21
Ἔβερ, ἀδελφῷ Ἰάφεθ τοῦ μείζονος. υἱοὶ Σήμ· Ἐλὰμ καὶ Ἀσ- 22
σοὺρ καὶ Ἀρφαξὰδ καὶ Λοὺδ καὶ Ἀρὰμ καὶ Καϊνάν. καὶ υἱοὶ Ἀ- 23
ράμ· Οὖζ καὶ Οὖλ καὶ Γατὲρ καὶ Μοσόχ. καὶ Ἀρφαξὰδ ἐγέννη- 24

σε τὸν Καϊνάν, καὶ Καϊνὰν ἐγέννησε τὸν Σαλά, Σαλὰ δὲ ἐγέννη- 25
σε τὸν Ἕβερ. καὶ τῷ Ἕβερ ἐγεννήθησαν δύο υἱοί· ὄνομα τῷ ἑ-
νὶ Φαλέγ, ὅτι ἐν ταῖς ἡμέραις αὐτοῦ διεμερίσθη ἡ γῆ, καὶ ὄνο- 26
μα τῷ ἀδελφῷ αὐτοῦ Ἰεκτάν. Ἰεκτὰν δὲ ἐγέννησε τὸν Ἐλμω- 27
δὰδ καὶ Σαλὲθ καὶ τὸν Σαρμὼθ καὶ Ἰαρὰχ καὶ Ὁδορρὰ καὶ Αἰ- 28
βὴλ καὶ Δεκλὰ καὶ Εὐὰλ καὶ Ἀβιμαὲλ καὶ Σαβὰ καὶ Οὐφεὶρ καὶ 29
Εὐειλὰ καὶ Ἰωβάβ. πάντες οὗτοι υἱοὶ Ἰεκτάν. καὶ ἐγένετο ἡ κα- 30
τοίκησις αὐτῶν ἀπὸ Μασσῆ ἕως ἐλθεῖν εἰς Σαφηρά, ὄρος ἀνα- 31
τολῶν. οὗτοι υἱοὶ Σήμ, ἐν ταῖς φυλαῖς αὐτῶν, κατὰ γλώσσας
αὐτῶν, ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν.

Αὗται αἱ φυλαὶ υἱῶν Νῶε κατὰ γενέσεις αὐτῶν, κατὰ ἔθνη 32
αὐτῶν· ἀπὸ τούτων διεσπάρησαν Νῆσοι τῶν ἐθνῶν ἐπὶ τῆς
γῆς μετὰ τὸν κατακλυσμόν.

Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, καὶ φωνὴ μία πᾶσι. καὶ ἐγένε- 1 2 **11**
το ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν, εὗρον πεδίον ἐν γῇ
Σενναὰρ καὶ κατῴκησαν ἐκεῖ. καὶ εἶπεν ἄνθρωπος τῷ πλησίον 3
αὐτοῦ· δεῦτε πλινθεύσωμεν πλίνθους καὶ ὀπτήσωμεν αὐτὰς 4
πυρί. καὶ ἐγένετο αὐτοῖς ἡ πλίνθος εἰς λίθον, καὶ ἄσφαλτος ἦν
αὐτοῖς ὁ πηλός. καὶ εἶπαν· Δεῦτε οἰκοδομήσωμεν ἑαυτοῖς πό-
λιν καὶ πύργον, οὗ ἔσται ἡ κεφαλὴ ἕως τοῦ οὐρανοῦ, καὶ ποιή- 5
σωμεν ἑαυτοῖς ὄνομα πρὸ τοῦ διασπαρῆναι ἡμᾶς ἐπὶ προσώ- 6
που πάσης τῆς γῆς. καὶ κατέβη Κύριος ἰδεῖν τὴν πόλιν καὶ τὸν
πύργον, ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων. καὶ εἶπε Κύ- 7
ριος· Ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων. καὶ τοῦτο ἤρξατο 8
ποιῆσαι. καὶ νῦν οὐκ ἐκλείψει ἀπ' αὐτῶν πάντα, ὅσα ἂν ἐπιθῶ- 9
νται ποιεῖν. δεῦτε καὶ καταβάντες συγχέωμεν αὐτῶν ἐκεῖ τὴν
γλῶσσαν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τὴν φωνὴν τοῦ πλησίον.
καὶ διέσπειρεν αὐτοὺς Κύριος ἐκεῖθεν ἐπὶ πρόσωπον πάσης
τῆς γῆς, καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν πόλιν καὶ τὸν πύρ-
γον. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτῆς Σύγχυσις, ὅτι ἐκεῖ συ-
νέχεε Κύριος τὰ χείλη πάσης τῆς γῆς, καὶ ἐκεῖθεν διέσπειρεν
αὐτοὺς Κύριος ἐπὶ πρόσωπον πάσης τῆς γῆς].

(Τέλος τῆς Διασπορᾶς τῶν ἀνθρώπων)

10 3 Σήμ· ἑκατὸν... πεντακόσια. 10 - 11
Ἀρφαξάδ· Ἑκατὸν τριάκοντα πέντε... τετρακόσια. 12 - 13
Καὶ ἔζησε Καϊνὰν ἑκατὸν καὶ τριάκοντα ἔτη καὶ ἐγέννησε 13
τὸν Σαλά. καὶ ἔζησε Καϊνὰν μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Σαλὰ
ἔτη τριακόσια τριάκοντα καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας
καὶ ἀπέθανε.
Σαλά· ἑκατὸν τριάκοντα... τριακόσια τριάκοντα. 14 - 15
Ἕβερ· ἑκατὸν τριάκοντα τέσσαρα... διακόσια ἑβδομήκοντα. 16 - 17
Φαλέγ· τριάκοντα καὶ ἑκατόν... ἐννέα καὶ διακόσια. 18 - 19
Ῥαγαῦ· ἑκατὸν τριάκοντα καὶ δύο... διακόσια ἑπτά. 20 - 21

		Σερούχ· ἑκατὸν τριάκοντα... διακόσια.	22 - 23	
		Ναχώρ· ἑκατὸν ἑβδομήκοντα ἐννέα... ἑκατὸν εἴκοσι πέντε.	24 - 25	
		Θάρα· ἑβδομήκοντα... διακόσια πέντε.	26· 32	
11	4	θυγάτηρ Ἀρρὰν [καὶ πατὴρ Μελχὰ καὶ πατὴρ Ἰεσχά].	29	
14	2	εἶπεν [Ἄβραμ] Σάρᾳ τῇ γυναικὶ	11	**12**
15	6	...ἦν τὰ ὑπάρχοντα αὐτῶν πολλά, [καὶ οὐκ ἐχώρει αὐτοὺς ἡ γῆ κατοικεῖν ἅμα].	6	**13**
16	5	τὴν δρῦν τὴν Μαμβρή, [ἣ ἦν ἐν Χεβρών]	18	**13**
17	3	βασιλέως Βαλὰκ [αὕτη ἐστὶ Σηγώρ].	2	**14**
		ἐπὶ τὴν Φάραγγα τὴν Ἁλυκὴν [αὕτη ἡ θάλασσα τῶν Ἁλῶν].	3	
		τὴν Πηγὴν τῆς Κρίσεως [αὕτη ἐστὶ Κάδης].	7	
		βασιλεὺς Βαλὰκ [αὕτη ἐστὶ Σηγώρ].	8	
19	1	εἰς τὴν Κοιλάδα τοῦ Σαυή [τοῦτο ἦν τὸ πεδίον τῶν βασιλέων].	17	
	2	λέγει δὲ Ἄβραμ· [Δέσποτα] Κύριε.	2	**15**
		οὗτος Δαμασκηνὸς Ἐλιέζερ, [καὶ εἶπεν Ἄβραμ·]	3	
20	8	εἶπε δέ· [Δέσποτα] Κύριε.	8	
		καὶ τοὺς Φερεζαίους [καὶ Ῥαφαεὶν]	20	
22	1	ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος ἐν τῇ ἐρήμῳ, [ἐπὶ τῆς πηγῆς] ἐν τῇ ὁδῷ Σούρ.	7	**16**
		[καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος Κυρίου·] Πληθύνων πληθυνῶ...	10	
		[καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος Κυρίου·] Ἰδού, σὺ ἐν γαστρὶ ἔχεις...	11	
24	13	περιτομῇ περιτμηθήσεται [ὁ οἰκογενὴς τῆς οἰκίας σου καὶ ὁ ἀργυρώνητος]	13	**17**
31	3+	Ἀνέβη δὲ Λὼτ ἐκ Σηγὼρ καὶ ἐκάθητο ἐν τῷ ὄρει αὐτὸς καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ' αὐτοῦ· ἐφοβήθη γὰρ κατοικῆσαι ἐν Σηγώρ. καὶ κατῴκησεν ἐν τῷ σπηλαίῳ, αὐτὸς καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ' αὐτοῦ. εἶπε δὲ ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν· Ὁ πατὴρ ἡμῶν πρεσβύτερος, καὶ οὐδείς ἐστιν ἐπὶ τῆς γῆς, ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, ὡς καθήκει πάσῃ τῇ γῇ· δεῦρο καὶ ποτίσωμεν τὸν πατέρα ἡμῶν οἶνον καὶ κοιμηθῶμεν μετ' αὐτοῦ καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς ἡμῶν σπέρμα. ἐπότισαν δὲ τὸν πατέρα αὐτῶν οἶνον ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ εἰσελθοῦσα ἡ πρεσβυτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐτὸν καὶ ἐν τῷ ἀναστῆναι. ἐγένετο δὲ ἐν τῇ ἐπαύριον καὶ εἶπεν ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν· Ἰδοὺ ἐκοιμήθην χθὲς μετὰ τοῦ πατρὸς ἡμῶν· ποτίσωμεν αὐτὸν οἶνον καὶ ἐν τῇ νυκτὶ ταύ-	30 31 32 33 34	**19**

τῃ, καὶ εἰσελθοῦσα κοιμήθητι μετ' αὐτοῦ. καὶ ἐξαναστήσωμεν
ἐκ τοῦ πατρὸς ἡμῶν σπέρμα. ἐπότισαν δὲ καὶ ἐν τῇ νυκτὶ ἐκεί- 35
νῃ τὸν πατέρα αὐτῶν οἶνον, καὶ εἰσελθοῦσα ἡ νεωτέρα ἐκοιμή-
θη μετὰ τοῦ πατρὸς αὐτῆς, καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐ-
τὸν καὶ ἀναστῆναι. καὶ συνέλαβον αἱ δύο θυγατέρες Λὼτ ἐκ 36
τοῦ πατρὸς αὐτῶν. καὶ ἔτεκεν ἡ πρεσβυτέρα υἱὸν καὶ ἐκάλεσε 37
τὸ ὄνομα αὐτοῦ Μωὰβ λέγουσα· ''Ἐκ τοῦ πατρός μου''· οὗτος
πατὴρ Μωαβιτῶν ἕως τῆς σήμερον ἡμέρας. ἔτεκε δὲ καὶ ἡ νε- 38
ωτέρα υἱὸν καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀμμάν, λέγουσα· 'Υἱ-
ὸς γένους μου''· οὗτος πατὴρ Ἀμμανιτῶν ἕως τῆς σήμερον ἡ-
μέρας.

37 2 τὸν Καμουὴλ [πατέρα Σύρων] 37 **22**

38 1 [Ἐγένετο δὲ ἡ ζωὴ Σάρρας ἔτη ἑκατὸν εἴκοσιν ἑπτά]. Καὶ 1 **23**
ἀπέθανε Σάρρα...

ἐν τῷ κοιλώματι [αὕτη ἐστὶ Χεβρὼν]. 2

ὅ ἐστιν ἀπέναντι Μαμβρὴ [αὕτη ἐστὶ Χεβρὼν] ἐν τῇ γῇ Χαναάν. 19

44 1 Ἀποκριθεὶς δὲ Λάβαν [καὶ Βαθουὴλ] εἶπεν. 50 **24**

46 8+ Προσθέμενος δὲ Ἀβραὰμ ἔλαβε γυναῖκα, ᾗ ὄνομα Χεττού- 1 **25**
ρα. ἔτεκε δὲ αὐτῷ τὸν Ζομβρὰν καὶ τὸν Ἰεζὰν καὶ τὸν Μαδὰλ 2
καὶ τὸν Μαδιὰμ καὶ τὸν Ἰεσβὼκ καὶ τὸν Σωκέ. Ἰεζὰν δὲ ἐγέν- 3
νησε καὶ τὸν Θαιμὰν τὸν Σαβὰ καὶ τὸν Δεδάν· υἱοὶ δὲ Δεδὰν ἐ-
γένοντο 'Ραγουὴλ καὶ Ναβδεὴλ καὶ Ἀσσουριεὶμ καὶ Λατου-
σιεὶμ καὶ Λαωμείμ. υἱοὶ δὲ Μαδιὰμ Γεφὰρ καὶ Ἀφεὶρ καὶ Ἐνὼχ 4
καὶ Ἀβειρὰ καὶ Ἐλδαγά. πάντες οὗτοι ἦσαν υἱοὶ Χεττούρας.

καὶ τοῖς υἱοῖς τῶν παλλακῶν αὐτοῦ ἔδωκεν Ἀβραὰμ δόματα 6
καὶ ἐξαπέστειλεν αὐτοὺς ἀπὸ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ, ἔτι ζῶ-
ντος αὐτοῦ, πρὸς ἀνατολὰς εἰς γῆν ἀνατολῶν. ταῦτα δὲ τὰ ἔτη 7
ἡμερῶν τῆς ζωῆς Ἀβραὰμ ὅσα ἔζησεν, ἑκατὸν ἑβδομήκοντα
πέντε ἔτη.

47 6+ Αὗται δὲ αἱ γενέσεις Ἰσμαὴλ τοῦ υἱοῦ Ἀβραάμ, ὃν ἔτεκεν 12
Ἄγαρ ἡ Αἰγυπτία ἡ παιδίσκη Σάρρας τῷ Ἀβραάμ. καὶ ταῦτα 13
τὰ ὀνόματα τῶν υἱῶν Ἰσμαὴλ κατ' ὀνόματα τῶν γενεῶν αὐ-
τοῦ· πρωτότοκος Ἰσμαὴλ Ναβαιώθ, καὶ Κηδὰρ καὶ Ναβδεὴλ
καὶ Μασσὰμ καὶ Μασμὰ καὶ Δουμὰ καὶ Μασσὴ καὶ Χοδδὰν καὶ 14
Θαιμὰν καὶ Ἰετοὺρ καὶ Ναφὲς καὶ Κεδμά· οὗτοί εἰσιν οἱ υἱοὶ Ἰ- 15
σμαὴλ καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν ἐν ταῖς σκηναῖς αὐτῶν καὶ 16
ἐν ταῖς ἐπαύλεσιν αὐτῶν· δώδεκα ἄρχοντες κατὰ ἔθνη αὐτῶν.
καὶ ταῦτα τὰ ἔτη τῆς ζωῆς Ἰσμαήλ· ἑκατὸν τριάκοντα ἑπτὰ ἔ- 17
τη· καὶ ἐκλείπων ἀπέθανε καὶ προσετέθη πρὸς τὸ γένος αὐτοῦ· 18
κατῴκησε δὲ ἀπὸ Εὐϊλὰτ ἕως Σούρ, ἥ ἐστι κατὰ πρόσωπον Αἰ-
γύπτου, ἕως ἐλθεῖν πρὸς Ἀσσυρίους· κατὰ πρόσωπον πάντων
τῶν ἀδελφῶν αὐτοῦ κατῴκησε.

49 4 ...ὅτι ἐκλείπω. [διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἐδώμ]. 30

54 14 Καὶ ἐκάλεσεν αὐτὸ Ὅρκος· διὰ τοῦτο ἐκάλεσεν ὄνομα τῇ πό- 33 **26**
λει ἐκείνῃ Φρέαρ Ὅρκου ἕως τῆς σήμερον ἡμέρας.

55 1 ...ἔλαβε γυναῖκα [Ἰουδίθ] θυγατέρα Βεὼχ τοῦ Χετταίου καὶ 34
τὴν [Βασεμάθ], θυγατέρα...

57 1 ...Ἰακὼβ τὸν υἱὸν αὐτοῦ [καὶ ἐγένετο] ὡς ἐξῆλθεν Ἰακὼβ... 30 **27**

61 5 ...ἐπορεύθη [Ἠσαῦ] πρὸς Ἰσμαὴλ... 9 **28**

63 13 ...τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ, [καὶ] προσελθὼν [Ἰακὼβ] 10 **29**

70 14 ...ὃ ἦν φαιὸν ἐν τοῖς ἄρνασι, [καὶ πᾶν ὃ ἦν λευκὸν ἐν αὐτοῖς], 35 **30**

72 53 ...θεὸς μάρτυς μεταξὺ ἐμοῦ καὶ [μεταξὺ] σοῦ. 50 **31**

81 6 ...τοῦ ἱπποδρόμου Ἐφραθά [αὕτη ἐστὶ Βηθλεέμ]. 19 **35**

83 1 ...εἰς Μαμβρή, εἰς πόλιν τοῦ πεδίου [αὕτη ἐστὶ Χεβρὼν] 27

2+ ...καὶ Ἰσαάκ. [ἐγένοντο δὲ αἱ ἡμέραι Ἰσαάκ, ἃς ἔζησεν, ἔτη ἑ- 28
κατὸν ὀγδοήκοντα].

3+ Αὗται δὲ αἱ γενέσεις Ἠσαῦ (αὐτός ἐστιν Ἐδώμ)· Ἠσαῦ δὲ 1 2 **36**
ἔλαβε τὰς γυναῖκας ἑαυτῷ ἀπὸ τῶν θυγατέρων τῶν Χανα-
ναίων, τὴν Ἀδὰ θυγατέρα Αἰλὼμ τοῦ Χετταίου καὶ τοῦ Ὀλιβε- 3
μὰ θυγατέρα Ἀνὰ τοῦ υἱοῦ Σεβεγὼν τοῦ Εὐαίου καὶ τὴν Βασε-
μὰθ θυγατέρα Ἰσμαὴλ ἀδελφὴν Ναβαιώθ. ἔτεκε δὲ αὐτῷ Ἀδὰ 4
τὸν Ἐλιφάς, καὶ Βασεμὰθ ἔτεκε τὸν Ῥαγουήλ, καὶ Ὀλιβεμὰ ἔ- 5
τεκε τὸν Ἰεοὺς καὶ τὸν Ἰεγλὸμ καὶ τὸν Κορέ· οὗτοι υἱοὶ Ἠσαῦ,
οἳ ἐγένοντο αὐτῷ ἐν γῇ Χαναάν.

κατῴκησε δὲ Ἠσαῦ ἐν τῷ ὄρει Σηεὶρ [Ἠσαῦ αὐτὸς ἐστιν Ἐ- 8
δώμ].

Αὗται δὲ αἱ γενέσεις Ἠσαῦ πατρὸς Ἐδὼμ ἐν τῷ ὄρει Ση- 9
είρ, καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἠσαῦ· Ἐλιφὰς υἱὸς Ἀδᾶς 10
γυναικὸς Ἠσαῦ καὶ Ῥαγουὴλ υἱὸς Βασεμὰθ γυναικὸς Ἠσαῦ.
ἐγένοντο δὲ Ἐλιφὰς υἱοί· Θαιμάν, Ὠμάρ, Σωφάρ, Γοθὼμ καὶ 11
Κενέζ· Θαμνὰ δὲ ἦν παλλακὴ Ἐλιφὰς τοῦ υἱοῦ Ἠσαῦ καὶ ἔτεκε 12
τῷ Ἐλιφὰς τὸν Ἀμαλήκ· οὗτοι υἱοὶ Ἀδᾶς γυναικὸς Ἠσαῦ. οὗ- 13
τοι δὲ υἱοὶ Ῥαγουήλ· Ναχόβ, Ζαρέ, Σομὲ καὶ Μοζέ· οὗτοι ἦσαν
υἱοὶ Βασεμὰθ γυναικὸς Ἠσαῦ. οὗτοι δὲ υἱοὶ Ὀλιβεμᾶς θυγα- 14
τρὸς Ἀνὰ τοῦ υἱοῦ Σεβεγών, γυναικὸς Ἠσαῦ· ἔτεκε δὲ τῷ Ἠ-
σαῦ τὸν Ἰεοὺς καὶ τὸν Ἰεγλὸμ καὶ τὸν Κορέ. οὗτοι ἡγεμόνες 15
υἱοὶ Ἠσαῦ· υἱοὶ Ἐλιφὰς πρωτοτόκου Ἠσαῦ· ἡγεμὼν Θαιμάν, 16
ἡγεμὼν Ὠμάρ, ἡγεμὼν Σωφάρ, ἡγεμὼν Κενέζ, ἡγεμὼν Κορέ,
ἡγεμὼν Γοθώμ, ἡγεμὼν Ἀμαλήκ· οὗτοι ἡγεμόνες Ἐλιφὰς ἐν
γῇ Ἰδουμαίᾳ· οὗτοι υἱοὶ Ἀδᾶς. καὶ οὗτοι υἱοὶ Ῥαγουὴλ υἱοῦ Ἠ- 17

σαῦ· ἡγεμὼν Ναχώθ, ἡγεμὼν Ζαρέ, ἡγεμὼν Σομέ, ἡγεμὼν
Μοζέ· οὗτοι ἡγεμόνες Ῥαγουὴλ ἐν γῇ Ἐδώμ· οὗτοι υἱοὶ Βασε-
μὰθ γυναικὸς Ἠσαῦ. οὗτοι δὲ υἱοὶ Ὀλιβεμᾶς γυναικὸς Ἠσαῦ· 18
ἡγεμὼν Ἰεούλ, ἡγεμὼν Ἰεγλόμ, ἡγεμὼν Κορέ· οὗτοι ἡγεμόνες
Ὀλιβεμᾶς θυγατρὸς Ἀνὰ γυναικὸς Ἠσαῦ. οὗτοι υἱοὶ Ἠσαῦ, 19
καὶ οὗτοι ἡγεμόνες αὐτῶν, οὗτοί εἰσιν υἱοὶ Ἐδώμ.

Οὗτοι δὲ υἱοὶ Σηεὶρ τοῦ Χορραίου τοῦ κατοικοῦντος τὴν 20
γῆν· Λωτάν, Σωβάλ, Σεβεγών, Ἀνὰ καὶ Δησὼν καὶ Ἀσὰρ καὶ
Ῥισών· οὗτοι ἡγεμόνες τοῦ Χορραίου τοῦ υἱοῦ Σηεὶρ ἐν τῇ γῇ 21
Ἐδώμ. ἐγένοντο δὲ υἱοὶ Λωτάν· Χορρὶ καὶ Αἰμάν· ἀδελφὴ δὲ 22
Λωτὰν Θαμνά. οὗτοι δὲ υἱοὶ Σωβάλ· Γωλὰμ καὶ Μαναχὰθ καὶ 23
Γαιβὴλ καὶ Σωφὰρ καὶ Ὠμάρ. καὶ οὗτοι υἱοὶ Σεβεγών· Ἀϊὲ καὶ 24
Ἀνά· οὗτός ἐστιν Ἀνά, ὃς εὗρε τὸν Ἰαμεὶν ἐν τῇ ἐρήμῳ, ὅτε ἔ-
νεμε τὰ ὑποζύγια Σεβεγὼν τοῦ πατρὸς αὐτοῦ. οὗτοι δὲ υἱοὶ Ἀ- 25
νά· Δησὼν καὶ Ὀλιβεμὰ θυγάτηρ Ἀνά. οὗτοι δὲ υἱοὶ Δησών· 26
Ἀμαδὰ καὶ Ἀσβὰν καὶ Ἰθρὰν καὶ Χαρράν. οὗτοι δὲ υἱοὶ Ἀσάρ· 27
Βαλαὰμ καὶ Ζουκὰμ καὶ Ἰουκάμ. οὗτοι δὲ υἱοὶ Ῥισών· Ὦς καὶ 28
Ἀράν. οὗτοι δὲ ἡγεμόνες Χορρί· ἡγεμὼν Λωτάν, ἡγεμὼν Σω- 29
βάλ, ἡγεμὼν Σεβεγών, ἡγεμὼν Ἀνά, ἡγεμὼν Δησών, ἡγεμὼν
Ἀσάρ, ἡγεμὼν Ῥισών. οὗτοι ἡγεμόνες Χορρὶ ἐν ταῖς ἡγεμο- 30
νίαις αὐτῶν ἐν γῇ Ἐδώμ.

Καὶ οὗτοι οἱ βασιλεῖς οἱ βασιλεύσαντες ἐν Ἐδὼμ πρὸ τοῦ 31
βασιλεῦσαι βασιλέα ἐν Ἰσραήλ. καὶ ἐβασίλευσεν ἐν Ἐδὼμ Βα- 32
λὰκ υἱὸς Βεώρ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Δενναβά. ἀπέθανε 33
δὲ Βαλάκ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἰωβὰβ υἱὸς Ζαρὰ ἐκ
Βοσόρρας. ἀπέθανε δὲ Ἰωβάβ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἀ- 34
σὼμ ἐκ τῆς γῆς Θαιμανών. ἀπέθανε δὲ Ἀσώμ, καὶ ἐβασίλευ- 35
σεν ἀντ' αὐτοῦ Ἀδὰδ υἱὸς Βαρὰδ ὁ ἐκκόψας Μαδιὰμ ἐν τῷ πε-
δίῳ Μωάβ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Γετθαίμ. ἀπέθανε δὲ Ἀ- 36
δάδ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Σαμαδὰ ἐκ Μασεκκᾶς. ἀπέθα- 37
νε δὲ Σαμαδά, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Σαοὺλ ἐκ Ῥοωβὼθ
τῆς παρὰ ποταμόν. ἀπέθανε δὲ Σαούλ, καὶ ἐβασίλευσεν ἀντ' 38
αὐτοῦ Βαλαεννὼν υἱὸς Ἀχοβώρ. ἀπέθανε δὲ Βαλαεννὼν υἱὸς 39
Ἀχοβώρ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἀρὰδ υἱὸς Βαράδ, καὶ ὄ-
νομα τῇ πόλει αὐτοῦ Φογώρ, ὄνομα δὲ τῇ γυναικὶ αὐτοῦ Μετε-
βεήλ, θυγάτηρ Ματραΐθ, υἱοῦ Μαιζοώβ.

Ταῦτα τὰ ὀνόματα τῶν ἡγεμόνων Ἠσαῦ ἐν ταῖς φυλαῖς 40
αὐτῶν κατὰ τόπον αὐτῶν, ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν τοῖς ἔ-
θνεσιν αὐτῶν. ἡγεμὼν Θαμνά, ἡγεμὼν Γωλά, ἡγεμὼν Ἰεθέρ, 41
ἡγεμὼν Ὀλιβεμάς, ἡγεμὼν Ἡλάς ἡγεμὼν Φινών, ἡγεμὼν Κε- 42
νέζ, ἡγεμὼν Θαιμάν, ἡγεμὼν Μαζάρ, ἡγεμὼν Μαγεδιήλ, ἡγε-
μὼν Ζαφωίν. οὗτοι ἡγεμόνες Ἐδὼμ ἐν ταῖς κατῳκοδομημέ- 43
ναις ἐν τῇ γῇ τῆς κτήσεως αὐτῶν. οὗτος Ἠσαῦ πατὴρ Ἐδώμ.

87 4 ἐκ τῆς κοιλάδος [τῆς Χεβρών] 14 **37**

99 4 ...ἔθετο ἡμᾶς ἐν φυλακῇ [ἐν τῷ οἴκῳ τοῦ ἀρχιμαγείρου] 10 **41**

100 7 ...ἐκ τοῦ ποταμοῦ [πονηραὶ καὶ] αἰσχραὶ τῷ εἴδει 19
...καὶ οἱ ἑπτὰ στάχυες οἱ καλοὶ ἑπτὰ ἔτη ἐστί <εὐθηνίας>· [τὸ 26
ἐνύπνιον φαραὼ ἕν ἐστι].

114 14 καὶ κατοικήσεις ἐν γῇ Γεσὲμ [Ἀραβίας] καὶ ἔσῃ ἐγγύς μου 10 **45**

117 7+ Ταῦτα δὲ τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ τῶν εἰσελθόντων 8 **46**
εἰς Αἴγυπτον ἅμα Ἰακὼβ τῷ πατρὶ αὐτῶν. Ἰακὼβ καὶ υἱοὶ αὐ- 9
τοῦ· πρωτότοκος Ἰακὼβ Ῥουβήν. υἱοὶ δὲ Ῥουβήν· Ἐνὼχ καὶ
Φαλλούς, Ἀαρὼν καὶ Χαρμί. υἱοὶ δὲ Συμεών· Ἰεμουὴλ καὶ Ἰα- 10
μεὶν καὶ Ἀὼδ καὶ Ἰαχεὶν καὶ Σαὰρ καὶ Σαοὺλ υἱὸς τῆς Χανανί-
τιδος. υἱοὶ δὲ Λευΐ· Γηρσών, Καὰθ καὶ Μεραρί. υἱοὶ δὲ Ἰούδα· 11 12
Ἦρ καὶ Αὐνὰν καὶ Σηλὼμ καὶ Φαρὲς καὶ Ζαρά· ἀπέθανε δὲ
Ἦρ καὶ Αὐνὰν ἐν γῇ Χαναάν· ἐγένοντο δὲ υἱοὶ Φαρές· Ἐσρὼν
καὶ Ἰεμουήλ. υἱοὶ δὲ Ἰσσάχαρ· Θωλὰ καὶ Φουὰ καὶ Ἰασοὺβ καὶ 13
Ζαμβράμ. υἱοὶ δὲ Ζαβουλών· Σερὲδ καὶ Ἀλλὼν καὶ Ἀχοήλ. οὗ- 14 15
τοι υἱοὶ Λείας, οὓς ἔτεκε τῷ Ἰακὼβ ἐν Μεσοποταμίᾳ τῆς Συ-
ρίας, καὶ Δείναν τὴν θυγατέρα αὐτοῦ· πᾶσαι αἱ ψυχαί, υἱοὶ καὶ
θυγατέρες, τριάκοντα τρεῖς. υἱοὶ δὲ Γάδ· Σαφὼν καὶ Ἀγγὶς καὶ 16
Σαυνὶς καὶ Θασοβὰν καὶ Ἀηδεὶς καὶ Ἀροηδεὶς καὶ Ἀρεηλείς.
υἱοὶ δὲ Ἀσήρ· Ἰεμνά, Ἰεσσουὰ καὶ Ἰεοὺλ καὶ Βαριὰ καὶ Σάρα 17
ἀδελφὴ αὐτῶν. υἱοὶ δὲ Βαριά· Χοβὸρ καὶ Μελχιήλ. οὗτοι υἱοὶ 18
Ζελφᾶς, ἣν ἔδωκε Λάβαν Λείᾳ τῇ θυγατρὶ αὐτοῦ, ἣ ἔτεκε τού-
τους τῷ Ἰακὼβ δεκαὲξ ψυχάς. υἱοὶ δὲ Ῥαχὴλ γυναικὸς Ἰα- 19
κώβ· Ἰωσὴφ καὶ Βενιαμίν. ἐγένοντο δὲ υἱοὶ Ἰωσὴφ ἐν γῇ Αἰγύ- 20
πτου, οὓς ἔτεκεν αὐτῷ Ἀσεννὲθ θυγάτηρ Πετεφρῆ ἱερέως Ἡ-
λιουπόλεως, τὸν Μανασσὴ καὶ τὸν Ἐφραΐμ. ἐγένοντο δὲ υἱοὶ
Μανασσή, οὓς ἔτεκεν αὐτῷ ἡ παλλακὴ ἡ Σύρα, τὸν Μαχίρ· Μα-
χὶρ δὲ ἐγέννησε τὸν Γαλαάδ. υἱοὶ δὲ Ἐφραΐμ ἀδελφοῦ Μανασ-
σή· Σουταλαὰμ καὶ Ταάμ. υἱοὶ δὲ Σουταλαάμ· Ἐδέμ. υἱοὶ δὲ Βε- 21
νιαμίν· Βαλὰ καὶ Χοβὼρ καὶ Ἀσβήλ· ἐγένονο δὲ υἱοὶ Βαλά· Γη-
ρὰ καὶ Νοεμὰν καὶ Ἀγχὶς καὶ Ῥὼς καὶ Μαμφὶμ καὶ Ὀφιμίν. Γη- 22
ρὰ δὲ ἐγέννησε τὸν Ἀράδ. οὗτοι υἱοὶ Ῥαχήλ, οὓς ἔτεκε τῷ Ἰα-
κώβ· πᾶσαι αἱ ψυχαὶ δεκαοκτώ. υἱοὶ δὲ Δάν· Ἀσόμ. καὶ υἱοὶ 23 24
Νεφθαλείμ· Ἀσιὴλ καὶ Γουνὶ καὶ Ἰσσάαρ καὶ Συλλήμ. οὗτοι υἱ- 25
οὶ Βαλᾶς, ἣν ἔδωκε Λάβαν Ῥαχὴλ τῇ θυγατρὶ αὐτοῦ, ἣ ἔτεκε
τούτους τῷ Ἰακώβ· πᾶσαι αἱ ψυχαὶ ἑπτά.

118 1 πᾶσαι ψυχαὶ οἴκου Ἰακὼβ αἱ εἰσελθοῦσαι [μετὰ Ἰακὼβ] εἰς Αἴ- 27
γυπτον...

119 10 ...ἵνα κατοικήσητε ἐν γῇ Γεσὲμ [Ἀραβίας]. 34

120 10+ Ἦλθον δὲ εἰς Αἴγυπτον πρὸς Ἰωσὴφ Ἰακὼβ καὶ οἱ υἱοὶ 5 **47**
αὐτοῦ, καὶ ἤκουσε φαραὼ βασιλεὺς Αἰγύπτου. καὶ εἶπε φαραὼ 6
πρὸς Ἰωσὴφ λέγων· Ὁ πατήρ σου καὶ οἱ ἀδελφοί σου ἥκασι

πρὸς σέ· ἰδοὺ ἡ γῆ Αἰγύπτου ἐναντίον σου ἐστίν· ἐν τῇ βελτίστῃ γῇ κατοίκισον τὸν πατέρα σου καὶ τοὺς ἀδελφούς σου.

124 7 ...κατώρυξα αὐτὴν ἐν τῇ ὁδῷ τοῦ ἱπποδρόμου [αὕτη ἐστὶ Βηθλεέμ]. 7 **48**

126 3 ...ὃ ἐκτήσατο Ἀβραὰμ [τὸ σπήλαιον] παρὰ Ἐφρὼν τοῦ Χετταίου. 30 **49**

128 14 ...ὃ ἐκτήσατο Ἀβραὰμ [τὸ σπήλαιον] ἐν κτήσει μνημείου 13 **50**

ΣΧΟΛΙΑ ΕΙΣ ΝΟΜΟΝ

4 10 ...ἡ δὲ εἶπεν· [ἡ θυγάτηρ φαραώ·] Πορεύου. 8 **2**

Ἔξ

8 41 ...ὁ ἀδελφός σου [ὁ Λευΐτης] 14 **4**

9 6 οἱ ζητοῦντές σου τὴν ψυχήν. [ἀναλαβὼν δὲ Μωϋσῆς τὴν γυναῖκα καὶ τὰ παιδία ἀνεβίβασεν αὐτὰ ἐπὶ τὰ ὑποζύγια καὶ ἐπέστρεψεν εἰς Αἴγυπτον.]. 20 **4**

9 ...ἐγὼ ἀποκτενῶ τὸν υἱόν σου τὸν πρωτότοκον. [ἐγένετο δὲ ἐν τῇ ὁδῷ ἐν τῷ καταλύματι συνήντησεν αὐτῷ ἄγγελος Κυρίου καὶ ἐζήτει αὐτὸν ἀποκτεῖναι. καὶ λαβοῦσα Σεπφώρα ψῆφον περιέτεμε τὴν ἀκροβυστίαν τοῦ υἱοῦ αὐτῆς καὶ προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ καὶ εἶπεν· Ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου. καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ, διότι εἶπεν· 'Ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου'.]. 24 25 26

13 2 ...τὴν γῆν, [ἣν παρῳκήκασιν,] ἐν ᾗ καὶ παρῴκησαν ἐπ' αὐτῆς. 4 **6**

14 3 Καὶ οὗτοι ἀρχηγοὶ οἴκων πατριῶν αὐτῶν. υἱοὶ Ρουβὴν πρωτοτόκου Ἰσραήλ· Ἐνὼχ καὶ Φαλλούς, Ἀσρὼν καὶ Χαρμεί· αὕτη ἡ συγγένεια Ῥουβήν. καὶ υἱοὶ Συμεών· Ἰεμουὴλ καὶ Ἰαμεὶν καὶ Ἀὼδ καὶ Ἰαχεὶν καὶ Σαὰρ καὶ Σαοὺλ ὁ ἐκ τῆς Φοινίσσης· αὗται αἱ πατριαὶ τῶν υἱῶν Συμεών. καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Λευΐ κατὰ συγγενείας αὐτῶν· Γεδσών, Καὰθ καὶ Μεραρεί· καὶ τὰ ἔτη τῆς ζωῆς Λευΐ ἑκατὸν τριάκοντα ἑπτά. καὶ οὗτοι υἱοὶ Γεδσών· Λοβενεὶ καὶ Σεμεεί, οἶκοι πατριᾶς αὐτῶν. καὶ υἱοὶ Καάθ· Ἀμβρὰμ καὶ Ἰσαάρ, Χεβρὼν καὶ Ὀζειήλ· καὶ τὰ ἔτη τῆς ζωῆς Καὰθ ἑκατὸν τριάκοντα τρία ἔτη. καὶ υἱοὶ Μεραρεί· Μοολεὶ καὶ Ὁμουσεί. οὗτοι οἱ οἶκοι πατριῶν Λευΐ κατὰ συγγενείας αὐτῶν. καὶ ἔλαβεν Ἀμβρὰμ τὴν Ἰωχαβὲδ θυγατέρα τοῦ ἀδελφοῦ τοῦ πατρὸς αὐτοῦ ἑαυτῷ εἰς γυναῖκα, καὶ ἐγέννησεν αὐτῷ τόν τε Ἀαρὼν καὶ τὸν Μωϋσῆν καὶ Μαριὰμ τὴν ἀδελφὴν αὐτῶν· τὰ δὲ ἔτη τῆς ζωῆς Ἀμβράμ ἑκατὸν τριακονταδύο ἔτη. καὶ υἱοὶ Ἰσσαάρ· Κορὲ καὶ Ναφὲκ καὶ Ζεκρεί. καὶ υἱοὶ Ὀζειήλ· Μισαὴλ καὶ Ἐλισαφὰν καὶ Σεγρεί. ἔλαβε δὲ Ἀαρὼν 14 15 16 17 18 19 20 21 22 23

τὴν Ἐλισαβὲθ θυγατέρα Ἀμειναδὰβ ἀδελφὴν Ναασσὼν αὐτῷ γυναῖκα, καὶ ἔτεκεν αὐτῷ τόν τε Ναδὰβ καὶ Ἀβιοὺδ καὶ τὸν Ἐλεάζαρ καὶ Ἰθάμαρ. υἱοὶ δὲ Κορέ· Ἀσεὶρ καὶ Ἑλκανὰ καὶ Ἀβιάσαφ· αὗται αἱ γενέσεις Κορέ. καὶ Ἐλεάζαρ ὁ τοῦ Ἀαρὼν ἔλαβε τῶν θυγατέρων Φουτιὴλ αὐτῷ γυναῖκα, καὶ ἔτεκεν αὐτῷ τὸν Φινεές. αὗται αἱ ἀρχαὶ πατριᾶς Λευϊτῶν κατὰ γενέσεις αὐτῶν. οὗτος Ἀαρὼν καὶ Μωϋσῆς, οἷς εἶπεν αὐτοῖς ὁ θεὸς ἐξαγαγεῖν τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου σὺν δυνάμει αὐτῶν· οὗτοί εἰσιν οἱ διαλεγόμενοι πρὸς φαραὼ βασιλέα Αἰγύπτου καὶ ἐξήγαγον τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου· αὐτὸς Ἀαρὼν καὶ Μωϋσῆς. 24 25 26 27

Ἡ ἡμέρᾳ ἐλάλησε Κύριος Μωϋσῇ ἐν γῇ Αἰγύπτου, καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· ἐγὼ Κύριος· λάλησον πρὸς φαραὼ βασιλέα Αἰγύπτου ὅσα ἐγὼ λέγω πρὸς σέ. καὶ εἶπε Μωϋσῆς ἐναντίον Κυρίου· Ἰδοὺ ἐγὼ ἰσχνόφωνος εἰμι, καὶ πῶς εἰσακούσεταί μου φαραώ; 28 29 30

16 6 '...καὶ ἔσται αἷμα'. [καὶ ἐγένετο αἷμα ἐν πάσῃ γῇ Αἰγύπτου ἔν τε τοῖς ξύλοις καὶ ἐν τοῖς λίθοις.] 19 **7**

27 4 ...λαβέτωσαν ἕκαστος πρόβατον κατ' οἴκους πατριῶν, [ἕκαστος πρόβατον κατ' οἰκίαν.] 3 **12**

30 7 [ἐκείνη] ἡ νὺξ αὕτη προφυλακὴ Κυρίῳ. 42

42 42+ ...τοῦ μαρτυρίου εἰς διατήρησιν, [οἱ δὲ υἱοὶ Ἰσραὴλ ἔφαγον τὸ μάννα ἔτη τεσσαράκοντα, ἕως ἦλθον εἰς γῆν οἰκουμένην· ἐφάγοσαν τὸ μάννα, ἕως παρεγένοντο εἰς μέρος τῆς Φοινίκης, τὸ δὲ γομὸρ τὸ δέκατον τῶν τριῶν μέτρων ἦν.] 35 36 **16**

50 3 οὐ ποιήσετε ὑμῖν αὐτοῖς θεοὺς ἀργυροῦς καὶ θεοὺς χρυσοῦς [οὐ ποιήσετε ὑμῖν αὐτοῖς.] 23 **20**

59 1 αὐτοὶ γὰρ προσήλυτοι ἦτε ἐν γῇ Αἰγύπτου. [ἦτε γὰρ προσήλυτοι ἐν γῇ Αἰγύπτου.] 21 **22**

60 5+ ...λυμαίνεται ῥήματα δίκαια. [καὶ προσήλυτον οὐ θλίψετε] 9 **23**

69 5 ...ἐκπορευομένοις ἐκ τῆς λυχνίας. [καὶ ἐν τῇ λυχνίᾳ τέσσαρες κρατῆρες ἐκτετυπωμένοι καρυΐσκους. οἱ σφαιρωτῆρες καὶ οἱ καλαμίσκοι ἐξ αὐτῆς ἔστωσαν· ὅλη τορευτὴ ἐξ ἑνὸς χρυσίου καθαροῦ.] 35 36 **25**

72 8+ ...καὶ αἱ βάσεις αὐτῶν τέσσαρες. [πάντες οἱ στῦλοι τῆς αὐλῆς κύκλῳ κατηργυρωμένοι ἀργυρίῳ, καὶ αἱ κεφαλίδες αὐτῶν ἀργυραῖ, καὶ αἱ βάσεις αὐτῶν χαλκαῖ. τὸ δὲ μῆκος τῆς αὐλῆς ἑκατὸν ἐφ' ἑκατόν, καὶ εὖρος πεντήκοντα ἐπὶ πεντήκοντα, καὶ ὕψος πέντε πήχεων, ἐκ βύσσου κεκλωσμένης, καὶ αἱ βάσεις αὐ- 17 18 **27**

		τῶν χαλκαῖ. καὶ πᾶσα ἡ κατασκευὴ καὶ πάντα τὰ ἐργαλεῖα καὶ οἱ πάσσαλοι τῆς αὐλῆς χαλκοῖ.] *(Σχόλιον τοῦ κεφ. 72 ποὺ προηγεῖται).*	19	
84	3	...καὶ τοὺς πόδας ὕδατι, [ὅταν εἰσπορεύωνται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, νίψονται ὕδατι,]	20	**30**
87	5	καὶ ἐγὼ ἔδωκα ... παντὶ συνετῷ καρδίᾳ [δέδωκα] σύνεσιν	6	**31**
91	13	καὶ ἰδὼν Μωϋσῆς..., ἔστη [δὲ Μωϋσῆς] ἐπὶ τῆς πύλης	26	**32**
94	1	ἔπηξεν ἔξω τῆς παρεμβολῆς, [μακρὰν ἀπὸ τῆς παρεμβολῆς]	7	**33**
97	3	ὡς δὲ κατέβαινε Μωϋσῆς ἐκ τοῦ ὄρους, καὶ αἱ δύο πλάκες ἐπὶ τῶν χειρῶν [Μωυσῆ· καταβαίνοντος δὲ] αὐτοῦ [ἐκ τοῦ ὄρους, Μωϋσῆς] οὐκ ᾔδει ὅτι δεδόξασται	29	**34**
98	3	τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ [κατάπαυσις], σάββατα ἅγια [ἀνάπαυσις] Κυρίῳ.	2	**35**
99	9	... καὶ τοὺς λίθους τῆς σμαράγδου [καὶ τὸ θυμίαμα καὶ τὸ ἔλαιον τοῦ χρίσματος]	14	
		...καὶ τὰς στολὰς τὰς ἁγίας Ἀαρὼν τοῦ ἱερέως καὶ [τὰς στολάς ἐν αἷς λειτουργήσουσιν ἐν αὐταῖς, καὶ τοὺς χιτῶνας] τοῖς υἱοῖς Ἀαρὼν [τῆς ἱερατείας] καὶ τὸ ἔλαιον	18	
106	1	ἐποίησε τὸν λουτῆρα, ἵνα νίπτωνται ἐξ αὐτοῦ [Μωϋσῆς καὶ] Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ	27	**38**
107	1	ὀκτὼ καὶ εἴκοσι πήχεων μῆκος τῆς αὐλαίας τῆς μιᾶς [τὸ αὐτὸ ἦν πάσαις]	2	**37**
108	1	ἐκ βύσσου κεκλωσμένης ἑκατὸν [ἐφ' ἑκατὸν] πήχεων, καὶ οἱ στῦλοι αὐτῶν εἴκοσι	8	
		καὶ τὸ κλίτος τὸ πρὸς βορρᾶν <ἱστία> ἑκατὸν <πήχεων> [ἐφ' ἑκατὸν καὶ τὸ κλίτος τὸ πρὸς νότον ἑκατὸν ἐφ' ἑκατόν] καὶ οἱ στῦλοι αὐτῶν εἴκοσι	9	
		καὶ τὸ ὕψος [καὶ τὸ εὖρος] πεντεκαίδεκα πήχεων	16	
109	5	...τὸ θυσιαστήριον τὸ χαλκοῦν [ἐκ τῶν πυρείων τῶν χαλκῶν, ἃ ἦσαν τοῖς ἀνδράσι τοῖς καταστασιάσασι μετὰ τῆς Κορὲ συναγωγῆς]	22	**38**
		ἔργον δικτυωτὸν κάτωθεν τοῦ πυρὸς [ὑπὸ τὸ αὐτὸ] ἕως τοῦ ἡμίσους αὐτοῦ	24	
111	2	ὕφασμα κατάλιθον τετράστιχον· [στίχος λίθων]	17	**36**
		οἱ λίθοι ἦσαν ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ἰσραήλ δώδεκα [ἐκ τῶν ὀνομάτων αὐτῶν] ἐγγεγλυμμένοι	21	
115	3	...χίλιοι ἑπτακόσιοι ἑβδομήκοντα πέντε σίκλοι, [δραχμὴ μία] τῇ κεφαλῇ τὸ ἥμισυ τοῦ σίκλου	2	**39**

117 1 καὶ ἤνεγκαν [τὰς στολὰς] πρὸς Μωϋσῆν [καὶ] τὴν σκηνὴν καὶ τὰ σκεύη αὐτῆς 14

118 1 Ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ πρώτου [νουμηνίᾳ] στήσεις τὴν σκηνὴν τοῦ μαρτυρίου *(πρβλ. No 119,1)*

124 6 ...θυσία ἐστὶ Κυρίῳ. [ἐὰν δὲ θυσία ἀπὸ τηγάνου τὸ δῶρόν σου, σεμίδαλις ἐν ἐλαίῳ ποιηθήσεται] 7 **2** **Λε**

127 4 [καὶ πᾶν τὸ στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν] καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας

128 3 [τὸ στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν] καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας

5 ...ἐν πάσῃ κατοικίᾳ ὑμῶν. [πᾶν στέαρ καὶ πᾶν αἷμα οὐκ ἔδεσθε]. 17 **3**

129 3 ...λάγανα ἄζυμα διακεχρισμένα ἐν ἐλαίῳ [καὶ σεμίδαλιν πεφυραμένην ἐν ἐλαίῳ] 12 **7**

131 1 πᾶν στέαρ βοῶν, καὶ προβάτων, [καὶ αἰγῶν] οὐκ ἔδεσθε. 24

132 9 [τὸ στέαρ τὸ κατακαλύπτον τὰ ἐντόσθια] καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν ἐντοσθίων

137 3 [καὶ πᾶν τὸ στέαρ τὸ κατακαλύπτον τὰ ἐντόσθια] καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν ἐντοσθίων

141 3 ...ἣν ἂν καταναλώσῃ τὸ πῦρ, [τὴν ὁλοκαύτωσιν ἀπὸ τοῦ θυσιαστηρίου] 3 **6**

145 6 ...ἔζωσεν αὐτὸν τὴν ζώνην [καὶ ἐνέδυσεν αὐτὸν τὸν ὑποδύτην] 7 **8**

151 11 ...τὰ θνησιμαῖα αὐτῶν βδελύξεσθε. [καὶ πάντα ὅσα οὐκ ἔστιν αὐτοῖς πτερύγια, οὐδὲ λεπίδες, τῶν ἐν τοῖς ὕδασι, βδέλυγμα τοῦτό ἐστιν ὑμῖν.] 12 **11**

...[καὶ στρουθὸν] καὶ γλαῦκα καὶ λάρον καὶ τὰ ὅμοια αὐτῷ 15

...[καὶ ἔποπα] καὶ νυκτερίδα 19

ταῦτα φάγεσθε ἀπὸ [τῶν ἑρπετῶν] τῶν πετεινῶν 21

...τὴν ἀκρίδα καὶ τὰ ὅμοια αὐτῇ. [πᾶν ἑρπετὸν ἀπὸ τῶν πετεινῶν, οἷς εἰσι τέσσαρες πόδες, βδελύγματά ἐστιν ὑμῖν, καὶ ἐν τούτοις μιανθήσεσθε]. 23

...ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. [καὶ ἐν πᾶσι τοῖς κτήνεσιν, ὅ ἐστι διχηλοῦν ὁπλήν, καὶ ὀνυχιστῆρας ὀνυχίζει καὶ μηρυκισμὸν οὐ μηρυκᾶται, ἀκάθαρτα ἔσονται ὑμῖν· πᾶς ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. καὶ πᾶς ὃς πορεύεται ἐπὶ χειρῶν ἐν πᾶσι τοῖς θηρίοις, ἃ πορεύεται ἐπὶ τέσσαρα, ἀκάθαρτά ἐστιν ὑμῖν· πᾶς ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν ἀκάθαρτος ἔσται ἕως ἑσπέρας, καὶ ὁ αἴρων τῶν 26 27 28

θνησιμαίων αὐτῶν πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· ἀκάθαρτα ταῦτά ἐστιν ὑμῖν.

Καὶ ταῦτα ὑμῖν ἀκάθαρτα ἀπὸ τῶν ἑρπετῶν τῶν ἐπὶ τῆς 29
γῆς· ἡ γαλῆ καὶ ὁ μῦς καὶ ὁ κροκόδειλος ὁ χερσαῖος, μυγάλη
καὶ χαμαιλέων, καὶ χαλαβώτης καὶ σαῦρα καὶ ἀσπάλαξ]. 30

ταῦτα ἀκάθαρτα ὑμῖν ἀπὸ πάντων [τῶν ἑρπετῶν] τῶν ἐπὶ τῆς 31
γῆς..

ἀκάθαρτα [ταῦτά ἐστι καὶ ἀκάθαρτα] ταῦτα ὑμῖν ἔσονται. 35

...οὐκ ἀκάθαρτοι ἔσεσθε ἐν αὐτοῖς, [ὅτι ἐγώ εἰμι Κύριος ὁ θεὸς 44
ὑμῶν, καὶ ἁγιασθήσεσθε καὶ ἅγιοι ἔσεσθε, ὅτι ἅγιός εἰμι ἐγὼ
Κύριος ὁ θεὸς ὑμῶν, καὶ οὐ μιανεῖτε τὰς ψυχὰς ὑμῶν ἐν πᾶσι
τοῖς ἑρπετοῖς τοῖς κινουμένοις ἐπὶ τῆς γῆς· ὅτι] ἐγώ εἰμι Κύ-
ριος...

152 6 ...ἄμωμον εἰς ὁλοκαύτωμα, [καὶ νεοσσὸν περιστερᾶς ἢ τρυγό- 6 **12**
να περὶ ἁμαρτίας] ἐπὶ τὴν θύραν

154 24 ...λήψεται [ἀμνὸν ἕνα εἰς ὃ ἐπλημμέλησεν εἰς ἀφαίρεμα, ὥστε 21 **14**
ἐξιλάσασθαι περὶ αὐτοῦ, καὶ] δέκατον σεμιδάλεως

...δύο νεοσσοὺς περιστερῶν, [ὅσα εὗρεν ἡ χεὶρ αὐτοῦ, καὶ ἔ- 22
σται ἡ μία περὶ ἁμαρτίας καὶ ἡ μία εἰς ὁλοκαύτωμα· καὶ προ- 23
σοίσει αὐτὰ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ εἰς τὸ καθαρίσαι αὐτὸν πρὸς
τὸν ἱερέα, ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου ἔναντι Κυ-
ρίου. καὶ λαβὼν ὁ ἱερεὺς τὸν ἀμνὸν τῆς πλημμελείας καὶ τὴν 24
κοτύλην τοῦ ἐλαίου, ἐπιθήσει αὐτὰ ἐπίθεμα ἔναντι Κυρίου. καὶ 25
σφάξει τὸν ἀμνὸν τὸν τῆς πλημμελείας, καὶ λήψεται ὁ ἱερεὺς ἀ-
πὸ τοῦ αἵματος τοῦ τῆς πλημμελείας καὶ ἐπιθήσει ἐπὶ τὸν λο-
βὸν τοῦ ὠτὸς τοῦ καθαριζομένου τοῦ δεξιοῦ καὶ ἐπὶ τὸ ἄκρον
τῆς χειρὸς τῆς δεξιᾶς καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ.
καὶ ἀπὸ τοῦ ἐλαίου ἐπιχεεῖ ὁ ἱερεὺς ἐπὶ τὴν χεῖρα τοῦ ἱερέως 26
τὴν ἀριστεράν, καὶ ῥανεῖ ὁ ἱερεὺς τῷ δακτύλῳ τῷ δεξιῷ ἀπὸ 27
τοῦ ἐλαίου τοῦ ἐν τῇ χειρὶ αὐτοῦ τῇ ἀριστερᾷ ἑπτάκις ἔναντι
Κυρίου· καὶ ἐπιθήσει ὁ ἱερεὺς ἀπὸ τοῦ ἐλαίου τοῦ ἐπὶ τῆς χει- 28
ρὸς αὐτοῦ ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς τοῦ καθαριζομένου τοῦ δε-
ξιοῦ καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς αὐτοῦ τῆς δεξιᾶς καὶ ἐπὶ τὸ
ἄκρον τοῦ ποδὸς αὐτοῦ τοῦ δεξιοῦ, ἐπὶ τὸν τόπον τοῦ αἵματος
τοῦ τῆς πλημμελείας· τὸ δὲ καταλειφθὲν ἀπὸ τοῦ ἐλαίου τὸ ὂν 29
ἐπὶ τῆς χειρὸς τοῦ ἱερέως ἐπιθήσει ἐπὶ τὴν κεφαλὴν τοῦ καθα-
ρισθέντος, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἔναντι Κυρίου.
καὶ ποιήσει μίαν ἀπὸ τῶν τρυγόνων ἢ ἀπὸ τῶν νεοσσῶν τῶν 30
περιστερῶν, καθότι εὗρεν αὐτοῦ ἡ χείρ,]

155 2 καὶ ἥξει τις [αὐτοῦ ἡ οἰκία] καὶ ἀναγγελεῖ 35 **14**

156 38+ ...τῇ αἱμορροούσῃ ἐν τῇ ἀφέδρῳ αὐτῆς, [καὶ ὁ γονορρυὴς ἐν 33 **15**

τῇ ῥύσει αὐτοῦ, τῷ ἄρσενι ἢ τῇ θηλείᾳ, καὶ τῷ ἀνδρί, ὃς ἐὰν κοιμηθῇ μετὰ ἀποκαθημένης.]

157 14 ἐπὶ τὸ ἱλαστήριον κατὰ ἀνατολὰς [κατὰ πρόσωπον τοῦ ἱλαστηρίου ῥανεῖ] ἑπτάκις [ἀπὸ τοῦ αἵματος τῷ δακτύλῳ]... ἐπὶ τὸ ἱλαστήριον, [κατὰ πρόσωπον τοῦ ἱλαστηρίου] καὶ ἐξιλάσεται... 15 **16**

158 4 ...εἰς ὀσμὴν εὐωδίας, [καὶ ὃς ἂν σφάξῃ ἔξω καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου μὴ ἐνέγκῃ αὐτό, ὥστε προσενέγκαι δῶρον τῷ Κυρίῳ ἀπέναντι τῆς σκηνῆς Κυρίου,] καὶ λογισθήσεται... 4 **17**

8+ Καὶ ἐρεῖς πρὸς αὐτούς· Ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ ἢ ἀπὸ τῶν υἱῶν τῶν προσηλύτων τῶν προσκειμένων ἐν ὑμῖν, ὃς ἂν ποιήσῃ ὁλοκαύτωμα ἢ θυσίαν καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου μὴ ἐνέγκῃ ποιῆσαι αὐτὸ τῷ Κυρίῳ, ἐξολοθρευθήσεται ὁ ἄνθρωπος ἐκεῖνος ἐκ τοῦ λαοῦ αὐτοῦ. 8 9

160 34 ...οὐκ οἰωνιεῖσθε, [οὐδὲ ὀρνιθοσκοπήσεσθε.]. 26 **19**

161 30 Καὶ ἀφοριεῖτε [αὐτοῖς] ἀνὰ μέσον τῶν κτηνῶν 25 **20**

165 10 Καὶ [ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων] μόσχον 27 **22**

166 3 τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ [σάββατα] ἀνάπαυσις κλητὴ ἁγία

6 ...ὥστε εἶναι ὑμῶν θεός, [ἐγὼ Κύριος.] 33

...ἡμέρᾳ τοῦ μηνός, [ἀνὰ μέσον τῶν ἑσπερινῶν πάσχα τῷ Κυρίῳ. καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου] ἑορτὴ τῶν ἀζύμων τῷ Κυρίῳ. 6 **23**

Καὶ [ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· Εἰπὸν τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς·] ὅταν εἰσέλθητε... 9 10

εἰς [αὐτὴν] τὴν ἡμέραν ταύτην 14

ἐπίθεμα ἐναντίον Κυρίου· [μετὰ τῶν δύο ἀμνῶν]· 20

[Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραήλ, λέγων·] Τοῦ μηνὸς τοῦ ἑβδόμου... 23 24

[Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων·] καὶ τῇ δεκάτῃ τοῦ μηνὸς τοῦ ἑβδόμου 26

πᾶν ἔργον <λατρευτὸν> οὐ ποιήσετε ἐν [αὐτῇ] τῇ ἡμέρᾳ ταύτῃ. 28

...ἥτις μὴ ταπεινωθήσεται ἐν [αὐτῇ] τῇ ἡμέρᾳ ταύτῃ 29

...ἥτις ποιήσει ἔργον ἐν [αὐτῇ] τῇ ἡμέρᾳ ταύτῃ 30

Καὶ [ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραήλ, λέγων·] τῇ πεντεκαιδεκάτῃ τοῦ μηνὸς τοῦ ἑβδόμου... 33 34

170 32 ...ἕως πληρωθῇ ἐνιαυτὸς ἡμερῶν. [ἔσται ἡ λύτρωσις αὐτῆς.] 29 **25**

171 32+ Αὗταί εἰσιν αἱ ἐντολαί, ἃς ἐνετείλατο Κύριος τῷ Μωϋσῇ πρὸς τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ ὄρει Σινά. 34 **27**

172 35+ ...ἐν τῇ γῇ τῶν ἐχθρῶν ὑμῶν· [τότε σαββατιεῖ ἡ γῆ, καὶ εὐδοκήσει ἡ γῆ τὰ σάββατα αὐτῆς. πάσας τὰς ἡμέρας τῆς ἐρημώσεως αὐτῆς σαββατιεῖ, ἃ οὐκ ἐσαββάτισεν ἐν τοῖς σαββάτοις ὑμῶν, ἡνίκα κατῳκεῖτε αὐτήν.] 34 **26** 35

173 23 ...ἐν τῇ δυνάμει, [ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ῥουβήν] 21 **I** Ἀρ

...ἐν τῇ δυνάμει, [ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Συμεών] 23

...ἐν τῇ δυνάμει, [ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ἰούδα] 25

...ἐν τῇ δυνάμει, [ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ἰσσάχαρ] 27

...ἐν τῇ δυνάμει, [ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ζαβουλών] 29

...τοῖς [υἱοῖς Ἰωσὴφ] υἱοῖς Ἐφραΐμ 30

...ἐν τῇ δυνάμει, [ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ἐφραΐμ] 31

...ἐν τῇ δυνάμει, [ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Μανασσή] 33

...ἐν τῇ δυνάμει, [ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Βενιαμίν] 35

...ἐν τῇ δυνάμει, [ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Γάδ] 37

ἐν τῇ δυνάμει, [ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Δάν] 39

...ἐν τῇ δυνάμει, [ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ἀσήρ] 41

...ἐν τῇ δυνάμει, [ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Νεφθαλίμ] 43

176 1 Καὶ αὗται αἱ γενέσεις Ἀαρὼν [καὶ Μωϋσῆ] 1 **3**

177 2 ...τῆς σκηνῆς τοῦ μαρτυρίου [καὶ τὰς φυλακὰς τῶν υἱῶν Ἰσραὴλ κατὰ πάντα τὰ ἔργα τῆς σκηνῆς]. 8

...ὁ ἁπτόμενος ἀποθανεῖται. [καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων·] 11

178 17 ...ἑξακισχίλιοι [καὶ πεντήκοντα] 35

180 4 ...κατὰ τὸν σίκλον τὸν ἅγιον λήψῃ [εἴκοσιν ὀβολοὺς τοῦ σίκλου] καὶ δώσεις.. 47

181 6 [καὶ ἐπιβαλοῦσιν ἐπ' αὐτὴν ἱμάτιον κόκκινον] καὶ καλύψουσιν αὐτὴν καλύμματι... 8 **4**

...καὶ τὰς φιάλας [καὶ τὸν καλυπτῆρα] 14

καὶ ἀρεῖ [τὰς δέρρεις τῆς σκηνῆς καὶ] τὴν σκηνὴν [τοῦ μαρτυρίου] καὶ τὸ κάλυμμα αὐτῆς <καὶ τὰ καταπετάσματα> καὶ τὸ κατακάλυμμα [τὸ ὑακίνθινον τὸ ὂν ἐπ' αὐτῆς ἄνωθεν καὶ τὸ κάλυμμα] τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ τὰ ἱστία τῆς αὐλῆς... [ὅσα ἐπὶ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ τὰ περισσὰ καὶ πάντα τὰ σκεύη τὰ λειτουργικά, ὅσα λειτουργοῦσιν ἐν αὐτοῖς, ποιήσουσι]. 25 26

...καὶ τὰς βάσεις αὐτῶν [καὶ τὸ κατακάλυμμα καὶ αἱ βάσεις αὐτῶν, καὶ οἱ στῦλοι αὐτῶν καὶ τὸ κατακάλυμμα τῆς θύρας τῆς σκηνῆς] καὶ τοὺς στύλους τῆς αὐλῆς κύκλῳ... 31

...καὶ πάντα τὰ σκεύη αὐτῶν [καὶ πάντα τὰ λειτουργήματα] εἰς τὰ ἔργα αὐτῶν· 32

<ΥΔΩΡ ΤΟΥ ΕΛΕΓΜΟΥ>

183 5+ Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· Λάλησον τοῖς 11 12 **5**
υἱοῖς Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς· Ἀνδρὸς ἀνδρός, ἐὰν παραβῇ ἡ γυνὴ αὐτοῦ, καὶ ὑπεριδοῦσα παρίδῃ αὐτὸν καὶ κοιμηθῇ
τις μετ' αὐτῆς κοίτην σπέρματος, καὶ λάθῃ ἐξ ὀφθαλμῶν τοῦ 13
ἀνδρὸς αὐτῆς καὶ κρύψῃ, αὐτὴ δὲ ᾖ μεμιασμένη καὶ μάρτυς μὴ
ἦν μετ' αὐτῆς, καὶ αὐτὴ μὴ ᾖ συνειλημμένη, καὶ ἐπέλθῃ αὐτῷ 14
πνεῦμα ζηλώσεως καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, αὐτὴ δὲ μεμίανται, ἢ ἐπέλθῃ αὐτῷ πνεῦμα ζηλώσεως καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, αὐτὴ δὲ μὴ ᾖ μεμιασμένη, καὶ ἄξει ὁ ἄνθρωπος 15
τὴν γυναῖκα αὐτοῦ πρὸς τὸν ἱερέα καὶ προσοίσει τὸ δῶρον περὶ αὐτῆς, τὸ δέκατον τοῦ οἰφὶ ἄλευρον κρίθινον, οὐκ ἐπιχεεῖ ἐπ' αὐτὸ ἔλαιον, οὐδὲ ἐπιθήσει ἐπ' αὐτὸ λίβανον· ἔστι γὰρ θυσία ζηλοτυπίας, θυσία μνημοσύνου, ἀναμιμνήσκουσα ἁμαρτίαν. καὶ προσάξει αὐτὴν ὁ ἱερεὺς καὶ στήσει αὐτὴν ἔναντι Κυ- 16
ρίου, καὶ λήψεται ὁ ἱερεὺς ὕδωρ καθαρὸν ζῶν ἐν ἀγγείῳ ὀ- 17
στρακίνῳ καὶ τῆς γῆς τῆς οὔσης ἐπὶ τοῦ ἐδάφους τῆς σκηνῆς
τοῦ μαρτυρίου, καὶ λαβὼν ὁ ἱερεὺς ἐμβαλεῖ εἰς τὸ ὕδωρ. καὶ 18
στήσει ὁ ἱερεὺς τὴν γυναῖκα ἔναντι Κυρίου καὶ ἀποκαλύψει τὴν κεφαλὴν τῆς γυναικὸς καὶ δώσει ἐπὶ τὰς χεῖρας αὐτῆς τὴν θυσίαν τοῦ μνημοσύνου, τὴν θυσίαν τῆς ζηλοτυπίας, ἐν δὲ τῇ χειρὶ τοῦ ἱερέως ἔσται τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου τούτου. καὶ ὁρκιεῖ αὐτὴν ὁ ἱερεύς, καὶ ἐρεῖ τῇ γυναικί· Εἰ 19
μὴ κεκοίμηταί τις μετὰ σοῦ, εἰ μὴ παραβέβηκας μιανθῆναι ὑπὸ τὸν ἄνδρα τὸν σεαυτῆς, ἀθῷα ἴσθι ἀπὸ τοῦ ὕδατος τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου τούτου· εἰ δὲ σὺ παραβέβηκας ὕπαν- 20
δρος οὖσα, ἢ μεμίανσαι καὶ ἔδωκέ τις τὴν κοίτην αὐτοῦ ἐν
σοί, πλὴν τοῦ ἀνδρός σου· καὶ ὁρκιεῖ ὁ ἱερεὺς τὴν γυναῖκα ἐν 21
τοῖς ὅρκοις τῆς ἀρᾶς ταύτης, καὶ ἐρεῖ ὁ ἱερεὺς τῇ γυναικί· Δῴη σε Κύριος ἐν ἀρᾷ καὶ ἐνόρκιον ἐν μέσῳ τοῦ λαοῦ σου, ἐν
τῷ δοῦναι Κύριον τὸν μηρόν σου διαπεπτωκότα, καὶ τὴν κοι- 22
λίαν σου πεπρησμένην, καὶ εἰσελεύσεται τὸ ὕδωρ τὸ ἐπικαταρώμενον τοῦτο εἰς τὴν κοιλίαν σου πρῆσαι γαστέρα καὶ διαπεσεῖν μηρόν σου. καὶ ἐρεῖ ἡ γυνή· Γένοιτο, γένοιτο. καὶ γράψει 23
ὁ ἱερεὺς τὰς ἀρὰς ταύτας εἰς βιβλίον, καὶ ἐξαλείψει εἰς τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου. καὶ ποτιεῖ τὴν γυναῖκα 24
τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου, καὶ εἰσελεύσεται

εἰς αὐτὴν τὸ ὕδωρ τὸ ἐπικαταρώμενον τοῦ ἐλεγμοῦ. καὶ λήψε- 25
ται ὁ ἱερεὺς ἐκ χειρὸς τῆς γυναικὸς τὴν θυσίαν τῆς ζηλοτυ-
πίας καὶ ἐπιθήσει τὴν θυσίαν ἔναντι Κυρίου καὶ προσοίσει αὐ-
τὴν πρὸς τὸ θυσιαστήριον, καὶ δράξεται ὁ ἱερεὺς ἀπὸ τῆς θυ- 26
σίας τὸ μνημόσυνον αὐτῆς καὶ ἀνοίσει αὐτὸ ἐπὶ τὸ θυσιαστή-
ριον καὶ μετὰ ταῦτα ποτιεῖ τὴν γυναῖκα τὸ ὕδωρ. καὶ ἔσται, ἐ- 27
ὰν ᾖ μεμιασμένη καὶ λήθῃ λάθῃ τὸν ἄνδρα αὐτῆς, καὶ εἰσελεύ-
σεται εἰς αὐτὴν τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τὸ ἐπικαταρώμενον, καὶ
πρησθήσεται τὴν κοιλίαν, καὶ διαπεσεῖται ὁ μηρὸς αὐτῆς, καὶ
ἔσται ἡ γυνὴ εἰς ἀρὰν τῷ λαῷ αὐτῆς. ἐὰν δὲ μὴ μιανθῇ ἡ γυνὴ 28
καὶ καθαρὰ ᾖ, καὶ ἀθῷα ἔσται καὶ ἐκσπερματιεῖ σπέρμα. οὗτος 29
ὁ νόμος τῆς ζηλοτυπίας, ᾧ ἂν παραβῇ ἡ γυνὴ ὕπανδρος οὖσα
καὶ μιανθῇ· ἢ ἄνθρωπος, ᾧ ἐὰν ἐπέλθῃ ἐπ' αὐτὸν πνεῦμα ζη- 30
λώσεως καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, καὶ στήσῃ τὴν γυναῖ-
κα αὐτοῦ ἔναντι Κυρίου, καὶ ποιήσῃ αὐτῇ ὁ ἱερεὺς πάντα τὸν
νόμον τοῦτον· καὶ ἀθῷος ἔσται· ὁ ἄνθρωπος ἀπὸ ἁμαρτίας, 31
καὶ ἡ γυνὴ ἐκείνη λήψεται τὴν ἁμαρτίαν αὐτῆς.

(τέλος Ὕδατος τοῦ ἐλεγμοῦ).

187 9 καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν· [ἄρχων εἷς καθ' ἡμέραν] ἄρ- 11 **7**
χων καθ' ἡμέραν προσοίσουσι τὰ δῶρα αὐτῶν

189 3+ ...καθὰ συνέταξε Κύριος τῷ Μωϋσῇ. [καὶ αὕτη ἡ κατασκευὴ 4 **8**
τῆς λυχνίας· στερεὰ χρυσῆ, ὁ καυλὸς αὐτῆς καὶ τὰ κρίνα αὐ-
τῆς, στερεὰ ὅλη· κατὰ τὸ εἶδος, ὃ ἔδειξε Κύριος τῷ Μωϋσῇ,
οὕτως ἐποίησε τὴν λυχνίαν.]

195 4 ...πάντες οἱ ἄρχοντες [ἀρχηγοὶ] Ἰσραήλ. 4 **10**

196 2 ...ἐν τῇ ἐρήμῳ Σινά, [καὶ ἔστη ἡ νεφέλη ἐν τῇ ἐρήμῳ τοῦ Φα- 12
ράν.]

198 1+ ...ὁδὸν τριῶν ἡμερῶν, [καὶ ἡ κιβωτὸς τῆς διαθήκης Κυρίου 34
προεπορεύετο προτέρα αὐτῶν ὁδὸν τριῶν ἡμερῶν κατασκέψα-
σθαι αὐτοῖς ἀνάπαυσιν.]

202 1 Καὶ ἐλάλησε Μαριὰμ καὶ Ἀαρὼν κατὰ Μωϋσῆ, [ἕνεκεν 1 **12**
τῆς γυναικὸς τῆς Αἰθιοπίσσης ἣν ἔλαβε Μωϋσῆς, ὅτι γυναῖκα
Αἰθιόπισσαν ἔλαβε], καὶ εἶπαν·

203 26+ ...γενεαὶ Ἐνάκ· [καὶ Χεβρὼν ἑπτὰ ἔτεσιν ᾠκοδομήθη πρὸ τοῦ 23 **13**
Τάνιν Αἰγύπτου.]

213 5 ...τοὺς ὄντας αὐτοῦ καὶ τοὺς ἁγίους, [καὶ προσηγάγετο πρὸς 5 **16**
ἑαυτόν]

[εἰ κατὰ θάνατον πάντων ἀνθρώπων ἀποθανοῦνται οὗτοι] εἰ 29
καὶ κατ' ἐπίσκεψιν πάντων ἀνθρώπων ἐπισκοπὴ ἔσται αὐτῶν

215 2 καὶ [τήνδε] ἐκάλυψεν αὐτὴν ἡ νεφέλη 7 **17**

220 3 οὕτως ἀφελεῖτε [αὐτοὺς] καὶ ὑμεῖς 28 **18**

221 1 ...πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων· [αὕτη ἡ διαστολὴ τοῦ νόμου, ὅσα συνέταξε Κύριος λέγων·] Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ... 2 **19**

...τῆς σκηνῆς τοῦ μαρτυρίου [ἀπὸ τοῦ αἵματος αὐτῆς] ἑπτάκις. 4

231 125 καὶ ἐὰν γένηται [τῷ Βεὼρ] νοσσιὰ πανουργίας,... 22 **24**

233 7+ ...ἑπτακόσιοι καὶ τριάκοντα. [καὶ υἱοὶ Φαλλοὺ Ἐλιάβ. καὶ υἱοὶ Ἐλιάβ· Ναμουὴλ καὶ Δαθὰν καὶ Ἀβειρών· οὗτοι ἐπίκλητοι τῆς συναγωγῆς, οὗτοί εἰσιν οἱ ἐπισυστάντες ἐπὶ Μωϋσῆν καὶ Ἀαρὼν ἐν τῇ συναγωγῇ Κορέ, ἐν τῇ ἐπισυστάσει Κυρίου. καὶ ἀνοίξασα ἡ γῆ τὸ στόμα αὐτῆς κατέπιεν αὐτοὺς καὶ Κορὲ ἐν τῷ θανάτῳ τῆς συναγωγῆς αὐτοῦ, ὅτε κατέφαγε τὸ πῦρ τοὺς πεντήκοντα καὶ διακοσίους, καὶ ἐγενήθησαν ἐν σημείῳ, οἱ δὲ υἱοὶ Κορὲ οὐκ ἀπέθανον.] 8 9 **26** 10 11

...τῷ Μελχιὴλ δῆμος ὁ Μελχιηλί. [καὶ τὸ ὄνομα θυγατρὸς Ἀσὴρ Σάρα.] 30

...τῷ Ὀφὲρ δῆμος ὁ Ὀφερί· [καὶ τῷ Σαλπαὰδ υἱῷ Ὀφὲρ οὐκ ἐγένοντο αὐτῷ υἱοί, ἀλλ' ἢ θυγατέρες, καὶ ταῦτα τὰ ὀνόματα τῶν θυγατέρων Σαλπαάδ· Μααλὰ καὶ Νουὰ καὶ Ἐγλὰ καὶ Μελχὰ καὶ Θερσά.] 37

[πάντες οἱ δῆμοι Σαμεῖ] κατ' ἐπισκοπὴν αὐτῶν... 47

...οὗτοι οἱ δῆμοι υἱῶν Λευΐ· δῆμος ὁ Λοβενί, [δῆμος ὁ Χεβρωνί, δῆμος ὁ Κορὲ καὶ δῆμος ὁ Μουσί. καὶ Καὰθ ἐγέννησε τὸν Ἀμράμ. τὸ δὲ ὄνομα τῆς γυναικὸς αὐτοῦ Ἰωχαβέδ, θυγάτηρ Λευΐ, ἣ ἔτεκε τούτους τῷ Λευΐ ἐν Αἰγύπτῳ· καὶ ἔτεκε τῷ Ἀμρὰμ τὸν Ἀαρὼν καὶ Μωϋσῆν καὶ Μαριὰμ τὴν ἀδελφὴν αὐτῶν. καὶ ἐγεννήθησαν τῷ Ἀαρὼν ὅ τε Ναδὰβ καὶ Ἀβιοὺδ καὶ Ἐλεάζαρ καὶ Ἰθάμαρ. καὶ ἀπέθανε Ναδὰβ καὶ Ἀβιοὺδ ἐν τῷ προσφέρειν αὐτοὺς πῦρ ἀλλότριον ἔναντι Κυρίου ἐν τῇ ἐρήμῳ Σινά.] 58 59 60 61

234 1+ ...τῶν υἱῶν Ἰωσὴφ [καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· Μααλὰ καὶ Νουὰ καὶ Ἐγλὰ καὶ Μελχὰ καὶ Θερσά] καὶ στᾶσαι... 1 **27**

235 1+ ...δώσετε τὴν κληρονομίαν τῷ ἀδελφῷ [τοῦ πατρὸς] αὐτοῦ. 9

...εἰς τὸ ὅρος τὸ ἐν τῷ Πέραν τοῦ Ἰορδάνου [τοῦτο τὸ ὅρος Ναβαῦ] 12

...ἐπὶ τῷ ὕδατι ἔναντι αὐτῶν [τοῦτ' ἔστι τὸ Ὕδωρ Ἀντιλογίας ἐν Κάδης ἐν τῇ ἐρήμῳ Σίν]. 14

237 1 [Καὶ ἐλάλησε Μωϋσῆς τοῖς υἱοῖς Ἰσραὴλ κατὰ πάντα ὅσα ἐνετείλατο Κύριος τῷ Μωϋσῇ] καὶ ἐλάλησε Μωϋσῆς... 1 **30**

8 καὶ οὕτω στήσονται πᾶσαι αἱ εὐχαὶ αὐτῆς... [στήσονται]. 8

240 27 ...καὶ χλιδῶνα καὶ ψέλλιον καὶ δακτύλιον [καὶ περιδέξιον]... 50 **31**

243 22 ...παρενέβαλον εἰς [Μακελλάθ. καὶ ἀπῆραν ἐκ Μακελλὰθ καὶ παρενέβαλον εἰς] Σαφάρ. 22 **33**

ἀπῆραν ἐκ Γεσιὼν Γαβὲρ [καὶ παρενέβαλον ἐν τῇ ἐρήμῳ Σίν. καὶ ἀπῆραν ἐκ τῆς ἐρήμου Σὶν] καὶ παρενέβαλον εἰς τὴν ἔρημον Φαράν. < καὶ ἀπῆραν ἐκ τῆς ἐρήμου Φαρὰν καὶ παρενέβαλον εἰς > [αὕτη ἐστὶ] Κάδης. 36

ἀπῆραν ἐξ Ὤρ τοῦ ὄρους [καὶ παρενέβαλον εἰς Σελμωνά. καὶ ἀπῆραν ἐκ Σελμωνὰ] καὶ παρενέβαλον εἰς Φινώ. 41 42

245 10 ...ἀπὸ Ἀρσεναῖν [Σεπφαμάρ] 10 **34**
....καταβήσεται [τὰ ὅρια Βηλὰ] ἐπὶ νώτου θαλάσσης Χενερέθ. 11

246 7 [ἄρχων] Βακχίρ... φυλῆς [υἱῶν] Μανασσὴ [ἄρχων] Ἀνιήλ... φυλῆς [υἱῶν] Ἐφραΐμ [ἄρχων] Καμουήλ... [ἄρχων] Ἐλισαφάν... φυλῆς [υἱῶν] Ἰσσάχαρ [ἄρχων] Φαλτιήλ... φυλῆς [υἱῶν] Ἀσὴρ
13 [ἄρχων] Ἀχιώρ... [ἄρχων] Φαδαήλ... 22 - 28

247 1 Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν [ἐπὶ δυσμῶν Μωὰβ παρὰ τὸν Ἰορδάνην κατὰ Ἰεριχὼ] λέγων· Σύνταξον... 1 **35**

249 1 ...οἱ ἄρχοντες [φυλῆς] υἱῶν Γαλαὰδ υἱοῦ Μαχὶρ υἱοῦ Μανασσή... 1 **36**

ΣΧΟΛΙΑ ΕΙΣ ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ

1 1 Οὗτοι οἱ λόγοι, οὓς ἐλάλησε Μωϋσῆς παντὶ Ἰσραὴλ πέραν τοῦ Ἰορδάνου [ἐν τῇ ἐρήμῳ πρὸς δυσμαῖς πλησίον τῆς Ἐρυθρᾶς Θαλάσσης ἀνὰ μέσον Φαρὰν Τοφὸλ καὶ Λοβὸν καὶ Αὐλὼν καὶ Καταχρύσεα· ἕνδεκα ἡμερῶν ἐκ Χωρὴβ ὁδὸς ἐπ' ὄ-
2 ρος Σηεὶρ ἕως Κάδης Βαρνή.] καὶ ἐγενήθη ἐν τῷ τεσσαρακο-
3 στῷ ἔτει ἐν τῷ ἑνδεκάτῳ μηνὶ μιᾷ... 1 **1**

2 53+ ...υἱοῖς Λὼτ δέδωκα τὴν Ἀροὴρ κληρονομεῖν. [οἱ Ὀμμὶν πρό-
10 τεροι ἐνεκάθηντο ἐπ' αὐτῆς ἔθνος μέγα καὶ πολὺ καὶ ἰσχύο-
11 ντες, ὥσπερ οἱ Ἐνακίμ· Ῥαφαῖν λογισθήσονται καὶ οὗτοι ὥ-
σπερ καὶ οἱ Ἐνακίμ, καὶ οἱ Μωαβῖται ἐπονομάζουσιν αὐτοὺς
Ὀμμίν. καὶ ἐν Σηεὶρ ἐνεκάθητο ὁ Χορραῖος τὸ πρότερον, καὶ
12 υἱοὶ Ἠσαῦ ἀπώλεσαν αὐτοὺς καὶ ἐξέτριψαν αὐτοὺς ἀπὸ προ-
σώπου αὐτῶν καὶ κατῳκίσθησαν ἀντ' αὐτῶν, ὃν τρόπον ἐποί-
ησε, Ἰσραὴλ τὴν γῆν τῆς κληρονομίας αὐτοῦ, ἣν δέδωκε Κύ-
ριος αὐτοῖς]. 10 **2**

...τοῖς υἱοῖς Λὼτ δέδωκα αὐτὴν ἐν κλήρῳ. [γῆ Ῥαφαῖν λογισθή-
20 σεται· καὶ γὰρ ἐπ' αὐτῆς κατῴκουν οἱ Ῥαφαῖν τὸ πρότερον, καὶ
21 οἱ Ἀμμωνῖται ἐπονομάζουσιν αὐτοὺς Ζομζομμίν, ἔθνος μέγα

καὶ πολὺ καὶ δυνατώτερον ὑμῶν, ὥσπερ καὶ οἱ Ἐνακίμ, καὶ ἀ-
πώλεσεν αὐτοὺς Κύριος πρὸ προσώπου αὐτῶν, καὶ κατεκλη-
ρονόμησαν καὶ κατῳκίσθησαν ἀντ' αὐτῶν ἕως τῆς ἡμέρας ταύ-
της· ὥσπερ ἐποίησαν τοῖς υἱοῖς Ἠσαῦ κατοικοῦσιν ἐν Σηείρ, 22
ὃν τρόπον ἐξέτριψαν τὸν Χορραῖον ἀπὸ προσώπου αὐτῶν καὶ
κατεκληρονόμησαν αὐτοὺς καὶ κατῳκίσθησαν ἀντ' αὐτῶν ἕως
τῆς ἡμέρας ταύτης· καὶ οἱ Εὐαῖοι οἱ κατοικοῦντες ἐν Ἀσηδὼθ ἕ- 23
ως Γάζης, καὶ οἱ Καππάδοκες οἱ ἐξελθόντες ἐκ Καππαδοκίας ἐ-
ξέτριψαν αὐτοὺς καὶ κατῳκίσθησαν ἀντ' αὐτῶν].

87 ...ἕως Ἑρμὼν [οἱ Φοίνικες ἐπονομάζουσι τὸ Ἀερμὼν Σανιώρ, 9 **3**
καὶ ὁ Ἀμορραῖος ἐπωνόμασεν αὐτὸ Σανίρ]

...ἔδωκα τῷ ἡμίσει φυλῆς Μανασσή [καὶ πᾶσαν περίχωρον Ἀρ-
γόβ, πᾶσαν Βασὰν ἐκείνην· γῆ Ῥαφαῖν λογισθήσεται. καὶ Ἰαΐρ 14
υἱὸς Μανασσὴ ἔλαβε πᾶσαν τὴν περίχωρον Ἀργὸβ ἕως τῶν ὁ-
ρίων Γαργασὶ καὶ Μαχαθί· ἐπωνόμασεν αὐτὰς ἐπὶ τῷ ὀνόματι
αὐτοῦ τὴν Βασὰν Αὐὼθ Ἰαΐρ ἕως τῆς ἡμέρας ταύτης. καὶ τῷ 15
Μαχὶρ ἔδωκα τὴν Γαλαάδ. καὶ τῷ Ῥουβὴν καὶ τῷ Γὰδ δέδωκα 16
ἀπὸ τῆς Γαλαὰδ ἕως χειμάρρου Ἀρνὼν (μέσον τοῦ χειμάρρου
ὅριον) καὶ ἕως τοῦ Ἰαβόκ· ὁ χειμάρρους ὅριον τοῖς υἱοῖς Ἀμ-
μάν. καὶ ἡ Ἄραβα καὶ ὁ Ἰορδάνης ὅριον Μαχαναρέθ, καὶ ἕως 17
Θαλάσσης Ἄραβα, θαλάσσης ἁλυκῆς ὑπὸ Ἀσηδὼθ τὴν Φα-
σγὰ ἀνατολῶν]

5 21 Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, [ὃν τρόπον ἐνε- 16 **5**
τείλατό σοι Κύριος ὁ θεός σου] ἵνα εὖ σοι γένηται...

156 ...καθὰ ἐνετείλατό μοι Κύριος. [καὶ οἱ υἱοὶ Ἰσραὴλ ἀπῆραν ἐκ 6 **10**
Βηρὼθ υἱῶν Ἰακὶμ Μισαδαί· ἐκεῖ ἀπέθανεν Ἀαρὼν καὶ ἐτάφη
ἐκεῖ, καὶ ἱεράτευσεν Ἐλεάζαρ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. ἐκεῖθεν 7
ἀπῆραν εἰς Γαδγὰδ καὶ ἀπὸ Γαδγὰδ εἰς Ἐτεβαθά, γῆ χείμαρροι
ὑδάτων. ἐν ἐκείνῳ τῷ καιρῷ διέστειλε Κύριος τὴν φυλὴν τὴν 8
Λευῖ αἴρειν τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου, παρεστάναι ἔ-
ναντι Κυρίου, λειτουργεῖν καὶ ἐπεύχεσθαι ἐπὶ τῷ ὀνόματι αὐ-
τοῦ ἕως τῆς ἡμέρας ταύτης. διὰ τοῦτο οὐκ ἔστι τοῖς Λευῖταις 9
μερὶς καὶ κλῆρος ἐν τοῖς ἀδελφοῖς αὐτῶν· Κύριος αὐτὸς κλῆ-
ρος αὐτοῦ, καθότι εἶπεν αὐτῷ.]

208+ ...ἐπ' ὄρος Γεβάλ. [οὐκ ἰδοὺ ταῦτα πέραν τοῦ Ἰορδάνου ὀπίσω 29 **11**
ὁδὸν δυσμῶν ἡλίου ἐν γῇ Χαναὰν τὸ κατοικοῦν ἐπὶ δυσμῶν ἐ-
χόμενον τοῦ Γολγὸλ πλησίον τῆς δρυὸς τῆς ὑψηλῆς;]

267+ Οὐ φάγεσθε πᾶν βδέλυγμα. [ταῦτα κτήνη, ἃ φάγεσθε, μό- 3 4 **14**
σχον ἐκ βοῶν καὶ ἀμνὸν ἐκ προβάτων καὶ χίμαρον ἐξ αἰγῶν, ἔ- 5
λαφον καὶ δορκάδα καὶ πύγαργον, ὄρυγα καὶ καμηλοπάρδαλιν·
πᾶν κτῆνος διχηλοῦν ὁπλὴν καὶ ὀνυχιστῆρας ὀνυχίζον δύο χη- 6
λῶν καὶ ἀνάγον μηρυκισμὸν ἐν τοῖς κτήνεσι ταῦτα φάγεσθε.

καὶ ταῦτα οὐ φάγεσθε ἀπὸ τῶν ἀναγόντων μηρυκισμὸν καὶ ἀ- 7
πὸ τῶν διχηλούντων τὰς ὁπλὰς καὶ ὀνυχιζόντων ὀνυχιστῆ-
ρας· τὸν κάμηλον καὶ δασύποδα καὶ χοιρογρύλλιον, ὅτι ἀνά-
γουσι μηρυκισμὸν καὶ ὁπλὴν οὐ διχηλοῦσιν· ἀκάθαρτα ταῦτα 8
ὑμῖν ἐστι· καὶ τὸν ὗν, ὅτι διχηλεῖ ὁπλὴν τοῦτο καὶ ὀνυχίζει ὀ-
νυχιστῆρας ὁπλῆς, καὶ τοῦτο μηρυκισμὸν οὐ μηρυκᾶται, ἀκά-
θαρτον τοῦτο ὑμῖν· ἀπὸ τῶν κρεῶν αὐτῶν οὐ φάγεσθε καὶ τῶν
θνησιμαίων αὐτῶν οὐχ ἅψεσθε. καὶ ταῦτα φάγεσθε ἀπὸ πά- 9
ντων τῶν ἐν τῷ ὕδατι· πάντα ὅσα ἐστὶν ἐν αὐτοῖς πτερύγια
καὶ λεπίδες, φάγεσθε. καὶ πάντα ὅσα οὐκ ἔστιν αὐτοῖς πτερύ- 10
για καὶ λεπίδες, οὐ φάγεσθε, ἀκάθαρτα ὑμῖν ἐστι. πᾶν ὄρνεον 11
καθαρὸν φάγεσθε. καὶ ταῦτα οὐ φάγεσθε ἀπ' αὐτῶν· τὸν ἀετὸν 12 13
καὶ τὸν γρῦπα καὶ τὸν ἁλιαίετον καὶ τὸν γῦπα καὶ τὸν ἴκτινον
καὶ τὰ ὅμοια αὐτῷ καὶ πάντα κόρακα καὶ τὰ ὅμοια αὐτῷ καὶ 14
στρουθὸν καὶ γλαῦκα καὶ λάρον καὶ ἐρωδιὸν καὶ κύκνον καὶ ἶ- 15 16
βιν καὶ καταράκτην καὶ ἱέρακα καὶ τὰ ὅμοια αὐτῷ καὶ ἔποπα 17 18
καὶ νυκτικόρακα καὶ πελεκᾶνα καὶ χαραδριὸν καὶ τὰ ὅμοια αὐ-
τῷ καὶ πορφυρίωνα καὶ νυκτερίδα. πάντα τὰ ἑρπετὰ τῶν πετει- 19
νῶν ἀκάθαρτά ἐστιν ὑμῖν, οὐ φάγεσθε ἀπ' αὐτῶν. πᾶν πετει- 20
νὸν καθαρὸν φάγεσθε.]

289+ ...ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου [ἀνόμημα] λέγων 9 **15**

316+ [ἑπτὰ ἑβδομάδας ἐξαριθμήσεις σεαυτῷ·] ἀρξαμένου σου δρέ- 8 **16**
πανον ἐπ' ἀμητόν, ἄρξῃ ἐξαριθμῆσαι ἑπτὰ ἑβδομάδας.

350 ...οὐ πληθυνεῖ ἑαυτῷ ἵππον,... <οὐκ> ἀποστρέψει τὸν λαὸν 16 **17**
εἰς Αἴγυπτον, [ὅπως μὴ πληθύνῃ αὐτῷ ἵππον]

397 ...κατὰ πᾶσαν ἀδικίαν [καὶ κατὰ πᾶν ἁμάρτημα] 15 **19**

511 μετὰ σοῦ κατοικήσει, [ἐν ὑμῖν κατοικήσει] 17 **23**

[Οὐκ ἔσται πόρνη ἀπὸ θυγατέρων Ἰσραήλ, καὶ οὐκ ἔσται 18
πορνεύων ἀπὸ υἱῶν Ἰσραήλ·] οὐκ ἔσται τελεσφόρος ἀπὸ θυ-
γατέρων Ἰσραήλ, καὶ οὐκ ἔσται τελισκόμενος ἀπὸ υἱῶν Ἰσ-
ραήλ.

561 '...ἀναστῆσαι τὸ ὄνομα τοῦ ἀδελφοῦ αὐτοῦ ἐν Ἰσραήλ', [οὐκ ἠ- 7 **25**
θέλησεν ὁ ἀδελφὸς τοῦ ἀνδρός μου].

8 7+ [Ἐπικατάρατος ὁ πλανῶν τυφλὸν ἐν ὁδῷ· καὶ ἐροῦσι πᾶς ὁ λα- 18 **27**
ός· Γένοιτο.] Ἐπικατάρατος ὃς ἂν ἐκκλίνῃ κρίσιν...

17+ [Καὶ ἔσται ὡς ἂν διαβῆτε τὸν Ἰορδάνην εἰς τὴν γῆν ἣν Κύ- 1 **28**
ριος ὁ θεὸς ὑμῶν δίδωσιν ὑμῖν, ἐὰν ἀκοῇ ἀκούσῃς τῆς φωνῆς
Κυρίου τοῦ θεοῦ σου, φυλάσσειν καὶ ποιεῖν πάσας τὰς ἐντο-
λὰς ταύτας, ἃς ἐγὼ ἐντέλλομαί σοι σήμερον, καὶ δώσει σε Κύ-
ριος ὁ θεός σου ὑπεράνω πάντων τῶν ἐθνῶν τῆς γῆς,]

	33+	...εἰς γῆν ἑτέραν ὡσεὶ νῦν. [τὰ κρυπτὰ Κυρίῳ τῷ θεῷ ἡμῶν, τὰ δὲ φανερὰ ἡμῖν καὶ τοῖς τέκνοις ἡμῶν εἰς τὸν αἰῶνα, ποιεῖν πάντα τὰ ῥήματα τοῦ νόμου τούτου.]	28	**29**
13	14+	κατέβη Κύριος ἐν νεφέλῃ καὶ ἔστη παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, [καὶ ἔστη ὁ στῦλος τῆς νεφέλης παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου.]	15	**31**
14	73	...ἐκδικήσει [καὶ ἀνταποδώσει δίκην] τοῖς ἐχθροῖς...	43	**32**
		Ἀνάβηθι εἰς τὸ ὄρος τὸ Ἀβαρὶμ [τοῦτο, ὄρος Ναβαῦ] ὅ ἐστιν ἐν γῇ Μωὰβ κατὰ πρόσωπον Ἰεριχώ.	49	
17	18-36	[καὶ αὕτη Ἰούδα˙]... [καὶ τῷ Λευῖ εἶπε˙]... [καὶ τῷ Βενιαμὶν εἶπεν˙]... [καὶ τῷ Ἰωσὴφ εἶπεν˙]... [καὶ τῷ Ζαβουλὼν εἶπεν˙]... [καὶ τῷ Γὰδ εἶπεν˙]... [καὶ τῷ Δὰν εἶπε˙]... [καὶ τῷ Νεφθαλὶ εἶπε˙]... [καὶ τῷ Ἀσὴρ εἶπεν˙]...	6-24	**33**
18	1	...ἔδειξεν αὐτῷ Κύριος πᾶσαν τὴν γῆν [Γαλαὰδ ἕως Δὰν καὶ πᾶσαν τὴν γῆν Νεφθαλὶ καὶ πᾶσαν τὴν γῆν Ἐφραὶμ καὶ Μανασσῆ καὶ πᾶσαν τὴν γῆν Ἰούδα ἕως τῆς Θαλάσσης τῆς Ἐσχάτης καὶ τὴν ἔρημον καὶ τὰ περίχωρα Ἰεριχώ, πόλιν φοινίκων ἕως Σηγώρ.]	1 2 3	**34**
	4	...καὶ οὐκ εἶδεν οὐδεὶς τὴν ταφὴν αὐτοῦ [ἕως τῆς ἡμέρας ταύτης].		
	8+	...καθότι ἐνετείλατο Κύριος τῷ Μωυσῇ. [καὶ οὐκ ἀνέστη ἔτι προφήτης ἐν Ἰσραὴλ ὡς Μωϋσῆς, ὃν ἔγνω Κύριος αὐτὸν πρόσωπον κατὰ πρόσωπον, ἐν πᾶσι τοῖς σημείοις καὶ τέρασιν, ὃν ἀπέστειλεν αὐτὸν Κύριος ποιῆσαι αὐτὰ ἐν γῇ Αἰγύπτου φαραὼ καὶ τοῖς θεράπουσιν αὐτοῦ καὶ πάσῃ τῇ γῇ αὐτοῦ, τὰ θαυμάσια τὰ μεγάλα καὶ τὴν χεῖρα τὴν κραταιάν, ἃ ἐποίησε Μωϋσῆς ἔναντι παντὸς Ἰσραήλ.]	10 11 12	

ΣΧΟΛΙΑ ΕΙΣ ΙΗΣΟΥΝ

1	1	[Καὶ ἐγένετο] Μετὰ τὴν τελευτὴν Μωϋσῆ	1	**1**
		ἕως [τοῦ ποταμοῦ] τοῦ μεγάλου ποταμοῦ Εὐφράτου	4	
3	20	καὶ εἶπαν πρὸς αὐτὴν οἱ ἄνδρες˙ [Ἀθῷοί ἐσμεν τῷ ὅρκῳ σου τούτῳ˙] Ἰδοὺ ἡμεῖς...	17	**2**
4	17	σφόδρα [σφοδρῶς]	16	**3**
5	14	τὴν κιβωτὸν τῆς διαθήκης τοῦ [μαρτυρίου] Κυρίου	16	**4**
6	4	τὸ ὕδωρ τοῦ Ἰορδάνου [ἐκ τῶν] ἔμπροσθεν αὐτῶν	23	

7 1 ...Ἰορδάνην ποταμὸν [ἐκ τῶν] ἔμπροσθεν τῶν υἱῶν· Ἰσραήλ... 1 **5**

11 7 οἱ δὲ μάχιμοι προπορευέσθωσαν [ἔμπροσθεν] 9 **6**

29+ καὶ οὕτως ἐποίησεν Ὀζὰν ὁ ἐκ Βαιθήλ· ἐν τῷ Ἀβιρὼν τῷ πρωτοτόκῳ ἐθεμελίωσεν αὐτὴν καὶ ἐν τῷ ἐλαχίστῳ διασωθέντι ἐπέστησε τὰς πύλας αὐτῆς. 26

14 6 καὶ [οἳ ἦσαν] ἥμισυ πλησίον ὄρους Γεβάλ 2δ **9**

23 2+ τοὺς βασιλεῖς αὐτῶν ἔλαβε καὶ ἀνεῖλε [καὶ ἀπέκτεινε] 17 **11**

[ἵνα ἐξολοθρευθῶσιν,] ὅπως μὴ δοθῇ αὐτοῖς ἔλεος, ἀλλ' ἵνα ἐξολοθρευθῶσιν. 20

27 9+ ...ἡ Θάλασσα ἡ Μεγάλη ὁριεῖ. [ταῖς δυσὶ φυλαῖς καὶ τῷ ἡμίσει 7 8 **13**
φυλῆς Μανασσή, τῷ Ῥουβὴν καὶ τῷ Γάδ, ἔδωκε Μωϋσῆς ἐν
τῷ Πέραν τοῦ Ἰορδάνου· κατ' ἀνατολὰς ἡλίου δέδωκεν αὐτὴν
Μωϋσῆς ὁ παῖς Κυρίου, ἀπὸ Ἀροήρ, ἥ ἐστιν ἐπὶ τοῦ χείλους 9
χειμάρρου Ἀρνών, καὶ τὴν πόλιν τὴν ἐν μέσῳ τῆς φάραγγος
καὶ πᾶσαν τὴν Μισὼρ ἀπὸ Μαιδαβὰ ἕως Δαιβάν, πάσας τὰς
πόλεις Σηὼν βασιλέως Ἀμορραίων, ὃς ἐβασίλευσεν ἐν Ἐσε- 10
βών, ἕως τῶν ὁρίων υἱῶν Ἀμμών, καὶ τὴν Γαλααδίτιδα καὶ τὰ 11
ὅρια Γεσιρὶ καὶ τοῦ Μαχατί, πᾶν ὄρος Ἀερμὼν καὶ πᾶσαν τὴν 12
Βασανῖτιν ἕως Σελλά, πᾶσαν τὴν βασιλείαν Ὤγ ἐν τῇ Βασανίτιδι, ὃς ἐβασίλευσεν ἐν Ἀσταρὼθ καὶ ἐν Ἐδραΐν· οὗτος κατελείφθη ἀπὸ τῶν γιγάντων, καὶ ἐπάταξεν αὐτὸν Μωϋσῆς καὶ ἐξωλόθρευσε. καὶ οὐκ ἐξωλόθρευσαν οἱ υἱοὶ Ἰσραὴλ τὸν Γεσιρὶ 13
καὶ τὸν Μαχατὶ καὶ τὸν Χαναναῖον, καὶ κατῴκει βασιλεὺς Γεσιρὶ καὶ ὁ Μαχατὶ ἐν τοῖς υἱοῖς Ἰσραὴλ ἕως τῆς σήμερον ἡμέρας.
πλὴν τῆς φυλῆς Λευὶ οὐκ ἐδόθη κληρονομία· Κύριος ὁ θεὸς Ἰσ- 14
ραήλ, οὗτος κληρονομία αὐτῶν, καθὰ εἶπεν αὐτοῖς Κύριος.]

...τοὺς ἡγουμένους Μαδιὰμ καὶ τὸν Εὐὶ καὶ τὸν Ῥοκὸμ καὶ τὸν Σοὺρ [καὶ τὸν Οὖρ] καὶ τὸν Ῥοβὲ... 21

32 9 ...ἐπὶ νώτου Ἰεβοὺς ἀπὸ λιβός [αὕτη ἐστὶν Ἰερουσαλήμ]... 8 **15**

...ἄξει τὸ ὅριον εἰς Βαὰλ [αὕτη ἐστι πόλις Ἰαρίμ] 9

...Πόλιν Ἰαρὶν ἀπὸ βορρᾶ [αὕτη ἐστὶ Χασλών] 10

...κύκλῳ κατὰ δήμους αὐτῶν. [καὶ τῷ Χάλεβ υἱῷ Ἰεφοννὴ ἔ- 13
δωκε μερίδα ἐν μέσῳ υἱῶν Ἰούδα διὰ προστάγματος τοῦ θεοῦ,
καὶ ἔδωκεν αὐτῷ Ἰησοῦς τὴν πόλιν Ἀρβὸκ μητρόπολιν Ἐνὰκ
(αὕτη ἐστὶ Χεβρών). καὶ ἐξωλόθρευσεν ἐκεῖθεν Χάλεβ υἱὸς Ἰε- 14
φοννὴ τοὺς τρεῖς υἱοὺς Ἐνάκ, τὸν Σουσὶ καὶ Θολαμὶ καὶ τὸν Ἀχιμά. καὶ ἀνέβη ἐκεῖθεν Χάλεβ ἐπὶ τοὺς κατοικοῦντας Δαβίρ· 15
τὸ δὲ ὄνομα Δαβὶρ ἦν τὸ πρότερον Πόλις γραμμάτων. καὶ εἶπε 16
Χάλεβ· ὃς ἐὰν λάβῃ καὶ ἐκκόψῃ τὴν Πόλιν τῶν γραμμάτων καὶ κυριεύσῃ αὐτῆς, δώσω αὐτῷ τὴν Ἀσχὰν θυγατέρα μου εἰς γυ-

ναῖκα· καὶ ἔλαβεν αὐτὴν Γοθονιὴλ υἱὸς Κενὲζ ἀδελφὸς Χάλεβ 17
ὁ νεώτερος καὶ ἔδωκεν αὐτῷ τὴν Ἀσχὰν θυγατέρα αὐτοῦ γυ-
ναῖκα. καὶ ἐγένετο ἐν τῷ ἐκπορεύεσθαι αὐτὴν καὶ συνεβουλεύ- 18
σατο αὐτῷ λέγουσα· αἰτήσομαι τὸν πατέρα μου ἀγρόν· καὶ ἐ-
βόησεν ἐκ τοῦ ὄνου. καὶ εἶπεν αὐτῇ Χάλεβ· Τί ἐστί σοι; καὶ εἶ- 19
πεν αὐτῷ· Δός μοι εὐλογίαν, ὅτι εἰς γῆν Ναγὲβ δέδωκάς με·
δός μοι τὴν Γολαθμαῖν. καὶ ἔδωκεν αὐτῇ Χάλεβ τὴν Γολαθμαῖν
τὴν Ἄνω καὶ τὴν Γολαθμαῖν τὴν Κάτω.]

[Ἐγενήθησαν δὲ πόλεις αὐτῶν· πόλις πρώτη φυλῆς υἱῶν 21
Ἰούδα ἐφ' ὁρίων Ἐδὼμ ἐπὶ τῆς ἐρήμου, καὶ Βαισελεὴλ καὶ Ἀ- 22
ρὰ καὶ Ἀσὼρ καὶ Ἰκὰμ καὶ Ῥεγμὰ καὶ Ἀρουὴλ καὶ Κάδης καὶ 23
Ἀσοριωναῖν καὶ Μαϊνὰμ καὶ Βαλμαϊνὰν καὶ αἱ κῶμαι αὐτῶν 24 25
καὶ αἱ πόλεις Ἀσερών (αὕτη Ἀσώρ) καὶ Σὴν καὶ Σαλμὰ καὶ 26
Μωλαδὰ καὶ Σερὶ καὶ Βαϊφαλὰδ καὶ Χολασεωλὰ καὶ Βηρσαβεὲ 27 28
καὶ αἱ κῶμαι αὐτῶν καὶ αἱ ἐπαύλεις αὐτῶν, Βαλὰ καὶ Βακὼκ 29
καὶ Ἀσὸμ καὶ Ἐλβωϋδὰδ καὶ Βαιθὴλ καὶ Ἑρμὰ καὶ Σεκελὰκ καὶ 30 31
Μαχαρὶμ καὶ Σεθεννὰκ καὶ Λαβὼς καὶ Σαλὴ καὶ Ἐρωμώθ, πό- 32
λεις εἰκοσιεννέα, καὶ αἱ κῶμαι αὐτῶν. ἐν τῇ πεδινῇ· Ἀσταὼλ 33
καὶ Ῥάα καὶ Ἄσσα καὶ Ῥάμεν καὶ Τανὼ καὶ Ἰλουθὼθ καὶ 34
Μαϊανὶ καὶ Ἱερμοὺθ καὶ Ὀδολλὰμ καὶ Μεμβρὰ καὶ Σαωχὼ καὶ 35 36
Ἀζηκὰ καὶ Σακαρὶμ καὶ Γάδηρα καὶ αἱ ἐπαύλεις αὐτῆς, πόλεις
δεκατέσσαρες καὶ αἱ κῶμαι αὐτῶν· Σεννὰ καὶ Ἀδασὰν καὶ Μα- 37
γαδαλγὰδ καὶ Δαλὰλ καὶ Μασφὰ καὶ Ἰαχαρεὴλ καὶ Λαχὶς καὶ 38
Βασηδὼθ καὶ Ἰδεαδαλέα καὶ Χαβρὰ καὶ Μαχὲς καὶ Μααχὼς 39 40
καὶ Γεδδὼρ καὶ Βαγαδιὴλ καὶ Νωμὰν καὶ Μαχηδάν, πόλεις ἑκ- 41 42
καίδεκα καὶ αἱ κῶμαι αὐτῶν· Λεβνὰ καὶ Ἰθὰκ καὶ Ἀνὼχ καὶ Ἰα- 43
νὰ καὶ Νασὶβ καὶ Κεϊλὰμ καὶ Ἀκιεζὶ καὶ Κεζὶβ καὶ Βαθησὰρ καὶ 44
Αἰλώμ, πόλεις δέκα καὶ αἱ κῶμαι αὐτῶν· Ἀκκαρὼν καὶ αἱ κῶ- 45
μαι αὐτῆς καὶ αἱ ἐπαύλεις αὐτῶν· ἀπὸ Ἀκκαρὼν Γεμνὰ καὶ πᾶ- 46
σαι, ὅσαι εἰσὶ πλησίον Ἀσηδώθ, καὶ αἱ κῶμαι αὐτῶν· Ἀσιεδὼθ 47
καὶ αἱ κῶμαι αὐτῆς καὶ αἱ ἐπαύλεις αὐτῆς· Γάζα καὶ αἱ κῶμαι
αὐτῆς καὶ αἱ ἐπαύλεις αὐτῆς ἕως τοῦ χειμάρρου Αἰγύπτου, οὗ
ἡ Θάλασσα ἡ Μεγάλη διορίζει. καὶ ἐν τῇ ὀρεινῇ· Σαμὶρ καὶ Ἰε- 48 49
θὲρ καὶ Σωχὰ καὶ Ῥεννὰ καὶ Πόλις γραμμάτων (αὕτη Δαβίρ) 50
καὶ Ἀνὼν καὶ Ἐσκαιμὰν καὶ Αἰσὰμ καὶ Γοσὸμ καὶ Χαλοὺ καὶ 51 52
Χαννά, πόλεις ἕνδεκα καὶ αἱ κῶμαι αὐτῶν· Ἀϊρὲμ καὶ Ῥεμνὰ 53
καὶ Σομὰ καὶ Ἰεμαῖν καὶ Βαιθαχοὺ καὶ Φακουὰ καὶ Εὐμὰ καὶ 54
πόλις Ἀρβόκ (αὕτη ἐστὶ Χεβρών) καὶ Σωραίθ, πόλεις ἐννέα
καὶ αἱ ἐπαύλεις αὐτῶν· Μαὼρ καὶ Χερμὲλ καὶ Ὀζὶβ καὶ Ἰτὰν 55
καὶ Ἰαριὴλ καὶ Ἀρικὰμ καὶ Ζακαναῖμ καὶ Γαβαὰ καὶ Θαμναθά, 56 57
πόλεις ἐννέα καὶ αἱ κῶμαι αὐτῶν· Ἀλουὰ καὶ Βαιθσοὺρ καὶ 58
Γεδδὼν καὶ Μαγαρὼθ καὶ Βαιθανὰμ καὶ Θεκούμ, πόλεις ἓξ καὶ 59
αἱ κῶμαι αὐτῶν· Θεκὼ καὶ Ἐφραθὰ (αὕτη ἐστὶ Βηθλεέμ) καὶ
Φαγὼρ καὶ Ἀιτὰν καὶ Κουλὸν καὶ Ταταὶμ καὶ Θωβὴς καὶ Καρὲμ

καὶ Γαλὲμ καὶ Θεβὴς καὶ Μανοχώ, πόλεις ἕνδεκα καὶ αἱ κῶμαι
αὐτῶν· Καριαθβαάλ (αὕτη ἡ πόλις Ἰαρίμ) καὶ Σωθηβά, πόλεις 60 61
δύο καὶ αἱ ἐπαύλεις αὐτῶν καὶ Βαδδαργεὶς καὶ Θαραβαὰμ καὶ
Ἀινὼν καὶ Ἀιχιοζὰ καὶ Ναφλαζὼν καὶ αἱ πόλεις Σαδὼν καὶ Ἀ- 62
γκάδης, πόλεις ἑπτὰ καὶ αἱ κῶμαι αὐτῶν.]

33 1+ ...ἀναβήσεται ἀπὸ Ἰεριχὼ εἰς τὴν Ὀρεινήν, τὴν ἔρημον, [εἰς 2 **16**
Βαιθὴλ Λουζά]

13+ ...κατῴκει ὁ Χαναναῖος ἐν τῷ Ἐφραΐμ ἕως τῆς ἡμέρας ταύτης, 10
[ἕως ἀνέβη φαραὼ βασιλεὺς Αἰγύπτου καὶ ἔλαβεν αὐτὴν καὶ ἐ-
νέπρησεν αὐτὴν ἐν πυρί, καὶ τοὺς Χαναναίους καὶ τοὺς Φερε-
ζαίους καὶ τοὺς κατοικοῦντας ἐν Γαζὲρ ἐξεκέντησαν, καὶ ἔδω-
κεν αὐτὴν φαραὼ ἐν φερνῇ τῇ θυγατρὶ αὐτοῦ.]

37 3+ ...ἔσται αὐτοῦ διέξοδος ἡ [Μαβδαρῖτις] Βεθών 12 **18**

...ἐπὶ νώτου Λουζὰ ἀπὸ λιβὸς [αὕτη ἐστὶ Βαιθήλ] 13

...ἡ διέξοδος εἰς Πόλιν Βάαλ [αὕτη ἐστὶ Καριαθιαρίν, πόλις υἱ- 14
ῶν Ἰούδα].

...ὅρια αὐτῆς κύκλῳ κατὰ δήμους. [καὶ ἐγενήθησαν αἱ πόλεις 21
τῶν υἱῶν Βενιαμὶν κατὰ δήμους αὐτῶν Ἰεριχὼ καὶ Βεθεγαιὼ καὶ 22
Ἀμεκασίς, καὶ Βαιθαβαρὰ καὶ Σαρὰ καὶ Βησανὰ καὶ Αἰεὶν καὶ 23
Φαρὰ καὶ Ἐφραθὰ καὶ Καραφὰ καὶ Κεφιρὰ καὶ Μονὶ καὶ Γαβαά, 24
πόλεις δώδεκα καὶ αἱ κῶμαι αὐτῶν· Γαβαὼν καὶ Ῥαμὰ καὶ Βεη- 25
ρωθὰ καὶ Μασσημὰ καὶ Μιρὼν καὶ Ἀμωκὴ καὶ Φιρὰ καὶ Καφὰν 26
καὶ Νακὰν καὶ Σεληκὰν καὶ Θαρεηλὰ καὶ Ἰεβοὺς (αὕτη ἐστὶν Ἰε- 27
ρουσαλήμ) καὶ Γαβαὼθ Ἰαρίμ, πόλεις δεκατρεῖς καὶ αἱ κῶμαι αὐ- 28
τῶν. αὕτη ἡ κληρονομία υἱῶν Βενιαμὶν κατὰ δήμους αὐτῶν.]

42 1 ...ἐγενήθη τὰ ὅρια αὐτῶν [Μοολὰμ καὶ] Μωλὰ... 33 **19**

43 7+ ...καὶ Μεγαλὰ Ἰαρὶμ [καὶ Βαιθθαμὲ] καὶ Βεθσαμύς 38
[Καὶ ἐπορεύθησαν ἐμβατεῦσαι τὴν γῆν κατὰ τὸ ὅριον αὐ- 49
τῶν. καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ κλῆρον τῷ Ἰησοῦ τῷ υἱῷ 50
Ναυὴ ἐν αὐτοῖς διὰ προστάγματος τοῦ θεοῦ· καὶ ἔδωκαν αὐτῷ
τὴν πόλιν, ἣν ᾐτήσατο, Θαμνασαράχ, ἥ ἐστιν ἐν τῷ ὄρει Ἐ-
φραΐμ· καὶ ᾠκοδόμησε τὴν πόλιν καὶ κατῴκει ἐν αὐτῇ.]

45 3+ Καὶ φεύξεται εἰς μίαν τῶν πόλεων τούτων καὶ στήσεται ἐ- 4 **20**
πὶ τὴν θύραν τῆς πόλεως καὶ λαλήσει ἐν τοῖς ὠσὶ τῶν πρεσβυ-
τέρων τῆς πόλεως ἐκείνης τοὺς λόγους τούτους καὶ ἐπιστρέ-
ψουσιν αὐτὸν ἡ συναγωγὴ πρὸς αὐτοὺς καὶ δώσουσιν αὐτῷ
τόπον καὶ κατοικήσει μετ' αὐτῶν καὶ ὅτι διώξεται ὁ ἀγχιστεύ- 5
ων τὸ αἷμα ὀπίσω αὐτοῦ καὶ οὐ συγκλείσουσι τὸν φονεύσαντα
ἐν τῇ χειρὶ αὐτοῦ, ὅτι οὐκ εἰδὼς ἐπάταξε τὸν πλησίον αὐτοῦ
καὶ οὐ μισῶν αὐτὸς αὐτὸν (ἀπ' ἐχθὲς καὶ τῆς τρίτης καὶ κατοι- 6

κήσει ἐν τῇ πόλει ἐκείνῃ ἕως στῇ κατὰ πρόσωπον τῆς συναγωγῆς εἰς κρίσιν ἕως ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας, ὃς ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις· τότε ἐπιστρέψει ὁ φονεύσας καὶ ἐλεύσεται εἰς τὴν πόλιν αὐτοῦ καὶ πρὸς τὸν οἶκον αὐτοῦ καὶ πρὸς πόλιν ὅθεν ἔφυγεν ἐκεῖθεν.

...καὶ τὴν Πόλιν Ἀρβὸκ [αὕτη ἐστὶ Χεβρών] 7

...ἔδωκε Βοσὸρ ἐν τῇ ἐρήμῳ [ἐν τῷ πεδίῳ] 8

46 10 ...Πόλιν Ἀρβὸκ μητρόπολιν τῶν Ἐνακὶμ [αὕτη ἐστὶ Χεβρών] 10 **21**

...Γάζαρα [καὶ τὰ πρὸς αὐτὴν] καὶ τὰ ἀφωρισμένα αὐτῇ 21

50 3+ ...ἐφ' ὁρίων γῆς Χαναὰν [ἐπὶ τοῦ Γαλαὰδ τοῦ Ἰορδάνου ἐν τῷ Πέραν υἱῶν Ἰσραήλ]. 11 **22**

8 μικρὰ ἡ γῆ [ὑμῶν] τῆς κατασχέσεως ὑμῶν 19

22 ...θυσιαστήριον τοῖς καρπώμασι καὶ ταῖς θυσίαις [σαλαμὶν] καὶ τῇ θυσίᾳ τοῦ σωτηρίου 29

55 4+ ...καὶ εἰς τὴν ἑαυτῶν πόλιν. [καὶ ἐσέβοντο οἱ υἱοὶ Ἰσραὴλ τὴν Ἀστάρτην καὶ Ἀσταρὼθ καὶ τοὺς θεοὺς τῶν ἐθνῶν τῶν κύκλῳ αὐτῶν· καὶ παρέδωκεν αὐτοὺς Κύριος εἰς χεῖρας Ἐγλὼμ τῷ βασιλεῖ Μωάβ, καὶ ἐκυρίευσεν αὐτῶν ἔτη δεκαοκτώ.] 33 **24**

ΣΧΟΛΙΑ ΕΙΣ ΚΡΙΤΑΣ

1 1 [Καὶ ἐγένετο] Μετὰ τὴν τελευτὴν Ἰησοῦ [καὶ] ἐπηρώτων 1 **1**

...τὸ δὲ ὄνομα τῆς Δαβὶρ ἦν ἔμπροσθεν [Καριὰθ Σεφάρ] Πόλις Γραμμάτων. 11

καὶ οὐκ ἐξῆρε Μανασσὴ τὴν Βεθσάν, [ἥ ἐστι Σκυθῶν πόλις] οὐδὲ τὰς θυγατέρας αὐτῆς [οὐδὲ τὰ περίοικα αὐτῆς], οὐδὲ τὴν Θανὰκ οὐδὲ τὰς θυγατέρας αὐτῆς, οὐδὲ τοὺς κατοικοῦντας Δὼρ οὐδὲ τὰς θυγατέρας αὐτῆς, οὐδὲ τὸν κατοικοῦντα Βαλὰκ [οὐδὲ τὰ περίοικα αὐτῆς] οὐδὲ τὰς θυγατέρας αὐτῆς, οὐδὲ τοὺς κατοικοῦντας Μαγεδὼ οὐδὲ [τὰ περίοικα αὐτῆς καὶ] τὰς θυγατέρας αὐτῆς, οὐδὲ τοὺς κατοικοῦντας Ἰεβλαὰμ [οὐδὲ τὰ περίοικα αὐτῆς] οὐδὲ τὰς θυγατέρας αὐτῆς. 27

3 11+ ...τοὺς πολέμους Χαναάν. [πλὴν διὰ τὰς γενεὰς υἱῶν Ἰσραὴλ τοῦ διδάξαι αὐτοὺς πόλεμον, πλὴν οἱ ἔμπροσθεν αὐτῶν οὐκ ἔγνωσαν αὐτά·] 2 **3**

4 3 Χάλεβ τὸν νεώτερον [ὑπὲρ αὐτόν] 9

5 9+ ...καὶ αὐτὸς ὑπέστρεψεν ἀπὸ [τῶν γλυπτῶν τῶν μετὰ τῆς] Γαλγάλ. 19

7	6	ἐκάθητο ὑπὸ φοίνικα [Δεββώρα]	5	**4**
	56	...λαὸς Κυρίου κατέβη [αὐτῷ] ἐν τοῖς κραταιοῖς. [ἐξ ἐμοῦ Ἐφραΐμ ἐξερρίζωσεν αὐτοὺς ἐν τῷ Ἀμαλήκ· ὀπίσω σου Βενιαμὶν ἐν τοῖς λαοῖς σου. ἐν ἐμοὶ Μαχὶρ κατέβησαν ἐξερευνῶντες καὶ ἀπὸ Ζαβουλὼν ἕλκοντες ἐν ῥάβδῳ διηγήσεως γραμματέως. καὶ ἀρχηγοὶ ἐν Ἰσσάχαρ μετὰ Δεββώρας καὶ Βαράκ, οὕτω Βαρὰκ ἐν κοιλάσιν ἀπέστειλεν ἐν ποσὶν αὐτοῦ. εἰς τὰς μερίδας Ῥουβὴν μεγάλοι ἐξικνούμενοι καρδίαν. εἰς τί ἐκάθισεν ἀνὰ μέσον τῆς διγομίας τοῦ ἀκοῦσαι συρισμοῦ ἀγγέλων; εἰς διαιρέσεις Ῥουβὴν μεγάλοι ἐξετασμοὶ καρδίας. Γαλαὰδ ἐν τῷ Πέραν τοῦ Ἰορδάνου ἐσκήνωσε· καὶ Δὰν εἰς τί παροικεῖ πλοίοις; Ἀσὴρ ἐκάθισε παραλίαν θαλασσῶν καὶ ἐπὶ διεξόδοις αὐτοῦ σκηνώσει. Ζαβουλὼν λαὸς ὠνείδισε ψυχὴν αὐτοῦ εἰς θάνατον καὶ Νεφθαλὶ ἐπὶ ὕψη ἀγροῦ. ἦλθον αὐτῶν βασιλεῖς, παρετάξαντο, τότε ἐπολέμησαν βασιλεῖς Χαναὰν ἐν Θαναὰχ ἐπὶ ὕδατι Μαγεδδώ· δῶρον ἀργυρίου οὐκ ἔλαβον.] ἐξ οὐρανοῦ παρετάξαντο οἱ ἀστέρες,	14 15 16 17 18 19	**5**
		...ἐξέσυρεν αὐτούς, [χειμάρρους ἀρχαίων, χειμάρρους Κισών]	21	
		...ἀνὰ μέσον τῶν ποδῶν αὐτῆς κατεκυλίσθη, ἔπεσε καὶ ἐκοιμήθη [ἀνὰ μέσον τῶν ποδῶν αὐτῆς κατακλιθεὶς ἔπεσε· καθὼς κατεκλίθη, ἐκεῖ ἔπεσεν] ἐξοδευθείς.	27	
9	17	Ἅ ἅ, [Κύριέ μου] Κύριε	22	**6**
	20	Λάβε [τὸν μόσχον] τὸν ταῦρον	25	
	41	Καὶ ὤρθρισεν Ἱεροβάαλ [αὐτός ἐστι Γεδεών]	1	**7**
	92	Γεδεὼν υἱὸς Ἰωὰς ἀπὸ τῆς παρατάξεως ἀπὸ ἐπάνωθεν τῆς [παρατάξεως] Ἀρές.	13	**8**
10	3	...μετὰ τοῦ οἴκου Ἱεροβάαλ [αὐτός ἐστι Γεδεών]	35	
17	3+	...καὶ ἐτάφη ἐν Φαραθὼν ἐν γῇ Ἐφραΐμ [ἐν ὄρει τοῦ Ἀμαλήκ].	15	**12**
18	9	...Ἐν ἐμοί, Κύριε [Ἀδωναϊέ],	8	**13**
		...ὃ ἐκπορεύεται ἐξ ἀμπέλου [τοῦ οἴνου]	14	
	47+	...δώσω ὑμῖν τριάκοντα σινδόνας [καὶ τριάκοντα στολὰς ἱματίων]· καὶ ἐὰν μὴ δύνησθε ἀπαγγεῖλαί μοι, δώσετε ὑμεῖς ἐμοὶ τριάκοντα ὀθόνια [καὶ τριάκοντα ἀλλασσομένας στολὰς ἱματίων].	12 13	**14**
		...ἔκλαυσε πρὸς αὐτὸν ἐπὶ τὰς [ἑπτὰ] ἡμέρας, ἃς ἦν αὐτοῖς ὁ πότος.	17	
	108+	...ὡς εἷς τῶν ἀνθρώπων [ἀσθενής]	13	**16**
		...καὶ εἶπεν· [Ἀδωναϊὲ] Κύριε, μνήσθητι δή μου νῦν	28	

ΣΧΟΛΙΑ ΕΙΣ ΔΑΝ

1 1 [Καὶ] Ἐγένετο ἀνὴρ ἀπὸ ὄρους Ἐφραΐμ 1 **17**

6 [καὶ ἀπέδωκε τὸ ἀργύριον τῇ μητρὶ αὐτοῦ] καὶ ἔλαβεν ἡ μήτηρ αὐτοῦ διακοσίους ἀργυρίου... 4

4 4 [καὶ εἶπαν·] ἀνάστητε καὶ ἀναβῶμεν ἐπ’ αὐτούς 9 **18**

6 5 ...οἱ υἱοὶ Δὰν τὸ γλυπτόν, [καὶ Ἰωνάθαν υἱὸς Γηρσὼν υἱὸς Μανασσή, αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ ἦσαν ἱερεῖς τῇ φυλῇ Δὰν ἕως ἡμέρας τῆς ἀποικίας τῆς γῆς. καὶ ἔθηκαν ἑαυτοῖς τὸ γλυπτόν] ὃ ἐποίησε Μιχαΐας... 30 31

ΣΧΟΛΙΑ ΕΙΣ ΒΕΝΙΑΜΙΝ

1 1 [Καὶ ἐγένετο] Ἐν ταῖς ἡμέραις ἐκείναις 1 **19**

...ἕως ἀπέναντι Ἰεβοὺς [αὕτη ἐστὶν Ἰερουσαλήμ] 10

9 17 οἱ πάντες οὗτοι ἄνδρες δυνάμεως [καὶ ἐπέβλεψαν οἱ λοιποὶ καὶ ἔφευγον εἰς τὴν ἔρημον πρὸς τὴν Πέτραν τοῦ ‘Ρεμμών] καὶ ἐκαλαμήσαντο 45 **20**

20 ...καὶ διέφθειραν οἱ υἱοὶ Ἰσραὴλ τὸν Βενιαμίν. [ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἴκοσι καὶ πέντε χιλιάδας καὶ ἑκατὸν ἄνδρας· πάντες οὗτοι εἷλκον ῥομφαίαν.] 35

...καὶ ἔστησαν ἐν τῇ παρατάξει, [καὶ Βενιαμὶν ἤρξατο πατάσσειν τραυματίας ἐν ἀνδράσιν Ἰσραὴλ ὡς τριάκοντα ἄνδρας, ὅτι εἶπαν· πάλιν πτώσει πίπτουσιν ἐνώπιον ἡμῶν ὡς ἡ παράταξις ἡ πρώτη.] 39

12 1+ ...καὶ περιεπάτησαν ἐκεῖθεν οἱ υἱοὶ Ἰσραὴλ ἐν τῷ καιρῷ ἐκείνῳ ἀνὴρ εἰς φυλὴν αὐτοῦ καὶ εἰς συγγένειαν αὐτοῦ, [καὶ ἐξῆλθον ἐκεῖθεν ἀνὴρ εἰς τὴν κληρονομίαν αὐτοῦ.] 24 **21**

ΣΧΟΛΙΑ ΕΙΣ ΡΟΥΘ

1 1 [Καὶ ἐγένετο] Ἐν τῷ κρίνειν τοὺς κριτὰς [καὶ] ἐγένετο λιμὸς... 1 **1**

10 6+ ...καὶ ἐκάλεσαν τὸ ὄνομα αὐτοῦ Ὠβήδ· οὗτος πατὴρ Ἰεσσαὶ πατρὸς Δαυίδ. [καὶ αὗται αἱ γενέσεις Φαρές· Φαρὲς ἐγέννησε τὸν Ἐσρώμ, Ἐσρὼμ δὲ ἐγέννησε τὸν Ἀράν, καὶ Ἀρὰν ἐγέννησε τὸν Ἀμιναδάβ, καὶ Ἀμιναδὰβ ἐγέννησε τὸν Ναασσών, καὶ Ναασσὼν ἐγέννησε τὸν Σαλμάν, καὶ Σαλμὰν ἐγέννησε τὸν Βο- **4** 18 19 20 21

ός, καὶ Βοὸζ ἐγέννησε τὸν Ὠβήδ. καὶ Ὠβὴδ ἐγέννησε τὸν Ἰεσσαί, καὶ Ἰεσσαὶ ἐγέννησε τὸν Δαυίδ.] 22

ΣΧΟΛΙΑ ΕΙΣ ΔΑΥΪΔ

1 12 ...ηὔξατο εὐχὴν τῷ Κυρίῳ λέγουσα· [Ἀδωναΐ] Κύριε ἐλωΐ σαβαώθ... 11 **1**

2 14 ...ἥξει προσκυνεῖν αὐτῷ [ὀβολοῦ ἀργυρίου] 36 **2**

11 3+ ...καὶ ἀνεβόησεν ἡ πόλις. [καὶ ἤκουσεν Ἠλὶ τὴν φωνὴν τῆς βοῆς καὶ εἶπε· Τίς ἡ φωνὴ τῆς βοῆς ταύτης; καὶ ὁ ἄνθρωπος σπεύσας εἰσῆλθε καὶ ἀπήγγειλε τῷ Ἠλί]. 14 **4**

13 1 ...εἰς Ἄζωτον. [καὶ ἔλαβον ἀλλόφυλοι τὴν κιβωτὸν Κυρίου καὶ εἰσήνεγκαν αὐτὴν] εἰς οἶκον Δαγὼν 2 **5**

...ἀμφότερα τὰ ἴχνη [χειρῶν αὐτοῦ ἀφῃρημένα ἐπὶ τὰ ἐμπρόσθια ἀμαφὲθ ἕκαστον] καὶ ἀμφότεροι οἱ καρποὶ τῶν χειρῶν αὐτοῦ 4

...ἐπὶ Ἄζωτον, [καὶ ἐπήγαγεν αὐτοῖς] καὶ ἐξέζεσεν αὐτοῖς εἰς τὰς ναῦς, καὶ μέσον τῆς χώρας αὐτῆς [ἀνεφύησαν] μύας,... 6

15 2 ...ἐπάταξεν ἐν αὐτοῖς ἑβδομήκοντα ἄνδρας, [καὶ πεντήκοντα χιλιάδας ἀνδρῶν] 19 **6** Α΄Βα

20 41+ ...καὶ λήψῃ ἐκ τῆς χειρὸς αὐτῶν. [καὶ μετὰ ταῦτα εἰσελεύσῃ εἰς τὸν βουνὸν τοῦ θεοῦ, οὗ ἐστιν ἐκεῖ τὸ ἀνάστημα τῶν ἀλλοφύλων, ἐκεῖ νασὶβ ὁ ἀλλόφυλος. καὶ ἔσται ὡς ἂν εἰσέλθητε ἐκεῖ εἰς τὴν πόλιν, καὶ ἀπαντήσεις χορῷ προφητῶν καταβαινόντων ἐκ τῆς Βαμά, καὶ ἔμπροσθεν αὐτῶν νάβλα καὶ τύμπανον καὶ αὐλὸς καὶ κινύρα, καὶ αὐτοὶ προφητεύοντες. καὶ ἐφαλεῖται ἐπὶ σὲ πνεῦμα Κυρίου, καὶ προφητεύσεις μετ’ αὐτῶν καὶ στραφήση εἰς ἄνδρα ἄλλον.] 5 **10** 6

...πάντα τὰ σημεῖα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. [καὶ ἔρχεται ἐκεῖθεν εἰς τὸν βουνόν, καὶ ἰδοὺ χορὸς προφητῶν ἐξεναντίας αὐτοῦ· καὶ ἥλατο ἐπ’ αὐτὸν πνεῦμα θεοῦ, καὶ προεφήτευσεν ἐν μέσῳ αὐτῶν. καὶ ἐγενήθησαν πάντες οἱ εἰδότες αὐτὸν ἐχθὲς καὶ τρίτης καὶ εἶδον καὶ ἰδοὺ αὐτὸς ἐν μέσῳ τῶν προφητῶν. καὶ εἶπεν ὁ λαὸς ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· ‘Τί τοῦτο τὸ γεγονὸς τῷ υἱῷ Κίς; ἢ καὶ Σαοὺλ ἐν προφήταις;’ καὶ ἀπεκρίθη τις αὐτῶν καὶ εἶπε· ‘καὶ τίς πατὴρ αὐτοῦ;’ καὶ διὰ τοῦτο ἐγενήθη εἰς παραβολήν, ‘Ἦ καὶ Σαοὺλ ἐν προφήταις;’ καὶ συνετέλεσε προφητεύων καὶ ἔρχεται εἰς τὸν βουνόν.] *(πρβλ. 38, 4+).* 10 11 12 13

<ΑΠΟΚΡΥΦΟΣ ΙΣΤΟΡΙΑ ΤΟΥ ΔΑΥΪΔ>

24 3+ ...ἐκ χειρὸς τῶν καταπατούντων αὐτόν. [Καὶ ἦσαν οἱ υἱοὶ Σα- 49 **14**
οὐλ Ἰωνάθαν καὶ Ἰεσσιοὺ καὶ Μελχισά· καὶ ὀνόματα τῶν δύο
θυγατέρων αὐτοῦ, ὄνομα τῇ πρωτοτόκῳ Μερόβ, καὶ ὄνομα τῇ
δευτέρᾳ Μελχόλ· καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ Ἀχινοὸμ θυγά- 50
τηρ Ἀχιμάας. καὶ ὄνομα τῷ ἀρχιστρατήγῳ αὐτοῦ Ἀβεννήρ, υἱ-
ὸς Νήρ, υἱοῦ οἰκείου Σαούλ· καὶ Κὶς πατὴρ Σαοὺλ καὶ Νὴρ πα- 51
τὴρ Ἀβεννὴρ υἱὸς Ἰαμὶν υἱοῦ Ἀβιήλ.]

31 6 ...καὶ ὁ ἀνὴρ συνετὸς [καὶ πολεμιστὴς] καὶ σοφὸς λόγῳ... 18 **16**

32 5 ...ὁ σταθμὸς τοῦ θώρακος αὐτοῦ [πέντε χιλιάδες] σίκλων χαλ- 5 **17**
κοῦ καὶ σιδήρου... καὶ ἡ λόγχη αὐτοῦ [ἑξακοσίων] σίκλων 7
<χαλκοῦ καὶ> σιδήρου.

12+ Καὶ εἶπε Δαυΐδ υἱὸς ἀνθρώπου Ἐφραθαίου· οὗτος ἐκ Βη- 12
θλεὲμ Ἰούδα, καὶ ὄνομα αὐτῷ Ἰεσσαί, καὶ αὐτῷ ὀκτὼ υἱοί· καὶ
ὁ ἀνὴρ ἐν ταῖς ἡμέραις Σαοὺλ πρεσβύτερος ἐληλυθὼς ἐν ἀν-
δράσι. καὶ ἐπορεύθησαν οἱ τρεῖς υἱοὶ Ἰεσσαὶ οἱ μείζονες ὀπί- 13
σω Σαοὺλ εἰς πόλεμον, καὶ ὄνομα τῶν υἱῶν αὐτοῦ τῶν πορευ-
θέντων εἰς τὸν πόλεμον, Ἐλιὰβ ὁ πρωτότοκος αὐτοῦ καὶ ὁ
δεύτερος αὐτοῦ Ἀμιναδὰβ καὶ ὁ τρίτος αὐτοῦ Σαμμά. καὶ Δα- 14
βὶδ αὐτός ἐστιν ὁ νεώτερος καὶ οἱ τρεῖς οἱ μείζονες ἐπορεύθη-
σαν ὀπίσω Σαούλ. Καὶ Δαυΐδ ἀπῆλθε καὶ ἀνέστρεψεν ἀπὸ τοῦ 15
Σαούλ, ποιμαίνων τὰ πρόβατα τοῦ πατρὸς αὐτοῦ ἐν Βηθλεέμ.
καὶ προῆγεν ὁ ἀλλόφυλος ὀρθρίζων καὶ ὀψίζων καὶ ἐστηλώθη 16
τεσσαράκοντα ἡμέρας. καὶ εἶπεν Ἰεσσαὶ πρὸς Δαυΐδ· Λάβε δὴ 17
τοῖς ἀδελφοῖς σου οἰφὶ τοῦ ἀλφίτου καὶ δέκα ἄρτους τούτους
καὶ διάδραμε εἰς τὴν παρεμβολὴν καὶ δὸς τοῖς ἀδελφοῖς σου,
καὶ τὰς δέκα τρυφαλίδας τοῦ γάλακτος τούτου εἰσοίσεις τῷ χι- 18
λιάρχῳ, καὶ τοὺς ἀδελφούς σου ἐπισκέψῃ εἰς εἰρήνην, καὶ ὅσα
ἂν χρῄζωσι γνώσῃ. καὶ Σαοὺλ αὐτὸς καὶ πᾶς ἀνὴρ Ἰσραὴλ ἐν 19
τῇ Κοιλάδι τῆς Δρυὸς πολεμοῦντες μετὰ τῶν ἀλλοφύλων. καὶ 20
ὤρθρισε Δαυΐδ τὸ πρωΐ, καὶ ἀφῆκε τὰ πρόβατα φύλακι, καὶ ἔ-
λαβε καὶ ἀπῆλθε, καθὰ ἐνετείλατο αὐτῷ Ἰεσσαί· καὶ ἦλθεν εἰς
τὴν στρογγύλωσιν καὶ δύναμιν τὴν ἐκπορευομένην εἰς τὴν πα-
ράταξιν· καὶ ἠλάλαξαν ἐν τῷ πολέμῳ. καὶ παρετάξαντο Ἰσραὴλ 21
καὶ οἱ ἀλλόφυλοι παράταξιν ἐξεναντίας παρατάξεως. καὶ ἀφῆ- 22
κε Δαυΐδ τὰ σκεύη αὐτοῦ ἀφ' ἑαυτοῦ ἐπὶ χεῖρα φύλακος καὶ ἔ-
δραμεν εἰς τὴν παράταξιν καὶ ἦλθε καὶ ἠρώτησε τοὺς ἀδελ-
φοὺς αὐτοῦ εἰς εἰρήνην. καὶ αὐτοῦ λαλοῦντος μετ' αὐτῶν, ἰδοὺ 23
ἀνὴρ ὁ μεσαῖος ἀνέβαινε, Γολιὰθ ὁ Φιλισταῖος ὄνομα αὐτῷ ἐκ
Γέθ, ἐκ τῶν παρατάξεων τῶν ἀλλοφύλων, καὶ ἐλάλησε κατὰ τὰ
ῥήματα ταῦτα καὶ ἤκουσε Δαυΐδ. καὶ πᾶς ἀνὴρ Ἰσραὴλ ἐν τῷ ἰ- 24

δεῖν αὐτοὺς τὸν ἄνδρα, καὶ ἔφυγον ἐκ προσώπου αὐτοῦ καὶ ἐ-
φοβήθησαν σφόδρα. καὶ εἶπεν ἀνὴρ Ἰσραήλ· Εἰ ἑωράκατε τὸν 25
ἄνδρα τὸν ἀναβαίνοντα τοῦτον, ὅτι ὀνειδῖσαι τὸν Ἰσραὴλ ἀνέ-
βη; καὶ ἔσται ἀνήρ, ὃς ἂν πατάξῃ αὐτόν, πλουτίσει αὐτὸν ὁ βα-
σιλεὺς πλοῦτον μέγαν καὶ τὴν θυγατέρα αὐτοῦ δώσει αὐτῷ
καὶ τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ ποιήσει ἐλεύθερον ἐν τῷ Ἰσ-
ραήλ. καὶ εἶπε Δαυΐδ πρὸς τοὺς ἄνδρας τοὺς συνεστηκότας 26
μετ' αὐτοῦ λέγων· Ἡ ποιηθήσεται τῷ ἀνδρί, ὃς ἂν πατάξει τὸν
ἀλλόφυλον ἐκεῖνον, καὶ ἀφελεῖ ὀνειδισμὸν ἀπὸ Ἰσραήλ; ὅτι τίς
ἀλλόφυλος ὁ ἀπερίτμητος αὐτός, ὅτι ὠνείδισε παράταξιν θεοῦ
ζῶντος; καὶ εἶπεν αὐτῷ ὁ λαὸς κατὰ τὸ ῥῆμα τοῦτο λέγων· 27
Οὕτως ποιηθήσεται τῷ ἀνδρί, ὃς ἂν πατάξει αὐτόν. καὶ ἤκου- 28
σεν Ἐλιὰβ ὁ ἀδελφὸς αὐτοῦ ὁ μείζων ἐν τῷ λαλεῖν αὐτὸν πρὸς
τοὺς ἄνδρας καὶ ὠργίσθη θυμῷ Ἐλιὰβ ἐν τῷ Δαυΐδ καὶ εἶπεν·
Ἱνατί τοῦτο κατέβης καὶ ἐπὶ τίνα ἀφῆκας τὰ μικρὰ πρόβατα ἐ-
κεῖνα ἐν τῇ ἐρήμῳ; ἐγὼ οἶδα τὴν ὑπερηφανίαν σου καὶ τὴν κα-
κίαν τῆς καρδίας σου, ὅτι ἕνεκεν τοῦ ἰδεῖν τὸν πόλεμον κατέ-
βης. καὶ εἶπε Δαυΐδ· Τί ἐποίησα νῦν; οὐχὶ ῥῆμά ἐστι; καὶ ἐπέ- 29 30
στρεψε παρ' αὐτοῦ εἷς ἐναντίον ἑτέρου καὶ εἶπε κατὰ τὸ ῥῆμα
τοῦτο, καὶ ἀπεκρίθη αὐτῷ ὁ λαὸς κατὰ τὸ ῥῆμα τοῦ πρώτου.
καὶ ἠκούσθησαν οἱ λόγοι, οὓς ἐλάλησε Δαυΐδ, καὶ ἀνηγγέλη- 31
σαν ὀπίσω Σαοὺλ καὶ παρέλαβεν αὐτόν.

33 12+ Καὶ ἐπορεύθη ὁ ἀλλόφυλος πορευόμενος καὶ ἐγγίζων 41
πρὸς Δαυΐδ, καὶ ἀνὴρ ὁ αἴρων τὸν θυρεὸν ἔμπροσθεν αὐτοῦ,
καὶ ἐπέβλεψεν ὁ ἀλλόφυλος.

24+ Καὶ ἐκραταίωσε Δαυΐδ ὑπὲρ τὸν ἀλλόφυλον ἐν τῇ σφενδό- 50
νῃ καὶ ἐν τῷ λίθῳ, καὶ ἐπάταξε τὸν ἀλλόφυλον καὶ ἐθανάτωσεν
αὐτόν· καὶ ῥομφαία οὐκ ἦν ἐν χειρὶ Δαυΐδ.

28+ ...τὰς παρεμβολὰς αὐτῶν. [καὶ ἔλαβε Δαυΐδ τὴν κεφαλὴν τοῦ 54
ἀλλοφύλου, καὶ ἤνεγκεν αὐτὴν εἰς Ἰερουσαλὴμ καὶ τὰ σκεύη
αὐτοῦ ἔθηκεν ἐν τῷ σκηνώματι αὐτοῦ.

Καὶ ὡς εἶδε Σαοὺλ τὸν Δαυΐδ ἐκπορευόμενον εἰς ἀπάντη- 55
σιν τοῦ ἀλλοφύλου, εἶπε πρὸς Ἀβεννὴρ τὸν ἄρχοντα τῆς δυνά-
μεως· Υἱὸς τίνος ὁ νεανίσκος οὗτος; καὶ εἶπεν Ἀβεννήρ· Ζῇ ἡ
ψυχή σου, βασιλεῦ, εἰ οἶδα. καὶ εἶπεν ὁ βασιλεύς· Ἐπερώτη- 56
σον σύ, υἱὸς τίνος ὁ νεανίσκος οὗτος. καὶ ὡς ἐπέστρεψε Δαυ- 57
ΐδ τοῦ πατάξαι τὸν ἀλλόφυλον, καὶ παρέλαβεν αὐτὸν Ἀβεννὴρ
καὶ εἰσήγαγεν αὐτὸν ἐνώπιον Σαούλ, καὶ ἡ κεφαλὴ τοῦ ἀλλο-
φύλου ἐν τῇ χειρὶ αὐτοῦ καὶ εἶπε πρὸς αὐτὸν Σαούλ· Υἱὸς τί- 58
νος εἶ, παιδάριον; καὶ εἶπε Δαυΐδ· Υἱὸς δούλου σου Ἰεσσαὶ
τοῦ Βηθλεεμείτου. καὶ ἐγένετο ὡς συνετέλεσε λαλῶν πρὸς Σα- 1 **18**
ούλ, καὶ ἡ ψυχὴ Ἰωνάθαν συνεδέθη τῇ ψυχῇ Δαυΐδ καὶ ἠγάπη-
σεν αὐτὸν Ἰωνάθαν κατὰ τὴν ψυχὴν αὐτοῦ. καὶ ἔλαβεν αὐτὸν 2

Σαοὺλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ οὐκ ἔδωκεν αὐτὸν ἐπιστρέψαι ἐν
τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ. καὶ διέθετο Ἰωνάθαν καὶ Δαυΐδ ἐν 3
τῷ ἀγαπᾶν αὐτὸν κατὰ τὴν ψυχὴν αὐτοῦ. καὶ ἐξεδύσατο Ἰωνά- 4
θαν τὸν ἐπενδύτην τὸν ἐπάνω καὶ ἔδωκεν αὐτὸν τῷ Δαυΐδ καὶ
τὸν μανδύαν αὐτοῦ καὶ ἕως τῆς ῥομφαίας αὐτοῦ καὶ ἕως τοῦ
τόξου αὐτοῦ καὶ ἕως τῆς ζώνης αὐτοῦ. καὶ ἐξεπορεύετο Δαυ- 5
ΐδ, ἐν πᾶσιν, οἷς ἀπέστειλεν αὐτὸν Σαούλ, συνῆκε· καὶ κατέ-
στησεν αὐτὸν Σαοὺλ ἐπὶ τοὺς ἄνδρας τοῦ πολέμου, καὶ ἤρεσεν
ἐν ὀφθαλμοῖς παντὸς τοῦ λαοῦ καί γε ἐν ὀφθαλμοῖς δούλων
Σαούλ.]

34 3+ ...τὰς χιλιάδας. [Καὶ ἦν Σαοὺλ ὑποβλεπόμενος τὸν Δαυΐδ ἀπὸ 9
τῆς ἡμέρας ἐκείνης καὶ ἐπέκεινα. καὶ ἐγενήθη ἀπὸ τῆς ἐπαύ- 10
ριον καὶ ἔπεσε πνεῦμα θεοῦ πονηρὸν ἐπὶ Σαοὺλ καὶ προεφή-
τευσεν ἐν μέσῳ οἴκου αὐτοῦ. καὶ Δαυΐδ ἔψαλλεν ἐν χειρὶ αὐ-
τοῦ ὡς καθ' ἑκάστην ἡμέραν, καὶ τὸ δόρυ ἐν τῇ χειρὶ Σαούλ.
καὶ ἦρε Σαοὺλ τὸ δόρυ καὶ εἶπε· Πατάξω ἐν Δαυΐδ καὶ ἐν τῷ 11
τοίχῳ· καὶ ἐξέκλινε Δαυΐδ ἀπὸ προσώπου αὐτοῦ δίς].

8+ ...ἐξεπορεύετο πρὸ προσώπου τοῦ λαοῦ. [Καὶ εἶπε Σαοὺλ 17
πρὸς Δαυΐδ· Ἰδοὺ ἡ θυγάτηρ μου ἡ μείζων Μερόβ, αὐτὴν δώ-
σω σοι εἰς γυναῖκα, καὶ πλὴν γίνου μοι εἰς υἱὸν δυνάμεως καὶ
πολέμει τοὺς πολέμους Κυρίου. καὶ Σαοὺλ εἶπε· Μὴ ἔστω χείρ
μου ἐπ' αὐτῷ, καὶ ἔσται ἐπ' αὐτὸν χεὶρ ἀλλοφύλων. καὶ εἶπε 18
Δαυΐδ πρὸς Σαούλ· Τίς ἐγώ εἰμι καὶ τίς ἡ ζωὴ τῆς συγγενείας
τοῦ πατρός μου ἐν Ἰσραήλ, ὅτι ἔσομαι γαμβρὸς τοῦ βασιλέως; 19
καὶ ἐγενήθη ἐν τῷ καιρῷ τοῦ δοθῆναι τὴν Μερὸβ θυγατέρα Σα-
οὺλ τῷ Δαυΐδ, καὶ αὕτη ἐδόθη τῷ Ἐσριὴλ τῷ Μοθυλαθείτῃ εἰς
γυναῖκα.]

38
4+ ...καὶ ἀπέστειλε Σαοὺλ ἀγγέλους λαβεῖν τὸν Δαυΐδ, [καὶ εἶδαν 20 **19**
τὴν ἐκκλησίαν τῶν προφητῶν, καὶ Σαμουὴλ εἱστήκει καθεστη-
κὼς ἐπ' αὐτῶν, καὶ ἐγενήθη ἐπὶ τοὺς ἀγγέλους τοῦ Σαοὺλ
πνεῦμα θεοῦ, καὶ προφητεύουσι. καὶ ἀπηγγέλη τῷ Σαούλ, καὶ 21
ἀπέστειλεν ἀγγέλους ἑτέρους, καὶ ἐπροφήτευσαν καὶ αὐτοί.
καὶ προσέθετο Σαοὺλ ἀποστεῖλαι ἀγγέλους τρίτους, καὶ ἐπρο-
φήτευσαν καὶ αὐτοί. καὶ ἐθυμώθη ὀργῇ Σαοὺλ καὶ ἐπορεύθη 22
καὶ αὐτὸς εἰς Ἀρμαθαΐμ καὶ ἔρχεται ἕως τοῦ φρέατος τοῦ ἅλω
τοῦ ἐν τῷ Σεφὶ καὶ ἠρώτησε καὶ εἶπε· Ποῦ Σαμουὴλ καὶ Δαυΐδ;
καὶ εἶπαν· Ἰδοὺ ἐν Ναυὰθ ἐν Ῥαμά. καὶ ἐπορεύθη ἐκεῖθεν εἰς 23
Ναυὰθ ἐν Ῥαμά, καὶ ἐγενήθη καὶ ἐπ' αὐτῷ πνεῦμα θεοῦ, καὶ ἐ-
πορεύετο προφητεύων ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Ναυὰθ ἐν
Ῥαμά. καὶ ἐξεδύσατο τὰ ἱμάτια αὐτοῦ καὶ ἐπροφήτευσεν ἐνώ- 24
πιον αὐτῶν καὶ ἔπεσε γυμνὸς ὅλην τὴν ἡμέραν ἐκείνην καὶ ὅ-
λην τὴν νύκτα· διὰ τοῦτο ἔλεγον· Ἦ καὶ Σαοὺλ ἐν προφή-
ταις;] *(πρβλ. 20, 41+) (Διακοπὴ ἀποκρύφου)*

39 2 ...ὡς ἅπαξ καὶ ἅπαξ [ἐπὶ τῆς καθέδρας] παρὰ τὸν τοῖχον... 25 **20**

40 4 ...ἀπό σοῦ καὶ ἐπέκεινα· [καὶ ἀνεβόησεν Ἰωνάθαν ὀπίσω τοῦ παιδαρίου αὐτοῦ λέγων·] 38

41 4+ ...ἐν τῷ τόπῳ τῷ λεγομένῳ Θεοῦ Πίστις, [Φελλανὶ Ἀλεμωνί·] 3 **21**

11 ...συνεχόμενος [νεεσσαρὰν] ἐνώπιον Κυρίου 7

16+ Καὶ ἦλθε Δαυΐδ πρὸς Ἀγχοὺς βασιλέα Γέθ. καὶ εἶπον οἱ 11
παῖδες Ἀγχοὺς πρὸς αὐτόν· Οὐχὶ οὗτος Δαυΐδ ὁ βασιλεὺς τῆς
γῆς; οὐχὶ τούτῳ ἐξῆρχον αἱ χορεύουσαι λέγουσαι· Ἐπάταξε 12
Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ καὶ Δαυΐδ ἐν μυριάσιν αὐτοῦ; καὶ ἔθε-
το Δαυΐδ τὰ ῥήματα ἐν τῇ καρδίᾳ αὐτοῦ καὶ ἐφοβήθη σφόδρα
ἀπὸ προσώπου Ἀγχοὺς βασιλέως Γέθ. καὶ ἠλλοίωσε τὸ πρό- 13
σωπον αὐτοῦ ἐνώπιον αὐτοῦ καὶ προσεποιήσατο ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ καὶ ἐτυμπάνιζεν ἐπὶ ταῖς θύραις τῆς πόλεως καὶ παρε-
φέρετο ἐν ταῖς χερσὶν αὐτοῦ καὶ ἔπιπτεν ἐπὶ τὰς θύρας τῆς πύ-
λης, καὶ τὰ σίελα αὐτοῦ κατέρρει ἐπὶ τὸν πώγωνα αὐτοῦ. καὶ 14
εἶπεν Ἀγχοὺς πρὸς τοὺς παῖδας αὐτοῦ· Ἰδοὺ ἴδετε ἄνδρα ἐπί-
ληπτον, ἱνατί εἰσηγάγετε αὐτὸν πρός με; μὴ ἐλαττοῦμαι ἐπιλή- 15
πτων ἐγώ, ὅτι εἰσαγηόχατε αὐτὸν ἐπιληπτεύεσθαι πρός με; οὗ-
τος οὐκ εἰσελεύσεται εἰς οἰκίαν. *(ἀπόκρυφον)*

46 1 Καὶ ἐκάθισε Δαυΐδ ἐν τῇ ἐρήμῳ, ἐν Μασσαρὰ [ἐν τοῖς στε- 14 **23**
νοῖς]

47 2 ἰδοὺ Δαυΐδ κέκρυπται παρ' ἡμῖν ἐν Μεσσαρὰ [ἐν τοῖς στενοῖς] 19

48 21+ ...πλημμέλεια'' [καὶ ἡ χείρ μου οὐκ ἔσται ἐπὶ σέ.] 15 **24**

...ἀνέβησαν εἰς τὴν Μεσσαρά [στενήν.] 23

51 6+ Καὶ ἔρχονται οἱ Ζιφαῖοι ἐκ τῆς αὐχμώδους πρὸς τὸν Σα- 1 **26**
οὺλ εἰς τὸν βουνὸν λέγοντες· Ἰδοὺ Δαυΐδ σκεπάζεται μεθ' ἡ-
μῶν ἐν τῷ βουνῷ τοῦ Ἐχελὰ τοῦ κατὰ πρόσωπον τοῦ Ἰεσσαι-
μούν. καὶ ἀνέστη Σαοὺλ καὶ κατέβη εἰς τὴν ἔρημον Ζὶφ καὶ 2
μετ' αὐτοῦ τρεῖς χιλιάδες ἀνδρῶν ἐκλεκτοὶ ἐξ Ἰσραὴλ ζητεῖν
τὸν Δαυΐδ ἐν τῇ ἐρήμῳ Ζίφ.

52 3+ ...ἐκεῖ Ἀβεννὴρ [υἱὸς Νὴρ] ἀρχιστράτηγος 5

54 4+ Καὶ Σαμουὴλ ἀπέθανε, καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ 3 **28**
καὶ θάπτουσιν αὐτὸν ἐν Ἀρμαθαΐμ ἐν πόλει αὐτοῦ.

56 11+ ...ἐπορεύθη Δαυΐδ, αὐτὸς καὶ οἱ ἑξακόσιοι ἄνδρες μετ' αὐτοῦ, καὶ 9 **30**
ἔρχονται ἕως τοῦ χειμάρρου Βοσόρ, [καὶ οἱ περισσοὶ ἔστησαν].
καὶ κατεδίωξεν ἐν τετρακοσίοις ἀνδράσιν, ὑπέστησαν δὲ διακό- 10
σιοι ἄνδρες, οἵτινες ἐκάθισαν πέραν τοῦ χειμάρρου τοῦ Βοσόρ.

62 1 Ἀβεννὴρ [υἱὸς Νὴρ] ἀρχιστράτηγος 8 **2**

...καὶ ἐπὶ τὸν Ἀσηρὶ [καὶ ἐπὶ τὴν Ἰεζράελ] καὶ ἐπὶ τὸν Ἐ- 9
φραΐμ...

63 14 ...πρὸς Ἰωὰβ [καὶ ποῦ ἐστι ταῦτα; ἐπίστρεφε πρὸς Ἰωὰβ] τὸν 23
ἀδελφόν σου;

Ζῇ Κύριος, ὅτι εἰ μὴ ἐλάλησας, [διότι τότε] οὐκ ἐκ πρωϊόθεν ἀ- 27
νέβη ἂν ὁ λαὸς...

69 4 ...ἐπορεύθησαν [υἱοὶ Ρεμμὼν τοῦ Βηρωθαίου Ρεκχὰ καὶ Βαανὰ] 5 **4**
καὶ εἰσῆλθον ἐν τῷ καύματι τῆς ἡμέρας εἰς οἶκον Ἰεβοσθέ.

71 1 Καὶ ἀπῆλθε Δαυΐδ καὶ οἱ ἄνδρες αὐτοῦ εἰς Ἰερουσαλὴμ 6 **5**
πρὸς τὸν Ἰεβουσαῖον τὸν κατοικοῦντα τὴν γῆν. καὶ ἐρρέθη τῷ
Δαυΐδ· Οὐκ εἰσελεύσῃ ὧδε, [ὅτι ἀντέστησαν οἱ τυφλοὶ καὶ οἱ
χωλοὶ λέγοντες ὅτι οὐκ εἰσελεύσεται Δαυΐδ ὧδε]. καὶ προκα- 7
τελάβετο Δαυΐδ τὴν περιοχὴν Σιών [αὕτη ἡ Πόλις τοῦ Δαυΐδ].
καὶ εἶπε Δαυΐδ τῇ ἡμέρᾳ ἐκείνῃ· Πᾶς τύπτων Ἰεβούς[αῖον ἁ- 8
πτέσθω ἐν παραξιφίδι καὶ τοὺς χωλοὺς καὶ τοὺς τυφλοὺς καὶ
τοὺς μισοῦντας τὴν ψυχὴν Δαυΐδ· διὰ τοῦτο ἐροῦσι· τυφλοὶ
καὶ χωλοὶ οὐκ εἰσελεύσονται εἰς οἶκον Κυρίου.] <ἐν πρώτοις,
ἔσται εἰς ἄρχοντα. καὶ ἀνέβη ἐπ' αὐτὴν ἐν πρώτοις Ἰωὰβ υἱὸς
Σαρουΐα καὶ ἐγένετο εἰς ἄρχοντα>. καὶ ἐκάθισε Δαυΐδ ἐν τῇ 9
περιοχῇ, καὶ ἐκλήθη αὕτη Πόλις Δαυΐδ· καὶ ᾠκοδόμησεν τὴν
πόλιν κύκλῳ ἀπὸ τῆς ἄκρας καὶ τὸν οἶκον αὐτοῦ.

72 4+ ...καὶ ἐγένοντο τῷ Δαυΐδ ἔτι υἱοὶ καὶ θυγατέρες. [καὶ ταῦτα τὰ 14
ὀνόματα τῶν γεννηθέντων αὐτῷ ἐν Ἰερουσαλήμ· Σαμμοὺς καὶ 15
Σωβὰβ καὶ Νάθαν καὶ Σαλωμὼν καὶ Ἐβεὰρ καὶ Ἐλισοὺς καὶ
Ναφὲκ καὶ Ἰεφιὲς καὶ Ἐλισαμὰ καὶ Ἐλιδαὲ καὶ Ἐλιφαλάθ, Σα- 16
μαέ, Ἰεσσιβάθ, Νάθαν, Γαλαμαάν, Ἰεβαάρ, Θεησοῦς Ἐλιφαλάτ,
Ναγέδ, Ναφέκ, Ἰανάθαν, Λεασαμύς, Βααλιμάθ, Ἐλιφαάθ.]

74 19 καὶ [ὁ Δαυΐδ] ἐνδεδυκὼς στολὴν ἔξαλλον 14 **6**

29 ἐπὶ τὸν λαὸν αὐτοῦ [ἐπὶ τὸν Ἰσραήλ] 20 B´Ba

76 8+ ...εἰς δούλους φέροντας ξένια. [καὶ ἔσωσε Κύριος τὸν Δαυΐδ 6 **8**
ἐν πᾶσιν, οἷς ἐπορεύετο.]

9 καὶ ἤνεγκεν αὐτὰ εἰς Ἰερουσαλήμ· [καὶ ἔλαβεν αὐτὰ Σουσακὶμ 7
βασιλεὺς Αἰγύπτου ἐν τῷ ἀναβῆναι αὐτὸν εἰς Ἰερουσαλὴμ ἐν
10 ἡμέραις Ῥοβοὰμ υἱοῦ Σολωμῶντος.] καὶ ἐκ τῆς Μασβὰκ καὶ ἐκ
τῶν ἐκλεκτῶν πόλεων τοῦ Ἀδρααζὰρ ἔλαβεν ὁ βασιλεὺς Δαυ-
ΐδ χαλκὸν πολὺν σφόδρα. [ἐν αὐτῷ ἐποίησε Σαλωμὼν τὴν θά-
λασσαν τὴν χαλκῆν καὶ τοὺς στύλους καὶ τοὺς λουτῆρας καὶ
πάντα τὰ σκεύη.]

79 5 ...καὶ κατασκοπήσωσιν αὐτὴν [καὶ τοῦ κατασκέψασθαι αὐτὴν] 3 **10**

80 27 ...τὸν Ἀβιμέλεχ υἱὸν Ἱεροβάαλ [υἱοῦ Νήρ] 21 **11**

83 5 ...ἔλαβε τὸν στέφανον [Μολχὸμ] τοῦ 'Βασιλέως αὐτῶν' 30 **12**

καὶ ἐτέχθησαν τῷ Ἀβεσσαλὼμ τρεῖς υἱοὶ καὶ θυγάτηρ μία, καὶ ὄνομα αὐτῇ Μααχά· αὕτη ἦν γυνὴ καλὴ σφόδρα καὶ γίνεται γυνὴ τῷ 'Ροβοὰμ υἱῷ Σαλωμὼν καὶ τίκτει αὐτῷ τὸν Ἀβιά.

89 14 ...καὶ ἐὰν εἰς ζωήν, [ὅτι] ἐκεῖ ἔσται ὁ δοῦλός σου... 21 **15**

98 14 ...καὶ ἔλαβε τὸν Ἀβεσσαλὼμ καὶ ἔρριψεν αὐτὸν εἰς χάσμα μέγα 17 **18**
ἐν τῷ δρυμῷ [εἰς τὸν βόθυνον τὸν μέγαν] καὶ ἐστήλωσεν ἐπ'
αὐτὸν σωρὸν λίθων μέγαν σφόδρα. καὶ πᾶς Ἰσραὴλ ἔφυγεν ἀ-
νὴρ εἰς τὸ σκήνωμα αὐτοῦ. [καὶ Ἀβεσσαλὼμ ἔτι ζῶν ἔλαβε καὶ 18
ἔστησεν ἑαυτῷ τὴν στήλην, ἐν ᾗ ἐλήφθη, καὶ ἐστήλωσεν αὐτὴν
λαβεῖν τὴν στήλην τὴν ἐν τῇ κοιλάδι τοῦ βασιλέως, ὅτι εἶπεν·
Οὐκ ἔστιν αὐτῷ υἱὸς ἕνεκα τοῦ ἀναμνῆσαι τὸ ὄνομα αὐτοῦ·]
καὶ ἐκάλεσε τὴν στήλην 'Χεὶρ Ἀβεσσαλὼμ' ἕως τῆς ἡμέρας
ταύτης.

107 10 ...σὺ δὲ ζητεῖς θανατῶσαι [πόλιν καὶ] μητρόπολιν 19 **20**

< ΑΝΘΟΛΟΓΙΟΝ >

< 1. Κυβέρνησις Δαυΐδ >

18+ Καὶ ὁ Ἰωὰβ πρὸς πάσῃ τῇ δυνάμει Ἰσραήλ, καὶ Βαναΐας 23
υἱὸς Ἰωδαὲ ἐπὶ τοῦ Χερεθὶ καὶ ἐπὶ τοῦ Φελεθί, καὶ Ἀδωνιρὰμ
ἐπὶ τοῦ φόρου, καὶ Ἰωσαφὰτ υἱὸς Ἀχιλοὺθ ἀναμιμνήσκων, καὶ 24
Σουσὰ γραμματεύς, καὶ Σαδὼκ καὶ Ἀβιάθαρ ἱερεῖς, καί γε Ἰ- 25
ρὰς ὁ Ἰαρὶν ἦν ἱερεὺς τοῦ Δαυΐδ. *(βλ. Δδ 77· Πα 18).* 26

< 2. Ἐξηλιασμός >

Καὶ ἐγένετο λιμὸς ἐν ταῖς ἡμέραις Δαυΐδ τρία ἔτη, ἐνιαυ- 1 **21**
τὸς ὁ ἐχόμενος ἐνιαυτοῦ, καὶ ἐζήτησε Δαυΐδ τὸ πρόσωπον Κυ-
ρίου. καὶ εἶπε Κύριος· Ἐπὶ Σαοὺλ καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ ἀδι-
κία ἐν θανάτῳ αἱμάτων αὐτοῦ, περὶ οὗ ἐθανάτωσε τοὺς Γαβα-
ωνίτας. καὶ ἐκάλεσεν ὁ βασιλεὺς Δαυΐδ τοὺς Γαβαωνίτας καὶ 2
εἶπε πρὸς αὐτούς· Καὶ οἱ Γαβαωνῖται οὐχ υἱοὶ Ἰσραὴλ εἰσιν, ὅ-
τι ἀλλ' ἢ ἐκ τοῦ λείμματος τοῦ Ἀμορραίου, καὶ οἱ υἱοὶ Ἰσραὴλ
ὤμοσαν αὐτοῖς· καὶ ἐζήτησε Σαοὺλ πατάξαι αὐτοὺς ἐν τῷ ζη-
λῶσαι αὐτὸν τοὺς υἱοὺς Ἰσραὴλ καὶ Ἰούδα. καὶ εἶπε Δαυΐδ 3
πρὸς τοὺς Γαβαωνίτας· Τί ποιήσω ὑμῖν καὶ ἐν τίνι ἐξιλάσομαι
καὶ εὐλογήσετε τὴν κληρονομίαν Κυρίου; καὶ εἶπαν αὐτῷ οἱ 4
Γαβαωνῖται· Οὐκ ἔστιν ἡμῖν ἀργύριον ἢ χρυσίον μετὰ Σαοὺλ
καὶ μετὰ τοῦ οἴκου αὐτοῦ, καὶ οὐκ ἔστιν ἡμῖν ἀνὴρ θανατῶσαι

ἐν Ἰσραήλ. καὶ εἶπε· Τί ὑμεῖς λέγετε καὶ ποιήσω ὑμῖν; καὶ εἶ- 5
παν πρὸς τὸν βασιλέα· Ὁ ἀνήρ, ὃς συνετέλεσεν ἐφ' ἡμᾶς καὶ
ἐδίωξεν ἡμᾶς, ὃς παρελογίσατο ἐξολοθρεῦσαι ἡμᾶς· ἀφανίσω-
μεν αὐτόν, τοῦ μὴ ἑστάναι αὐτὸν ἐν παντὶ ὁρίῳ Ἰσραήλ· δότω 6
ἡμῖν ἑπτὰ ἄνδρας ἐκ τῶν υἱῶν αὐτοῦ, καὶ ἐξηλιάσωμεν αὐτοὺς
τῷ Κυρίῳ ἐν τῷ Γαβαὼν Σαοὺλ ἐκλεκτοὺς Κυρίου. καὶ εἶπεν ὁ
βασιλεύς· Ἐγὼ δώσω. καὶ ἐφείσατο ὁ βασιλεὺς ἐπὶ Μεμφιβο- 7
σθὲ υἱὸν Ἰωνάθαν υἱοῦ Σαοὺλ διὰ τὸν ὅρκον Κυρίου τὸν ἀνὰ
μέσον αὐτῶν καὶ ἀνὰ μέσον Δαυΐδ καὶ ἀνὰ μέσον Ἰωνάθαν υἱ-
οῦ Σαούλ· καὶ ἔλαβεν ὁ βασιλεὺς τοὺς δύο υἱοὺς Ῥεσφὰ θυγα- 8
τρὸς Ἀιά, οὓς ἔτεκε τῷ Σαούλ, τὸν Ἑρμωνὶ καὶ τὸν Μεμφιβο-
σθέ, καὶ τοὺς πέντε υἱοὺς τῆς Μιχὸλ θυγατρὸς Σαούλ, οὓς ἔτε-
κε τῷ Ἐσδριὴλ υἱῷ Βερζελλὶ τῷ Μουλαθί, καὶ ἔδωκεν αὐτοὺς
ἐν χειρὶ τῶν Γαβαωνιτῶν, καὶ ἐξηλίασαν αὐτοὺς ἐν τῷ ὄρει ἔ- 9
ναντι Κυρίου, καὶ ἔπεσαν οἱ ἑπτὰ αὐτοὶ ἐπὶ τὸ αὐτό· καὶ αὐτοὶ
δὲ ἐθανατώθησαν ἐν ἡμέραις θερισμοῦ ἐν πρώτοις, ἐν ἀρχῇ θε-
ρισμοῦ κριθῶν. καὶ ἔλαβε Ῥεσφὰ θυγάτηρ Ἀιὰ τὸν σάκκον καὶ 10
ἔπηξεν αὐτῇ πρὸς τὴν πέτραν ἐν ἀρχῇ θερισμοῦ κριθῶν, ἕως
ἔσταξεν ἐπ' αὐτοὺς ὕδωρ ἐκ τοῦ οὐρανοῦ, καὶ οὐκ ἔδωκε τὰ
πετεινὰ τοῦ οὐρανοῦ καταπαῦσαι ἐπ' αὐτοὺς ἡμέρας καὶ τὰ θη-
ρία τοῦ ἀγροῦ νυκτός. καὶ ἀπηγγέλη τῷ Δαυΐδ ὅσα ἐποίησε 11
Ῥεσφὰ θυγάτηρ Ἀιὰ παλλακὴ Σαούλ· καὶ ἐξελύθησαν, καὶ κα-
τέλαβεν αὐτοὺς Δὰν υἱὸς Ἰωὰ ἐκ τῶν ἀπογόνων τῶν γιγά-
ντων, καὶ ἐπορεύθη Δαυΐδ καὶ ἔλαβε τὰ ὀστᾶ Σαοὺλ καὶ τὰ ὀ- 12
στᾶ Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ παρὰ τῶν ἀνδρῶν υἱῶν Ἰαβὶς
Γαλαάδ, οἳ ἔκλεψαν αὐτοὺς ἐκ τῆς πλατείας Βαιθσάν, ὅτι ἔστη-
σαν αὐτοὺς ἐκεῖ οἱ ἀλλόφυλοι ἐν τῇ ἡμέρᾳ, ᾗ ἐπάταξαν οἱ ἀλ- 13
λόφυλοι τὸν Σαοὺλ ἐν Γελβουέ, καὶ ἀνήνεγκεν ἐκεῖθεν τὰ ὀστᾶ
Σαοὺλ καὶ τὰ ὀστᾶ Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ καὶ συνήγαγε τὰ
ὀστᾶ τῶν ἐξηλιασμένων. καὶ ἔθαψαν τὰ ὀστᾶ Σαοὺλ καὶ τὰ ὀ- 14
στᾶ Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ καὶ τὰ ὀστᾶ τῶν ἡλιασθέντων ἐν
γῇ Βενιαμὶν ἐν τῇ πλευρᾷ ἐν τῷ τάφῳ Κὶς τοῦ πατρὸς αὐτοῦ
καὶ ἐποίησαν πάντα, ὅσα ἐνετείλατο ὁ βασιλεύς. καὶ ἐπήκου-
σεν ὁ θεὸς τῇ γῇ μετὰ ταῦτα. *(Βλ. Δδ 57. ὁ ἐδῶ ἐκτιθέμενος* ἐξηλιασμὸς *εἶναι μύθευμα ποὺ προέκυψε ἀπὸ παρανόησι τοῦ Νο 232,4* Παραδειγμάτισον αὐτοὺς Κυρίῳ κατέναντι τοῦ ἡλίου, καὶ ἀποστραφήσεται ὀργὴ θυμοῦ Κυρίου ἀπὸ Ἰσραήλ*).*

< 3. Ἐξόντωσις τῶν γιγάντων >

Καὶ ἐγενήθη ἔτι πόλεμος τοῖς ἀλλοφύλοις μετὰ Ἰσραήλ. 15
καὶ κατέβη Δαυΐδ καὶ οἱ παῖδες αὐτοῦ μετ' αὐτοῦ καὶ ἐπολέμη-
σαν μετὰ τῶν ἀλλοφύλων, καὶ ἐξελύθη Δαυΐδ. καὶ Ἰεσβί, ὃς ἦν 16
ἐν τοῖς ἐκγόνοις τοῦ Ῥαφὰ καὶ ὁ σταθμὸς τοῦ δόρατος αὐτοῦ
τριακοσίων σίκλων ὁλκὴ χαλκοῦ καὶ αὐτὸς περιεζωσμένος

κορύνην, καὶ διενοεῖτο τοῦ πατάξαι τὸν Δαυΐδ. καὶ ἐβοήθησεν 17
αὐτῷ Ἀβεσσὰ υἱὸς Σαρουΐας καὶ ἐπάταξε τὸν ἀλλόφυλον καὶ
ἐθανάτωσεν αὐτόν. τότε ὤμοσαν οἱ ἄνδρες Δαυΐδ λέγοντες·
Οὐκ ἐξελεύσῃ ἔτι μεθ' ἡμῶν εἰς πόλεμον καὶ οὐ μὴ σβέσῃς τὸν
λύχνον Ἰσραήλ. καὶ ἐγενήθη μετὰ ταῦτα ἔτι πόλεμος ἐν Γὲθ με- 18
τὰ τῶν ἀλλοφύλων. τότε ἐπάταξε Σεβοχὰ ὁ Ἀστατωθὶ τὸν Σὲφ
ἐν τοῖς ἐκγόνοις τοῦ Ῥαφά. καὶ ἐγένετο ὁ πόλεμος ἐν Γὸβ με- 19
τὰ τῶν ἀλλοφύλων. καὶ ἐπάταξεν Ἐλεανὰν υἱὸς Ἀριωργὶμ ὁ
Βηθλεεμίτης τὸν Γολιὰθ τὸν Γεθθαῖον, καὶ τὸ ξύλον τοῦ δόρα-
τος αὐτοῦ ὡς ἀντίον ὑφαινόντων. καὶ ἐγένετο ἔτι πόλεμος ἐν 20
Γέθ. καὶ ἦν ἀνὴρ μαδών, καὶ οἱ δάκτυλοι τῶν χειρῶν αὐτοῦ
καὶ οἱ δάκτυλοι τῶν ποδῶν αὐτοῦ ἓξ καὶ ἕξ, εἰκοσιτέσσαρες ἀ-
ριθμῷ, καί γε αὐτὸς ἐτέχθη τῷ Ῥαφά. καὶ ὠνείδισε τὸν Ἰσ- 21
ραήλ, καὶ ἐπάταξεν αὐτὸν Ἰωνάθαν υἱὸς Σεμεῖ ἀδελφοῦ Δαυΐδ.
οἱ τέσσαρες οὗτοι ἐτέχθησαν ἀπόγονοι τῶν γιγάντων ἐν Γὲθ 22
τῷ Ῥαφὰ οἶκος, καὶ ἔπεσαν ἐν χειρὶ Δαυΐδ, καὶ ἐν χειρὶ τῶν
δούλων αὐτοῦ. *(=Πα 9)*

<4. Ἄλλη μετάφρασις Ψαλμῶν>

(ἀνθολόγιον· Ψα 18· καὶ ἄγνωστος)

Καὶ ἐλάλησε Δαυΐδ τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύ- 1 **22**
της ἐν ᾗ ἡμέρᾳ ἐξείλετο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν 2
ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαούλ, καὶ εἶπεν· 3

Κύριε, πέτρα μου καὶ ὀχύρωμά μου καὶ ἐξαιρούμενός με
ἐμοί, ὁ θεός μου φύλαξ μου ἔσται μοι, πεποιθὼς ἔσομαι ἐπ' αὐ-
τῷ, ὑπερασπιστής μου καὶ κέρας σωτηρίας μου, ἀντιλήπτωρ
μου καὶ καταφυγή μου σωτηρίας μου, ἐξ ἀδίκου σώσεις με. αἰ- 4
νετὸν ἐπικαλέσομαι Κύριον καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσο-
μαι. ὅτι περιέσχον με συντριμμοὶ θανάτου, χείμαρροι ἀνομίας 5
ἐθάμβησάν με· ὠδῖνες θανάτου ἐκύκλωσάν με, προέφθασάν με 6
σκληρότητες θανάτου. ἐν τῷ θλίβεσθαί με ἐπικαλέσομαι τὸν 7
Κύριον καὶ πρὸς τὸν θεόν μου βοήσομαι· καὶ ἐπακούσεται ἐκ
ναοῦ αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐν τοῖς ὠσὶν αὐτοῦ.
καὶ ἐταράχθη καὶ ἐσείσθη ἡ γῆ, καὶ τὰ θεμέλια τοῦ οὐρανοῦ 8
συνεταράχθησαν καὶ ἐσπαράχθησαν, ὅτι ἐθυμώθη Κύριος αὐ-
τοῖς. ἀνέβη καπνὸς ἐν τῇ ὀργῇ αὐτοῦ, καὶ πῦρ ἐκ στόματος αὐ- 9
τοῦ κατέδεται, ἄνθρακες ἐξεκαύθησαν ἀπ' αὐτοῦ. καὶ ἔκλινεν 10
οὐρανοὺς καὶ κατέβη, καὶ γνόφος ὑποκάτω τῶν ποδῶν αὐτοῦ.
καὶ ἐπεκάθισεν ἐπὶ χερουβὶμ καὶ ἐπετάσθη καὶ ὤφθη ἐπὶ πτε- 11
ρύγων ἀνέμου. καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ κύκλῳ αὐ- 12
τοῦ, ἡ σκηνὴ αὐτοῦ σκότος ὑδάτων· ἐπάχυνεν ἐν νεφέλαις ἀέ-
ρος. ἀπὸ τοῦ φέγγους ἐναντίον αὐτοῦ ἐξεκαύθησαν ἄνθρακες 13
πυρός. ἐβρόντησεν ἐξ οὐρανοῦ Κύριος, καὶ ὁ ὕψιστος ἔδωκε 14
φωνὴν αὐτοῦ καὶ ἀπέστειλε βέλη καὶ ἐσκόρπισεν αὐτούς, καὶ 15

ἤστραψεν ἀστραπὴν καὶ ἐξέστησεν αὐτούς. καὶ ὤφθησαν ἀφέ- 16
σεις θαλάσσης, καὶ ἀπεκαλύφθη θεμέλια τῆς οἰκουμένης ἐν τῇ
ἐπιτιμήσει Κυρίου, ἀπὸ πνοῆς πνεύματος θυμοῦ αὐτοῦ. ἀπέ- 17
στειλεν ἐξ ὕψους καὶ ἔλαβέ με, εἵλκυσέ με ἐξ ὑδάτων πολλῶν·
ἐρρύσατό με ἐξ ἐχθρῶν μου ἰσχύος, ἐκ τῶν μισούντων με, ὅτι 18
ἐκραταιώθησαν ὑπὲρ ἐμέ. προέφθασάν με ἡμέραι θλίψεώς μου, 19
καὶ ἐγένετο Κύριος ἐπιστήριγμά μου καὶ ἐξήγαγέ με εἰς πλατυ- 20
σμὸν καὶ ἐξείλετό με, ὅτι ηὐδόκησεν ἐν ἐμοί. καὶ ἀνταπέδωκέ 21
μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριό-
τητα τῶν χειρῶν μου ἀνταπέδωκέ μοι. ὅτι ἐφύλαξα ὁδοὺς Κυ- 22
ρίου καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ θεοῦ μου, ὅτι πάντα τὰ κρίματα 23
αὐτοῦ κατεναντίον μου, καὶ τὰ δικαιώματα αὐτοῦ, οὐκ ἀπέ-
στην ἀπ' αὐτῶν. καὶ ἔσομαι ἄμωμος αὐτῷ καὶ προφυλάξομαι 24
ἀπὸ τῆς ἀνομίας μου. καὶ ἀποδώσει μοι Κύριος κατὰ τὴν δι- 25
καιοσύνην μου καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἐ-
νώπιον τῶν ὀφθαλμῶν αὐτοῦ. μετὰ ὁσίου ὁσιωθήσῃ καὶ μετὰ 26
ἀνδρὸς τελείου τελειωθήσῃ καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ 27
καὶ μετὰ στρεβλοῦ στρεβλωθήσῃ. καὶ τὸν λαὸν τὸν πτωχὸν 28
σώσεις καὶ ὀφθαλμοὺς ἐπὶ μετεώρων ταπεινώσεις. ὅτι σὺ ὁ 29
λύχνος μου, Κύριε, καὶ Κύριος ἐκλάμψει μοι τὸ σκότος μου. ὅ- 30
τι ἐν σοὶ δραμοῦμαι μονόζωνος καὶ ἐν τῷ θεῷ μου ὑπερβήσο-
μαι τεῖχος. ὁ ἰσχυρός, ἄμωμος ἡ ὁδὸς αὐτοῦ, τὸ ῥῆμα Κυρίου 31
κραταιόν, πεπυρωμένον, ὑπερασπιστής ἐστι πᾶσι τοῖς πεποι-
θόσιν ἐπ' αὐτόν. τίς ἰσχυρὸς πλὴν Κυρίου; καὶ τίς κτίστης ἔ- 32
σται πλὴν τοῦ θεοῦ ἡμῶν; ὁ ἰσχυρὸς ὁ κραταιῶν με δυνάμει, 33
καὶ ἐξετίναξεν ἄμωμον τὴν ὁδόν μου· τιθεὶς τοὺς πόδας μου 34
ὡς ἐλάφων καὶ ἐπὶ τὰ ὕψη ἱστῶν με· διδάσκων χεῖράς μου εἰς 35
πόλεμον καὶ κατάξας τόξον χαλκοῦν ἐν βραχίονί μου. καὶ ἔδω- 36
κάς μοι ὑπερασπασμὸν σωτηρίας μου, καὶ ἡ ὑπακοή σου ἐ-
πλήθυνέ με εἰς πλατυσμὸν εἰς τὰ διαβήματά μου ὑποκάτω μου, 37
καὶ οὐκ ἐσαλεύθησαν τὰ σκέλη μου. διώξω ἐχθρούς μου καὶ ἀ- 38
φανιῶ αὐτοὺς καὶ οὐκ ἀναστρέψω ἕως ἂν συντελέσω αὐτούς·
καὶ θλάσω αὐτοὺς καὶ οὐκ ἀναστήσονται καὶ πεσοῦνται ὑπὸ 39
τοὺς πόδας μου. καὶ ἐνισχύσεις με δυνάμει εἰς πόλεμον κάμ- 40
ψεις τοὺς ἐπανιστανομένους μοι ὑποκάτω μου· καὶ τοὺς ἐ- 41
χθρούς μου ἔδωκάς μοι νῶτον, τοὺς μισοῦντάς με, καὶ ἐθανά-
τωσας αὐτούς. βοήσονται, καὶ οὐκ ἔστι βοηθός, πρὸς Κύριον, 42
καὶ οὐκ ἐπήκουσεν αὐτῶν. καὶ ἐλέανα αὐτοὺς ὡς χοῦν γῆς, 43
ὡς πηλὸν ἐξόδων ἐλέπτυνα αὐτούς. καὶ ῥύσῃ με ἐκ μάχης λα- 44
ῶν, φυλάξεις με εἰς κεφαλὴν ἐθνῶν. λαός, ὃν οὐκ ἔγνων, ἐδού- 45
λευσάν μοι, υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, εἰς ἀκοὴν ὠτίου ἤ-
κουσάν μου· υἱοὶ ἀλλότριοι ἀπορριφήσονται καὶ σφαλοῦσιν ἐκ 46
τῶν συγκλεισμῶν αὐτῶν. ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ φύλαξ 47
μου, καὶ ὑψωθήσεται ὁ θεός μου, ὁ φύλαξ τῆς σωτηρίας μου. ἰ- 48
σχυρὸς Κύριος ὁ διδοὺς ἐκδικήσεις ἐμοί, παιδεύων λαοὺς ὑ- 49

ποκάτω μου καὶ ἐξάγων με ἐξ ἐχθρῶν μου, καὶ ἐκ τῶν ἐπεγει-
ρομένων μοι ὑψώσεις με, ἐξ ἀνδρὸς ἀδικημάτων ῥύσῃ με. διὰ 50
τοῦτο ἐξομολογήσομαί σοι, Κύριε, ἐν τοῖς ἔθνεσι καὶ ἐν τῷ ὀ- 51
νόματί σου ψαλῶ, μεγαλύνων τὰς σωτηρίας βασιλέως αὐτοῦ
καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ, τῷ Δαυΐδ καὶ τῷ σπέρματι
αὐτοῦ ἕως αἰῶνος. *(Ψαλμὸς 18)*

Καὶ οὗτοι οἱ λόγοι Δαυΐδ οἱ ἔσχατοι· **23**

Πιστὸς Δαυΐδ υἱὸς Ἰεσσαί, καὶ πιστὸς ἀνήρ, ὃν ἀνέστησε
Κύριος ἐπὶ χριστὸν θεοῦ Ἰακώβ, καὶ εὐπρεπεῖς ψαλμοὶ Ἰσ-
ραήλ. πνεῦμα Κυρίου ἐλάλησεν ἐν ἐμοί, καὶ ὁ λόγος αὐτοῦ ἐπὶ 2
γλώσσης μου. λέγει ὁ θεὸς Ἰσραήλ, ἐμοὶ ἐλάλησε φύλαξ Ἰσ- 3
ραήλ· παραβολὴν εἰπὸν ἐν ἀνθρώπῳ· πῶς κραταιώσητε φόβον 4
θεοῦ; καὶ ἐν θεῷ φωτὶ πρωΐας ἀνατείλαι ἥλιος, τὸ πρωΐ παρῆλ-
θεν ἐκ φέγγους καὶ ὡς ἐξ ὑετοῦ χλόης ἀπὸ γῆς. οὐ γὰρ οὕτως
ὁ οἶκός μου μετὰ ἰσχυροῦ; διαθήκην γὰρ αἰώνιον ἔθετό μοι, ἑ- 5
τοίμην ἐν παντὶ καιρῷ πεφυλαγμένην, ὅτι πᾶσα σωτηρία μου
καὶ πᾶν θέλημα, ὅτι οὐ μὴ βλαστήσῃ ὁ παράνομος. ὥσπερ ἄ- 6
κανθα ἐξωσμένη πάντες οὗτοι, ὅτι οὐ χειρὶ ληφθήσονται, καὶ
ἀνὴρ οὐ κοπιάσει ἐν αὐτοῖς, καὶ πλῆρες σιδήρου καὶ ξύλον δό- 7
ρατος, καὶ ἐν πυρὶ καύσει καυθήσονται αἰσχύνην αὐτῶν. *(Ψαλ-
μὸς ἄγνωστος)*

<5. Δυνατοὶ Δαυΐδ>

Ταῦτα τὰ ὀνόματα τῶν δυνατῶν Δαυΐδ· Ἰεβοσθὲ ὁ Χανα- 8
ναῖος, ἄρχων τοῦ τρίτου ἐστίν, Ἀδινὼν ὁ Ἀσωναῖος· οὗτος ἐ-
σπάσατο τὴν ῥομφαίαν αὐτοῦ ἐπὶ ὀκτακοσίους στρατιώτας εἰ-
σάπαξ. καὶ μετ' αὐτὸν Ἐλεανὰν υἱὸς πατραδέλφου αὐτοῦ υἱὸς 9
Σουδίτου ἐν τοῖς τρισὶ δυνατοῖς. οὗτος μετὰ Δαυΐδ ἦν ἐν Σερ-
ράν, καὶ ἐν τῷ ὀνειδίσαι αὐτὸν ἐν τοῖς ἀλλοφύλοις συνήχθη-
σαν ἐκεῖ εἰς πόλεμον, καὶ ἀνέβησαν ἀνὴρ Ἰσραήλ· αὐτὸς ἀνέ-
στη καὶ ἐπάταξεν ἐν τοῖς ἀλλοφύλοις, ἕως οὗ ἐκοπίασεν ἡ χεὶρ 10
αὐτοῦ καὶ προσεκολλήθη ἡ χεὶρ αὐτοῦ πρὸς τὴν μάχαιραν, καὶ
ἐποίησε Κύριος σωτηρίαν μεγάλην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ὁ
λαὸς ἐκάθητο ὀπίσω αὐτοῦ πλὴν ἐκδιδύσκειν. καὶ μετ' αὐτὸν 11
Σαμαΐα υἱὸς Ἀσὰ ὁ Ἀρουχαῖος. καὶ συνήχθησαν οἱ ἀλλόφυλοι
εἰς Θηρία, καὶ ἦν ἐκεῖ μερὶς τοῦ ἀγροῦ πλήρης φακοῦ, καὶ ὁ
λαὸς ἔφυγεν ἐκ προσώπου ἀλλοφύλων· καὶ ἐστηλώθη ἐν μέσῳ 12
τῆς μερίδος καὶ ἐξείλατο αὐτὴν καὶ ἐπάταξε τοὺς ἀλλοφύλους,
καὶ ἐποίησε Κύριος σωτηρίαν μεγάλην. καὶ κατέβησαν τρεῖς ἀ- 13
πὸ τῶν τριάκοντα καὶ ἦλθαν εἰς Κασὼν πρὸς Δαυΐδ εἰς τὸ
σπήλαιον Ὀδολλάμ, καὶ τάγμα τῶν ἀλλοφύλων παρενέβαλον
ἐν τῇ κοιλάδι Ῥαφαΐμ· καὶ Δαυΐδ τότε ἐν τῇ περιοχῇ, καὶ τὸ ὑ- 14
πόστημα τῶν ἀλλοφύλων τότε ἐν Βηθλεέμ. καὶ ἐπεθύμησε 15

Δαυΐδ καὶ εἶπε· Τίς ποτιεῖ με ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν Βη-
θλεὲμ τοῦ ἐν τῇ πύλῃ; τὸ δὲ σύστημα τῶν ἀλλοφύλων τότε ἐν
Βηθλεέμ. καὶ διέρρηξαν οἱ τρεῖς δυνατοὶ ἐν τῇ παρεμβολῇ τῶν 16
ἀλλοφύλων καὶ ὑδρεύσαντο ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν Βη-
θλεὲμ τοῦ ἐν τῇ πύλῃ καὶ ἔλαβαν καὶ παρεγένοντο πρὸς Δαυΐδ,
καὶ οὐκ ἠθέλησε πιεῖν αὐτὸ καὶ ἔσπεισεν αὐτὸ τῷ Κυρίῳ καὶ
εἶπεν· Ἵλεώς μοι, Κύριε, τοῦ ποιῆσαι τοῦτο, εἰ αἷμα τῶν ἀν- 17
δρῶν τῶν πορευθέντων ἐν ταῖς ψυχαῖς αὐτῶν πίομαι· καὶ οὐκ
ἠθέλησε πιεῖν αὐτό. ταῦτα ἐποίησαν οἱ τρεῖς δυνατοί. καὶ Ἀ- 18
βεσσὰ ὁ ἀδελφὸς Ἰωὰβ υἱὸς Σαρουΐας αὐτὸς ἄρχων ἐν τοῖς
τρισί. καὶ αὐτὸς ἐξήγειρε τὸ δόρυ αὐτοῦ ἐπὶ τριακοσίους τραυ-
ματίας, καὶ αὐτῷ ὄνομα ἐν τοῖς τρισίν· ἐκ τῶν υἱῶν ἐκείνων
ἔνδοξος, καὶ ἐγένετο αὐτοῖς εἰς ἄρχοντα, καὶ ἕως τῶν τριῶν 19
οὐκ ἦλθε. καὶ Βαναΐας υἱὸς Ἰωδαὲ ἀνὴρ αὐτὸς πολλοστὸς ἔρ- 20
γοις ἀπὸ Καβεσεήλ, καὶ αὐτὸς ἐπάταξε τοὺς δύο υἱοὺς Ἀριὴλ
τοῦ Μωάβ· καὶ αὐτὸς κατέβη καὶ ἐπάταξε τὸν λέοντα ἐν μέσῳ
τοῦ λάκκου ἐν τῇ ἡμέρᾳ τῆς χιόνος· αὐτὸς ἐπάταξε τὸν ἄνδρα 21
τὸν Αἰγύπτιον, ἄνδρα ὁρατόν, ἐν δὲ τῇ χειρὶ τοῦ Αἰγυπτίου δό-
ρυ ὡς ξύλον διαβάθρας, καὶ κατέβη πρὸς αὐτὸν ἐν ῥάβδῳ καὶ
ἥρπασε τὸ δόρυ ἐκ τῆς χειρὸς τοῦ Αἰγυπτίου καὶ ἀπέκτεινεν
αὐτὸν ἐν τῷ δόρατι αὐτοῦ. ταῦτα ἐποίησε Βαναΐας υἱὸς Ἰω- 22
δαέ, καὶ αὐτῷ ὄνομα ἐν τοῖς τρισὶ τοῖς δυνατοῖς· ἐκ τῶν τριῶν 23
ἔνδοξος, καὶ πρὸς τοὺς τρεῖς οὐκ ἦλθε· καὶ ἔταξεν αὐτὸν Δαυ-
ΐδ πρὸς τὰς ἀκοὰς αὐτοῦ. καὶ ταῦτα τὰ ὀνόματα τῶν δυνατῶν
Δαυΐδ τοῦ βασιλέως· Ἀσαὴλ ἀδελφὸς Ἰωὰβ (οὗτος ἐν τοῖς 24
τριάκοντα), Ἐλεανὰν υἱὸς Δουδὶ πατραδέλφου αὐτοῦ ἐν Βηθλε- 25
έμ. Σαμαΐ ὁ Ἀρουδαῖος, Ἐλικὰ ὁ Ἀρωδαῖος, Σελλὴς ὁ Κελωθί, 26
Ἴρας υἱὸς Ἐκκὰς ὁ Θεκωΐτης, Ἀβιέζερ ὁ Ἀναθωθίτης ἐκ τῶν 27
υἱῶν τοῦ Ἀσωθίτου, Ἐλλὼν ὁ Ἀωΐτης, Μοορὲ ὁ Νετωφαθί- 28
της, Ἐθθὶ υἱὸς Ῥιβὰ ἐκ Γαβαὲθ υἱὸς Βενιαμίν, Βαναΐας ὁ Φαρα- 29
θωνίτης, Οὐρὶ ἐκ Ναχαλιγαίας, Ἀβιὴλ υἱὸς τοῦ Ἀραβωθίτου, 30
Ἀζμὼθ ὁ Βαρσαμίτης, Ἐλιασοὺ ὁ Σαλαβωνίτης, υἱοὶ Ἰαβάν, 31
Ἰωνάθαν, Σαμνὰν ὁ Ἀρωδίτης, Ἀχιὰν υἱὸς Ἀραΐ Σαραουρίτης, 32
Ἀλιφαλὲθ υἱὸς τοῦ Ἀσβίτου, υἱὸς τοῦ Μααχαθί, Ἐλιὰβ υἱὸς Ἀ- 33
χιτόφελ τοῦ Γελωνίτου, Ἀσαραΐ ὁ Καρμήλιος, Φαραΐ ὁ Ἐρχί, 34
Γάαλ υἱὸς Νάθαν ἀπὸ δυνάμεως, υἱὸς Γαλααδεί, Ἐλιὲ ὁ Ἀμμα- 35
νίτης, Γελωραΐ ὁ Βηρωθαῖος αἴρων τὰ σκεύη Ἰωὰβ υἱοῦ Σα- 36
ρουΐας, Ἰρὰς ὁ Ἰεθιραῖος, Γαρὴβ ὁ Ἐθθεναῖος, Οὐρίας ὁ Χετ- 37
ταῖος· οἱ πάντες τριάκοντα καὶ ἑπτά. *(βλ. Πα 4· 9)* 38 39

<6. Ἀπογραφὴ Δαυΐδ>

Καὶ προσέθετο ὀργὴν Κύριος ἐκκαῆναι ἐν Ἰσραήλ, καὶ ἐ- **24**
πέσεισε τὸν Δαυΐδ ἐν αὐτοῖς λέγων· Βάδιζε, ἀρίθμησον τὸν Ἰσ-
ραὴλ καὶ τὸν Ἰούδαν. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἰωὰβ ἄρχο- 2

ντα τῆς ἰσχύος τὸν μετ᾽ αὐτοῦ· Δίελθε δὴ πάσας φυλὰς Ἰσ-
ραὴλ καὶ Ἰούδα, ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ καὶ ἐπίσκεψαι τὸν
λαόν, καὶ γνώσομαι τὸν ἀριθμὸν τοῦ λαοῦ. καὶ εἶπεν Ἰωὰβ 3
πρὸς τὸν βασιλέα· Καὶ προσθείη Κύριος ὁ θεὸς πρὸς τὸν λαὸν
ὥσπερ αὐτοὺς καὶ ὥσπερ αὐτοὺς ἑκατονταπλασίονα, καὶ ὀ-
φθαλμοὶ τοῦ κυρίου μου τοῦ βασιλέως ὁρῶντες· καὶ ὁ κύριός
μου ὁ βασιλεὺς ἱνατί βούλεται ἐν τῷ λόγῳ τούτῳ; καὶ ὑπερί- 4
σχυσεν ὁ λόγος τοῦ βασιλέως πρὸς Ἰωὰβ καὶ εἰς τοὺς ἄρχο-
ντας τῆς δυνάμεως. καὶ ἐξῆλθεν Ἰωὰβ καὶ οἱ ἄρχοντες τῆς ἰ-
σχύος ἐνώπιον τοῦ βασιλέως ἐπισκέψασθαι τὸν λαὸν τὸν Ἰσ- 5
ραήλ. καὶ διέβησαν τὸν Ἰορδάνην καὶ παρενέβαλον ἐν Ἀροὴρ
ἐκ δεξιῶν τῆς πόλεως τῆς ἐν μέσῳ τῆς φάραγγος Γὰδ καὶ Ἐ- 6
λιέζερ. καὶ ἦλθον εἰς Γαλαὰδ καὶ εἰς γῆν Θαβασών, ἥ ἐστιν Ἀ-
δασαΐ, καὶ παρεγένοντο εἰς Δανιδὰν καὶ Οὐδὰν καὶ ἐκύκλω-
σαν εἰς Σιδῶνα. καὶ ἦλθον εἰς Μάψαρ Τύρου καὶ εἰς πάσας τὰς 7
πόλεις τοῦ Εὐαίου καὶ τοῦ Χαναναίου καὶ ἦλθαν κατὰ Νότον
Ἰούδα εἰς Βηρσαβεὲ καὶ περιώδευσαν ἐν πάσῃ τῇ γῇ καὶ παρε- 8
γένοντο ἀπὸ τέλους ἐννέα μηνῶν καὶ εἴκοσιν ἡμερῶν εἰς Ἰε-
ρουσαλήμ. καὶ ἔδωκεν Ἰωὰβ τὸν ἀριθμὸν τῆς ἐπισκέψεως τοῦ 9
λαοῦ πρὸς τὸν βασιλέα, καὶ ἐγένετο Ἰσραὴλ ὀκτακόσιαι χιλιά-
δες ἀνδρῶν δυνάμεως σπωμένων ῥομφαίαν καὶ ἀνὴρ Ἰούδα
πεντακόσιαι χιλιάδες ἀνδρῶν μαχητῶν. καὶ ἐπάταξε καρδία 10
Δαυΐδ αὐτὸν μετὰ τὸ ἀριθμῆσαι τὸν λαόν, καὶ εἶπε Δαυΐδ πρὸς
Κύριον· Ἥμαρτον σφόδρα, ὃ ἐποίησα νῦν, Κύριε· παραβίβα-
σον δὴ τὴν ἀνομίαν τοῦ δούλου σου, ὅτι ἐμωράνθην σφόδρα.
καὶ ἀνέστη Δαυΐδ τὸ πρωΐ. καὶ λόγος Κυρίου ἐγένετο πρὸς 11
Γὰδ τὸν προφήτην τὸν ὁρῶντα λέγων· Πορεύθητι καὶ λάλησον 12
πρὸς Δαυΐδ λέγων· Τάδε λέγει Κύριος· Τρία ἐγώ εἰμι αἴρω ἐπὶ
σέ, καὶ ἔκλεξαι σεαυτῷ ἓν ἐξ αὐτῶν καὶ ποιήσω σοι. καὶ εἰσῆλ- 13
θε Γὰδ πρὸς Δαυΐδ καὶ ἀνήγγειλε καὶ εἶπεν αὐτῷ· Ἔκλεξαι σε-
αυτῷ γενέσθαι, εἰ ἔλθῃ σοι τρία ἔτη λιμὸς ἐν τῇ γῇ σου, ἢ
τρεῖς μῆνας φεύγειν σε ἔμπροσθεν τῶν ἐχθρῶν σου καὶ ἔσο-
νται διώκοντές σε, ἢ γενέσθαι τρεῖς ἡμέρας θάνατον ἐν τῇ γῇ
σου· νῦν οὖν γνῶθι καὶ ἴδε τί ἀποκριθῶ τῷ ἀποστείλαντί με
ῥῆμα. καὶ εἶπε Δαυΐδ πρὸς Γάδ· Στενά μοι πάντοθεν σφόδρα ἐ- 14
στίν· ἐμπεσοῦμαι δὴ εἰς χεῖρας Κυρίου, ὅτι πολλοὶ οἱ οἰκτιρμοὶ
αὐτοῦ σφόδρα, εἰς δὲ χεῖρας ἀνθρώπου οὐ μὴ ἐμπέσω· καὶ ἐ-
ξελέξατο ἑαυτῷ Δαυΐδ τὸν θάνατον. καὶ ἡμέραι θερισμοῦ πυ- 15
ρῶν, καὶ ἔδωκε Κύριος θάνατον ἐν Ἰσραὴλ ἀπὸ πρωΐθεν ἕως
ὥρας ἀρίστου, καὶ ἤρξατο ἡ θραῦσις ἐν τῷ λαῷ, καὶ ἀπέθανεν
ἐκ τοῦ λαοῦ ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ ἑβδομήκοντα χιλιάδες 16
ἀνδρῶν. καὶ ἐξέτεινεν ὁ ἄγγελος τοῦ θεοῦ τὴν χεῖρα αὐτοῦ εἰς
Ἰερουσαλὴμ τοῦ διαφθεῖραι αὐτήν, καὶ παρεκλήθη Κύριος ἐπὶ
τῇ κακίᾳ καὶ εἶπε τῷ ἀγγέλῳ τῷ διαφθείροντι ἐν τῷ λαῷ· Πο-
λὺ νῦν, ἄνες τὴν χεῖρά σου· καὶ ὁ ἄγγελος Κυρίου ἦν παρὰ τῇ

ἅλῳ Ὀρνὰ τοῦ Ἰεβουσαίου. καὶ εἶπε Δαυΐδ πρὸς Κύριον ἐν τῷ 17
ἰδεῖν αὐτὸν τὸν ἄγγελον τὸν τύπτοντα ἐν τῷ λαῷ καὶ εἶπεν· Ἰ-
δοὺ ἐγώ εἰμι ἠδίκησα καὶ ἐγώ εἰμι ὁ ποιμὴν ἐκακοποίησα, καὶ
οὗτοι τὰ πρόβατα τί ἐποίησαν; γενέσθω δὴ ἡ χείρ σου ἐν ἐμοὶ
καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου. καὶ ἦλθε Γὰδ πρὸς Δαυΐδ ἐν 18
τῇ ἡμέρᾳ ἐκείνῃ καὶ εἶπεν αὐτῷ· Ἀνάβηθι καὶ στῆσον τῷ Κυ-
ρίῳ θυσιαστήριον ἐν τῷ ἅλωνι Ὀρνὰ τοῦ Ἰεβουσαίου. καὶ ἀνέ- 19
βη Δαυΐδ κατὰ τὸν λόγον Γάδ, καθ' ὃν τρόπον ἐνετείλατο αὐ-
τῷ Κύριος. καὶ διέκυψεν Ὀρνὰ καὶ εἶδε τὸν βασιλέα καὶ τοὺς 20
παῖδας αὐτοῦ παραπορευομένους ἐπάνω αὐτοῦ, καὶ ἐξῆλθεν
Ὀρνὰ καὶ προσεκύνησε τῷ βασιλεῖ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ
τὴν γῆν. καὶ εἶπεν Ὀρνά· Τί ὅτι ἦλθεν ὁ κύριός μου ὁ βασι- 21
λεὺς πρὸς τὸν δοῦλον αὐτοῦ; καὶ εἶπε Δαυΐδ· Κτήσασθαι παρὰ
σοῦ τὸν ἅλωνα τοῦ οἰκοδομῆσαι θυσιαστήριον τῷ Κυρίῳ, καὶ
συσχεθῇ ἡ θραῦσις ἐπάνω τοῦ λαοῦ. καὶ εἶπεν Ὀρνὰ πρὸς 22
Δαυΐδ· Λαβέτω καὶ ἀνενεγκάτω ὁ κύριός μου ὁ βασιλεὺς τῷ
Κυρίῳ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ· ἰδοὺ οἱ βόες εἰς ὁλο-
καύτωμα, καὶ οἱ τροχοὶ καὶ τὰ σκεύη τῶν βοῶν εἰς ξύλα. τὰ 23
πάντα ἔδωκεν Ὀρνὰ τῷ βασιλεῖ, καὶ εἶπεν Ὀρνὰ πρὸς τὸν βα-
σιλέα· Κύριος ὁ θεός σου εὐλογήσαι σε. καὶ εἶπεν ὁ βασιλεὺς 24
πρὸς Ὀρνά· Οὐχί, ὅτι ἀλλὰ κτώμενος κτήσομαι παρὰ σοῦ ἐν
ἀνταλλάγματι, καὶ οὐκ ἀνοίσω τῷ Κυρίῳ μου θεῷ ὁλοκαύτω-
μα δωρεάν· καὶ ἐκτήσατο Δαυΐδ τὸν ἅλωνα καὶ τοὺς βόας ἐν
ἀργυρίῳ σίκλων πεντήκοντα. καὶ ᾠκοδόμησεν ἐκεῖ Δαυΐδ θυ-
σιαστήριον Κυρίῳ. καὶ ἀνήνεγκεν ὁλοκαυτώσεις καὶ εἰρηνι-
κάς. καὶ προσέθηκε Σαλωμὼν ἐπὶ τὸ θυσιαστήριον ἐπ' ἐσχά- 25
τῳ, ὅτι μικρὸν ἦν ἐν πρώτοις. καὶ ἐπήκουσε Κύριος τῇ γῇ, καὶ
συνεσχέθη ἡ θραῦσις ἐπάνωθεν Ἰσραήλ. *(βλ. Πα 10-11).*

<7. Γεροντόγαμος Δαυΐδ>

Καὶ ὁ βασιλεὺς Δαυὶδ πρεσβύτερος προβεβηκὼς ἡμέραις, 1 **1**
καὶ περιέβαλλον αὐτὸν ἱματίοις, καὶ οὐκ ἐθερμαίνετο. καὶ εἶ- 2 Γ Βα
πον οἱ παῖδες αὐτοῦ· Ζητησάτωσαν τῷ βασιλεῖ παρθένον νεά-
νιδα, καὶ παραστήσεται τῷ βασιλεῖ καὶ ἔσται αὐτὸν θάλπουσα
καὶ κοιμηθήσεται μετ' αὐτοῦ καὶ θερμανθήσεται ὁ κύριός μου ὁ
βασιλεύς. καὶ ἐζήτησαν νεάνιδα καλὴν ἐκ παντὸς ὁρίου Ἰσ- 3
ραὴλ καὶ εὗρον τὴν Ἀβισὰγ τὴν Σωμανῖτιν καὶ ἤνεγκαν αὐτὴν
πρὸς τὸν βασιλέα. καὶ ἡ νεᾶνις καλὴ ἕως σφόδρα· καὶ ἦν 4
θάλπουσα τὸν βασιλέα καὶ ἐλειτούργει αὐτῷ, καὶ ὁ βασιλεὺς
οὐκ ἔγνω αὐτήν. *(Πρβλ. Δδ 109· Βα 1). (τέλος τοῦ ἀνθολογίου).*

1126 ἐν ὅλῃ καρδίᾳ αὐτῶν [λέγων] οὐκ ἐξολοθρευθήσεταί σοι ἀνήρ 4 **2**

ΣΧΟΛΙΑ ΕΙΣ ΒΑΣΙΛΕΙΣ

1 1 [Καὶ] Σαλωμὼν ἐκάθισεν ἐπὶ θρόνου Δαυΐδ 12 **2** Γ΄Βα

3 10 ...τὸν Ἀβενὴρ [υἱὸν Νὴρ] ἀρχιστράτηγον 32

14+ Καὶ ἔδωκε Κύριος φρόνησιν τῷ Σαλωμὼν καὶ σοφίαν πολ- 35α
λὴν σφόδρα καὶ πλάτος καρδίας, ὡς ἡ ἄμμος ἡ παρὰ τὴν θά-
λασσαν. καὶ ἐπληθύνθη ἡ φρόνησις Σαλωμὼν σφόδρα ὑπὲρ 35β
τὴν φρόνησιν πάντων υἱῶν ἀρχαίων καὶ ὑπὲρ πάντας φρονί-
μους Αἰγύπτου. καὶ ἔλαβε τὴν θυγατέρα φαραὼ καὶ εἰσήγαγεν 35γ
αὐτὴν εἰς πόλιν Δαυΐδ ἕως συντελέσαι αὐτὸν οἰκοδομῆσαι τὸν
οἶκον αὐτοῦ. καὶ τὸν οἶκον Κυρίου ἐν πρώτοις καὶ τὸ τεῖχος
Ἰερουσαλὴμ κυκλόθεν· ἐν ἑπτὰ ἔτεσιν ἐποίησε καὶ συνετέλεσε.
καὶ ἦν τῷ Σαλωμὼν ἑβδομήκοντα χιλιάδες αἴροντες ἄρσιν καὶ 35δ
ὀγδοήκοντα χιλιάδες λατόμων ἐν τῷ ὄρει. καὶ ἐποίησε Σαλω- 35ε
μὼν τὴν θάλασσαν καὶ τὰ ὑποστηρίγματα καὶ τοὺς λουτῆρας
τοὺς μεγάλους καὶ τοὺς στύλους καὶ τὴν κρήνην τῆς αὐλῆς
καὶ τὴν θάλασσαν τὴν χαλκῆν. καὶ ᾠκοδόμησε τὴν ἄκραν καὶ 35ζ
τὰς ἐπάλξεις αὐτῆς καὶ διέκοψε τὴν πόλιν Δαυΐδ· οὕτως θυγά-
τηρ φαραὼ ἀνέβαινεν ἐκ τῆς πόλεως Δαυΐδ εἰς τὸν οἶκον αὐ-
τῆς, ὃν ᾠκοδόμησεν αὐτῇ· τότε ᾠκοδόμησε τὴν ἄκραν. καὶ Σα- 35η
λωμὼν ἀνέφερε τρεῖς ἐν τῷ ἐνιαυτῷ ὁλοκαυτώσεις καὶ εἰρηνι-
κὰς ἐπὶ τὸ θυσιαστήριον, ὃ ᾠκοδόμησε τῷ Κυρίῳ, καὶ ἐθυμία
ἐνώπιον Κυρίου, καὶ συνετέλεσε τὸν οἶκον. καὶ οὗτοι οἱ ἄρχο- 35θ
ντες οἱ καθεσταμένοι ἐπὶ τὰ ἔργα τοῦ Σαλωμών· τρεῖς χιλιάδες
καὶ ἑξακόσιοι ἐπιστάται τοῦ λαοῦ τῶν ποιούντων τὰ ἔργα. καὶ 35ι
ᾠκοδόμησε τὴν Ἀσσοὺρ καὶ τὴν Μαγδὼ καὶ τὴν Γαζὲρ καὶ τὴν
Βαιθωρὼν τὴν ἐπάνω καὶ τὰ Βααλάθ· πλὴν μετὰ τὸ οἰκοδομῆ- 35κ
σαι αὐτὸν τὸν οἶκον τοῦ Κυρίου καὶ τὸ τεῖχος Ἰερουσαλὴμ κύ-
κλῳ, μετὰ ταῦτα ᾠκοδόμησε τὰς πόλεις ταύτας. καὶ ἐν τῷ ἔτι 35λ
Δαυΐδ ζῆν ἐνετείλατο τῷ Σαλωμὼν λέγων· Ἰδοὺ μετὰ σοῦ Σε-
μεΐ υἱὸς Γηρὰ υἱὸς τοῦ σπέρματος τοῦ Ἰεμενὶ ἐκ Χεβρών· οὗ- 35μ
τος κατηράσατό με κατάραν ὀδυνηρὰν ἐν ᾗ ἡμέρᾳ ἐπορευόμην
εἰς Παρεμβολάς. καὶ αὐτὸς κατέβαινεν εἰς ἀπαντήν μοι ἐπὶ τὸν 35ν
Ἰορδάνην καὶ ὤμοσα αὐτῷ κατὰ τοῦ Κυρίου λέγων· Εἰ θανα- 35ξ
τωθήσεται ἐν ῥομφαίᾳ· καὶ νῦν μὴ ἀθῳώσῃς αὐτόν, ὅτι ἀνὴρ
φρόνιμος σὺ καὶ γνώσῃ ἃ ποιήσεις αὐτῷ, καὶ κατάξεις τὴν πο-
λιὰν αὐτοῦ ἐν αἵματι εἰς ᾅδου.

4 12+ Καὶ ἦν ὁ βασιλεὺς Σαλωμὼν φρόνιμος σφόδρα, καὶ σο- 46α
φός, καὶ Ἰούδα καὶ Ἰσραὴλ πολλοὶ σφόδρα, ὡς ἡ ἄμμος ἡ ἐπὶ
τῆς θαλάσσης εἰς πλῆθος, ἐσθίοντες καὶ πίνοντες καὶ χαίρο-
ντες. καὶ Σαλωμὼν ἦν ἄρχων ἐν πάσαις ταῖς βασιλείαις, καὶ ἦ- 46β
σαν προσφέροντες δῶρα καὶ ἐδούλευον τῷ Σαλωμὼν πάσας
τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. καὶ Σαλωμὼν ἤρξατο ἀνοίγειν τὰ 46γ

δυναστεύματα τοῦ Λιβάνου, καὶ αὐτὸς ᾠκοδόμησε τὴν Θερμαὶ 46δ
ἐν τῇ ἐρήμῳ. καὶ τοῦτο τὸ ἄριστον τῷ Σαλωμών· τριάκοντα 46ε
κόροι σεμιδάλεως καὶ ἑξήκοντα κόροι ἀλεύρου κεκοπανισμέ-
νου, δέκα μόσχοι ἐκλεκτοὶ καὶ εἴκοσι βόες νομάδες καὶ ἑκατὸν
πρόβατα, ἐκτὸς ἐλάφων καὶ δορκάδων καὶ ὀρνίθων ἐκλεκτῶν
νομάδων· ὅτι ἦν ἄρχων ἐν παντὶ Πέραν τοῦ ποταμοῦ ἀπὸ Ῥα- 46δ
φὶ ἕως Γάζης, ἐν πᾶσι τοῖς βασιλεῦσι πέραν τοῦ ποταμοῦ· καὶ 46η
ἦν αὐτῷ εἰρήνη ἐκ πάντων τῶν μερῶν αὐτοῦ κυκλόθεν, καὶ
κατῴκει Ἰούδα καὶ Ἰσραὴλ πεποιθότες ἕκαστος ὑπὸ τὴν ἄμπε-
λον αὐτοῦ καὶ ὑπὸ τὴν συκῆν αὐτοῦ, ἐσθίοντες καὶ πίνοντες
καὶ ἑορτάζοντες ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ πάσας τὰς ἡμέ-
ρας Σαλωμών. καὶ οὗτοι οἱ ἄρχοντες τοῦ Σαλωμών· Ἀζαρίου 46θ
υἱὸς Σαδὼκ τοῦ ἱερέως καὶ Ὀρνίου υἱὸς Νάθαν ἄρχων τῶν ἐ-
φεστηκότων καὶ Ἐδρὰμ ἐπὶ τὸν οἶκον αὐτοῦ καὶ Σουβὰ γραμ-
ματεὺς καὶ Βασὰ υἱὸς Ἀχιθαλὰμ ἀναμιμνήσκων καὶ Ἀβὶ υἱὸς
Ἰωὰβ ἀρχιστράτηγος καὶ Ἀχιρὲ υἱὸς Ἐδραῖ ἐπὶ τὰς ἄρσεις καὶ
Βαναΐας υἱὸς Ἰωδαὲ ἐπὶ τῆς αὐλαρχίας καὶ ἐπὶ τοῦ πλινθίου
καὶ Ζαχοὺρ υἱὸς Νάθαν ὁ σύμβουλος. καὶ ἦσαν τῷ Σαλωμὼν 46ι
τεσσαράκοντα χιλιάδες τοκάδες ἵπποι εἰς ἅρματα καὶ δώδεκα
χιλιάδες ἵππων. καὶ ἦν ἄρχων ἐν πᾶσι τοῖς βασιλεῦσιν ἀπὸ 46κ
τοῦ ποταμοῦ καὶ ἕως γῆς ἀλλοφύλων καὶ ἕως ὁρίων Αἰγύ-
πτου. καὶ Σαλωμὼν υἱὸς Δαυὶδ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ καὶ 46λ **3**
Ἰούδα ἐν Ἰερουσαλήμ.

Τῆς δὲ βασιλείας ἑδρασθείσης ἐν χειρὶ Σαλωμὼν ἐπιγα- 1
μίαν ἐποιήσατο Σαλωμὼν πρὸς φαραὼ βασιλέα Αἰγύπτου καὶ
ἔλαβε τὴν θυγατέρα φαραὼ καὶ εἰσήγαγεν αὐτὴν εἰς τὴν πόλιν
Δαυὶδ, ἕως οὗ συνετέλεσεν οἰκοδομῶν τὸν οἶκον ἑαυτοῦ καὶ
τὸν οἶκον Κυρίου καὶ τὸ τεῖχος Ἰερουσαλὴμ κύκλῳ. πλὴν ὁ λα-
ὸς ἦσαν θυμιῶντες ἐπὶ τοῖς ὑψηλοῖς, ὅτι οὐκ ᾠκοδομήθη οἶ- 2
κος τῷ Κυρίῳ ἕως τοῦ νῦν.

8 1+ Καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· Βενὼρ ἐν ὄρει Ἐφραΐμ, εἷς· 8 **4**
υἱὸς Δακὰρ ἐν Μαχεμὰς καὶ ἐν Σαλαβὶν καὶ Βαιθσαμὺς καὶ Αἰ- 9
λὼν ἕως Βηθανάν, εἷς· υἱὸς Ἐσδὶ ἐν Ἀραβώθ, αὐτοῦ Σωχὼ 10
καὶ πᾶσα ἡ γῆ Ὀφέρ· Χαναδὰβ καὶ Ἀναφαθέ, ἀνὴρ Ταβλήθ, 11
θυγάτηρ Σαλωμὼν ἦν αὐτῷ εἰς γυναῖκα, εἷς· Βαανὰ υἱὸς Ἀχι- 12
λὶδ Θαανὰχ καὶ Μαγεδδὼ καὶ πᾶς ὁ οἶκος Σὰν ὁ παρὰ Σεσα-
θὰν ὑποκάτω τοῦ Ἐσραὲ καὶ ἐκ Βηθσὰν ἕως Σαβελμαουλά, ἕ-
ως Μαεβὲρ Λουκάμ, εἷς· υἱὸς Γαβὲρ ἐν Ῥεμὰθ Γαλαάδ, τούτῳ 13
σχοίνισμα Ἐρεγαβά, ἣ ἐν τῇ Βασάν, ἑξήκοντα πόλεις μεγάλαι
τειχήρεις καὶ μοχλοὶ χαλκοῖ, εἷς· Ἀχιναδὰβ υἱὸς Σαδδὼ Μαα- 14
ναΐμ, εἷς· Ἀχιμαὰς ἐν Νεφθαλίμ, καὶ οὗτος ἔλαβε τὴν Βασεμ- 15
μὰθ θυγατέρα Σαλωμὼν εἰς γυναῖκα, εἷς· Βαανὰ υἱὸς Χουσὶ ἐν 16
Ἀσὴρ καὶ ἐν Βααλώθ, εἷς· Σαμαὰ υἱὸς Ἠλὰ ἐν τῷ Βενιαμίν· Γα- 17
βὲρ υἱὸς Ἀδαΐ ἐν τῇ γῇ Γάδ, καὶ Σηὼν βασιλέως τοῦ Ἐσεβὼν 18
καὶ Ὤγ βασιλέως τοῦ Βασάν· καὶ νασὶφ εἷς ἐν γῇ Ἰούδα· Ἰωσα- 19

φὰτ υἱὸς Φουασοὺδ ἐν Ἰσσάχαρ. καὶ Ἰούδα καὶ Ἰσραὴλ πολ- 20
λοὶ ὡς ἡ ἄμμος ἡ ἐπὶ τῆς θαλάσσης εἰς πλῆθος ἔσθοντες καὶ
πίνοντες καὶ εὐφραινόμενοι. καὶ Σαλωμὼν ἦν ἐξουσιάζων ἐν 1 **5**
πᾶσι τοῖς βασιλείοις ἀπὸ τοῦ ποταμοῦ γῆς ἀλλοφύλων καὶ ἕως
ὁρίου Αἰγύπτου προσεγγίζοντες δῶρα καὶ δουλεύοντες τῷ
Σαλωμὼν πάσας ἡμέρας ζωῆς αὐτοῦ.

9 7+ Καὶ ἔλαβε Σαλωμὼν τὴν θυγατέρα φαραὼ αὐτῷ εἰς γυναῖ- 14α
κα καὶ εἰσήγαγεν αὐτὴν εἰς τὴν πόλιν Δαυὶδ ἕως συντελέσαι
αὐτὸν τὸν οἶκον Κυρίου καὶ τὸν οἶκον ἑαυτοῦ καὶ τὸ τεῖχος Ἰε-
ρουσαλήμ. τότε ἀνέβη φαραὼ βασιλεὺς Αἰγύπτου καὶ προκα- 14β
τελάβετο τὴν Γαζὲρ καὶ ἐνεπύρισεν αὐτὴν καὶ τὸν Χανανίτην
τὸν κατοικοῦντα ἐν Μεργάβ, καὶ ἔδωκεν αὐτὰς φαραὼ ἀπο-
στολὰς θυγατρὶ αὐτοῦ γυναικὶ Σαλωμών, καὶ Σαλωμὼν ᾠκο-
δόμησε τὴν Γαζέρ.

11 1 [Καὶ ἐγενήθη] Ἐν [τῷ τεσσαρακοστῷ καὶ τετρακοσιοστῷ ἔτει 1 **6**
τῆς ἐξόδου υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου] τῷ ἔτει τῷ τετάρτῳ ἐν
μηνὶ τῷ δευτέρῳ

1+ ...[καὶ ἐνετείλατο ὁ βασιλεὺς ἵνα αἴρωσι λίθους μεγάλους τι- 1α
μίους εἰς τὸν θεμέλιον τοῦ οἴκου, καὶ λίθους ἀπελεκήτους. καὶ 1β
ἐπελέκησαν οἱ υἱοὶ Σαλωμὼν καὶ οἱ υἱοὶ Χιρὰμ καὶ ἔβαλαν αὐ-
τούς. ἐν τῷ ἔτει τῷ τετάρτῳ ἐθεμελίωσε τὸν οἶκον Κυρίου ἐν 1γ
μηνὶ Νισώ, καὶ τῷ δευτέρῳ μηνὶ ἐν ἑνδεκάτῳ ἐνιαυτῷ, ἐν μηνὶ 1δ
Βαάλ (οὗτος ὁ μὴν ὁ ὄγδοος)]

3+ ...[καὶ ᾠκοδόμησε τὸν οἶκον καὶ συνετέλεσεν αὐτόν]... 3

12+ Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Σαλωμὼν λέγων· Ὁ οἶ- 11 12
κος οὗτος, ὃν σὺ οἰκοδομεῖς, ἐὰν ὁδεύῃς τοῖς προστάγμασί
μου καὶ τὰ κρίματά μου ποιῇς καὶ φυλάσσῃς πάσας τὰς ἐντο-
λάς μου ἀναστρέφεσθαι ἐν αὐταῖς, στήσω τὸν λόγον μου, ὃν ἐ-
λάλησα πρὸς Δαυὶδ τὸν πατέρα σου καὶ κατασκηνώσω ἐν μέ- 13
σῳ υἱῶν Ἰσραὴλ καὶ οὐκ ἐγκαταλείψω τὸν λαόν μου Ἰσραήλ. 14
καὶ ᾠκοδόμησε Σαλωμὼν τὸν οἶκον καὶ συνετέλεσεν αὐτόν.

13+ ...ἐκοιλοστάθμησε συνεχόμενα ξύλοις ἔσωθεν [καὶ περιέσχε τὸ 15
ἔσω τοῦ οἴκου ἐν πλευραῖς πευκίναις. καὶ ᾠκοδόμησε τοὺς εἴ- 16
κοσι πήχεις ἀπ' ἄκρου τοῦ τοίχου τὸ πλευρὸν τὸ ἓν ἀπὸ τοῦ ἐ-
δάφους ἕως τῶν δοκῶν,] καὶ ἐποίησεν [ἐκ του δαβὶρ εἰς τὸ ἅ-
γιον τῶν ἁγίων. καὶ τεσσαράκοντα πήχεων ἦν ὁ ναὸς ὁ ἐσώτα- 17
τος καὶ διὰ κέδρου πρὸς τὸν οἶκον ἔσω πλοκὴν ἐπαναστήσεις 18
καὶ πέταλον καὶ ἀνάγλυφα πάντα κέδρινα οὐκ ἐφαίνετο λίθος.]

15 ...κατὰ πρόσωπον τοῦ δαβὶρ ἐν μέσῳ τοῦ οἴκου [ἔσωθεν] 19

16 ...καὶ ἐποίησε θυσιαστήριον [κέδρου καὶ περιεπύλωσε Σαλω- 20 21
μὼν τὸν οἶκον ἔνδοθεν χρυσίῳ ἀποκλειστῷ καὶ παρήγαγεν ἐν
καθηλώμασι χρυσίου.] κατὰ πρόσωπον τοῦ δαβίρ...

18+ ...ἕως συντελείας παντός τοῦ οἴκου [καὶ ὅλον τὸ ἔσω τοῦ δα- 22
βὶρ ἐπετάλωσε χρυσίῳ.]

26+ ...εἰς φλιὰς πενταπλᾶς καὶ [δύο θύρας ξύλων πευκίνων καὶ ἐ- 31
γκολαπτὸν]

12 3 ...τὸ πάχος τοῦ στύλου τεσσάρων δακτύλων [τὰ κοιλώματα] 3 **7**

...[καὶ μέλαθρον ἐπ' ἀμφοτέρων τῶν στύλων, καὶ ἐπάνωθεν 9
τῶν πλευρῶν ἐπίθεμα τὸ μέλαθρον τῷ πάχει.]

27+ ...πάντα τὰ ἔργα, ἃ ἐποίησε τῷ βασιλεῖ Σαλωμὼν ἐν οἴκῳ Κυ-
ρίου. [στύλους δύο καὶ τὰ στρεπτὰ τῶν στύλων ἐπὶ τῶν κεφα- 27
λῶν τῶν στύλων δύο καὶ τὰ δίκτυα δύο τοῦ καλύπτειν ἀμφότε-
ρα τὰ στρεπτὰ τῶν γλυφῶν τὰ ὄντα ἐπὶ τῶν στύλων, καὶ ῥόας 28
τετρακοσίας ἀμφοτέροις τοῖς δικτύοις, δύο στίχοι ῥοῶν τῷ δι-
κτύῳ τῷ ἑνὶ περικαλύπτειν ἀμφότερα τὰ ὄντα τὰ στρεπτὰ τῆς
μεχωνὼθ ἐπ' ἀμφοτέροις τοῖς στύλοις, καὶ τὰ μεχωνὼθ δέκα 29
καὶ τοὺς χυτροκαύλους δέκα ἐπὶ τῶν μεχωνὼθ καὶ τὴν θάλασ- 30
σαν μίαν καὶ τοὺς βόας δώδεκα ὑποκάτω τῆς θαλάσσης καὶ 31
τοὺς λέβητας καὶ τὰς θερμάστρεις καὶ τὰς φιάλας καὶ πάντα τὰ
σκεύη, ἃ ἐποίησε Χιρὰμ τῷ βασιλεῖ Σαλωμὼν τῷ οἴκῳ Κυ-
ρίου· καὶ οἱ στῦλοι τεσσαράκοντα καὶ ὀκτὼ τοῦ οἴκου τοῦ βα-
σιλέως καὶ τοῦ οἴκου Κυρίου.] πάντα τὰ ἔργα τοῦ βασιλέως,

33+ ...τὰς ἐπαρυστρίδας χρυσᾶς [καὶ τὰ πρόθυρα καὶ οἱ ἦλοι καὶ αἱ 36
φιάλαι καὶ τὰ τρυβλία καὶ αἱ θυΐσκαι χρυσαῖ, σύγκλειστα, καὶ
τὰ θυρώματα τῶν θυρῶν τοῦ οἴκου τοῦ ἐσωτάτου, ἁγίου τῶν
ἁγίων, καὶ τὰς θύρας τοῦ ναοῦ χρυσᾶς.] καὶ ἀνεπληρώθη πᾶν 37
τὸ ἔργον, [ὃ ἐποίησε Σαλωμὼν] οἴκου Κυρίου,

13 4 ...καὶ ἐφάτνωσε τὸν οἶκον ἄνωθεν ἐπὶ [τῶν πλευρῶν] τῶν στύλων 40
9+ ...οὗ κρινεῖ ἐκεῖ, [ἀιλὰμ τοῦ κριτηρίου]. 44

14 2 ...ἐκ Πόλεως Δαυΐδ [αὕτη ἐστὶ Σιών] 1 **8**

19 9+ Τότε ἀνήγαγε Σαλωμὼν τὴν θυγατέρα φαραὼ ἐκ πόλεως 9a **9**
Δαυΐδ εἰς οἶκον αὐτοῦ, ὃν ᾠκοδόμησεν ἑαυτῷ ἐν ταῖς ἡμέραις
ἐκείναις.

Εἴκοσιν ἔτη ἐν οἷς ᾠκοδόμησε Σαλωμὼν τοὺς δύο οἴκους, 10
τὸν οἶκον Κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως, Χιρὰμ ὁ βασι- 11
λεὺς Τύρου ἀντελάβετο τοῦ Σαλωμὼν ἐν ξύλοις κεδρίνοις καὶ
ἐν ξύλοις πευκίνοις καὶ ἐν χρυσίῳ καὶ ἐν παντὶ θελήματι αὐ-
τοῦ. τότε ἔδωκεν ὁ βασιλεὺς τῷ Χιρὰμ εἴκοσι πόλεις ἐν τῇ γῇ
τῇ Γαλιλαίᾳ. καὶ ἐξῆλθε Χιρὰμ ἐκ Τύρου καὶ ἐπορεύθη εἰς τὴν 12
Γαλιλαίαν τοῦ ἰδεῖν τὰς πόλεις ἃς ἔδωκεν αὐτῷ Σαλωμών, καὶ
οὐκ ἤρεσαν αὐτῷ· καὶ εἶπε· Τί αἱ πόλεις αὗται, ἃς ἔδωκάς μοι, 13
ἀδελφέ; καὶ ἐκάλεσεν αὐτὰς Ὅριον ἕως τῆς ἡμέρας ταύτης.
καὶ ἤνεγκε Χιρὰμ τῷ Σαλωμὼν ἑκατὸν καὶ εἴκοσι τάλαντα χρυ- 14

σίου καὶ ναῦν ὑπὲρ οὗ ἐποίησεν ὁ βασιλεὺς Σαλωμὼν ἐν Γα- 26
σιὼν Γαβὲρ τὴν οὖσαν ἐχομένην Αἰλὰθ ἐπὶ τοῦ χείλους τῆς Ἐ-
σχάτης Θαλάσσης ἐν γῇ Ἐδώμ. καὶ ἀπέστειλε Χιρὰμ ἐν τῇ νηὶ 27
τῶν παίδων αὐτοῦ ἄνδρας ναυτικοὺς ἐλαύνειν εἰδότας θάλασ-
σαν μετὰ τῶν παίδων Σαλωμών. καὶ ἦλθον εἰς Σωφηρὰ καὶ ἔ- 28
λαβον ἐκεῖθεν χρυσίου ἑκατὸν εἴκοσι τάλαντα καὶ ἤνεγκαν τῷ
βασιλεῖ Σαλωμών.

20 12+ ...βασίλισσα Σαβὰ τῷ βασιλεῖ Σαλωμών. [καὶ ἡ ναῦς Χιρὰμ ἡ 11 **10**
αἴρουσα τὸ χρυσίον ἐκ Σουφὶρ ἤνεγκε ξύλα πελεκητὰ πολλὰ
σφόδρα καὶ λίθον τίμιον· καὶ ἐποίησεν ὁ βασιλεὺς τὰ ξύλα τὰ 12
πελεκητὰ ὑποστηρίγματα τοῦ οἴκου Κυρίου καὶ τοῦ οἴκου τοῦ
βασιλέως καὶ νάβλας καὶ κινύρας τοῖς ᾠδοῖς· οὐκ ἐληλύθει
τοιαῦτα ξύλα ἀπελέκητα ἐπὶ τῆς γῆς, οὐδὲ ὤφθησάν που ἕως
τῆς ἡμέρας ταύτης].

21 13+ Αὕτη ἦν ἡ πραγματεία τῆς προνομῆς, ἧς ἀνήνεγκεν ὁ βα- 22α
σιλεὺς Σαλωμὼν οἰκοδομῆσαι τὸν οἶκον Κυρίου καὶ τὸν οἶκον
τοῦ βασιλέως καὶ τὸ τεῖχος Ἰερουσαλὴμ καὶ τὴν ἄκραν, τοῦ
περιφράξαι τὸν φραγμὸν τῆς πόλεως Δαυῖδ καὶ τὴν Ἀσσοὺρ
καὶ τὴν Μαγδὰλ καὶ τὴν Γαζὲρ καὶ τὴν Βαιθωρὼν τὴν ἀνωτέρω
καὶ τὴν Ἰεθερμὰθ καὶ πάσας τὰς πόλεις τῶν ἁρμάτων καὶ πά-
σας τὰς πόλεις τῶν ἱππέων καὶ τὴν πραγματείαν Σαλωμών, ἣν
ἐπραγματεύσατο οἰκοδομῆσαι ἐν Ἰερουσαλὴμ καὶ ἐν πάσῃ τῇ
γῇ, τοῦ μὴ κατάρξαι αὐτοῦ. πάντα τὸν λαὸν τὸν ὑπολελειμμέ- 22β
νον ὑπὸ τοῦ Χετταίου καὶ τοῦ Ἀμορραίου καὶ τοῦ Φερεζαίου
καὶ τοῦ Χαναναίου καὶ τοῦ Εὐαίου καὶ τοῦ Ἰεβουσαίου καὶ τοῦ
Γεργεσαίου, τῶν μὴ ἐκ τῶν υἱῶν Ἰσραὴλ ὄντων, τὰ τέκνα αὐ-
τῶν τὰ ὑπολελειμμένα μετ' αὐτοῦ ἐν τῇ γῇ, οὓς οὐκ ἐδύναντο
οἱ υἱοὶ Ἰσραὴλ ἐξολοθρεῦσαι αὐτούς, καὶ ἀνήγαγεν αὐτοὺς Σα-
λωμὼν εἰς φόρον ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐκ τῶν υἱῶν Ἰσ- 22γ
ραὴλ οὐκ ἔδωκε Σαλωμὼν πρᾶγμα, ὅτι αὐτοὶ ἦσαν ἄνδρες οἱ
πολεμισταὶ καὶ παῖδες αὐτοῦ καὶ ἄρχοντες καὶ τρισσοὶ αὐτοῦ
καὶ ἄρχοντες τῶν ἁρμάτων αὐτοῦ καὶ ἱππεῖς αὐτοῦ.

22 5+ ...μετὰ τοῦ βασιλέως ἐν Ἰερουσαλήμ. [καὶ ἦν ἡγούμενος πά- 26α
ντων τῶν βασιλέων ἀπὸ τοῦ ποταμοῦ καὶ ἕως γῆς ἀλλοφύλων
καὶ ἕως ὁρίων Αἰγύπτου.]

23 5+ Καὶ ἦσαν αὐτῷ γυναῖκες ἄρχουσαι ἑπτακόσιαι καὶ παλλα- 3 **11**
καὶ τριακόσιαι καὶ ἐξέκλιναν γυναῖκες αὐτοῦ τὴν καρδίαν αὐτοῦ.

24 2 Καὶ ἤγειρε Κύριος σατὰν τῷ Σαλωμὼν τὸν [Ἄδερ τὸν Ἰ- 14
δουμαῖον καὶ τὸν Ἐσρὼμ υἱὸν Ἐλιαδαέ, τὸν ἐν Ῥαεμμὰθ] Ἀ-
δραάζὰρ βασιλέα Σουβὰ [κύριον αὐτοῦ·]

17+ Καὶ ἤγειρε Κύριος σατὰν τῷ Σαλωμὼν τὸν Ῥαζὼν υἱὸν Ἐ- 23
λιαδαὲ τὸν Βαραμεὲθ Ἀδαδεζὲρ βασιλέα Σουβὰ κύριον αὐτοῦ.

καὶ συνηθροίσθησαν ἐπ' αὐτὸν ἄνδρες καὶ ἦν ἄρχων συστρέμ- 24
ματος ἐν τῷ ἀποκτείνειν Δαυῖδ αὐτούς, καὶ ἐπορεύθησαν εἰς
Δαμασκὸν καὶ ἐκάθισαν ἐν αὐτῷ καὶ ἐβασίλευσεν ἐν Δαμασκῷ
καὶ ἐγένετο ἀντικείμενος τῷ Ἰσραὴλ πάσας τὰς ἡμέρας Σαλω- 25
μών.

26 4 ...ὡς ἤκουσεν Ἰεροβοὰμ υἱὸς Ναβάτ, [καὶ αὐτοῦ ἔτι ὄντος ἐν 43
Αἰγύπτῳ ὡς ἔφυγεν ἐκ προσώπου Σαλωμὼν καὶ ἐκάθητο ἐν
Αἰγύπτῳ]

27 1+ Καὶ ἐγένετο ὡς ἤκουσεν Ἰεροβοὰμ υἱὸς Ναβὰτ καὶ αὐτοῦ 2 **12**
ἔτι ὄντος ἐν Αἰγύπτῳ, καὶ ἔφυγεν ἐκ προσώπου τοῦ βασιλέως
Σαλωμὼν καὶ ἐπέστρεψεν Ἰεροβοὰμ ἐξ Αἰγύπτου, καὶ ἀπέστει- 3
λαν καὶ ἐκάλεσαν αὐτὸν καὶ ἦλθεν Ἰεροβοὰμ καὶ πᾶσα ἡ ἐκ-
κλησία Ἰσραήλ.

7 ...τοῖς λέγουσι πρός με [λεγόντων]...

28 8+ Καὶ ὁ βασιλεὺς Σαλωμὼν κοιμᾶται μετὰ τῶν πατέρων αὐ- 24α
τοῦ καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ ἐν Πόλει Δαυῖδ. καὶ
ἐβασίλευσε Ῥοβοὰμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ ἐν Ἰερουσαλὴμ υἱ-
ὸς ὢν ἐκκαίδεκα ἐτῶν ἐν τῷ βασιλεύειν αὐτόν, καὶ δώδεκα ἔ-
τη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ
Ναανάν, θυγάτηρ Ἀνὰν υἱοῦ Ναὰς βασιλέως υἱῶν Ἀμμών·
καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ οὐκ ἐπορεύθη ἐν
ὁδῷ Δαυῖδ τοῦ πατρὸς αὐτοῦ. καὶ ἦν ἄνθρωπος ἐξ ὄρους Ἐ- 24β
φραΐμ δοῦλος τῷ Σαλωμών, καὶ ὄνομα αὐτῷ Ἰεροβοάμ, καὶ ὄ-
νομα τῆς μητρὸς αὐτοῦ Σαριρά, γυνὴ πόρνη· καὶ ἔδωκεν αὐ-
τὸν Σαλωμὼν εἰς ἄρχοντα σκυτάλης ἐπὶ ἄρσεις οἴκου Ἰωσήφ,
καὶ ᾠκοδόμησε τῷ Σαλωμὼν τὴν Σαριρὰ τὴν ἐν ὄρει Ἐφραΐμ,
καὶ ἦσαν αὐτῷ τριακόσια ἅρματα ἵππων· οὗτος ᾠκοδόμησε
τὴν ἄκραν ἐν ταῖς ἄρσεσιν οἴκου Ἐφραΐμ, οὗτος συνέκλεισε
τὴν Πόλιν Δαυῖδ καὶ ἦν ἐπαιρόμενος ἐπὶ τὴν βασιλείαν. καὶ ἐ- 24γ
ζήτει Σαλωμὼν θανατῶσαι αὐτόν, καὶ ἐφοβήθη καὶ ἀπέδρα αὐ-
τὸς πρὸς Σουσακὶμ βασιλέα Αἰγύπτου καὶ ἦν μετ' αὐτοῦ ἕως
ἀπέθανε Σαλωμών. καὶ ἤκουσεν Ἰεροβοὰμ ἐν Αἰγύπτῳ ὅτι τέ- 24δ
θνηκε Σαλωμών, καὶ ἐλάλησεν εἰς τὰ ὦτα Σουσακὶμ βασιλέως
Αἰγύπτου λέγων· Ἐξαπόστειλόν με καὶ ἀπελεύσομαι ἐγὼ εἰς
τὴν γῆν μου. καὶ εἶπεν αὐτῷ Σουσακίμ· Αἴτησαί τι αἴτημα καὶ
δώσω σοι. καὶ Σουσακὶμ ἔδωκε τῷ Ἰεροβοὰμ τὴν Ἀνώ, ἀδελ- 24ε
φὴν Θεκεμίνας τὴν πρεσβυτέραν τῆς γυναικὸς αὐτοῦ αὐτῷ εἰς
γυναῖκα· αὕτη ἦν μεγάλη ἐν μέσῳ τῶν θυγατέρων τοῦ βασιλέ-
ως καὶ ἔτεκε τῷ Ἰεροβοὰμ τὸν Ἀβιὰ υἱὸν αὐτοῦ. καὶ εἶπεν Ἰε- 24ζ
ροβοὰμ πρὸς Σουσακίμ· ὄντως ἐξαπόστειλόν με καὶ ἀπελεύσο-
μαι. καὶ ἐξῆλθεν Ἰεροβοὰμ ἐξ Αἰγύπτου καὶ ἦλθεν εἰς γῆν Σαρι-
ρὰ τὴν ἐν ὄρει Ἐφραΐμ· καὶ συνάγεται ἐκεῖ πᾶν σκῆπτρον Ἐ-
φραΐμ· καὶ ᾠκοδόμησεν ἐκεῖ Ἰεροβοὰμ χάρακα.

32 2+ ...εἰ ζήσεται ἐκ τῆς ἀρρωστίας αὐτοῦ. [καὶ ἄνθρωπος ἦν ἐν Ση- 24θ
λὼμ καὶ ὄνομα αὐτῷ Ἀχιά, καὶ οὗτος ἦν υἱὸς ἑξήκοντα ἐτῶν,
καὶ ῥῆμα Κυρίου μετ' αὐτοῦ. καὶ εἶπεν Ἱεροβοὰμ πρὸς τὴν γυ-
ναῖκα αὐτοῦ· Ἀνάστηθι καὶ] λάβε εἰς τὴν χεῖρά σου τῷ ἀνθρώ-
πῳ τοῦ θεοῦ ἄρτους

12+ Καὶ ἐπορεύθη Ἱεροβοὰμ εἰς Σίκιμα τὴν ἐν ὄρει Ἐφραὶμ καὶ 24ξ
συνήθροισεν ἐκεῖ τὰς φυλὰς τοῦ Ἰσραήλ, καὶ ἀνέβη ἐκεῖ Ῥο-
βοὰμ υἱὸς Σαλωμών. καὶ λόγος Κυρίου ἐγένετο πρὸς Σαμαΐαν
τὸν Ἐλαμὶ λέγων· Λάβε σεαυτῷ ἱμάτιον καινὸν τὸ οὐκ εἰσελη-
λυθὸς εἰς ὕδωρ καὶ ῥῆξον αὐτὸ δώδεκα ῥήγματα καὶ δώσεις
τῷ Ἱεροβοὰμ καὶ ἐρεῖς αὐτῷ· Τάδε λέγει Κύριος· Λάβε σεαυτῷ
δέκα ῥήγματα τοῦ περιβαλέσθαι σε. καὶ ἔλαβεν Ἱεροβοάμ· καὶ
εἶπε Σαμαΐας· Τάδε λέγει Κύριος ἐπὶ τὰς δέκα φυλὰς τοῦ Ἰσ-
ραήλ.

Καὶ εἶπεν ὁ λαὸς πρὸς Ῥοβοὰμ υἱὸν Σαλωμών· Ὁ πατήρ 24ο
σου ἐβάρυνε τὸν κλοιὸν αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐβάρυνε τὰ βρώ-
ματα τῆς τραπέζης αὐτοῦ· καὶ νῦν εἰ κουφιεῖς ἐφ' ἡμᾶς καὶ
δουλεύσομέν σοι. καὶ εἶπε Ῥοβοὰμ πρὸς τὸν λαόν· Ἔτι τριῶν
ἡμερῶν καὶ ἀποκριθήσομαι ὑμῖν ῥῆμα. καὶ εἶπε Ῥοβοάμ· εἰσα- 24π
γάγετέ μοι τοὺς πρεσβυτέρους καὶ συμβουλεύσομαι μετ' αὐ-
τῶν τί ἀποκριθῶ τῷ λαῷ ῥῆμα ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ ἐλάλη-
σε Ῥοβοὰμ εἰς τὰ ὦτα αὐτῶν καθὼς ἀπέστειλεν ὁ λαὸς πρὸς
αὐτὸν καὶ εἶπον οἱ πρεσβύτεροι τοῦ λαοῦ· Οὕτως ἐλάλησε
πρός σε ὁ λαός. καὶ διεσκέδασε Ῥοβοὰμ τὴν βουλὴν αὐτῶν, 24ρ
καὶ οὐκ ἤρεσεν ἐνώπιον αὐτοῦ· καὶ ἀπέστειλε καὶ εἰσήγαγε
τοὺς συντρόφους αὐτοῦ καὶ ἐλάλησεν αὐτοῖς· Ταῦτα καὶ ταῦτα
ἀπέσταλκεν ὁ λαὸς πρός με λέγων. καὶ εἶπαν οἱ σύντροφοι αὐ-
τοῦ· Οὕτως λαλήσεις πρὸς τὸν λαὸν λέγων· Ἡ μικρότης μου
παχυτέρα ὑπὲρ τὴν ὀσφὺν τοῦ πατρός μου· ὁ πατήρ μου ἐμα-
στίγου ὑμᾶς μάστιξιν. ἐγὼ δὲ κατάρξω ὑμᾶς ἐν σκορπίοις, καὶ 24σ
ἤρεσε τὸ ῥῆμα ἐνώπιον Ῥοβοάμ, καὶ ἀπεκρίθη τῷ λαῷ καθὼς
συνεβούλευσαν αὐτῷ οἱ σύντροφοι αὐτοῦ τὰ παιδάρια. καὶ εἶ- 24τ
πε πᾶς ὁ λαὸς ὡς ἀνὴρ εἷς, ἕκαστος τῷ πλησίον αὐτοῦ, καὶ ἀ-
νέκραξαν πάντες λέγοντες· Οὐ μερὶς ἡμῖν ἐν Δαυὶδ οὐδὲ κλη-
ρονομία ἐν υἱῷ Ἰεσσαί· ἕκαστος εἰς τὰ σκηνώματά σου Ἰσ-
ραήλ, ὅτι ὁ ἄνθρωπος οὗτος οὐκ εἰς ἄρχοντα οὐδὲ εἰς ἡγούμε-
νον. καὶ διεσπάρη πᾶς ὁ λαὸς ἐκ Σικίμων, καὶ ἀπῆλθον ἕκα- 24υ
στος εἰς τὸ σκήνωμα αὐτοῦ. καὶ κατεκράτησε Ῥοβοὰμ καὶ ἀ-
πῆλθε καὶ ἀνέβη ἐπὶ τὸ ἅρμα αὐτοῦ καὶ εἰσῆλθεν εἰς Ἱερουσα-
λήμ, καὶ πορεύονται ὀπίσω αὐτοῦ πᾶν σκῆπτρον Ἰούδα καὶ
πᾶν σκῆπτρον Βενιαμίν. καὶ ἐγένετο ἐνισταμένου τοῦ ἐνιαυτοῦ 24φ
καὶ συνήθροισε Ῥοβοὰμ πάντα ἄνδρα Ἰούδα καὶ Βενιαμὶν καὶ
ἀνέβη τοῦ πολεμεῖν πρὸς Ἱεροβοὰμ εἰς Σίκιμα. καὶ ἐγένετο ῥῆ- 24χ
μα Κυρίου πρὸς Σαμαΐαν ἄνθρωπον τοῦ θεοῦ λέγων· Εἰπὸν τῷ

‘Ροβοὰμ βασιλεῖ Ἰούδα καὶ πρὸς πάντα οἶκον Ἰούδα καὶ Βενιαμὶν καὶ πρὸς τὸ κατάλειμμα τοῦ λαοῦ λέγων· Τάδε λέγει Κύριος· Οὐκ ἀναβήσεσθε οὐδὲ πολεμήσετε πρὸς τοὺς ἀδελφοὺς ὑμῶν υἱοὺς Ἰσραήλ· ἀναστρέφετε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, ὅτι παρ’ ἐμοῦ γέγονε τὸ ῥῆμα τοῦτο. καὶ ἤκουσαν τοῦ λόγου Κυρίου καὶ ἀνέσχον μὴ πορευθῆναι κατὰ τὸ ῥῆμα Κυρίου. 24ψ

30 3 ...Ἰδοὺ υἱὸς τίκτεται τῷ οἴκῳ Δαυΐδ, [Ἰωσίας ὄνομα αὐτῷ] 2 **13**

...ἐξέτεινε [ὁ βασιλεὺς] τὴν χεῖρα αὐτοῦ... 4

31 22+ ...ἐπὶ τοὺς οἴκους τοὺς ὑψηλοὺς [τοὺς ἐν Σαμαρείᾳ] 32

32 12+ Ἐν τῷ καιρῷ ἐκείνῳ ἠρρώστησεν Ἀβιὰ υἱὸς Ἱεροβοὰμ 1 **14**
καὶ εἶπεν ὁ Ἱεροβοὰμ πρὸς τὴν γυναῖκα αὐτοῦ· Ἀνάστηθι καὶ 2
ἀλλοιωθήσῃ, καὶ οὐ γνώσονται ὅτι σὺ γυνὴ Ἱεροβοάμ, καὶ πορευθήσῃ εἰς Σηλώ· καὶ ἰδοὺ ἐκεῖ Ἀχιὰ ὁ προφήτης, αὐτὸς ἐλάλησεν ἐμὲ τοῦ βασιλεῦσαι ἐπὶ τὸν λαὸν τοῦτον. καὶ λάβε εἰς 3
τὴν χεῖρά σου τῷ ἀνθρώπῳ τοῦ θεοῦ ἄρτους καὶ κολλυρίδα τοῖς τέκνοις αὐτοῦ καὶ σταφίδας καὶ στάμνον μέλιτος, καὶ ἐλεύσῃ πρὸς αὐτόν. αὐτὸς ἀναγγείλῃ σοι τί ἔσται τῷ παιδί. καὶ 4
ἐποίησεν οὕτως γυνὴ Ἱεροβοάμ· καὶ ἀνέστη καὶ ἐπορεύθη εἰς Σηλώ, καὶ εἰσῆλθεν ἐν οἴκῳ Ἀχιά· καὶ ὁ ἄνθρωπος πρεσβύτερος τοῦ ἰδεῖν, καὶ ἠμβλυώπουν οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ γήρους αὐτοῦ. καὶ Κύριος εἶπε πρὸς Ἀχιά· Ἰδοὺ γυνὴ τοῦ Ἱεροβοὰμ 5
εἰσέρχεται τοῦ ἐκζητῆσαι ῥῆμα παρὰ σοῦ περὶ υἱοῦ αὐτῆς, ὅτι ἄρρωστός ἐστι· κατὰ τοῦτο καὶ κατὰ τοῦτο λαλήσεις πρὸς αὐτήν. καὶ ἐγένετο ἐν τῷ εἰσέρχεσθαι αὐτὴν καὶ αὐτὴ ἀπεξενοῦτο. καὶ ἐγένετο ὡς ἤκουσεν Ἀχιὰ τὴν φωνὴν ποδῶν αὐτῆς, εἰ- 6
σερχομένης αὐτῆς ἐν τῷ ἀνοίγματι, καὶ εἶπεν· Εἴσελθε, γυνὴ Ἱεροβοάμ· ἱνατί σὺ τοῦτο ἀποξενοῦσαι; καὶ ἐγώ εἰμι ἀπόστολος πρός σε σκληρός. πορευθεῖσα εἰπὸν τῷ Ἱεροβοάμ· Τάδε 7
λέγει Κύριος ὁ θεὸς Ἰσραήλ· Ἀνθ’ οὗ ὅσον ὕψωσά σε ἀπὸ μέσου λαοῦ καὶ ἔδωκά σε ἡγούμενον ἐπὶ τὸν λαόν μου Ἰσραήλ, 8
καὶ ἔρρηξα σὺν τὸ βασίλειον ἀπὸ τοῦ οἴκου Δαυΐδ καὶ ἔδωκα αὐτό σοι καὶ οὐκ ἐγένου ὡς ὁ δοῦλός μου Δαυΐδ, ὃς ἐφύλαξε τὰς ἐντολάς μου καὶ ὃς ἐπορεύθη ὀπίσω μου ἐν πάσῃ καρδίᾳ αὐτοῦ ποιῆσαι ἕκαστος τὸ εὐθὲς ἐν ὀφθαλμοῖς μου, καὶ ἐπονη- 9
ρεύσω τοῦ ποιῆσαι παρὰ παντός, ὅσοι ἐγένοντο εἰς πρόσωπόν σου καὶ ἐπορεύθης καὶ ἐποίησας σεαυτῷ θεοὺς ἑτέρους χωνευτὰ τοῦ παροργίσαι με, καὶ ἐμὲ ἔρριψας ὀπίσω σώματός 10
σου· διὰ τοῦτο ἐγὼ ἄγω κακίαν πρός σε εἰς οἶκον Ἱεροβοάμ· ἐξολοθρεύσω τοῦ Ἱεροβοὰμ οὐροῦντα πρὸς τοῖχον ἐχόμενον καὶ ἐγκαταλελειμμένον ἐν Ἰσραὴλ καὶ ἐπιλέξω οἴκου Ἱεροβοάμ, καθὼς ἐπιλέγεται ἡ κόπρος, ὡς τελειωθῆναι αὐτόν· οἱ τε- 11
θνηκότες τοῦ Ἱεροβοὰμ ἐν τῇ πόλει, καταφάγονται οἱ κύνες, καὶ τὸν τεθνηκότα ἐν τῷ ἀγρῷ καταφάγονται τὰ πετεινὰ τοῦ

οὐρανοῦ, ὅτι Κύριος ἐλάλησε. καὶ σὺ ἀναστᾶσα πορεύθητι εἰς 12
τὸν οἶκόν σου· ἐν τῷ εἰσέρχεσθαι πόδα σου τὴν πόλιν, ἀποθα-
νεῖται τὸ παιδάριον· καὶ κόψονται αὐτὸν πᾶς Ἰσραὴλ καὶ θά- 13
ψουσιν αὐτόν, ὅτι οὗτος μόνος εἰσελεύσεται τῷ Ἱεροβοὰμ
πρὸς τάφον, ὅτι εὑρέθη ἐν αὐτῷ ῥῆμα καλὸν περὶ τοῦ Κυρίου
θεοῦ Ἰσραὴλ ἐν οἴκῳ Ἱεροβοάμ· καὶ ἀναστήσει Κύριος ἑαυτῷ 14
βασιλέα ἐπὶ Ἰσραήλ, ὃς πλήξει τὸν οἶκον Ἱεροβοὰμ ταύτῃ τῇ
ἡμέρᾳ· καὶ τί καὶ νῦν; Κύριος πλήξει τὸν Ἰσραήλ. καθὰ κινεῖται 15
ὁ ἄνεμος ἐν τῷ ὕδατι, καὶ ἐκτελεῖ τὸν Ἰσραὴλ ἀπὸ ἄνω τῆς
χθονὸς τῆς ἀγαθῆς ταύτης, ἧς ἔδωκε τοῖς πατράσιν αὐτῶν,
καὶ λικμήσει αὐτοὺς ἀπὸ Πέραν τοῦ ποταμοῦ· ἀνθ' οὗ ὅσον ἐ-
ποίησαν τὰ ἄλση αὐτῶν παροργίζοντες τὸν Κύριον· καὶ παρα- 16
δώσει Κύριος τὸν Ἰσραὴλ χάριν ἁμαρτιῶν Ἱεροβοάμ, ὃς ἥμαρ-
τε καὶ ὃς ἐξήμαρτε τὸν Ἰσραήλ. καὶ ἀνέστη ἡ γυνὴ Ἱεροβοὰμ 17
καὶ ἐπορεύθη εἰς γῆν Σαριρά· καὶ ἐγένετο ὡς εἰσῆλθεν ἐν τῷ
προθύρῳ τοῦ οἴκου καὶ τὸ παιδάριον ἀπέθανε.

34 1 [Καὶ ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει] Βασιλεύοντος Ἱεροβοὰμ 1 **15**

7 αὐτοῦ [ἐν τῷ εἰκοστῷ καὶ τετάρτῳ ἔτει τοῦ] Ἱεροβοὰμ 8

35 1 [Ἐν τῷ ἐνιαυτῷ τετάρτῳ καὶ εἰκοστῷ τοῦ] Ἱεροβοὰμ 9

8 ...καὶ εἰσήνεγκε <τὰ ἅγια> [τοὺς κίονας] τοῦ πατρὸς αὐτοῦ 15
<Δαυῖδ> [καὶ τοὺς κίονας αὐτοῦ εἰσήνεγκεν] εἰς τὸν οἶκον
Κυρίου, ἀργυροῦς καὶ χρυσοῦς καὶ σκεύη.

...καὶ ἐπάταξαν τὴν Ἄιν, τὴν Δὰν καὶ τὴν Ἀβελμαὰ καὶ πᾶσαν 20
τὴν περίχωρον [Χεννερὲθ ἕως πάσης τῆς γῆς] Νεφθαλίμ.

36 1 ...ἐπὶ Ἰσραὴλ [ἐν ἔτει δευτέρῳ τοῦ] 25

37 1 Καὶ [ἐν τῷ ἔτει τῷ τρίτῳ τοῦ] 33

8 αὐτοῦ [ἐν τῷ εἰκοστῷ ἔτει] 6 **16**

38 2 ...καὶ αὐτὸς ἦν [ἐν Θερσὰ] πίνων <καὶ> μεθύων ἐν τῷ οἴκῳ 9
Ὠσὰ τοῦ οἰκονόμου ἐν Θερσά.

40 4 [ἐν τῷ ἔτει τῷ τριακοστῷ καὶ πρώτῳ τοῦ] 23

41 1 Καὶ [ἐν τῷ ἐνιαυτῷ τῷ ἑνδεκάτῳ ἔτει] 28α

7 ...[καὶ βασιλεὺς οὐκ ἦν ἐν Συρίᾳ Νασίβ. καὶ ὁ βασιλεὺς Ἰωσα- 28ε 28ζ
φὰτ ἐποίησε ναῦν εἰς Θαρσὶς πορεύεσθαι εἰς Σωφὶρ ἐπὶ τὸ
χρυσίον· καὶ οὐκ ἐπορεύθη, ὅτι συνετρίβη ἡ ναῦς ἐν Γασιὼν
Γαβέρ. τότε εἶπεν ὁ βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφάτ· ἐξαπο- 28η
στελῶ τοὺς παῖδάς σου καὶ τὰ παιδάριά μου ἐν τῇ νηῖ· καὶ οὐκ
ἐβούλετο Ἰωσαφάτ.]

8 ἐκοιμήθη Ἰωσαφὰτ [μετὰ τῶν πατέρων αὐτοῦ] καὶ θάπτεται 28^{θ}

42 1 [Ἐν ἔτει δευτέρῳ τοῦ] 29

43 1 ...εἶπεν Ἠλιοὺ ὁ προφήτης [Θεσβίτης] ὁ ἐκ Θεσβὼν τῆς Γαλαὰδ 1 **17**

46 28+ ...διὰ σὲ πεποίηκα τὰ ἔργα ταῦτα. [ἐπάκουσόν μου, Κύριε, ἐπα- 37 **18**
κουσόν μου ἐν πυρί, καὶ γνώτω ὁ λαὸς οὗτος, ὅτι σὺ εἶ Κύ-
ριος ὁ θεὸς καὶ σὺ ἔστρεψας τὴν καρδίαν τοῦ λαοῦ τούτου ὀπί-
σω.]

49 11+ ...ἐξῆλθε καὶ ἔστη ὑπὸ σπήλαιον. [καὶ ἰδοὺ πρὸς αὐτὸν φωνὴ 13 **19**
καὶ εἶπε· Τί σὺ ἐνταῦθα Ἠλιού; καὶ εἶπεν Ἠλιού· Ζηλῶν ἐζήλω- 14
κα τῷ Κυρίῳ παντοκράτορι, ὅτι ἐγκατέλιπον τὴν διαθήκην σου
οἱ υἱοὶ Ἰσραήλ· καὶ τὰ θυσιαστήριά σου καθεῖλαν καὶ τοὺς προ-
φήτας σου ἀπέκτειναν ἐν ῥομφαίᾳ, καὶ ὑπολέλειμμαι ἐγὼ μονώ-
τατος, καὶ ζητοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν.] *(=19,9-10)*

52 13 ...καὶ ἐνήστευσε [καὶ περιεβάλετο σάκκον] ἐν τῇ ἡμέρᾳ, ᾗ ἐπά- 27 **20**
ταξε Ναβουθαῖ τὸν Ἰεζραηλίτην, [καὶ ἐπορεύθη].

53 25 καὶ ἐξῆλθον [ἄρχοντες] τὰ παιδάρια 17 **21**

57 10+ ...ἀπέχυνε τὸ αἷμα ἀπὸ τῆς πληγῆς εἰς τὸν κόλπον τοῦ ἅρματος· 35 **22**
καὶ ἀπέθανεν ἑσπέρας. [καὶ ἐξεπορεύετο τὸ αἷμα τῆς τρο-
πῆς ἕως τοῦ κόλπου τοῦ ἅρματος.]

16+ Καὶ Ἰωσαφὰτ υἱὸς Ἀσὰ ἐβασίλευσεν ἐπὶ Ἰούδαν· ἐν ἔτει 41
τετάρτῳ τοῦ Ἀχαὰβ βασιλέως Ἰσραὴλ ἐβασίλευσεν Ἰωσαφάτ.
υἱὸς τριάκοντα καὶ πέντε ἐτῶν ἐν τῷ βασιλεύειν αὐτόν, καὶ εἴ- 42
κοσι καὶ πέντε ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ, καὶ ὄνομα τῇ
μητρὶ αὐτοῦ Ἀζουβὰ θυγάτηρ Σαλαΐ. καὶ ἐπορεύθη ἐν πάσῃ ὁ- 43
δῷ Ἀσὰ τοῦ πατρὸς αὐτοῦ· οὐκ ἐξέκλινεν ἀπ' αὐτῆς τοῦ ποιῆ- 44
σαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου· πλὴν τῶν ὑψηλῶν οὐκ ἐξῆ-
ρεν, ἔτι ὁ λαὸς ἐθυσίαζε καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς. καὶ εἰρή- 45
νευσεν Ἰωσαφὰτ μετὰ βασιλέως Ἰσραήλ. καὶ τὰ λοιπὰ τῶν λό- 46
γων Ἰωσαφὰτ καὶ αἱ δυναστεῖαι αὐτοῦ, ὅσα ἐποίησεν οὐκ ἰδοὺ
ταῦτα γεγραμμένα ἐν Βιβλίῳ Λόγων τῶν ἡμερῶν βασιλέων
Ἰούδα; καὶ ἐκοιμήθη Ἰωσαφὰτ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐ- 51
τάφη παρὰ τοῖς πατράσιν αὐτοῦ ἐν Πόλει Δαυῖδ τοῦ πατρὸς
αὐτοῦ· καὶ ἐβασίλευσεν Ἰωρὰμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

Καὶ περισσὸν τοῦ ἐνδιηλλαγμένου, ὃ ὑπελείφθη ἐν ἡμέ- 47
ραις Ἀσὰ τοῦ πατρὸς αὐτοῦ, ἐπέλεξεν ἀπὸ τῆς γῆς. καὶ βασι- 48
λεὺς οὐκ ἦν ἐν Ἐδὼμ ἐστηλωμένος. καὶ ὁ βασιλεὺς Ἰωσαφὰτ 49
ἐποίησε νῆας εἰς Θαρσὶς τοῦ πορευθῆναι Ὠφέρδε εἰς χρυσίον,
καὶ οὐκ ἐπορεύθησαν, ὅτι συνετρίβησαν νῆες ἐν Γασιὼν Γα-
βέρ. τότε εἶπεν Ὀχοζίας υἱὸς Ἀχαὰβ πρὸς Ἰωσαφάτ· Πορευ- 50
θήτωσαν δοῦλοί μου μετὰ τῶν δούλων σου ταῖς ναυσί· καὶ
οὐκ ἠθέλησεν Ἰωσαφάτ. *(στίχοι 47-50 Ἀκύλας)*

58 1 [ἐν ἔτει ἑπτακαιδεκάτῳ] 52

59 28+ Καὶ Ἰωρὰμ υἱὸς Ἀχαὰβ βασιλεύει ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ 18a **1**
ἔτη δεκαδύο, ἐν ἔτει ὀκτωκαιδεκάτῳ Ἰωσαφὰτ βασιλέως Ἰού- **Δ΄Βα**

δα. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου, πλὴν οὐχ ὡς οἱ 18β
ἀδελφοὶ αὐτοῦ, οὐδὲ ὡς ἡ μήτηρ αὐτοῦ. καὶ ἀπέστησε τὰς στή- 18γ
λας τοῦ Βάαλ, ἃς ἐποίησεν ὁ πατὴρ αὐτοῦ, καὶ συνέτριψεν αὐ-
τάς· πλὴν ἐν ταῖς ἁμαρτίαις οἴκου Ἱεροβοάμ, ὃς ἐξήμαρτε τὸν
Ἰσραήλ, ἐκολλήθη, οὐκ ἀπέστη ἀπ' αὐτῶν. καὶ ἐθυμώθη ὀργῇ 18δ
Κύριος εἰς τὸν οἶκον Ἀχαάβ. *(=Ba 63,1-4)*

63 1 [ἐν ἔτει ὀκτωκαιδεκάτῳ] 1 **3**

69 9 ...καὶ νῦν ἔλαβες τὸ ἀργύριον, καὶ [νῦν ἔλαβες] τὰ ἱμάτια καὶ ἐ- 26 **5**
λαιῶνας καὶ ἀμπελῶνας καὶ πρόβατα...

71 1 ...Εἰς τὸν τόπον τόνδε τινὰ [ἐλμωνὶ] παρεμβαλῶ. 8 **6**

76 1 [Ἐν ἔτει πέμπτῳ τῷ] Ἰωρὰμ υἱοῦ Ἀχαὰβ βασιλεῖ Ἰσραὴλ [καὶ 16 **8**
Ἰωσαφὰτ βασιλεῖ Ἰούδα] ἐβασίλευσεν Ἰωρὰμ υἱὸς Ἰωσαφὰτ ἐ-
πὶ Ἰούδαν.

77 1 [Ἐν ἔτει δωδεκάτῳ τῷ] 25 **9**

78 2 Ἰοὺ υἱὸν [Ἰωσαφὰτ υἱοῦ] Ναμεσσί 2
15 Ἰοὺ υἱὸν [Ἰωσαφὰτ υἱοῦ] Ναμεσσί 14

79 25 ἐν Πόλει Δαυΐδ. [καὶ ἐν ἔτει ἑνδεκάτῳ Ἰωρὰμ βασιλέως Ἰσ- 29
ραὴλ ἐβασίλευσεν Ὀχαζίας ἐπὶ Ἰούδαν].

86 10 ...ἀπὸ τῆς ὠμίας τοῦ οἴκου τῆς δεξιᾶς ἕως τῆς ὠμίας [τοῦ οἴ- 11 **11**
κου] τῆς εὐωνύμου τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου

87 2 [ἐν ἔτει ἑβδόμῳ τῷ] 2 **12**

...πλὴν τὰ ὑψηλὰ οὐ μετεστάθησαν, καὶ ἐκεῖ ἔτι ὁ λαὸς ἐθυσία- 4
ζε καὶ ἐθυμίων [ἐν τοῖς ὑψηλοῖς].

89 1 [Ἐν ἔτει εἰκοστῷ καὶ τρίτῳ ἔτει τῷ] 1 **13**

90 1 [Ἐν ἔτει τριακοστῷ καὶ ἑβδόμῳ ἔτει τῷ] 10

3+ ...ἐν αὐταῖς ἐπορεύθη. [καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωὰς καὶ πά- 12
ντα ὅσα ἐποίησε, καὶ αἱ δυναστεῖαι αὐτοῦ, ἃς ἐποίησε μετὰ Ἀ-
μεσσίου βασιλέως Ἰούδα, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ
λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ; καὶ ἐκοιμήθη Ἰω- 13
ὰς μετὰ τῶν πατέρων αὐτοῦ, καὶ Ἱεροβοὰμ ἐκάθισεν ἐπὶ τοῦ
θρόνου αὐτοῦ, καὶ ἐτάφη ἐν Σαμαρείᾳ μετὰ τῶν βασιλέων Ἰσ-
ραήλ.]

93 1 [Ἐν ἔτει δευτέρῳ τῷ] 1 **14**

96 1 [Ἐν ἔτει πεντεκαιδεκάτῳ τοῦ] 23

...ὅσα ἐπολέμησε καὶ ὅσα ἐπέστρεψε τὴν Δαμασκὸν καὶ τὴν Ἀι- 28
μὰθ τῷ [Ἰούδᾳ ἐν] Ἰσραήλ,...
...ἐκοιμήθη Ἱεροβοὰμ μετὰ τῶν πατέρων αὐτοῦ [μετὰ βασιλέ- 29
ων Ἰσραήλ],...

97 1 [Ἐν ἔτει εἰκοστῷ καὶ ἑβδόμῳ τῷ] 1 **15**

98 1 [Ἐν ἔτει τριακοστῷ καὶ ὀγδόῳ τῷ] 8

99 1 [ἐν ἔτει τριακοστῷ καὶ ἐνάτῳ] 13

100 1 [Ἐν ἔτει τριακοστῷ καὶ ἐνάτῳ τῷ] 17

101 1 [Ἐν ἔτει πεντηκοστῷ τοῦ] 23

102 1 [Ἐν ἔτει πεντηκοστῷ καὶ δευτέρῳ τοῦ] 27

5 [ἐν ἔτει εἰκοστῷ] 30

103 1 [Ἐν ἔτει δευτέρῳ] 32

104 1 [Ἐν ἔτει ἑπτακαιδεκάτῳ] 1 **16**

105 1 [Ἐν ἔτει δωδεκάτῳ τοῦ] 1 **17**

108 1 Καὶ ἐγένετο [ἐν ἔτει τρίτῳ τῷ] 1 **18**

9+ Καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ τετάρτῳ βασιλεῖ Ἐζεκίᾳ (αὐτὸς 9
ἐνιαυτὸς ὁ ἕβδομος τῷ Ὡσηὲ υἱῷ Ἠλὰ βασιλεῖ Ἰσραήλ) ἀνέβη
Σαλαμανάσαρ βασιλεὺς Ἀσσυρίων ἐπὶ Σαμάρειαν καὶ ἐπολιόρ-
κει ἐπ' αὐτήν· καὶ κατελάβετο αὐτὴν ἀπὸ τέλους τριῶν ἐτῶν ἐν 10
ἔτει ἕκτῳ τῷ Ἐζεκίᾳ (αὐτὸς ἐνιαυτὸς ἕνατος τῷ Ὡσηὲ βασιλεῖ
Ἰσραήλ), καὶ συνελήφθη Σαμάρεια. καὶ ἀπῴκισε βασιλεὺς Ἀσ- 11
συρίων τὴν Σαμάρειαν εἰς Ἀσσυρίους καὶ ἔθηκεν αὐτοὺς ἐν Ἀ-
λαὲ καὶ ἐν Ἀβὼρ ποταμῷ Γωζὰν καὶ ὄρη Μήδων, ἀνθ' ὧν ὅτι 12
οὐκ ἤκουσαν τῆς φωνῆς Κυρίου θεοῦ αὐτῶν καὶ παρέβησαν
τὴν διαθήκην αὐτοῦ, πάντα ὅσα ἐνετείλατο Μωϋσῆς ὁ δοῦλος
Κυρίου, καὶ οὐκ ἤκουσαν καὶ οὐκ ἐποίησαν. *(=Ba 105)*

115 7+ ...διὰ Δαυὶδ τὸν δοῦλόν μου. [καὶ εἶπε· Λαβέτωσαν παλάθην 7 **20**
σύκων καὶ ἐπιθέτωσαν ἐπὶ τὸ ἕλκος, καὶ ὑγιάσει.]

117 21 ...ἀνθ' ὧν [ὅσα] ἐποίησαν τὸ πονηρὸν... 15 **21**

119 8 ...ἔξωθεν Ἰερουσαλὴμ [εἰς τὸν χειμάρρουν Κέδρων] καὶ κατέ- 6 **23**
καυσεν αὐτὸν ἐν τῷ χειμάρρῳ Κέδρων...

120 13 ...ἐκζητήσατε τὸν Κύριον περὶ ἐμοῦ [καὶ περὶ πλῆθος τοῦ λα- 13 **22**
οῦ] καὶ περὶ πάντα τοῦ Ἰούδα...

126 2 ...ὄνομα τῇ μητρὶ αὐτοῦ [Ἀμιτὰλ] θυγάτηρ [Ἱερεμίου]... 18 **24**

127 2+ ...καὶ πάντας τοὺς οἴκους Ἰερουσαλήμ, [καὶ πᾶν οἶκον ἐνέπρη- 9 **25**
σεν ὁ ἀρχιμάγειρος], καὶ τὸ τεῖχος Ἰερουσαλὴμ κυκλόθεν κα- 10
τέσπασεν ἡ δύναμις τῶν Χαλδαίων.

...καὶ τὰς φιάλας τὰς χρυσᾶς καὶ τὰς ἀργυρᾶς ἔλαβεν ὁ ἀρχι- 15
μάγειρος, [στύλους δύο καὶ τὴν θάλασσαν μίαν καὶ τὰς μεχω- 16
νώθ, ἃς ἐποίησε Σαλωμὼν τῷ οἴκῳ Κυρίου· οὐκ ἦν σταθμὸς

τοῦ χαλκοῦ πάντων τῶν σκευῶν. ὀκτωκαίδεκα πήχεων ὕψος 17
τοῦ στύλου τοῦ ἑνός, καὶ τὸ χωθὰρ ἐπ' αὐτοῦ τὸ χαλκοῦν, καὶ
τὸ ὕψος τοῦ χωθὰρ τριῶν πήχεων, σαβαχὰ καὶ ῥόαι ἐπὶ τῷ
χωθὰρ κύκλῳ, τὰ πάντα χαλκᾶ· καὶ κατὰ τὰ αὐτὰ τῷ στύλῳ
τῷ δευτέρῳ ἐπὶ τῷ σαβαχά.]

9 τὰς φιάλας τὰς χρυσᾶς καὶ τὰς ἀργυρᾶς ἔλαβεν ὁ ἀρχιμάγει- 18
ρος. καὶ ἔλαβε [ὁ ἀρχιμάγειρος] τὸν Σαραΐαν

128 7+ Καὶ ἐγενήθη ἐν τῷ τριακοστῷ καὶ ἑβδόμῳ ἔτει τῆς ἀποι- 27
κίας τοῦ Ἰωαχὶμ βασιλέως Ἰούδα, ἐν τῷ δωδεκάτῳ μηνὶ ἑβδό-
μῃ καὶ εἰκάδι τοῦ μηνὸς ὕψωσεν Εὐιὰλ Μαρωδὰχ βασιλεὺς Βα-
βυλῶνος ἐν τῷ ἐνιαυτῷ τῆς βασιλείας αὐτοῦ τὴν κεφαλὴν Ἰωα-
χὶμ τοῦ βασιλέως Ἰούδα καὶ ἐξήγαγεν αὐτὸν ἐξ οἴκου φυλακῆς
αὐτοῦ. καὶ ἐλάλησε μετ' αὐτοῦ ἀγαθὰ καὶ ἔδωκε τὸν θρόνον 28
αὐτοῦ ἐπάνωθεν τῶν θρόνων τῶν βασιλέων τῶν μετ' αὐτοῦ ἐν
Βαβυλῶνι, καὶ ἠλλοίωσε τὰ ἱμάτια τῆς φυλακῆς αὐτοῦ καὶ ἤ- 29
σθιεν ἄρτον διαπαντὸς ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς
ζωῆς αὐτοῦ· καὶ ἡ ἑστιατορία αὐτοῦ ἑστιατορία διαπαντὸς ἐ- 30
δόθη αὐτῷ ἐξ οἴκου τοῦ βασιλέως λόγον ἡμέρας ἐν τῇ ἡμέρᾳ
αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.

ΣΧΟΛΙΑ ΕΙΣ ΠΑΡΑΛΕΙΠΟΜΕΝΗΝ

< ΑΠΕΡΑΝΤΟΣ ΓΕΝΕΑΛΟΓΙΑ >

(Α΄Τι 2,2· μὴ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις)

1 1- Ἀδάμ, Σήθ, Ἐνώς, Καϊνάν, Μαλελεήλ, Ἰάρεδ, Ἐνώχ, Μα- 2 3 **1**
θουσάλα, Λάμεχ, Νῶε. υἱοὶ Νῶε· Σήμ, Χάμ, Ἰάφεθ. υἱοὶ Ἰά- 4 5
φεθ· Γαμέρ, Μαγώγ, Μαδαΐμ, Ἰωνάν, Ἐλισά, Θόβελ, Μοσὸχ 6
καὶ Θίρας. καὶ οἱ υἱοὶ Γαμέρ· Ἀσχανὰζ καὶ Ῥιφὰθ καὶ Θοργα- 7
μά. καὶ οἱ υἱοὶ Ἰωνάν· Ἐλισὰ καὶ Θαρσίς, Κίτιοι καὶ Ῥόδιοι.
καὶ οἱ υἱοὶ Χάμ· Χοὺς καὶ Μεσραΐμ, Φούδ, καὶ Χαναάν. καὶ υἱ- 8 9
οὶ Χούς· Σαβὰ καὶ Εὐιλὰ καὶ Σαβαθὰ καὶ Ῥεγμά, καὶ Σεβεθαχά.
καὶ υἱοὶ Ῥεγμά· Σαβὰ καὶ Δαδάν. καὶ Χοὺς ἐγέννησε τὸν Νε- 10
βρώδ· οὗτος ἤρξατο εἶναι γίγας κυνηγὸς ἐπὶ τῆς γῆς. καὶ Μεσ- 11
ραΐμ ἐγέννησε τοὺς Λωδιὶμ καὶ τοὺς Ἀναμιὶμ καὶ τοὺς Λαβὶν
καὶ τοὺς Νεφθαλὶμ καὶ τοὺς Πατροσωνιὶμ καὶ τοὺς Χασλωνι- 12
ίμ, ὅθεν ἐξῆλθεν ἐκεῖθεν Φυλιστιίμ, καὶ τοὺς Χαφοριὶμ καὶ Χα- 13
ναὰν ἐγέννησε τὸν Σιδῶνα πρωτότοκον καὶ τὸν Χετταῖον καὶ
τὸν Ἰεβουσαῖον καὶ τὸν Ἀμορραῖον καὶ τὸν Γεργεσαῖον καὶ 14 15
τὸν Εὐαῖον καὶ τὸν Ἀρουκαῖον καὶ τὸν Ἀσενναῖον καὶ τὸν Ἀ- 16
ράδιον καὶ τὸν Σαμαραῖον καὶ τὸν Ἀμαθί. υἱοὶ Σήμ· Αἰλὰμ καὶ 17

Ἀσσοὺδ καὶ Ἀρφαξάδ. καὶ Ἀρφαξὰδ ἐγέννησε τὸν Καϊνάν, 18
καὶ Καϊνάν ἐγέννησε τὸν Σαλά, καὶ Σαλὰ ἐγέννησε τὸν Ἔβερ,
καὶ τῷ Ἔβερ ἐγεννήθησαν δύο υἱοί· ὄνομα τῷ ἑνὶ Φαλέκ, ὅτι 19
ἐν ταῖς ἡμέραις αὐτοῦ διεμερίσθη ἡ γῆ, καὶ ὄνομα τῷ ἀδελφῷ
αὐτοῦ Ἰεκτάν. καὶ Ἰεκτὰν ἐγέννησε τὸν Ἐλμωδὰδ καὶ τὸν Σα- 20
λὲφ καὶ τὸν Ἀραμὼθ καὶ τὸν Κεδουρὰν καὶ τὸν Αἰγὴν καὶ τὸν 21
Δεκλὰμ καὶ τὸν Γεμιὰν καὶ τὸν Ἀβιμέκλ καὶ τὸν Σαβὰν καὶ τὸν 22 23
Οὐφὶρ καὶ τὸν Εὐὶ καὶ τὸν Ὠράμ· πάντες οὗτοι υἱοὶ Ἰεκτάν. υἱ- 24
οὶ Σήμ· Αἰλὰμ καὶ Ἀσοὺρ καὶ Ἀρφαξάδ. Σαλά. Ἔβερ, Φαλέγ, 25
Ῥαγαῦ, Σερούχ, Ναχώρ, Θάρα, Ἀβραάμ. υἱοὶ δὲ Ἀβραάμ· Ἰσα- 26 27 28
ὰκ καὶ Ἰσμαήλ. αὗται δὲ αἱ γενέσεις πρωτοτόκου Ἰσμαήλ· Να- 29
βαιὼθ καὶ Κηδάρ, Ναβδεήλ, Μαβσάμ, Μασμά, Ἰδουμά, Μασ- 30
σή, Χονδάν, Θαιμάν, Ἰεττούρ, Ναφὲς καὶ Κεδμά. οὗτοί εἰσιν 31
υἱοὶ Ἰσμαήλ. καὶ υἱοὶ Χεττούρας παλλακῆς Ἀβραάμ· καὶ ἔτε- 32
κεν αὐτῷ τὸν Ζεμβράμ, Ἰεξάν, Μαδιάμ, Μαδάμ, Σοβάκ, Σωέ. 33
καὶ υἱοὶ Ἰεξάν· Δαιδὰν καὶ Σαβά. καὶ υἱοὶ Μαδιάμ· Γαιφὰρ καὶ
Ὀφὲρ καὶ Ἐνὼχ καὶ Ἀβιδὰ καὶ Ἐλλαδά. πάντες οὗτοι υἱοὶ
Χεττούρας. καὶ ἐγέννησεν Ἀβραὰμ τὸν Ἰσαάκ. καὶ υἱοὶ Ἰσαάκ· 34
Ἰακὼβ καὶ Ἠσαῦ. υἱοὶ Ἠσαῦ· Ἐλιφὰζ καὶ Ῥαγουὴλ καὶ Ἰεοὺλ 35
καὶ Ἰεγλὸμ καὶ Κορέ. υἱοὶ Ἐλιφάζ· Θαιμὰν καὶ Ὠμάρ, Σωφὰρ 36
καὶ Γοωθὰμ καὶ Κενὲζ καὶ τῆς Θαμνὰ Ἀμαλήκ. καὶ υἱοί Ῥα- 37
γουήλ· Ναχές, Ζαρέ, Σομὲ καὶ Μοζέ. υἱοὶ Σηΐρ· Λωτάν, Σω- 38
βάλ, Σεβεγών, Ἀνά, Δησών, Ὡσὰρ καὶ Λισάν, καὶ υἱοὶ Λωτάν· 39
Χορρὶ καὶ Αἰμάν, ἀδελφὴ δὲ Λωτὰν Θαμνά. υἱοὶ Σωβάλ· Γω- 40
λάμ, Μαναχάθ, Γαιβήλ, Σὼβ καὶ Ὠνάν. υἱοὶ δὲ Σεβεγών· Ἀϊὰ
καὶ Ἀνά. υἱοὶ Ἀνά· Δαισών. υἱοὶ δὲ Δαισών· Ἐμερὼν καὶ Ἐσε- 41
βὰν καὶ Ἰεθρὰν καὶ Χαρράν. καὶ υἱοὶ Ὡσάρ· Βαλαὰμ καὶ Ζου- 42
κὰμ καὶ Ἰωκάν. υἱοὶ Δαισάν· Ὦς καὶ Ἀράν. καὶ οὗτοι οἱ βασι- 43
λεῖς αὐτῶν· Βαλὰκ υἱὸς Βεώρ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Δεν-
ναβά. καὶ ἀπέθανε Βαλάκ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἰωβὰβ 44
υἱὸς Ζαρὰ ἐκ Βοσόρρας. καὶ ἀπέθανεν Ἰωβάβ, καὶ ἐβασίλευ- 45
σεν ἀντ' αὐτοῦ Ἀσὸμ ἐκ γῆς Θαιμανών. καὶ ἀπέθανεν Ἀσόμ, 46
καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἀδὰδ υἱὸς Βαρὰδ ὁ πατάξας Μα-
διὰμ ἐν τῷ πεδίῳ Μωάβ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Γεθθαίμ.
καὶ ἀπέθανεν Ἀδάδ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Σεβλὰ ἐκ Μα- 47
σεκκᾶς. καὶ ἀπέθανε Σεβλά, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Σαοὺλ 48
ἐκ Ῥοωβὼθ τῆς παρὰ ποταμόν. καὶ ἀπέθανε Σαούλ, καὶ ἐβασί- 49
λευσεν ἀντ' αὐτοῦ Βαλαεννὼρ υἱὸς Ἀχοβώρ. καὶ ἀπέθανε Βα- 50
λαεννώρ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἀδὰδ υἱὸς Βαράδ, καὶ ὄ-
νομα τῇ πόλει αὐτοῦ Φογώρ. ἡγεμόνες Ἐδώμ· ἡγεμὼν Θαμνά, 51
ἡγεμὼν Γωλαδά, ἡγεμὼν Ἰεθέρ, ἡγεμὼν Ἐλιβαμάς, ἡγεμὼν Ἠ- 52
λάς, ἡγεμὼν Φινών, ἡγεμὼν Κενέζ, ἡγεμὼν Θαιμάν, ἡγεμὼν 53
Μαβσάρ, ἡγεμὼν Μαγεδιήλ, ἡγεμὼν Ζαφωΐν· οὗτοι ἡγεμόνες
Ἐδώμ.

Ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἰσραήλ· Ῥουβήν, Συμεών, 1 **2**

Λευΐ, Ἰούδα, Ἰσσάχαρ, Ζαβουλών, Δάν, Ἰωσήφ, Βενιαμίν, Νε- 2
φθαλί, Γάδ, Ἀσήρ. υἱοὶ Ἰούδα· Ἦρ, Αὐνάν, Σηλώμ· τρεῖς ἐγεν- 3
νήθησαν αὐτῷ ἐκ τῆς θυγατρὸς Σαυᾶς τῆς Χανανίτιδος. καὶ
ἦν Ἦρ ὁ πρωτότοκος Ἰούδα πονηρὸς ἐναντίον Κυρίου, καὶ ἀ-
πέκτεινεν αὐτόν. καὶ Θάμαρ ἡ νύμφη αὐτοῦ ἔτεκεν αὐτῷ τὸν 4
Φαρὲς καὶ τὸν Ζαρά. πάντες υἱοὶ Ἰούδα πέντε. υἱοὶ Φαρές· Ἐσ- 5
ρὼν καὶ Ἰεμουήλ. καὶ υἱοὶ Ζαρά· Ζαμβρὶ καὶ Αἰθὰν καὶ Αἰμὰν 6
καὶ Καλχὰλ καὶ Δαράδ, πάντες πέντε. καὶ υἱοὶ Χαρμί· Ἄχαρ ὁ 7
ἐμποδοστάτης Ἰσραήλ, ὃς ἠθέτησεν εἰς τὸ ἀνάθεμα. καὶ υἱοὶ 8
Αἰθάν, Ἀζαρίας. καὶ υἱοὶ Ἐσρώμ, οἳ ἐτέχθησαν αὐτῷ· ὁ Ἰεραμε- 9
ὴλ καὶ ὁ Ἀρὰμ καὶ ὁ Χάλεβ. καὶ Ἀρὰμ ἐγέννησε τὸν Ἀμιναδάβ 10
καὶ Ἀμιναδὰβ ἐγέννησε τὸν Ναασσὼν ἄρχοντα οἴκου Ἰούδα,
καὶ Ναασσὼν ἐγέννησε τὸν Σαλμών, καὶ Σαλμὼν ἐγέννησε 11
τὸν Βοόζ, καὶ Βοὸζ ἐγέννησε τὸν Ὠβήδ, καὶ Ὠβὴδ ἐγέννησε 12
τὸν Ἰεσσαί, καὶ Ἰεσσαὶ ἐγέννησε τὸν πρωτότοκον αὐτοῦ τὸν 13
Ἐλιάβ· Ἀμιναδὰβ ὁ δεύτερος, Σαμαὰ ὁ τρίτος, Ναθαναὴλ ὁ τέ- 14
ταρτος, Ζαδδαΐ ὁ πέμπτος, Ἀσὸμ ὁ ἕκτος, Δαυΐδ ὁ ἕβδομος, 15
καὶ ἡ ἀδελφὴ αὐτῶν Σαρουία καὶ Ἀβιγαία· καὶ υἱοὶ Σαρουία· Ἀ- 16
βισὰ καὶ Ἰωὰβ καὶ Ἀσαήλ, τρεῖς. καὶ Ἀβιγαία ἐγέννησε τὸν Ἀ- 17
μεσσά· καὶ πατὴρ Ἀμεσσὰ Ἰοθὸρ ὁ Ἰσμαηλίτης. καὶ Χάλεβ υἱ- 18
ὸς Ἐσρὼμ ἔλαβε τὴν Γαζουβὰ γυναῖκα καὶ τὴν Ἰεριώθ. καὶ οὗ-
τοι υἱοὶ αὐτῆς· Ἰασὰρ καὶ Σουβὰβ καὶ Ὀρνά. καὶ ἀπέθανε Γα- 19
ζουβά, καὶ ἔλαβεν ἑαυτῷ Χάλεβ τὴν Ἐφράθ, καὶ ἔτεκεν αὐτῷ
τὸν Ὦρ· καὶ Ὦρ ἐγέννησε τὸν Οὐρί, καὶ Οὐρὶ ἐγέννησε τὸν 20
Βεσελεήλ. καὶ μετὰ ταῦτα εἰσῆλθεν Ἐσρὼν πρὸς τὴν θυγατέρα 21
Μαχὶρ πατρὸς Γαλαάδ, καὶ οὗτος ἔλαβεν αὐτήν, καὶ αὐτὸς ἑξή-
κοντα πέντε ἐτῶν ἦν. καὶ ἔτεκεν αὐτῷ τὸν Σερούχ. καὶ Σεροὺχ 22
ἐγέννησε τὸν Ἰαΐρ. καὶ ἦσαν αὐτῷ εἴκοσι καὶ τρεῖς πόλεις ἐν
τῇ Γαλαάδ. καὶ ἔλαβε Γεδσοὺρ καὶ Ἀρὰμ τὰς κώμας Ἰαΐρ ἐξ 23
αὐτῶν, τὴν Κανὰθ καὶ τὰς κώμας αὐτῆς, ἑξήκοντα πόλεις· πᾶ-
σαι αὗται υἱῶν Μαχὶρ πατρὸς Γαλαάδ. καὶ μετὰ τὸ ἀποθανεῖν 24
Ἐσρὼν ἦλθε Χάλεβ εἰς Ἐφραθά. καὶ ἡ γυνὴ Ἐσρὼν Ἀβιά, καὶ
ἔτεκεν αὐτῷ τὸν Ἀσχὼδ πατέρα Θεκωέ. καὶ ἦσαν οἱ υἱοὶ Ἰερα- 25
μεὴλ πρωτοτόκου Ἐσρών, ὁ πρωτότοκος Ῥάμ, καὶ Βαανὰ καὶ
Ἀρὰν καὶ Ἀσὸμ ἀδελφὸς αὐτοῦ. καὶ ἦν γυνὴ ἑτέρα τῷ Ἰεραμε- 26
ήλ, καὶ ὄνομα αὐτῇ Ἀτάρα· αὕτη ἐστὶ μήτηρ Ὀζόμ. καὶ ἦσαν 27
υἱοὶ Ῥὰμ πρωτοτόκου Ἰεραμεήλ· Μαὰς καὶ Ἰαμὶν καὶ Ἀκόρ.
καὶ ἦσαν υἱοὶ Ὀζόμ· Σαμαΐ καὶ Ἰαδαέ. καὶ υἱοὶ Σαμαΐ· Ναδὰβ 28
καὶ Ἀβισούρ. καὶ ὄνομα τῆς γυναικὸς Ἀβισοὺρ Ἀβιχαία, καὶ 29
ἔτεκεν αὐτῷ τὸν Ἀχαβὰρ καὶ τὸν Μωήλ. καὶ υἱοὶ Ναδάβ· Σα- 30
λὰδ καὶ Ἀπφαίν. καὶ ἀπέθανε Σαλὰδ οὐκ ἔχων τέκνα. καὶ υἱοὶ 31
Ἀπφαίν· Ἰσεμιήλ. καὶ υἱοὶ Ἰσεμιήλ· Σωσάν. καὶ υἱοὶ Σωσάν· Ἀ-
αδαί. καὶ υἱοὶ Ἀαδαί· Ἀχισαμάς, Ἰεθέρ, Ἰωνάθαν· καὶ ἀπέθα- 32
νεν Ἰεθὲρ οὐκ ἔχων τέκνα. καὶ υἱοὶ Ἰωνάθαν· Φαλὲδ καὶ Ὀ- 33
ζάμ. οὗτοι ἦσαν υἱοὶ Ἰεραμεήλ. καὶ οὐκ ἦσαν τῷ Σωσὰν υἱοί, 34

ἀλλ᾽ ἢ θυγατέρες· καὶ τῷ Σωσὰν παῖς Αἰγύπτιος, καὶ ὄνομα
αὐτῷ Ἰωχήλ, καὶ ἔδωκε Σωσὰν τὴν θυγατέρα αὐτοῦ τῷ Ἰωχὴλ 35
παιδὶ αὐτοῦ εἰς γυναῖκα, καὶ ἔτεκεν αὐτῷ τὸν Ἐθθί. καὶ Ἐθθὶ ἐ- 36
γέννησε τὸν Νάθαν, καὶ Νάθαν ἐγέννησε τὸν Ζαβέδ, καὶ Ζα- 37
βὲδ ἐγέννησε τὸν Ἀφαμήλ, καὶ Ἀφαμὴλ ἐγέννησε τὸν Ὠβήδ,
καὶ Ὠβὴδ ἐγέννησε τὸν Ἰηού, καὶ Ἰηοὺ ἐγέννησε τὸν Ἀζα- 38
ρίαν, καὶ Ἀζαρίας ἐγέννησε τὸν Χελλής, καὶ Χελλὴς ἐγέννησε 39
τὸν Ἐλεασά, καὶ Ἐλεασὰ ἐγέννησε τὸν Σοσομαΐ, καὶ Σοσομαΐ 40
ἐγέννησε τὸν Σαλούμ, καὶ Σαλοὺμ ἐγέννησε τὸν Ἰεχεμίαν, καὶ 41
Ἰεχεμίας ἐγέννησε τὸν Ἐλισαμά, καὶ Ἐλισαμὰ ἐγέννησε τὸν Ἰ-
σμαήλ. καὶ υἱοὶ Χάλεβ ἀδελφοῦ Ἰεραμεήλ· Μαρισὰ ὁ πρωτότο- 42
κος αὐτοῦ, οὗτος πατὴρ Ζίφ· καὶ υἱοὶ Μαρισὰ πατρὸς Χε-
βρών. καὶ υἱοὶ Χεβρών· Κορὲ καὶ Θαπφοὺς καὶ Ῥεκὸμ καὶ Σα- 43
μαά. καὶ Σαμαὰ ἐγέννηοε τὸν Ῥαὲμ πατέρα Ἰεκλάν, καὶ Ἰεκλὰν 44
ἐγέννησε τὸν Σαμαΐ· καὶ υἱὸς αὐτοῦ Μαών, καὶ Μαὼν πατὴρ 45
Βαιθσούρ. καὶ Γαιφὰ ἡ παλλακὴ Χάλεβ ἐγέννησε τὸν Ἀρρὰν 46
καὶ τὸν Μωσὰ καὶ τὸν Γεζουέ. καὶ υἱοὶ Ἀδδαΐ· Ῥαγὲμ καὶ Ἰωά- 47
θαμ καὶ Σωγὰρ καὶ Φαλὲκ καὶ Γαιφὰ καὶ Σαγαέ. καὶ ἡ παλλακὴ 48
Χάλεβ Μωχὰ ἐγέννησε τὸν Σαβὲρ καὶ τὸν Θαράμ. καὶ ἐγέννη- 49
σε Σαγαὲ πατέρα Μαρμηνὰ καὶ τὸν Σαοὺ πατέρα Μαχαμηνὰ
καὶ πατέρα Γαιβαά· καὶ θυγάτηρ Χάλεβ Ἀσχά. οὗτοι ἦσαν υἱοὶ 50
Χάλεβ. υἱοὶ Ὤρ πρωτοτόκου Ἐφραθά· Σωβὰλ πατὴρ Καριαθιαρίμ. Σαλωμὼν πατὴρ Βαιθλαὲμ καὶ Ἀρὶμ πατὴρ Βαιθγεδώρ. καὶ 51 52
ἦσαν υἱοὶ τῷ Σωβὰλ πατρὶ Καριαθιαρίμ· Ἀραὰ καὶ Αἰσὶ καὶ Ἀμ-
μανὶθ καὶ Οὐμασφαέ, πόλις Ἰαΐρ, Αἰθαλὶμ καὶ Μιφιθὶμ καὶ Ἡσα- 53
μαθὶμ καὶ Ἡμασαραΐμ· ἐκ τούτων ἐξῆλθον οἱ Σαραθαῖοι καὶ υἱ-
οὶ Ἐσθαάμ. υἱοὶ Σαλωμών· Βαιθλαέμ, Νετωφαθί, Ἀταρὼθ οἴ- 54
κου Ἰωὰβ καὶ ἥμισυ τῆς Μαλαθί, Ἡσαρί, πατριαὶ γραμματέων 55
κατοικοῦντες ἐν Ἰαβίς, Θαργαθιίμ, Σαμαθιΐμ, καὶ Σωχαθίμ· οὗ-
τοι οἱ Κιναῖοι οἱ ἐλθόντες ἐκ Μεσημὰ πατρὸς οἴκου Ῥηχάβ.

Καὶ οὗτοι ἦσαν υἱοὶ Δαυὶδ οἱ τεχθέντες αὐτῷ ἐν Χεβρών· 1 **3**
ὁ πρωτότοκος Ἀμνὼν τῇ Ἀχινόομ τῇ Ἰεζραελίτιδι, ὁ δεύτερος
Δαμνιὴλ τῇ Ἀβιγαίᾳ τῇ Καρμηλίᾳ, ὁ τρίτος Ἀβεσσαλὼμ υἱὸς 2
Μωχὰ θυγατρὸς Θολμαΐ βασιλέως Γεδσούρ, ὁ τέταρτος Ἀδω-
νία υἱὸς Ἀγγίθ, ὁ πέμπτος Σαφατία τῆς Ἀβιτάλ, ὁ ἕκτος Ἰεθρα- 3
ὰμ τῇ Ἀγλᾷ γυναικὶ αὐτοῦ. ἓξ ἐγεννήθησαν αὐτῷ ἐν Χεβρών, 4
καὶ ἐβασίλευσεν ἐκεῖ ἑπτὰ ἔτη καὶ ἑξάμηνον. καὶ τριάκοντα καὶ
τρία ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ. καὶ οὗτοι ἐτέχθησαν αὐ- 5
τῷ ἐν Ἰερουσαλήμ· Σαμαά, Σωβάβ, Νάθαν καὶ Σαλωμών, τέσ-
σαρες τῇ Βηρσαβεὲ θυγατρὶ Ἀμιήλ, καὶ Ἰεβαὰρ καὶ Ἐλισὰ καὶ 6
Ἐλιφαλὴθ καὶ Ναγαὶ καὶ Ναφὲκ καὶ Ἰαφιὲ καὶ Ἐλισαμὰ καὶ Ἐ- 7 8
λιαδὰ καὶ Ἐλιφαλά, ἐννέα. πάντες υἱοὶ Δαυΐδ, πλὴν τῶν υἱῶν 9
τῶν παλλακῶν, καὶ Θημὰρ ἀδελφὴ αὐτῶν. υἱοὶ Σαλωμών· Ῥο- 10
βοάμ, Ἀβιὰ υἱὸς αὐτοῦ, Ἀσὰ υἱὸς αὐτοῦ, Ἰωσαφὰτ υἱὸς αὐ-
τοῦ, Ἰωρὰμ υἱὸς αὐτοῦ, Ὀχοζίας υἱὸς αὐτοῦ, Ἰωὰς υἱὸς αὐ- 11

τοῦ, Ἀμασίας υἱὸς αὐτοῦ, Ἀζαρίας υἱὸς αὐτοῦ, Ἰωάθαμ υἱὸς 12
αὐτοῦ, Ἄχαζ υἱὸς αὐτοῦ, Ἐζεκίας υἱὸς αὐτοῦ, Μανασσῆς υἱὸς 13
αὐτοῦ, Ἀμὼν υἱὸς αὐτοῦ, Ἰωσία υἱὸς αὐτοῦ. καὶ υἱοὶ Ἰωσία· 14 15
πρωτότοκος Ἰωανάν, ὁ δεύτερος Ἰωακίμ, ὁ τρίτος Σεδεκίας, ὁ
τέταρτος Σαλούμ. καὶ υἱοὶ Ἰωακίμ· Ἰεχονίας υἱὸς αὐτοῦ, Σεδε- 16
κίας υἱὸς αὐτοῦ. καὶ υἱοὶ Ἰεχονία· Ἀσίρ, Σαλαθιὴλ υἱὸς αὐτοῦ, 17
Μελχιρὰμ καὶ Φαδαΐας καὶ Σανεσὰρ καὶ Ἰεκεμία καὶ Ὡσαμὰθ 18
καὶ Ναβαδίας. καὶ υἱοὶ Σαλαθιήλ· Ζορβάβελ καὶ Σεμεΐ. καὶ υἱοὶ 19
Ζοροβάβελ· Μοσολλὰμ καὶ Ἀνανία καὶ Σαλωμεθὶ ἀδελφὴ αὐ-
τῶν καὶ Ἀσουβὲ καὶ Ὀὸλ καὶ Βαραχία καὶ Ἀσαδία καὶ Ἀσο- 20
βέδ, πέντε. καὶ υἱοὶ Ἀνανία· Φαλεττία καὶ Ἰεσίας υἱὸς αὐτοῦ, 21
Ῥαφὰλ υἱὸς αὐτοῦ, Ὀρνὰ υἱὸς αὐτοῦ, Ἀβδία υἱὸς αὐτοῦ, Σε-
χενίας υἱὸς αὐτοῦ. καὶ υἱὸς Σεχενία, Σαμαΐα, καὶ υἱοὶ Σαμαΐα· 22
Χαττοὺς καὶ Ἰωὴλ καὶ Βερρὶ καὶ Νωαδία καὶ Σαφάθ....., ἕξ.
καὶ υἱοὶ Νωαδία· Ἐλιθενὰν καὶ Ἐζεκία καὶ Ἐζρικάμ, τρεῖς. καὶ 23 24
υἱοὶ Ἐλιθενάν· Ὀδολία καὶ Ἐλιασεβὼν καὶ Φαδαΐα κὰ Ἀκοὺβ
καὶ Ἰωανὰν καὶ Δαλααΐα καὶ Ἀνάν, ἑπτά.

Καὶ υἱοὶ Ἰούδα· Φαρές, Ἐσρὼμ καὶ Χαρμὶ καὶ Ὤρ, Σου- 1 **4**
βὰλ καὶ Ῥάδα υἱὸς αὐτοῦ· καὶ Σουβὰλ ἐγέννησε τὸν Ἰέθ, καὶ 2
Ἰὲθ ἐγέννησε τὸν Ἀχιμαΐ, καὶ τὸν Λαάδ· αὗται αἱ γενέσεις τοῦ
Σαραθί. καὶ οὗτοι υἱοὶ Αἰτάμ· Ἰεζραὴλ καὶ Ἰεσμὰν καὶ Ἰεβδάς, 3
καὶ ὄνομα ἀδελφῆς αὐτῶν Ἐσηλεββών. καὶ Φανουὴλ πατὴρ Γε- 4
δώρ, καὶ Ἀζὴρ πατὴρ Ὠσάν. οὗτοι υἱοὶ Ὤρ τοῦ πρωτοτόκου
Ἐφραθὰ πατρὸς Βαιθαλαέν. καὶ τῷ Ἀσοὺρ πατρὶ Θεκωὲ ἦσαν 5
δύο γυναῖκες, Ἀωδὰ καὶ Θοαδά. καὶ ἔτεκεν αὐτῷ Ἀωδὰ τὸν 6
Ὠχαία καὶ τὸν Ἠφὰλ καὶ τὸν Θαιμὰν καὶ τὸν Ἀασθήρ· πάντες
οὗτοι υἱοὶ Ἀωδᾶς. καὶ υἱοὶ Θοαδᾶς· Σερὲθ καὶ Σαὰρ καὶ Ἐ- 7
θνάν. καὶ Κὼς ἐγέννησε τὸν Ἐνὼβ καὶ τὸν Σαβαθά. καὶ γεννή- 8
σεις ἀδελφοῦ Ῥηχὰβ υἱοῦ Ἰαρίν. καὶ ἦν Ἰγαβὴς ἔνδοξος ὑπὲρ 9
τοὺς ἀδελφοὺς αὐτοῦ· καὶ ἡ μήτηρ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰ-
γαβὴς λέγουσα· ἔτεκον ὡς γαβής. καὶ ἐπεκαλέσατο Ἰγαβὴς 10
τὸν θεὸν Ἰσραὴλ λέγων· Ἐὰν εὐλογῶν εὐλογήσῃς με καὶ πλη-
θύνῃς τὰ ὅριά μου καὶ ᾖ ἡ χείρ σου μετ' ἐμοῦ, καὶ ποιήσεις
γνῶσιν τοῦ μὴ ταπεινῶσαί με· καὶ ἐπήγαγεν ὁ θεὸς πάντα, ὅ-
σα ᾐτήσατο. καὶ Χάλεβ πατὴρ Ἀσχὰ ἐγέννησε τὸν Μαχίρ· οὗ- 11
τος πατὴρ Ἀσσαθών. καὶ Ἀσσαθὼν ἐγέννησε τὸν Βαθραίαν 12
καὶ τὸν Βεσσηὲ καὶ τὸν Θανὰ πατέρα πόλεως Ναὰς ἀδελφοῦ
Ἐσελὼμ τοῦ Κενεζί· οὗτοι ἄνδρες Ῥηφά. καὶ υἱοὶ Κενέζ· Γοθο- 13
νιὴλ καὶ Σαραΐα. καὶ υἱοὶ Γοθονιὴλ Ἀθάθ. καὶ Μαναθὶ ἐγέννησε
τὸν Γοφερά. καὶ Σαραΐα ἐγέννησε τὸν Ἰωὰβ πατέρα Ἀγεαδ- 14
δαΐρ, ὅτι τέκτονες ἦσαν. καὶ υἱοὶ Χάλεβ υἱοῦ Ἰεφοννή· Ἠρά, 15
Ἀδὰ καὶ Νοόμ. καὶ υἱοὶ Ἀδά, Κενέζ. καὶ υἱοὶ Γεσεήλ· Ζὶφ καὶ 16
Ζεφὰ καὶ Θεφιὰ καὶ Ἐσεραήλ. καὶ υἱοὶ Ἐσρί· Ἰεθέρ, Μωρὰδ 17
καὶ Ἄφερ καὶ Ἰαμών. καὶ ἐγέννησεν Ἰεθὲρ τὸν Μαρὼν καὶ τὸν
Σεμαΐ καὶ τὸν Μαρὲθ πατέρα Ἐσθαιμών. καὶ ἡ γυνὴ αὐτοῦ (αὕ- 18

τη Ἀδία) ἔτεκε τὸν Ἰάρεδ πατέρα Γεδὼρ καὶ τὸν Ἀβὲρ πατέρα
Σωχὼν καὶ τὸν Χετιὴλ πατέρα Ζαμών. καὶ οὗτοι υἱοὶ Βετθία
θυγατρὸς φαραώ, ἣν ἔλαβε Μωρήδ. καὶ υἱοὶ γυναικὸς τῆς Ἰ- 19
δουίας ἀδελφῆς Ναχὲμ πατρὸς Κεϊλά, Γαρμὶ καὶ Ἐσθαιμών,
Νωχαθί. καὶ υἱοὶ Σεμιών· Ἀμνὼν καὶ Ἀνὰ υἱὸς Φανὰ καὶ Θι- 20
λών. καὶ υἱοὶ Σεῖ· Ζωὰθ καὶ υἱοὶ Ζωάβ, υἱοὶ Σηλὼμ υἱοῦ Ἰούδα· 21
Ἦρ πατὴρ Ληχάβ, καὶ Λααδὰ πατὴρ Μαρισὰ καὶ γενέσεις
οἰκείων Ἐφραδαβὰκ τῷ οἴκῳ Ἐσοβὰ καὶ Ἰωακὶμ καὶ ἄνδρες 22
Χωζηβὰ καὶ Ἰωὰς καὶ Σαράφ, οἳ κατῴκησαν ἐν Μωάβ· καὶ ἀ-
πέστρεψεν αὐτοὺς ἀβεδηρὶν ἀθουκιΐμ. οὗτοι κεραμεῖς οἱ κατοι- 23
κοῦντες ἐν Ἀταΐμ καὶ Γαδηρὰ μετὰ τοῦ βασιλέως, ἐν τῇ βασι-
λείᾳ αὐτοῦ ἐνίσχυσαν καὶ κατῴκησαν ἐκεῖ. υἱοὶ Συμεών· Να- 24
μουὴλ καὶ Ἰαμίν, Ἰαρίβ, Ζαρέ, Σαούλ· Σαλὲμ υἱὸς αὐτοῦ, Μα- 25
βασὰμ υἱὸς αὐτοῦ, Μασμὰ υἱὸς αὐτοῦ, Ἀμουὴλ υἱὸς αὐτοῦ, 26
Σαβοὺδ υἱὸς αὐτοῦ, Ζακχοὺρ υἱὸς αὐτοῦ, Σεμεῖ υἱὸς αὐτοῦ.
καὶ τῷ Σεμεῖ υἱοὶ ἑκκαίδεκα καὶ θυγατέρες τρεῖς· καὶ τοῖς ἀ- 27
δελφοῖς αὐτῶν οὐκ ἦσαν υἱοὶ πολλοί· καὶ πᾶσαι αἱ πατριαὶ αὐ-
τῶν οὐκ ἐπλεόνασαν ὡς υἱοὶ Ἰούδα. καὶ κατῴκησαν ἐν Βηρσα- 28
βεὲ καὶ Σαμὰ καὶ Μωλαδά, καὶ ἐν Ἐσηρσουὰλ καὶ ἐν Βαλαὰ καὶ 29
ἐν Βοασὸμ καὶ ἐν Θουλὰδ καὶ ἐν Βαθουὴλ καὶ ἐν Ἑρμὰ καὶ ἐν 30
Σικελὰγ καὶ ἐν Βαιθμαριμὼθ καὶ Ἡμισουσεωσὶν καὶ οἶκον Βα- 31
ρουσεωρίμ· αὗται αἱ πόλεις αὐτῶν ἕως βασιλέως Δαυΐδ. καὶ ἐ- 32
παύλεις αὐτῶν· Αἰτὰν καὶ Ἠνρεμμὼν καὶ Θοκκὰν καὶ Αἰσάν,
πόλεις πέντε. καὶ πᾶσαι ἐπαύλεις αὐτῶν κύκλῳ τῶν πόλεων 33
τούτων ἕως Βάαλ· αὕτη ἡ κατάσχεσις αὐτῶν καὶ ὁ καταλοχι-
σμὸς αὐτῶν. καὶ Μοσωβὰβ καὶ Ἰεμολὸχ καὶ Ἰωσία υἱὸς Ἀμα- 34 35
σία καὶ Ἰωὴλ (καὶ οὗτος υἱὸς Ἀσαβία), υἱὸς Σαραία, υἱὸς Ἀσι- 36
ὴλ καὶ Ἐλιωναΐ καὶ Ἰακαβὰ καὶ Ἰασουΐα καὶ Ἀσαΐα καὶ Ἰεδιὴλ
καὶ Ἰσμαὴλ καὶ Βαναΐας καὶ Ζουζὰ υἱὸς Σαφαΐ υἱοῦ Ἀλὼν υἱοῦ 37
Ἰεδιὰ υἱοῦ Σεμρὶ υἱοῦ Σαμαίου. οὗτοι οἱ διελθόντες ἐν ὀνόμα- 38
σιν ἀρχόντων ἐν ταῖς γενέσεσιν αὐτῶν· καὶ ἐν οἴκοις πατριῶν
αὐτῶν ἐπληθύνθησαν εἰς πλῆθος, καὶ ἐπορεύθησαν ἕως τοῦ 39
ἐλθεῖν Γέραρα ἕως τῶν ἀνατολῶν τῆς Γαὶ τοῦ ζητῆσαι νομὰς
τοῖς κτήνεσιν αὐτῶν· καὶ εὗρον νομὰς πλείονας καὶ ἀγαθάς, 40
καὶ ἡ γῆ πλατεῖα ἐναντίον αὐτῶν καὶ εἰρήνη καὶ ἡσυχία, ὅτι ἐκ
τῶν υἱῶν Χὰμ τῶν κατοικούντων ἐκεῖ ἔμπροσθεν. καὶ ἦλθον 41
οὗτοι οἱ γεγραμμένοι ἐπ' ὀνόματος ἐν ἡμέραις Ἐζεκίου βασιλέ-
ως Ἰούδα καὶ ἐπάταξαν τοὺς οἴκους αὐτῶν καὶ τοὺς Μιναίους,
οὓς εὗρον ἐκεῖ, καὶ ἀνεθεμάτισαν αὐτοὺς ἕως τῆς ἡμέρας ταύ-
της καὶ ᾤκησαν ἀντ' αὐτῶν, ὅτι νομαὶ τοῖς κτήνεσιν αὐτῶν ἐ-
κεῖ. καὶ ἐξ αὐτῶν ἀπὸ τῶν υἱῶν Συμεὼν ἐπορεύθησαν εἰς ὄ- 42
ρος Σηΐρ ἄνδρες πεντακόσιοι, καὶ Φαλαεττία καὶ Νωαδία καὶ
Ῥαφαΐα καὶ Ὀζιὴλ υἱοὶ Ἰεσὶ ἄρχοντες αὐτῶν· καὶ ἐπάταξαν 43
τοὺς καταλοίπους τοὺς καταλειφθέντας τοῦ Ἀμαλὴκ καὶ κατῴ-
κησαν ἐκεῖ ἕως τῆς ἡμέρας ταύτης.

Καὶ υἱοὶ Ῥουβὴν πρωτοτόκου Ἰσραήλ, ὅτι οὗτος ὁ πρω- 1 **5**
τότοκος, καὶ ἐν τῷ ἀναβῆναι ἐπὶ τὴν κοίτην τοῦ πατρὸς αὐτοῦ
ἔδωκε τὴν εὐλογίαν αὐτοῦ τῷ υἱῷ αὐτοῦ Ἰωσὴφ υἱῷ Ἰσραήλ,
καὶ οὐκ ἐγενεαλογήθη εἰς πρωτοτόκια· ὅτι Ἰούδας δυνατὸς ἰ- 2
σχύι καὶ ἐν τοῖς ἀδελφοῖς αὐτοῦ καὶ εἰς ἡγούμενον ἐξ αὐτοῦ,
καὶ ἡ εὐλογία τοῦ Ἰωσήφ. υἱοί Ῥουβὴν πρωτοτόκου Ἰσραήλ· 3
Ἐνὼχ καὶ Φαλλούς, Ἀσρὼμ καὶ Χαρμί. υἱοὶ Ἰωήλ· Σεμεΐ καὶ 4
Βαναΐα υἱὸς αὐτοῦ. καὶ υἱοὶ Γοὺγ υἱοῦ Σεμεΐ· υἱὸς αὐτοῦ Μιχά, 5
υἱὸς αὐτοῦ Ῥηχά, υἱὸς αὐτοῦ Ἰωήλ, υἱὸς αὐτοῦ Βεήλ, ὃν μετῴ- 6
κισε Θαγλὰθ Φαλλασὰρ βασιλεὺς Ἀσσούρ· οὗτος ἄρχων τῶν
Ῥουβήν. καὶ ἀδελφοὶ αὐτοῦ τῇ πατρίδι αὐτοῦ ἐν τοῖς καταλοχι- 7
σμοῖς αὐτῶν κατὰ γενέσεις αὐτῶν· ὁ ἄρχων Ἰωὴλ καὶ Ζαχα- 8
ρία καὶ Βαλὲκ υἱὸς Ἀζοὺζ υἱὸς Σαμά, υἱὸς Ἰωήλ· οὗτος κατῴ-
κησεν ἐν Ἀροὴρ καὶ ἐπὶ Ναβαῦ, καὶ Βελμασσὼν καὶ πρὸς ἀνα- 9
τολὰς κατῴκησεν ἕως ἐρχομένων τῆς ἐρήμου, ἀπὸ τοῦ ποτα-
μοῦ Εὐφράτου, ὅτι κτήνη αὐτῶν πολλὰ ἐν γῇ Γαλαάδ. καὶ ἐν ἡ- 10
μέραις Σαοὺλ ἐποίησαν πόλεμον πρὸς τοὺς παροίκους, καὶ ἔ-
πεσον ἐν χερσὶν αὐτῶν κατοικοῦντες ἐν σκηναῖς αὐτῶν πά-
ντες κατ' ἀνατολὰς τῆς Γαλαάδ. υἱοὶ Γὰδ κατέναντι αὐτῶν κα- 11
τῴκησαν ἐν γῇ Βασὰν ἕως Σελχά. Ἰωὴλ πρωτότοκος καὶ Σα- 12
φὰμ ὁ δεύτερος, καὶ Ἰανὶν ὁ γραμματεὺς ἐν Βασάν. καὶ οἱ ἀ- 13
δελφοὶ αὐτῶν κατ' οἴκους πατριῶν αὐτῶν· Μιχαήλ, Μοσολλὰμ
καὶ Σεβεὲ καὶ Ἰωρεὲ καὶ Ἰωαχὰν καὶ Ζουέ, καὶ Ὠβήδ, ἑπτά.
οὗτοι υἱοὶ Ἀβιχαία υἱοῦ Οὐρὶ υἱοῦ Ἰδαΐ υἱοῦ Γαλαὰδ υἱοῦ Μι- 14
χαὴλ υἱοῦ Ἰεσαΐ υἱοῦ Ἰεδδαΐ υἱοῦ Ζαβουχὰμ ἀδελφοῦ υἱοῦ Ἀ-
βδιὴλ υἱοῦ Γουνί· ἄρχων οἴκου πατριῶν. κατῴκουν ἐν Γαλαάδ, 15 16
ἐν Βασὰν καὶ ἐν ταῖς κώμαις αὐτῶν καὶ πάντα τὰ περίχωρα
Σαρὼν ἕως ἐξόδου. πάντων ὁ καταλοχισμὸς ἐν ἡμέραις Ἰωά- 17
θαμ βασιλέως Ἰούδα καὶ ἐν ἡμέραις Ἱεροβοὰμ βασιλέως Ἰσ-
ραήλ. υἱοὶ Ῥουβὴν καὶ Γὰδ καὶ ἥμισυ φυλῆς Μανασσὴ ἐξ υἱῶν 18
δυνάμεως, ἄνδρες αἴροντες ἀσπίδας καὶ μάχαιραν καὶ τείνο-
ντες τόξον καὶ δεδιδαγμένοι πόλεμον, τεσσαράκοντα καὶ τέσ-
σαρες χιλιάδες καὶ ἑπτακόσιοι καὶ ἑξήκοντα ἐκπορευόμενοι
εἰς παράταξιν. καὶ ἐποίουν πόλεμον μετὰ τῶν Ἀγαρηνῶν καὶ Ἰ- 19
τουραίων καὶ Ναφισαίων καὶ Ναδαβαίων καὶ κατίσχυσαν ἐπ'
αὐτῶν, καὶ ἐδόθησαν εἰς χεῖρας αὐτῶν οἱ Ἀγαραῖοι καὶ πάντα 20
τὰ σκηνώματα αὐτῶν, ὅτι πρὸς τὸν θεὸν ἐβόησαν ἐν τῷ πολέ-
μῳ, καὶ ἐπήκουσεν αὐτοῖς, ὅτι ἤλπισαν ἐπ' αὐτόν. καὶ ᾐχμα- 21
λώτευσαν τὴν ἀποσκευὴν αὐτῶν, καμήλους πεντακισχιλίας
καὶ προβάτων διακοσίας πεντήκοντα χιλιάδας, ὄνους δισχι- 22
λίους καὶ ψυχὰς ἀνδρῶν ἑκατὸν χιλιάδας· ὅτι τραυματίαι πολ-
λοὶ ἔπεσον, ὅτι παρὰ τοῦ θεοῦ ὁ πόλεμος. καὶ κατῴκησαν ἀντ'
αὐτῶν ἕως τῆς μετοικεσίας. καὶ ἡμίσεις φυλῆς Μανασσὴ κα- 23
τῴκησαν ἐν τῇ γῇ ἀπὸ Βασὰν ἕως Βάαλ Ἑρμὼν καὶ Σανὶρ καὶ
ὄρος Ἑρμών· καὶ ἐν τῷ Λιβάνῳ αὐτοὶ ἐπλεονάσθησαν. καὶ οὗ-

τοι ἀρχηγοὶ οἴκου πατριῶν αὐτῶν· Ὀφὲρ καὶ Σεῖ καὶ Ἐλιὴλ 24
καὶ Ἱερμία καὶ Ὠδουΐα καὶ Ἰεδιήλ, ἄνδρες ἰσχυροὶ δυνάμει ἄν-
δρες ὀνομαστοί, ἄρχοντες τῶν οἴκων πατριῶν αὐτῶν. καὶ ἠθέ- 25
τησαν ἐν θεῷ πατέρων αὐτῶν καὶ ἐπόρνευσαν ὀπίσω θεῶν
τῶν λαῶν τῆς γῆς, οὓς ἐξῆρεν ὁ θεὸς ἀπὸ προσώπου αὐτῶν.
καὶ ἐπήγειρεν ὁ θεὸς Ἰσραὴλ τὸ πνεῦμα Φαλὼχ βασιλέως Ἀσ- 26
σοὺρ καὶ τὸ πνεῦμα Θαγλὰθ Φαλλασὰρ βασιλέως Ἀσσούρ,
καὶ μετῴκισε τὸν Ῥουβὴν καὶ τὸν Γαδδὶ καὶ τὸ ἥμισυ φυλῆς
Μανασσὴ καὶ ἤγαγεν αὐτοὺς εἰς Χαλὰχ καὶ Χαβὼρ καὶ ἐπὶ πο-
ταμὸν Γωζὰν ἕως τῆς ἡμέρας ταύτης.

Υἱοὶ Λευΐ· Γεδσών, Καὰθ καὶ Μεραρί. καὶ υἱοὶ Καάθ· Ἄμ- 27 28
βραμ καὶ Ἰσσάαρ, Χεβρὼν καὶ Ὀζιήλ. καὶ υἱοὶ Ἄμβραμ· Ἀα- 29
ρὼν καὶ Μωϋσῆς καὶ Μαριάμ. καὶ υἱοὶ Ἀαρών· Ναδὰβ καὶ Ἀ-
βιούδ, Ἐλεάζαρ καὶ Ἰθάμαρ. Ἐλεάζαρ ἐγέννησε τὸν Φινεές, Φι- 30
νεὲς ἐγέννησε τὸν Ἀβισού, Ἀβισοὺ ἐγέννησε τὸν Βωκαΐ, Βω- 31
καΐ ἐγέννησε τὸν Ὀζί, Ὀζὶ ἐγέννησε τὸν Ζαραΐα, Ζαραΐα ἐ- 32
γέννησε τὸν Μαριὴλ καὶ Μαριὴλ ἐγέννησε τὸν Ἀμαρία, καὶ Ἀ- 33
μαρία ἐγέννησε τὸν Ἀχιτώβ, καὶ Ἀχιτὼβ ἐγέννησε τὸν Σα- 34
δώκ, καὶ Σαδὼκ ἐγέννησε τὸν Ἀχιμάας, καὶ Ἀχιμάας ἐγέννη- 35
σε τὸν Ἀζαρίαν, καὶ Ἀζαρίας ἐγέννησε τὸν Ἰωανάν, καὶ Ἰωα- 36
νὰν ἐγέννησε τὸν Ἀζαρίαν· οὗτος ἱεράτευσεν ἐν τῷ οἴκῳ, ᾧ
ᾠκοδόμησε Σαλωμὼν ἐν Ἰερουσαλήμ. καὶ ἐγέννησεν Ἀζαρίας 37
τὸν Ἀμαρία, καὶ Ἀμαρία ἐγέννησε τὸν Ἀχιτώβ, καὶ Ἀχιτὼβ ἐ- 38
γέννησε τὸν Σαδώκ, καὶ Σαδὼκ ἐγέννησε τὸν Σαλώμ, καὶ Σα- 39
λὼμ ἐγέννησε τὸν Χελκίαν, καὶ Χελκίας ἐγέννησε τὸν Ἀζα-
ρίαν, καὶ Ἀζαρίας ἐγέννησε τὸν Σαραία, καὶ Σαραίας ἐγέννησε 40
τὸν Ἰωσαδάκ, καὶ Ἰωσαδὰκ ἐπορεύθη ἐν τῇ μετοικεσίᾳ μετὰ 41
Ἰούδα καὶ Ἰερουσαλὴμ ἐν χειρὶ Ναβουχοδονόσορ.

Υἱοὶ Λευΐ· Γεδσών, Καὰθ καὶ Μεραρί. καὶ ταῦτα τὰ ὀνόμα- 1 2 **6**
τα τῶν υἱῶν Γεδσών· Λοβενὶ καὶ Σεμεΐ. υἱοὶ Καάθ· Ἄμβραμ 3
καὶ Ἰσσάαρ, Χεβρὼν καὶ Ὀζιήλ. υἱοὶ Μεραρί· Μοολὶ καὶ Ὁ- 4
μουσί. καὶ αὗται αἱ πατριαὶ τοῦ Λευΐ κατὰ πατριὰς αὐτῶν. τῷ 5
Γεδσών· τῷ Λοβενὶ υἱῷ αὐτοῦ Ἰὲθ υἱὸς αὐτοῦ, Ζαμμὰ υἱὸς αὐ-
τοῦ, Ἰωὰχ υἱὸς αὐτοῦ, Ἀδδὶ υἱὸς αὐτοῦ, Ζαρὰ υἱὸς αὐτοῦ, Ἰε- 6
θρὶ υἱὸς αὐτοῦ. υἱοὶ Καάθ· Ἀμιναδὰβ υἱὸς αὐτοῦ, Κορὲ υἱὸς 7
αὐτοῦ, Ἀσὴρ υἱὸς αὐτοῦ. Ἑλκανὰ υἱὸς αὐτοῦ, Ἀβισὰφ υἱὸς 8
αὐτοῦ, Ἀσὴρ υἱὸς αὐτοῦ, Θαὰθ υἱὸς αὐτοῦ, Οὐριὴλ υἱὸς αὐ- 9
τοῦ, Ὀζία υἱὸς αὐτοῦ, Σαοὺλ υἱὸς αὐτοῦ. καὶ υἱοὶ Ἑλκανά· Ἀ- 10
μασὶ καὶ Ἀχιμώθ, Ἑλκανὰ υἱὸς αὐτοῦ, Σουφὶ υἱὸς αὐτοῦ καὶ 11
Ναὰθ υἱὸς αὐτοῦ, Ἐλιὰβ υἱὸς αὐτοῦ, Ἱερεὰμ υἱὸς αὐτοῦ, Ἑλκα- 12
νὰ υἱὸς αὐτοῦ. υἱοὶ Σαμουήλ· ὁ πρωτότοκος Σανὶ καὶ Ἀβιά. υἱ- 13 14
οὶ Μεραρί· Μοολί, Λοβενὶ υἱὸς αὐτοῦ, Σεμεΐ υἱὸς αὐτοῦ, Ὀζὰ
υἱὸς αὐτοῦ, Σαμαὰ υἱὸς αὐτοῦ, Ἀγγία υἱὸς αὐτοῦ, Ἀσαΐας υἱ- 15
ὸς αὐτοῦ. καὶ οὗτοι, οὓς κατέστησε Δαυΐδ ἐπὶ χεῖρας ᾀδόντων 16
ἐν οἴκῳ Κυρίου ἐν τῇ καταπαύσει τῆς κιβωτοῦ, καὶ ἦσαν λει- 17

τουργοῦντες ἐναντίον τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν ὀργάνοις,
ἕως οὗ ᾠκοδόμησε Σαλωμὼν τὸν οἶκον Κυρίου ἐν Ἰερουσα-
λήμ, καὶ ἔστησαν κατὰ τὴν κρίσιν αὐτῶν ἐπὶ τὰς λειτουργίας
αὐτῶν. καὶ οὗτοι οἱ ἑστηκότες καὶ υἱοὶ αὐτῶν ἐκ τῶν υἱῶν τοῦ 18
Καάθ· Αἰμὰν ὁ ψαλτῳδὸς υἱὸς Ἰωήλ, υἱοῦ Σαμουήλ, υἱοῦ Ἑλκα- 19
νά, υἱοῦ Ἰερεβὰμ υἱοῦ Ἐλιὴλ υἱοῦ Θοοὺ υἱοῦ Σοὺφ υἱοῦ Ἑλκα- 20
νὰ υἱοῦ Μαὰθ υἱοῦ Ἀμαθὶ υἱοῦ Ἑλκανὰ υἱοῦ Ἰωὴλ υἱοῦ Ἀζα- 21
ρία υἱοῦ Σαφανία υἱοῦ Θαὰθ υἱοῦ Ἀσὴρ υἱοῦ Ἀβιασὰφ υἱοῦ 22
Κορὲ υἱοῦ Ἰσσάαρ υἱοῦ Καὰθ υἱοῦ Λευὶ υἱοῦ Ἰσραήλ. καὶ ὁ ἀ- 23 24
δελφὸς αὐτοῦ Ἀσὰφ ὁ ἑστηκὼς ἐν δεξιᾷ αὐτοῦ· Ἀσὰφ υἱὸς
Βαραχία υἱοῦ Σαμαὰ υἱοῦ Μιχαὴλ υἱοῦ Βαασία υἱοῦ Μελχία υἱ- 25 26
οῦ Ἀθανὶ υἱοῦ Ζαραΐ υἱοῦ Ἀδαΐ υἱοῦ Αἰθὰν υἱοῦ Ζαμμὰ υἱοῦ 27
Σεμεΐ υἱοῦ Ἰεὲθ υἱοῦ Γεδσὼν υἱοῦ Λευΐ. καὶ υἱοὶ Μεραρὶ οἱ ἀ- 28 29
δελφοὶ αὐτῶν ἐξ ἀριστερῶν· Αἰθὰν υἱὸς Κισὰ υἱοῦ Ἀβαΐ υἱοῦ
Μαλὼχ υἱοῦ Ἀσεβὶ υἱοῦ Ἀμεσία υἱοῦ Χελκίου υἱοῦ Ἀμασαΐ υἱ- 30 31
οῦ Βανὶ υἱοῦ Σεμὴρ υἱοῦ Μοολὶ υἱοῦ Μουσὶ υἱοῦ Μεραρὶ υἱοῦ 32
Λευΐ. καὶ οἱ ἀδελφοὶ αὐτῶν κατ' οἴκους πατριῶν αὐτῶν, οἱ 33
Λευῖται οἱ δεδομένοι εἰς πᾶσαν ἐργασίαν λειτουργίας σκηνῆς
οἴκου τοῦ θεοῦ. καὶ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ θυμιῶντες ἐπὶ τὸ 34
θυσιαστήριον τῶν ὁλοκαυτωμάτων καὶ ἐπὶ τὸ θυσιαστήριον
τῶν θυμιαμάτων εἰς πᾶσαν ἐργασίαν ἅγια τῶν ἁγίων καὶ ἐξι-
λάσκεσθαι περὶ Ἰσραὴλ κατὰ πάντα, ὅσα ἐνετείλατο Μωϋσῆς
παῖς τοῦ θεοῦ. καὶ οὗτοι υἱοὶ Ἀαρών· Ἐλεάζαρ υἱὸς αὐτοῦ, Φι- 35
νεὲς υἱὸς αὐτοῦ, Ἀβισοὺ υἱὸς αὐτοῦ, Βωκαὶ υἱὸς αὐτοῦ, Ὀζὶ 36
υἱὸς αὐτοῦ, Ζαραΐα υἱὸς αὐτοῦ, Μαριὴλ υἱὸς αὐτοῦ, Ἀμαρία 37
υἱὸς αὐτοῦ, Ἀχιτὼβ υἱὸς αὐτοῦ, Σαδὼκ υἱὸς αὐτοῦ, Ἀχιμάας 38
υἱὸς αὐτοῦ. καὶ αὗται αἱ κατοικίαι αὐτῶν ἐν ταῖς κώμαις αὐ- 39
τῶν, ἐν τοῖς ὁρίοις αὐτῶν· τοῖς υἱοῖς Ἀαρὼν τῇ πατριᾷ τοῦ
Καὰθ ὅτι αὐτοῖς ἐγένετο ὁ κλῆρος καὶ ἔδωκαν αὐτοῖς τὴν 40
Χεβρὼν ἐν γῇ Ἰούδα καὶ τὰ περισπόρια αὐτῆς κύκλῳ αὐτῆς·
καὶ τὰ πεδία τῆς πόλεως καὶ τὰς κώμας αὐτῆς ἔδωκαν τῷ Χά- 41
λεβ υἱῷ Ἰεφοννή. καὶ τοῖς υἱοῖς Ἀαρὼν ἔδωκαν τὰς πόλεις 42
τῶν φυγαδευτηρίων, τὴν Χεβρὼν καὶ τὴν Λοβνὰ καὶ τὰ περι-
σπόρια αὐτῆς καὶ τὴν Σελνὰ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν
Ἐσθαμὼ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ἰεθθὰρ καὶ τὰ περι- 43
σπόρια αὐτῆς καὶ τὴν Δαβὶρ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν 44
Ἀσὰν καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Βασαμὺς καὶ τὰ περι-
σπόρια αὐτῆς. καὶ ἐκ φυλῆς Βενιαμὶν τὴν Γαβαὲ καὶ τὰ περι- 45
σπόρια αὐτῆς καὶ τὴν Γαλεμὲθ καὶ τὰ περισπόρια αὐτῆς καὶ
τὴν Ἀναθὼθ καὶ τὰ περισπόρια αὐτῆς· πᾶσαι αἱ πόλεις αὐτῶν
τρισκαίδεκα πόλεις κατὰ πατριὰς αὐτῶν. καὶ τοῖς υἱοῖς Καὰθ 46
τοῖς καταλοίποις ἐκ τῶν πατριῶν ἐκ τῆς φυλῆς ἐκ τοῦ ἡμί-
σους φυλῆς Μανασσὴ κλήρῳ πόλεις δέκα. καὶ τοῖς υἱοῖς Γεδ- 47
σὼν κατὰ πατριὰς αὐτῶν ἐκ φυλῆς Ἰσσάχαρ, ἐκ φυλῆς Ἀσήρ,
ἀπὸ φυλῆς Νεφθαλί, ἐκ φυλῆς Μανασσὴ ἐν τῇ Βασὰν πόλεις

τρισκαίδεκα. καὶ τοῖς υἱοῖς Μεραρὶ κατὰ πατριὰς αὐτῶν ἐκ φυ- 48
λῆς Ῥουβήν, ἐκ φυλῆς Γάδ, ἐκ φυλῆς Ζαβουλὼν κλήρῳ πόλεις
δεκαδύο. καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ τοῖς Λευῖταις τὰς πόλεις 49
καὶ τὰ περισπόρια αὐτῶν· καὶ ἔδωκαν ἐν κλήρῳ ἐκ φυλῆς υἱῶν 50
Ἰούδα καὶ ἐκ φυλῆς υἱῶν Συμεὼν καὶ ἐκ φυλῆς υἱῶν Βενια-
μὶν τὰς πόλεις ταύτας, ἃς ἐκάλεσαν αὐτὰς ἐπ' ὀνόματος. καὶ ἀ- 51
πὸ τῶν πατριῶν υἱῶν Καὰθ καὶ ἐγένοντο πόλεις τῶν ὁρίων
αὐτῶν ἐκ φυλῆς Ἐφραΐμ. καὶ ἔδωκαν αὐτοῖς τὰς πόλεις τῶν 52
φυγαδευτηρίων, τὴν Συχὲμ καὶ τὰ περισπόρια αὐτῆς ἐν ὄρει Ἐ-
φραΐμ καὶ τὴν Γαζὲρ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ἰεκμαὰν 53
καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Βαιθωρὼν καὶ τὰ περισπόρια
αὐτῆς καὶ τὴν Ἐγλὰμ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Γεθρεμ- 54
μὼν καὶ τὰ περισπόρια αὐτῆς καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μα- 55
νασσὴ τὴν Ἀνὰρ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ἰεμβλάαν
καὶ τὰ περισπόρια αὐτῆς, κατὰ πατριὰν τοῖς υἱοῖς Καὰθ τοῖς
καταλοίποις. τοῖς υἱοῖς Γεδσὼν ἀπὸ πατριῶν ἡμίσους φυλῆς 56
Μανασσὴ τὴν Γωλὰν ἐκ τῆς Βασὰν καὶ τὰ περισπόρια αὐτῆς
καὶ τὴν Ἀσηρὼθ καὶ τὰ περισπόρια αὐτῆς· καὶ ἐκ φυλῆς Ἰσσά- 57
χαρ τὴν Κέδες καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Δεβερὶ καὶ τὰ
περισπόρια αὐτῆς καὶ τὴν Δαβὼρ καὶ τὰ περισπόρια αὐτῆς καὶ 58
τὴν Ζαβὼρ καὶ τὴν Αἰνὰν καὶ τὰ περισπόρια αὐτῆς· καὶ ἐκ φυ- 59
λῆς Ἀσὴρ τὴν Μαασὰλ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ἀ-
βδὼν καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ἀκὰκ καὶ τὰ περισπό- 60
ρια αὐτῆς καὶ τὴν Ῥοὼβ καὶ τὰ περισπόρια αὐτῆς· καὶ ἀπὸ φυ- 61
λῆς Νεφθαλὶ τὴν Κέδες ἐν τῇ Γαλιλαίᾳ καὶ τὰ περισπόρια αὐ-
τῆς καὶ τὴν Χαμὼθ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Καρια-
θαΐμ καὶ τὰ περισπόρια αὐτῆς. τοῖς υἱοῖς Μεραρὶ τοῖς καταλοί- 62
ποις ἐκ φυλῆς Ζαβουλὼν τὴν Ῥεμμὼν καὶ τὰ περισπόρια αὐ-
τῆς καὶ τὴν Θαλλιὰ καὶ τὰ περισπόρια αὐτῆς, ἐκ τοῦ Πέραν 63
τοῦ Ἰορδάνου τὴν Ἰεριχὼ κατὰ δυσμὰς τοῦ Ἰορδάνου· ἐκ φυ-
λῆς Ῥουβὴν τὴν Βοσὸρ ἐν τῇ ἐρήμῳ καὶ τὰ περισπόρια αὐτῆς
καὶ τὴν Ἰασὰ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Καδμὼθ καὶ τὰ 64
περισπόρια αὐτῆς καὶ τὴν Μαεφλὰ καὶ τὰ περισπόρια αὐτῆς
καὶ ἐκ φυλῆς Γὰδ τὴν Ῥαμμὼθ Γαλαὰδ καὶ τὰ περισπόρια αὐ- 65
τῆς καὶ τὴν Μαναΐμ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ἐσεβὼν 66
καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ἰαζὴρ καὶ τὰ περισπόρια αὐ-
τῆς.

Καὶ τοῖς υἱοῖς Ἰσσάχαρ· Θωλὰ καὶ Φουὰ καὶ Ἰασοὺβ καὶ 1 **7**
Σεμερών, τέσσαρες. καὶ υἱοὶ Θωλά· Ὀζί, Ῥαφαΐα καὶ Ἰεριὴλ 2
καὶ Ἰαμαΐ καὶ Ἰεβασὰμ καὶ Σαμουήλ, ἄρχοντες οἴκων πατριῶν
αὐτῶν τῷ Θωλά, ἰσχυροὶ δυνάμει κατὰ γενέσεις αὐτῶν. ὁ ἀ- 3
ριθμὸς αὐτῶν ἐν ἡμέραις Δαυῖδ εἴκοσι καὶ δύο χιλιάδες καὶ ἑ-
ξακόσιοι. καὶ υἱοὶ Ὀζί· Ἰεζραΐα καὶ υἱοὶ Ἰεζραΐα· Μιχαήλ,
Ἀβδιοὺ καὶ Ἰωὴλ καὶ Ἰεσία, πέντε, ἄρχοντες πάντες. καὶ ἐπ' 4
αὐτῶν κατὰ γενέσεις αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν, ἰ-

σχυροὶ παρατάξασθαι εἰς πόλεμον τριάκοντα καὶ ἓξ χιλιάδες,
ὅτι ἐπλήθυναν γυναῖκας καὶ υἱούς. καὶ ἀδελφοὶ αὐτῶν εἰς πά- 5
σας πατριὰς Ἰσσάχαρ καὶ ἰσχυροὶ δυνάμει ὀγδοήκοντα καὶ ἑ-
πτὰ χιλιάδες, ὁ ἀριθμὸς αὐτῶν τῶν πάντων. υἱοὶ Βενιαμίν· Βα- 6
λὲ καὶ Βαχὶρ καὶ Ἰαδιήλ, τρεῖς. καὶ υἱοὶ Βαλέ· Ἀσεβὼν καὶ Ὀζὶ 7
καὶ Ὀζιὴλ καὶ ὁ Ἱεριμὼθ καὶ Οὐρί, πέντε, ἄρχοντες οἴκων πα-
τριῶν ἰσχυροὶ δυνάμει, καὶ ὁ ἀριθμὸς αὐτῶν εἴκοσι καὶ δύο χι-
λιάδες καὶ τριάκοντα τέσσαρες. καὶ υἱοὶ Βαχίρ· Ζεμιρὰ καὶ Ἰω- 8
ὰς καὶ Ἐλιέζερ καὶ Ἐλιθενὰν καὶ Ἀμαρία καὶ Ἱεριμὼθ καὶ Ἀ-
βιοὺδ καὶ Ἀναθὼθ καὶ Ἐλμεμέθ· πάντες οὗτοι υἱοὶ Βαχίρ. καὶ ὁ 9
ἀριθμὸς αὐτῶν κατὰ γενέσεις αὐτῶν, ἄρχοντες οἴκων πατριῶν
αὐτῶν ἰσχυροὶ δυνάμει, εἴκοσι χιλιάδες καὶ διακόσιοι. καὶ υἱοὶ 10
Ἰαδιήλ· Βαλαάν. καὶ υἱοὶ Βαλαάν· Ἰαοὺς καὶ Βενιαμὶν καὶ Ἀὼθ
καὶ Χανανὰ καὶ Ζαιθὰν καὶ Θαρσὶ καὶ Ἀχισαάρ. πάντες οὗτοι 11
υἱοὶ Ἰαδιήλ, ἄρχοντες τῶν πατριῶν ἰσχυροὶ δυνάμει ἑπτακαί-
δεκα χιλιάδες καὶ διακόσιοι, ἐκπορευόμενοι δυνάμει τοῦ πολε-
μεῖν. καὶ Σαπφὶν καὶ Ἀπφὶν καὶ υἱοὶ Ῥαώμ· υἱὸς αὐτοῦ Ἀέρ. 12
υἱοὶ Νεφθαλί· Ἰασιήλ, Γωνὶ καὶ Ἰσσιὴρ καὶ Σαλλούρ, υἱοὶ Βα- 13
λαά. υἱοὶ Μανασσή· Ἀσεριήλ, ὃν ἔτεκεν ἡ παλλακὴ αὐτοῦ ὁ 14
Σύρα· ἔτεκε δὲ αὐτῷ καὶ Μαχὶρ πατέρα Γαλαάδ. καὶ Μαχὶρ ἔλα- 15
βε γυναῖκα τῷ Ἀμφὶν καὶ Μαμφίν· καὶ ὄνομα ἀδελφῆς αὐτοῦ
Μοωχά. καὶ ὄνομα τῷ δευτέρῳ Σαλπαάδ, καὶ ἐγεννήθησαν τῷ
Σαλπαὰδ θυγατέρες. καὶ ἔτεκε Μοωχὰ γυνὴ Μαχὶρ υἱὸν καὶ ἐ- 16
κάλεσε τὸ ὄνομα αὐτοῦ Φαρές, καὶ ὄνομα ἀδελφοῦ αὐτοῦ Σό-
ρος· υἱοὶ αὐτοῦ Οὐλὰμ καὶ Ῥοκόμ. καὶ υἱοὶ Οὐλάμ, Βαδάν. οὗ- 17
τοι υἱοὶ Γαλαὰδ υἱοῦ Μαχὶρ υἱοῦ Μανασσή. καὶ ἡ ἀδελφὴ αὐ- 18
τοῦ ἡ Μαλεχὲθ ἔτεκε τὸν Ἰσαδὲκ καὶ τὸν Ἀβιέζερ καὶ τὸν Μαε-
λά. καὶ ἦσαν υἱοὶ Σεμιρά· Ἰαὶμ καὶ Συχὲμ καὶ Λαχὶμ καὶ Ἀ- 19
νιάν. καὶ υἱοὶ Ἐφραΐμ· Σωθαλὰ καὶ Βαρὰδ υἱὸς αὐτοῦ καὶ Θαὰθ 20
υἱὸς αὐτοῦ, Ἐλεαδὰ υἱὸς αὐτοῦ, Νομεὲ υἱὸς αὐτοῦ, Ζαβὲδ υἱ- 21
ὸς αὐτοῦ, Σωθελὲ υἱὸς αὐτοῦ καὶ Ἀζὲρ καὶ Ἐλεάδ. καὶ ἀπέ-
κτειναν αὐτοὺς οἱ ἄνδρες Γὲθ οἱ τεχθέντες ἐν τῇ γῇ, ὅτι κατέ-
βησαν τοῦ λαβεῖν τὰ κτήνη αὐτῶν. καὶ ἐπένθησεν Ἐφραΐμ ὁ 22
πατὴρ αὐτῶν ἡμέρας πολλάς, καὶ ἦλθον οἱ ἀδελφοὶ αὐτοῦ τοῦ
παρακαλέσαι αὐτόν. καὶ εἰσῆλθε πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ 23
ἔλαβεν ἐν γαστρὶ καὶ ἔτεκεν υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ
Βαραγά, ὅτι ἐν κακοῖς ἐγένετο ἐν οἴκῳ μου. καὶ ἐν ἐκείνοις 24
τοῖς καταλοίποις καὶ ᾠκοδόμησε τὴν Βαιθωρὼν τὴν κάτω καὶ
τὴν ἄνω. καὶ υἱοὶ Ὀζάν· Σεηρά, καὶ Ῥαφὴ υἱοὶ αὐτοῦ, Σαρὰφ 25
καὶ Θαλεὲς υἱοὶ αὐτοῦ, Θαὲν υἱὸς αὐτοῦ. τῷ Λαὰδὰν υἱῷ αὐ- 26
τοῦ υἱὸς Ἀμιούδ, Ἐλισαμαΐ υἱὸς αὐτοῦ, Νοὺμ υἱὸς αὐτοῦ, Ἰη- 27
σουὲ υἱὸς αὐτοῦ. καὶ κατάσχεσις αὐτῶν καὶ κατοικία αὐτῶν· 28
Βαιθὴλ καὶ αἱ κῶμαι αὐτῆς, κατ' ἀνατολὰς Νοαράν, πρὸς δυ-
σμαῖς Γαζὲρ καὶ αἱ κῶμαι αὐτῆς· καὶ Συχὲμ καὶ αἱ κῶμαι αὐτῆς
ἕως Γαιὰν καὶ αἱ κῶμαι αὐτῆς. καὶ ἕως ὁρίων υἱῶν Μανασσή· 29

Βαιθσαὰν καὶ αἱ κῶμαι αὐτῆς, Θαανὰχ καὶ αἱ κῶμαι αὐτῆς, Μα-
γεδδὼ καὶ αἱ κῶμαι αὐτῆς, Δὼρ καὶ αἱ κῶμαι αὐτῆς. ἐν ταύ-
ταις κατῴκησαν υἱοὶ Ἰωσὴφ υἱοῦ Ἰσραήλ. υἱοὶ Ἀσήρ· Ἰεμνὰ 30
καὶ Σουΐα. καὶ Ἰσουῒ καὶ Βεριὰ καὶ Σορὲ ἀδελφὴ αὐτῶν. καὶ υἱ- 31
οὶ Βεριά· Χαβὲρ καὶ Μελχιήλ, οὗτος πατὴρ Βερζαΐθ. καὶ Χαβὲρ 32
ἐγέννησε τὸν Ἰαφλὴτ καὶ τὸν Σαμὴρ καὶ τὸν Χωθὰμ καὶ τὴν
Σωλὰ ἀδελφὴν αὐτῶν. καὶ υἱοὶ Ἰαφλήτ· Φασὲκ καὶ Βαμαὴλ καὶ 33
Ἀσίθ· οὗτοι υἱοὶ Ἰαφλήτ. καὶ υἱοὶ Σεμμήρ· Ἀχιουραογὰ καὶ Ὀ- 34
βὰ καὶ Ἀρὰμ καὶ Βανηελάμ· ἀδελφοὶ αὐτοῦ Σοφὰ καὶ Ἰμανὰ καὶ 35
Σελλὴς καὶ Ἀμάλ. υἱοὶ Σωφά· Σουὲ καὶ Ἀρναφὰρ καὶ Σουδὰ 36
καὶ Βαρὶν καὶ Ἰμρὰν καὶ Σοβὰλ καὶ Ὤδ καὶ Σεμμὰ καὶ Σαλισὰ 37
καὶ Ἰεθρὰν καὶ Βεηρά. καὶ υἱοὶ Ἰεθήρ· Ἰεφινὰ καὶ Φασφὰ καὶ Ἀ- 38
ρά. καὶ υἱοὶ Ὦλά· Ὀρέχ, Ἀνιὴλ καὶ Ῥασιά. πάντες οὗτοι υἱοὶ 39 40
Ἀσήρ, πάντες ἄρχοντες πατριῶν ἐκλεκτοὶ ἰσχυροὶ δυνάμει,
ἄρχοντες ἡγούμενοι· ὁ ἀριθμὸς αὐτῶν εἰς παράταξιν τοῦ πολε-
μεῖν, ἀριθμὸς αὐτῶν ἄνδρες εἴκοσιν ἓξ χιλιάδες.

Καὶ Βενιαμὶν ἐγέννησε Βαλὲ πρωτότοκον αὐτοῦ καὶ Ἀ- 1 **8**
σβὴλ τὸν δεύτερον, Ἀαρὰ τὸν τρίτον, Νωὰ τὸν τέταρτον καὶ 2
Ῥαφὴ τὸν πέμπτον. καὶ ἦσαν υἱοὶ τῷ Βαλέ· Ἀδὶρ καὶ Γηρὰ καὶ 3
Ἀβιοὺδ καὶ Ἀβισουὲ καὶ Νοαμὰ καὶ Ἀχιὰ καὶ Γηρὰ καὶ Σεφου- 4 5
φὰμ καὶ Οὐράμ. οὗτοι υἱοὶ Ἀώδ· οὗτοί εἰσιν ἄρχοντες πα- 6
τριῶν τοῖς κατοικοῦσι Γαβεέ, καὶ μετῴκισαν αὐτοὺς εἰς Μαναχαθί· καὶ Νοομὰ καὶ Ἀχιὰ καὶ Γηρά· οὗτος Ἰεγλαὰμ καὶ ἐγέν- 7
νησε τὸν Ἀζὰ καὶ τὸν Ἰαχιχώ. καὶ Σααρὶν ἐγέννησεν ἐν τῷ πε- 8
δίῳ Μωὰβ μετὰ τὸ ἀποστεῖλαι αὐτὸν Ὦσὶν καὶ τὴν Βααδὰ γυναῖκα αὐτοῦ. καὶ ἐγέννησεν ἐκ τῆς Ἀδὰ γυναικὸς αὐτοῦ τὸν 9
Ἰωβὰβ καὶ τὸν Σεβιὰ καὶ τὸν Μισὰ καὶ τὸν Μελχὰμ καὶ τὸν Ἰα- 10
ὼς καὶ τὸν Σαβιὰ καὶ τὸν Μαρμά· οὗτοι ἄρχοντες τῶν πατριῶν. καὶ ἐκ τῆς Ὦσὶν ἐγέννησε τὸν Ἀβιτὼλ καὶ τὸν Ἀλφαάλ. 11
καὶ υἱοὶ Ἀλφαάλ· Ὠβήδ, Μισαάλ, Σεμμήρ· οὗτος ᾠκοδόμησε 12
τὴν Ὠνὼ καὶ τὴν Λὼδ καὶ τὰς κώμας αὐτῆς· καὶ Βεριὰ καὶ Σα- 13
μά. οὗτοι ἄρχοντες πατριῶν τοῖς κατοικοῦσιν Αἰλάμ, καὶ οὗτοι
ἐξεδίωξαν τοὺς κατοικοῦντας Γέθ. καὶ ἀδελφὸς αὐτοῦ Σωσὴκ 14
καὶ Ἀριμὼθ καὶ Ζαβαδία, καὶ Ὠρὴδ καὶ Ἔδερ καὶ Μιχαὴλ καὶ 15 16
Ἰεσφὰ καὶ Ἰωδά, υἱοὶ Βεριά. καὶ Ζαβαδία καὶ Μοσολλὰμ καὶ Ἀ- 17
ζακὶ καὶ Ἀβὰρ καὶ Ἰσαμαρὶ καὶ Ἰεζλίας καὶ Ἰωβάβ, υἱοὶ Ἐλφα- 18
άλ. καὶ Ἰακὶμ καὶ Ζαχρὶ καὶ Ζαβδὶ καὶ Ἐλιωναῒ καὶ Σαλαθὶ καὶ 19 20
Ἐλιηλὶ καὶ Ἀδαΐα καὶ Βαραΐα καὶ Σαμαράθ, υἱοὶ Σαμαΐθ. καὶ Ἰε- 21 22
σφὰν καὶ Ὠβὴδ καὶ Ἐλεὴλ καὶ Ἀβδὼν καὶ Ζεχρὶ καὶ Ἀνὰν καὶ 23 24
Ἀνανία καὶ Ἀμβρὶ καὶ Αἰλὰμ καὶ Ἀναθὼθ καὶ Ἰαθὶν καὶ Ἰεφα- 25
δίας καὶ Φανουήλ, υἱοὶ Σωσήκ, καὶ Σαμσαρὶ καὶ Σααρίας καὶ 26
Γοθολία καὶ Ἰαρασία καὶ Ἐριὰ καὶ Ζεχρί, υἱοὶ Ἰεροάμ. οὗτοι 27 28
ἄρχοντες πατριῶν κατὰ γενέσεις αὐτῶν ἄρχοντες· οὗτοι κατῴκησαν ἐν Ἰερουσαλήμ· καὶ ἐν Γαβαὼν κατῴκησε πατὴρ Γα- 29
βαών, καὶ ὄνομα γυναικὶ αὐτοῦ Μααχά. καὶ ὁ υἱὸς αὐτῆς ὁ 30

πρωτότοκος Ἀβαδὼν καὶ Σοὺρ καὶ Κὶς καὶ Βαὰλ καὶ Νὴρ καὶ
Ναδὰβ καὶ Γεδοὺρ καὶ ἀδελφὸς αὐτοῦ καὶ Ζακχοὺρ καὶ Μακε- 31
λώθ· καὶ Μακελὼθ ἐγέννησε τὸν Σαμαά· καὶ γὰρ οὗτοι κατένα- 32
ντι τῶν ἀδελφῶν αὐτῶν κατῴκησαν ἐν Ἰερουσαλὴμ μετὰ τῶν
ἀδελφῶν αὐτῶν. καὶ Νὴρ γέννησε τὸν Κίς, καὶ Κὶς ἐγέννησε 33
τὸν Σαούλ, καὶ Σαοὺλ ἐγέννησε τὸν Ἰωνάθαν καὶ τὸν Μελχι-
σουὲ καὶ τὸν Ἀμιναδὰβ καὶ τὸν Ἀσαβάλ. καὶ υἱὸς Ἰωνάθαν 34
Μεριβαάλ. καὶ ὁ Μεριβαὰλ ἐγέννησε τὸν Μιχά. καὶ υἱοὶ Μιχά· 35
Φίθων καὶ Μελὰχ καὶ Θαρὰχ καὶ Ἀχάζ. καὶ Ἀχὰζ ἐγέννησε 36
τὸν Ἰαδά, καὶ Ἰαδὰ ἐγέννησε τὸν Σαλαιμὰθ καὶ τὸν Ἀσμὼθ καὶ
τὸν Ζαμβρί, καὶ Ζαμβρὶ ἐγέννησε τὸν Μαισά, καὶ Μαισὰ ἐγέν- 37
νησε τὸν Βαανά· Ῥαφαΐα υἱὸς αὐτοῦ, Ἐλασὰ υἱὸς αὐτοῦ, Ἐσὴλ
υἱὸς αὐτοῦ. καὶ τῷ Ἐσὴλ ἓξ υἱοί, καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· 38
Ἐζρικὰμ πρωτότοκος αὐτοῦ καὶ Ἰσμαὴλ καὶ Σαραΐα καὶ Ἀβδία
καὶ Ἀνὰν καὶ Ἀσά· πάντες οὗτοι υἱοὶ Ἐσήλ. καὶ υἱοὶ Ἀσὴλ ἀ- 39
δελφοῦ αὐτοῦ· Αἰλὰμ πρωτότοκος αὐτοῦ καὶ Ἰὰς ὁ δεύτερος
καὶ Ἐλιφαλὰτ ὁ τρίτος. καὶ ἦσαν υἱοὶ Αἰλὰμ ἰσχυροὶ ἄνδρες δυ- 40
νάμει, τείνοντες τόξον καὶ πληθύνοντες υἱοὺς καὶ υἱοὺς τῶν
υἱῶν, ἑκατὸν πεντήκοντα, πάντες οὗτοι ἐξ υἱῶν Βενιαμίν.

Καὶ πᾶς Ἰσραὴλ ὁ συλλοχισμὸς αὐτῶν, καὶ οὗτοι καταγε- 1 **9**
γραμμένοι ἐν βιβλίῳ τῶν βασιλέων Ἰσραὴλ καὶ Ἰούδα μετὰ
τῶν ἀποικισθέντων εἰς Βαβυλῶνα ἐν ταῖς ἀνομίαις αὐτῶν, καὶ 2
οἱ κατοικοῦντες πρότερον ἐν ταῖς κατασχέσεσιν αὐτῶν ἐν ταῖς
πόλεσιν Ἰσραήλ, οἱ ἱερεῖς, οἱ Λευῖται καὶ οἱ δεδομένοι. καὶ ἐν 3
Ἰερουσαλὴμ κατῴκησαν ἀπὸ τῶν υἱῶν Ἰούδα καὶ ἀπὸ τῶν υἱ-
ῶν Βενιαμὶν καὶ ἀπὸ τῶν υἱῶν Ἐφραΐμ καὶ Μανασσή· Γνωθὶ 4
καὶ υἱὸς Ἀμμιούδ, υἱοῦ Ἀμρί, υἱοῦ υἱῶν Φαρὲς υἱοῦ Ἰούδα.
καὶ ἐκ τῶν Σηλωνί· Ἀσαΐα πρωτότοκος αὐτοῦ καὶ οἱ υἱοὶ αὐ- 5
τοῦ. ἐκ τῶν υἱῶν Ζαρά· Ἰεὴλ καὶ ἀδελφοὶ αὐτῶν, ἑξακόσιοι 6
καὶ ἐνενήκοντα. καὶ ἐκ τῶν υἱῶν Βενιαμίν· Σαλὼ υἱὸς Μοσολ- 7
λὰμ υἱοῦ Ὠδουΐα υἱοῦ Ἀσινοὺ καὶ Ἰεμναὰ υἱὸς Ἱεροβοὰμ καὶ 8
Ἠλώ· οὗτοι υἱοὶ Ὀζὶ υἱοῦ Μαχίρ· καὶ Μασσαλὴμ υἱὸς Σαφατία
υἱοῦ Ῥαγουὴλ υἱοῦ Ἰεμναΐ καὶ ἀδελφοὶ αὐτῶν κατὰ γενέσεις 9
αὐτῶν, ἐνακόσιοι πεντήκοντα ἕξ, πάντες οἱ ἄνδρες ἄρχοντες
πατριῶν κατ' οἴκους πατριῶν αὐτῶν. καὶ ἀπὸ τῶν ἱερέων· Ἰω- 10
δαὲ καὶ Ἰωαρὶμ καὶ Ἰαχὶν καὶ Ἀζαρία υἱὸς Χελκία υἱοῦ Μοσ- 11
σολλὰμ υἱοῦ Σαδὼκ υἱοῦ Μαραϊὼθ υἱοῦ Ἀχιτὼβ ἡγούμενος οἴ-
κου τοῦ θεοῦ καὶ Ἀδαΐα υἱὸς Ἰραὰμ υἱοῦ Φασχὼρ υἱοῦ Μελ- 12
χία καὶ Μαασαία υἱὸς Ἀδιὴλ υἱοῦ Ἐζιρὰ υἱοῦ Μοσολλὰμ υἱοῦ
Μασελμὼθ υἱοῦ Ἐμμὴρ καὶ ἀδελφοὶ αὐτῶν ἄρχοντες οἴκων 13
πατριῶν αὐτῶν χίλιοι καὶ ἑπτακόσιοι καὶ ἑξήκοντα, ἰσχυροὶ
δυνάμει εἰς ἐργασίαν λειτουργίας οἴκου τοῦ θεοῦ. καὶ ἐκ τῶν 14
Λευϊτῶν· Σαμαΐα υἱὸς Ἀσὼβ υἱοῦ Ἐσρικὰμ υἱοῦ Ἀσαβία ἐκ
τῶν υἱῶν Μεραρί, καὶ Βακβακὰρ καὶ Ἀρὴς καὶ Γαλαὰλ καὶ 15
Ματθανίας υἱὸς Μιχὰ υἱοῦ Ζεχρὶ υἱοῦ Ἀσὰφ καὶ Ἀβδία υἱὸς 16

Σαμία υἱοῦ Γαλαὰλ υἱοῦ Ἰδιθοὺν καὶ Βαραχία υἱὸς Ὀσσὰ υἱοῦ
Ἑλκανά, ὁ κατοικῶν ἐν ταῖς κώμαις Νετωφαθί. οἱ πυλωροί· 17
Σαλώμ, Ἀκούμ, Τελμὼν καὶ Αἰμὰν καὶ ἀδελφοὶ αὐτῶν, Σαλὼμ
ὁ ἄρχων· καὶ ἕως ταύτης ἐν τῇ πύλῃ τοῦ βασιλέως κατ' ἀνατο- 18
λάς· αὗται αἱ πύλαι τῶν παρεμβολῶν υἱῶν Λευΐ. καὶ Σαλὼμ υἱ- 19
ὸς Κωρὴ υἱοῦ Ἀβιασὰφ υἱοῦ Κορέ. καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἰς
οἶκον πατρὸς αὐτοῦ, οἱ Κορῖται, ἐπὶ τῶν ἔργων τῆς λειτουρ-
γίας φυλάσσοντες τὰς φυλακὰς τῆς σκηνῆς, καὶ πατέρες αὐ-
τῶν ἐπὶ τῆς παρεμβολῆς Κυρίου φυλάσσοντες τὴν εἴσοδον.
καὶ Φινεὲς υἱὸς Ἐλεάζαρ ἡγούμενος ἦν ἐπ' αὐτῶν ἔμπροσθεν 20
Κυρίου, καὶ οὗτοι μετ' αὐτοῦ. Ζαχαρίας υἱὸς Μασαλαμὶ πυλω- 21
ρὸς τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. πάντες οἱ ἐκλεκτοὶ 22
ἐπὶ τῆς πύλης ἐν ταῖς πύλαις διακόσιοι καὶ δεκαδύο· οὗτοι ἐν
ταῖς αὐλαῖς αὐτῶν, ὁ καταλοχισμὸς αὐτῶν· τούτους ἔστησε
Δαυὶδ καὶ Σαμουὴλ ὁ βλέπων τῇ πίστει αὐτῶν. καὶ οὗτοι καὶ οἱ 23
υἱοὶ αὐτῶν ἐπὶ τῶν πυλῶν ἐν οἴκῳ Κυρίου καὶ ἐν οἴκῳ τῆς
σκηνῆς τοῦ φυλάσσειν. κατὰ τοὺς τέσσαρας ἀνέμους ἦσαν αἱ 24
πύλαι, κατὰ ἀνατολάς, θάλασσαν, βορρᾶν, νότον. καὶ ἀδελφοὶ 25
αὐτῶν ἐν ταῖς αὐλαῖς αὐτῶν τοῦ εἰσπορεύεσθαι κατὰ ἑπτὰ ἡ-
μέρας ἀπὸ καιροῦ εἰς καιρὸν μετὰ τούτων. ὅτι ἐν πίστει εἰσὶ 26
τέσσαρες δυνατοὶ τῶν πυλῶν. καὶ οἱ Λευῖται ἦσαν ἐπὶ τῶν πα-
στοφορίων, καὶ ἐπὶ τῶν θησαυρῶν οἴκου τοῦ θεοῦ παρεμβάλ-
λουσιν, ὅτι ἐπ' αὐτοὺς ἡ φυλακή, καὶ οὗτοι ἐπὶ τῶν κλειδῶν τὸ 27
πρωῒ πρωῒ ἀνοίγειν τὰς θύρας τοῦ ἱεροῦ. καὶ ἐξ αὐτῶν ἐπὶ τὰ 28
σκεύη τῆς λειτουργίας, ὅτι ἐν ἀριθμῷ εἰσοίσουσι καὶ ἐν ἀριθ-
μῷ ἐξοίσουσι. καὶ ἐξ αὐτῶν καθεσταμένοι ἐπὶ τὰ σκεύη καὶ ἐπὶ 29
πάντα σκεύη τὰ ἅγια καὶ ἐπὶ τῆς σεμιδάλεως, τοῦ οἴνου, τοῦ ἐ-
λαίου, τοῦ λιβανωτοῦ καὶ τῶν ἀρωμάτων. καὶ ἀπὸ τῶν υἱῶν 30
τῶν ἱερέων ἦσαν μυρεψοὶ τοῦ μύρου καὶ εἰς τὰ ἀρώματα. καὶ 31
Ματταθίας ἐκ τῶν Λευϊτῶν (οὗτος ὁ πρωτότοκος τῷ Σαλὼμ
τῷ Κορίτῃ) ἐν τῇ πίστει ἐπὶ τὰ ἔργα τῆς θυσίας τοῦ τηγάνου
τοῦ μεγάλου ἱερέως. καὶ Βαναΐας ὁ Καaθίτης ἐκ τῶν ἀδελφῶν 32
αὐτῶν ἐπὶ τῶν ἄρτων τῆς προθέσεως τοῦ ἑτοιμάσαι σάββατον
κατὰ σάββατον. καὶ οὗτοι ψαλτῳδοὶ ἄρχοντες τῶν πατριῶν 33
τῶν Λευϊτῶν, διατεταγμέναι ἐφημερίαι, ὅτι ἡμέρα καὶ νὺξ ἐπ'
αὐτοῖς ἐν τοῖς ἔργοις. οὗτοι ἄρχοντες τῶν πατριῶν τῶν Λευϊ- 34
τῶν κατὰ γενέσεις αὐτῶν ἄρχοντες· οὗτοι κατῴκησαν ἐν Ἰε-
ρουσαλήμ. καὶ ἐν Γαβαὼν κατῴκησε πατὴρ Γαβαὼν Ἰεήλ, καὶ 35
ὄνομα γυναικὸς αὐτοῦ Μαaχά. καὶ υἱὸς αὐτοῦ ὁ πρωτότοκος 36
Ἀβαδὼν καὶ Σοὺρ καὶ Κὶς καὶ Βαὰλ καὶ Νὴρ καὶ Ναδὰβ καὶ Γε- 37
δοὺρ καὶ ἀδελφὸς καὶ Ζακχοὺρ καὶ Μακελώθ. καὶ Μακελὼθ ἐ- 38
γέννησε τὸν Σαμαά. καὶ οὗτοι ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν
κατῴκησαν ἐν Ἰερουσαλὴμ ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν. καὶ 39
Νὴρ ἐγέννησε τὸν Κίς, καὶ Κὶς ἐγέννησε τὸν Σαούλ, καὶ Σαοὺλ
ἐγέννησε τὸν Ἰωνάθαν καὶ τὸν Μελχισουὲ καὶ τὸν Ἀμιναδὰβ

καὶ τὸν Ἀσαβάλ. καὶ υἱὸς Ἰωνάθαν Μεριβαάλ· καὶ Μεριβαὰλ ἐ- 40
γέννησε τὸν Μιχά. καὶ υἱοὶ Μιχά· Φιθὼν καὶ Μαλὰχ καὶ Θα- 41
ράχ. καὶ Ἄχαζ ἐγέννησε τὸν Ἰαδά, καὶ Ἰαδὰ ἐγέννησε τὸν Γα- 42
λεμὲθ καὶ τὸν Γαζμὼθ καὶ τὸν Ζαμβρί, καὶ Ζαμβρὶ ἐγέννησε
τὸν Μασά, καὶ Μασὰ ἐγέννησε τὸν Βαανά, Ῥαφαΐα υἱὸς αὐτοῦ, 43
Ἐλασὰ υἱὸς αὐτοῦ, Ἐσὴλ υἱὸς αὐτοῦ. καὶ τῷ Ἐσὴλ ἓξ υἱοί, καὶ 44
ταῦτα τὰ ὀνόματα αὐτῶν· Ἐζρικὰμ πρωτότοκος αὐτοῦ καὶ Ἰ-
σμαὴλ καὶ Σαραΐα καὶ Ἀβδία καὶ Ἀνὰν καὶ Ἀσά. οὗτοι υἱοὶ Ἐ-
σήλ. *(τέλος Ἀπεράντου Γενεαλογίας).*

1 1 [Καὶ] Οἱ ἀλλόφυλοι ἐπολέμησαν 1 **10**
Α΄Πα
3 1 ...εἰς Ἰερουσαλὴμ [αὕτη Ἰεβούς], καὶ ἐκεῖ οἱ Ἰεβουσαῖοι... 4 **11**

...Σιών [αὕτη ἡ πόλις Δαυΐδ] 5

5 24 ἦσαν ἡγούμενοι [ἐν τῇ στρατιᾷ] ἐν τῇ δυνάμει 23 **12**

7 3+ Καὶ ἔλαβε Δαυὶδ ἔτι γυναῖκας ἐν Ἰερουσαλήμ, καὶ ἐτέχθη- 3 **14**
σαν τῷ Δαυὶδ ἔτι υἱοὶ καὶ θυγατέρες. [καὶ ταῦτα τὰ ὀνόματα 4
αὐτῶν τῶν τεχθέντων, οἳ ἦσαν αὐτῷ ἐν Ἰερουσαλήμ· Σαμαά, 5
Σωβάβ, Νάθαν καὶ Σαλωμὼν καὶ Ἰβαὰρ καὶ Ἐλισαὲ καὶ Ἐλιφα- 6
λὲτ καὶ Ναγὲθ καὶ Ναφὰγ καὶ Ἰαφιὲ καὶ Ἐλισαμαὲ καὶ Ἐλιαδὲ 7
καὶ Ἐλιφαλέτ.]

9 1 Καὶ ἐγένετο μετὰ ταῦτα [καὶ ἐγένετο] ἔτι πόλεμος 4 **20**

11 18 ...[καὶ ἐπέστρεψεν Ὀρνὰ καὶ εἶδε τὸν βασιλέα καὶ τέσσαρας υἱ- 20 **21**
οὺς αὐτοῦ μετ' αὐτοῦ μεθαχαβίν·] καὶ Ὀρνὰ ἦν ἁλοῶν πυ-
ρούς.

25 ...οὐ μὴ λάβω ἃ ἐστί σοι [Κυρίῳ] τοῦ ἀνενέγκαι ὁλοκαύτωσιν 24
δωρεὰν Κυρίῳ.

14 3+ Καὶ ἔστησαν οἱ Λευῖται [τὸν Ἀιμὰν υἱὸν Ἰωήλ·] ἐκ τῶν ἀ- 17 **15**
δελφῶν αὐτῶν [Ἀσὰφ υἱὸς Βαραχία. καὶ ἐκ τῶν υἱῶν Μεραρὶ
ἀδελφῶν αὐτοῦ Αἰθὰν υἱὸς Κισαίου. καὶ μετ' αὐτῶν οἱ ἀδελφοὶ 18
αὐτῶν οἱ δεύτεροι Ζαχαρίας καὶ Ὀζιὴλ καὶ Σεμιραμὼθ καὶ Ἰεϊ-
ὴλ καὶ Ἐλιωὴλ καὶ Ἐλιὰβ καὶ Βαναΐα καὶ Μαασαΐα καὶ Ματτα-
θία καὶ Ἐλιφαλία καὶ Μακενία καὶ Ἀβδεδὸμ καὶ Ἰεϊὴλ καὶ Ὀ-
ζίας, οἱ πυλωροί. καὶ οἱ] ψαλτῳδούς, [Αἰμάν, Ἀσὰφ καὶ Αἰθὰν] 19
ἐν ὀργάνοις [χαλκοῖς τοῦ ἀκουσθῆναι ποιῆσαι· Ζαχαρίας καὶ 20
Ὀζιήλ, Σεμιραμώθ, Ἰεϊήλ, Ὠνί, Ἐλιάβ, Μασαΐας, Βαναΐας ἐν
νάβλαις ἐπὶ ἀλαιμώθ. καὶ Ματταθίας καὶ Ἐλιφαλίας καὶ Μακε- 21
νίας καὶ Ἀβδεδὸμ καὶ Ἰεϊὴλ καὶ Ὀζίας ἐν κινύραις ἀμασενὶθ
τοῦ ἐνισχῦσαι.] καὶ Χωνενίας [ἄρχων τῶν Λευϊτῶν] ἄρχων 22
τῶν ᾀδόντων, ὅτι συνετὸς ἦν. [καὶ Βαραχία καὶ Ἐλκανὰ πυλω- 23
ροὶ τῆς κιβωτοῦ. καὶ Σοβνία καὶ Ἰωσαφὰτ καὶ Ναθαναὴλ καὶ 24
Ἀμασαΐ καὶ Ζαχαρία καὶ Βαναΐ καὶ Ἐλιέζερ οἱ ἱερεῖς σαλπίζο-

ντες ταῖς σάλπιγξιν ἔμπροσθεν τῆς κιβωτοῦ τοῦ θεοῦ. καὶ Ἀ-
βδεδὸμ καὶ Ἰεῖα πυλωροὶ τῆς κιβωτοῦ τοῦ θεοῦ.]

...καὶ Δαυὶδ περιεζωσμένος ἐν στολῇ βυσσίνῃ καὶ πάντες οἱ 27
Λευῖται αἴροντες τὴν κιβωτὸν διαθήκης Κυρίου καὶ οἱ ψαλτῳ-
δοὶ καὶ Χωνενίας ὁ ἄρχων [τῶν ᾠδῶν] τῶν ᾀδόντων, [καὶ ἐπὶ
Δαυὶδ στολὴ βυσσίνη.]

11+ ...καὶ ἔταξε κατὰ πρόσωπον τῆς κιβωτοῦ διαθήκης Κυρίου ἐκ 4 **16**
τῶν Λευϊτῶν λειτουργοῦντας ἀναφωνοῦντας καὶ ἐξομολογεῖ-
σθαι καὶ αἰνεῖν Κύριον τὸν θεὸν Ἰσραήλ· Ἀσὰφ ὁ ἡγούμενος, 5
καὶ δευτερεύων αὐτῷ Ζαχαρίας, Ἰεϊήλ, Σεμιραμώθ, Ἰεϊήλ,
Ματταθίας, Ἐλιὰβ καὶ Βαναΐας, καὶ Ἀβδεδὸμ καὶ Ἰεϊὴλ ἐν ὀρ-
γάνοις νάβλαις, κινύραις, καὶ Ἀσὰφ ἐν κυμβάλοις ἀναφωνῶν.
καὶ Βαναΐας καὶ Ὀζιὴλ οἱ ἱερεῖς ἐν ταῖς σάλπιγξι διαπαντὸς ἐ- 6
ναντίον τῆς κιβωτοῦ τῆς διαθήκης τοῦ θεοῦ.

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τότε ἔταξε Δαυὶδ ἐν ἀρχῇ τοῦ αἰνεῖν 7
τὸν Κύριον ἐν χειρὶ Ἀσὰφ καὶ τῶν ἀδελφῶν αὐτοῦ.

ὨΙδή. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐπικαλεῖσθε αὐτὸν ἐν ὀ- 8
νόματι αὐτοῦ, γνωρίσατε ἐν λαοῖς τὰ ἐπιτηδεύματα αὐτοῦ. ᾄ- 9
σατε αὐτῷ καὶ ὑμνήσατε αὐτῷ, διηγήσασθε πᾶσι τὰ θαυμάσια
αὐτοῦ, ἃ ἐποίησε Κύριος. αἰνεῖτε ἐν ὀνόματι ἁγίῳ αὐτοῦ, εὐ- 10
φρανθήσεται καρδία ζητοῦσα τὴν εὐδοκίαν αὐτοῦ. ζητήσατε 11
τὸν Κύριον καὶ ἰσχύσατε, ζητήσατε τὸ πρόσωπον αὐτοῦ δια-
παντός. μνημονεύετε τὰ θαυμάσια αὐτοῦ, ἃ ἐποίησε, τέρατα 12
καὶ κρίματα τοῦ στόματος αὐτοῦ. σπέρμα Ἰσραὴλ παῖδες αὐ- 13
τοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ. αὐτὸς Κύριος ὁ θεὸς ἡμῶν, 14
ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ. μνημονεύων εἰς αἰῶνα διαθή- 15
κης αὐτοῦ, λόγον αὐτοῦ, ὃν ἐνετείλατο εἰς χιλίας γενεάς, ὃν 16
διέθετο τῷ Ἀβραὰμ καὶ τὸν ὅρκον αὐτοῦ τῷ Ἰσαάκ· ἔστησεν 17
αὐτὸν τῷ Ἰακὼβ εἰς πρόσταγμα, τῷ Ἰσραὴλ διαθήκην αἰώνιον 18
λέγων· Σοὶ δώσω τὴν γῆν Χαναὰν σχοίνισμα κληρονομίας ὑ-
μῶν. ἐν τῷ γενέσθαι αὐτοὺς ὀλιγοστοὺς ἀριθμῷ ὡς ἐσμικρύν- 19
θησαν καὶ παρῴκησαν ἐν αὐτῇ. καὶ ἐπορεύθησαν ἀπὸ ἔθνους 20
εἰς ἔθνος καὶ ἀπὸ βασιλείας εἰς λαὸν ἕτερον. οὐκ ἀφῆκεν ἄν- 21
δρα τοῦ δυναστεῦσαι αὐτοὺς καὶ ἤλεγξε περὶ αὐτῶν βασιλεῖς·
Μὴ ἅψησθε τῶν χριστῶν μου καὶ ἐν τοῖς προφήταις μου μὴ 22
πονηρεύεσθε.

Ἄσατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ, ἀναγγείλατε ἐξ ἡμέρας εἰς 23
ἡμέραν σωτηρίαν αὐτοῦ. ἐξηγεῖσθε ἐν τοῖς ἔθνεσι τὴν δόξαν 24
αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ. ὅτι μέγας Κύ- 25
ριος καὶ αἰνετὸς σφόδρα, φοβερός ἐστιν ἐπὶ πάντας τοὺς θε-
ούς. ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν εἴδωλα, καὶ ὁ θεὸς ἡμῶν οὐ- 26
ρανοὺς ἐποίησε. δόξα καὶ ἔπαινος κατὰ πρόσωπον αὐτοῦ, ἰ- 27
σχὺς καὶ καύχημα ἐν τόπῳ αὐτοῦ. δότε τῷ Κυρίῳ αἱ πατριαὶ 28
τῶν ἐθνῶν, δότε τῷ Κυρίῳ δόξαν καὶ ἰσχύν· δότε τῷ Κυρίῳ 29

δόξαν ὀνόματος αὐτοῦ, λάβετε δῶρα καὶ ἐνέγκατε κατὰ πρό-
σωπον αὐτοῦ καὶ προσκυνήσατε Κυρίῳ ἐν αὐλαῖς ἁγίαις αὐ-
τοῦ. φοβηθήτω ἀπὸ προοώπου αὐτοῦ πᾶσα ἡ γῆ, κατορθωθή- 30
τω ἡ γῆ καὶ μὴ σαλευθήτω· εὐφρανθήτω ὁ οὐρανὸς καὶ ἀγαλ- 31
λιάσθω ἡ γῆ, καὶ εἰπάτωσαν ἐν τοῖς ἔθνεσι· Κύριος βασιλεύ-
ων. βομβήσει ἡ θάλασσα σὺν τῷ πληρώματι καὶ ξύλον ἀγροῦ 32
καὶ πάντα τὰ ἐν αὐτῷ· τότε εὐφρανθήσεται τὰ ξύλα τοῦ δρυ- 33
μοῦ ἀπὸ προσώπου Κυρίου, ὅτι ἦλθε κρῖναι τὴν γῆν.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθόν, ὅτι εἰς τὸν αἰῶνα 34
τὸ ἔλεος αὐτοῦ. καὶ εἴπατε· Σῶσον ἡμᾶς, ὁ θεὸς τῆς σωτηρίας 35
ἡμῶν, καὶ ἄθροισον ἡμᾶς, καὶ ἐξελοῦ ἡμᾶς ἐκ τῶν ἐθνῶν τοῦ
αἰνεῖν τὸ ὄνομα τὸ ἅγιόν σου καὶ καυχᾶσθαι ἐν ταῖς αἰνέσεσί
σου. εὐλογημένος Κύριος ὁ θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος καὶ 36
ἕως τοῦ αἰῶνος· καὶ ἐρεῖ πᾶς ὁ λαός· ἀμήν. καὶ ᾔνεσαν τῷ Κυ-
ρίῳ.

(Στίχοι 8-22 = Ψα 104,1-15. στίχοι 23-33 = Ψα 95. στίχοι 34-36 = Ψα 105,47-48).

15 1+ ...τὸ τῆς ἡμέρας εἰς ἡμέραν. [καὶ Ἀβδεδὸμ καὶ οἱ ἀδελφοὶ αὐ- 38
τοῦ, ἑξήκοντα καὶ ὀκτώ, καὶ Ἀβδεδὸμ υἱὸς Ἰδιθοὺν καὶ Ὀσσὰ
εἰς πυλωρούς.]

...ἐν χειρὶ Μωϋσῆ τοῦ θεράποντος τοῦ θεοῦ· [καὶ μετ' αὐτοῦ 41
Ἀιμὰν καὶ Ἰδιθοὺν καὶ οἱ λοιποὶ ἐκλεγέντες ἐπ' ὀνόματος τοῦ
αἰνεῖν τὸν Κύριον, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ μετ' 42
αὐτῶν σάλπιγγες καὶ κύμβαλα τοῦ ἀναφωνεῖν καὶ ὄργανα τῶν
ᾠδῶν τοῦ θεοῦ, οἱ δὲ υἱοὶ Ἰδιθοὺν εἰς τὴν πύλην.]

17 3 ...ἐπάταξε Δαυὶδ τὸν Ἀδρααζὰρ βασιλέα Σουβὰ [Ἡμάθ] 3 **18**

...ἦσαν τῷ Δαυὶδ εἰς παῖδας φέροντας δῶρα. [καὶ ἔσωζε Κύ- 7
ριος Δαυὶδ ἐν πᾶσιν, οἷς ἐπορεύετο.]

20 3 ...ἔλαβε Δαυὶδ τὸν στέφανον [Μολχὸμ] τοῦ 'Βασιλέως αὐτῶν'. 2 **20**
22 5+ ...διεῖλεν αὐτοὺς Δαυὶδ ἐφημερίας τοῖς υἱοῖς Λευί, τῷ Γεδσών, 6 **23**
Καὰθ καὶ Μεραρί. [καὶ τῷ Γεδσών· Ἐδὰν καὶ Σεμεΐ. υἱοὶ τῷ Ἐ- 7
δάν· ἄρχων Ἰεϊὴλ καὶ Ζηθὰν καὶ Ἰωήλ, τρεῖς. υἱοὶ Σεμεΐ· Σαλω- 8
μίθ, Ἰεϊὴλ καὶ Δάν, τρεῖς. οὗτοι ἄρχοντες πατριῶν τῶν Ἐδάν. 9
καὶ τοῖς υἱοῖς Σεμεΐ· Ἰὲθ καὶ Ζιζὰ καὶ Ἰωὰς καὶ Βεριά· οὗτοι υἱ- 10
οὶ Σεμεΐ τέσσαρες. καὶ ἦν Ἰὲθ ὁ ἄρχων καὶ Ζιζὰ ὁ δεύτερος· 11
καὶ Ἰωὰς καὶ Βεριὰ οὐκ ἐπλήθυναν υἱοὺς καὶ ἐγένοντο εἰς οἶ-
κον πατριᾶς εἰς ἐπίσκεψιν μίαν. υἱοὶ Καάθ· Ἀμβράμ, Ἰσαάρ, 12
Χεβρών, Ὀζιήλ, τέσσαρες. υἱοὶ Ἀμβράμ, Ἀαρὼν καὶ Μωϋ- 13
σῆς, καὶ διεστάλη Ἀαρὼν τοῦ ἁγιασθῆναι ἅγια ἁγίων, αὐτὸς
καὶ οἱ υἱοὶ αὐτοῦ ἕως αἰῶνος, τοῦ θυμιᾶν ἐναντίον τοῦ Κυ-
ρίου, λειτουργεῖν καὶ ἐπεύχεσθαι ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἕως
αἰῶνος. καὶ Μωϋσῆς ἄνθρωπος τοῦ θεοῦ, υἱοὶ αὐτοῦ ἐκλήθη- 14
σαν εἰς φυλὴν τοῦ Λευί. υἱοὶ Μωϋσῆ· Γηρσὰμ καὶ Ἐλιέζερ. υἱοὶ 15 16
Γηρσάμ· Σουβαὴλ ὁ ἄρχων. καὶ ἦσαν υἱοὶ τῷ Ἐλιέζερ· Ῥαβιὰ ὁ 17

ἄρχων· καὶ οὐκ ἦσαν τῷ Ἐλιέζερ υἱοὶ ἕτεροι. καὶ υἱοὶ Ῥαβιὰ ηὐξήθησαν εἰς ὕψος. υἱοὶ Ἰσαάρ· Σαλωμὼθ ὁ ἄρχων. υἱοὶ Χεβρών· Ἱεριὰ ὁ ἄρχων, Ἀμαδιὰ ὁ δεύτερος, Ἱεζιὴλ ὁ τρίτος, Ἰεκεμίας ὁ τέταρτος. υἱοὶ Ὀζιήλ· Μιχὰ ὁ ἄρχων καὶ Ἰσιὰ ὁ δεύτερος. υἱοὶ Μεραρί· Μοολὶ καὶ Μουσί. υἱοὶ Μοολί· Ἐλεάζαρ καὶ Κίς. καὶ ἀπέθανεν Ἐλεάζαρ, καὶ οὐκ ἦσαν αὐτῷ υἱοί, ἀλλ' ἢ θυγατέρες, καὶ ἔλαβον αὐτὰς υἱοὶ Κὶς ἀδελφοὶ αὐτῶν. υἱοὶ Μουσί· Μοολὶ καὶ Ἐδὲρ καὶ Ἰαριμώθ, τρεῖς.] οὗτοι υἱοὶ Λευῖ κατ' οἴκους... 18 19 20 21 22 23

6 ...κατὰ τὸν ἀριθμὸν ὀνομάτων αὐτῶν, [κατὰ κεφαλὴν αὐτῶν]... 24

24 2+ Καὶ τοῖς υἱοῖς Λευῖ [τοῖς καταλοίποις· τοῖς υἱοῖς Ἀμβρὰμ Σωβαήλ· τοῖς υἱοῖς Σωβαὴλ Ἰεδία. τῷ Ῥααβίᾳ ὁ ἄρχων Ἰεσίας, καὶ τῷ Ἰσαὰρὶ Σαλωμώθ· τοῖς υἱοῖς Σαλωμὼθ Ἰάθ. υἱοὶ Ἰεδιοῦ Ἀμαδία ὁ δεύτερος, Ἰαζιὴλ ὁ τρίτος, Ἰεκμοὰμ ὁ τέταρτος. τοῖς υἱοῖς Ὀζιὴλ Μιχά· υἱοὶ Μιχὰ Σαμήρ. ἀδελφὸς Μιχὰ Ἰσία· υἱὸς Ἰσία Ζαχαρία. υἱοὶ Μεραρὶ Μοολὶ καὶ Μουσί. υἱοὶ Ὀζία υἱοὶ Βοννί. υἱοὶ Μεραρὶ τῷ Ὀζίᾳ, υἱοὶ αὐτοῦ Ἰσοὰμ καὶ Σακχοὺρ καὶ Ἀβαΐ. τῷ Μοολὶ Ἐλεάζαρ καὶ Ἰθάμαρ· καὶ ἀπέθανεν Ἐλεάζαρ καὶ οὐκ ἦσαν αὐτῷ υἱοί. τῷ Κίς· υἱοὶ τοῦ Κὶς Ἱεραμεήλ. καὶ υἱοὶ τοῦ Μουσὶ Μοολὶ καὶ Ἐδὲρ καὶ Ἰαριμώθ.] οὗτοι υἱοὶ τῶν Λευϊτῶν κατ' οἴκους πατριῶν αὐτῶν. 20 21 22 23 24 25 26 27 28 29 30 **24**

26 2 ...υἱοὶ Κωρηΐμ· Μοσελλεμίας υἱὸς Κωρή. [ἐκ τῶν υἱῶν Ἀσάφ]. 1 **26**

...καὶ τῷ Σαμαΐᾳ υἱῷ αὐτοῦ τῷ πρωτοτόκῳ ἐτέχθησαν υἱοὶ δυνατοί· [Ῥωσαΐ εἰς τὸν οἶκον τὸν πατρικὸν αὐτοῦ, ὅτι δυνατοὶ ἦσαν. υἱοὶ Σαμαΐ·] Ὀθνὶ καὶ Ῥαφαὴλ... 6 7

27 2+ ...καὶ ἐπὶ τῶν θησαυρῶν τῶν καθηγιασμένων· [υἱοὶ Λαδὰν οὗτοι, υἱοὶ τῷ Γηρσωνὶ τῷ Λαδάν, ἄρχοντες πατριῶν τῷ Λαδὰν τῷ Γηρσωνὶ Ἰεϊήλ. υἱοὶ Ἰεϊὴλ Ζεθὸμ καὶ Ἰωὴλ οἱ ἀδελφοὶ ἐπὶ τῶν θησαυρῶν οἴκου Κυρίου. τῷ Ἀμβρὰμ καὶ Ἰσαάρ, Χεβρὼν καὶ Ὀζιήλ· καὶ Σουβαὴλ ὁ τοῦ Γηρσὰμ τοῦ Μωϋσῆ ἡγούμενος ἐπὶ τῶν θησαυρῶν. καὶ τῷ ἀδελφῷ αὐτοῦ Ἐλιέζερ Ῥαβίας υἱὸς] καὶ Ἰωσίας καὶ Ἰωρὰμ καὶ Ζεχρὶ... 20 21 22 23 24 25

...καὶ Ἀβεννὴρ [τοῦ Νὴρ] καὶ Ἰωὰβ τοῦ Σαρουΐα. 28

29 6 Καὶ ἐπὶ τῆς διαιρέσεως τοῦ μηνὸς τοῦ δευτέρου Δωδία ὁ ἐκ Χώκ, [καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ καὶ Μακελλὼθ ὁ ἡγούμενος,] 4 **27**

Ὁ τρίτος τὸν μῆνα τὸν τρίτον Βαναΐας ὁ τοῦ Ἰωδαὲ [ὁ ἱερεὺς ὁ ἄρχων]... 5

30 17 ...οὐκ ἔλαβε Δαυῖδ τὸν ἀριθμὸν αὐτῶν ἀπὸ εἰκοσαετοῦς καὶ κάτω, [ὅτι εἶπε Κύριος πληθῦναι τὸν Ἰσραὴλ ὡς τοὺς ἀστέρας 23

τοῦ οὐρανοῦ.] καὶ Ἰωὰβ ὁ τοῦ Σαρουΐα ἤρξατο ἀριθμεῖν ἐν τῷ λαῷ καὶ οὐ συνετέλεσε...

31 12 ...καὶ μετὰ τοῦτον [Ἀχιτόφελ] ἐχόμενος Βαναΐας ὁ τοῦ Ἰωδαὲ... 34

32 25 ...καὶ σπονδείων καὶ τῶν φιαλῶν τῶν χρυσῶν [καὶ τὸν σταθμὸν τῶν χρυσῶν] καὶ ἀργυρῶν, καὶ θυΐσκων [κεφφουρὲ] ἑκάστου σταθμοῦ. 17 **28**

35 1 [Καὶ] Ἐνίσχυσε Σαλωμὼν 1 **1** Β΄Πα

2 τοῖς κριταῖς καὶ πᾶσι [τοῖς ἄρχουσιν ἐναντίον Ἰσραὴλ] τοῖς ἄρχουσι τῶν πατριῶν 2

4 ὅτι ἡτοίμασεν αὐτῇ Δαυΐδ, [ὅτι ἔπηξεν αὐτῇ] σκηνήν 4

6 ἤνεγκε Σαλωμὼν ἐκεῖ ἐπὶ τὸ θυσιαστήριον τὸ χαλκοῦν ἐνώπιον Κυρίου [τὸ ἐν τῇ σκηνῇ καὶ ἤνεγκεν ἐπ' αὐτῷ] ὁλοκαύτωσιν χιλίαν 6

36 5 ...ἐξῆγον ἐξ Αἰγύπτου ἅρμα ἓν [ἑξακοσίων] <ἑκατὸν> ἀργυρίου καὶ ἵππον πεντήκοντα [καὶ ἑκατὸν] ἀργυρίου. 17

37 16 ...ἀπέστειλά σοι ἄνδρα σοφὸν καὶ εἰδότα σύνεσιν Χιρὰμ [τὸν πατέρα μου ἡ μήτηρ αὐτοῦ ἀπὸ θυγατέρων Δάν, καὶ ὁ πατὴρ αὐτοῦ ἀνὴρ Τύριος] εἰδότα ποιῆσαι ἐν χρυσίῳ καὶ ἐν ἀργυρίῳ... 14 **2**

38 3 ...μῆκος πήχεων [ἡ διαμέτρησις ἡ πρώτη πήχεων] τεσσαράκοντα καὶ εὖρος πήχεων εἴκοσι. 3 **3**

...ἐχρύσωσεν αὐτὸν χρυσίῳ καθαρῷ [εἰς χερουβὶμ] εἰς τάλαντα ἑξακόσια. 8

...ἐποίησε σερσερὼθ [ἐν τῷ δαβὶρ] καὶ ἔδωκεν ἐπὶ τῶν κεφαλῶν τῶν στύλων. 15

39 14+ ...Σαλωμὼν τῷ βασιλεῖ ἐν οἴκῳ τοῦ θεοῦ, [στύλους δύο καὶ ἐπ' αὐτῶν γωλὰθ τῇ χωθαρὲθ ἐπὶ τῶν κεφαλῶν τῶν στύλων δύο καὶ δίκτυα δύο συγκαλύψαι τὰς κεφαλὰς τῶν χωθαρέθ, ἅ ἐστιν ἐπὶ τῶν κεφαλῶν τῶν στύλων, καὶ κώδωνας χρυσοῦς τετρακοσίους εἰς τὰ δύο δίκτυα καὶ δύο γένη ῥοΐσκων ἐν τῷ δικτύῳ τῷ ἑνὶ τοῦ συγκαλύψαι τὰς δύο γωλὰθ τῶν χωθαρέθ, ἅ ἐστιν ἐπάνω τῶν στύλων. καὶ τὰς μεχωνὼθ ἐποίησε δέκα, καὶ τοὺς λουτῆρας ἐποίησεν ἐπὶ τῶν μεχωνὼθ καὶ τὴν θάλασσαν μίαν καὶ τοὺς μόσχους τοὺς δώδεκα ὑποκάτω αὐτῆς καὶ τοὺς ποδιστῆρας καὶ τοὺς ἀναλημπτῆρας καὶ τοὺς λέβητας καὶ τὰς κρεάγρας] καὶ πάντα τὰ σκεύη αὐτῶν, ἃ ἐποίησε Χιράμ, καὶ ἀνήνεγκε τῷ βασιλεῖ Σαλωμὼν ἐν οἴκῳ Κυρίου χαλκοῦ καθαροῦ. ἐν τῇ περιχώρῳ τοῦ Ἰορδάνου ἐχώνευσεν αὐτὰ [ὁ βασιλεὺς] ἐν τῷ πάχει τῆς γῆς.. 12 **4** 13 14 15 16 17

40	2+	...ἐκ Πόλεως Δαυΐδ [αὕτη Σιών]	2	**5**
		...ἐν τῇ ἑορτῇ [οὗτος ὁ μὴν ἕβδομος]	3	
42	7	...ἃ ἐλάλησας [αὐτῷ λέγων, καὶ ἐλάλησας] ἐν στόματί σου...	15	**6**
		...καὶ ἐπιστρέψωσι καρδίαν [αὐτῶν] ἐν τῇ γῇ αὐτῶν, οὗ μετή-χθησαν ἐκεῖ...	37	
48	12+	...ἃ ἔδωκεν ἡ βασίλισσα Σαβὰ τῷ βασιλεῖ Σαλωμών. [καὶ οἱ παῖδες Σαλωμὼν καὶ οἱ παῖδες Χιρὰμ ἔφερον χρυσίον τῷ Σα-λωμὼν ἐκ Σουφὶρ καὶ ξύλα πεύκινα καὶ λίθον τίμιον· καὶ ἐποίη-σεν ὁ βασιλεὺς τὰ ξύλα τὰ πεύκινα ἀναβάσεις τῷ οἴκῳ Κυρίου καὶ τῷ οἴκῳ τοῦ βασιλέως καὶ κιθάρας καὶ νάβλας τοῖς ᾠδοῖς, καὶ οὐκ ὤφθησαν τοιαῦτα ἔμπροσθεν ἐν γῇ Ἰούδα].	9 10 11	**9**
49	14+	...τὸ κατ' ἐνιαυτὸν ἐνιαυτόν. [καὶ ἦσαν τῷ Σαλωμὼν τέσσαρες χιλιάδες θήλειαι ἵπποι εἰς ἅρματα καὶ δώδεκα χιλιάδες ἱππέων, καὶ ἔθετο αὐτοὺς ἐν πόλεσι τῶν ἁρμάτων καὶ μετὰ τοῦ βασιλέ-ως ἐν Ἰερουσαλήμ.]	25	
	15+	...ἕως ὁρίων Αἰγύπτου. [καὶ ἔδωκεν ὁ βασιλεὺς τὸ χρυσίον καὶ τὸ ἀργύριον ἐν Ἰερουσαλὴμ ὡς λίθους καὶ τὰς κέδρους ὡς συκαμίνους τὰς ἐν τῇ πεδινῇ εἰς πλῆθος. καὶ ἡ ἔξοδος τῶν ἵπ-πων ἐξ Αἰγύπτου τῷ Σαλωμὼν καὶ ἐκ πάσης τῆς γῆς.]	27 28	
53	14	...εἰσεπορεύοντο [οἱ φυλάσσοντες καὶ] οἱ παρατρέχοντες...	11	**12**
55	1	[Ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας] Βασιλεύοντος Ἰερο-βοὰμ	1	**13**
	3	παρετάξατο Ἀβιὰ ἐν [δυνάμει. ἐν πολεμισταῖς δυνάμεως] τε-τρακοσίαις χιλιάσιν ἀνδρῶν... παρετάξατο πρὸς αὐτὸν [πόλε-μον] ἐν ὀκτακοσίαις χιλιάσι δυνατῶν. [πολεμισταὶ δυνάμεως]	3	
60	7	...καὶ ἐν τῷ ἔτει τῷ τρίτῳ [ἔτει] τῆς βασιλείας αὐτοῦ...	7	**17**
		...καὶ μετ' αὐτῶν [οἱ Λευῖται] Σαμαΐας· καὶ Ναθανίας...	8	
64	2+	...ἐν Ἀσασὰν Θαμὰρ [αὕτη ἐστὶν Ἐγγαδί].	2	**20**
		...τῶν υἱῶν Βαναΐου [τῶν υἱῶν Ἐλεϊὴλ τοῦ Ματθανίου τοῦ Λευΐτου ἀπὸ τῶν υἱῶν Ἀσάφ]	14	
66	1	...ἐκοινώνησεν Ἰωσαφὰτ βασιλεὺς Ἰούδα πρὸς Ὀχοζίαν βασι-λέα Ἰσραὴλ [καὶ οὗτος ἠνόμησεν]...	36	
68	26+	...ἐκφορὰν πατέρων αὐτοῦ. [ἦν τριάκοντα καὶ δύο ἐτῶν, ὅτε ἐ-βασίλευσε, καὶ ὀκτὼ ἔτη ἐκβασίλευσεν ἐν Ἰερουσαλήμ]. καὶ ἐ-πορεύθη...	20	**21**
69	12	...καὶ εἶπε τοῦ ζητῆσαι τὸν Ὀχοζίαν, [καὶ κατέλαβον αὐτὸν ἰα-τρευόμενον ἐν Σαμαρείᾳ καὶ ἤγαγον αὐτὸν πρὸς Ἰού], καὶ ἀπέ-κτεινεν αὐτὸν...	9	**22**

70 3 ...ἔκρυψεν αὐτὸν... γυνὴ Ἰωδαὲ τοῦ ἱερέως [καὶ ἔκρυψεν αὐτὸν]... 11

71 11 ἀνδρὸς σκεῦος [σκεῦος] ἐν χειρὶ αὐτοῦ 7 **23**

15 ...ἔδωκεν Ἰωδαὲ τὰς μαχαίρας [καὶ τοὺς θυρεοὺς] καὶ τὰ ὅπλα... 9

72 16 ...ἐμισθοῦντο λατόμους καὶ τέκτονας [ἐπισκευάσαι τὸν οἶκον Κυρίου] 12 **24**

73 1 ...ἐτελεύτησεν ὢν [ἑκατὸν καὶ τριάκοντα] ἐτῶν ἐν τῷ τελευτᾶν αὐτόν. 15

...καὶ οἱ υἱοὶ αὐτοῦ πάντες [καὶ προσῆλθον αὐτῷ οἱ πέντε]. 27

74 32 ...καὶ τὸν Ἀμασίαν βασιλέα Ἰούδα [τὸν τοῦ Ἰωὰς υἱοῦ Ἰωάχαζ] κατέλαβεν Ἰωὰς βασιλεὺς Ἰσραὴλ... 23 **25**

84 1+ Καὶ οὐ κατὰ τὸ ἀνταπόδομα, ὃ ἔδωκεν αὐτῷ ἀνταπέδωκεν Ἐζεκίας, ἀλλὰ ὑψώθη ἡ καρδία αὐτοῦ, καὶ ἐγένετο ἐπ' αὐτὸν ὀργὴ καὶ ἐπὶ Ἰούδαν καὶ Ἰερουσαλήμ. καὶ ἐταπεινώθη Ἐζεκίας ἀπὸ τοῦ ὕψους τῆς καρδίας αὐτοῦ αὐτὸς καὶ οἱ κατοικοῦντες Ἰερουσαλήμ, καὶ οὐκ ἐπῆλθεν ἐπ' αὐτοὺς ὀργὴ Κυρίου ἐν ταῖς ἡμέραις Ἐζεκίου. 25 **32** 26

8+ ...Ἐζεκίας ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. [καὶ οὕτως τοῖς πρεσβευταῖς τῶν ἀρχόντων ἀπὸ Βαβυλῶνος τοῖς ἀποσταλεῖσι πρὸς αὐτὸν πυθέσθαι παρ' αὐτοῦ τὸ τέρας, ὃ ἐγένετο ἐπὶ τῆς γῆς, ἐγκατέλιπεν αὐτὸν Κύριος τοῦ πειράσαι αὐτόν, εἰδέναι τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ.] καὶ τὰ λοιπὰ τῶν λόγων Ἐζεκίου καὶ τὸ ἔλεος αὐτοῦ ἰδοὺ γέγραπται [ἐν τῇ Προφητείᾳ Ἠσαΐου υἱοῦ Ἀμὼς τοῦ προφήτου καὶ] ἐπὶ Βιβλίου Βασιλέων Ἰούδα καὶ Ἰσραήλ.. 30 31 32

85 14+ ...Καὶ ἐλάλησε Κύριος ἐπὶ Μανασσῆν καὶ ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ οὐκ ἐπήκουσαν. [καὶ ἤγαγε Κύριος ἐπ' αὐτοὺς τοὺς ἄρχοντας τῆς δυνάμεως τοῦ βασιλέως Ἀσσούρ, καὶ κατέλαβον τὸν Μανασσῆ ἐν δεσμοῖς καὶ ἔδησαν αὐτὸν ἐν πέδαις καὶ ἤγαγον εἰς Βαβυλῶνα. καὶ ὡς ἐθλίβη, ἐζήτησε τὸ πρόσωπον θεοῦ τοῦ Κυρίου αὐτοῦ καὶ ἐταπεινώθη σφόδρα ἀπὸ προσώπου θεοῦ πατέρων αὐτοῦ. καὶ προσηύξατο πρὸς αὐτόν, καὶ ἐπήκουσεν αὐτοῦ· καὶ ἐπήκουσε τῆς βοῆς αὐτοῦ καὶ ἐπέστρεψεν αὐτὸν εἰς Ἰερουσαλὴμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ· καὶ ἔγνω Μανασσῆς, ὅτι Κύριος αὐτός ἐστι θεός. καὶ μετὰ ταῦτα ᾠκοδόμησε τεῖχος ἔξω τῆς πόλεως Δαυῖδ ἀπὸ λιβὸς κατὰ Γιὼν ἐν τῷ χειμάρρῳ καὶ κατὰ τὴν εἴσοδον τὴν διὰ τῆς πύλης τῆς ἰχθυϊκῆς ἐκπορευομένων τὴν πύλην τὴν κυκλόθεν καὶ εἰς Ὀφλὰ καὶ ὕψωσε σφόδρα. καὶ κατέστησεν ἄρχοντας τῆς δυνάμεως ἐν πάσαις ταῖς πόλεσι ταῖς τειχήρεσιν ἐν Ἰούδᾳ καὶ περιεῖλε τοὺς θεοὺς 10 **33** 11 12 13 14 15

τοὺς ἀλλοτρίους καὶ τὸ γλυπτὸν ἐξ οἴκου Κυρίου καὶ πάντα τὰ θυσιαστήρια, ἃ ᾠκοδόμησεν ἐν ὄρει οἴκου Κυρίου καὶ ἐν Ἰερουσαλὴμ καὶ ἔξωθεν τῆς πόλεως. καὶ κατώρθωσε τὸ θυσιαστήριον Κυρίου καὶ ἐθυσίασεν ἐπ' αὐτὸ θυσίαν σωτηρίου καὶ αἰνέσεως καὶ εἶπε τῷ Ἰούδᾳ τοῦ δουλεύειν Κυρίῳ θεῷ Ἰσραήλ· πλὴν ἔτι ὁ λαὸς ἐπὶ τῶν ὑψηλῶν ἐθυσίαζε, πλὴν Κύριος ὁ θεὸς αὐτῶν.] καὶ τὰ λοιπὰ τῶν λόγων Μανασσῆ [καὶ ἡ προσευχὴ αὐτοῦ ἡ πρὸς τὸν θεὸν] καὶ Λόγοι τῶν ὁρώντων τῶν λαλούντων πρὸς αὐτὸν ἐπ' ὀνόματι θεοῦ Ἰσραὴλ [ἰδοὺ ἐπὶ Λόγων προσευχῆς αὐτοῦ, ὡς καὶ ἐπήκουσεν αὐτοῦ,] καὶ πᾶσαι αἱ ἁμαρτίαι αὐτοῦ καὶ ἀποστάσεις αὐτοῦ καὶ οἱ τόποι, ἐφ' οἷς ᾠκοδόμησεν ἐν αὐτοῖς τὰ ὑψηλὰ καὶ ἔστησεν ἐκεῖ ἄλση καὶ γλυπτά, [πρὸ τοῦ ἐπιστρέψαι,] ἰδοὺ γέγραπται ἐπὶ τῶν Λόγων τῶν ὁρώντων. καὶ ἐκοιμήθη Μανασσῆς... 16 17 18 19

86 2 ...ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου, ὡς ἐποίησε Μανασσῆς ὁ πατὴρ αὐτοῦ, καὶ πᾶσι τοῖς εἰδώλοις, οἷς ἐποίησε Μανασσῆς 22

3+ ὁ πατὴρ αὐτοῦ, ἔθυεν Ἀμὼν καὶ ἐδούλευσεν αὐτοῖς. [καὶ οὐκ ἐταπεινώθη ἐναντίον Κυρίου, ὡς ἐταπεινώθη Μανασσῆς ὁ πατὴρ αὐτοῦ, ὅτι υἱὸς αὐτοῦ Ἀμὼν ἐπλήθυνε πλημμέλειαν.] 23

88 3 ...ἐπὶ χεῖρα ποιούντων τὰ ἔργα [οἱ καθεσταμένοι ἐν οἴκῳ Κυρίου καὶ ἔδωκαν αὐτὸ ποιοῦσι τὰ ἔργα, οἳ ἐποίουν ἐν οἴκῳ Κυρίου,] 10 **34**

89 7 ...καὶ ἐποίησαν [οἱ κατοικοῦντες Ἰερουσαλὴμ] διαθήκην ἐν οἴκῳ Κυρίου θεοῦ... 32

90 15 ...καὶ πᾶς Λευῖτης [καὶ πᾶς] συνιὼν ἐν ὀργάνοις ᾠδῶν... 12 **35**

21 ...οἱ Λευῖται ἡτοίμασαν [αὐτοῖς καὶ] τοῖς ἀδελφοῖς αὐτῶν [υἱοῖς Ἀαρών]. 14

91 4 ...ἐπὶ πάντα τὰ παροργίσματα [αὐτοῦ] ἃ παρώργισε Μανασσῆς. 19δ

94 5+ ...τῆς Σαμαρείας, [καὶ ἀπέστησαν μετὰ τὸν λόγον τοῦτον] κατὰ τὸν λόγον Κυρίου 5β **36**

10+ ...καὶ οὐκ ἠθέλησε Κύριος ἐξιλασθῆναι αὐτοῖς. [καὶ ἀνέβη ἐπ' αὐτὸν Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος καὶ ἔδησεν αὐτὸν ἐν χαλκαῖς πέδαις καὶ ἀπήγαγεν αὐτὸν εἰς Βαβυλῶνα. καὶ μέρος τῶν σκευῶν οἴκου Κυρίου ἀπήνεγκεν εἰς Βαβυλῶνα καὶ ἔθηκεν αὐτὰ ἐν τῷ ναῷ αὐτοῦ ἐν Βαβυλῶνι.] 6 7

11 καὶ ἐκοιμήθη Ἰωακὶμ μετὰ τῶν πατέρων αὐτοῦ, [καὶ ἐτάφη ἐν Γὰν Ὀζὰ μετὰ τῶν πατέρων αὐτοῦ] 8

96 11+ ...καὶ ἀπῴκισε τοὺς καταλοίπους εἰς Βαβυλῶνα, [καὶ ἦσαν αὐτῷ καὶ τοῖς υἱοῖς αὐτοῦ εἰς δούλους ἕως βασιλείας Μήδων τοῦ 20

πληρωθῆναι λόγον Κυρίου διὰ στόματος Ἰερεμίου ἕως τοῦ 21
προσδέξασθαι τὴν γῆν τὰ σάββατα αὐτῆς σαββατίσαι· πάσας
τὰς ἡμέρας ἐρημώσεως αὐτῆς ἐσαββάτισεν εἰς συμπλήρωσιν
ἐτῶν ἑβδομήκοντα.

Ἔτους πρώτου Κύρου βασιλέως Περσῶν, μετὰ τὸ πληρω- 22
θῆναι ῥῆμα Κυρίου διὰ στόματος Ἰερεμίου, ἐξήγειρε Κύριος
τὸ πνεῦμα Κύρου βασιλέως Περσῶν καὶ παρήγγειλε κηρῦξαι
ἐν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ ἐν γραπτῷ λέγων· Τάδε λέγει Κῦ- 23
ρος βασιλεὺς Περσῶν πάσαις ταῖς βασιλείαις τῆς γῆς· Ἔδωκέ
μοι Κύριος ὁ θεὸς τοῦ οὐρανοῦ, καὶ αὐτὸς ἐνετείλατό μοι οἰκο-
δομῆσαι οἶκον αὐτῷ ἐν Ἰερουσαλὴμ ἐν τῇ Ἰουδαίᾳ. τίς ἐξ ὑ-
μῶν ἐκ παντὸς τοῦ λαοῦ αὐτοῦ; ἔσται θεὸς αὐτοῦ μετ' αὐτοῦ,
καὶ ἀναβήτω.] *(στίχοι 22-23 = Ἀν 1,1-9 = ἀρχὴ τοῦ ἑπομένου καὶ συνα-
πτοῦ στὰ χειρόγραφα βιβλίου Ἀνάβασις)*

ΣΧΟΛΙΑ ΕΙΣ ΙΩΝΑΝ

1	1	[Καὶ] Ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν	1	**1**
2	3	...ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας [φωνῆς μου]	3	**2**
3	9	...καὶ περιεβάλοντο σάκκους οἱ ἄνθρωποι [καὶ τὰ κτήνη]		
4	4	[Δέσποτα] Κύριε	3	**4**

ΣΧΟΛΙΑ ΕΙΣ ΑΙΧΜΑΛΩΣΙΑΝ

1	2+	...εἰς γῆν Σενναὰρ <εἰς> οἶκον τοῦ θεοῦ αὐτοῦ· [καὶ τὰ σκεύη εἰσήνεγκεν εἰς τὸν οἶκον θησαυροῦ τοῦ θεοῦ αὐτοῦ.]	2	**1**
2	4	...καὶ ἐλάλησαν οἱ Χαλδαῖοι τῷ βασιλεῖ [συριστί]· Βασιλεῦ...	4	**2**
5	34	καὶ πᾶσαι αἱ ὁδοί σου. [αὐτὸν οὐκ ἐδόξασας].	23	**5**

ΣΧΟΛΙΑ ΕΙΣ ΑΝΑΒΑΣΙΝ

1	1	[Καὶ] Ἐν τῷ πρώτῳ ἔτει Κύρου	1	**1**
	7	...οἰκοδομησάτω τὸν οἶκον θεοῦ Ἰσραὴλ [αὐτὸς ὁ θεὸς ὁ ἐν Ἰερουσαλήμ].	3	**Ἔσ**
3	3	[Νεεμίας,] Σαραΐας, Ῥεελίας, [Μαρδοχαῖος]		
14	11+	...ἐν οἴκῳ τοῦ θεοῦ. [νῦν δώσετε].	6	**6**
15	2	...ἀπὸ γνώμης Κύρου καὶ Δαρείου [καὶ Ἀρθασασθά]	14	

18	1	...ἔδωκεν Ἀρθασασθὰ τῷ Ἔσδρᾳ τῷ ἱερεῖ καὶ γραμματεῖ Βιβλίον Λόγων [ἐντολῶν] Κυρίου καὶ προσταγμάτων αὐτοῦ ἐπὶ τὸν Ἰσραήλ.	11	**7**
21	16	...θυΐσκους χρυσοῦς εἴκοσιν [εἰς τὴν ὁδὸν χαμινὶμ] καὶ χίλια σκεύη χαλκοῦ στίλβοντος...	27	**8**
27	6	...καὶ Σαμοὺ καὶ Κωλία [αὐτὸς Κωλίτας] καὶ Φεθεΐα	23	**10**
		...Οὐήλ, Βαναΐας, [Βαδαΐα], Χελκίας,...	35	
		...Ματθανία. [Ματθαναΐ, καὶ ἐποίησαν οἱ υἱοὶ Βανουὶ καὶ οἱ υἱοὶ Σεμεΐ καὶ Σελεμία καὶ Νάθαν καὶ Ἀδαΐα, Μαχαδναβού, Σεσεΐ, Σαριού, Ἐζριὴλ καὶ Σελεμία καὶ Σαμαρία καὶ Σελλούμ, Ἀμαρία, Ἰωσήφ]	37	
				Νε
28	1	[Καὶ] Ἐγένετο ἐν μηνὶ Χασελεὺ ἔτους εἰκοστοῦ	1	**1**
	4	...οἱ καταλειπόμενοι [οἱ καταλειφθέντες] ἀπὸ τῆς αἰχμαλωσίας...	3	
33	22	...ἕως τῆς Κολυμβήθρας τῆς Γεγονυίας [καὶ ἕως Βηθαγγαρίμ]	16	**3**
35	7	...καὶ ἔστησα... [καὶ ἔστησα] τὸν λαὸν κατὰ δήμους	7	**4**

< ΒΙΒΛΙΟΝ ΤΗΣ ΣΥΝΟΔΙΑΣ >

43	2+	...τὸν λαὸν εἰς συνοδίας· [καὶ εὗρον **Βιβλίον τῆς συνοδίας,**	5	**7**
		οἳ ἀνέβησαν ἐν πρώτοις, καὶ εὗρον γεγραμμένον ἐν αὐτῷ· Καὶ	6	
		οὗτοι υἱοὶ τῆς χώρας οἱ ἀναβάντες ἀπὸ αἰχμαλωσίας τῆς ἀποικίας, ἧς ἀπῴκισε Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος καὶ ἐπέστρεψαν εἰς Ἰερουσαλὴμ καὶ εἰς Ἰούδα ἀνὴρ εἰς τὴν πόλιν αὐτοῦ μετὰ Ζοροβάβελ καὶ Ἰησοῦ καὶ Νεεμία Ἀζαρία καὶ	7	
		Ῥεελμὰ Ναεμανί, Μαρδοχαῖος, Βαλσάν, Μασφαράθ, Ἔσδρα,		
		Βογουΐα, Ἰναούμ, Βαανά, Μασφάρ, ἄνδρες λαοῦ Ἰσραήλ· υἱοὶ	8	
		Φόρος δισχίλιοι ἑκατὸν ἑβδομήκοντα δύο· υἱοὶ Σαφατία τρια-	9	
		κόσιοι ἑβδομήκοντα δύο· υἱοὶ Ἠρὰ ἑξακόσιοι πεντήκοντα δύο·	10	
		υἱοὶ Φαὰθ Μωὰβ τοῖς υἱοῖς Ἰησοῦ καὶ Ἰωὰβ δισχίλιοι ἑξακό-	11	
		σιοι δεκαοκτώ· υἱοὶ Ἀιλὰμ χίλιοι διακόσιοι πεντήκοντα τέσσα-	12	
		ρες· υἱοὶ Ζαθουΐα ὀκτακόσιοι τεσσαράκοντα πέντε· υἱοὶ Ζακ-	13	14
		χοῦ ἑπτακόσιοι ἑξήκοντα· υἱοὶ Βανουΐ ἑξακόσιοι τεσσαράκο-	15	
		ντα ὀκτώ· υἱοὶ Βηβὶ ἑξακόσιοι εἴκοσι ὀκτώ· υἱοὶ Ἀσγὰδ δισχί-	16	17
		λιοι τριακόσιοι εἴκοσι δύο· υἱοὶ Ἀδωνικὰμ ἑξακόσιοι ἑξήκοντα	18	
		ἑπτά· υἱοὶ Βαγοῖ δισχίλιοι ἑξήκοντα ἑπτά· υἱοὶ Ἠδὶν ἑξακόσιοι	19	20
		πεντήκοντα πέντε· υἱοὶ Ἀτὴρ τῷ Ἐζεκίᾳ ἐνενήκοντα ὀκτώ· υἱ-	21	22
		οὶ Ἠσὰμ τριακόσιοι εἴκοσι ὀκτώ· υἱοὶ Βεσεΐ τριακόσιοι εἴκοσι	23	
		τέσσαρες υἱοὶ Ἀριὴφ ἑκατὸν δώδεκα· υἱοὶ Ἀσὲν διακόσιοι εἴκο-	24	
		σι τρεῖς· υἱοὶ Γαβαὼν ἐνενήκοντα πέντε· υἱοὶ Βαιθαλὲμ ἑκατὸν	25	
		εἴκοσι τρεῖς· υἱοὶ Ἀτωφὰ πεντήκοντα ἕξ· υἱοὶ Ἀναθὼθ ἑκατὸν	26	27

εἴκοσι ὀκτώ· ἄνδρες Βηθασμὼθ τεσσαράκοντα δύο· ἄνδρες 28 29
Καριαθιαρίμ, Καφιρὰ καὶ Βηρὼθ ἑπτακόσιοι τεσσαράκοντα 30
τρεῖς· ἄνδρες Ἀραμὰ καὶ Γαβαὰ ἑξακόσιοι εἴκοσιν· ἄνδρες Μα- 31
χεμὰς ἑκατὸν εἴκοσι δύο· ἄνδρες Βαιθὴλ καὶ Ἀΐ ἑκατὸν εἴκοσι 32 33
τρεῖς· ἄνδρες Ναβία ἑκατὸν πεντήκοντα δύο· ἄνδρες Ἠλαμαὰρ 34
χίλιοι διακόσιοι πεντήκοντα δύο· υἱοὶ Ἠρὰμ τριακόσιοι εἴκοσι· 35 36
υἱοὶ Ἰεριχὼ τριακόσιοι τεσσαράκοντα πέντε· υἱοὶ Λοδαδὶδ καὶ 37
Ὠνὼ ἑπτακόσιοι εἴκοσι εἷς· υἱοὶ Σανανὰ τρισχίλιοι ἐνακόσιοι 38
τριάκοντα· οἱ ἱερεῖς, υἱοὶ Ἰωδαὲ εἰς οἶκον Ἰησοῦ ἐνακόσιοι ἑ- 39
βδομήκοντα τρεῖς· υἱοὶ Ἐμμὴρ χίλιοι πεντήκοντα δύο· υἱοὶ Φα- 40 41
σεοὺρ χίλιοι διακόσιοι τεσσαράκοντα ἑπτά· υἱοὶ Ἠρὰμ χίλιοι 42 43
δεκαεπτά· οἱ Λευῖται, υἱοὶ Ἰησοῦ τοῦ Καδμιὴλ τοῖς υἱοῖς τοῦ
Οὐδουΐα ἑβδομήκοντα τέσσαρες· οἱ ᾄδοντες, υἱοὶ Ἀσὰφ ἑκα- 44
τὸν τεσσαράκοντα ὀκτώ· οἱ πυλωροί, υἱοὶ Σαλούμ, υἱοὶ Ἀτήρ, 45
υἱοὶ Τελμών, υἱοὶ Ἀκούβ, υἱοὶ Ἀτιτά, υἱοὶ Σαβί, ἑκατὸν τριάκο-
ντα ὀκτώ· οἱ ναθινίμ, υἱοὶ Σηά, υἱοὶ Ἀσφά, υἱοὶ Ταβαώθ, υἱοὶ 46 47
Κιράς, υἱοὶ Ἀσουΐα, υἱοὶ Φαϊδών, υἱοὶ Λαβανά, υἱοὶ Ἀγαβά, υἱ- 48 49
οὶ Σελμεΐ, υἱοὶ Ἀνάν, υἱοὶ Γαδήλ, υἱοὶ Γαάρ, υἱοὶ Ῥααΐα, υἱοὶ 50
Ῥασσών, υἱοὶ Νεκωδά, υἱοὶ Γηζάμ, υἱοὶ Ὀζί, υἱοὶ Φεσή, υἱοὶ 51 52
Βησί, υἱοὶ Μεϊνών, υἱοὶ Νεφωσασί, υἱοὶ Βακβούκ, υἱοὶ Ἀχιφά, 53 54
υἱοὶ Ἀρούρ, υἱοὶ Βασαλώθ, υἱοὶ Μιδά, υἱοὶ Ἀδασάν, υἱοὶ Βαρ- 55 56
κουέ, υἱοὶ Σισαράθ, υἱοὶ Θημά, υἱοὶ Νισιά, υἱοὶ Ἀτιφά, υἱοὶ 57
δούλων Σαλωμών, υἱοὶ Σουτεΐ, υἱοὶ Σαβαράτ, υἱοὶ Φεριδά, υἱοὶ 58
Ἰελήλ, υἱοὶ Δορκών, υἱοὶ Γαδαήλ, υἱοὶ Σαφατία, υἱοὶ Ἐττήλ, υἱ- 59
οὶ Φακαράθ, υἱοὶ Σαβαΐμ, υἱοὶ Ἠμίμ· πάντες οἱ ναθινίμ, καὶ υἱοὶ 60
δούλων Σαλωμὼν τριακόσιοι ἐνενήκοντα δύο. καὶ οὗτοι ἀνέ- 61
βησαν ἀπὸ Θελμελέθ, Θελαρησά, Χαρούβ, Ἠρών, Ἰεμὴρ καὶ
οὐκ ἐδυνάσθησαν ἀπαγγεῖλαι οἴκους πατριῶν αὐτῶν καὶ
σπέρμα αὐτῶν εἰ ἀπὸ Ἰσραήλ εἰσιν· υἱοὶ Δαλαΐα, υἱοὶ Τωβία, 62
υἱοὶ Νεκωδά, ἑξακόσιοι τεσσαράκοντα δύο· καὶ ἀπὸ τῶν ἱερέ- 63
ων υἱοὶ Ἐβία, υἱοὶ Ἀκώς, υἱοὶ Βερζελλί, ὅτι ἔλαβον ἀπὸ θυγα-
τέρων Βερζελλὶ τοῦ Γαλααδίτου γυναῖκας καὶ ἐκλήθησαν ἐπ' ὀ-
νόματι αὐτῶν· οὗτοι ἐζήτησαν γραφὴν αὐτῶν τῆς συνοδίας, 64
καὶ οὐχ εὑρέθη, καὶ ἠγχιστεύθησαν ἀπὸ τῆς ἱερατείας. καὶ εἶ- 65
πεν ἀθερσασθά, ἵνα μὴ φάγωσιν ἀπὸ τοῦ ἁγίου τῶν ἁγίων, ἕ-
ως ἀναστῇ ἱερεὺς φωτίσων. καὶ ἐγένετο πᾶσα ἡ ἐκκλησία ὡ- 66
σεὶ τέσσαρες μυριάδες δισχίλιοι τριακόσιοι ἑξήκοντα, πάρεξ 67
δούλων αὐτῶν καὶ παιδισκῶν αὐτῶν, οὗτοι ἑπτακισχίλιοι
τριακόσιοι τριάκοντα ἑπτά· καὶ ᾄδοντες καὶ ᾄδουσαι διακόσιοι 69
τεσσαράκοντα πέντε· ὄνοι δισχίλιοι ἑπτακόσιοι. καὶ ἀπὸ μέ- 70
ρους ἀρχηγῶν τῶν πατριῶν ἔδωκαν εἰς τὸ ἔργον τῷ Νεεμίᾳ
εἰς θησαυρὸν χρυσοῦς χιλίους, φιάλας πεντήκοντα καὶ χωθω-
νὼθ τῶν ἱερέων τριάκοντα. καὶ ἀπὸ ἀρχηγῶν τῶν πατριῶν ἔ- 71
δωκαν εἰς θησαυροὺς τοῦ ἔργου χρυσοῦ νομίσματος δύο μυ-
ριάδας καὶ ἀργυρίου μνᾶς δισχιλίας τριακοσίας, καὶ ἔδωκαν οἱ

κατάλοιποι τοῦ λαοῦ χρυσίου δύο μυριάδας καὶ ἀργυρίου μνᾶς δισχιλίας διακοσίας καὶ χωθωνὼθ τῶν ἱερέων ἑξήκοντα ἑπτά. καὶ ἐκάθισαν οἱ ἱερεῖς καὶ Λευῖται καὶ οἱ πυλωροὶ καὶ οἱ ᾄδοντες καὶ οἱ ἀπὸ τοῦ λαοῦ καὶ οἱ ναθινὶμ καὶ πᾶς Ἰσραὴλ ἐν πόλεσιν αὐτῶν. 72

Καὶ ἔφθασεν ὁ μὴν ὁ ἕβδομος –καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐν πόλεσιν αὐτῶν– καὶ συνήχθησαν πᾶς ὁ λαὸς ὡς ἀνὴρ εἷς] εἰς τὸ πλάτος τὸ ἔμπροσθεν πύλης τοῦ ὕδατος. 1 **8**

*(τέλος τοῦ **Βιβλίου τῆς συνοδίας**)*

7 ...καὶ Μελχίας καὶ Ἀσὼμ [καὶ Ἀσαβαδμὰ] καὶ Ζαχαρίας... 4

12 ...καὶ εἶπεν [Νεεμίας καὶ] Ἔσδρας ὁ ἱερεὺς καὶ γραμματεύς... 9

45 23 [ἐντολὰς καὶ προστάγματα] καὶ νόμον ἐνετείλω αὐτοῖς... 14 **9**

46 2+ ...καὶ Σεδεκίας υἱὸς Ἀραία καὶ Ἀζαρία καὶ Ἱερμία, Φασούρ, Ἀμαρία, Μελχία, Ἀττούς, Σεβανί, Μαλούχ, Ἰράμ, Μεραμώθ, Ἀβδία, Δανιήλ, Γανναθών, Βαρούχ, Μεσουλάμ, Ἀβία, Μιαμίν, Μααζία, Βελγαΐ, Σαμαΐα, οὗτοι ἱερεῖς· καὶ οἱ Λευῖται Ἰησοῦς υἱὸς Ἀζανία, Βαναίου ἀπὸ υἱῶν Ἠναδάδ, Καδμιὴλ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, Σαβανία, Ὠδουΐα, Καλιτάν, Φελία, Ἀνάν, Μιχά, Ροώβ, Ἀσεβίας, Ζακχώρ, Σαραβία, Σεβανία, Ὠδούμ, υἱοὶ Βανουναΐ· ἄρχοντες τοῦ λαοῦ Φόρος, Φαάθ, Μωάβ, Ἠλάμ, Ζαθουΐα, υἱοὶ Βανί, Ἀσγάδ, Βηβαΐ, Ἀδανία, Βαγοΐ, Ἠδίν, Ἀτήρ, Ἐζεκία, Ἀζούρ, Ὠδουΐα, Ἠσάμ, Βησί, Ἀρίφ, Ἀναθώθ, Νωβαΐ, Μεγαφής, Μεσουλλάμ, Ἠζίρ, Μεσωζεβήλ, Σαδούκ, Ἰεδδούα, Φαλτία, Ἀνάν, Ἀναΐα, Ὠσηέ. Ἀνανία, Ἀσούβ, Ἀλωής, Φαλαΐ, Σωβήκ, Ρεούμ, Ἐσσαβανά, Μαασία, καὶ Ἀΐα, Αἰνάν, Ἠνάμ, Μαλούχ, Ἠράμ, Βαανά. 1 2 **10** 3 4 5 6 7 8 9 10 11 12 13 14 15 16 17 18 19 20 21 22 23 25 26 27

3 ...καὶ κατηράσαντο αὐτοὺς 29

47 3+ ...καὶ οὗτοι οἱ ἄρχοντες τῆς χώρας, οἳ ἐκάθισαν ἐν Ἱερουσαλὴμ καὶ ἐν πόλεσιν Ἰούδα· ἐκάθισαν ἀνὴρ ἐν κατασχέσει αὐτοῦ, ἐν πόλεσιν αὐτῶν Ἰσραήλ, οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ ναθιναῖοι καὶ οἱ υἱοὶ δούλων Σαλωμών· καὶ ἐν Ἱερουσαλὴμ ἐκάθισαν ἀπὸ υἱῶν Ἰούδα καὶ ἀπὸ υἱῶν Βενιαμίν. ἀπὸ υἱῶν Ἰούδα· Ἀθαΐα υἱὸς Ἀζία, υἱὸς Ζαχαρία υἱὸς Σαμαρία, υἱὸς Σαφατία, υἱὸς Μαλελεὴλ καὶ ἀπὸ τῶν υἱῶν Φαρές, καὶ Μαασία υἱὸς Βαρούχ, υἱὸς Χαλαζά, υἱὸς Ὀζία, υἱὸς Ἀδαΐα, υἱὸς Ἰωαρίβ, υἱὸς Ζαχαρίου, υἱὸς τοῦ Σηλωνί· πάντες υἱοὶ Φάρες οἱ καθήμενοι ἐν Ἱερουσαλὴμ τετρακόσιοι ἑξηκονταοκτὼ ἄνδρες δυνάμεως. καὶ οὗτοι υἱοὶ Βενιαμίν· Σηλὼ υἱὸς Μεσουλάμ, υἱὸς Ἰωάδ, υἱὸς Φαδαΐα, υἱὸς Κωλεΐα, υἱὸς Μαασίου, υἱὸς Ἐθιήλ, υἱὸς Ἰεσία, καὶ ὀπίσω αὐτοῦ Γηβέ, Σηλί, ἐννακόσιοι εἰκοσιοκτώ. καὶ Ἰωὴλ υἱὸς Ζεχρὶ ἐπίσκοπος ἐπ' αὐτούς, καὶ Ἰούδα υἱὸς Ἀσα- 3 **11** 4 5 6 7 8 9

νὰ ἀπὸ τῆς πόλεως δεύτερος· ἀπὸ τῶν ἱερέων· καὶ Ἰαδία υἱὸς 10
Ἰωρίβ, Ἰαχίν, Σαραία υἱὸς Ἐλχία, υἱὸς Μεσουλάμ, υἱὸς Σαδ- 11
δούκ, υἱὸς Μαριώθ, υἱὸς Αἰτὼθ ἀπέναντι οἴκου τοῦ Θεοῦ. καὶ 12
ἀδελφοὶ αὐτῶν ποιοῦντες τὸ ἔργον τοῦ οἴκου ὀκτακόσιοι εἰκο-
σιδύο. καὶ Ἀδαΐα υἱὸς Ἱεροάμ, υἱοῦ Φαλαλία, υἱοῦ Ἀμασί, υἱ-
ὸς Ζαχαρία, υἱὸς Φασσούρ, υἱὸς Μελχία, καὶ ἀδελφοὶ αὐτοῦ, 13
ἄρχοντες πατριῶν διακόσιοι τεσσαρακονταδύο. καὶ Ἀμασία
υἱὸς Ἐσδριήλ, υἱοῦ Μεσαριμίθ, υἱοῦ Ἐμμήρ, καὶ ἀδελφοὶ αὐτοῦ 14
δυνατοὶ παρατάξεως ἑκατὸν εἰκοσιοκτώ· καὶ ἐπίσκοπος Βαδι-
ὴλ υἱὸς τῶν μεγάλων. καὶ ἀπὸ τῶν Λευιτῶν Σαμαΐα υἱὸς Ἐσρι- 15
κάμ, Ματθανίας υἱὸς Μιχὰ καὶ Ἰωβὴβ υἱὸς Σαμουΐ, διακόσιοι 17 18
ὀγδοηκοντατέσσαρες. καὶ οἱ πυλωροὶ Ἀκούβ, Τελαμίν, καὶ οἱ 19
ἀδελφοὶ αὐτῶν, ἑκατὸν ἑβδομηκονταδύο. καὶ ἐπίσκοπος Λευι- 22
τῶν υἱὸς Βανί, υἱὸς Ὀζί, υἱὸς Ἀσαβία, υἱὸς Μιχά. ἀπὸ υἱῶν Ἀ-
σὰφ τῶν ᾀδόντων ἀπέναντι ἔργου οἴκου τοῦ Θεοῦ· ὅτι ἐντολὴ 23
τοῦ βασιλέως εἰς αὐτούς. καὶ Φαθαΐα υἱὸς Βασηζὰ πρὸς χεῖρα 24
τοῦ βασιλέως εἰς πᾶν χρῆμα τῷ λαῷ. καὶ πρὸς τὰς ἐπαύλεις 25
ἐν ἀγρῷ αὐτῶν. καὶ ἀπὸ υἱῶν Ἰούδα ἐκάθισαν ἐν Καριὰθ Ἀρ- 26 27
βὸκ καὶ ἐν Ἰησοῦ καὶ ἐν Βηρσαβεέ. καὶ ἐπαύλεις αὐτῶν· Λαχὶς 30
καὶ ἀγροὶ αὐτῆς· καὶ παρενεβάλοσαν ἐν Βηρσαβεέ. καὶ οἱ υἱοὶ 31
Βενιαμὶν ἀπὸ Γαβὰ Μαχμάς. καὶ ἀπὸ τῶν Λευϊτῶν μερίδες 36
Ἰούδα τῷ Βενιαμίν.

Καὶ οὗτοι οἱ ἱερεῖς καὶ οἱ Λευῖται οἱ ἀναβάντες μετὰ Ζορο- 1 **12**
βάβελ υἱοῦ Σαλαθιὴλ καὶ Ἰησοῦ· Σαραΐα, Ἱερεμία, Ἔσδρα, Ἀ- 2 3
μαρία, Μαλούχ, Σεχενία· οὗτοι οἱ ἄρχοντες τῶν ἱερέων καὶ ἀ- 7
δελφοὶ αὐτῶν ἐν ἡμέραις Ἰησοῦ. καὶ οἱ Λευῖται, Ἰησοῦ, 8
Βανουΐ, Καδμιήλ, Σαραβία, Ἰωδαέ, Ματθανία· ἐπὶ τῶν χειρῶν
αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτῶν εἰς τὰς ἐφημερίας. καὶ Ἰησοῦς ἐ- 10
γέννησε τὸν Ἰωακίμ, καὶ Ἰωακὶμ ἐγέννησε τὸν Ἐλιασίβ, καὶ Ἐ-
λιασὶβ τὸν Ἰωδαέ, καὶ Ἰωδαὲ ἐγέννησε τὸν Ἰωνάθαν, καὶ Ἰωνά- 11
θαν ἐγέννησε τὸν Ἰαδού. καὶ ἐν ἡμέραις Ἰωακὶμ ἀδελφοὶ αὐ- 12
τοῦ οἱ ἱερεῖς καὶ οἱ ἄρχοντες τῶν πατριῶν· τῷ Σαραΐᾳ Ἀμαρία,
τῷ Ἱερεμίᾳ Ἀνανία, τῷ Ἔσδρα Μεσουλάμ, τῷ Ἀμαρίᾳ Ἰωα- 13
νάν, τῷ Ἀμαλοὺχ Ἰωνάθαν, τῷ Σεχενίᾳ Ἰωσήφ, τῷ Ἀρὲ Μαν- 14 15
νάς, τῷ Μαριὼθ Ἐλκαΐ, τῷ Ἀδαδαΐ Ζαχαρία, τῷ Γαναθὼθ Μο- 16
σολάμ, τῷ Ἀβιὰ Ζεχρί, τῷ Μιαμὶν Μααδαΐ τῷ Φελετί....., τῷ 17 18
Βαλγὰς Σαμουέ, τῷ Σεμίᾳ Ἰωνάθαν, τῷ Ἰωαρὶβ Ματθαναΐ, τῷ 19
Ἐδίῳ Ὀζί, τῷ Σαλαΐ Καλλαΐ, τῷ Ἀμὲκ Ἀβέδ, τῷ Ἐλκίᾳ Ἀσα- 20 21
βίας, τῷ Ἰεβεϊοὺ Ναθαναήλ. οἱ Λευῖται ἐν ἡμέραις Ἐλιασίβ, Ἰω- 22
αδὰ καὶ Ἰωὰ καὶ Ἰωανὰν καὶ Ἰδούα, γεγραμμένοι ἄρχοντες
τῶν πατριῶν, καὶ οἱ ἱερεῖς ἐν βασιλείᾳ Δαρείου τοῦ Πέρσου·
υἱοὶ δὲ Λευΐ ἄρχοντες τῶν πατριῶν γεγραμμένοι ἐπὶ Βιβλίῳ 23
Λόγων τῶν ἡμερῶν καὶ ἕως ἡμερῶν Ἰωανὰν υἱοῦ Ἐλισουέ.
καὶ οἱ ἄρχοντες τῶν Λευϊτῶν Ἀσαβία καὶ Σαραβία καὶ Ἰησοῦ 24
καὶ υἱοὶ Καδμιὴλ καὶ οἱ ἀδελφοὶ αὐτῶν κατεναντίον αὐτῶν εἰς

ὕμνον αἰνεῖν ἐν ἐντολῇ Δαυΐδ ἀνθρώπου τοῦ θεοῦ ἐφημερία πρὸς ἐφημερίαν ἐν τῷ συναγαγεῖν με τοὺς πυλωροὺς ἐν ἡμέ- 25
ραις Ἰωακὶμ υἱοῦ Ἰησοῦ, υἱοῦ Ἰωσεδὲκ καὶ ἐν ἡμέραις Νεεμία, 26
καὶ Ἔσδρας ὁ ἱερεὺς καὶ γραμματεύς. *(Σχόλιον στὸ 48,1).*

48 7+ ...καὶ Ἀζαρίας καὶ Ἔσδρας καὶ Μεσολλάμ, καὶ Ἰούδα καὶ Βε- 33 34
νιαμὶν καὶ Σαμαΐας καὶ Ἱερεμία καὶ ἀπὸ τῶν υἱῶν τῶν ἱερέων 35
ἐν σάλπιγξι Ζαχαρίας υἱὸς Ἰωνάθαν, υἱὸς Σαμαΐα, υἱὸς Ματθα-
νία, υἱὸς Μιχαία, υἱὸς Ζακχούρ, υἱός Ἀσάφ· καὶ ἀδελφοὶ αὐ- 36
τοῦ Σαμαΐα καὶ Ὀζιήλ, Γελώλ, Ἰαμά, Ἀΐα, Ναθαναὴλ καὶ Ἰού-
δα, Ἀνανί,

14+ ...Ἐλιακίμ, Μαασίας, Βενιαμίν, Μιχαίας, Ἐλιωηναί, Ζαχαρίας, 41
Ἀνανίας ἐν σάλπιγξι καὶ Μαασίας καὶ Σεμεΐας καὶ Ἐλεάζαρ
καὶ Ὀζὶ καὶ Ἰωανὰθ καὶ Μελχίας καὶ Αἰλὰμ καὶ Ἐζούρ,

49 4+ ...ὅτι ἐν ἡμέραις Δαυὶδ Ἀσὰφ ἀπ' ἀρχῆς πρῶτος τῶν ᾀδόντων 46
καὶ ὕμνον καὶ αἴνεσιν τῷ θεῷ. καὶ πᾶς Ἰσραὴλ ἐν ἡμέραις 47
Ζοροβάβελ καὶ ἐν ταῖς ἡμέραις Νεεμίου διδόντες μερίδας τῶν
ᾀδόντων καὶ τῶν πυλωρῶν, λόγον ἡμέρας ἐν ἡμέρᾳ αὐτοῦ,
καὶ ἁγιάζοντες τοῖς Λευΐταις, καὶ οἱ Λευῖται ἁγιάζοντες τοῖς
υἱοῖς Ἀαρών.

52 13 ...τὸ δῶρον τῶν ξυλοφόρων ἐν καιροῖς [ἀπὸ χρόνων] 31 **13**

ΣΧΟΛΙΑ ΕΙΣ ΨΑΛΜΟΥΣ

I. Ἐπιγραφαί

1-2 ———————— 1-2

3 Ψαλμός· τῷ Δαυΐδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσ- 3
σαλὼμ τοῦ υἱοῦ αὐτοῦ.

4 Εἰς τὸ τέλος, ἐν ψαλμοῖς· ᾠδὴ τῷ Δαυΐδ. 4

5 Εἰς τὸ τέλος, ὑπὲρ τῆς κληρονομούσης· ψαλμὸς τῷ Δαυΐδ. 5

6 Εἰς τὸ τέλος, ἐν ὕμνοις, ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυΐδ. 6

7 Ψαλμὸς τῷ Δαυΐδ, ὃν ᾖσε τῷ Κυρίῳ ὑπὲρ τῶν λόγων Χουσὶ 7
υἱοῦ Ἰεμενί.

8 Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν· ψαλμὸς τῷ Δαυΐδ. 8

9 Εἰς τὸ τέλος, ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ· ψαλμὸς τῷ Δαυΐδ. 9

10 ———————— 0

11 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ. 10

12 Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυΐδ. 11

13 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ. 12

14 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ. 13

15 Ψαλμὸς τῷ Δαυΐδ. 14

16 Στηλογραφία τῷ Δαυΐδ. 15

17 Προσευχὴ τοῦ Δαυΐδ. 16

18 Εἰς τὸ τέλος· τῷ παιδὶ Κυρίου τῷ Δαυΐδ, ἃ ἐλάλησε τῷ Κυρίῳ, τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἐν ἡμέρᾳ, ᾗ ἐρρύσατο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαούλ, καὶ εἶπεν· 17

19 - 21 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ. 18 - 20

22 Εἰς τὸ τέλος, ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς· ψαλμὸς τῷ Δαυΐδ. 21

23 Ψαλμὸς τῷ Δαυΐδ. 22

24 Ψαλμὸς τῷ Δαυΐδ· τῆς μιᾶς σαββάτων. 23

25 Ψαλμὸς τῷ Δαυΐδ. 24

26 Τοῦ Δαυΐδ. 25

27 Τοῦ Δαυΐδ· πρὸ τοῦ χρισθῆναι. 26

28 ——————— 0

29 Τοῦ Δαυΐδ. 27

30 Ψαλμὸς τῷ Δαυΐδ· ἐξοδίου σκηνῆς. 28

31 Εἰς τὸ τέλος· ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου· τοῦ Δαυΐδ. 29

32 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ· ἐκστάσεως. 30

33 Τῷ Δαυΐδ· συνέσεως. 31

34 Τῷ Δαυΐδ. 32

35 Τῷ Δαυΐδ, ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθεν. *(=Περίληψι ἀποσπάσματος ἀποκρύφου σφηνωμένου στὰ χειρόγραφα μετὰ τὸ Δδ 41,16, κατὰ τὴν παλιὰ στιχομετρία μετὰ τὸ 21,10^{α} ὡς 21,10^{β}-15).* 33

36 Τῷ Δαυΐδ. 34

37 Εἰς τὸ τέλος· τῷ δούλῳ Κυρίου τῷ Δαυΐδ. 35

38 Τῷ Δαυΐδ. 36

39 Ψαλμὸς τῷ Δαυΐδ· εἰς ἀνάμνησιν περὶ σαββάτου. 37

40 Εἰς τὸ τέλος, τῷ Ἰδιθούν· ᾠδὴ τῷ Δαυΐδ. 38

41 Εἰς τὸ τέλος· τῷ Δαυΐδ ψαλμός. 39

42 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ. 40

43 Εἰς τὸ τέλος· εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ. 41

44 Ψαλμὸς τῷ Δαυΐδ. 42

45 Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν ψαλμός. 43

46 Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν· ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ. 44

47 Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κορέ, ὑπὲρ τῶν κρυφίων ψαλμός. 45

48 Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κορὲ ψαλμός. 46

49 Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορέ· δευτέρᾳ σαββάτων. 47

50 Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κορὲ ψαλμός. 48

51 Ψαλμὸς τῷ Ἀσάφ. 49

52 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυὶδ ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεέ. 50

53 Εἰς τὸ τέλος· συνέσεως τῷ Δαυΐδ· ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ καὶ εἰπεῖν αὐτῷ· ‘Ἦλθε Δαυΐδ εἰς τὸν οἶκον Ἀβιμέλεχ’. 51

0 Εἰς τὸ τέλος, ὑπὲρ μαελέθ· συνέσεως τῷ Δαυΐδ. 52

54 Εἰς τὸ τέλος, ἐν ὕμνοις· συνέσεως τῷ Δαυΐδ ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους καὶ εἰπεῖν τῷ Σαούλ· ‘Οὐκ ἰδοὺ Δαυΐδ κέκρυπται παρ’ ἡμῖν;’. 53

55 Εἰς τὸ τέλος, ἐν ὕμνοις· συνέσεως τῷ Δαυΐδ. 54

56 Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου· τῷ Δαυΐδ εἰς στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ. 55

57 Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· τῷ Δαυΐδ εἰς στηλογραφίαν ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον. 56

58 Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· τῷ Δαυΐδ εἰς στηλογραφίαν. 57

59 Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· τῷ Δαυΐδ εἰς στηλογραφίαν, ὁπότε ἀπέστειλε Σαοὺλ καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι αὐτόν. 58

60 Εἰς τὸ τέλος· τοῖς ἀλλοιωθησομένοις ἔτι, εἰς στηλογραφίαν τῷ Δαυΐδ, εἰς διδαχήν, ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας καὶ τὴν Συρίαν Σοβά, καὶ ἐπέστρεψεν Ἰωάβ, καὶ ἐπάταξε τὴν Φάραγγα τῶν Ἁλῶν, δώδεκα χιλιάδας. 59

61 Εἰς τὸ τέλος, ἐν ὕμνοις· τῷ Δαυΐδ. 60

62 Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθούν· ψαλμὸς τῷ Δαυΐδ. 61

63 Ψαλμὸς τῷ Δαυΐδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰδου- 62
μαίας.

64 Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυΐδ. 63

65 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ, ᾠδή· Ἱερεμίου καὶ Ἰεζεκιὴλ ἐκ 64
τοῦ λαοῦ τῆς παροικίας, ὅτε ἔμελλον ἐκπορεύεσθαι.

66 Εἰς τὸ τέλος· ᾠδὴ ψαλμοῦ· ἀναστάσεως. 65

67 Εἰς τὸ τέλος, ἐν ὕμνοις· ψαλμὸς ᾠδῆς τῷ Δαυΐδ. 66

68 Εἰς τὸ τέλος· τῷ Δαυΐδ ψαλμὸς ᾠδῆς. 67

69 Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· τῷ Δαυΐδ. 68

0 Εἰς τὸ τέλος· τῷ Δαυΐδ εἰς ἀνάμνησιν, <εἰς τὸ> ‘Εἰς τὸ σῶ- 69
σαί με Κύριον’ *(vulgata: Quod salvum fecerit eum Dominus).*

70 Τῷ Δαυΐδ· υἱῶν Ἰωναδὰβ καὶ τῶν πρώτων αἰχμαλωτισθέντων. 70

71 Εἰς Σαλωμών. 71

72 Ψαλμὸς τῷ Ἀσάφ. 72

73 Συνέσεως τῷ Ἀσάφ. 73
74 Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· ψαλμὸς ᾠδῆς τῷ Ἀσάφ. 74

75 Εἰς τὸ τέλος, ἐν ὕμνοις· ψαλμὸς τῷ Ἀσάφ, ᾠδὴ πρὸς τὸν Ἀσ- 75
σύριον.

76 Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθούν· ψαλμὸς τῷ Ἀσάφ. 76

77 Συνέσεως τῷ Ἀσάφ. 77

78 Ψαλμὸς τῷ Ἀσάφ. 78

79 Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· μαρτύριον τῷ Ἀ- 79
σάφ, ψαλμὸς ὑπὲρ τοῦ Ἀσσυρίου.

80 Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν·’ ψαλμὸς τῷ Ἀσάφ. 80

81 Ψαλμὸς τῷ Ἀσάφ. 81

82 Ὠδὴ ψαλμοῦ τῷ Ἀσάφ. 82

83 Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν· τοῖς υἱοῖς Κορὲ ψαλμός. 83

84 Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κορὲ ψαλμός. 84

85 Προσευχὴ τῷ Δαυΐδ. 85

86 Τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς. 86

87 Ὠδὴ ψαλμοῦ τοῖς υἱοῖς Κορέ· εἰς τὸ τέλος, ὑπὲρ μαελὲθ τοῦ ἀ- 87
ποκριθῆναι· συνέσεως Ἀιμὰν τῷ Ἰσραηλίτῃ.

88	Συνέσεως Ἀιμὰν τῷ Ἰσραηλίτῃ.	88
89	Προσευχὴ τοῦ Μωϋσῆ ἀνθρώπου τοῦ θεοῦ	89
90	Αἶνος ᾠδῆς τῷ Δαυΐδ.	90
91	Ψαλμὸς ᾠδῆς, εἰς τὴν ἡμέραν τοῦ σαββάτου.	91
92	Εἰς τὴν ἡμέραν τοῦ προσαββάτου, ὅτε κατῴκισται ἡ γῆ· αἶνος ᾠδῆς τῷ Δαυΐδ.	92
93	Ψαλμὸς τῷ Δαυΐδ, τετράδι σαββάτων.	93
94	Αἶνος ᾠδῆς τῷ Δαυΐδ.	94
95	Ὅτε ὁ οἶκος οἰκοδομεῖτο μετὰ τὴν αἰχμαλωσίαν· ᾠδὴ τῷ Δαυΐδ.	95
96	Τῷ Δαυΐδ, ὅτε ἡ γῆ αὐτοῦ καθίσταται.	96
98	Ψαλμὸς τῷ Δαυΐδ.	97
99	Ψαλμὸς εἰς ἐξομολόγησιν.	99
97 - 100	Ψαλμὸς τῷ Δαυΐδ.	100 - 98
101	Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ καὶ ἐναντίον Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ.	101
103	Τῷ Δαυΐδ.	102
106	Ἀληλούια.	104
102-0	Ὠδὴ ψαλμοῦ τῷ Δαυΐδ.	107-103
104-107	Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.	108-106
108	Ψαλμὸς τῷ Δαυΐδ.	109
117	Ἀληλούια.	110
132	Ὠδὴ τῶν ἀναβαθμῶν.	119
109-134	Ἀληλούια.	134-118
118-135	Τῷ Δαυὶδ Ἰερεμίου.	136-133
133-136	Ψαλμὸς τῷ Δαυΐδ, Ἀγγαίου καὶ Ζαχαρίου.	137-135
138	Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυΐδ.	138
139	Ψαλμὸς τῷ Δαυΐδ.	140
137-140	Συνέσεως τῷ Δαυΐδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ· προσευχή.	141-139
141	Ψαλμὸς τῷ Δαυΐδ, ὅτε αὐτὸν ὁ υἱὸς καταδιώκει.	142
142	Τῷ Δαυΐδ, πρὸς τὸν Γολιάδ.	143
143	———————	0

144 Αἴνεσις τοῦ Δαυΐδ. 144

145-148 Ἀληλούια· Ἀγγαίου καὶ Ζαχαρίου. 145-148

149-150 Ἀληλούια. 149-150

2. Ὑπογραφή

71 Ἐξέλιπον οἱ ὕμνοι Δαυΐδ τοῦ υἱοῦ Ἰεσσαί. **71**

3. Παρεπιγραφαὶ *διάψαλμα (ὁ΄λε)*

2	2		5	51	6	61	5	75	4	86	3
3	3		7		15	62	5		10		6
	5	35	11	53	5		9	76	4	87	8
4	3	40	6		7	66	4		10	88	5
	5		12	54	5		7		16		38
7	6	45	9	55	8		15	79	8		46
9	17*	47	4		20	67	2	80	8		49
	21		8	57	4		5	81	2	93	15
20	4	48	5		7	68	8	82	9	138	4
21	3	49	9	59	6		20	83	5		6
24	6	50	14		14		33		9		9
33	4		16	60	6	74	4	84	3	141	6

* *ᾠδὴ διαψάλματος*

4. Ψαλμοὶ εἰς δευτέραν καταχώρισιν

Ψαλμὸς ὁ μετὰ τὸν 53 (= ψαλμὸς 14)
» » 69 (= » 41,19-26)
» » 106 (= » 57,10-13 + 60,5-13)
(οἱ φτιαχτοὶ στὰ χειρόγραφα φέρονται ὡς ψαλμοὶ 52 69 107)

5. Ἄλλα σχόλια εἰς τοὺς Ψαλμούς

8 7 καὶ βόας [ἁπάσας, ἔτι δὲ] καὶ [τὰ] κτήνη.... καὶ [τοὺς ἰχθύας τῆς θαλάσσης] 8 **8**

10 9 ἁρπάσαι πτωχόν, [ἁρπάσαι πτωχὸν] 30 **9**

14 4 οὐκ ἔστιν ἕως ἑνός. [τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν, ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει, ὀξεῖς οἱ πόδες αὐ- 3 **13**

τῶν ἐκχέαι αἷμα, σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν· οὐκ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν.]

18	8	ἐταράχθησαν [καὶ ἐσαλεύθησαν]	8	**17**
	14	ἐνώπιον αὐτοῦ [αἱ νεφέλαι διῆλθον], χάλαζα	13	
	20	δυνατῶν, [καὶ ἐκ τῶν μισούντων με], ὅτι	18	
	23	τῶν χειρῶν μου [ἀνταποδώσει μοι]	21	
	26	τῆς ἀνομίας μου. [καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ.]	25	
	39	[καὶ] ἡ παιδεία σου... καὶ [ἡ παιδεία σου] αὐτή με διδάξει	36	
	49	υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, [υἱοὶ ἀλλότριοι]	46	
34	10	ἀθετεῖ δὲ λογισμοὺς λαῶν καὶ [ἀθετεῖ] βουλὰς ἀρχόντων	10	**32**
39	11	[ἤγγισαν καὶ] ἔστησαν	12	**37**
	20	ἀγαθωσύνην. [καὶ ἀπέρριψάν με τὸν ἀγαπητὸν ὡσεὶ νεκρὸν ἐβδελυγμένον].	21	
51	2	ὁ θεὸς ἡμῶν ἐμφανῶς ἥξει, [ὁ θεὸς ἡμῶν]	3	**49**
	8	[ὁ θεὸς] ὁ θεός σού εἰμι ἐγώ	6	
53+		Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι θεός. διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις, οὐκ ἔστι ποιῶν ἀγαθόν. ὁ θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν ἢ ἐκζητῶν τὸν θεόν. πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν ἀγαθόν, οὐκ ἔστιν ἕως ἑνός. οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν; οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου τὸν Κύριον οὐκ ἐπεκαλέσαντο. ἐκεῖ ἐφοβήθησαν φόβον, οὗ οὐκ ἦν φόβος, ὅτι ὁ θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων· κατῃσχύνθησαν, ὅτι ὁ θεὸς ἐξουδένωσεν αὐτούς. τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἀποστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐφρανθήσεται Ἰσραήλ. *(= Ψαλμὸς 14)*	2 3 4 5 6 7	**52**
55	10	[καὶ ἀδικία], καὶ οὐκ ἐξέλιπεν	12	**54**
58	9	[ὡσεὶ] ὡσεὶ ἐν ὀργῇ ζῶντας	10	**57**
69+	42	...τὸ σπέρμα τῶν 'δούλων' [αὐτοῦ]	37	**68**
69+		Ὁ θεὸς εἰς τὴν βοήθειάν μου πρόσσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. αἰσχυνθήτωσαν καὶ ἐντραπείτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου· ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά· ἀποστραφήτωσαν	2 3 4	**69**

παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι· ‘Εὖγε εὖγε’. ἀγαλλιά- 5
σθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, ὁ
θεός, καὶ λεγέτωσαν διαπαντός· Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀ-
γαπῶντες τὸ σωτήριόν σου. ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· ὁ 6
θεός, βοήθησόν μοι, βοηθός μου καὶ ῥύστης μου εἶ σύ· Κύριε,
μὴ χρονίσῃς. *(=Ψαλμὸς 41,19-26· ἄλλη μετάφρασι)*

70 19 ἀνήγαγές με. [ἐπλεόνασας ἐπ’ ἐμὲ τὴν μεγαλωσύνην σου καὶ ἐ- 21 **70**
πιστρέψας παρεκάλεσάς με καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πά-
λιν ἀνήγαγές με.]

72 19 ἐξέλιπον [ἀπώλοντο] διὰ τὴν ἀνομίαν αὐτῶν. 19 **72**

74 4 ‘Μὴ ὑψοῦτε κέρας [μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας] ὑμῶν 5 **74**

77 39 ὁ θεὸς βοηθὸς αὐτῶν ἐστι καὶ [ὁ θεὸς] ὁ ὕψιστος λυτρωτὴς 35 **77**
αὐτῶν ἐστι.

89 4 ὡς ἡ ἡμέρα[ἡ ἐχθές], 4 **89**

6 τὸ πρωῒ ὡσεὶ χλόη [παρέλθοι, τὸ πρωῒ] ἀνθήσαι 5 - 6

10 αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν [ἐν αὐτοῖς] ἑβδομήκοντα ἔτη 10

18 κατεύθυνον [ἐφ’ ἡμᾶς] 17

91 11 ἐπανισταμένοις ἐπ’ ἐμὲ [πονηρευομένοις] ἀκούσεται 12 **91**

94 4 τὴν γῆν· [ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ.] 4 **94**

106+ Ἑτοίμη ἡ καρδία μου, ὁ θεός, ἑτοίμη ἡ καρδία μου, ᾄσο- 2 **107**
μαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου. Ἐξεγέρθητι, ψαλτήριον καὶ κιθά- 3
ρα· Ἐξεγερθήσομαι ὄρθρου. ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύ- 4
ριε, ψαλῶ σοι ἐν ἔθνεσιν, ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλε- 5
ός σου καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου. ὑψώθητι ἐπὶ τοὺς 6
οὐρανούς, ὁ θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. ὅπως ἂν 7
ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκου- 8
σόν μου. ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· ὑψωθήσομαι καὶ 9
διαμεριῶ Συχὲμ καὶ τὴν Κοιλάδα τῶν Σκηνῶν διαμετρήσω· ἐ- 10
μός ἐστι Γαλαάδ, καὶ ἐμός ἐστι Μανασσῆς, καὶ Ἐφραΐμ ἀντίλη-
ψις τῆς κεφαλῆς μου. Ἰούδας βασιλεύς μου, Μωὰβ λέβης τῆς
ἐλπίδος μου. ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου, ἐ-
μοὶ ἀλλόφυλοι ὑπετάγησαν. τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; 11
ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας; οὐχὶ σύ, ὁ θεός, ὁ ἀπω- 12
σάμενος ἡμᾶς; καὶ οὐκ ἐξελεύσῃ, ὁ θεός, ἐν ταῖς δυνάμεσιν ἡ- 13
μῶν; δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀν-
θρώπου. ἐν τῷ θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώ- 14
σει τοὺς ἐχθροὺς ἡμῶν. *(=Ψαλμὸς 57,10-13 + 60,5-13· ἄλλη μετάφρασι).*

107 20 καὶ σύ, [Κύριε] Κύριε 21 **108**

128	1	Ἐκ βαθέων ἐκέκραξά σοι, [Κύριε] Κύριε, εἰσάκουσον...	1	**129**
133	21	εὐλογήσατε τὸν Κύριον· [οἶκος Ἀαρών, εὐλογήσατε τὸν Κύριον. οἶκος Λευΐ, εὐλογήσατε τὸν Κύριον.]	19 20	**134**
138	9	[Κύριε] Κύριε, δύναμις	8	**139**
139	10	πρὸς σέ, [Κύριε] Κύριε	8	**140**

Ὀβελισμὸς 173 **καὶ** *στὴν ἀρχὴ ἐλεγείων τῶν Ψαλμῶν*

5	12		4	**75**	2		58	**89**	17		19		12
	13	**42**	6	**76**	13		59		18		20		13
6	3	**44**	5	**77**	6		60	**91**	10		21		14
7	8	**45**	19		14		61		11		23		19
	14	**50**	9		17		62	**93**	22		24		22
8	6		12		19		63		23		25		28
9	8		14		20		65	**101**	15		26		29
	9		17		21		66	**102**	18		27		30
	10	**51**	15		22		67	**104**	10		28		36
	11	**55**	3		27		70		13		29		37
18	22	**57**	2		28		71		16		30		38
19	14	**59**	14		32		72		23		32		39
	15	**64**	10		33		73		24		32		41
22	31	**68**	3		37		74		36		35	**107**	4
23	7	**69**	15		39		75		37		36		16
29	11		16		40		77		43		37		17
36	18		27		43	**78**	12		44		39		20
	24	**70**	17		44	**80**	12	**105**	8		40		26
38	10	**71**	8		46		13		9		41	**128**	8
	36		11		47	**82**	18		10		42	**137**	17
	40		15		49	**86**	5		12		44		26
39	12	**72**	14		51	**88**	23		14		45	**141**	15
	14		16		53		24		15		46	**144**	6
41	2		24		56		25		16	**106**	6		
	3	**73**	4		57		29		18		7		

ΣΧΟΛΙΑ ΕΙΣ ΠΑΡΟΙΜΙΑΣ

3	263+	Ὀκνηροὺς καταβάλλει φόβος, ψυχαὶ δὲ ἀνδρογύνων πεινάσουσιν. (=294)	8	**18**
4	328	[οὕτως] καρδία βασιλέως	1	**21**
	365+	..... ματαιότητα δὲ ἔργων αὐτοῦ συντελέσει (=364β)	8a	**22**
	369+	Προφασίζεται καὶ λέγει ὀκνηρός· ‘Λέων ἐν ταῖς ὁδοῖς, ἐν δὲ ταῖς πλατείαις φονευταί’. (=411)	13	

5 489+ Παίδευε υἱόν σου καὶ ἀναπαύσει σε, 17 **29**
καὶ δώσει κόσμον τῇ ψυχῇ σου (= Πδ 2,62)

ΣΧΟΛΙΑ ΕΙΣ ΙΩΒ

8 7 ὁ ‘καταρώμενος’ [τὴν ἡμέραν ἐκείνην] 8 **3**

8 ἀπομείναι [καὶ εἰς φωτισμὸν μὴ ἔλθοι] 9

10 8 εἰς τέλος δέ [μή] με ἀνελέτω 9 **6**

12 37 κατ’ ἐμέ, [ᾧ ἀντικρινοῦμαι] ἵνα ἔλθωμεν ὁμοθυμαδὸν εἰς κρίσιν. 32 **9**

15 26 ἔναντι δὲ [Κυρίου] παντοκράτορος 25 **15**

23 5+ [Ὑπολαβὼν δὲ Ἰὼβ λέγει] 1 **26**

6 σκώληξ. [ὑπολαβὼν δὲ Ἰὼβ λέγει·] Τίνι πρόσκεισαι...; 1

24 1 ποιήσει; [ἔτι δὲ προσθεὶς] Ἰὼβ [εἶπε τῷ προοιμίῳ] 1 **27**

26 9+ ἡ δὲ σοφία πόθεν εὑρέθη; 20 **28**
ποῖος δὲ τόπος ἐστὶ τῆς συνέσεως; 21
λέληθε πάντα ἄνθρωπον
καὶ ἀπὸ πετεινῶν τοῦ οὐρανοῦ ἐκρύβη. 22
ἡ ἀπώλεια καὶ ὁ θάνατος εἶπαν·
Ἀκηκόαμεν δὲ αὐτῆς τὸ κλέος.
(ἄλλη μετάφρασις τῶν στίχων 26, 2-4)

48 ἐπὶ ἠχοῦντι, [οἵτινες ἅλιμα ἦν αὐτῶν τὰ σῖτα] ἄτιμοι 4 **30**

<ΛΕΞΙΣ ΕΛΙΟΥΣ>

26 117+ Ἡσύχασαν δὲ καὶ οἱ τρεῖς φίλοι αὐτοῦ ἔτι ἀντειπεῖν Ἰώβ· 1 **32**
ἦν γὰρ Ἰὼβ δίκαιος ἐναντίον αὐτῶν.

[Ὠργίσθη δὲ Ἐλιοὺς ὁ τοῦ Βαραχιὴλ ὁ Βουζίτης ἐκ τῆς 2
συγγενείας Ῥὰμ τῆς Αὐσίτιδος χώρας· ὠργίσθη δὲ τῷ Ἰὼβ
σφόδρα, διότι ἀπέφηνεν ἑαυτὸν δίκαιον ἐναντίον Κυρίου. καὶ 3
κατὰ τῶν τριῶν δὲ φίλων ὠργίσθη σφόδρα, διότι οὐκ ἠδυνή-
θησαν ἀποκριθῆναι ἀντίθετα Ἰὼβ καὶ ἔθεντο αὐτὸν εἶναι ἀσε-
βῆ. Ἐλιοὺς δὲ ὑπέμεινε δοῦναι ἀπόκρισιν Ἰώβ, ὅτι πρεσβύτε- 4
ροι αὐτοῦ εἰσιν ἡμέραις. καὶ εἶδεν ὅτι οὐκ ἔστιν ἀπόκρισις ἐν 5
στόματι τῶν τριῶν ἀνδρῶν, καὶ ἐθυμώθη ὀργῇ αὐτοῦ. 6

α΄ Ὑπαλαβὼν δὲ Ἐλιοὺς ὁ τοῦ Βαραχιὴλ ὁ Βουζίτης εἶπε·
Νεώτερος μέν εἰμι τῷ χρόνῳ, ὑμεῖς δέ ἐστε πρεσβύτεροι·

διὸ ἡσύχασα φοβηθεὶς τοῦ ὑμῖν ἀναγγεῖλαι τὴν ἐμαυτοῦ ἐπι-
στήμην. εἶπα δὲ ὅτι οὐχ ὁ χρόνος ἐστὶν ὁ λαλῶν, ἐν πολλοῖς 7
δὲ ἔτεσι οἴδασι σοφίαν, ἀλλὰ πνεῦμά ἐστιν ἐν βροτοῖς, πνοὴ δὲ 8
παντοκράτορός ἐστιν ἡ διδάσκουσα· οὐχ οἱ πολυχρόνιοί εἰσι 9
σοφοί, οὐδ' οἱ γέροντες οἴδασι κρῖμα. διὸ εἶπα· ἀκούσατέ μου, 10
καὶ ἀναγγελῶ ὑμῖν ἃ οἶδα. ἐνωτίζεσθέ μου τὰ ῥήματα· ἐρῶ 11
γὰρ ὑμῶν ἀκουόντων, ἄχρις οὗ ἐτάσητε λόγους, καὶ μέχρι ὑ-
μῶν συνήσω. καὶ ἰδοὺ οὐκ ἦν τῷ Ἰὼβ ἐλέγχων ἀνταποκρινό- 12
μενος ῥήματα αὐτοῦ ἐξ ὑμῶν, ἵνα μὴ εἴπητε· εὕρομεν σοφίαν 13
Κυρίῳ προσθέμενοι· ἀνθρώπῳ δὲ ἐπετρέψατε λαλῆσαι τοιαῦτα 14
ῥήματα. ἐπτοήθησαν, οὐκ ἀπεκρίθησαν ἔτι, ἐπαλαίωσαν ἐξ αὐ- 15
τῶν λόγους. ὑπέμεινα, οὐ γὰρ ἐλάλησαν· ὅτι ἔστησαν, οὐκ ἀ- 16
πεκρίθησαν.

β´ Ὑπολαβὼν δὲ Ἐλιοὺς λέγει·

Πάλιν λαλήσω· πλήρης γάρ εἰμι ῥημάτων, ὀλέκει γάρ με 17
τὸ πνεῦμα τῆς γαστρός· ἡ δὲ γαστήρ μου ὥσπερ ἀσκὸς γλεύ- 18
κους ζέων δεδεμένος ἢ ὥσπερ φυσητὴρ χαλκέως ἐρρηγώς. 19
λαλήσω, ἵνα ἀναπαύσωμαι ἀνοίξας τὰ χείλη· ἄνθρωπον γὰρ οὐ 20
μὴ αἰσχυνθῶ, ἀλλὰ μὴν οὐδὲ βροτὸν οὐ μὴ ἐντραπῶ· οὐ γὰρ ἐ- 21
πίσταμαι θαυμάσαι πρόσωπα· εἰ δὲ μή, καὶ ἐμὲ σῆτες ἔδονται. 22
οὐ μὴν δὲ ἀλλὰ ἄκουσον, Ἰώβ, τὰ ῥήματά μου καὶ λαλιὰν ἐνω- 2 **33**
τίζου μου· ἰδοὺ γὰρ ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησεν ἡ
γλῶσσά μου. καθαρά μου ἡ καρδία ῥήμασι, σύνεσις δὲ χειλέ- 3
ων μου καθαρὰ νοήσει. πνεῦμα θεῖον τὸ ποιῆσάν με, πνοὴ δὲ 4
παντοκράτορος ἡ διδάσκουσά με. ἐὰν δύνῃ, δός μοι ἀπόκρισιν 5
πρὸς ταῦτα· ὑπόμεινον, στῆθι κατ' ἐμὲ καὶ ἐγὼ κατὰ σέ. ἐκ πη- 6
λοῦ διήρτισαι σὺ ὡς καὶ ἐγώ, ἐκ τοῦ αὐτοῦ διηρτίσμεθα. οὐχ ὁ 7
φόβος μού σε στροβήσει, οὐδὲ ἡ χείρ μου βαρεῖα ἔσται ἐπὶ
σοί. πλὴν εἶπας ἐν ὠσί μου, φωνὴν ῥημάτων σου ἀκήκοα, διό- 8
τι λέγεις· Καθαρός εἰμι οὐχ ἁμαρτών, ἄμεμπτός εἰμι, οὐ γὰρ ἠ- 9
νόμησα. μέμψιν δὲ κατ' ἐμοῦ εὗρεν, ἥγηται δέ με ὥσπερ ὑπε- 10
ναντίον· ἔθετο δὲ ἐν ξύλῳ τὸν πόδα μου, ἐφύλαξε δέ μου πά- 11
σας τὰς ὁδούς· πῶς γὰρ λέγεις δίκαιός εἰμι, καὶ οὐκ ἐπακήκοέ 12
μου; αἰώνιος γάρ ἐστιν ὁ ἐπάνω βροτῶν. λέγεις δέ· Διατί τῆς 13
δίκης μου οὐκ ἐπακήκοέ μου πᾶν ῥῆμα; ἐν γὰρ τῷ ἅπαξ λαλῆ- 14
σαι ὁ Κύριος, ἐν δὲ τῷ δευτέρῳ ἐνύπνιον, ἢ ἐν μελέτῃ νυκτερι- 15
νῇ, ὡς ὅταν ἐπιπίπτῃ δεινὸς φόβος ἐπ' ἀνθρώπους ἐπὶ νυ- 16
σταγμάτων ἐπὶ κοίτης, τότε ἀνακαλύπτει νοῦν ἀνθρώπων. ἐν 17
εἴδεσι φόβου τοιούτοις αὐτοὺς ἐξεφόβησεν ἀποστρέψαι ἄν- 18
θρωπον ἀπὸ ἀδικίας, τὸ δὲ σῶμα αὐτοῦ ἀπὸ πτώματος ἐρρύ- 19
σατο. ἐφείσατο δὲ τῆς ψυχῆς αὐτοῦ ἀπὸ θανάτου καὶ μὴ πε- 20
σεῖν αὐτὸν ἐν πολέμῳ. πάλιν δὲ ἤλεγξεν αὐτὸν ἐπὶ μαλακίᾳ ἐπὶ 21
κοίτης καὶ πλῆθος ὀστῶν αὐτοῦ ἐνάρκησε· πᾶν δὲ βρωτὸν σί- 22
του οὐ μὴ δύνηται προσδέξασθαι καὶ ἡ ψυχὴ αὐτοῦ βρῶσιν ἐ-
πιθυμήσει, ἕως ἂν σαπῶσιν αὐτοῦ αἱ σάρκες καὶ ἀποδείξῃ τὰ

ὀστᾶ αὐτοῦ κενά· ἤγγισε δὲ εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, ἡ δὲ
ζωὴ αὐτοῦ ἐν ᾅδῃ. ἐὰν ὦσι χίλιοι ἄγγελοι θανατηφόροι, εἷς αὐ- 23
τῶν οὐ μὴ τρώσῃ αὐτόν· ἐὰν νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι
πρὸς Κύριον, ἀναγγείλῃ δὲ ἀνθρώπῳ τὴν ἑαυτοῦ μέμψιν, τὴν
δὲ ἄνοιαν αὐτοῦ δείξῃ, ἀνθέξεται τοῦ μὴ πεσεῖν εἰς θάνατον, ἀ- 24
νανεώσει δὲ αὐτοῦ τὸ σῶμα ὥσπερ ἀλοιφὴν ἐπὶ τοίχου, τὰ δὲ
ὀστᾶ αὐτοῦ ἐμπλήσει μυελοῦ· ἁπαλυνεῖ δὲ αὐτοῦ τὰς σάρκας
ὥσπερ νηπίου, ἀποκαταστήσει δὲ αὐτὸν ἀνδρωθέντα ἐν ἀν- 25
θρώποις. εὐξάμενος δὲ πρὸς Κύριον, καὶ δεκτὰ αὐτῷ ἔσται, εἰ- 26
σελεύσεται προσώπῳ ἱλαρῷ σὺν ἐξηγορίᾳ· ἀποδώσει δὲ ἀν-
θρώποις δικαιοσύνην. εἶτα τότε ἀπομέμψεται ἄνθρωπος αὐτὸς 27
ἑαυτῷ λέγων· Οἷα συνετέλουν καὶ οὐκ ἄξια ἤτασέ με ὧν ἥμαρ-
τον. σῶσον ψυχήν μου τοῦ μὴ ἐλθεῖν εἰς διαφθοράν, καὶ ἡ ζωή 28
μου φῶς ὄψεται. ἰδοὺ ταῦτα πάντα ἐργᾶται ὁ ἰσχυρὸς ὁδοὺς 29
τρεῖς μετὰ ἀνδρός. καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ θανάτου, ἵ- 30
να ἡ ζωή μου ἐν φωτὶ αἰνῇ αὐτόν. ἐνωτίζου, Ἰώβ, καὶ ἄκουέ
μου· κώφευσον, καὶ ἐγώ εἰμι λαλήσω. εἰ εἰσί σοι λόγοι, ἀπο- 31
κρίθητί μοι· λάλησον. θέλω γὰρ δικαιωθῆναί σε. εἰ μή, σὺ ἄ- 32
κουσόν μου· κώφευσον καὶ διδάξω σε σοφίαν. 33

γ΄ Ὑπολαβὼν δὲ Ἐλιοὺς λέγει· 1 **34**

Ἀκούσατέ μου, σοφοί· ἐπιστάμενοι, ἐνωτίζεσθε τὸ καλόν· 2
ὅτι οὗς λόγους δοκιμάζει, καὶ λάρυγξ γεύεται βρῶσιν. κρίσιν 3
ἑλώμεθα ἑαυτοῖς, γνῶμεν ἀνὰ μέσον ἑαυτῶν ὅ τι καλόν. ὅτι εἴ- 4
ρηκεν Ἰώβ· Δίκαιός εἰμι, ὁ Κύριος ἀπήλλαξέ μου τὸ κρῖμα, ἐ- 5
ψεύσατο δὲ τῷ κρίματί μου. βίαιον τὸ βέλος μου ἄνευ ἀδικίας. 6
τίς ἀνὴρ ὥσπερ Ἰώβ, πίνων μυκτηρισμὸν ὥσπερ ὕδωρ, οὐχ ἁ- 7
μαρτὼν οὐδὲ ἀσεβήσας ἢ ὁδοῦ κοινωνήσας μετὰ ποιούντων 8
τὰ ἄνομα τοῦ πορευθῆναι μετὰ ἀσεβῶν; μὴ γὰρ εἴπῃς, ὅτι οὐκ
ἔσται ἐπισκοπὴ ἀνδρός, καὶ ἐπισκοπὴ αὐτῷ παρὰ Κυρίου. διό, 9
συνετοὶ καρδίᾳ ἀκούσατέ μου· μή μοι εἴη ἔναντι Κυρίου ἀσε- 10
βῆσαι καὶ ἔναντι παντοκράτορος ταράξαι τὸ δίκαιον· ἀλλὰ ἀ-
ποδιδοῖ ἀνθρώπῳ καθὰ ποιεῖ ἕκαστος αὐτῶν, καὶ ἐν τρίβῳ ἀν- 11
δρὸς εὑρήσει αὐτόν. οἴει δὲ τὸν Κύριον ἄτοπα ποιήσειν; ἢ ὁ 12
παντοκράτωρ ταράξει κρίσιν, ὃς ἐποίησε τὴν γῆν; τίς δέ ἐστιν
ὁ ποιῶν τὴν ὑπ' οὐρανὸν καὶ τὰ ἐνόντα πάντα; εἰ γὰρ βούλοι- 13
το συνέχειν καὶ τὸ πνεῦμα παρ' αὐτῷ κατασχεῖν, τελευτήσει 14
πᾶσα σὰρξ ὁμοθυμαδόν, πᾶς δὲ βροτὸς εἰς γῆν ἀπελεύσεται, 15
ὅθεν καὶ ἐπλάσθη. εἰ δὲ μὴ νουθετῇ. ἄκουε ταῦτα, ἐνωτίζου 16
φωνὴν ῥημάτων. ἴδε σὺ τὸν μισοῦντα ἄνομα καὶ τὸν ὀλλύντα 17
τοὺς πονηροὺς ὄντα αἰώνιον δίκαιον. ἀσεβὴς ὁ λέγων βασιλεῖ
'Παρανομεῖς', ''Ασεβέστατε' τοῖς ἄρχουσιν· ὃς οὐκ ἐπῃσχύνθη 18
πρόσωπον ἐντίμου, οὐδὲ οἶδε τιμὴν θέσθαι ἁδροῖς θαυμασθῆ- 19
ναι πρόσωπα αὐτῶν. κενὰ δὲ αὐτοῖς ἀποβήσεται τὸ κεκραγέ- 20
ναι καὶ δεῖσθαι ἀνδρός· ἐχρήσαντο γὰρ παρανόμως ἐκκλινομέ-
νων ἀδυνάτων. αὐτὸς γὰρ ὁρατής ἐστιν ἔργων ἀνθρώπων, λέ- 21

ληθε δὲ αὐτὸν οὐδὲν ὧν πράσσουσιν, οὐδὲ ἔσται τόπος τοῦ
κρυβῆναι τοὺς ποιοῦντας τὰ ἄνομα· ὅτι οὐκ ἐπ' ἄνδρα θήσει ἔ- 22
τι· ὁ γὰρ Κύριος πάντας ἐφορᾷ ὁ καταλαμβάνων ἀνεξιχνίαστα, 23
ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός· ὁ γνωρίζων αὐ- 24
τῶν τὰ ἔργα καὶ στρέψει νύκτα καὶ ταπεινωθήσονται. ἔσβεσε 25
δὲ ἀσεβεῖς, ὁρατοὶ δὲ ἐναντίον αὐτοῦ, ὅτι ἐξέκλιναν ἐκ νόμου 26
θεοῦ, δικαιώματα δὲ αὐτοῦ οὐκ ἐπέγνωσαν τοῦ ἐπαγαγεῖν ἐπ' 27
αὐτὸν κραυγὴν πενήτων, καὶ κραυγὴν πτωχῶν εἰσακούσεται. 28
καὶ αὐτὸς ἡσυχίαν παρέξει, καὶ τίς καταδικάσεται; καὶ κρύψει 29
πρόσωπον, καὶ τίς ὄψεται αὐτόν; καὶ κατὰ ἔθνους καὶ κατὰ ἀν-
θρώπου ὁμοῦ βασιλεύων ἄνθρωπον ὑποκριτὴν ἀπὸ δυσκολίας 30
λαοῦ. ὅτι πρὸς τὸν ἰσχυρὸν ὁ λέγων· 'Εἴληφα, οὐκ ἐνεχυρά- 31
σω'. ἄνευ ἐμαυτοῦ ὄψομαι, σὺ δεῖξόν μοι, εἰ ἀδικίαν εἰργασά- 32
μην, οὐ μὴ προσθήσω. μὴ παρὰ σοῦ ἀποτίσει αὐτήν; ὅτι ἀπώ- 33
σῃ, ὅτι σὺ ἐκλέξῃ, καὶ οὐκ ἐγώ· καὶ τί ἔγνως, λάλησον. διὸ συ- 34
νετοὶ καρδίας ἐροῦσι ταῦτα, ἀνὴρ δὲ σοφὸς ἀκήκοέ μου τὸ ῥῆ-
μα. Ἰὼβ δὲ οὐκ ἐν συνέσει ἐλάλησε, τὰ ῥήματα αὐτοῦ οὐκ ἐν 35
ἐπιστήμῃ. οὐ μὴν δὲ ἀλλὰ μάθε, Ἰώβ, μὴ δῷς ἔτι ἀνταπόκρι- 36
σιν, ὥσπερ οἱ ἄφρονες, ἵνα μὴ προσθῶμεν ἐφ' ἁμαρτίαις ἡ- 37
μῶν, ἀνομία δὲ ἐφ' ἡμῖν λογισθήσεται, πολλὰ λαλούντων ῥήμα-
τα ἐναντίον τοῦ Κυρίου.

δ΄ Ὑπολαβὼν δὲ Ἐλιοὺς λέγει· 2 **35**

Τί τοῦτο ἡγήσω ἐν κρίσει; σὺ τίς εἶ ὅτι εἶπας 'Δίκαιός εἰμι 3
ἔναντι Κυρίου'; ἐγώ σοι δώσω ἀπόκρισιν καὶ τοῖς τρισὶ φίλοις 4
σου. ἀνάβλεψον εἰς τὸν οὐρανὸν καὶ ἴδε, κατάμαθε δὲ νέφη ὡς 5
ὑψηλὰ ἀπὸ σοῦ. εἰ ἥμαρτες, τί πράξεις; εἰ δὲ καὶ πολλὰ ἠνόμη- 6
σας, τί δύνασαι ποιῆσαι; ἐπεὶ δὲ οὖν δίκαιος εἶ, τί δώσεις αὐ- 7
τῷ; ἢ τί ἐκ χειρός σου λήψεται; ἀνδρὶ τῷ ὁμοίῳ σου ἡ ἀσέβειά 8
σου, καὶ υἱῷ ἀνθρώπου ἡ δικαιοσύνη σου. ἀπὸ πλήθους συκο- 9
φαντούμενοι κεκράξονται, βοήσονται ἀπὸ βραχίονος πολλῶν. 10
καὶ οὐκ εἶπε· 'Ποῦ ἐστιν ὁ θεὸς ὁ ποιήσας με, ὁ κατατάσσων 11
φυλακὰς νυκτερινάς, ὁ διορίζων με ἀπὸ τετραπόδων γῆς, ἀπὸ 12
δὲ πετεινῶν οὐρανοῦ;'. ἐκεῖ κεκράξονται, καὶ οὐ μὴ εἰσακούσῃ
καὶ ἀπὸ ὕβρεως πονηρῶν. ἄτοπα γὰρ οὐ βούλεται ἰδεῖν ὁ Κύ- 13
ριος, αὐτὸς γὰρ ὁ παντοκράτωρ ὁρατής ἐστι τῶν συντελούν- 14
των τὰ ἄνομα καὶ σώσει με. κρίθητι δὲ ἐναντίον αὐτοῦ, εἰ δύ-
νασαι αὐτὸν αἰνέσαι, ὥς ἐστι. καὶ νῦν ὅτι οὐκ ἔστιν ἐπισκεπτό- 15
μενος ὀργὴν αὐτοῦ, καὶ οὐκ ἔγνω παράπτωμά τι σφόδρα· καὶ 16
Ἰὼβ ματαίως ἀνοίγει τὸ στόμα αὐτοῦ, ἐν ἀγνωσίᾳ ῥήματα βα-
ρύνει.

ε΄ Προσθεὶς δὲ ἔτι Ἐλιοὺς λέγει· 1 **36**

Μεῖνόν με μικρὸν ἔτι, ἵνα διδάξω σε· ἔτι γὰρ ἐν ἐμοί ἐστι 2
λέξις. ἀναλαβὼν τὴν ἐπιστήμην μου μακράν, ἔργοις δέ μου 3
δίκαια ἐρῶ ἐπ' ἀληθείας καὶ οὐκ ἄδικα ῥήματα ἀδίκως συνιεῖς. 4
γίνωσκε δὲ ὅτι ὁ Κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον. δυ- 5

νατὸς ἰσχύι καρδίας ἀσεβῆ οὐ μὴ ζωοποιήσει καὶ κρῖμα πτω- 6
χῶν δώσει. οὐκ ἀφελεῖ ἀπὸ δικαίου ὀφθαλμοὺς αὐτοῦ· καὶ με-
τὰ βασιλέων εἰς θρόνον καὶ καθιεῖ αὐτοὺς εἰς νῖκος, καὶ ὑψω- 7
θήσονται. καὶ οἱ πεπεδημένοι ἐν χειροπέδαις συσχεθήσονται 8
ἐν σχοινίοις πενίας, καὶ ἀναγγελεῖ αὐτοῖς τὰ ἔργα αὐτῶν καὶ 9
τὰ παραπτώματα αὐτῶν, ὅτι ἰσχύσουσιν. ἀλλὰ τοῦ δικαίου εἰ-
σακούσεται· καὶ εἶπεν ὅτι ἐπιστραφήσονται ἐξ ἀδικίας. ἐὰν ἀ- 10
κούσωσι καὶ δουλεύσωσι, συντελέσουσι τὰς ἡμέρας αὐτῶν ἐν 11
ἀγαθοῖς καὶ τὰ ἔτη αὐτῶν ἐν εὐπρεπείαις. ἀσεβεῖς δὲ οὐ δια-
σῴζει παρὰ τὸ μὴ βούλεσθαι αὐτοὺς εἰδέναι τὸν Κύριον καὶ 12
διότι νουθετούμενοι ἀνήκοοι ἦσαν. καὶ ὑποκριταὶ καρδίᾳ τά-
ξουσι θυμόν· οὐ βοήσονται, ὅτι ἔδησεν αὐτούς. ἀποθάνοι τοί- 13
νυν ἐν νεότητι ἡ ψυχὴ αὐτῶν, ἡ δὲ ζωὴ αὐτῶν τιτρωσκομένη 14
ὑπὸ ἀγγέλων, ἀνθ' ὧν ἔθλιψαν ἀσθενῆ καὶ ἀδύνατον, κρῖμα δὲ 15
πραέων ἐκθήσει. καὶ προσέτι ἠπάτησέ σε ἐκ στόματος ἐχθροῦ. 16
ἄβυσσος, κατάχυσις ὑποκάτω αὐτῆς, καὶ κατέβη τράπεζά σου
πλήρης πιότητος. οὐχ ὑστερήσει δὲ ἀπὸ δικαίων κρῖμα, θυμὸς 17
δὲ ἐπ' ἀσεβεῖς ἔσται δι' ἀσέβειαν δώρων, ὧν ἐδέχοντο ἐπ' ἀδι- 18
κίαις. μή σε ἐκκλινάτω ἑκὼν ὁ νοῦς δεήσεως ἐν ἀνάγκῃ ὄ- 19
ντων ἀδυνάτων, καὶ πάντας τοὺς κραταιοῦντας ἰσχύν. μὴ ἐ- 20
ξελκύσῃς τὴν νύκτα τοῦ ἀναβῆναι λαοὺς ἀντ' αὐτῶν· ἀλλὰ φύ- 21
λαξαι μὴ πράξῃς ἄτοπα· ἐπὶ τούτων γὰρ ἐξείλω ἀπὸ πτωχείας.
ἰδοὺ ὁ ἰσχυρὸς κραταιώσει ἐν ἰσχύι αὐτοῦ· τίς γάρ ἐστι κατ' 22
αὐτὸν δυνάστης; τίς δέ ἐστιν ὁ ἐτάζων αὐτοῦ τὰ ἔργα; ἢ τίς ὁ 23
εἰπών· ''Ἔπραξεν ἄδικα'; μνήσθητι, ὅτι μεγάλα ἐστὶν αὐτοῦ τὰ 24
ἔργα, ὧν ἦρξαν ἄνδρες. πᾶς ἄνθρωπος εἶδεν ἐν ἑαυτῷ, ὅσοι 25
τιτρωσκόμενοί εἰσι βροτοί. ἰδοὺ ὁ ἰσχυρὸς πολύς, καὶ οὐ γνω- 26
σόμεθα· ἀριθμὸς ἐτῶν αὐτοῦ, καὶ ἀπέραντος. ἀριθμηταὶ δὲ αὐ- 27
τῷ σταγόνες ὑετοῦ, καὶ ἐπιχυθήσονται ὑετῷ εἰς νεφέλην· ῥυή- 28
σονται παλαιώματα, ἐσκίασε δὲ νέφη ἐπὶ ἀμυθήτων βροτῶν. 28α
ὥραν ἔθετο κτήνεσιν, οἴδασι δὲ κοίτης τάξιν. ἐπὶ τούτοις πᾶ- 28β
σιν οὐκ ἐξίσταταί σου ἡ διάνοια οὐδὲ διαλλάσσεταί σου ἡ καρ- 29
δία ἀπὸ σώματος; καὶ ἐὰν συνῇ ἀπεκτάσεις νεφέλης, ἰσότητα 30
σκηνῆς αὐτοῦ, ἰδοὺ ἐκτενεῖ ἐπ' αὐτὸν ἠδὼ καὶ ῥιζώματα τῆς
θαλάσσης ἐκάλυψεν· ἐν γὰρ αὐτοῖς κρινεῖ λαούς, δώσει τρο- 31
φὴν τῷ ἰσχύοντι. ἐπὶ χειρῶν ἐκάλυψε φῶς καὶ ἐνετείλατο περὶ 32
αὐτῆς ἐν ἀπαντῶντι· ἀναγγελεῖ περὶ αὐτοῦ φίλον αὐτοῦ Κύ- 33
ριος, κτῆσις καὶ περὶ ἀδικίας. καὶ ἀπὸ ταύτης ἐταράχθη ἡ καρ- 2 **37**
δία μου καὶ ἀπερρύη ἐκ τοῦ τόπου αὐτῆς. ἄκουε ἀκοὴν ἐν ὀρ-
γῇ θυμοῦ Κυρίου, καὶ μελέτη ἐκ στόματος αὐτοῦ ἐξελεύσεται. 3
ὑποκάτω παντὸς τοῦ οὐρανοῦ ἡ ἀρχὴ αὐτοῦ, καὶ τὸ φῶς αὐ-
τοῦ ἐπὶ πτερύγων τῆς γῆς. ὀπίσω αὐτοῦ βοήσεται φωνῇ, βρο- 4
ντήσει ἐν φωνῇ ὕβρεως αὐτοῦ, καὶ οὐκ ἀνταλλάξει αὐτούς, ὅτι
ἀκούσει φωνὴν αὐτοῦ. βροντήσει ὁ ἰσχυρὸς ἐν φωνῇ αὐτοῦ 5
θαυμάσια· ἐποίησε γὰρ μεγάλα ἃ οὐκ ᾔδειμεν, συντάσσων χιό- 6

νι· γίνου ἐπὶ γῆς, καὶ χειμὼν ὑετός, καὶ χειμὼν ὑετῶν δυνα- 7
στείας αὐτοῦ. ἐν χειρὶ παντὸς ἀνθρώπου κατασφραγίζει, ἵνα 8
γνῷ πᾶς ἄνθρωπος τὴν ἑαυτοῦ ἀσθένειαν. εἰσῆλθε δὲ θηρία ὑ- 9
πὸ τὴν σκέπην, ἡσύχασαν δὲ ἐπὶ κοίτης. ἐκ ταμιείων ἐπέρχο- 10
νται ὀδύναι, ἀπὸ δὲ ἀκρωτηρίων ψῦχος, καὶ ἀπὸ πνοῆς ἰσχυ- 11
ροῦ δώσει πάγος, οἰακίζει δὲ τὸ ὕδωρ ὡς ἐὰν βούληται· καὶ ἐ-
κλεκτὸν καταπλάσσει νεφέλη, διασκορπιεῖ νέφος φῶς αὐτοῦ. 12
καὶ αὐτὸς κυκλώματα διαστρέψει, ἐν θεεβουλαθὼθ εἰς ἔργα
αὐτῶν. πάντα ὅσα ἂν ἐντείληται αὐτοῖς, ταῦτα συντέτακται
παρ' αὐτοῦ ἐπὶ τῆς γῆς, ἐὰν εἰς παιδείαν, ἐὰν εἰς τὴν γῆν αὐ- 13
τοῦ, ἐὰν εἰς ἔλεος εὑρήσει αὐτόν. ἐνωτίζου ταῦτα, Ἰώβ· στῆθι 14
νουθετούμενος δύναμιν Κυρίου. οἴδαμεν ὅτι ὁ θεὸς ἔθετο ἔργα 15
αὐτοῦ φῶς ποιήσας ἐκ σκότους. ἐπίσταται δὲ διάκρισιν νε- 16
φῶν, ἐξαίσια δὲ πτώματα πονηρῶν. σοῦ δὲ ἡ στολὴ θερμή, ἡ- 17
συχάζεται δὲ ἐπὶ τῆς γῆς. στερεώσεις μετ' αὐτοῦ εἰς παλαιώ- 18
τατα, ἰσχυραὶ ὡς ὅρασις ἐπιχύσεως. διατί; δίδαξόν με, τί ἐ- 19
ροῦμεν αὐτῷ· καὶ παυσώμεθα πολλὰ λέγοντες. μὴ βίβλος ἢ 20
γραμματεύς μοι παρέστηκεν, ἵνα ἄνθρωπον ἑστηκὼς κατασιω- 21
πήσω; πᾶσι δὲ οὐχ ὁρατὸν τὸ φῶς, τηλαυγές ἐστιν ἐν τοῖς πα-
λαιώμασιν, ὥσπερ τὸ παρ' αὐτοῦ ἐπὶ νεφῶν. ἀπὸ βορρᾶ νέφη 22
χρυσαυγοῦντα· ἐπὶ τούτοις μεγάλη ἡ δόξα καὶ τιμὴ παντοκρά- 23
τορος. καὶ οὐχ εὑρίσκομεν ἄλλον ὅμοιον τῇ ἰσχύι αὐτοῦ· ὁ τὰ
δίκαια κρίνων, οὐκ οἴει ἐπακούειν αὐτόν; διὸ φοβηθήσονται 24
αὐτὸν οἱ ἄνθρωποι, φοβηθήσονται δὲ αὐτὸν καὶ οἱ σοφοὶ καρ-
δίᾳ.

Μετὰ δὲ τὸ παύσασθαι **Ἐλιοὺν τῆς λέξεως**] εἶπεν ὁ Κύ- 1 **38**
ριος τῷ Ἰὼβ διὰ λαίλαπος...

27 31 ἕσπερον ἐπὶ κόμης αὐτοῦ ἄξεις [αὐτά]; 32

<ΤΟ ΠΥΡΙΠΝΟΟΝ ΜΕΤΑΛΛΙΝΟΝ ΘΗΡΙΟΝ
(= Τυφάων ἢ Τυφωεὺς = Ἡφαίστειον Θήρας)>

28 5+ Ἀλλὰ δὴ ἰδοὺ θηρία παρὰ σοί, χόρτον ἴσα βουσὶν ἐσθίου- 15 **40**
σιν. ἰδοὺ δὴ ἡ ἰσχὺς αὐτοῦ ἐπ' ὀσφύι, ἡ δὲ δύναμις αὐτοῦ ἐπ' 16
ὀμφαλοῦ γαστρός· ἔστησεν οὐρὰν ὡς κυπάρισσον, τὰ δὲ νεῦ- 17
ρα αὐτοῦ συμπέπλεκται· αἱ πλευραὶ αὐτοῦ πλευραὶ χάλκειαι, ἡ 18
δὲ ῥάχις αὐτοῦ σίδηρος χυτός. τοῦτ' ἔστιν ἀρχὴ πλάσματος 19
Κυρίου, πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐ-
τοῦ. ἐπελθὼν δὲ ἐπ' ὄρος ἀκρότομον ἐποίησε χαρμονὴν τετρά- 20
ποσιν ἐν τῷ ταρτάρῳ. ὑπὸ παντοδαπὰ δένδρα κοιμᾶται, παρὰ 21
πάπυρον καὶ κάλαμον καὶ βούτομον. σκιάζονται δὲ ἐν αὐτῷ 22

δένδρα μεγάλα σὺν ῥαδάμνοις καὶ κλῶνες ἀγροῦ. ἐὰν γένηται 23
πλήμμυρα, οὐ μὴ αἰσθηθῇ· πέποιθεν ὅτι προσκρούσει ὁ Ἰορδά-
νης εἰς τὸ στόμα αὐτοῦ. ἐν τῷ ὀφθαλμῷ αὐτοῦ δέξεται αὐτόν, 24
ἐνσκολιευόμενος τρήσει ῥῖνα. ἄξεις δὲ δράκοντα ἐν ἀγγύ- 25
στρῳ, περιθήσεις δὲ φορβαίαν περὶ ῥῖνα αὐτοῦ; εἰ δήσεις κρί- 26
κον ἐν τῷ μυκτῆρι αὐτοῦ, ψελλίῳ δὲ τρυπήσεις τὸ χεῖλος αὐ- 27
τοῦ; λαλήσει δέ σοι δεήσει, ἱκετηρίᾳ μαλακῶς; θήσεται δὲ μετὰ 28
σοῦ διαθήκην; λήψῃ δὲ αὐτὸν δοῦλον αἰώνιον; παίξῃ δὲ ἐν αὐ-
τῷ ὥσπερ ὀρνέῳ ἢ δήσεις αὐτὸν ὥσπερ στρουθίον παιδίῳ; ἐν- 29
σιτοῦνται δὲ ἐν αὐτῷ ἔθνη, μεριτεύονται δὲ αὐτὸν Φοινίκων ἔ- 30
θνη; πᾶν δὲ πλωτὸν συνελθὸν οὐ μὴ ἐνέγκωσι βύρσαν μίαν οὐ- 31
ρᾶς αὐτοῦ καὶ ἐν πλοίοις ἁλιέων κεφαλὴν αὐτοῦ. ἐπιθήσεις δὲ 32
αὐτῷ χεῖρα μνησθεὶς πόλεμον τὸν γινόμενον ἐν σώματι αὐτοῦ,
καὶ μηκέτι γινέσθω.

Οὐχ ἑώρακας αὐτόν, οὐδὲ ἐπὶ τοῖς λεγομένοις τεθαύμα- 2 **41**
κας; οὐ δέδοικας ὅτι ἡτοίμασταί μοι; τίς γάρ ἐστιν ὁ ἐμοὶ ἀντι- 3
στάς; ἢ τίς ἀντιστήσεταί μοι καὶ ὑπομενεῖ, εἰ πᾶσα ἡ ὑπ' οὐρα- 4
νὸν ἐμή ἐστιν; οὐ σιωπήσομαι δι' αὐτόν, καὶ λόγον δυνάμεως 5
ἐλεήσει τὸν ἴσον αὐτῷ. τίς ἀποκαλύψει πρόσωπον ἐνδύσεως
αὐτοῦ, εἰς δὲ πτύξιν θώρακος αὐτοῦ τίς ἂν εἰσέλθοι; πύλας 6
προσώπου αὐτοῦ τίς ἀνοίξει; κύκλῳ ὀδόντων αὐτοῦ φόβος.
τὰ ἔγκατα αὐτοῦ ἀσπίδες χάλκειαι, σύνδεσμος δὲ αὐτοῦ ὥ- 7
σπερ σμυρίτης λίθος· εἷς τοῦ ἑνὸς κολλῶνται, πνεῦμα δὲ οὐ 8
μὴ διέλθῃ αὐτόν· ἀνὴρ τῷ ἀδελφῷ αὐτοῦ προσκολληθήσεται, 9
συνέχονται καὶ οὐ μὴ ἀποσπασθῶσιν. ἐν πταρμῷ αὐτοῦ ἐπι- 10
φαύσκεται φέγγος, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἶδος Ἑωσφόρου. ἐκ 11
στόματος αὐτοῦ ἐκπορεύονται ὡς λαμπάδες καιόμεναι καὶ
διαρριπτοῦνται ὡς ἐσχάραι πυρός. ἐκ μυκτήρων αὐτοῦ ἐκπο- 12
ρεύεται καπνὸς καμίνου καιομένης πυρὶ ἀνθράκων. ἡ ψυχὴ αὐ- 13
τοῦ ἄνθρακες, φλὸξ δὲ ἐκ στόματος αὐτοῦ ἐκπορεύεται. ἐν δὲ 14
τραχήλῳ αὐτοῦ αὐλίζεται δύναμις, ἔμπροσθεν αὐτοῦ τρέχει ἀ-
πώλεια. σάρκες δὲ σώματος αὐτοῦ κεκόλληνται· καταχέει ἐπ' 15
αὐτόν, οὐ σαλευθήσεται. ἡ καρδία αὐτοῦ πέπηγεν ὡς λίθος, ἔ- 16
στηκε δὲ ὥσπερ ἄκμων ἀνήλατος. στραφέντος δὲ αὐτοῦ, φό- 17
βος θηρίοις τετράποσιν ἐπὶ γῆς ἁλλομένοις. ἐὰν συναντήσω- 18
σιν αὐτῷ λόγχαι, οὐδὲν μὴ ποιήσωσι δόρυ καὶ θώρακα· ἥγη- 19
ται μὲν γὰρ σίδηρον ἄχυρα, χαλκὸν δὲ ὥσπερ ξύλον σαθρόν. 20
οὐ μὴ τρώσῃ αὐτὸν τόξον χάλκεον, ἥγηται μὲν πετροβόλον 21
χόρτον· ὡς καλάμη ἐλογίσθησαν σφῦραι, καταγελᾷ δὲ σεισμοῦ 22
πυρφόρου. ἡ στρωμνὴ αὐτοῦ ὀβελίσκοι ὀξεῖς, πᾶς δὲ χρυσὸς 23
θαλάσσης ὑπ' αὐτὸν ὥσπερ πηλὸς ἀμύθητος. ἀναζεῖ τὴν ἄβυσ-
σον ὥσπερ χαλκεῖον, ἥγηται δὲ τὴν θάλασσαν ὥσπερ ἐξάλει- 24
πτρον, τὸν δὲ τάρταρον τῆς ἀβύσσου ὥσπερ αἰχμάλωτον· ἐλο- 25
γίσατο ἄβυσσον εἰς περίπατον. οὐκ ἔστιν οὐδὲν ἐπὶ τῆς γῆς ὅ- 26
μοιον αὐτῷ πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων

μου· πᾶν ὑψηλὸν ὁρᾷ, αὐτὸς δὲ βασιλεὺς πάντων τῶν ἐν τοῖς ὕδασιν.]

(Πρβλ. Ὅμηρον, Β 782-3· καὶ Σχόλια. Ἡσίοδον, Θεογ., 304-6· 820-880. Προοίμιον εἰς Ἀπόλλωνα, 306-317· 352-355· 367. Τυφάων ἢ Τυφωεύς).

34 1 ὅσα ἦν ἔμπροσθεν Ἰὼβ [εἰς διπλασιασμόν.] 10 **42**

6+ ...καὶ θυγατέρες τρεῖς· 13

[Καὶ ἐκάλεσε τὴν μὲν πρώτην Ἡμέραν, τὴν δὲ δευτέραν Κασίαν, τὴν δὲ τρίτην Ἀμαλθείας κέρας. καὶ οὐχ εὑρέθησαν κατὰ τὰς θυγατέρας Ἰὼβ βελτίους αὐτῶν ἐν τῇ ὑπ' οὐρανόν· ἔδωκε δὲ αὐταῖς ὁ πατὴρ κληρονομίαν ἐν τοῖς ἀδελφοῖς. ἔζησε 14
δὲ Ἰὼβ μετὰ τὴν πληγὴν ἔτη ἑκατὸν ἑβδομήκοντα, τὰ δὲ πάντα ἔτη ἔζησε διακόσια τεσσαράκοντα·]

(Ἐκ τῆς ἑλληνικῆς μυθολογίας)

8+ ...καὶ πλήρης ἡμερῶν. 17α

[Γέγραπται δὲ αὐτὸν πάλιν ἀναστήσεσθαι μεθ' ὧν ὁ Κύριος ἀνίστησιν.]

[Οὗτος ἑρμηνεύεται ἐκ τῆς συριακῆς Βίβλου ἐν μὲν γῇ κα- 17β
τοικῶν τῇ Αὐσίτιδι, ἐπὶ τοῖς ὁρίοις τῆς Ἰδουμαίας καὶ Ἀρα-
βίας, προϋπῆρχε δὲ αὐτῷ ὄνομα Ἰωβάβ. λαβὼν δὲ γυναῖκα Ἀ- 17γ
ράβισσαν γεννᾷ υἱόν, ᾧ ὄνομα Ἐννών· ἦν δὲ αὐτὸς πατρὸς
μὲν Ζαρὲ ἐκ τῶν Ἠσαῦ υἱῶν υἱός, μητρὸς δὲ Βοσόρρας, ὥστε
εἶναι αὐτὸν πέμπτον ἀπὸ Ἀβραάμ. καὶ οὗτοι οἱ βασιλεῖς οἱ βα- 17δ
σιλεύσαντες ἐν Ἐδώμ, ἧς καὶ αὐτὸς ἦρξε χώρας· πρῶτος Βα-
λὰκ ὁ τοῦ Βεώρ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Δενναβά· μετὰ δὲ
Βαλὰκ Ἰωβὰβ ὁ καλούμενος Ἰώβ· μετὰ δὲ τοῦτον Ἀσὼμ ὁ ὑ-
πάρχων ἡγεμὼν ἐκ τῆς Θεμανίτιδος χώρας· μετὰ δὲ τοῦτον Ἀ-
δὰδ υἱὸς Βαράδ, ὁ ἐκκόψας Μαδιὰμ ἐν τῷ πεδίῳ Μωάβ, καὶ ὄ-
νομα τῇ πόλει αὐτοῦ Γεθθαΐμ. οἱ δὲ ἐλθόντες πρὸς αὐτὸν φίλοι, 17ε
Ἐλιφὰζ τῶν Ἠσαῦ υἱῶν, Θεμανῶν βασιλεύς, Βαλδὰδ ὁ Σαυ-
χαίων τύραννος, Σωφὰρ ὁ Μιναίων βασιλεύς.]

Ὀβελιζόμενο περιττὸ **δὲ** *στὰ ἔμμετρα μέρη τοῦ Ἰώβ*

25	11		89	14	22	37	47		67
	12		98	15	24	38	52		68
26	72		105	16	28	42	53		70
	73		114	18	34	43	61	28	2
	78	27	8	21	36	46	66		3
									4

ΣΧΟΛΙΑ ΕΙΣ ᾌΣΜΑ

0	8	Ἆσμα [ᾀσμάτων, ὅ ἐστι τῷ Σαλωμών]	1	**1**
1	7^{+}	ἀμπελών [μου] ἐμὸς	12	**8**
16	7^{+}	ἀνεπτέρωσάν με. [τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ ἀνεφάνησαν ἀπὸ τοῦ Γαλαάδ. ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων, αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ, αἱ πᾶσαι διδυμεύουσαι, καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς. ὡς σπαρτίον τὸ κόκκινον χείλη σου καὶ ἡ λαλιά σου ὡραία. ὡς λέπυρον τῆς ῥόας μῆλόν σου ἐκτὸς τῆς σιωπήσεώς σου.] *(= Ἆσ 10,2-6).*	5 6 7	**6**

ΣΧΟΛΙΑ ΕΙΣ ΕΚΚΛΗΣΙΑΣΤΗΝ

0		[Ῥήματα **ἐκκλησιαστοῦ** υἱοῦ Δαυΐδ βασιλέως Ἰσραὴλ ἐν Ἰερουσαλήμ.]	1	**1**
31	2	συκοφαντουμένων, [καὶ οὐκ ἔστιν αὐτοῖς παρακαλῶν]	1	**4**
32	1	τοὺς τεθνηκότας [τοὺς ἤδη ἀποθανόντας]	2	
36	2	οὐαὶ [αὐτῷ] τῷ ἑνί	10	
52	1	ἐὰν γεννήσῃ ἀνὴρ ἑκατὸν [καὶ ἔτη πολλὰ ζήσεται]	3	**6**
55	1	ἀγαθὸν τῷ ἀνθρώπῳ [ἐν τῇ ζωῇ]	12	
84	4	ἄνθρωπος οὐκ ἐμνήσθη [σὺν] τοῦ ἀνδρὸς τοῦ πένητος	15	**9**

Ὀβελισμὸς 34 περιττῶν **καὶ** *στὸν Ἐκκλησιαστή*

2	1		4	18	1	30	1		4	76	3		3
5	2	14	1		3	31	1	55	2	85	1		4
7	2		2	19	1	32	1	72	3	91	1		6
10	1	15	1	27	1	33	1	74	1	94	1	98	1
13	1	17	1	29	2	35	1	75	1	95	2		

ΣΧΟΛΙΑ ΕΙΣ ΠΑΙΔΕΙΑΣ

0		Αὗται αἱ **Παιδεῖαι** Σολομῶντος αἱ ἀδιάκριτοι, ἃς ἐξεγράψαντο οἱ φίλοι Ἐζεκίου τοῦ βασιλέως τῆς Ἰουδαίας.	1	**25**
1	29	...ὁμιλεῖτε ἀνθρώποις δικαίοις [καὶ ὁμιλεῖτε] ἐν περιπάτοις	31	**23**

ΣΧΟΛΙΑ ΕΙΣ ΣΟΦΙΑΝ

0 **Παροιμίαι** Σολομῶντος υἱοῦ Δαυΐδ, ὃς ἐβασίλευσεν ἐν 1 **1**
Ἰσραήλ, γνῶναι **σοφίαν** καὶ **παιδείαν** νοῆσαί τε λόγους φρο- 2
νήσεως δέξασθαί τε στροφὰς λόγων νοῆσαί τε δικαιοσύνην ἀ- 3
ληθῆ καὶ κρῖμα κατευθύνειν, ἵνα δῷ ἀκάκοις πανουργίαν, παιδὶ 4
δὲ νέῳ αἴσθησίν τε καὶ ἔννοιαν· τῶνδε γὰρ ἀκούσας σοφὸς 5
σοφώτερος ἔσται. ὁ δὲ νοήμων κυβέρνησιν κτήσεται. νοήσει 6
τε παραβολὴν καὶ σκοτεινὸν λόγον ῥήσεις τε σοφῶν καὶ αἰνίγ-
ματα.

ΣΧΟΛΙΑ ΕΙΣ ΘΡΗΝΟΥΣ

0 Καὶ ἐγένετο μετὰ τὸ αἰχμαλωτισθῆναι τὸν Ἰσραήλ, καὶ Ἰε- 1 **1**
ρουσαλὴμ ἐρημωθῆναι, ἐκάθισεν Ἰερεμίας κλαίων, καὶ ἐθρήνη-
σε τὸν **Θρῆνον** τοῦτον ἐπὶ Ἰερουσαλὴμ καὶ εἶπε·

3 18 ...ἐπληρώθησαν αἱ ἡμέραι ἡμῶν, [πάρεστιν ὁ καιρὸς ἡμῶν] 18 **4**

4 22 ...οὐ συνετελέσθησαν οἱ οἰκτιρμοὶ αὐτοῦ· [μῆνας εἰς τὰς πρω- 22 **3**
ΐας ἐλέησον, Κύριε, ὅτι οὐ συνετελέσθημεν, ὅτι οὐ συνετελέ-
σθησαν οἱ οἰκτιρμοὶ αὐτοῦ].

ΣΧΟΛΙΑ ΕΙΣ ΑΜΩΣ

2 13 ...κατέναντι τῆς φυλῆς [καὶ ἐν Δαμασκῷ] 12 **3**

ΣΧΟΛΙΑ ΕΙΣ ΩΣΗΕ

1 3 [Καὶ] Εἶπε Κύριος πρὸς Ὠσηέ 2 **1**

15 6 ...ἄρα ψευδεῖς ἦσαν [ἐν Γαλγὰλ] 12 **12**

ΣΧΟΛΙΑ ΕΙΣ ΗΣΑΪΑΝ

1 1 ...υἱὸς Ἀμώς, [ἣν εἶδε κατὰ τῆς Ἰουδαίας καὶ κατὰ Ἰερουσα- 1 **1**
λὴμ ἐν βασιλείᾳ Ὀζίου καὶ Ἰωάθαμ καὶ Ἄχαζ καὶ Ἐζεκίου, οἳ
ἐβασίλευσαν τῆς Ἰουδαίας].

2	4	Κύριος [ὁ Δεσπότης] σαβαώθ	24	
3	1	Ὁ λόγος ὁ γενόμενος παρὰ Κυρίου πρὸς Ἠσαΐαν υἱὸν Ἀμὼς περὶ τῆς Ἰουδαίας καὶ περὶ Ἰερουσαλήμ. Ὅτι	1	**2**
	15	...[καὶ πεσεῖται ὕψος ἀνθρώπων,] καὶ ὑψωθήσεται Κύριος μόνος [ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ τὰ χειροποίητα πάντα κατακρύψουσιν, εἰσενέγκαντες εἰς τὰ σπήλαια καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν καὶ εἰς τὰς τρώγλας τῆς γῆς ἀπὸ προσώπου τοῦ φόβου Κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν.]	17 18 19	
4	1	Ἰδοὺ ὅτι [ὁ δεσπότης] Κύριος σαβαὼθ	1	**3**
5	5	...τὸ ἐμπλόκιον [καὶ τὰ περιδέξια] καὶ τοὺς δακτυλίους...	20	
9	9	...οὐδὲ ἔσται· [ἀλλ' ἡ κεφαλὴ Ἀρὰμ Δαμασκὸς καὶ ἡ κεφαλὴ Δαμασκοῦ Ῥασὶμ –ἀλλ' ἔτι ἑξήκοντα καὶ πέντε ἐτῶν ἐκλείψει ἡ βασιλεία Ἐφραΐμ ἀπὸ λαοῦ– καὶ ἡ κεφαλὴ Ἐφραΐμ Σομόρων, καὶ ἡ κεφαλὴ Σομόρων υἱὸς τοῦ Ῥομελίου]	8 9	**7**
11	16	...ἀπορία στενὴ καὶ σκότος, [θλῖψις καὶ στενοχωρία καὶ σκότος]	22	**8**
12	4	...ἐπὶ ὄρος Σιὼν [ἐπ' αὐτοὺς]	10	**9**
		...τοὺς τὰ πρόσωπα θαυμάζοντας [αὕτη ἡ ἀρχή] καὶ προφήτην διδάσκοντα ἄνομα [οὗτος ἡ οὐρά]	14	
13	3+	...εἰς ἀπαγωγήν; [καὶ ὑποκάτω ἀνῃρημένων πεσοῦνται]	3	**10**
	41	...ἰδοὺ γὰρ [ὁ δεσπότης] Κύριος σαβαὼθ	33	
	50	...καὶ μοσχάριον [καὶ ταῦρος]	6	**11**
		...ὑπόλοιπον τοῦ λαοῦ, [ὃ ἂν καταλειφθῇ ἀπὸ τῶν Ἀσσυρίων καὶ ἀπὸ Αἰγύπτου καὶ Βαβυλωνίας καὶ Αἰθιοπίας καὶ ἀπὸ Ἐλαμιτῶν καὶ ἀπὸ ἡλίου ἀνατολῶν καὶ ἐξ Ἀραβίας.]	11	
14	5	...ἐπὶ τῶν ὀρέων, [ὁμοία ἐθνῶν πολλῶν]	4	**13**
	39	...πληγῇ ἀνιάτῳ, [παίων ἔθνος πληγὴν θυμοῦ, ἣ οὐκ ἐφείσατο]	6	**14**
		...καὶ σπέρμα [τάδε λέγει Κύριος]	22	
		...τεταραγμέναι, [οἱ ἀλλόφυλοι πάντες]	31	
	9	Τὸ ῥῆμα τὸ κατὰ τῆς Μωαβίτιδος.	1	**15**
		...ἐπὶ τῶν δωμάτων αὐτῆς [καὶ ἐν ταῖς πλατείαις αὐτῆς]	3	
16	1	Τὸ ῥῆμα τὸ κατὰ Δαμασκοῦ.	1	**17**
17	15	...ὅταν συντελεσθῇ ἄνθος καὶ ὄμφαξ [ἐξανθήσῃ ἄνθος ὀμφακίζουσα]	5	**18**

18	1	Ὅρασις Αἰγύπτου.	1	**19**
	23	...Ἀσσύριοι εἰς Αἴγυπτον, [καὶ Αἰγύπτιοι πορεύσονται πρὸς Ἀσσυρίους]	23	
20	1	Τὸ ὅραμα τῆς ἐρήμου.	1	**21**
21	1	Τὸ ὅραμα τῆς Ἰδουμαίας.	11	
22	1	Τὸ ῥῆμα τῆς Φάραγγος Σιών.	1	**22**
	12	καὶ ἐκάλεσε [Κύριος] Κύριος σαβαώθ	11	
23	7	...καλέσω τὸν παῖδά μου [Ἐλιακὶμ τὸν τοῦ Χελκίου]	20	
24	1	Τὸ ὅραμα Τύρου.	1	**23**
29	11	...οὕτω λέγει [Κύριος] Κύριος	16	**28**
30	2	...[φάγεσθε] φάγεσθε γὰρ σὺν Μωάβ.	1	**29**
	9	...ὅσοι ἐπεστράτευσαν [ἐπὶ Ἀριήλ, καὶ πάντες οἱ στρατευσάμενοι] ἐπὶ Ἱερουσαλὴμ	7	
32	6	Ἡ ὅρασις τῶν τετραπόδων τῶν ἐν τῇ ἐρήμῳ.	6	**30**
	9	...γράψον ἐπὶ πυξίου ταῦτα [καὶ εἰς βιβλίον]	8	
	16	οὕτω λέγει [Κύριος] Κύριος	15	
		...ξύλα κείμενα, πῦρ καὶ ξύλα πολλά	33	
33	1	...οἱ [ἐφ' ἵπποις] πεποιθότες [καὶ] ἐφ' ἅρμασιν	1	**31**
37	3	οἱ δὲ τραυματίαι αὐτῶν ῥιφήσονται [καὶ οἱ νεκροί]	3	**34**
38	21+	Καὶ ἐγένετο τοῦ τεσσαρεσκαιδεκάτου ἔτους, βασιλεύοντος Ἐζεκίου, ἀνέβη Σενναχηρὶμ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὰς πόλεις τῆς Ἰουδαίας τὰς ὀχυρὰς καὶ ἔλαβεν αὐτάς. καὶ ἀπέστειλε βασιλεὺς Ἀσσυρίων τὸν Ῥαψάκην ἐκ Λαχὶς εἰς Ἱερουσαλὴμ πρὸς τὸν βασιλέα Ἐζεκίαν μετὰ δυνάμεως πολλῆς, καὶ ἔστη ἐν τῷ ὑδραγωγῷ τῆς κολυμβήθρας τῆς ἄνω ἐν τῇ ὁδῷ τοῦ Ἀγροῦ τοῦ Γναφέως. καὶ ἐξῆλθε πρὸς αὐτὸν Ἑλιακὶμ ὁ τοῦ Χελκίου ὁ οἰκονόμος καὶ Σομνᾶς ὁ γραμματεὺς καὶ Ἰωὰχ ὁ τοῦ Ἀσὰφ ὁ ὑπομνηματογράφος. καὶ εἶπεν αὐτοῖς Ῥαψάκης· Εἴπατε Ἐζεκίᾳ· Τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας, βασιλεὺς Ἀσσυρίων· Τί πεποιθὼς εἶ; μὴ ἐν βουλῇ ἢ λόγοις χειλέων παράταξις γίνεται; καὶ νῦν ἐπὶ τίνα πέποιθας, ὅτι ἀπειθεῖς μοι; ἰδοὺ πεποιθὼς εἶ ἐπὶ τὴν ῥάβδον τὴν καλαμίνην τὴν τεθλασμένην ταύτην, ἐπ' Αἴγυπτον· ὡς ἂν ἐπιστηριχθῇ ἀνὴρ ἐπ' αὐτήν, εἰσελεύσεται εἰς τὴν χεῖρα αὐτοῦ, καὶ τρήσει αὐτήν· οὕτως ἐστὶ φαραὼ βασιλεὺς Αἰγύπτου καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ. εἰ δὲ λέγετε· ἐπὶ Κύριον τὸν θεὸν ἡμῶν πεποίθαμεν, νῦν μίχθητε τῷ κυρίῳ μου τῷ βασιλεῖ Ἀσσυρίων, καὶ δώσω ὑμῖν δισχι-	1 2 3 4 5 6 7 8	**36**

λίαν ἵππον, εἰ δυνήσεσθε δοῦναι ἀναβάτας ἐπ' αὐτούς. καὶ 9
πῶς δύνασθε ἀποστρέψαι εἰς πρόσωπον τῶν τοπαρχῶν; οἰκέ-
ται εἰσὶν οἱ πεποιθότες ἐπ' Αἰγυπτίοις εἰς ἵππον καὶ ἀναβάτην. 10
καὶ νῦν μὴ ἄνευ Κυρίου ἀνέβημεν ἐπὶ τὴν χώραν ταύτην πολε-
μῆσαι αὐτήν; Κύριος εἶπε πρός με· Ἀνάβηθι ἐπὶ τὴν γῆν ταύ-
την, καὶ διάφθειρον αὐτήν. καὶ εἶπε πρὸς αὐτὸν Ἑλιακὶμ καὶ 11
Σομνᾶς καὶ Ἰωάχ· Λάλησον πρὸς τοὺς παῖδάς σου συριστί, ἀ-
κούομεν γὰρ ἡμεῖς, καὶ μὴ λάλει πρὸς ἡμᾶς ἰουδαϊστί· καὶ ἱνατί
λαλεῖς εἰς τὰ ὦτα τῶν ἀνθρώπων τῶν ἐπὶ τῷ τείχει; καὶ εἶπε 12
πρὸς αὐτοὺς Ῥαψάκης· Μὴ πρὸς τὸν Κύριον ὑμῶν ἢ πρὸς ὑ-
μᾶς ἀπέσταλκέ με ὁ κύριός μου λαλῆσαι τοὺς λόγους τούτους;
οὐχὶ πρὸς τοὺς ἀνθρώπους τοὺς καθημένους ἐπὶ τῷ τείχει, ἵνα 13
φάγωσι κόπρον καὶ πίωσιν οὖρον μεθ' ὑμῶν ἅμα; καὶ ἔστη
Ῥαψάκης καὶ ἀνεβόησε φωνῇ μεγάλῃ ἰουδαϊστὶ καὶ εἶπεν· Ἀ-
κούσατε τοὺς λόγους τοῦ βασιλέως τοῦ μεγάλου, βασιλέως
Ἀσσυρίων. Τάδε λέγει ὁ βασιλεύς· Μὴ ἀπατάτω ὑμᾶς Ἐζεκίας 14
λόγοις, οἳ οὐ δυνήσονται ῥύσασθαι ὑμᾶς· καὶ μὴ λεγέτω ὑμῖν 15
Ἐζεκίας, ὅτι ῥύσεται ὑμᾶς ὁ θεός, καὶ οὐ μὴ παραδοθῇ ἡ πόλις 16
αὕτη ἐν χειρὶ βασιλέως Ἀσσυρίων· μὴ ἀκούετε Ἐζεκίου. τάδε
λέγει ὁ βασιλεὺς Ἀσσυρίων· Εἰ βούλεσθε εὐλογηθῆναι, ἐκπο-
ρεύεσθε πρός με καὶ φάγεσθε ἕκαστος τὴν ἄμπελον αὐτοῦ καὶ
τὰς συκᾶς καὶ πίεσθε ὕδωρ ἐκ τοῦ λάκκου ὑμῶν, ἕως ἂν ἔλθω 17
καὶ λάβω ὑμᾶς εἰς γῆν, ὡς ἡ γῆ ὑμῶν, γῆ σίτου καὶ οἴνου καὶ
ἄρτων καὶ ἀμπελώνων. μὴ ἀπατάτω ὑμᾶς Ἐζεκίας λέγων· Ὁ 18
θεὸς ὑμῶν ῥύσεται ὑμᾶς. μὴ ἐρρύσαντο οἱ θεοὶ τῶν ἐθνῶν ἕ-
καστος τὴν ἑαυτοῦ χώραν ἐκ χειρὸς βασιλέως Ἀσσυρίων;
ποῦ ἐστιν ὁ θεὸς Ἀιμὰθ καὶ Ἀρφάθ; καὶ ποῦ ὁ θεὸς τῆς πόλε- 19
ως Σεπφαρίμ; μὴ ἐδύναντο ῥύσασθαι Σαμάρειαν ἐκ χειρός
μου; τίς τῶν θεῶν πάντων τῶν ἐθνῶν τούτων, ὅστις ἐρρύσατο 20
τὴν γῆν αὐτοῦ ἐκ χειρός μου, ὅτι ῥύσεται ὁ θεὸς Ἰερουσαλὴμ
ἐκ χειρός μου; καὶ ἐσιώπησαν, καὶ οὐδεὶς ἀπεκρίθη αὐτῷ λό- 21
γον, διὰ τὸ προστάξαι τὸν βασιλέα μηδένα ἀποκριθῆναι.

Καὶ εἰσῆλθεν Ἑλιακὶμ ὁ τοῦ Χελκίου οἰκονόμος καὶ Σο- 22
μνᾶς ὁ γραμματεὺς τῆς δυνάμεως καὶ Ἰωὰχ ὁ τοῦ Ἀσὰφ ὁ ὑ-
πομνηματογράφος πρὸς Ἐζεκίαν ἐσχισμένοι τοὺς χιτῶνας καὶ
ἀνήγγειλαν αὐτῷ τοὺς λόγους Ῥαψάκου.

Καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαι τὸν βασιλέα Ἐζεκίαν ἔσχισε 1 **37**
τὰ ἱμάτια καὶ περιεβάλετο σάκκον καὶ ἀνέβη εἰς τὸν οἶκον Κυ-
ρίου. καὶ ἀπέστειλεν Ἑλιακὶμ τὸν οἰκονόμον καὶ Σομνᾶν τὸν 2
γραμματέα καὶ τοὺς πρεσβυτέρους τῶν ἱερέων περιβεβλημέ-
νους σάκκους πρὸς Ἠσαΐαν υἱὸν Ἀμὼς τὸν προφήτην, καὶ εἶ- 3
παν αὐτῷ· Τάδε λέγει Ἐζεκίας· Ἡμέρα θλίψεως καὶ ὀνειδισμοῦ
καὶ ἐλεγμοῦ καὶ ὀργῆς ἡ σήμερον ἡμέρα, ὅτι ἥκει ἡ ὠδὶν τῇ τι-
κτούσῃ, ἰσχὺν δὲ οὐκ ἔχει τοῦ τεκεῖν. εἰσακούσαι Κύριος ὁ θε- 4
ός σου τοὺς λόγους Ῥαψάκου, οὓς ἀπέστειλε βασιλεὺς Ἀσσυ-

ρίων ὀνειδίζειν θεὸν ζῶντα καὶ ὀνειδίζειν λόγους, οὓς ἤκουσε
Κύριος ὁ θεός σου· καὶ δεηθήσῃ πρὸς Κύριον τὸν θεόν σου
περὶ τῶν καταλελειμμένων τούτων. καὶ ἦλθον οἱ παῖδες τοῦ 5
βασιλέως Ἐζεκίου πρὸς Ἠσαΐαν, καὶ εἶπεν αὐτοῖς Ἠσαΐας· 6
Οὕτως ἐρεῖτε πρὸς τὸν κύριον ὑμῶν· Τάδε λέγει Κύριος· Μὴ
φοβηθῇς ἀπὸ τῶν λόγων, ὧν ἤκουσας, οὓς ὠνείδισάν με οἱ
πρέσβεις βασιλέως Ἀσσυρίων. ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς αὐτὸν 7
πνεῦμα, καὶ ἀκούσας ἀγγελίαν ἀποστραφήσεται εἰς τὴν χώραν
αὐτοῦ καὶ πεσεῖται μαχαίρᾳ ἐν τῇ γῇ αὐτοῦ.

Καὶ ἀπέστρεψε Ῥαψάκης καὶ κατέλαβε τὸν βασιλέα Ἀσσυ- 8
ρίων πολιορκοῦντα Λοβνά. καὶ ἤκουσε βασιλεὺς Ἀσσυρίων ὅ- 9
τι ἐξῆλθε Θαρακὰ βασιλεὺς Αἰθιόπων πολιορκῆσαι αὐτόν· καὶ
ἀκούσας ἀπέστρεψε καὶ ἀπέστειλεν ἀγγέλους πρὸς Ἐζεκίαν
λέγων· Οὕτως ἐρεῖτε Ἐζεκίᾳ βασιλεῖ τῆς Ἰουδαίας· Μή σε ἀ- 10
πατάτω ὁ θεός σου, ἐφ' ᾧ πέποιθας ἐπ' αὐτῷ λέγων· Οὐ μὴ
παραδοθῇ Ἰερουσαλὴμ εἰς χεῖρας βασιλέως Ἀσσυρίων. ἢ οὐκ 11
ἤκουσας ἃ ἐποίησαν βασιλεῖς Ἀσσυρίων πᾶσαν τὴν γῆν ὡς ἀ-
πώλεσαν; μὴ ἐρρύσαντο αὐτοὺς οἱ θεοὶ τῶν ἐθνῶν, οὓς ἀπώ- 12
λεσαν οἱ πατέρες μου, τήν τε Γωζὰν καὶ Χαρρὰν καὶ Ῥαφές, αἵ
εἰσιν ἐν χώρᾳ Θεεμάθ; ποῦ εἰσιν οἱ βασιλεῖς Ἀιμὰθ καὶ Ἀρφὰθ 13
καὶ πόλεως Σεπφαρίμ, Ἀνὰγ Οὐγαυά; καὶ ἔλαβεν Ἐζεκίας τὸ 14
βιβλίον παρὰ τῶν ἀγγέλων, καὶ ἤνοιξεν αὐτὸ ἐναντίον Κυρίου, 15
καὶ προσηύξατο Ἐζεκίας πρὸς Κύριον λέγων· Κύριε σαβαὼθ ὁ 16
θεὸς Ἰσραὴλ ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, σὺ θεὸς μόνος εἶ
πάσης βασιλείας τῆς οἰκουμένης, σὺ ἐποίησας τὸν οὐρανὸν
καὶ τὴν γῆν. κλῖνον, Κύριε, τὸ οὖς σου, εἰσάκουσον, Κύριε, ἄ- 17
νοιξον, Κύριε, τοὺς ὀφθαλμούς σου, εἴσβλεψον, Κύριε, καὶ ἴδε
τοὺς λόγους Σενναχηρίμ, οὓς ἀπέστειλεν ὀνειδίζειν θεὸν ζῶ-
ντα. ἐπ' ἀληθείας γάρ, Κύριε, ἠρήμωσαν βασιλεῖς Ἀσσυρίων 18
τὴν οἰκουμένην ὅλην καὶ τὴν χώραν αὐτῶν καὶ ἐνέβαλον τὰ εἴ-
δωλα αὐτῶν εἰς τὸ πῦρ· οὐ γὰρ θεοὶ ἦσαν, ἀλλὰ ἔργα χειρῶν 19
ἀνθρώπων, ξύλα καὶ λίθοι, καὶ ἀπώλεσεν αὐτούς. σὺ δέ, Κύριε 20
ὁ θεὸς ἡμῶν, σῶσον ἡμᾶς ἐκ χειρὸς αὐτῶν, ἵνα γνῷ πᾶσα βα-
σιλεία τῆς γῆς, ὅτι σὺ εἶ θεὸς μόνος.

Καὶ ἀπεστάλη Ἠσαΐας υἱὸς Ἀμὼς πρὸς Ἐζεκίαν καὶ εἶπεν 21
αὐτῷ· Τάδε λέγει Κύριος ὁ θεὸς Ἰσραήλ· Ἤκουσα ἃ προσηύ-
ξω πρός με περὶ Σενναχηρὶμ βασιλέως Ἀσσυρίων. οὗτος ὁ λό- 22
γος, ὃν ἐλάλησε περὶ αὐτοῦ ὁ θεός· Ἐφαύλισέ σε καὶ ἐμυκτήρι-
σέ σε παρθένος θυγάτηρ Σιών, ἐπὶ σοὶ κεφαλὴν ἐκίνησε θυγά-
τηρ Ἰερουσαλήμ. τίνα ὠνείδισας καὶ παρώξυνας; ἢ πρὸς τίνα 23
ὕψωσας τὴν φωνήν σου; καὶ οὐκ ἦρας εἰς ὕψος τοὺς ὀφθαλ-
μούς σου πρὸς τὸν ἅγιον τοῦ Ἰσραήλ; ὅτι δι' ἀγγέλων ὠνείδι- 24
σας Κύριον· σὺ γὰρ εἶπας· τῷ πλήθει τῶν ἁρμάτων ἐγὼ ἀνέ-
βην εἰς ὕψος ὀρέων καὶ εἰς τὰ ἔσχατα τοῦ Λιβάνου καὶ ἔκοψα
τὸ ὕψος τῆς κέδρου αὐτοῦ καὶ τὸ κάλλος τῆς κυπαρίσσου καὶ

εἰσῆλθον εἰς ὕψος μέρος τοῦ δρυμοῦ καὶ ἔθηκα γέφυραν καὶ ἠ- 25
ρήμωσα ὕδατα καὶ πᾶσαν συναγωγὴν ὕδατος. οὐ ταῦτα ἤκου- 26
σας πάλαι, ἃ ἐγὼ ἐποίησα; ἐξ ἡμερῶν ἀρχαίων συνέταξα, νῦν
δὲ ἐπέδειξα ἐξερημῶσαι ἔθνη ἐν ὀχυροῖς καὶ οἰκοῦντας ἐν πό-
λεσιν ὀχυραῖς. ἀνῆκα τὰς χεῖρας, καὶ ἐξηράνθησαν καὶ ἐγένο- 27
ντο ὡς χόρτος ξηρὸς ἐπὶ δωμάτων καὶ ὡς ἄγρωστις. νῦν δὲ 28
τὴν ἀνάπαυσίν σου καὶ τὴν ἔξοδόν σου καὶ τὴν εἴσοδόν σου ἐ-
γὼ ἐπίσταμαι. ὁ δὲ θυμός σου, ὃν ἐθυμώθης, καὶ ἡ πικρία σου 29
ἀνέβη πρός με, καὶ ἐμβαλῶ φιμὸν εἰς τὴν ῥῖνά σου καὶ χαλινὸν
εἰς τὰ χείλη σου καὶ ἀποστρέψω σε τῇ ὁδῷ, ᾗ ἦλθες ἐν αὐτῇ.
τοῦτο δέ σοι τὸ σημεῖον· φάγε τοῦτον τὸν ἐνιαυτὸν ἃ ἔσπαρ- 30
κας, τῷ δὲ ἐνιαυτῷ τῷ δευτέρῳ τὸ κατάλειμμα, τῷ δὲ τρίτῳ
σπείραντες ἀμήσατε καὶ φυτεύσατε ἀμπελῶνας καὶ φάγεσθε
τὸν καρπὸν αὐτῶν. καὶ ἔσονται οἱ καταλελειμμένοι ἐν τῇ Ἰου- 31
δαίᾳ φυήσουσι ῥίζαν κάτω καὶ ποιήσουσι σπέρμα ἄνω. ὅτι ἐξ 32
Ἰερουσαλὴμ ἔσονται οἱ καταλελειμμένοι καὶ οἱ σῳζόμενοι ἐξ ὄ-
ρους Σιών· ὁ ζῆλος Κυρίου σαβαὼθ ποιήσει ταῦτα. διὰ τοῦτο 33
οὕτω λέγει Κύριος ἐπὶ βασιλέα Ἀσσυρίων· Οὐ μὴ εἰσέλθῃ εἰς
τὴν πόλιν ταύτην οὐδὲ μὴ βάλῃ ἐπ' αὐτὴν βέλος οὐδὲ μὴ ἐπι-
βάλῃ ἐπ' αὐτὴν θυρεόν, οὐδὲ μὴ κυκλώσῃ ἐπ' αὐτὴν χάρακα, 34
ἀλλὰ τῇ ὁδῷ ᾗ ἦλθεν, ἐν αὐτῇ ἀποστραφήσεται καὶ εἰς τὴν πό-
λιν ταύτην οὐ μὴ εἰσέλθῃ. τάδε λέγει Κύριος· Ὑπερασπιῶ ὑ- 35
πὲρ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν δι' ἐμὲ καὶ διὰ Δαυὶδ
τὸν παῖδά μου.

Καὶ ἐξῆλθεν ἄγγελος Κυρίου καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβο- 36
λῆς τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας, καὶ ἀ-
ναστάντες τὸ πρωῒ εὗρον πάντα τὰ σώματα νεκρά. καὶ ἀπῆλ- 37
θεν ἀποστραφεὶς Σενναχηρὶμ βασιλεὺς Ἀσσυρίων, καὶ ᾤκησεν
ἐν Νινευή. καὶ ἐν τῷ αὐτὸν προσκυνεῖν ἐν τῷ οἴκῳ Νασαρὰχ 38
τὸν πάτραρχον αὐτοῦ, Ἀδραμέλεχ καὶ Σαρασὰρ οἱ υἱοὶ αὐτοῦ
ἐπάταξαν αὐτὸν μαχαίραις, αὐτοὶ δὲ διεσώθησαν εἰς Ἀρμε-
νίαν· καὶ ἐβασίλευσεν Ἀσορδὰν ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ ἐμαλακίσθη Ἐζεκίας ἕως 1 **38**
θατάτου· καὶ ἦλθε πρὸς αὐτὸν Ἠσαΐας υἱὸς Ἀμὼς ὁ προφήτης
καὶ εἶπε πρὸς αὐτόν· Τάδε λέγει Κύριος· Τάξαι περὶ τοῦ οἴκου
σου· ἀποθνῇσκεις γὰρ σὺ καὶ οὐ ζήσῃ. καὶ ἀπέστρεψεν Ἐζε- 2
κίας τὸ πρόσωπον αὐτοῦ πρὸς τὸν τοῖχον καὶ προσηύξατο
πρὸς Κύριον λέγων· Μνήσθητι, Κύριε, ὡς ἐπορεύθην ἐνώπιόν 3
σου μετὰ ἀληθείας, ἐν καρδίᾳ ἀληθινῇ, καὶ τὰ ἀρεστὰ ἐνώπιόν
σου ἐποίησα· καὶ ἔκλαυσεν Ἐζεκίας κλαυθμῷ μεγάλῳ. καὶ ἐγέ- 4
νετο λόγος Κυρίου πρὸς Ἠσαΐαν λέγων· Πορεύθητι καὶ εἰπὸν
Ἐζεκίᾳ· Τάδε λέγει Κύριος ὁ θεὸς Δαυὶδ τοῦ πατρός σου· Ἤ- 5
κουσα τῆς προσευχῆς σου καὶ εἶδον τὰ δάκρυά σου. ἰδοὺ προ- 6
στίθημι πρὸς τὸν χρόνον σου δεκαπέντε ἔτη· καὶ ἐκ χειρὸς βα-
σιλέως Ἀσσυρίων ῥύσομαί σε καὶ τὴν πόλιν ταύτην καὶ ὑπε-

ρασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης. τοῦτο δέ σοι τὸ σημεῖον πα- 7
ρὰ Κυρίου ὅτι ποιήσει ὁ θεὸς τὸ ῥῆμα τοῦτο· ἰδοὺ ἐγὼ στρέ- 8
ψω τὴν σκιὰν τῶν ἀναβαθμῶν, οὗς κατέβη ὁ ἥλιος, τοὺς δέκα
ἀναβαθμοὺς τοῦ οἴκου τοῦ πατρός σου, ἀποστρέψω τὸν ἥλιον
τοὺς δέκα ἀναβαθμούς. καὶ ἀνέβη ὁ ἥλιος τοὺς δέκα ἀναβαθ-
μούς, οὗς κατέβη ἡ σκιά.

[Προσευχὴ Ἐζεκίου βασιλέως τῆς Ἰουδαίας, ἡνίκα ἐμαλα- 9
κίσθη, καὶ ἀνέστη ἐκ τῆς μαλακίας αὐτοῦ.

Ἐγὼ εἶπα· ἐν τῷ ὕψει τῶν ἡμερῶν μου πορεύσομαι ἐν πύ- 10
λαις ᾅδου, καταλείψω τὰ ἔτη τὰ ἐπίλοιπα. εἶπα· οὐκέτι οὐ μὴ ἴ- 11
δω τὸ σωτήριον τοῦ θεοῦ ἐπὶ γῆς ζώντων, οὐκέτι μὴ ἴδω τὸ
σωτήριον τοῦ Ἰσραὴλ ἐπὶ γῆς, οὐκέτι μὴ ἴδω ἄνθρωπον. ἐξέλι- 12
πον ἐκ τῆς συγγενείας μου, κατέλιπον τὸ ἐπίλοιπον τῆς ζωῆς
μου, ἐξῆλθε καὶ ἀπῆλθεν ἀπ' ἐμοῦ ὥσπερ ὁ καταλύων σκηνὴν
πήξας, τὸ πνεῦμά μου παρ' ἐμοὶ ἐγένετο ὡς ἱστὸς ἐρίθου ἐγγι-
ζούσης ἐκτεμεῖν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ παρεδόθην ἕως πρωΐ ὡς 13
λέοντι· οὕτω συνέτριψε πάντα τὰ ὀστᾶ μου, ἀπὸ γὰρ τῆς ἡμέ-
ρας ἕως τῆς νυκτὸς παρεδόθην. ὡς χελιδών, οὕτω φωνήσω, 14
καὶ ὡς περιστερά, οὕτω μελετήσω· ἐξέλιπον γάρ μου οἱ ὀ- 15
φθαλμοὶ τοῦ βλέπειν εἰς τὸ ὕψος τοῦ οὐρανοῦ πρὸς τὸν Κύ-
ριον, ὃς ἐξείλατό με καὶ ἀφείλατό μου τὴν ὀδύνην τῆς ψυχῆς.
Κύριε, περὶ αὐτῆς γὰρ ἀνηγγέλη σοι, καὶ ἐξήγειράς μου τὴν 16
πνοήν, καὶ παρακληθεὶς ἔζησα. εἵλου γάρ μου τὴν ψυχήν, ἵνα 17
μὴ ἀπόληται, καὶ ἀπέρριψας ὀπίσω μου πάσας τὰς ἁμαρτίας.
οὐ γὰρ οἱ ἐν ᾅδου αἰνέσουσί σε, οὐδὲ οἱ ἀποθανόντες εὐλογή- 18
σουσί σε, οὐδὲ ἐλπιοῦσιν οἱ ἐν ᾅδου τὴν ἐλεημοσύνην σου. οἱ 19
ζῶντες εὐλογήσουσί σε ὃν τρόπον κἀγώ· ἀπὸ γὰρ τῆς σήμε-
ρον παιδία ποιήσω, ἃ ἀναγγελοῦσι τὴν δικαιοσύνην σου, Κύ- 20
ριε τῆς σωτηρίας μου, καὶ οὐ παύσομαι εὐλογῶν σε μετὰ ψαλ-
τηρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου κατέναντι τοῦ οἴκου
τοῦ θεοῦ.

Καὶ εἶπεν Ἠσαΐας πρὸς Ἐζεκίαν· Λάβε παλάθην ἐκ σύκων 21
καὶ τρίψον καὶ κατάπλασαι, καὶ ὑγιὴς ἔσῃ. καὶ εἶπεν Ἐζεκίας· 22
Τοῦτο τὸ σημεῖον ὅτι ἀναβήσομαι εἰς τὸν οἶκον τοῦ θεοῦ].

Ἐν τῷ καιρῷ ἐκείνῳ ἀπέστειλε Μαρωδὰχ Βαλαδὰν ὁ υἱὸς 1 **39**
τοῦ Βαλαδάν, ὁ βασιλεὺς τῆς Βαβυλωνίας, ἐπιστολὰς καὶ πρέ-
σβεις καὶ δῶρα Ἐζεκίᾳ· ἤκουσε γὰρ ὅτι ἐμαλακίσθη ἕως θανά-
του καὶ ἀνέστη. καὶ ἐχάρη ἐπ' αὐτοῖς Ἐζεκίας χαρὰν μεγάλην 2
καὶ ἔδειξεν αὐτοῖς τὸν οἶκον τοῦ νεχωθὰ καὶ τοῦ ἀργυρίου καὶ
τοῦ χρυσίου καὶ τῆς στακτῆς καὶ τῶν θυμιαμάτων καὶ τοῦ μύ-
ρου καὶ πάντας τοὺς οἴκους τῶν σκευῶν τῆς γάζης καὶ πάντα,
ὅσα ἦν ἐν τοῖς θησαυροῖς αὐτοῦ· καὶ οὐκ ἦν οὐθέν, ὃ οὐκ ἔδει-
ξεν Ἐζεκίας ἐν τῷ οἴκῳ αὐτοῦ καὶ ἐν πάσῃ τῇ ἐξουσίᾳ αὐτοῦ.
καὶ ἦλθεν Ἠσαΐας ὁ προφήτης πρὸς τὸν βασιλέα Ἐζεκίαν καὶ 3
εἶπε πρὸς αὐτόν· Τί λέγουσιν οἱ ἄνθρωποι οὗτοι καὶ πόθεν ἦ-

κασι πρὸς σέ; καὶ εἶπεν Ἐζεκίας· Ἐκ γῆς πόρρωθεν ἥκασι πρός με, ἐκ Βαβυλῶνος. καὶ εἶπεν Ἠσαΐας· Τί εἶδον ἐν τῷ οἴκῳ σου; καὶ εἶπεν Ἐζεκίας· Πάντα τὰ ἐν τῷ οἴκῳ μου εἶδον, καὶ οὐκ ἔστιν ἐν τῷ οἴκῳ μου ὃ οὐκ εἶδον, ἀλλὰ καὶ τὰ ἐν τοῖς θησαυροῖς μου. καὶ εἶπεν Ἠσαΐας αὐτῷ· Ἄκουσον τὸν λόγον Κυρίου σαβαώθ· Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ λήψονται πάντα τὰ ἐν τῷ οἴκῳ σου, καὶ ὅσα συνήγαγον οἱ πατέρες σου ἕως τῆς ἡμέρας ταύτης, εἰς Βαβυλῶνα ἥξει, καὶ οὐδὲν οὐ μὴ καταλείπωσιν· εἶπε δὲ ὁ θεὸς ὅτι καὶ ἀπὸ τῶν τέκνων σου, ὧν ἐγέννησας, λήψονται καὶ ποιήσουσι σπάδοντας ἐν τῷ οἴκῳ τοῦ βασιλέως τῶν Βαβυλωνίων. καὶ εἶπεν Ἐζεκίας Ἠσαΐᾳ· Ἀγαθὸς ὁ λόγος Κυρίου, ὃν ἐλάλησε· γενέσθω δὴ εἰρήνη καὶ δικαιοσύνη ἐν ταῖς ἡμέραις μου. *(= Ba 109-116)*

		4		
		5		
		6		
		7		
		8		
40	10	...χρυσοχόος χωνεύσας χρυσίον [περιεχρύσωσεν αὐτό]	19	**40**
50	38+	...τοὺς ποταμούς σου ξηρανῶ· [ὁ λέγων Κύρῳ φρονεῖν καὶ πάντα τὰ θελήματά μου ποιήσει· ὁ λέγων Ἱερουσαλὴμ Ὀἰκοδομηθήσῃ, καὶ τὸν οἶκον τὸν ἅγιόν μου θεμελιώσω'.]	28	**44**
51	1	Οὕτω λέγει Κύριος ὁ θεὸς τῷ χριστῷ μου [Κύρῳ]	1	**45**
		...ἐγὼ ἤγειρα [αὐτὸν] μετὰ δικαιοσύνης βασιλέα	13	
67	10	...ἀντὶ τῆς αἰσχύνης ὑμῶν τῆς διπλῆς [καὶ ἀντὶ τῆς ἐντροπῆς]	7	**61**
73	19	[καὶ εἰς τὴν Ἑλλάδα] καὶ εἰς τὰς Νήσους τὰς πόρρω	19	**66**

Ὀβελισμὸς 171 περιττῶν **καὶ** *στὰ ἔμμετρα μέρη του Ἠσαΐου*

6	3		33		9	**38**	2		13		23		8
13	43		34		10		3	**48**	8		24		13
	44	**15**	8		11		4		20		25		14
	47	**24**	17		16		12	**49**	5		26		16
	48		21		18		15	**50**	3		28		19
	49		25	**32**	26		17		7		30	**68**	3
	50		26		30		19		9	**66**	8		4
	51	**25**	25	**35**	10	**39**	7		12		11		5
	52		26		12		8		14		12		6
	53		27		14	**40**	8		16		17		9
	54		28	**37**	4	**41**	5		19		23		11
14	15		44		5	**42**	15		22		25		21
	16		45		6	**43**	10	**51**	2		26	**69**	5
	17	**27**	14		10		16		4		27		7
	18		18		11	**44**	10	**52**	3		28		8
	20		19		13		15		4		29		9
	23		20		14	**45**	9	**54**	10		30	**72**	4
	26	**30**	4		15	**46**	6		12		31		8
	29		5		17		12	**55**	7		33		11
	30		6		19	**47**	3	**56**	2		34		
	31		7		20		4		18	**67**	6		
	32		8		26		8		22		7		

ΣΧΟΛΙΑ ΕΙΣ ΜΙΧΑΪΑΝ

2	2	...οὐκ ἐξῆλθε [κατοικοῦσα] Σενναὰν	11	**1**

ΣΧΟΛΙΑ ΕΙΣ ΝΑΟΥΜ

1	1	[Λῆμμα Νινευή,] Βιβλίον ὁράσεως Ναοὺμ τοῦ Ἐλκεσαίου.	1	**1**

ΣΧΟΛΙΑ ΕΙΣ ΑΒΒΑΚΟΥΜ

1	1	[Τὸ λῆμμα ὃ εἶδεν] Ἀββακοὺμ ὁ προφήτης.	1	**1**
3	5+	Προσευχὴ Ἀββακοὺμ τοῦ προφήτου μετὰ ᾠδῆς	1	**3**
		[Διάψαλμα]	13	

ΣΧΟΛΙΑ ΕΙΣ ΣΟΦΟΝΙΑΝ

Ὀβελισμὸς δύο περιττῶν **καὶ** *στὰ ἔμμετρα μέρη τοῦ Σοφονίου*

5,12 5,13

ΣΧΟΛΙΑ ΕΙΣ ΙΕΡΕΜΙΑΝ

1	1	...ἐν Ἀναθὼθ ἐν γῇ Βενιαμίν· [ὡς ἐγενήθη λόγος τοῦ θεοῦ πρὸς αὐτὸν ἐν ταῖς ἡμέραις Ἰωσία υἱοῦ Ἀμὼς βασιλέως Ἰούδα, ἔτους τρισκαιδεκάτου ἐν τῇ βασιλείᾳ αὐτοῦ· καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἰωακὶμ υἱοῦ Ἰωσία βασιλέως Ἰούδα ἕως ἐνδεκάτου ἔτους τοῦ Σεδεκία υἱοῦ Ἰωσία βασιλέως Ἰούδα, ἕως τῆς αἰχμαλωσίας Ἰερουσαλὴμ ἐν τῷ πέμπτῳ μηνί.]	2 3	**1**
	2	Ὦ [Δέσποτα] Κύριε	6	
15	7	...εἰς ἀδικήματα [καὶ εἰς φόνον] τοῦ ποιεῖν αὐτά.	17	**22**
18	8	...πρὸς Βαροὺχ υἱὸν Νηρίου [τὸν Ἰουδὶν] υἱοῦ Ναθανίου...	14	**43**
21	8	...ἀπὸ πονηρίας αὐτῶν, [τάδε] λέγει Κύριος	8	**24**
29	4	[Κύριε] Κύριε, σὺ ἐλάλησας	62	**28**
38	21	...δυνατὸς τοῖς ἔργοις, [ὁ θεὸς ὁ μέγας]	19	**39**

...ἐδίδαξα αὐτοὺς ὄρθρου, [καὶ ἐδίδαξα], καὶ οὐκ ἤκουσαν 33

...τὰς θυγατέρας αὐτῶν τῷ [Μολὸχ] 'Βασιλεῖ' 35

52 7 ...συντρίψει τοὺς στύλους [Ἡλιουπόλεως], τοὺς ἐν Ὤν 13 **50**

53 21 ...καὶ εἶπεν Ἰερεμίας [παντὶ τῷ λαῷ] τοῖς δυνατοῖς... 20 **51**

27 Ζῇ [Κύριος] Κύριος, ἐν πάσῃ γῇ Αἰγύπτου 26

53 34+ Ὁ λόγος ὃν ἐλάλησεν Ἰερεμίας ὁ προφήτης πρὸς Βαροὺχ 31
υἱὸν Νηρίου, ὅτε ἔγραφε τοὺς λόγους τούτους ἐν τῷ βιβλίῳ ἀ-
πὸ στόματος Ἰερεμίου ἐν τῷ ἐνιαυτῷ τῷ τετάρτῳ Ἰωακὶμ υἱῷ
Ἰωσία, βασιλέως Ἰούδα. Οὕτως εἶπε Κύριος ἐπὶ σοί, Βαρούχ· 32
ὅτι εἶπας· Οἴμοι οἴμοι, ὅτι προσέθηκε Κύριος κόπον ἐπὶ πόνον 33
μοι, ἐκοιμήθην ἐν στεναγμοῖς, ἀνάπαυσιν οὐχ εὗρον, εἰπὸν αὐ-
τῷ· Οὕτως εἶπε Κύριος· Ἰδοὺ οὓς ἐγὼ ᾠκοδόμησα, ἐγὼ κα- 34
θαιρῶ, καὶ οὓς ἐγὼ ἐφύτευσα, ἐγὼ ἐκτίλλω. καὶ σὺ ζητήσεις 35
σεαυτῷ μεγάλα; μὴ ζητήσῃς, ὅτι ἰδοὺ ἐγὼ ἐπάγω κακὰ ἐπὶ πᾶ-
σαν σάρκα, λέγει Κύριος. καὶ δώσω τὴν ψυχήν σου εἰς εὕρημα
ἐν παντὶ τόπῳ, οὗ ἐὰν βαδίσῃς ἐκεῖ.

53 34+ Ὄντος εἰκοστοῦ καὶ ἑνὸς ἔτους Σεδεκίου ἐν τῷ βασιλεύ- 3 **52**
ειν αὐτόν, καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν Ἰερουσαλήμ, καὶ ὄ-
νομα τῇ μητρὶ αὐτοῦ Ἀμιτάλ, θυγάτηρ Ἰερεμίου, ἐκ Λοβνά. καὶ 4
ἐγένετο ἐν τῷ ἔτει τῷ ἑνάτῳ τῆς βασιλείας αὐτοῦ, ἐν μηνὶ τῷ
δεκάτῳ, δεκάτῃ τοῦ μηνός, ἦλθε Ναβουχοδονόσορ βασιλεὺς
Βαβυλῶνος καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ Ἰερουσαλὴμ καὶ πε-
ριεχαράκωσαν αὐτὴν καὶ περιῳκοδόμησαν αὐτὴν τετραπέδοις
λίθοις κύκλῳ. καὶ ἦλθεν ἡ πόλις εἰς συνοχὴν ἕως ἑνδεκάτου ἔ- 5
τους τῷ βασιλεῖ Σεδεκίᾳ, ἐν τῇ ἑνάτῃ τοῦ μηνός, καὶ ἐστερεώ- 6
θη ὁ λιμὸς ἐν τῇ πόλει, καὶ οὐκ ἦσαν ἄρτοι τῷ λαῷ τῆς γῆς.
καὶ διεκόπη ἡ πόλις, καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταὶ ἐξῆλ- 7
θον νυκτὸς κατὰ τὴν ὁδὸν τῆς πόλης ἀνὰ μέσον τοῦ τείχους
καὶ τοῦ προτειχίσματος, ὃ ἦν κατὰ τὸν κῆπον τοῦ βασιλέως,
καὶ οἱ Χαλδαῖοι ἐπὶ τῆς πόλεως κύκλῳ. καὶ ἐπορεύθησαν ὁδὸν 8
τὴν εἰς Ἄραβα, καὶ κατεδίωξεν ἡ δύναμις τῶν Χαλδαίων ὀπί-
σω τοῦ βασιλέως καὶ κατέλαβον αὐτὸν ἐν τῷ Πέραν Ἰεριχώ,
καὶ πάντες οἱ παῖδες αὐτοῦ διεσπάρησαν ἀπ' αὐτοῦ. καὶ συνέ-
λαβον τὸν βασιλέα καὶ ἤγαγον αὐτὸν πρὸς τὸν βασιλέα Βαβυ- 9
λῶνος εἰς Δεβλαθά, καὶ ἐλάλησεν αὐτῷ μετὰ κρίσεως. καὶ ἔ-
σφαξε βασιλεὺς Βαβυλῶνος τοὺς υἱοὺς Σεδεκίου κατ' ὀφθαλ- 10
μοὺς αὐτοῦ, καὶ πάντας τοὺς ἄρχοντας Ἰούδα ἔσφαξεν ἐν Δε-
βλαθά. καὶ τοὺς ὀφθαλμοὺς Σεδεκίου ἐξετύφλωσε καὶ ἔδησεν 11
αὐτὸν ἐν πέδαις, καὶ ἤγαγεν αὐτὸν βασιλεὺς Βαβυλῶνος εἰς
Βαβυλῶνα καὶ ἔδωκεν αὐτὸν εἰς οἰκίαν μυλῶνος ἕως ἡμέρας
ἧς ἀπέθανε. καὶ ἐν μηνὶ πέμπτῳ, δεκάτῃ τοῦ μηνός, ἦλθε Να- 12
βουζαρδὰν ὁ ἀρχιμάγειρος ὁ ἑστηκὼς κατὰ πρόσωπον τοῦ βα-

σιλέως Βαβυλῶνος εἰς Ἰερουσαλήμ, καὶ ἐνέπρησε τὸν οἶκον 13
Κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως καὶ πάσας τὰς οἰκίας τῆς
πόλεως, καὶ πᾶσαν οἰκίαν μεγάλην ἐνέπρησεν ἐν πυρί. καὶ πᾶν
τεῖχος Ἰερουσαλὴμ κύκλῳ καθεῖλεν ἡ δύναμις τῶν Χαλδαίων, 14
ἡ μετὰ τοῦ ἀρχιμαγείρου. καὶ τοὺς καταλοίπους τοῦ λαοῦ κα- 16
τέλιπεν ὁ ἀρχιμάγειρος εἰς ἀμπελουργοὺς καὶ εἰς γεωργούς.
καὶ τοὺς στύλους τοὺς χαλκοῦς τοὺς ἐν οἴκῳ Κυρίου καὶ τὰς 17
βάσεις καὶ τὴν θάλασσαν τὴν χαλκῆν τὴν ἐν οἴκῳ Κυρίου συ-
νέτριψαν οἱ Χαλδαῖοι καὶ ἔλαβον τὸν χαλκὸν αὐτῶν καὶ ἀπήνε-
γκαν εἰς Βαβυλῶνα. καὶ τὴν στεφάνην καὶ τὰς φιάλας καὶ τὰς 18
κρεάγρας καὶ πάντα τὰ σκεύη τὰ χαλκᾶ, ἐν οἷς ἐλειτούργουν
ἐν αὐτοῖς. καὶ τὰ σαφφὼθ καὶ τὰ μασμαρὼθ καὶ τοὺς ὑποχυτῆ- 19
ρας καὶ τὰς λυχνίας καὶ τὰς θυΐσκας καὶ τοὺς κυάθους, ἃ ἦν
χρυσᾶ χρυσᾶ καὶ ἃ ἦν ἀργυρᾶ ἀργυρᾶ, ἔλαβεν ὁ ἀρχιμάγει-
ρος. καὶ οἱ στῦλοι δύο καὶ ἡ θάλασσα μία καὶ οἱ μόσχοι δώδε- 20
κα χαλκοῖ ὑποκάτω τῆς θαλάσσης, ἃ ἐποίησεν ὁ βασιλεὺς Σα-
λωμὼν εἰς οἶκον Κυρίου· οὐκ ἦν σταθμὸς τοῦ χαλκοῦ αὐτῶν.
καὶ οἱ στῦλοι, τριάκοντα πέντε πήχεων ὕψος τοῦ στύλου τοῦ 21
ἑνός, καὶ σπαρτίον δώδεκα πήχεων περιεκύκλου αὐτόν, καὶ τὸ
πάχος αὐτοῦ δακτύλων τεσσάρων κύκλῳ, καὶ γεῖσος ἐπ' αὐ- 22
τοῖς χαλκοῦν, καὶ πέντε πήχεων τὸ μῆκος ὑπεροχὴ τοῦ γεί-
σους τοῦ ἑνός, καὶ δίκτυον καὶ ῥόαι ἐπὶ τοῦ γείσους κύκλῳ,
τὰ πάντα χαλκᾶ· καὶ κατὰ ταῦτα τῷ στύλῳ τῷ δευτέρῳ, ὀκτὼ
ῥόαι τῷ πήχει τοῖς δώδεκα πήχεσι. καὶ ἦσαν αἱ ῥόαι ἐνενήκο- 23
ντα ἓξ τὸ ἓν μέρος, καὶ ἦσαν αἱ πᾶσαι ῥόαι ἑκατὸν ἐπὶ τοῦ δι-
κτύου κύκλῳ. καὶ ἔλαβεν ὁ ἀρχιμάγειρος τὸν ἱερέα τὸν πρῶ- 24
τον καὶ τὸν ἱερέα τὸν δευτεροῦντα καὶ τοὺς τρεῖς τοὺς φυλάτ-
τοντας τὸν σταθμὸν καὶ εὐνοῦχον ἕνα, ὃς ἦν ἐπιστάτης τῶν 25
ἀνδρῶν τῶν πολεμιστῶν, καὶ ἑπτὰ ἄνδρας ὀνομαστοὺς τοὺς
ἐν προσώπῳ τοῦ βασιλέως, τοὺς εὑρεθέντας ἐν τῇ πόλει, καὶ
τὸν γραμματέα τῶν δυνάμεων, τὸν γραμματεύοντα τῷ λαῷ τῆς
γῆς, καὶ ἑξήκοντα ἀνθρώπους ἐκ τοῦ λαοῦ τῆς γῆς, τοὺς εὑρε- 26
θέντας ἐν μέσῳ τῆς πόλεως· καὶ ἔλαβεν αὐτοὺς Ναβουζαρδὰν
ὁ ἀρχιμάγειρος τοῦ βασιλέως καὶ ἤγαγεν αὐτοὺς πρὸς βασι-
λέα Βαβυλῶνος εἰς Δεβλαθά, καὶ ἐπάταξεν αὐτοὺς βασιλεὺς 27
Βαβυλῶνος ἐν Δεβλαθά, ἐν γῇ Ἀιμάθ. *(= Ba 126-127)*

53 34+ Καὶ ἐγένετο ἐν τῷ τριακοστῷ καὶ ἑβδόμῳ ἔτει, ἀποικισθέ- 31
ντος τοῦ Ἰωακὶμ βασιλέως Ἰούδα ἐν τῷ δωδεκάτῳ μηνί, ἐν τῇ
τετράδι καὶ εἰκάδι τοῦ μηνός, ἔλαβεν Εὐιαλμαραδὰχ βασιλεὺς
Βαβυλῶνος ἐν τῷ ἐνιαυτῷ, ᾧ ἐβασίλευσε, τὴν κεφαλὴν Ἰωακὶμ
βασιλέως Ἰούδα καὶ ἐξήγαγεν αὐτὸν ἐξ οἰκίας, ἧς ἐφυλάσσετο·
καὶ ἐλάλησεν αὐτῷ χρηστὰ καὶ ἔδωκε τὸν θρόνον αὐτοῦ ἐπάνω 32
τῶν βασιλέων τῶν μετ' αὐτοῦ ἐν Βαβυλῶνι· καὶ ἤλλαξε τὴν στο- 33
λὴν τῆς φυλακῆς αὐτοῦ καὶ ἤσθιεν ἄρτον διὰ παντὸς κατὰ πρό-

σωπον αὐτοῦ πάσας τὰς ἡμέρας, ἃς ἔζησε. καὶ σύνταξις αὐτῷ ἐδίδοτο διὰ παντὸς παρὰ τοῦ βασιλέως Βαβυλῶνος ἐξ ἡμέρας εἰς ἡμέραν ἕως ἡμέρας, ἧς ἀπέθανεν. (= Ba[128,7+]) 34

60 7 ...ἐπ' Αἴγυπτον [καὶ ἐπὶ Ἰδουμαίαν] καὶ ἐπὶ Ἐδὼμ 26 **9**

62 10+ ...πεποιθώς, [καὶ τοῦτο τὸ ὄνομα αὐτοῦ, ὃ καλέσει αὐτὸν Κύριος Ἰωσεδέκ.] 6 **23**

63 19+ ...εἰρήνη ἔσται ὑμῖν· καὶ [πᾶσι τοῖς πορευομένοις τοῖς θελήμασιν αὐτῶν] 13

...ἀπέστρεφον [αὐτούς] 22

64 1 ...ἔδωκα τὴν ἠγαπημένην [ψυχήν] μου 7 **12**

...ἔδωκαν [τὴν μερίδα] τὴν ἐπιθυμητήν μου 10

68 1 Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰερεμίαν περὶ τῆς ἀβροχίας. 1 **14**

78 7 Ὦ [Δέσποτα] Κύριε 10 **4**

79 1 Ὅσα ἐπροφήτευσεν Ἰερεμίας ἐπὶ πάντα τὰ ἔθνη. 1 **32**

81 1 Τῇ Ἰδουμαίᾳ 7 **29**

...ἐὰν μὴ ἀβατωθῇ [ἐπ' αὐτοὺς] κατάλυσις αὐτῶν· ὅτι ἀπὸ φωνῆς πτώσεως [αὐτῶν] ἐφοβήθη ἡ γῆ, καὶ κραυγή [σου] ἐν θαλάσσῃ 20 21

82 1 Τῇ Μωάβ. 1 **31**

83 1 Τοῖς υἱοῖς Ἀμμών. 1 **30**

84 1 Τῇ Κηδὰρ τῇ βασιλίσσῃ τῆς αὐλῆς, ἣν ἐπάταξε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος. 6

85 1 Ἐπὶ τοὺς ἀλλοφύλους 1 **29**

12+ Τάδε λέγει Κύριος· Πορεύου καὶ κατάβηθι εἰς τὸν οἶκον 1 **22**
τοῦ βασιλέως Ἰούδα καὶ λαλήσεις ἐκεῖ τὸν λόγον τοῦτον καὶ ἐ-
ρεῖς· Ἄκουε λόγον Κυρίου, βασιλεῦ Ἰούδα ὁ καθήμενος ἐπὶ 2
θρόνου Δαυΐδ, σὺ καὶ ὁ οἶκός σου καὶ ὁ λαός σου καὶ οἱ εἰ-
σπορευόμενοι ταῖς πύλαις ταύταις· Τάδε λέγει Κύριος· Ποιεῖτε 3
κρίσιν καὶ δικαιοσύνην καὶ ἐξαιρεῖσθε διῃρπασμένον ἐκ χειρὸς
ἀδικοῦντος αὐτὸν καὶ προσήλυτον καὶ ὀρφανὸν καὶ χήραν μὴ
καταδυναστεύετε καὶ μὴ ἀσεβεῖτε καὶ αἷμα ἀθῷον μὴ ἐκχέετε
ἐν τῷ τόπῳ τούτῳ. διότι ἐὰν ποιοῦντες ποιήσητε τὸν λόγον 4
τοῦτον, καὶ εἰσελεύσονται ἐν ταῖς πύλαις τοῦ οἴκου τούτου βα-
σιλεῖς καθήμενοι ἐπὶ θρόνου Δαυΐδ καὶ ἐπιβεβηκότες ἐφ' ἁρμά-
των καὶ ἵππων, αὐτοὶ καὶ οἱ παῖδες αὐτῶν καὶ ὁ λαὸς αὐτῶν· ἐ- 5
ὰν δὲ μὴ ποιήσητε τοὺς λόγους τούτους, κατ' ἐμαυτοῦ ὤμοσα,
λέγει Κύριος, ὅτι εἰς ἐρήμωσιν ἔσται ὁ οἶκος οὗτος. ὅτι τάδε 6
λέγει Κύριος κατὰ τοῦ οἴκου βασιλέως Ἰούδα.

86	1	Τῇ Δαμασκῷ.	12	**30**
		πῶς [οὐχὶ] ἐγκατέλιπε πόλιν	14	
87	1	Ἃ ἐπροφήτευσεν Ἰερεμίας ἐπὶ τὰ ἔθνη. Τὰ Ἀιλάμ.	14	**25**
97	8+	Ἐν ἀρχῇ βασιλεύοντος Σεδεκίου βασιλέως ἐγένετο ὁ λόγος οὗτος περὶ Ἀιλάμ.	18	
98	1	Τῇ Αἰγύπτῳ. Ἐπὶ δύναμιν φαραὼ Νεχαὼ βασιλέως Αἰγύπτου, ὃς ἦν ἐπὶ τῷ ποταμῷ Εὐφράτῃ ἐν Χαρχαμίς, ὃν ἐπάταξε Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος, ἐν τῷ ἔτει τῷ τετάρτῳ Ἰωακὶμ βασιλέως Ἰούδα.	2	**26**
		Ἃ ἐλάλησε Κύριος ἐν χειρὶ Ἰερεμίου τοῦ ἐλθεῖν Ναβουχοδονόσορ τὸν βασιλέα Βαβυλῶνος τοῦ κόψαι γῆν Αἰγύπτου.	13	
		...ποιήσω ἔθνει συντέλειαν [ἐν παντὶ ἔθνει]	28	
99	1	Λόγος Κυρίου ὃν ἐλάλησεν ἐπὶ Βαβυλῶνα.	1	**27**
103	41+	...ἀνταποδίδωσιν αὐτοῖς. [Κύριος ἀνταποδίδωσιν αὐτῷ τὴν ἀνταπόδοσιν]	57	**28**
				Ἡσ
106	23+	οὗτοι ἀπὸ βορρᾶ καὶ οὗτοι ἀπὸ θαλάσσης, [ἄλλοι δὲ ἐκ γῆς Περσῶν]	12	**49**
111	1	Ἐξεγείρου ἐξεγείρου, [ἀνάστηθι], Ἰερουσαλήμ	17	**51**
114	17	[πάντα τὰ θηρία τὰ ἄγρια] δεῦτε φάγετε, πάντα τὰ θηρία τοῦ δρυμοῦ	9	**56**

Ὀβελισμὸς 187 περιττῶν **καὶ** *στὰ ἔμμετρα μέρη τοῦ Ἰερεμίου*

56	10		46		20	**75**	14	**87**	2		29		26
	11		47	**70**	5		20		3		30		27
	12		48		6		28		4		42		34
	13		51		8	**76**	3		6		46		43
57	5		52		9		11		7	**104**	2		44
	6	**65**	5		10		12	**94**	4		3	**113**	3
59	13	**67**	7		12		15		5		4		4
	14		9		14		20		6		5	**114**	4
60	3		14		20		22		7		6	**115**	7
	8		28		25		23	**97**	5		9		9
61	3		29		26	**78**	19	**98**	13	**105**	16		10
	5		37		30	**80**	3		14		17		14
	7		49		36	**82**	21		24		18		16
62	5	**68**	2		39		33		31	**106**	3		19
	6		5		41		38		41		17		21
	7		7	**71**	7		51	**99**	16		22		23
	9		15		9		55		22	**107**	5		24
63	5		18		13		61	**100**	17	**108**	3		28
	9		31	**72**	2	**83**	5		18		4		29
	10		32		4	**84**	4	**101**	3		11		31
	11		33		19		9	**102**	2		12		35
	20		34		22		10		5	**109**	7	**116**	7
	23		35		26	**85**	3		6	**110**	12		20
	28		45		28		4		10	**111**	8		26
	29	**69**	3	**73**	2		9		13		9		27
	35		5	**74**	5		12	**103**	17		17		28
	39		17		11	**86**	6		20		18		

ΣΧΟΛΙΑ ΕΙΣ ΙΕΡΕΜΙΟΥ ΕΠΙΣΤΟΛΗΝ

ΣΧΟΛΙΑ ΕΙΣ ΙΩΗΛ

ΣΧΟΛΙΑ ΕΙΣ ΑΒΔΙΟΥ

ΣΧΟΛΙΑ ΕΙΣ ΙΕΖΕΚΙΗΛ

1 2 ...καὶ εἶδον ὁράσεις θεοῦ. [πέμπτῃ τοῦ μηνὸς (τοῦτο τὸ ἔτος τὸ 2 **1**
πέμπτον τῆς αἰχμαλωσίας τοῦ βασιλέως Ἰωακίμ) καὶ ἐγένετο]
λόγος Κυρίου πρὸς Ἰεζεκιὴλ υἱὸν Βουζί, τὸν ἱερέα, ἐν γῇ Χαλ- 3
δαίων [ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ·] Καὶ ἐγένετο ἐπ' ἐμὲ ...

9 πρόσωπον ἀνθρώπου καὶ πρόσωπον λέοντος [ἐκ δεξιῶν τοῖς 10
τέσσαρσι] καὶ πρόσωπον μόσχου [ἐξ ἀριστερῶν τοῖς τέσσαρ-
σι] καὶ πρόσωπον ἀετοῦ τοῖς τέσσαρσιν

5 4+ ...συντελέσω τὸν θυμόν μου ἐν σοὶ [καὶ κρινῶ σε ἐν ταῖς ὁδοῖς 5 **7**
σου καὶ δώσω ἐπὶ σὲ πάντα τὰ βδελύγματά σου· οὐ φείσεται ὁ 6
ὀφθαλμός μου, οὐδὲ μὴ ἐλεήσω, διότι τὰς ὁδούς σου ἐπὶ σὲ
δώσω, καὶ τὰ βδελύγματά σου ἐν μέσῳ σου ἔσονται, καὶ ἐπι-
γνώσῃ ὅτι ἐγώ εἰμι Κύριος ὁ τύπτων.]

6 2 ...ἀπὸ τῆς ὀσφύος αὐτοῦ ὑπεράνω [αὐτοῦ] 2 **8**

41 ...ἐν μέσῳ τῶν χερουβὶμ [καὶ ἔλαβε καὶ ἔδωκεν εἰς τὰς χεῖρας 7 **10**
τοῦ ἐνδεδυκότος τὴν στολὴν τὴν ἁγίαν,] καὶ ἔλαβε καὶ ἐξῆλθε.
[καὶ εἶδον τὰ χερουβὶμ ὁμοίωμα χειρῶν ἀνθρώπων ὑποκάτω- 8
θεν τῶν πτερύγων αὐτῶν. καὶ εἶδον καὶ ἰδοὺ τροχοὶ τέσσαρες
εἱστήκεισαν ἐχόμενοι τῶν χερουβίμ, τροχὸς εἷς ἐχόμενος χε- 9
ρουβὶμ ἑνός, καὶ ἡ ὄψις τῶν τροχῶν ὡς ὄψις λίθου ἄνθρακος.
καὶ ἡ ὄψις αὐτῶν ὁμοίωμα ἐν τοῖς τέσσαρσιν, ὃν τρόπον ὅταν 10
ᾖ τροχὸς ἐν μέσῳ τροχοῦ. ἐν τῷ πορεύεσθαι αὐτὰ εἰς τὰ τέσ- 11
σαρα μέρη αὐτῶν ἐπορεύοντο, οὐκ ἐπέστρεφον ἐν τῷ πορεύε-
σθαι αὐτά· ὅτι εἰς ὃν ἂν τόπον ἐπέβλεψεν ἡ ἀρχὴ ἡ μία, ἐπο-
ρεύοντο καὶ οὐκ ἐπέστρεφον ἐν τῷ πορεύεσθαι αὐτά. καὶ οἱ 12
νῶτοι αὐτῶν καὶ αἱ χεῖρες αὐτῶν καὶ αἱ πτέρυγες αὐτῶν καὶ οἱ
τροχοὶ πλήρεις ὀφθαλμῶν κυκλόθεν τοῖς τέσσαρσι τροχοῖς αὐ-
τῶν· τοῖς δὲ τροχοῖς τούτοις ἐπεκλήθη Γελγὲλ ἀκούοντός μου· 13
καὶ τέσσαρα πρόσωπα τῷ ἑνί, τὸ πρόσωπον τοῦ ἑνὸς πρόσω- 14
πον τοῦ χερούβ, καὶ τὸ πρόσωπον τοῦ δευτέρου πρόσωπον
ἀνθρώπου καὶ τὸ τρίτον πρόσωπον λέοντος καὶ τὸ τέταρτον
πρόσωπον ἀετοῦ. καὶ ἦραν τὰ χερουβίμ. τοῦτο τὸ ζῷον, ὃ εἶ- 15 16
δον ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ. καὶ ἐν τῷ πορεύεσθαι τὰ χε-
ρουβὶμ ἐπορεύοντο οἱ τροχοί, καὶ οὗτοι ἐχόμενοι αὐτῶν· καὶ
ἐν τῷ ἐξαίρειν τὰ χερουβὶμ τὰς πτέρυγας αὐτῶν τοῦ μετεωρί-
ζεσθαι ἀπὸ τῆς γῆς οὐκ ἐπέστρεφον οἱ τροχοὶ αὐτῶν. ἐν τῷ ἑ- 17
στάναι αὐτὰ εἱστήκεισαν, καὶ ἐν τῷ μετεωρίζεσθαι αὐτὰ ἐμετε-
ωρίζοντο μετ' αὐτῶν, διότι πνεῦμα ζωῆς ἐν αὐτοῖς ἦν.] καὶ ἐ- 18
ξῆλθε δόξα Κυρίου...

45+ ...ὅτι χερουβίμ ἐστι. [τέσσαρα πρόσωπα τῷ ἑνί, καὶ ὀκτὼ πτέ- 21
ρυγες τῷ ἑνί, καὶ ὁμοίωμα χειρῶν ἀνθρώπου ὑποκάτωθεν τῶν
πτερύγων αὐτῶν. καὶ ὁμοίωσις τῶν προσώπων αὐτῶν, ταῦτα 22

τὰ πρόσωπά ἐστιν ἃ εἶδον ὑποκάτω τῆς δόξης τοῦ θεοῦ Ἰσραὴλ ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ, καὶ αὐτὰ ἕκαστον κατὰ πρόσωπον αὐτῶν ἐπορεύοντο.]

69 ...ἀνέλαβέ με πνεῦμα καὶ ἤγαγέ με εἰς γῆν Χαλδαίων εἰς τὴν 24 **11**
αἰχμαλωσίαν ἐν ὁράσει [ἐν πνεύματι] θεοῦ.

12 4+ ...τάδε λέγει Κύριος· Ἄνθρωπος ἄνθρωπος ἐκ τοῦ οἴκου Ἰσ- 4 **14**
ραήλ, ὃς ἂν θῇ τὰ διανοήματα αὐτοῦ ἐπὶ τὴν καρδίαν αὐτοῦ καὶ τὴν κόλασιν τῆς ἀδικίας αὐτοῦ τάξῃ πρὸ προσώπου αὐτοῦ καὶ ἔλθῃ πρὸς τὸν προφήτην, ἐγὼ Κύριος ἀποκριθήσομαι αὐτῷ ἐν οἷς ἐνέχεται ἡ διάνοια αὐτοῦ.

14 1+ ...τί ἂν γένοιτο τὸ ξύλον τῆς ἀμπέλου ἐκ πάντων τῶν ξύλων 2 **15**
[τῶν κλημάτων] τῶν ὄντων ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ;

19 13+ ...ἐβεβήλωσαν σφόδρα. [καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ' 13 **20**
αὐτοὺς ἐν τῇ ἐρήμῳ τοῦ ἐξαναλῶσαι αὐτούς. καὶ ἐποίησα ὅ- 14
πως τὸ ὄνομά μου τὸ παράπαν μὴ βεβηλωθῇ ἐνώπιον τῶν ἐθνῶν, ὧν ἐξήγαγον αὐτοὺς κατ' ὀφθαλμοὺς αὐτῶν.]

...εἰς τὴν γῆν, ἣν ἔδωκα αὐτοῖς, [γῆν ῥέουσαν γάλα καὶ μέλι, 15
κηρίον ἐστὶ παρὰ πᾶσαν τὴν γῆν]

...παρεπίκρανάν με καὶ τὰ τέκνα αὐτῶν, [ἐν τοῖς προστάγμασί 21
μου οὐκ ἐπορεύθησαν, καὶ τὰ δικαιώματά μου οὐκ ἐφυλάξαντο τοῦ ποιεῖν αὐτά, ἃ ποιήσει ἄνθρωπος καὶ ζήσεται ἐν αὐτοῖς, καὶ τὰ σάββατά μου ἐβεβήλουν. καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ' αὐτοὺς ἐν τῇ ἐρήμῳ τοῦ συντελέσαι τὴν ὀργήν μου ἐπ' αὐτούς· καὶ ἐποίησα ὅπως τὸ ὄνομά μου τὸ παράπαν μὴ βεβηλωθῇ ἐνώπιον τῶν ἐθνῶν, ὧν ἐξήγαγον αὐτοὺς κατ' ὀ- 22
φθαλμοὺς αὐτῶν. καὶ ἐξῆρα τὴν χεῖρά μου ἐπ' αὐτοὺς ἐν τῇ ἐ- 23
ρήμῳ] τοῦ διασκορπίσαι αὐτοὺς ἐν τοῖς ἔθνεσι καὶ διασπεῖραι αὐτοὺς ἐν ταῖς χώραις, [ἀνθ' ὧν τὰ δικαιώματά μου οὐκ ἐποίη- 24
σαν καὶ τὰ προστάγματά μου ἀπώσαντο καὶ τὰ σάββατά μου ἐβεβήλουν, καὶ ὀπίσω τῶν ἐνθυμημάτων τῶν πατέρων αὐτῶν ἦσαν οἱ ὀφθαλμοὶ αὐτῶν.]

20 1 ...λέγων· [διὰ τοῦτο προφήτευσον,] υἱὲ ἀνθρώπου... 2 **21**

...ἐξολοθρεύσω ἐκ σοῦ ἄνομον καὶ ἄδικον· [ἀνθ' ὧν ἐξολο- 4
θρεύσω ἐκ σοῦ ἄδικον καὶ ἄνομον, οὕτως ἐξελεύσεται τὸ ἐγχειρίδιόν μου ἐκ τοῦ κολεοῦ αὐτοῦ ἐπὶ πᾶσαν σάρκα] ἀπὸ ἀπηλιώτου ἕως βορρᾶ·

25 12 ...εἰς τὰς κεφαλὰς αὐτῶν δέδωκα, λέγει [Κύριος] Κύριος. 31 **22**

31 20 ...λέγει Κύριος. [διὰ τοῦτο] τάδε λέγει Κύριος· 15 **25**

32 7 ...τὸν Ναβουχοδονόσορ βασιλέα Βαβυλῶνος ἀπὸ τοῦ βορρᾶ 7 **26**
[βασιλεὺς βασιλέων ἐστί] μεθ' ἵππων καὶ ἁρμάτων...

33	24	...ἔρια ἐκ Μιλήτου, [καὶ οἶνον] εἰς τὴν ἀγοράν σου ἔδωκαν.	18	**27**
		...καὶ ὁ μισθός σου [καὶ τῶν συμμείκτων σου] καὶ οἱ κωπηλάται... καὶ οἱ σύμμικτοί σου [ἐκ τῶν συμμείκτων σου] καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταί σου...	27	
40	6	...σκυλεύσει τὰ σκῦλα αὐτῆς. [καὶ ἐνισχύσω τοὺς βραχίονας βασιλέως Βαβυλῶνος,] οἱ δὲ βραχίονες φαραὼ πεσοῦνται· καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος, [ἐν τῷ δοῦναι τὴν ῥομφαίαν μου εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ ἐκτενεῖ αὐτὴν ἐπὶ γῆν Αἰγύπτου. καὶ διασπερῶ Αἴγυπτον εἰς τὰ ἔθνη καὶ λικμήσω αὐτοὺς εἰς τὰς χώρας· καὶ γνώσονται πάντες ὅτι ἐγώ εἰμι Κύριος.]	25 26	**30**
42	7	...ἐμπλήσω ἐκ σοῦ πάντα τὰ θηρία [πάσης] τῆς γῆς.	4	**32**
44	9	...δώσω τὸ ὄρος Σηΐρ εἰς ἔρημον [καὶ ἠρημωμένον] καὶ...	7	**35**
	46	...οὐ μὴ ἀνενέγκηται ἔτι, λέγει [Κύριος] Κύριος.	15	**36**
45	25	...πληθυνῶ αὐτοὺς ὡς πρόβατα [ἀνθρώπους], ὡς πρόβατα ἅγια...	37	
		...αἱ ἔρημοι πλήρεις προβάτων [ἀνθρώπων]...	38	
46	13	...ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν [καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τοῦ Ἰσραήλ, καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος ἐν τῷ ἀνοῖξαί με τοὺς τάφους ὑμῶν] τοῦ ἀναγαγεῖν με ἐκ τῶν τάφων τὸν λαόν...	12 13	**37**
47	2	...καὶ γράψεις αὐτὴν [τῷ Ἰωσήφ, ῥάβδον] τὸν Ἐφραΐμ...	16	

Ἰεζεκιήλ - *Κύριος Κύριος* - ***Ἀδωναΐ Κύριος***

*Ἀπὸ τὸ διπλὸ **Κύριος Κύριος,** ποὺ ἀνευρίσκεται στὰ κάτωθι 57 χωρία, κι ἀπὸ τὸ **Ἀδωναΐ Κύριος,** ποὺ ἀνευρίσκεται στὰ 2 χωρία 45,20· 24, ὀβελίζονται τὸ ἕνα **Κύριος** καὶ τὸ **Ἀδωναΐ,** καὶ μένει πάντοτε τὸ ἁπλὸ **Κύριος.***

7,8	29,5	39,9	44,2	45,*24*	52
11,25	31,2	13	8	46,4	53
19,36	5	40,3	22	47,7	52,3
37	32,17	41,23	24	51,2	9
38	26	32	29	12	21
21,10	32	42,13	43	16	24
23,2	35,2	17	45	19	46
25,12	36,8	23	46	28	76
26,34	38,4	43,25	45,19	32	81
57	7	27	*20*	37	ὅλα 57 + *2*

Ὀβελισμὸς 160 περιττῶν **καὶ** *στὰ ἔμμετρα μέρη τοῦ Ἰεζεκιήλ*

5	1		9		23		16	**44**	3		23		32
	7		10		25		18		4		24		36
	9		15		29		21		9		30		37
	15		16		30		25		10		34		38
	17		17	**33**	9		27		15		35		41
	18		18		12		29		18		40		43
	24		19		20	**42**	3		30		41		44
	25	**21**	1		32		5		38		42		48
	26		5		38		6		39		44		50
	27		10		39		7		40		45		51
	28		15		40		8		41		46		53
	31		16		41		9		42		47		54
16	7	**26**	40		46		10		46		49		55
	8		41	**34**	10		13	**51**	1		50		56
	10	**30**	10		11		14		6		51		59
	11	**31**	12		12		15		7	**52**	16		67
	12		16	**35**	13		19		8		18		68
	15		17		14		20		9		26		69
	16		18	**36**	9	**43**	4		10		27		70
	17		19		10		6		11		28		74
18	5		26		11		9		15		29		77
	6	**32**	20	**41**	9		16		17		30		78
	7		21		15		18		18		31		80

ΣΧΟΛΙΑ ΕΙΣ ΒΑΡΟΥΧ

1 1 ...υἱοῦ Χελκίου, ἐν Βαβυλῶνι, [ἐν τῷ ἔτει τῷ πέμπτῳ, ἐν ἑβδόμῃ τοῦ μηνός, ἐν τῷ καιρῷ, ᾧ ἔλαβον οἱ Χαλδαῖοι τὴν Ἰερουσαλὴμ καὶ ἐνέπρησαν αὐτὴν ἐν πυρί.] καὶ ἀνέγνω Βαροὺχ... 1 **1**

4+ ...ηὔχοντο ἐναντίον Κυρίου [καὶ συνήγαγον ἀργύριον, καθὰ ἑκάστου ἠδύνατο ἡ χείρ, καὶ ἀπέστειλαν εἰς Ἰερουσαλὴμ πρὸς 6
Ἰωακὶμ υἱὸν Χελκίου, υἱοῦ Σαλώμ, τὸν ἱερέα, καὶ πρὸς τοὺς 7
ἱερεῖς καὶ πρὸς πάντα τὸν λαόν, τοὺς εὑρεθέντας μετ' αὐτοῦ
ἐν Ἰερουσαλὴμ ἐν τῷ λαβεῖν αὐτὸν τὰ σκεύη οἴκου Κυρίου, τὰ 8
ἐξενεχθέντα ἐκ τοῦ ναοῦ, ἀποστρέψαι εἰς γῆν Ἰούδα, τῇ δεκάτῃ τοῦ Σιουάν, σκεύη ἀργυρᾶ, ἃ ἐποίησε Σεδεκίας υἱὸς Ἰωσία 9
βασιλεὺς Ἰούδα μετὰ τὸ ἀποικίσαι Ναβουχοδονόσορ βασιλέα
Βαβυλῶνος τὸν Ἰεχονίαν καὶ τοὺς ἄρχοντας καὶ τοὺς δεσμώτας καὶ τοὺς δυνατοὺς καὶ τὸν λαὸν τῆς γῆς ἀπὸ Ἰερουσαλὴμ
καὶ ἤγαγεν αὐτὸν εἰς Βαβυλῶνα· καὶ εἶπαν· Ἰδοὺ ἀπεστείλαμεν 10
πρὸς ὑμᾶς ἀργύριον, καὶ ἀγοράσατε τοῦ ἀργυρίου ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας καὶ λίβανον καὶ ποιήσατε μαναὰ καὶ ἀνοίσατε ἐπὶ τὸ θυσιαστήριον Κυρίου τοῦ θεοῦ ἡμῶν καὶ προ-
σεύξασθε περὶ τῆς ζωῆς Ναβουχοδονόσορ βασιλέως Βαβυλῶ- 11
νος καὶ εἰς ζωὴν Βαλτάσαρ υἱοῦ αὐτοῦ, ἵνα ὦσιν αἱ ἡμέραι αὐ-
τῶν ὡς αἱ ἡμέραι τοῦ οὐρανοῦ ἐπὶ τῆς γῆς. καὶ δώσει Κύριος 12
ἰσχὺν ἡμῖν καὶ φωτίσει τοὺς ὀφθαλμοὺς ἡμῶν, καὶ ζησόμεθα ὑπὸ τὴν σκιὰν Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος καὶ ὑπὸ τὴν σκιὰν Βαλτάσαρ υἱοῦ αὐτοῦ καὶ δουλεύσομεν αὐτοῖς ἡμέ-
ρας πολλὰς καὶ εὑρήσομεν χάριν ἐναντίον αὐτῶν. καὶ προσεύ- 13
ξασθε περὶ ἡμῶν πρὸς Κύριον τὸν θεὸν ἡμῶν, ὅτι ἡμάρτομεν τῷ Κυρίῳ θεῷ ἡμῶν, καὶ οὐκ ἀπέστρεψεν ὁ θυμὸς Κυρίου καὶ
ἡ ὀργὴ αὐτοῦ ἀφ' ἡμῶν ἕως τῆς ἡμέρας ταύτης. καὶ ἀναγνώ- 14
σεσθε τὸ βιβλίον τοῦτο, ὃ ἀπεστείλαμεν πρὸς ὑμᾶς, ἐξαγορεῦσαι ἐν οἴκῳ Κυρίου ἐν ἡμέρᾳ ἑορτῆς καὶ ἐν ἡμέραις καιροῦ, καὶ ἐρεῖτε·]

ΣΧΟΛΙΑ ΕΙΣ ΔΑΝΙΗΛ

3 40+ ...δυναμώσει διαθήκην πολλοῖς, [ἑβδομὰς μία] 27 **9**

4 5 ...ἐχόμενα τοῦ ποταμοῦ τοῦ μεγάλου [αὐτός ἐστι Τίγρης] Ἐδδεκέλ 4 **10**

43 ...εἰς τὸ τέλος τῶν καιρῶν [ἐνιαυτῶν] 13 **11**

...παραβιβάζων [πράσσων] δόξαν βασιλείας 20

ΣΧΟΛΙΑ ΕΙΣ ΑΓΓΑΙΟΝ

1	5+	...ὁ δὲ οἶκος οὗτος ἐξηρήμωται; [καὶ νῦν τάδε λέγει Κύριος παντοκράτωρ· τάξατε δὴ καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν.]	5	**1**
3	5	...οὕτως ὁ λαὸς οὗτος [καὶ οὕτω τὸ ἔθνος τοῦτο]...	14	**2**

ΣΧΟΛΙΑ ΕΙΣ ΖΑΧΑΡΙΑΝ

1	1	...λόγος Κυρίου πρὸς Ζαχαρίαν [τὸν τοῦ Βαραχίου], υἱὸν Ἀδδὼ τὸν προφήτην...	1	**1**
		...Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐπιστρέψατε πρός με, [λέγει Κύριος τῶν δυνάμεων]...	3	
2	1	...τῷ ἑνδεκάτῳ μηνὶ [οὗτός ἐστιν ὁ μὴν Σαβάτ]	7	
		...ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν [τὸν τοῦ Βαραχίου] υἱὸν Ἀδδὼ τὸν προφήτην...		
	18	...τὰ τέσσαρα κέρατα τὰ ἔθνη τὰ ἐπαιρόμενα [κέρας]...	4	**2**
	80+	...ἵπποι ποικίλοι [ψαροί.]	3	**6**
		...οἱ ποικίλοι ἐξεπορεύοντο ἐπὶ γῆν [νότου]	7	
4	1	Καὶ [ἐγένετο] ἐν τῷ τετάρτῳ ἔτει, ἐπὶ Δαρείου τοῦ βασιλέως ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν τετράδι τοῦ μηνὸς τοῦ ἐνάτου, [ὅς ἐστι Χασελεύ]	1 2	**7**
8	1	[Λῆμμα λόγου Κυρίου] Ἐν γῇ Σεδρὰχ καὶ Δαμασκοῦ...	1	**9**
12	1	[Λῆμμα λόγου Κυρίου ἐπὶ τὸν Ἰσραήλ·] Λέγει Κύριος...	1	**12**
	12	κατοικήσει Ἰερουσαλὴμ ἔτι καθ' ἑαυτὴν [Ἰερουσαλήμ]	6	

Ἔχει 8 φορὲς τὸ περιττὸ **καὶ** *στὴν ἀρχὴ ἐλεγείων·*
9, *3· 21· 27· 28· 29· 30· 32·35. ὀβελίζεται.*

ΣΧΟΛΙΑ ΕΙΣ ΜΑΛΑΧΙΑΝ

1	1-	Λῆμμα λόγου Κυρίου ἐπὶ τὸν Ἰσραὴλ ἐν χειρὶ ἀγγέλου αὐτοῦ· Θέσθε δὴ ἐπὶ τὰς καρδίας ὑμῶν.	1	**1**
2	14	...τὰ ἐπιτιθέμενα ἐξουδένωται [βρώματα αὐτοῦ]	12	
3	7	ἡ διαθήκη μου ἣν μετ' αὐτοῦ, [τῆς ζωῆς καὶ τῆς εἰρήνης] καὶ ἔδωκα αὐτῷ	5	**2**

<ΥΙΟΙ ΣΑΔΔΟΥΚ> ἢ <ΑΠΟΚΑΛΥΨΙΣ ΙΕΖΕΚΙΗΛ>

I 1 Καὶ ἐγένετο ἐν τῷ πέμπτῳ καὶ εἰκοστῷ ἔτει τῆς αἰχμαλω- 1 **40**
σίας ἡμῶν, ἐν τῷ πρώτῳ μηνί, δεκάτῃ τοῦ μηνός, ἐν τῷ τεσ- **ιζ**
σαρεσκαιδεκάτῳ ἔτει μετὰ τὸ ἁλῶναι τὴν πόλιν, ἐν τῇ ἡμέρᾳ ἐ-
2 κείνῃ ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου καὶ ἤγαγέ με ἐν ὁράσει θεοῦ 2
εἰς τὴν γῆν τοῦ Ἰσραὴλ καὶ ἔθηκέ με ἐπ' ὄρους ὑψηλοῦ σφό-
3 δρα, καὶ ἐπ' αὐτοῦ ὡσεὶ οἰκοδομὴ πόλεως ἀπέναντι. καὶ εἰσή- 3
γαγέ με ἐκεῖ, καὶ ἰδοὺ ἀνήρ, καὶ ἡ ὅρασις αὐτοῦ ἦν ὡσεὶ ὅρα-
σις χαλκοῦ στίλβοντος, καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἦν σπαρτίον οἰ-
4 κοδόμων καὶ κάλαμος μέτρου, καὶ αὐτὸς εἱστήκει ἐπὶ τῆς πύ- 4
λης, καὶ εἶπε πρός με ὁ ἀνήρ· Ἑώρακας, υἱὲ ἀνθρώπου; ἐν τοῖς
ὀφθαλμοῖς σου ἴδε καὶ ἐν τοῖς ὠσί σου ἄκουε καὶ τάξον εἰς
τὴν καρδίαν σου πάντα, ὅσα ἐγὼ δεικνύω σοι, διότι ἕνεκα τοῦ
δεῖξαί σοι εἰσελήλυθας ὧδε καὶ δείξεις πάντα, ὅσα σὺ ὁρᾷς,
τῷ οἴκῳ τοῦ Ἰσραήλ.
5 Καὶ ἰδοὺ περίβολος ἔξωθεν τοῦ οἴκου κύκλῳ· καὶ ἐν τῇ 5
χειρὶ τοῦ ἀνδρὸς κάλαμος, τὸ μέτρον πήχεων ἓξ ἐν πήχει καὶ
παλαιστῆς, καὶ διεμέτρησε τὸ προτείχισμα, πλάτος ἴσον τῷ
6 καλάμῳ καὶ τὸ ὕψος αὐτοῦ ἴσον τῷ καλάμῳ. καὶ εἰσῆλθεν εἰς 6
τὴν πύλην τὴν βλέπουσαν κατὰ ἀνατολὰς ἐν ἑπτὰ ἀναβαθμοῖς
7 καὶ διεμέτρησε τὸ ἀιλὰμ τῆς πύλης ἴσον τῷ καλάμῳ καὶ τὸ θεὲ 7
ἴσον τῷ καλάμῳ τὸ μῆκος καὶ ἴσον τῷ καλάμῳ τὸ πλάτος καὶ
τὸ ἀιλὰμ ἀνὰ μέσον τοῦ θεηλαθὰ πήχεων ἓξ καὶ τὸ θεὲ τὸ δεύ-
τερον ἴσον τῷ καλάμῳ τὸ πλάτος καὶ ἴσον τῷ καλάμῳ τὸ μῆ-
8 κος καὶ τὸ ἀιλὰμ πήχεων πέντε καὶ τὸ θεὲ τὸ τρίτον ἴσον τῷ 8
9 καλάμῳ τὸ μῆκος, καὶ ἴσον τῷ καλάμῳ <τὸ> πλάτος καὶ τὸ 9
ἀιλὰμ τοῦ πυλῶνος πλησίον τοῦ ἀιλὰμ τῆς πύλης πήχεων ὀ-
10 κτὼ καὶ τὰ ἀιλεῦ πήχεων δύο καὶ τὸ ἀιλὰμ τῆς πύλης ἔσωθεν 10
καὶ τὰ θεὲ τῆς πύλης τοῦ θεὲ κατέναντι τρεῖς ἔνθεν καὶ τρεῖς
ἔνθεν καὶ μέτρον ἓν τοῖς τρισὶ καὶ μέτρον ἓν τοῖς ἀιλὰμ ἔνθεν
11 καὶ ἔνθεν. καὶ διεμέτρησε τὸ πλάτος τῆς θύρας τοῦ πυλῶνος 11
12 πήχεων δέκα καὶ τὸ εὖρος τοῦ πυλῶνος πήχεων δεκατριῶν, 12
13 καὶ πῆχυς ἐπισυναγόμενος ἐπὶ πρόσωπον τῶν θεῖμ ἔνθεν καὶ 13
ἔνθεν, καὶ τὸ θεὲ πήχεων ἓξ ἔνθεν καὶ πήχεων ἓξ ἔνθεν. καὶ
διεμέτρησε τὴν πύλην ἀπὸ τοῦ τοίχου τοῦ θεὲ ἐπὶ τὸν τοῖχον
14 τοῦ θεὲ πλάτος πήχεις εἴκοσι καὶ πέντε, αὕτη πύλη ἐπὶ πύλην· 14
καὶ τὸ αἴθριον τοῦ ἀιλὰμ τῆς πύλης ἑξήκοντα πήχεις, εἴκοσι
15 θεῖμ τῆς πύλης κύκλῳ· καὶ τὸ αἴθριον τῆς πύλης ἔξωθεν εἰς τὸ 15
16 αἴθριον ἀιλὰμ τῆς πύλης ἔσωθεν πήχεων πεντήκοντα· καὶ θυρί- 16
δες κρυπταὶ ἐπὶ τὸ θεῖμ καὶ ἐπὶ τὰ ἀιλὰμ ἔσωθεν τῆς πύλης τῆς
αὐλῆς κυκλόθεν, καὶ ὡσαύτως τοῖς ἀιλὰμ θυρίδες κύκλῳ ἔσω-
17 θεν, καὶ ἐπὶ τὸ ἀιλὰμ φοίνικες ἔνθεν καὶ ἔνθεν. καὶ εἰσήγαγέ με 17
εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν, καὶ ἰδοὺ παστοφόρια καὶ περί-

18 στυλα κύκλῳ τῆς αὐλῆς, τριάκοντα παστοφόρια ἐν τοῖς περι- 18
στύλοις, καὶ αἱ στοαὶ κατὰ νώτου τῶν πυλῶν, κατὰ τὸ μῆκος
19 τῶν πυλῶν τὸ περίστυλον τὸ ὑποκάτω. καὶ διεμέτρησε τὸ πλά- 19
τος τῆς αὐλῆς ἀπὸ τοῦ αἰθρίου τῆς πύλης τῆς ἐξωτέρας ἔσω-
θεν ἐπὶ τὸ αἴθριον τῆς πύλης τῆς βλεπούσης ἔξω, πήχεις ἑκα-
20 τόν, τῆς βλεπούσης κατὰ ἀνατολάς. καὶ ἤγαγέ με ἐπὶ βορρᾶν, 20
καὶ ἰδοὺ πύλη βλέπουσα πρὸς βορρᾶν τῇ αὐλῇ τῇ ἐξωτέρᾳ, καὶ
21 διεμέτρησεν αὐτήν, τό τε μῆκος αὐτῆς καὶ τὸ πλάτος. καὶ τὰ 21
θεὲ τρεῖς ἔνθεν καὶ τρεῖς ἔνθεν καὶ τὰ ἀιλεῦ καὶ τὰ ἀιλαμμὼ καὶ
τοὺς φοίνικας αὐτῆς, καὶ ἐγένετο κατὰ τὰ μέτρα τῆς πύλης τῆς
βλεπούσης κατὰ ἀνατολὰς πήχεων πεντήκοντα τὸ μῆκος αὐ-
22 τῆς καὶ πήχεων εἴκοσι πέντε τὸ εὖρος αὐτῆς. καὶ αἱ θυρίδες 22
αὐτῆς καὶ τὰ ἀιλαμμὼ καὶ οἱ φοίνικες αὐτῆς καθὼς ἡ πύλη ἡ
βλέπουσα κατὰ ἀνατολάς· καὶ ἐν ἑπτὰ κλιμακτῆρσιν ἀνέβαινον
23 ἐπ' αὐτήν, καὶ τὰ ἀιλαμμὼ ἔσωθεν. καὶ πύλη τῇ αὐλῇ τῇ ἐσωτέ- 23
ρᾳ βλέπουσα ἐπὶ πύλην τοῦ βορρᾶ ὃν τρόπον τῆς πύλης τῆς
βλεπούσης κατὰ ἀνατολάς, καὶ διεμέτρησε τὴν αὐλὴν ἀπὸ πύ-
24 λης ἐπὶ πύλην πήχεις ἑκατόν. καὶ ἤγαγέ με κατὰ νότον, καὶ ἰ- 24
δοὺ πύλη βλέπουσα πρὸς νότον, καὶ διεμέτρησεν αὐτὴν καὶ τὰ
25 θεὲ καὶ τὰ ἀιλεῦ καὶ τὰ ἀιλαμμὼ κατὰ τὰ μέτρα ταῦτα. καὶ αἱ 25
θυρίδες αὐτῆς καὶ τὰ ἀιλαμμὼ κυκλόθεν καθὼς αἱ θυρίδες τοῦ
ἀιλάμ, πήχεων πεντήκοντα τὸ μῆκος αὐτῆς καὶ πήχεων εἴκοσι
26 πέντε τὸ εὖρος αὐτῆς. καὶ ἑπτὰ κλιμακτῆρες αὐτῇ, καὶ ἀιλαμ- 26
μὼ ἔσωθεν καὶ φοίνικες αὐτῇ, εἷς ἔνθεν καὶ εἷς ἔνθεν ἐπὶ τὰ ἀι-
27 λεῦ. καὶ πύλη κατέναντι τῆς πύλης τῆς αὐλῆς τῆς ἐσωτέρας 27
πρὸς νότον· καὶ διεμέτρησε τὴν αὐλὴν ἀπὸ πύλης ἐπὶ πύλην,
πήχεις ἑκατὸν τὸ εὖρος πρὸς νότον.
28 Καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν τῆς πύλης 28
τῆς πρὸς νότον καὶ διεμέτρησε τὴν πύλην κατὰ τὰ μέτρα ταῦτα
29 καὶ τὰ θεὲ καὶ τὰ ἀιλεῦ καὶ τὰ ἀιλαμμὼ κατὰ τὰ μέτρα ταῦτα· 29
καὶ θυρίδες αὐτῇ καὶ τῷ ἀιλαμμὼ κύκλῳ· πήχεις πεντήκοντα
31 τὸ μῆκος αὐτῆς καὶ τὸ εὖρος πήχεις εἴκοσι πέντε. καὶ ἀιλαμμὼ 31
εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν καὶ φοίνικες τῷ ἀιλεῦ, καὶ ὀκτὼ
32 κλιμακτῆρες. καὶ εἰσήγαγέ με εἰς τὴν πύλην τὴν βλέπουσαν 32
33 κατὰ ἀνατολὰς καὶ διεμέτρησεν αὐτὴν κατὰ τὰ μέτρα ταῦτα καὶ 33
τὰ θεὲ καὶ τὰ ἀιλεῦ καὶ τὰ ἀιλαμμὼ κατὰ τὰ μέτρα ταῦτα· καὶ
34 θυρίδες αὐτῇ καὶ τῷ ἀιλαμμὼ κύκλῳ, πήχεις πεντήκοντα μῆ- 34
κος αὐτῆς καὶ εὖρος αὐτῆς πήχεις εἴκοσι πέντε. καὶ ἀιλαμμὼ
εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν, καὶ φοίνικες ἐπὶ τοῦ ἀιλεῦ ἔνθεν
35 καὶ ἔνθεν, καὶ ὀκτὼ κλιμακτῆρες αὐτῇ. καὶ εἰσήγαγέ με εἰς τὴν 35
πύλην τὴν πρὸς βορρᾶν καὶ διεμέτρησε κατὰ τὰ μέτρα ταῦτα
36 καὶ τὰ θεὲ καὶ τὰ ἀιλεῦ καὶ τὰ ἀιλαμμώ· καὶ θυρίδες αὐτῇ κύ- 36
κλῳ καὶ τῷ ἀιλαμμὼ αὐτῆς· πήχεις πεντήκοντα μῆκος αὐτῆς
37 καὶ εὖρος πήχεις εἴκοσι πέντε. καὶ τὰ ἀιλαμμὼ εἰς τὴν αὐλὴν 37
τὴν ἐξωτέραν, καὶ φοίνικες τῷ ἀιλεῦ ἔνθεν καὶ ἔνθεν, καὶ ὀκτὼ

38 κλιμακτῆρες αὐτῇ. τὰ παστοφόρια αὐτῆς καὶ τὰ θυρώματα αὐ- 38
τῆς καὶ τὰ ἀιλαμμὼ αὐτῆς ἐπὶ τῆς πύλης τῆς δευτέρας ἔκρυ-
39 σις, ὅπως σφάζωσιν ἐν αὐτῇ τὰ ὑπὲρ ἁμαρτίας καὶ τὰ ὑπὲρ ἀ- 39
40 γνοίας· καὶ κατὰ νώτου τοῦ ῥύακος τῶν ὁλοκαυτωμάτων τῆς 40
βλεπούσης πρὸς βορρᾶν δύο τράπεζαι πρὸς ἀνατολὰς καὶ κα-
τὰ νώτου τῆς δευτέρας καὶ τοῦ ἀιλὰμ τῆς πύλης δύο τράπεζαι
41 κατὰ ἀνατολάς, τέσσαρες ἔνθεν καὶ τέσσαρες ἔνθεν κατὰ νώ- 41
του τῆς πύλης, ἐπ' αὐτὰς σφάξουσι τὰ θύματα κατέναντι τῶν
42 ὀκτὼ τραπεζῶν τῶν θυμάτων. καὶ τέσσαρες τράπεζαι τῶν ὁ- 42
λοκαυτωμάτων λίθιναι λελαξευμέναι πήχεως καὶ ἡμίσους τὸ
πλάτος καὶ πήχεων δύο καὶ ἡμίσους τὸ μῆκος καὶ ἐπὶ πῆχυν
τὸ ὕψος, ἐπ' αὐτὰς ἐπιθήσουσι τὰ σκεύη, ἐν οἷς σφάζουσιν ἐ-
43 κεῖ τὰ ὁλοκαυτώματα καὶ τὰ θύματα. καὶ παλαιστὴν ἕξουσι γεῖ- 43
σος λελαξευμένον ἔσωθεν κύκλῳ καὶ ἐπὶ τὰς τραπέζας ἐπάνω-
θεν στέγας τοῦ καλύπτεσθαι ἀπὸ τοῦ ὑετοῦ καὶ ἀπὸ τῆς ξηρα-
44 σίας. καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν, καὶ ἰδοὺ 44
δύο ἐξέδραι ἐν τῇ αὐλῇ τῇ ἐσωτέρᾳ, μία κατὰ νώτου τῆς πύ-
λης τῆς βλεπούσης πρὸς βορρᾶν φέρουσα πρὸς νότον καὶ μία
κατὰ νώτου τῆς πύλης τῆς πρὸς νότον, βλεπούσης δὲ πρὸς
45 βορρᾶν. καὶ εἶπε πρός με· Ἡ ἐξέδρα αὕτη ἡ βλέπουσα πρὸς 45
46 νότον τοῖς ἱερεῦσι τοῖς φυλάσσουσι τὴν φυλακὴν τοῦ οἴκου, 46
καὶ ἡ ἐξέδρα ἡ βλέπουσα πρὸς βορρᾶν τοῖς ἱερεῦσι τοῖς φυ-
λάσσουσι τὴν φυλακὴν τοῦ θυσιαστηρίου· ἐκεῖνοί εἰσιν οἱ **υἱοὶ**
Σαδδοὺκ οἱ ἐγγίζοντες ἐκ τοῦ Λευὶ πρὸς Κύριον λειτουργεῖν
47 αὐτῷ. καὶ διεμέτρησε τὴν αὐλὴν μῆκος πήχεων ἑκατὸν καὶ εὖ- 47
ρος πήχεις ἑκατὸν ἐπὶ τὰ τέσσαρα μέρη αὐτῆς καὶ τὸ θυσια-
48 στήριον ἀπέναντι τοῦ οἴκου. καὶ εἰσήγαγέ με εἰς τὸ ἀιλὰμ τοῦ 48
οἴκου. καὶ διεμέτρησε τὸ ἄιλ τοῦ ἀιλὰμ πήχεων πέντε τὸ πλά-
τος ἔνθεν καὶ πήχεων πέντε ἔνθεν, καὶ τὸ εὖρος τοῦ θυρώμα-
τος πήχεων δεκατεσσάρων, καὶ ἐπωμίδες τῆς θύρας τοῦ ἀιλὰμ
49 πήχεων τριῶν ἔνθεν καὶ πήχεων τριῶν ἔνθεν. καὶ τὸ μῆκος 49
τοῦ ἀιλὰμ πήχεων εἴκοσι καὶ τὸ εὖρος πήχεων δώδεκα· καὶ ἐ-
πὶ δέκα ἀναβαθμῶν ἀνέβαινον ἐπ' αὐτό· καὶ στῦλοι ἦσαν ἐπὶ
τὸ ἀιλάμ, εἷς ἔνθεν καὶ εἷς ἔνθεν.

2 1 Καὶ εἰσήγαγέ με εἰς τὸν ναόν, ᾧ διαμέτρησε τὸ ἀιλὰμ πή- 1 **41**
χεων ἓξ τὸ πλάτος ἔνθεν καὶ πήχεων ἓξ τὸ εὖρος τοῦ ἀιλὰμ ἔν-
2 θεν, καὶ τὸ εὖρος τοῦ πυλῶνος πήχεων δέκα, καὶ ἐπωμίδες 2
τοῦ πυλῶνος πήχεων πέντε ἔνθεν καὶ πήχεων πέντε ἔνθεν καὶ
διαμέτρησε τὸ μῆκος αὐτοῦ πήχεων τεσσαράκοντα καὶ τὸ εὖ-
3 ρος πήχεων εἴκοσι. καὶ εἰσῆλθεν εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν 3
καὶ διαμέτρησε τὸ ἄιλ τοῦ θυρώματος πήχεων δύο καὶ τὸ θύ-
ρωμα πήχεων ἓξ καὶ τὰς ἐπωμίδας τοῦ θυρώματος πήχεων ἑ-
4 πτὰ ἔνθεν καὶ πήχεων ἑπτὰ ἔνθεν. καὶ διαμέτρησε τὸ μῆκος 4
τῶν θυρῶν πήχεων τεσσαράκοντα καὶ εὖρος πήχεων εἴκοσι
κατὰ πρόσωπον τοῦ ναοῦ. καὶ εἶπε· τοῦτο τὸ ἅγιον τῶν ἁ-

5 γίων. καὶ διεμέτρησε τὸν τοῖχον τοῦ οἴκου πήχεων ἓξ καὶ τὸ 5
6 εὖρος τῆς πλευρᾶς πήχεων τεσσάρων κυκλόθεν. καὶ τὰ πλευ- 6
ρὰ πλευρὸν ἐπὶ πλευρὸν τριάκοντα καὶ τρεῖς δίς, καὶ διάστημα
ἐν τῷ τοίχῳ τοῦ οἴκου ἐν τοῖς πλευροῖς κύκλῳ τοῦ εἶναι τοῖς
ἐπιλαμβανομένοις ὁρᾶν, ὅπως τὸ παράπαν μὴ ἅπτωνται τῶν
7 τοίχων τοῦ οἴκου. καὶ τὸ εὖρος τῆς ἀνωτέρας τῶν πλευρῶν 7
κατὰ τὸ πρόσθεμα ἐκ τοῦ τοίχου πρὸς τὴν ἀνωτέραν κύκλῳ
τοῦ οἴκου, ὅπως διαπλατύνηται ἄνωθεν καὶ ἐκ τῶν κάτωθεν ἀ-
ναβαίνωσιν ἐπὶ τὰ ὑπερῷα καὶ ἐκ τῶν μέσων ἐπὶ τὰ τριώροφα.
8 καὶ τὸ θραὲλ τοῦ οἴκου ὕψος κύκλῳ διάστημα τῶν πλευρῶν ἴ- 8
9 σον τῷ καλάμῳ, πήχεων ἓξ διάστημα. καὶ εὖρος τοῦ τοίχου 9
10 τῆς πλευρᾶς ἔξωθεν πήχεων πέντε· καὶ τὰ ἀπόλοιπα ἀνὰ μέ- 10
σον τῶν πλευρῶν τοῦ οἴκου καὶ ἀνὰ μέσον τῶν ἐξεδρῶν εὖ-
11 ρος πήχεων εἴκοσι, τὸ περιφερὲς τῷ οἴκῳ κύκλῳ. καὶ αἱ θύραι 11
τῶν ἐξεδρῶν ἐπὶ τὸ ἀπόλοιπον τῆς θύρας τῆς μιᾶς τῆς πρὸς
βορρᾶν· καὶ ἡ θύρα ἡ μία πρὸς νότον, καὶ τὸ εὖρος τοῦ φωτὸς
12 τοῦ ἀπολοίπου πήχεων πέντε πλάτος κυκλόθεν. καὶ τὸ διορί- 12
ζον κατὰ πρόσωπον τοῦ ἀπολοίπου ὡς πρὸς θάλασσαν πήχε-
ων ἑβδομήκοντα, πλάτος τοῦ τοίχου τοῦ διορίζοντος πήχεων
πέντε, εὖρος κυκλόθεν καὶ μῆκος αὐτοῦ πήχεων ἐνενήκοντα.
13 καὶ διεμέτρησε κατέναντι τοῦ οἴκου μῆκος πήχεων ἑκατόν, καὶ 13
14 τὰ ἀπόλοιπα καὶ τὰ διορίζοντα καὶ οἱ τοῖχοι αὐτῶν μῆκος πή- 14
χεων ἑκατόν, καὶ τὸ εὖρος κατὰ πρόσωπον τοῦ οἴκου καὶ τὰ ἀ-
15 πόλοιπα κατέναντι πήχεων ἑκατόν. καὶ διεμέτρησε τὸ μῆκος 15
τοῦ διορίζοντος κατὰ πρόσωπον τοῦ ἀπολοίπου τῶν κατόπι-
σθεν τοῦ οἴκου ἐκείνου καὶ τὰ ἀπόλοιπα ἔνθεν καὶ ἔνθεν πήχε-
16 ων ἑκατὸν τὸ μῆκος. καὶ ὁ ναὸς καὶ αἱ γωνίαι καὶ τὸ ἀιλὰμ τὸ 16
ἐξώτερον πεφατνωμένα, καὶ αἱ θυρίδες δικτυωταί, ὑποφαύσεις
κύκλῳ τοῖς τρισὶν ὥστε διακύπτειν· καὶ ὁ οἶκος καὶ τὰ πλη-
σίον ἐξυλωμένα κύκλῳ καὶ τὸ ἔδαφος καὶ ἐκ τοῦ ἐδάφους ἕως
τῶν θυρίδων, καὶ αἱ θυρίδες ἀναπτυσσόμεναι τρισσῶς εἰς τὸ
17 διακύπτειν. καὶ ἕως πλησίον τῆς ἐσωτέρας καὶ ἕως τῆς ἐξωτέ- 17
18 ρας καὶ ἐφ' ὅλον τὸν τοῖχον κύκλῳ ἐν τῷ ἔσωθεν καὶ ἐν τῷ ἔ- 18
ξωθεν γεγλυμμένοι χερουβίμ, καὶ φοίνικες ἀνὰ μέσον χεροὺβ
19 καὶ χερούβ· δύο πρόσωπα τῷ χερούβ· πρόσωπον ἀνθρώπου 19
πρὸς τὸν φοίνικα ἔνθεν καὶ ἔνθεν καὶ πρόσωπον λέοντος πρὸς
20 τὸν φοίνικα ἔνθεν καὶ ἔνθεν· διαγεγλυμμένος ὅλος ὁ οἶκος κυ- 20
κλόθεν, ἐκ τοῦ ἐδάφους ἕως τοῦ φατνώματος οἱ χερουβὶμ καὶ
21 οἱ φοίνικες διαγεγλυμμένοι. καὶ τὸ ἅγιον καὶ ὁ ναὸς ἀναπτυσ- 21
σόμενος τετράγωνα. κατὰ πρόσωπον τῶν ἁγίων ὅρασις ὡς ὄ-
22 φις θυσιαστηρίου ξυλίνου, πήχεων τριῶν τὸ ὕψος αὐτοῦ καὶ 22
τὸ μῆκος πήχεων δύο καὶ τὸ εὖρος πήχεων δύο· καὶ κέρατα εἶ-
χε, καὶ ἡ βάσις αὐτοῦ καὶ οἱ τοῖχοι αὐτοῦ ξύλινοι· καὶ εἶπε
23 πρός με· Αὕτη ἡ τράπεζα ἡ πρὸ προσώπου Κυρίου. καὶ δύο 23
24 θυρώματα τῷ ναῷ καὶ τῷ ἁγίῳ· δύο θυρώματα τοῖς δυσὶ θυ- 24

25 ρώμασι τοῖς στροφωτοῖς, δύο θυρώματα τῷ ἑνὶ καὶ δύο θυρώ- 25
ματα τῇ θύρᾳ τῇ δευτέρᾳ. καὶ γλυφὴ ἐπ' αὐτῶν, καὶ ἐπὶ τὰ θυ-
ρώματα τοῦ ναοῦ χερουβίμ, καὶ φοίνικες κατὰ τὴν γλυφὴν τῶν
ἁγίων, καὶ σπουδαῖα ξύλα κατὰ πρόσωπον τοῦ ἀιλὰμ ἔξωθεν
26 καὶ θυρίδες κρυπταί. καὶ διεμέτρησεν ἔνθεν καὶ ἔνθεν εἰς τὰ ὀ- 26
ροφώματα τοῦ ἀιλὰμ καὶ τὰ πλευρὰ τοῦ οἴκου ἐζυγωμένα.

3 1 Καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν κατὰ ἀνατο- 1 **42**
λὰς κατέναντι τῆς πύλης τῆς πρὸς βορρᾶν· καὶ εἰσήγαγέ με,
καὶ ἰδοὺ ἐξέδραι πέντε ἐχόμεναι τοῦ ἀπολοίπου καὶ ἐχόμεναι
2 τοῦ διορίζοντος πρὸς βορρᾶν, ἐπὶ πήχεις ἑκατὸν μῆκος πρὸς 2
3 βορρᾶν καὶ τὸ πλάτος πεντήκοντα πήχεων, διαγεγραμμέναι ὃν 3
τρόπον αἱ πύλαι τῆς αὐλῆς τῆς ἐσωτέρας καὶ ὃν τρόπον τὰ πε-
ρίστυλα τῆς αὐλῆς τῆς ἐξωτέρας, ἐστιχισμέναι ἀντιπρόσωποι
4 στοαὶ τρισσαί. καὶ κατέναντι τῶν ἐξεδρῶν περίπατος πήχεων 4
δέκα τὸ πλάτος, ἐπὶ πήχεις ἑκατὸν τὸ μῆκος· καὶ τὰ θυρώματα
5 αὐτῶν πρὸς βορρᾶν. καὶ οἱ περίπατοι οἱ ὑπερῷοι ὡσαύτως, ὅ- 5
τι ἐξείχετο τὸ περίστυλον ἐξ αὐτοῦ, ἐκ τοῦ ὑποκάτωθεν περι-
6 στύλου, καὶ τὸ διάστημα· οὕτω περίστυλον καὶ διάστημα καὶ 6
οὕτω στοαί· διότι τριπλαῖ ἦσαν καὶ στύλους οὐκ εἶχον καθὼς
οἱ στῦλοι τῶν ἐξωτέρων, διὰ τοῦτο ἐξείχοντο τῶν ὑποκάτω-
7 θεν καὶ τῶν μέσων ἀπὸ τῆς γῆς. καὶ φῶς ἔξωθεν ὃν τρόπον αἱ 7
ἐξέδραι τῆς αὐλῆς τῆς ἐξωτέρας αἱ βλέπουσαι ἀπέναντι τῶν ἐ-
8 ξεδρῶν τῶν πρὸς βορρᾶν, μῆκος πήχεων πεντήκοντα· ὅτι τὸ 8
μῆκος τῶν ἐξεδρῶν τῶν βλεπουσῶν εἰς τὴν αὐλὴν τὴν ἐξωτέ-
ραν ἦν πήχεων πεντήκοντα, καὶ αὐταί εἰσιν αἱ ἀντιπρόσωποι
9 ταύταις· τὸ πᾶν πήχεων ἑκατόν. καὶ αἱ θύραι τῶν ἐξεδρῶν 9
10 τούτων τῆς εἰσόδου τῆς πρὸς ἀνατολὰς τοῦ εἰσπορεύεσθαι δι' 10
αὐτῶν ἐκ τῆς αὐλῆς τῆς ἐξωτέρας κατὰ τὸ φῶς τοῦ ἐν ἀρχῇ
περιπάτου. καὶ τὰ πρὸς νότον κατὰ πρόσωπον τοῦ νότου κατὰ
πρόσωπον τοῦ ἀπολοίπου καὶ κατὰ πρόσωπον τοῦ διορίζο-
11 ντος ἐξέδραι, καὶ ὁ περίπατος κατὰ πρόσωπον αὐτῶν κατὰ τὰ 11
μέτρα ἐξεδρῶν τῶν πρὸς βορρᾶν καὶ κατὰ τὸ μῆκος αὐτῶν καὶ
κατὰ τὸ εὖρος αὐτῶν καὶ κατὰ πάσας τὰς ἐξόδους αὐτῶν καὶ
κατὰ πάσας τὰς ἐπιστροφὰς αὐτῶν καὶ κατὰ τὰ φῶτα αὐτῶν
12 καὶ κατὰ τὰ θυρώματα αὐτῶν τῶν ἐξεδρῶν τῶν πρὸς νότον 12
καὶ κατὰ τὰ θυρώματα ἀπ' ἀρχῆς τοῦ περιπάτου ὡς ἐπὶ φῶς
διαστήματος καλάμου καὶ κατὰ ἀνατολὰς τοῦ εἰσπορεύεσθαι
13 δι' αὐτῶν. καὶ εἶπε πρός με· Αἱ ἐξέδραι αἱ πρὸς βορρᾶν, καὶ αἱ 13
ἐξέδραι αἱ πρὸς νότον αἱ οὖσαι κατὰ πρόσωπον τῶν διαστημά-
των, αὗταί εἰσιν αἱ ἐξέδραι τοῦ ἁγίου, ἐν αἷς φάγονται ἐκεῖ οἱ
ἱερεῖς **υἱοὶ Σαδδοὺκ** οἱ ἐγγίζοντες πρὸς Κύριον τὰ ἅγια τῶν
ἁγίων· καὶ ἐκεῖ θήσουσι τὰ ἅγια τῶν ἁγίων καὶ τὴν θυσίαν καὶ
τὰ περὶ ἁμαρτίας καὶ τὰ περὶ ἀγνοίας, διότι ὁ τόπος ἅγιος. οὐκ
14 εἰσελεύσονται ἐκεῖ πάρεξ τῶν ἱερέων· οὐκ ἐξελεύσονται ἐκ 14
τοῦ ἁγίου εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, ὅπως διὰ παντὸς ἅγιοι

ὦσιν οἱ προσάγοντες, καὶ μὴ ἅπτωνται τοῦ στολισμοῦ αὐτῶν,
ἐν οἷς λειτουργοῦσιν ἐν αὐτοῖς, διότι ἅγιά ἐστι· καὶ ἐνδύσονται
15 ἱμάτια ἕτερα, ὅταν ἅπτωνται τοῦ λαοῦ. καὶ συνετελέσθη ἡ δια- 15
μέτρησις τοῦ οἴκου ἔσωθεν. καὶ ἐξήγαγέ με καθ' ὁδὸν τῆς πύ-
λης τῆς βλεπούσης πρὸς ἀνατολὰς καὶ διεμέτρησε τὸ ὑπόδειγ-
16 μα τοῦ οἴκου κυκλόθεν ἐν διατάξει. καὶ ἔστη κατὰ νώτου τῆς 16
πύλης τῆς βλεπούσης κατὰ ἀνατολὰς καὶ διεμέτρησε πεντακο-
17 σίους ἐν τῷ καλάμῳ τοῦ μέτρου· καὶ ἐπέστρεψε πρὸς βορρᾶν 17
καὶ διεμέτρησε τὸ κατὰ πρόσωπον τοῦ βορρᾶ πήχεις πεντακο-
18 σίους ἐν τῷ καλάμῳ τοῦ μέτρου· καὶ ἐπέστρεψε πρὸς θάλασ- 18
σαν καὶ διεμέτρησε τὸ κατὰ πρόσωπον τῆς θαλάσσης πεντα-
19 κοσίους ἐν τῷ καλάμῳ τοῦ μέτρου. καὶ ἐπέστρεψε πρὸς νότον 19
καὶ διεμέτρησε κατέναντι τοῦ νότου πεντακοσίους ἐν τῷ καλά-
20 μῳ τοῦ μέτρου· τὰ τέσσαρα μέρη τοῦ αὐτοῦ καλάμου. καὶ διέ- 20
ταξεν αὐτὸν καὶ περίβολον αὐτῶν κύκλῳ πεντακοσίων πρὸς
ἀνατολὰς καὶ πεντακοσίων πήχεων εὖρος τοῦ διαστέλλειν ἀνὰ
μέσον τῶν ἁγίων καὶ ἀνὰ μέσον τοῦ προτειχίσματος τοῦ ἐν
διατάξει τοῦ οἴκου.

4 1 Καὶ ἤγαγέ με ἐπὶ τὴν πύλην τὴν βλέπουσαν κατὰ ἀνατο- 1 **43**
2 λὰς καὶ ἐξήγαγέ με, καὶ ἰδοὺ δόξα θεοῦ Ἰσραὴλ ἤρχετο κατὰ 2
τὴν ὁδὸν τῆς πύλης τῆς βλεπούσης πρὸς ἀνατολάς, καὶ φωνὴ
τῆς παραβολῆς ὡς φωνὴ διπλασιαζόντων πολλῶν, καὶ ἡ γῆ ἐ-
3 ξέλαμπεν ὡς φέγγος ἀπὸ τῆς δόξης κυκλόθεν. καὶ ἡ ὅρασις, 3
ἣν εἶδον, κατὰ τὴν ὅρασιν ἣν εἶδον ὅτε εἰσεπορευόμην τοῦ χρῖ-
σαι τὴν πόλιν, καὶ ἡ ὅρασις τοῦ ἅρματος οὗ εἶδον κατὰ τὴν ὅ-
ρασιν ἣν εἶδον ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ· καὶ πίπτω ἐπὶ
4 πρόσωπόν μου. καὶ δόξα Κυρίου εἰσῆλθεν εἰς τὸν οἶκον κατὰ 4
5 τὴν ὁδὸν τῆς πόλης τῆς βλεπούσης κατὰ ἀνατολάς. καὶ ἀνέλα- 5
βέ με πνεῦμα καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν, καὶ
6 ἰδοὺ πλήρης δόξης Κυρίου ὁ οἶκος. καὶ ἔστην, καὶ ἰδοὺ φωνὴ 6
ἐκ τοῦ οἴκου λαλοῦντος πρός με, καὶ ὁ ἀνὴρ εἱστήκει ἐχόμε-
7 νός μου. καὶ εἶπε πρός με· Υἱὲ ἀνθρώπου, ἑώρακας τὸν τόπον 7
τοῦ θρόνου μου καὶ τὸν τόπον τοῦ ἴχνους τῶν ποδῶν μου, ἐν
οἷς κατασκηνώσει τὸ ὄνομά μου ἐν μέσῳ οἴκου Ἰσραὴλ εἰς
τὸν αἰῶνα· καὶ οὐ βεβηλώσουσιν οὐκέτι οἶκος Ἰσραὴλ τὸ ὄνο-
8 μα τὸ ἅγιόν μου, αὐτοὶ καὶ οἱ ἡγούμενοι αὐτῶν, ἐν τῇ πορνείᾳ 8
αὐτῶν καὶ ἐν τοῖς φόνοις τῶν ἡγουμένων ἐν μέσῳ αὐτῶν, ἐν
τῷ τιθέναι αὐτοὺς τὸ πρόθυρόν μου ἐν τοῖς προθύροις αὐτῶν
καὶ τὰς φλιάς μου ἐχομένας τῶν φλιῶν αὐτῶν καὶ ἔδωκαν τὸν
τοῖχόν μου ὡς συνεχόμενον ἐμοῦ καὶ αὐτῶν καὶ ἐβεβήλωσαν
τὸ ὄνομα τὸ ἅγιόν μου ἐν ταῖς ἀνομίαις αὐτῶν, αἷς ἐποίουν·
9 καὶ ἐξέτριψα αὐτοὺς ἐν θυμῷ μου καὶ ἐν φόνῳ. καὶ νῦν ἀπω- 9
σάσθωσαν τὴν πορνείαν αὐτῶν καὶ τοὺς φόνους τῶν ἡγουμέ-
νων αὐτῶν ἀπ' ἐμοῦ, καὶ κατασκηνώσω ἐν μέσῳ αὐτῶν
10 <εἰς> τὸν αἰῶνα. καὶ σύ, υἱὲ ἀνθρώπου, δεῖξον τῷ οἴκῳ Ἰσ- 10

11 ραὴλ τὸν οἶκον καὶ κοπάσουσιν ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν· καὶ 11
τὴν ὅρασιν αὐτοῦ καὶ τὴν διάταξιν αὐτοῦ, καὶ αὐτοὶ λήψονται
τὴν κόλασιν αὐτῶν περὶ πάντων, ὧν ἐποίησαν. καὶ διαγράψεις
τὸν οἶκον καὶ τὰς ἐξόδους αὐτοῦ καὶ τὴν ὑπόστασιν αὐτοῦ καὶ
πάντα τὰ προστάγματα αὐτοῦ καὶ πάντα τὰ νόμιμα αὐτοῦ γνω-
ριεῖς αὐτοῖς καὶ διαγράψεις ἐναντίον αὐτῶν. καὶ φυλάξονται
πάντα τὰ δικαιώματά μου καὶ πάντα τὰ προστάγματά μου καὶ
12 ποιήσουσιν αὐτά· καὶ τὴν διαγραφὴν τοῦ οἴκου ἐπὶ τῆς κορυ- 12
φῆς τοῦ ὄρους, πάντα τὰ ὅρια αὐτοῦ κυκλόθεν, ἅγια ἁγίων.
13 Καὶ ταῦτα τὰ μέτρα τοῦ θυσιαστηρίου ἐν πήχει τοῦ πήχε- 13
ως καὶ παλαιστῆς· κόλπωμα βάθους ἐπὶ πῆχυν καὶ πῆχυς τὸ
14 εὖρος, καὶ γεῖσος ἐπὶ τὸ χεῖλος αὐτοῦ κυκλόθεν σπιθαμῆς. καὶ 14
τοῦτο τὸ ὕψος τοῦ θυσιαστηρίου· ἐκ βάθους τῆς ἀρχῆς τοῦ
κοιλώματος αὐτοῦ πρὸς τὸ ἱλαστήριον τὸ μέγα τὸ ὑποκάτωθεν
πήχεων δύο καὶ τὸ εὖρος πήχεως· καὶ ἀπὸ τοῦ ἱλαστηρίου τοῦ
μικροῦ ἐπὶ τὸ ἱλαστήριον τὸ μέγα πήχεις τέσσαρες καὶ εὖρος
15 πῆχυς· καὶ τῷ ἀριὴλ πήχεων τεσσάρων, καὶ ἀπὸ τοῦ ἀριὴλ καὶ 15
16 ὑπεράνω τῶν κεράτων πῆχυς· καὶ τὸ ἀριὴλ πήχεων δώδεκα 16
μήκους ἐπὶ πήχεις δώδεκα πλάτους, τετράγωνον ἐπὶ τὰ τέσ-
17 σαρα μέρη αὐτοῦ. καὶ τὸ ἱλαστήριον πήχεων δεκατεσσάρων τὸ 17
μῆκος ἐπὶ πήχεις δεκατέσσαρας τὸ εὖρος ἐπὶ τέσσαρα μέρη
αὐτοῦ· καὶ τὸ γεῖσος αὐτῷ κυκλόθεν κυκλούμενον αὐτῷ ἥμισυ
πήχεως, καὶ τὸ κύκλωμα αὐτοῦ πῆχυς κυκλόθεν· καὶ οἱ κλιμα-
18 κτῆρες αὐτοῦ βλέποντες κατὰ ἀνατολάς. καὶ εἶπε πρός με· Υἱὲ 18
ἀνθρώπου, τάδε λέγει Κύριος ὁ θεὸς Ἰσραήλ· Ταῦτα τὰ προ-
στάγματα τοῦ θυσιαστηρίου ἐν ἡμέρᾳ ποιήσεως αὐτοῦ τοῦ ἀ-
ναφέρειν ἐπ' αὐτοῦ ὁλοκαυτώματα καὶ προσχέειν πρὸς αὐτὸ
19 αἷμα. καὶ δώσεις τοῖς ἱερεῦσι τοῖς Λευῖταις τοῖς ἐκ τοῦ **σπέρ-** 19
ματος Σαδδοὺκ τοῖς ἐγγίζουσι πρός με, λέγει Κύριος ὁ θε-
20 ός, τοῦ λειτουργεῖν μοι, μόσχον ἐκ βοῶν περὶ ἁμαρτίας· καὶ 20
λήψονται ἐκ τοῦ αἵματος αὐτοῦ καὶ ἐπιθήσουσιν ἐπὶ τὰ τέσσα-
ρα κέρατα τοῦ θυσιαστηρίου καὶ ἐπὶ τὰς τέσσαρας γωνίας τοῦ
21 ἱλαστηρίου καὶ ἐπὶ τὴν βάσιν κύκλῳ καὶ ἐξιλάσονται αὐτό· καὶ 21
λήψονται τὸν μόσχον τὸν περὶ ἁμαρτίας, καὶ κατακαυθήσεται
22 ἐν τῷ ἀποκεχωρισμένῳ τοῦ οἴκου ἔξωθεν τῶν ἁγίων. καὶ τῇ 22
ἡμέρᾳ τῇ δευτέρᾳ λήψονται ἐρίφους δύο αἰγῶν ἀμώμους ὑπὲρ
ἁμαρτίας καὶ ἐξιλάσονται τὸ θυσιαστήριον καθότι ἐξιλάσαντο
23 ἐν τῷ μόσχῳ· καὶ μετὰ τὸ συντελέσαι τὸν ἐξιλασμὸν προσοί- 23
σουσι μόσχον ἐκ βοῶν ἄμωμον καὶ κριὸν ἐκ προβάτων ἄμω-
24 μον, καὶ προσοίσετε ἐναντίον Κυρίου, καὶ ἐπιρρίψουσιν οἱ ἱε- 24
25 ρεῖς ἐπ' αὐτὰ ἅλα καὶ ἀνοίσουσιν αὐτὰ ὁλοκαυτώματα τῷ Κυ- 25
ρίῳ. ἑπτὰ ἡμέρας ποιήσεις ἔριφον ὑπὲρ ἁμαρτίας καθ' ἡμέραν
καὶ μόσχον ἐκ βοῶν καὶ κριὸν ἐκ προβάτων, ἄμωμα ποιήσου-
26 σιν ἑπτὰ ἡμέρας· καὶ ἐξιλάσονται τὸ θυσιαστήριον καὶ καθα- 26
27 ριοῦσιν αὐτὸ καὶ πλήσουσι χεῖρας αὐτῶν. καὶ ἔσται ἀπὸ τῆς ἡ- 27

μέρας τῆς ὀγδόης καὶ ἐπέκεινα ποιήσουσιν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν καὶ τὰ τοῦ σωτηρίου ὑμῶν. καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος.

5 1 Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων 1 **44**
τῆς ἐξωτέρας τῆς βλεπούσης κατὰ ἀνατολάς, καὶ αὕτη ἦν κε-
2 κλεισμένη. καὶ εἶπε Κύριος πρός με· Ἡ πύλη αὕτη κεκλεισμέ- 2
νη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς μὴ διέλθῃ δι' αὐτῆς, ὅτι
Κύριος ὁ θεὸς Ἰσραὴλ εἰσελεύσεται δι' αὐτῆς, καὶ ἔσται κε-
3 κλεισμένη· διότι ὁ ἀφηγούμενος, οὗτος καθήσεται ἐν αὐτῇ τοῦ 3
φαγεῖν ἄρτον ἐναντίον Κυρίου. κατὰ τὴν ὁδὸν ἀιλὰμ τῆς πύλης
4 εἰσελεύσεται καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. καὶ εἰσή- 4
γαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς βορρᾶν κατέναντι
τοῦ οἴκου, καὶ εἶδον καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος τοῦ Κυ-
5 ρίου, καὶ πίπτω ἐπὶ πρόσωπόν μου. καὶ εἶπε Κύριος πρός με· 5
Υἱὲ ἀνθρώπου, τάξον εἰς τὴν καρδίαν σου καὶ ἴδε τοῖς ὀφθαλμοῖς σου καὶ τοῖς ὠσί σου ἄκουε πάντα, ὅσα ἐγὼ λαλῶ μετὰ σοῦ, κατὰ πάντα τὰ προστάγματα τοῦ οἴκου Κυρίου καὶ κατὰ πάντα τὰ νόμιμα αὐτοῦ· καὶ τάξεις τὴν καρδίαν σου εἰς τὴν εἴσοδον τοῦ οἴκου κατὰ πάσας τὰς ἐξόδους αὐτοῦ ἐν πᾶσι τοῖς
6 ἁγίοις. καὶ ἐρεῖς πρὸς τὸν οἶκον τὸν παραπικραίνοντα, πρὸς 6
τὸν οἶκον τοῦ Ἰσραήλ· Τάδε λέγει Κύριος ὁ θεός· Ἱκανούσθω
7 ὑμῖν ἀπὸ πασῶν τῶν ἀνομιῶν ὑμῶν, οἶκος Ἰσραήλ, τοῦ εἰσα- 7
γαγεῖν ὑμᾶς υἱοὺς ἀλλογενεῖς ἀπεριτμήτους καρδίᾳ καὶ ἀπεριτμήτους σαρκὶ τοῦ γίνεσθαι ἐν τοῖς ἁγίοις μου, καὶ ἐβεβήλουν αὐτὰ ἐν τῷ προσφέρειν ὑμᾶς ἄρτους, στέαρ καὶ αἷμα, καὶ πα-
8 ρεβαίνετε τὴν διαθήκην μου ἐν πάσαις ταῖς ἀνομίαις ὑμῶν καὶ 8
9 διετάξατε τοῦ φυλάσσειν φυλακὰς ἐν τοῖς ἁγίοις μου. διὰ τοῦ- 9
το τάδε λέγει Κύριος ὁ θεός· Πᾶς υἱὸς ἀλλογενὴς ἀπερίτμητος καρδίᾳ καὶ ἀπερίτμητος σαρκὶ οὐκ εἰσελεύσεται εἰς τὰ ἅγιά μου ἐν πᾶσιν υἱοῖς ἀλλογενῶν τῶν ὄντων ἐν μέσῳ οἴκου Ἰσ-
10 ραήλ, ἀλλ' ἢ οἱ Λευῖται, οἵτινες ἀφήλαντο ἀπ' ἐμοῦ ἐν τῷ πλα- 10
νᾶσθαι τὸν Ἰσραὴλ ἀπ' ἐμοῦ κατόπισθεν τῶν ἐνθυμημάτων αὐ-
11 τῶν, καὶ λήψονται ἀδικίαν αὐτῶν καὶ ἔσονται ἐν τοῖς ἁγίοις 11
μου λειτουργοῦντες θυρωροὶ ἐπὶ τῶν πυλῶν τοῦ οἴκου καὶ λειτουργοῦντες τῷ οἴκῳ· οὗτοι σφάξουσι τὰς θυσίας καὶ τὰ ὁλοκαυτώματα τῷ λαῷ, καὶ οὗτοι στήσονται ἐναντίον τοῦ λαοῦ
12 τοῦ λειτουργεῖν αὐτοῖς. ἀνθ' ὧν ἐλειτούργουν αὐτοῖς πρὸ προ- 12
σώπου τῶν εἰδώλων αὐτῶν καὶ ἐγένετο τῷ οἴκῳ Ἰσραὴλ εἰς κόλασιν ἀδικίας, ἕνεκα τούτου ἦρα τὴν χεῖρά μου ἐπ' αὐτούς,
13 λέγει Κύριος ὁ θεός, καὶ οὐκ ἐγγιοῦσι πρός με τοῦ ἱερατεύειν 13
μοι, οὐδὲ τοῦ προσάγειν πρὸς τὰ ἅγια υἱῶν τοῦ Ἰσραὴλ οὐδὲ πρὸς τὰ ἅγια τῶν ἁγίων μου καὶ λήψονται ἀτιμίαν αὐτῶν ἐν τῇ
14 πλανήσει, ᾗ ἐπλανήθησαν. καὶ κατατάξουσιν αὐτοὺς φυλάσ- 14
σειν φύλακας τοῦ οἴκου εἰς πάντα τὰ ἔργα αὐτοῦ καὶ εἰς πά-
15 ντα, ὅσα ἂν ποιήσωσιν οἱ ἱερεῖς οἱ Λευῖται, οἱ **υἱοὶ τοῦ Σαδ-** 15

δούκ, οἵτινες ἐφυλάξαντο τὰς φυλακὰς τῶν ἁγίων μου ἐν τῷ
πλανᾶσθαι οἶκον Ἰσραὴλ ἀπ' ἐμοῦ, οὗτοι προσάξουσι πρός με
τοῦ λειτουργεῖν μοι καὶ στήσονται πρὸ προσώπου μου τοῦ
προσφέρειν μοι θυσίαν, στέαρ καὶ αἷμα, λέγει Κύριος ὁ θεός.
16 οὗτοι εἰσελεύσονται εἰς τὰ ἅγιά μου, καὶ οὗτοι προσελεύσο- 16
νται πρὸς τὴν τράπεζάν μου τοῦ λειτουργεῖν μοι καὶ φυλάξου-
17 σι τὰς φυλακάς μου. καὶ ἔσται ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς 17
τὰς πύλας τῆς αὐλῆς τῆς ἐσωτέρας στολὰς λινᾶς ἐνδύσονται
καὶ οὐκ ἐνδύσονται ἔρια ἐν τῷ λειτουργεῖν αὐτοὺς ἀπὸ τῆς πύ-
18 λης τῆς ἐσωτέρας αὐλῆς· καὶ κιδάρεις λινᾶς ἕξουσιν ἐπὶ ταῖς 18
κεφαλαῖς αὐτῶν καὶ περισκελῆ λινᾶ ἕξουσιν ἐπὶ τὰς ὀσφύας
19 αὐτῶν καὶ οὐ περιζώσονται βίᾳ. καὶ ἐν τῷ ἐκπορεύεσθαι αὐ- 19
τοὺς εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν πρὸς τὸν λαὸν ἐκδύσονται
τὰς στολὰς αὐτῶν, ἐν αἷς αὐτοὶ λειτουργοῦσιν ἐν αὐταῖς, καὶ
θήσουσιν αὐτὰς ἐν ταῖς ἐξέδραις τῶν ἁγίων καὶ ἐνδύσονται
στολὰς ἑτέρας καὶ οὐ μὴ ἁγιάσωσι τὸν λαὸν ἐν ταῖς στολαῖς
20 αὐτῶν. καὶ τὰς κεφαλὰς αὐτῶν οὐ ξυρήσονται καὶ τὰς κόμας 20
αὐτῶν οὐ ψιλώσουσι, καλύπτοντες καλύψουσι τὰς κεφαλὰς
21 αὐτῶν. καὶ οἶνον οὐ μὴ πίωσι πᾶς ἱερεὺς ἐν τῷ εἰσπορεύεσθαι 21
22 αὐτοὺς εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν. καὶ χήραν καὶ ἐκβεβλημέ- 22
νην οὐ λήψονται ἑαυτοῖς εἰς γυναῖκα, ἀλλ' ἢ παρθένον ἐκ τοῦ
σπέρματος Ἰσραήλ· καὶ χήρα ἐὰν γένηται ἐξ ἱερέως, λήψονται.
23 καὶ τὸν λαόν μου διδάξουσιν ἀνὰ μέσον ἁγίου καὶ βεβήλου καὶ 23
24 ἀνὰ μέσον ἀκαθάρτου καὶ καθαροῦ γνωριοῦσιν αὐτοῖς. καὶ ἐπὶ 24
κρίσιν αἵματος οὗτοι ἐπιστήσονται τοῦ διακρίνειν· τὰ δικαιώ-
ματά μου δικαιώσουσι καὶ τὰ κρίματά μου κρινοῦσι καὶ τὰ νό-
μιμά μου καὶ τὰ προστάγματά μου ἐν πάσαις ταῖς ἑορταῖς μου
25 φυλάξονται καὶ τὰ σάββατά μου ἁγιάσουσι. καὶ ἐπὶ ψυχὴν ἀν- 25
θρώπου οὐκ εἰσελεύσονται τοῦ μιανθῆναι, ἀλλ' ἢ ἐπὶ πατρὶ καὶ
ἐπὶ μητρὶ καὶ ἐπὶ υἱῷ καὶ ἐπὶ θυγατρὶ καὶ ἐπὶ ἀδελφῷ καὶ ἐπὶ ἀ-
26 δελφῇ αὐτοῦ, ἣ οὐ γέγονεν ἀνδρί, μιανθήσεται. καὶ μετὰ τὸ κα- 26
27 θαρισθῆναι αὐτὸν ἑπτὰ ἡμέρας ἐξαριθμηθήσῃ αὐτῷ· καὶ ᾗ ἂν 27
ἡμέρᾳ εἰσπορεύωνται εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν τοῦ λει-
τουργεῖν ἐν τῷ ἁγίῳ, προσοίσουσιν ἱλασμόν, λέγει Κύριος ὁ
28 θεός. καὶ ἔσται αὐτοῖς εἰς κληρονομίαν· ἐγὼ κληρονομία αὐ- 28
τοῖς, καὶ κατάσχεσις αὐτοῖς οὐ δοθήσεται ἐν τοῖς υἱοῖς Ἰσ-
29 ραήλ, ὅτι ἐγὼ κατάσχεσις αὐτῶν. καὶ τὰς θυσίας καὶ τὰ ὑπὲρ 29
ἁμαρτίας καὶ τὰ ὑπὲρ ἀγνοίας οὗτοι φάγονται, καὶ πᾶν ἀφόρι-
30 σμα ἐν τῷ Ἰσραὴλ αὐτοῖς ἔσται· ἀπαρχαὶ πάντων καὶ τὰ πρω- 30
τότοκα πάντων καὶ τὰ ἀφαιρέματα πάντα ἐκ πάντων τῶν ἀπαρ-
χῶν ὑμῶν τοῖς ἱερεῦσιν ἔσται· καὶ τὰ πρωτογεννήματα ὑμῶν
δώσετε τῷ ἱερεῖ τοῦ θεῖναι εὐλογίας ὑμῶν ἐπὶ τοὺς οἴκους ὑ-
31 μῶν. καὶ πᾶν θνησιμαῖον καὶ θηριάλωτον ἐκ τῶν πετεινῶν καὶ 31
ἐκ τῶν κτηνῶν οὐ φάγονται οἱ ἱερεῖς.

6 1 Καὶ ἐν τῷ καταμετρεῖσθαι ὑμᾶς τὴν γῆν ἐν κληρονομίᾳ ἀ- 1 **45**

φοριεῖτε ἀπαρχὴν τῷ Κυρίῳ ἅγιον ἀπὸ τῆς γῆς, πέντε καὶ εἴ-
κοσι χιλιάδας μῆκος καὶ εὖρος εἴκοσι χιλιάδας· ἅγιον ἔσται ἐν
2 πᾶσι τοῖς ὁρίοις αὐτοῦ κυκλόθεν. καὶ ἔσται ἐκ τούτου εἰς ἁγία- 2
σμα πεντακόσιοι ἐπὶ πεντακοσίους τετράγωνον κυκλόθεν, καὶ
3 πεντήκοντα πήχεις διάστημα αὐτῷ κυκλόθεν. καὶ ἐκ ταύτης 3
τῆς διαμετρήσεως διαμετρήσεις μῆκος πέντε καὶ εἴκοσι χιλιά-
δας καὶ εὖρος εἴκοσι χιλιάδας, καὶ ἐν αὐτῇ ἔσται τὸ ἁγίασμα ἅ-
4 για τῶν ἁγίων. ἀπὸ τῆς γῆς ἔσται τοῖς ἱερεῦσι τοῖς λειτουρ- 4
γοῦσιν ἐν τῷ ἁγίῳ καὶ ἔσται τοῖς ἐγγίζουσι λειτουργεῖν τῷ
Κυρίῳ, καὶ ἔσται αὐτοῖς τόπος εἰς οἴκους ἀφωρισμένους τῷ ἁ-
5 γιασμῷ αὐτῶν. εἴκοσι καὶ πέντε χιλιάδας μῆκος καὶ εὖρος εἴ- 5
κοσι χιλιάδες ἔσται τοῖς Λευῖταις τοῖς λειτουργοῦσι τῷ οἴκῳ,
6 αὐτοῖς εἰς κατάσχεσιν, πόλεις τοῦ κατοικεῖν. καὶ τὴν κατάσχε- 6
σιν τῆς πόλεως δώσεις πέντε χιλιάδας εὖρος καὶ μῆκος πέντε
καὶ εἴκοσι χιλιάδας· ὃν τρόπον ἡ ἀπαρχὴ τῶν ἁγίων παντὶ οἴ-
7 κῳ Ἰσραὴλ ἔσονται. καὶ τῷ ἀφηγουμένῳ ἐκ τούτου καὶ ἀπὸ 7
τούτου εἰς τὰς ἀπαρχὰς τῶν ἁγίων εἰς κατάσχεσιν τῆς πόλε-
ως, κατὰ πρόσωπον τῶν ἀπαρχῶν τῶν ἁγίων καὶ κατὰ πρό-
σωπον τῆς κατασχέσεως τῆς πόλεως τὰ πρὸς θάλασσαν καὶ
ἀπὸ τῶν πρὸς θάλασσαν πρὸς ἀνατολάς, καὶ τὸ μῆκος ὡς μία
τῶν μερίδων ἀπὸ τῶν ὁρίων τῶν πρὸς θάλασσαν καὶ τὸ μῆκος
8 ἐπὶ τὰ ὅρια τὰ πρὸς ἀνατολὰς τῆς γῆς. καὶ ἔσται αὐτῷ εἰς κα- 8
τάσχεσιν ἐν τῷ Ἰσραήλ, καὶ οὐ καταδυναστεύσουσιν οὐκέτι οἱ
ἀφηγούμενοι τοῦ Ἰσραὴλ τὸν λαόν μου, καὶ τὴν γῆν κατακλη-
9 ρονομήσουσιν οἶκος Ἰσραὴλ κατὰ φυλὰς αὐτῶν. τάδε λέγει 9
Κύριος <ὁ> θεός· Ἱκανούσθω ὑμῖν, οἱ ἀφηγούμενοι τοῦ Ἰσ-
ραήλ· ἀδικίαν καὶ ταλαιπωρίαν ἀφέλεσθε καὶ κρῖμα καὶ δικαιο-
σύνην ποιήσατε, ἐξάρατε καταδυναστείαν ἀπὸ τοῦ λαοῦ μου,
10 λέγει Κύριος <ὁ> θεός. ζυγὸς δίκαιος καὶ μέτρον δίκαιον καὶ 10
11 χοῖνιξ δικαία ἔστω ὑμῖν. τὸ μέτρον καὶ ἡ χοῖνιξ ὁμοίως μία ἔ- 11
σται τοῦ λαμβάνειν· τὸ δέκατον τοῦ γομὸρ ἡ χοῖνιξ, καὶ τὸ δέ-
12 κατον τοῦ γομὸρ τὸ μέτρον, πρὸς τὸ γομὸρ ἔσται ἴσον. καὶ τὰ 12
στάθμια εἴκοσιν ὀβολοί· οἱ πέντε σίκλοι πέντε, καὶ οἱ δέκα σί-
13 κλοι δέκα, καὶ πεντήκοντα σίκλοι ἡ μνᾶ ἔσται ὑμῖν. καὶ αὕτη ἡ 13
ἀπαρχή, ἣν ἀφοριεῖτε, ἕκτον μέτρου ἀπὸ τοῦ γομὸρ τοῦ πυροῦ
14 καὶ τὸ ἕκτον τοῦ οἰφὶ ἀπὸ τοῦ κόρου τῶν κριθῶν. καὶ τὸ πρό- 14
σταγμα τοῦ ἐλαίου· κοτύλην ἐλαίου ἀπὸ δέκα κοτυλῶν, ὅτι αἱ
15 δέκα κοτύλαι εἰσὶ γομόρ. καὶ πρόβατον ἀπὸ τῶν δέκα προβά- 15
των ἀφαίρεμα ἐκ πασῶν τῶν ὁρίων τοῦ Ἰσραὴλ εἰς θυσίας καὶ
εἰς ὁλοκαυτώματα καὶ εἰς σωτηρίου τοῦ ἐξιλάσκεσθαι περὶ ὑ-
16 μῶν, λέγει Κύριος θεός. καὶ πᾶς ὁ λαὸς δώσει τὴν ἀπαρχὴν 16
17 ταύτην τῷ ἀφηγουμένῳ τοῦ Ἰσραήλ. καὶ διὰ τοῦ ἀφηγουμένου 17
ἔσται τὰ ὁλοκαυτώματα καὶ αἱ θυσίαι καὶ αἱ σπονδαὶ ἔσονται
ἐν ταῖς ἑορταῖς καὶ ἐν ταῖς νουμηνίαις καὶ ἐν τοῖς σαββάτοις
καὶ ἐν πάσαις ταῖς ἑορταῖς οἴκου Ἰσραήλ· αὐτὸς ποιήσει τὰ ὑ-

πὲρ ἁμαρτίας καὶ τὴν θυσίαν καὶ τὰ ὁλοκαυτώματα καὶ τὰ τοῦ
σωτηρίου τοῦ ἐξιλάσκεσθαι ὑπὲρ τοῦ οἴκου Ἰσραήλ.
18 Τάδε λέγει Κύριος <ὁ> θεός· Ἐν τῷ πρώτῳ μηνὶ μιᾷ τοῦ 18
μηνὸς λήψεσθε μόσχον ἐκ βοῶν ἄμωμον τοῦ ἐξιλάσασθαι τὸ ἅ-
19 γιον. καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ ἐξιλασμοῦ καὶ 19
δώσει ἐπὶ τὰς φλιὰς τοῦ οἴκου καὶ ἐπὶ τὰς τέσσαρας γωνίας
τοῦ ἱεροῦ καὶ ἐπὶ τὸ θυσιαστήριον καὶ ἐπὶ τὰς φλιὰς τῆς πύλης
20 τῆς αὐλῆς τῆς ἐσωτέρας. καὶ οὕτω ποιήσεις ἐν τῷ μηνὶ τῷ ἑ- 20
βδόμῳ, μιᾷ τοῦ μηνός, λήψῃ παρ' ἑκάστου ἀπόμοιραν καὶ ἐξι-
21 λάσεσθε τὸν οἶκον. καὶ ἐν τῷ πρώτῳ μηνί, τεσσαρεσκαιδεκάτῃ 21
τοῦ μηνός, ἔσται ὑμῖν τὸ πάσχα ἑορτή· ἑπτὰ ἡμέρας ἄζυμα ἔ-
22 δεσθε. καὶ ποιήσει ὁ ἀφηγούμενος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὑπὲρ αὐ- 22
τοῦ καὶ τοῦ οἴκου καὶ ὑπὲρ παντὸς τοῦ λαοῦ τῆς γῆς μόσχον
23 ὑπὲρ ἁμαρτίας. καὶ τὰς ἑπτὰ ἡμέρας τῆς ἑορτῆς ποιήσει ὁλο- 23
καυτώματα τῷ Κυρίῳ, ἑπτὰ μόσχους καὶ ἑπτὰ κριοὺς ἀμώ-
μους καὶ ἡμέραν, τὰς ἑπτὰ ἡμέρας, καὶ ὑπὲρ ἁμαρτίας ἔριφον
24 αἰγῶν καθ' ἡμέραν. καὶ θυσίαν πέμμα τῷ μόσχῳ καὶ πέμμα τῷ 24
25 κριῷ ποιήσεις καὶ ἐλαίου τὸ ἓν τῷ πέμματι. καὶ ἐν τῷ ἑβδόμῳ 25
μηνί, πεντεκαιδεκάτῃ τοῦ μηνός, ἐν τῇ ἑορτῇ, ποιήσεις κατὰ
τὰ αὐτὰ ἑπτὰ ἡμέρας καθὼς τὰ ὑπὲρ τῆς ἁμαρτίας καὶ καθὼς
τὰ ὁλοκαυτώματα καὶ καθὼς τὸ μαναὰ καὶ καθὼς τὸ ἔλαιον.
7 1 Τάδε λέγει Κύριος θεός· ἡ πύλη ἡ ἐν τῇ αὐλῇ τῇ ἐσωτέρᾳ 1 **46**
ἡ βλέπουσα πρὸς ἀνατολὰς ἔσται κεκλεισμένη ἓξ ἡμέρας τὰς
ἐνεργούς, ἐν δὲ τῇ ἡμέρᾳ τῶν σαββάτων ἀνοιχθήσεται καὶ ἐν
2 τῇ ἡμέρᾳ τῆς νουμηνίας ἀνοιχθήσεται. καὶ εἰσελεύσεται ὁ ἀφη- 2
γούμενος κατὰ τὴν ὁδὸν τοῦ ἀιλὰμ τῆς πόλης τῆς ἔσωθεν καὶ
στήσεται ἐπὶ τὰ πρόθυρα τῆς πύλης, καὶ ποιήσουσιν οἱ ἱερεῖς
3 τὰ ὁλοκαυτώματα αὐτοῦ καὶ τὰ τοῦ σωτηρίου αὐτοῦ· καὶ προ- 3
σκυνήσει ἐπὶ τοῦ προθύρου τῆς πύλης καὶ ἐξελεύσεται καὶ ἡ
πύλη οὐ μὴ κλεισθῇ ἕως ἑσπέρας. καὶ προσκυνήσει ὁ λαὸς τῆς
γῆς κατὰ τὰ πρόθυρα τῆς πύλης ἐκείνης ἐν τοῖς σαββάτοις καὶ
4 ἐν ταῖς νουμηνίαις ἐναντίον Κυρίου. καὶ τὰ ὁλοκαυτώματα 4
προσοίσει ὁ ἀφηγούμενος τῷ Κυρίῳ· ἐν τῇ ἡμέρᾳ τῶν σαββά-
5 των ἓξ ἀμνοὺς ἀμώμους καὶ κριὸν ἄμωμον καὶ μαναὰ πέμμα 5
τῷ κριῷ καὶ τοῖς ἀμνοῖς θυσίαν δόμα χειρὸς αὐτοῦ, καὶ ἐλαίου
6 τὸ ἓν τῷ πέμματι. καὶ ἐν τῇ ἡμέρᾳ τῆς νουμηνίας μόσχον ἄμω- 6
7 μον καὶ ἓξ ἀμνούς, καὶ κριὸς ἄμωμος ἔσται, καὶ πέμμα τῷ 7
κριῷ καὶ πέμμα τῷ μόσχῳ ἔσται μαναά, καὶ τοῖς ἀμνοῖς καθὼς
8 ἂν ἐκποιῇ ἡ χεὶρ αὐτοῦ, καὶ ἐλαίου τὸ ἓν τῷ πέμματι. καὶ ἐν 8
τῷ εἰσπορεύεσθαι τὸν ἀφηγούμενον κατὰ τὴν ὁδὸν τοῦ ἀιλὰμ
τῆς πύλης εἰσελεύσεται καὶ κατὰ τὴν ὁδὸν τῆς πύλης ἐξελεύ-
9 σεται. καὶ ὅταν εἰσπορεύηται ὁ λαὸς τῆς γῆς ἐναντίον Κυρίου 9
ἐν ταῖς ἑορταῖς, ὁ εἰσπορευόμενος κατὰ τὴν ὁδὸν τῆς πύλης
τῆς βλεπούσης πρὸς βορρᾶν προσκυνεῖν ἐξελεύσεται κατὰ τὴν
ὁδὸν τῆς πύλης τῆς πρὸς νότον, καὶ ὁ εἰσπορευόμενος κατὰ

τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς νότον ἐξελεύσεται κατὰ τὴν ὁ-
δὸν τῆς πύλης τῆς πρὸς βορρᾶν· οὐκ ἀναστρέψει κατὰ τὴν πύ-
λην, εἰς ἣν εἰσελήλυθεν, ἀλλ' ἢ κατ' εὐθὺ αὐτῆς ἐξελεύσεται.
10 καὶ ὁ ἀφηγούμενος ἐν μέσῳ αὐτῶν ἐν τῷ εἰσπορεύεσθαι αὐ- 10
τοὺς εἰσελεύσεται μετ' αὐτῶν καὶ ἐν τῷ ἐκπορεύεσθαι αὐτοὺς
11 ἐξελεύσεται. καὶ ἐν ταῖς ἑορταῖς καὶ ἐν ταῖς πανηγύρεσιν ἔσται 11
τὸ μαναὰ πέμμα τῷ μόσχῳ καὶ πέμμα τῷ κριῷ καὶ τοῖς ἀμνοῖς
12 καθὼς ἂν ἐκποιῇ ἡ χεὶρ αὐτοῦ καὶ ἐλαίου τὸ ἓν τῷ πέμματι. ἐ- 12
ὰν δὲ ποιήσῃ ὁ ἀφηγούμενος ὁμολογίαν ὁλοκαύτωμα σωτη-
ρίου τῷ Κυρίῳ, καὶ ἀνοίξῃ ἑαυτῷ τὴν πύλην τὴν βλέπουσαν
κατὰ ἀνατολὰς καὶ ποιήσει τὸ ὁλοκαύτωμα αὐτοῦ καὶ τὰ τοῦ
σωτηρίου αὐτοῦ. ὃν τρόπον ποιεῖ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων,
καὶ ἐξελεύσεται καὶ κλείσει τὰς θύρας μετὰ τὸ ἐξελθεῖν αὐτόν.
13 καὶ ἀμνὸν ἐνιαύσιον ἄμωμον ποιήσει εἰς ὁλοκαύτωμα καθ' ἡ- 13
14 μέραν τῷ Κυρίῳ, πρωῒ ποιήσει αὐτόν· καὶ μαναὰ ποιήσει ἐπ' 14
αὐτῷ τὸ πρωῒ ἕκτον τοῦ μέτρου καὶ ἐλαίου τὸ τρίτον τοῦ ἓν
τοῦ ἀναμῖξαι τὴν σεμίδαλιν μαναὰ τῷ Κυρίῳ, πρόσταγμα διὰ
15 παντός. ποιήσετε τὸν ἀμνὸν καὶ τὸ μαναὰ καὶ τὸ ἔλαιον ποιή- 15
σετε τὸ πρωῒ ὁλοκαύτωμα διὰ παντός.
16 Τάδε λέγει Κύριος ὁ θεός· Ἐὰν δῷ ὁ ἀφηγούμενος δόμα ἑ- 16
νὶ ἐκ τῶν υἱῶν αὐτοῦ ἐκ τῆς κληρονομίας αὐτοῦ, τοῦτο τοῖς
17 υἱοῖς αὐτοῦ ἔσται κατάσχεσις ἐν κληρονομίᾳ. ἐὰν δὲ δῷ δόμα 17
ἑνὶ τῶν παίδων αὐτοῦ, καὶ ἔσται αὐτῷ ἕως τοῦ ἔτους τῆς ἀφέ-
σεως, καὶ ἀποδώσει τῷ ἀφηγουμένῳ· πλὴν τῆς κληρονομίας
18 τῶν υἱῶν αὐτοῦ, αὐτοῖς ἔσται. καὶ οὐ μὴ λάβῃ ὁ ἀφηγούμενος 18
ἐκ τῆς κληρονομίας τοῦ λαοῦ τοῦ καταδυναστεῦσαι αὐτούς·
ἐκ τῆς κατασχέσεως αὐτοῦ κατακληρονομήσει τοῖς υἱοῖς αὐ-
τοῦ, ὅπως μὴ διασκορπίζηται ὁ λαός μου ἕκαστος ἐκ τῆς κα-
19 τασχέσεως αὐτοῦ. καὶ εἰσήγαγέ με εἰς τὴν εἴσοδον τῆς κατὰ 19
νώτου τῆς πύλης εἰς τὴν ἐξέδραν τῶν ἁγίων τῶν ἱερέων τὴν
βλέπουσαν πρὸς βορρᾶν, καὶ ἰδοὺ ἐκεῖ τόπος κεχωρισμένος.
20 καὶ εἶπε πρός με· Οὗτος ὁ τόπος ἐστίν, οὗ ἑψήσουσιν ἐκεῖ οἱ 20
ἱερεῖς τὰ ὑπὲρ ἀγνοίας καὶ τὰ ὑπὲρ ἁμαρτίας καὶ ἐκεῖ πέψουσι
τὸ μαναὰ τὸ παράπαν τοῦ μὴ ἐκφέρειν εἰς τὴν αὐλὴν τὴν ἐξω-
21 τέραν τοῦ ἁγιάζειν τὸν λαόν. καὶ ἐξήγαγέ με εἰς τὴν αὐλὴν τὴν 21
ἐξωτέραν καὶ περιήγαγέ με ἐπὶ τὰ τέσσαρα μέρη τῆς αὐλῆς,
22 καὶ ἰδοὺ αὐλὴ κατὰ τὸ κλίτος τῆς αὐλῆς· ἐπὶ τὰ τέσσαρα κλίτη 22
τῆς αὐλῆς αὐλὴ μικρά, μήκους πήχεων τεσσαράκοντα καὶ εὖ-
23 ρος πήχεων τριάκοντα, μέτρον ἓν τοῖς τέσσαρσι. καὶ ἐξέδραι 23
κύκλῳ ἐν αὐταῖς, κύκλῳ τοῖς τέσσαρσι, καὶ μαγειρεῖα γεγονό-
24 τα ὑποκάτω τῶν ἐξεδρῶν κύκλῳ. καὶ εἶπε πρός με· οὗτοι οἱ 24
οἶκοι τῶν μαγειρείων, οὗ ἑψήσουσιν ἐκεῖ οἱ λειτουργοῦντες
τῷ οἴκῳ τὰ θύματα τοῦ λαοῦ.
8 1 Καὶ εἰσήγαγέ με ἐπὶ τὰ πρόθυρα τοῦ οἴκου, καὶ ἰδοὺ ὕδωρ 1 **47**
ἐξεπορεύετο ὑποκάτωθεν τοῦ αἰθρίου κατὰ ἀνατολάς, ὅτι τὸ

πρόσωπον τοῦ οἴκου ἔβλεπε κατὰ ἀνατολάς, καὶ τὸ ὕδωρ κα-
τέβαινεν ἀπὸ τοῦ κλίτους τοῦ δεξιοῦ ἀπὸ νότου ἐπὶ τὸ θυσια-
2 στήριον. καὶ ἐξήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς 2
βορρᾶν καὶ περιήγαγέ με τὴν ὁδὸν ἔξωθεν πρὸς τὴν πύλην τῆς
αὐλῆς τῆς βλεπούσης κατὰ ἀνατολάς, καὶ ἰδοὺ τὸ ὕδωρ κατε-
3 φέρετο ἀπὸ τοῦ κλίτους τοῦ δεξιοῦ. καθὼς ἔξοδος ἀνδρὸς ἐξε- 3
ναντίας, καὶ μέτρον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διεμέτρησε χιλίους
ἐν τῷ μέτρῳ, καὶ διῆλθεν ἐν τῷ ὕδατι ὕδωρ ἀφέσεως· καὶ διε-
4 μέτρησε χιλίους, καὶ διῆλθεν ἐν τῷ ὕδατι ὕδωρ ἕως τῶν μη- 4
5 ρῶν· καὶ διεμέτρησε χιλίους, καὶ διῆλθεν ὕδωρ ἕως ὀσφύος· 5
καὶ διεμέτρησε χιλίους, καὶ οὐκ ἠδύνατο διελθεῖν, ὅτι ἐξύβριζε
6 τὸ ὕδωρ ὡς ῥοῖζος χειμάρρου, ὃν οὐ διαβήσονται. καὶ εἶπε 6
πρὸς με· Ἑώρακας, υἱὲ ἀνθρώπου; καὶ ἤγαγέ με καὶ ἐπέστρε-
7 ψέ με ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ. ἐν τῇ ἐπιστροφῇ μου καὶ ἰ- 7
δοὺ ἐπὶ τοῦ χείλους τοῦ ποταμοῦ δένδρα πολλὰ σφόδρα ἔνθεν
8 καὶ ἔνθεν. καὶ εἶπε πρός με· τὸ ὕδωρ τοῦτο τὸ ἐκπορευόμενον 8
εἰς τὴν Γαλιλαίαν τὴν πρὸς ἀνατολὰς καὶ κατέβαινεν ἐπὶ τὴν Ἀ-
ραβίαν καὶ ἤρχετο ἕως ἐπὶ τὴν θάλασσαν ἐπὶ τὸ ὕδωρ τῆς
9 διεκβολῆς, καὶ ὑγιάσει τὰ ὕδατα. καὶ ἔσται πᾶσα ψυχὴ τῶν ζῴ- 9
ων τῶν ἐκζεόντων ἐπὶ πάντα, ἐφ' ἃ ἂν ἐπέλθῃ ἐκεῖ ὁ ποταμός,
ζήσεται. καὶ ἔσται ἐκεῖ ἰχθὺς πολὺς σφόδρα, ὅτι ἥκει ἐκεῖ τὸ ὕ-
δωρ τοῦτο, καὶ ὑγιάσει καὶ ζήσεται· πᾶν ἐφ' ὃ ἂν ἔλθῃ ὁ ποτα-
10 μὸς ἐκεῖ, ζήσεται, καὶ στήσονται ἐκεῖ ἁλιεῖς ἀπὸ Ἐνγαδδὶ ἕως 10
Ἐναγαλίμ· ψυγμὸς σαγηνῶν ἔσται, καθ' ἑαυτὴν ἔσται, καὶ οἱ ἰ-
χθύες αὐτῆς ὡς οἱ ἰχθύες τῆς θαλάσσης τῆς μεγάλης, πλῆθος
11 πολὺ σφόδρα. καὶ ἐν τῇ διεκβολῇ αὐτοῦ καὶ ἐν τῇ ἐπιστροφῇ 11
αὐτοῦ καὶ ἐν τῇ ὑπεράρσει αὐτοῦ οὐ μὴ ὑγιάσωσιν· εἰς ἅλας
12 δέδονται. καὶ ἐπὶ τοῦ ποταμοῦ ἀναβήσεται, ἐπὶ τοῦ χείλους αὐ- 12
τοῦ ἔνθεν καὶ ἔνθεν πᾶν ξύλον βρώσιμον, οὐ μὴ παλαιωθῇ ἐπ'
αὐτοῦ, οὐδὲ μὴ ἐκλείπῃ ὁ καρπὸς αὐτοῦ· τῆς καινότητος αὐ-
τοῦ πρωτοβολήσει, διότι τὰ ὕδατα αὐτῶν ἐκ τῶν ἁγίων ταῦτα
ἐκπορεύεται, καὶ ἔσται ὁ καρπὸς αὐτῶν εἰς βρῶσιν καὶ ἀνάβα-
σις αὐτῶν εἰς ὑγίειαν.
13 Τάδε λέγει Κύριος ὁ θεός· ταῦτα τὰ ὅρια κατακληρονομή- 13
σετε τῆς γῆς, ταῖς δώδεκα φυλαῖς τῶν υἱῶν Ἰσραὴλ πρόσθε-
14 σις σχοινίσματος. καὶ κατακληρονομήσετε αὐτὴν ἕκαστος κα- 14
θὼς ὁ ἀδελφὸς αὐτοῦ, εἰς ἣν ἦρα τὴν χεῖρά μου τοῦ δοῦναι αὐ-
τὴν τοῖς πατράσιν αὐτῶν, καὶ πεσεῖται ἡ γῆ αὕτη ὑμῖν ἐν κλη-
15 ρονομίᾳ. καὶ ταῦτα τὰ ὅρια τῆς γῆς τῆς πρὸς βορρᾶν· ἀπὸ Θα- 15
λάσσης τῆς Μεγάλης τῆς καταβαινούσης καὶ περισχιζούσης
16 τῆς εἰσόδου Ἡμὰθ Σεδαδά, Βηρωθὰ Σεβωΐμ Ἡλὰμ ἀνὰ μέσον 16
ὁρίων Δαμασκοῦ καὶ ἀνὰ μέσον ὁρίων Ἡμάθ, αὐλὴ τοῦ Σαυ-
17 νάν, αἵ εἰσιν ἐπάνω τῶν ὁρίων Αὐρανίτιδος. ταῦτα τὰ ὅρια ἀ- 17
πὸ τῆς θαλάσσης ἀπὸ τῆς αὐλῆς τοῦ Ἀινάν, ὅρια Δαμασκοῦ
18 καὶ τὰ πρὸς βορρᾶν. καὶ τὰ πρὸς ἀνατολὰς ἀνὰ μέσον τῆς Αὐ- 18

ρανίτιδος καὶ ἀνὰ μέσον Δαμασκοῦ καὶ ἀνὰ μέσον τῆς Γαλαα-
δίτιδος καὶ ἀνὰ μέσον τῆς γῆς τοῦ Ἰσραήλ, ὁ Ἰορδάνης διορί-
ζει ἐπὶ τὴν θάλασσαν τὴν πρὸς ἀνατολὰς Φοινικῶνος· ταῦτα
19 τὰ πρὸς ἀνατολάς. καὶ τὰ πρὸς νότον καὶ λίβα ἀπὸ Θεμὰν καὶ 19
Φοινικῶνος ἕως ὕδατος Μεριμὼθ Κάδης παρεκτεῖνον ἐπὶ τὴν
20 Θάλασσαν τὴν Μεγάλην· τοῦτο τὸ μέρος νότος καὶ λίψ. τοῦτο 20
τὸ μέρος τῆς Θαλάσσης τῆς Μεγάλης ὁρίζει ἕως κατέναντι
τῆς εἰσόδου Ἡμάθ, ἕως εἰσόδου αὐτοῦ· ταῦτά ἐστι τὰ πρὸς
21 Θάλασσαν Ἡμάθ. καὶ διαμερίσετε τὴν γῆν ταύτην αὐτοῖς, ταῖς 21
22 φυλαῖς τοῦ Ἰσραήλ. βαλεῖτε αὐτὴν ἐν κλήρῳ ὑμῖν καὶ τοῖς προ- 22
σηλύτοις τοῖς παροικοῦσιν ἐν μέσῳ ὑμῶν, οἵτινες ἐγέννησαν
υἱοὺς ἐν μέσῳ ὑμῶν· καὶ ἔσονται ὑμῖν ὡς αὐτόχθονες ἐν τοῖς
υἱοῖς τοῦ Ἰσραήλ, μεθ' ὑμῶν φάγονται ἐν κληρονομίᾳ ἐν μέσῳ
23 τῶν φυλῶν τοῦ Ἰσραήλ· καὶ ἔσονται ἐν φυλῇ προσηλύτων ἐν 23
τοῖς προσηλύτοις τοῖς μετ' αὐτῶν, ἐκεῖ δώσετε κληρονομίαν
αὐτοῖς, λέγει Κύριος ὁ θεός.

9 1 Καὶ ταῦτα τὰ ὀνόματα τῶν φυλῶν· ἀπὸ τῆς ἀρχῆς τῆς 1 **48**
πρὸς βορρᾶν κατὰ τὸ μέρος τῆς καταβάσεως τοῦ περισχίζο-
ντος ἐπὶ τὴν εἴσοδον τῆς Ἡμὰθ αὐλῆς τοῦ Ἀινάν, ὅριον Δαμα-
σκοῦ πρὸς βορρᾶν κατὰ μέρος Ἡμὰθ αὐλῆς, καὶ ἔσται αὐτοῖς
2 τὰ πρὸς ἀνατολὰς ἕως πρὸς Θάλασσαν Δάν, μία. καὶ ἀπὸ τῶν 2
ὁρίων τοῦ Δὰν τὰ πρὸς ἀνατολὰς ἕως τῶν πρὸς Θάλασσαν
3 Ἀσσήρ, μία. καὶ ἀπὸ τῶν ὁρίων Ἀσσὴρ ἀπὸ τῶν πρὸς ἀνατο- 3
4 λὰς ἕως τῶν πρὸς Θάλασσαν Νεφθαλίμ, μία. καὶ ἀπὸ τῶν ὁ- 4
ρίων Νεφθαλὶμ ἀπὸ ἀνατολῶν ἕως τῶν πρὸς Θάλασσαν Μα-
5 νασσή, μία. καὶ ἀπὸ τῶν ὁρίων Μανασσὴ ἀπὸ τῶν πρὸς ἀνα- 5
6 ταλὰς ἕως τῶν πρὸς Θάλασσαν Ἐφραΐμ, μία. καὶ ἀπὸ τῶν ὁ- 6
ρίων Ἐφραΐμ ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς Θάλασ-
7 σαν Ῥουβήν, μία. καὶ ἀπὸ τῶν ὁρίων Ῥουβὴν ἀπὸ τῶν πρὸς ἀ- 7
8 νατολὰς ἕως τῶν πρὸς Θάλασσαν Ἰούδα, μία. καὶ ἀπὸ τῶν ὁ- 8
ρίων Ἰούδα ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν
ἔσται ἡ ἀπαρχὴ τοῦ ἀφορισμοῦ, πέντε καὶ εἴκοσι χιλιάδες εὖ-
ρος καὶ μῆκος καθὼς μία τῶν μερίδων ἀπὸ τῶν πρὸς ἀνατο-
λὰς καὶ ἕως τῶν πρὸς Θάλασσαν, καὶ ἔσται τὸ ἅγιον ἐν μέσῳ
9 αὐτῶν· ἀπαρχή, ἣν ἀφοριοῦσι τῷ Κυρίῳ, μῆκος πέντε καὶ εἴ- 9
10 κοσι χιλιάδες καὶ εὖρος εἴκοσι καὶ πέντε χιλιάδες. τούτων ἔ- 10
σται ἡ ἀπαρχὴ τῶν ἁγίων τοῖς ἱερεῦσι, πρὸς βορρᾶν πέντε καὶ
εἴκοσι χιλιάδες καὶ πρὸς θάλασσαν πλάτος δέκα χιλιάδες καὶ
πρὸς ἀνατολὰς πλάτος δέκα χιλιάδες καὶ πρὸς νότον μῆκος εἴ-
κοσι καὶ πέντε χιλιάδες, καὶ τὸ ὄρος τῶν ἁγίων ἔσται ἐν μέσῳ
11 αὐτοῦ τοῖς ἱερεῦσι τοῖς ἡγιασμένοις, **υἱοῖς Σαδδούκ,** τοῖς φυ- 11
λάσσουσι τὰς φυλακὰς τοῦ οἴκου, οἵτινες οὐκ ἐπλανήθησαν ἐν
12 τῇ πλανήσει υἱῶν Ἰσραήλ, ὃν τρόπον ἐπλανήθησαν οἱ Λευῖται, 12
καὶ ἔσται αὐτοῖς ἡ ἀπαρχὴ δεδομένη ἐκ τῶν ἀπαρχῶν τῆς γῆς,
13 ἅγιον ἁγίων ἀπὸ τῶν ὁρίων τῶν Λευϊτῶν. τοῖς δὲ Λευῖταις τὰ 13

ἐχόμενα τῶν ὁρίων τῶν ἱερέων, μῆκος πέντε καὶ εἴκοσι χιλιά-
δες, καὶ εὖρος δέκα χιλιάδες. πᾶν τὸ μῆκος πέντε καὶ εἴκοσι
14 χιλιάδες καὶ εὖρος εἴκοσι χιλιάδες. οὐ πραθήσεται ἐξ αὐτοῦ 14
οὐδὲ καταμετρηθήσεται, οὐδὲ ἀφαιρεθήσεται τὰ πρωτογενήμα-
15 τα τῆς γῆς, ὅτι ἅγιόν ἐστι τῷ Κυρίῳ. τὰς δὲ πέντε χιλιάδας 15
τὰς περισσὰς ἐπὶ τῷ πλάτει ἐπὶ ταῖς πέντε καὶ εἴκοσι χιλιάσι,
προτείχισμα ἔσται τῇ πόλει εἰς τὴν κατοικίαν καὶ εἰς διάστημα
16 αὐτοῦ, καὶ ἔσται ἡ πόλις ἐν μέσῳ αὐτοῦ. καὶ ταῦτα τὰ μέτρα 16
αὐτῆς· ἀπὸ τῶν πρὸς βορρᾶν πεντακόσιοι καὶ τετρακισχίλιοι,
καὶ ἀπὸ τῶν πρὸς νότον πεντακόσιοι καὶ τέσσαρες χιλιάδες,
καὶ ἀπὸ τῶν πρὸς ἀνατολὰς πεντακόσιοι καὶ τέσσαρες χιλιά-
δες, καὶ ἀπὸ τῶν πρὸς Θάλασσαν τετρακισχιλίους πεντακο-
17 σίους. καὶ ἔσται διάστημα τῇ πόλει πρὸς βορρᾶν διακόσιοι πε- 17
ντήκοντα καὶ πρὸς νότον διακόσιοι καὶ πεντήκοντα καὶ πρὸς
ἀνατολὰς διακόσιοι πεντήκοντα καὶ πρὸς θάλασσαν διακόσιοι
18 πεντήκοντα. καὶ τὸ περισσὸν τοῦ μήκους τὸ ἐχόμενον τῶν ἀ- 18
παρχῶν τῶν ἁγίων δέκα χιλιάδες πρὸς ἀνατολὰς καὶ δέκα χι-
λιάδες πρὸς Θάλασσαν· καὶ ἔσονται αἱ ἀπαρχαὶ τοῦ ἁγίου καὶ
ἔσται τὰ γενήματα αὐτῆς εἰς ἄρτους τοῖς ἐργαζομένοις τὴν πό-
19 λιν· οἱ δὲ ἐργαζόμενοι τὴν πόλιν ἐργῶνται αὐτὴν ἐκ πασῶν 19
20 τῶν φυλῶν τοῦ Ἰσραήλ. πᾶσα ἡ ἀπαρχὴ πέντε καὶ εἴκοσι χι- 20
λιάδες ἐπὶ πέντε καὶ εἴκοσι χιλιάδας· τετράγωνον ἀφοριεῖτε
αὐτοῦ τὴν ἀπαρχὴν τοῦ ἁγίου ἀπὸ τῆς κατασχέσεως τῆς πόλε-
21 ως. τὸ δὲ περισσὸν τῷ ἀφηγουμένῳ ἐκ τούτου καὶ ἐκ τούτου 21
ἀπὸ τῶν ἀπαρχῶν τοῦ ἁγίου καὶ εἰς τὴν κατάσχεσιν τῆς πόλε-
ως ἐπὶ πέντε καὶ εἴκοσι χιλιάδας μῆκος ἕως τῶν ὁρίων τῶν
πρὸς ἀνατολὰς καὶ πρὸς Θάλασσαν ἐπὶ πέντε καὶ εἴκοσι χιλιά-
δας ἕως τῶν ὁρίων τῶν πρὸς θάλασσαν ἐχόμενα τῶν μερίδων
τοῦ ἀφηγουμένου· καὶ ἔσται ἡ ἀπαρχὴ τῶν ἁγίων καὶ τὸ ἁγία-
22 σμα τοῦ οἴκου ἐν μέσῳ αὐτῆς. καὶ ἀπὸ τῆς κατασχέσεως τῶν 22
Λευϊτῶν καὶ ἀπὸ τῆς κατασχέσεως τῆς πόλεως ἐν μέσῳ τῶν
ἀφηγουμένων ἔσται· ἀνὰ μέσον τῶν ὁρίων Ἰούδα καὶ ἀνὰ μέ-
23 σον τῶν ὁρίων Βενιαμὶν τῶν ἀφηγουμένων ἔσται. καὶ τὸ πε- 23
ρισσὸν τῶν φυλῶν ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς Θά-
24 λασσαν Βενιαμίν, μία. καὶ ἀπὸ τῶν ὁρίων τῶν Βενιαμὶν ἀπὸ 24
25 τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς Θάλασσαν Συμεών, μία. 25
καὶ ἀπὸ τῶν ὁρίων τῶν Συμεὼν ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως
26 τῶν πρὸς Θάλασσαν Ἰσσάχαρ, μία. καὶ ἀπὸ τῶν ὁρίων τῶν Ἰσ- 26
σάχαρ ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς Θάλασσαν Ζα-
27 βουλών, μία. καὶ ἀπὸ τῶν ὁρίων τῶν Ζαβουλὼν ἀπὸ τῶν 27
28 πρὸς ἀνατολὰς ἕως τῶν πρὸς Θάλασσαν Γάδ, μία. καὶ ἀπὸ 28
τῶν ὁρίων τῶν Γὰδ ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς λί-
βα καὶ ἔσται τὰ ὅρια αὐτοῦ ἀπὸ Θεμὰν καὶ ὕδατος Μεριμὼθ
29 Κάδης κληρονομίας ἕως τῆς Θαλάσσης τῆς Μεγάλης. αὕτη ἡ 29
γῆ, ἣν βαλεῖτε ἐν κλήρῳ ταῖς φυλαῖς τοῦ Ἰσραήλ, καὶ οὗτοι οἱ

30 διαμερισμοὶ αὐτῶν, λέγει Κύριος ὁ θεός. καὶ αὗται αἱ διεκβο- 30
31 λαὶ τῆς πόλεως αἱ πρὸς βορρᾶν, τετρακισχίλιοι καὶ πεντακό- 31
σιοι μέτρῳ. καὶ αἱ πύλαι τῆς πόλεως ἐπ' ὀνόμασι φυλῶν τοῦ
Ἰσραήλ· πύλαι τρεῖς πρὸς βορρᾶν, πύλη Ῥουβὴν μία καὶ πύλη
32 Ἰούδα μία καὶ πύλη Λευΐ μία. καὶ τὰ πρὸς ἀνατολὰς τετρακι- 32
σχίλιοι καὶ πεντακόσιοι· καὶ πύλαι τρεῖς, πύλη Ἰωσὴφ μία καὶ
33 πύλη Βενιαμὶν μία καὶ πύλη Δὰν μία. καὶ τὰ πρὸς νότον τετρα- 33
κισχίλιοι καὶ πεντακόσιοι μέτρῳ· καὶ πύλαι τρεῖς, πύλη Συμε-
34 ὼν μία καὶ πύλη Ἰσσάχαρ μία καὶ πύλη Ζαβουλὼν μία. καὶ τὰ 34
πρὸς Θάλασσαν τετρακισχίλιοι καὶ πεντακόσιοι μέτρῳ πύλαι
35 τρεῖς, πύλη Γὰδ μία καὶ πύλη Ἀσσὴρ μία καὶ πύλη Νεφθαλὶμ 35
μία. κύκλωμα δέκα καὶ ὀκτὼ χιλιάδες. καὶ τὸ ὄνομα τῆς πόλε-
ως, ἀφ' ἧς ἂν ἡμέρας γένηται. ἔσται τὸ ὄνομα αὐτῆς.....

Καταμέτρησι τῶν σχολίων

κομμάτια

Γε 137	Πα 91	Σο 1	Βρ 3	Α΄ Θε 2	Α΄ Ἰω 1
Νο 156	Ἰν 3	Θρ 3	Δα 4	Γα 1	Ἀπ 14
Δε 34	Αἰ 3	Ἀμ 1	Ἀγ 2	Α΄ Κο 2	
Ἰη 37	Ἀν 26	Ὠσ 2	Ζα 12	Ῥω 6	Π.Δ. 1208
Κρ 29	Ψα 256	Ἠσ 49	Μα 3	Φι 1	Κ.Δ. 63
Δν 4	Πμ 5	Μχ 1	Μθ 7	Ἐφ 1	Βίβλος 1271
Βε 6	Ἰβ 18	Να 1	Λκ 9	Α΄ Τι 2	
Ῥθ 2	Ἄσ 3	Ἀβ 2	Ἰω 4	Β΄ Τι 2	
Δδ 64	Ἐκ 7	Ἰε 43	Μρ 6	Α΄ Πε 2	
Βα 106	Πδ 2	Ἰζ 92	Πξ 1	Ἰδ 2	

καί				*δέ*
Ψα 173	Ἠσ 171	Ἰε 188	Ζα 8	Ἰβ 36
Ἐκ 34	Σφ 2	Ἰζ 161	σύνολο 737	σύνολο 36

Γενικὴ καταμέτρησι

Παλαιὰ Διαθήκη		Καινὴ Διαθήκη		Βίβλος	
κομμάτια	1271	*κομμάτια*	63		
καί	737				
δέ	36				
σύνολο	2044	σύνολο	63	γενικὸ σύνολο	**2.107**

2. ΣΧΟΛΙΑ
ΕΙΣ ΤΗΝ ΚΑΙΝΗΝ ΔΙΑΘΗΚΗΝ

Μθ 1+ **1** Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ, Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰα- 2 **1**
κώβ, Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐ-
τοῦ, Ἰούδας δὲ ἐγέννησε τὸν Φαρὲς καὶ τὸν Ζαρὰ ἐκ τῆς Θά- 3
μαρ, Φαρὲς δὲ ἐγέννησε τὸν Ἐσρώμ, Ἐσρὼμ δὲ ἐγέννησε τὸν 4
Ἀράμ, Ἀρὰμ δὲ ἐγέννησε τὸν Ἀμιναδάβ, Ἀμιναδὰβ δὲ ἐγέννη-
σε τὸν Ναασσών, Ναασσὼν δὲ ἐγέννησε τὸν Σαλμών, Σαλ- 5
μὼν δὲ ἐγέννησε τὸν Βοὸζ ἐκ τῆς Ῥαχάβ, Βοὸζ δὲ ἐγέννησε
τὸν Ὠβὴδ ἐκ τῆς Ῥούθ, Ὠβὴδ δὲ ἐγέννησε τὸν Ἰεσσαί, Ἰεσσαὶ 6
δὲ ἐγέννησε τὸν Δαυῖδ τὸν βασιλέα. Δαυῖδ δὲ ὁ βασιλεὺς ἐγέν-
νησε τὸν Σολομῶνα ἐκ τῆς τοῦ Οὐρίου, Σολομὼν δὲ ἐγέννησε
τὸν Ῥοβοάμ, Ῥοβοὰμ δὲ ἐγέννησε τὸν Ἀβιά, Ἀβιὰ δὲ ἐγέννη- 7
σε τὸν Ἀσά, Ἀσὰ δὲ ἐγέννησε τὸν Ἰωσαφάτ, Ἰωσαφὰτ δὲ ἐ- 8
γέννησε τὸν Ἰωράμ, Ἰωρὰμ δὲ ἐγέννησε τὸν Ὀζίαν, Ὀζίας δὲ 9
ἐγέννησε τὸν Ἰωάθαμ, Ἰωάθαμ δὲ ἐγέννησε τὸν Ἄχαζ, Ἄχαζ 10
δὲ ἐγέννησε τὸν Ἐζεκίαν, Ἐζεκίας δὲ ἐγέννησε τὸν Μανασσῆ,
Μανασσῆς δὲ ἐγέννησε τὸν Ἀμών, Ἀμὼν δὲ ἐγέννησε τὸν Ἰω- 11
σίαν, Ἰωσίας δὲ ἐγέννησε τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐ-
τοῦ ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος. μετὰ δὲ τὴν μετοικεσίαν 12
Βαβυλῶνος Ἰεχονίας ἐγέννησε τὸν Σαλαθιήλ, Σαλαθιὴλ δὲ ἐ-
γέννησε τὸν Ζοροβάβελ, Ζοροβάβελ δὲ ἐγέννησε τὸν Ἀβιούδ, 13
Ἀβιοὺδ δὲ ἐγέννησε τὸν Ἐλιακείμ, Ἐλιακεὶμ δὲ ἐγέννησε τὸν
Ἀζώρ, Ἀζὼρ δὲ ἐγέννησε τὸν Σαδώκ, Σαδὼκ δὲ ἐγέννησε τὸν 14
Ἀχείμ, Ἀχεὶμ δὲ ἐγέννησε τὸν Ἐλιούδ, Ἐλιοὺδ δὲ ἐγέννησε 15
τὸν Ἐλεάζαρ, Ἐλεάζαρ δὲ ἐγέννησε τὸν Ματθάν, Ματθὰν δὲ ἐ- 16
γέννησε τὸν Ἰακώβ, Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰωσὴφ τὸν ἄν-
δρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστός. πᾶ- 17
σαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαυῖδ γενεαὶ δεκατέσσα-
ρες, καὶ ἀπὸ Δαυῖδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος γενεαὶ δε-
κατέσσαρες, καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ
Χριστοῦ γενεαὶ δεκατέσσαρες. *(Βλ. Λκ 14,23 έ.· σχόλιον ᾧας).*

2 Τοῦ [δὲ] Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν. μνηστευ- 18
θείσης [γὰρ]...

48 4 5 ...ὅτε ἐπείνασε; [αὐτὸς καὶ οἱ μετ' αὐτοῦ]. πῶς εἰσῆλθεν εἰς 3 4 **12**

τὸν οἶκον τοῦ θεοῦ καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἐξὸν αὐτῷ φαγεῖν [οὐδὲ τοῖς μετ' αὐτοῦ], εἰ μὴ μόνοις τοῖς ἱερεύσιν;

78 9 ...καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν. [τοῦτο δὲ τὸ γένος οὐκ ἐκπορεύεται εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.] *(Βλ. Μρ 37,20· σχόλιον ᾧας).* 21 **17**

Λκ

14 23 ...ὁ υἱός μου ὁ ἀγαπητός, ἐν σοὶ εὐδόκησα. [Καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος, ὤν, ὡς ἐνομίζετο, υἱὸς Ἰωσήφ, τοῦ Ἠλί, τοῦ Ματθάν, τοῦ Λευΐ, τοῦ Μελχί, τοῦ Ἰωαννᾶ, τοῦ Ἰωσήφ, τοῦ Ματταθίου, τοῦ Ἀμώς, τοῦ Ναούμ, τοῦ Ἐσλίμ, τοῦ Ναγγαί, τοῦ Μαάθ, τοῦ Ματταθίου, τοῦ Σεμεΐ, τοῦ Ἰωσήχ, τοῦ Ἰωδά, τοῦ Ἰωαννάν, τοῦ Ῥησά, τοῦ Ζοροβάβελ, τοῦ Σαλαθιήλ, τοῦ Νηρί, τοῦ Μελχί, τοῦ Ἀδδί, τοῦ Κωσάμ, τοῦ Ἐλμωδάμ, τοῦ Ἤρ, τοῦ Ἰωσῆ, τοῦ Ἐλιέζερ, τοῦ Ἰωρίμ, τοῦ Ματθάτ, τοῦ Λευΐ, τοῦ Συμεών, τοῦ Ἰούδα, τοῦ Ἰωσήφ, τοῦ Ἰωνᾶ, τοῦ Ἐλιακείμ, τοῦ Μελεᾶ, τοῦ Μαϊνάν, τοῦ Ματταθά, τοῦ Νάθαν, τοῦ Δαυΐδ, τοῦ Ἰεσσαί, τοῦ Ὠβήδ, τοῦ Βοόζ, τοῦ Σαλμών, τοῦ Ναασσών, τοῦ Ἀμιναδάβ, τοῦ Ἀράμ, τοῦ Ἰωράμ, τοῦ Ἐσρώμ, τοῦ Φαρές, τοῦ Ἰούδα, τοῦ Ἰακώβ, τοῦ Ἰσαάκ, τοῦ Ἀβραάμ, τοῦ Θάρα, τοῦ Ναχώρ, τοῦ Σερούχ, τοῦ Ῥαγαῦ, τοῦ Φάλεκ, τοῦ Ἔβερ, τοῦ Σαλά, τοῦ Καϊνάν, τοῦ Ἀρφαξάδ, τοῦ Σήμ, τοῦ Νῶε, τοῦ Λάμεχ, τοῦ Μαθουσάλα, τοῦ Ἐνώχ, τοῦ Ἰάρεδ, τοῦ Μαλελεήλ, τοῦ Καϊνάν, τοῦ Ἐνώς, τοῦ Σήθ, τοῦ Ἀδάμ, τοῦ θεοῦ.] *(Βλ. Μθ 1,1 έ.· σχόλιον ᾧας).* 23 24 25 26 27 28 29 30 31 32 33 34 35 36 37 38 **3**

24 9 [καὶ] ὅταν ἀπαρθῇ... 35 **5**

25 3 4 ...ὁπότε ἐπείνασεν; [αὐτὸς καὶ οἱ μετ' αὐτοῦ ὄντες]. ὡς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔλαβε καὶ ἔφαγε, [καὶ ἔδωκε καὶ τοῖς μετ' αὐτοῦ,] οὓς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς; 4 **6**

85 6 καὶ εἶπον [οἱ ἀπόστολοι τῷ Κυρίῳ·] Πρόσθες ἡμῖν πίστιν. εἶπε δέ [ὁ Κύριος]· Εἰ εἴχετε πίστιν... *(Τὰ ἐντὸς ἀγκυλῶν [...] ἑρμηνευτικὰ σχόλια τῆς ᾧας).* 5 6 **17**

102 15+ ...τῷ τὰς δέκα μνᾶς ἔχοντι. [καὶ εἶπον αὐτῷ· Κύριε, ἔχει δέκα μνᾶς.] 25 **19**

116 5 ...ἐρεῖτε τῷ οἰκοδεσπότῃ [τῆς οἰκίας]... 11 **22**

132 3 ...οὐχ εὗρον τὸ σῶμα τοῦ [Κυρίου] Ἰησοῦ... 3 **24**

Ἰω

8 4 ...ποιήσας φραγέλλιον ἐκ σχοινίων [πάντας] ἐξέβαλεν ἐκ τοῦ 15 **2**
ἱεροῦ τά τε πρόβατα καὶ τοὺς βόας...

16 1 ...τῆς θαλάσσης [τῆς Γαλιλαίας] τῆς Τιβεριάδος... 1 **6**

22 18+ ...ἐρεύνησον καὶ ἴδε ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγή- 53 **7**
γερται. [Καὶ ἀπῆλθεν ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ.
Ἰησοῦς δὲ ἐπορεύθη εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν· ὄρθρου δὲ 1 2 **8**
πάλιν παρεγένετο εἰς τὸ ἱερόν, καὶ πᾶς ὁ λαὸς ἤρχετο πρὸς
αὐτόν· καὶ καθίσας ἐδίδασκεν αὐτούς. ἄγουσι δὲ οἱ γραμμα- 3
τεῖς καὶ οἱ φαρισαῖοι γυναῖκα ἐπὶ μοιχείᾳ κατειλημμένην, καὶ
στήσαντες αὐτὴν ἐν μέσῳ λέγουσιν αὐτῷ· Διδάσκαλε, αὕτη ἡ 4
γυνὴ κατείληπται ἐπ' αὐτοφώρῳ μοιχευομένη· καὶ ἐν τῷ Νό- 5
μῳ ἡμῶν Μωϋσῆς ἐνετείλατο τὰς τοιαύτας λιθάζειν. σὺ οὖν τί 6
λέγεις; τοῦτο δὲ εἶπον ἐκπειράζοντες αὐτόν, ἵνα σχῶσι κατη-
γορίαν κατ' αὐτοῦ. ὁ δὲ Ἰησοῦς κάτω κύψας τῷ δακτύλῳ ἔ- 7
γραφεν εἰς τὴν γῆν. ὡς δὲ ἐπέμενον ἐρωτῶντες αὐτόν, ἀνέκυ-
ψε καὶ εἶπεν αὐτοῖς· Ὁ ἀναμάρτητος ὑμῶν πρῶτος βαλέτω λί-
θον ἐπ' αὐτήν. καὶ πάλιν κάτω κύψας ἔγραφεν εἰς τὴν γῆν. οἱ 8 9
δὲ ἀκούσαντες ἐξήρχοντο εἷς καθ' εἷς, ἀρξάμενοι ἀπὸ τῶν
πρεσβυτέρων. καὶ κατελείφθη ὁ Ἰησοῦς καὶ ἡ γυνὴ ἐν μέσῳ 10
οὖσα. ἀνακύψας δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῇ· Γύναι, ποῦ εἰσιν; οὐ- 11
δείς σε κατέκρινεν; ἡ δὲ εἶπεν· Οὐδείς, Κύριε. εἶπε δὲ ὁ Ἰη-
σοῦς· Οὐδὲ ἐγώ σε κατακρίνω· πορεύου καὶ ἀπὸ τοῦ νῦν μη-
κέτι ἁμάρτανε.]

51 11+ ...ἀλλ' ''Εὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ;'. 23 **21**
[Οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων καὶ γρά- 24
ψας ταῦτα, καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ.] ἔ- 25
στι δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς,

Μρ

4 3 Σίμωνα καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ [τοῦ Σίμωνος] 16 **1**

11 4 ...καὶ ἐπείνασε; [αὐτὸς καὶ οἱ μετ' αὐτοῦ] πῶς εἰσῆλθεν εἰς τὸν 25 **2**
οἶκον τοῦ θεοῦ [ἐπὶ Ἀβιάθαρ ἀρχιερέως] καὶ τοὺς ἄρτους...
τοῖς ἱερεῦσι; [καὶ ἔδωκε καὶ τοῖς σὺν αὐτῷ οὖσι].

37 20 ...καὶ εἶπεν αὐτοῖς· <Διὰ τὴν ἀπιστίαν ὑμῶν>. [Τοῦτο τὸ γέ- 29 **9**
νος ἐν οὐδενὶ δύναται ἐξελθεῖν εἰ μὴ ἐν προσευχῇ καὶ νη-
στείᾳ]. *(Βλ. Μθ 78,9· σχόλιον ᾧας).*

58 1 ...οὐδὲ οἱ ἄγγελοι ἐν οὐρανῷ, [οὐδὲ ὁ υἱός,] εἰ μὴ ὁ πατήρ. 32 **13**

Πξ

46 4+ ...πρὸς τοὺς ἀποστόλους. [ἔδοξε δὲ τῷ Σίλᾳ ἐπιμεῖναι αὐτοῦ.] 33 **15**

Α΄Κο

26 9 ...ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς. [διὰ τοὺς ἀγγέλους]. 10 **11**

29 19 καὶ [οὓς μὲν] ἔθετο ὁ θεὸς... 28 **12**

Ῥω

29 17 ...Ἑρμᾶν, Πατρόβαν, [Ἑρμῆν]... 14 **16**

Ἰδ **Ἰδ**

3 2 ...τετήρηται. [Προεφήτευσε δὲ καὶ τούτοις ἕβδομος ἀπὸ Ἀδὰμ 14
Ἐνὼχ λέγων· Ἰδοὺ ἦλθε Κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ ποι- 15
ῆσαι κρίσιν κατὰ πάντων καὶ ἐλέγξαι πάντας τοὺς ἀσεβεῖς αὐ-
τῶν περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν
καὶ περὶ πάντων τῶν σκληρῶν ὧν ἐλάλησαν κατ' αὐτοῦ ἁμαρ-
τωλοὶ ἀσεβεῖς]. *(Ἀπόσπασμα ἐξ ἀποκρύφων).*

9 ...ἐκ [τοῦ] πυρὸς ἁρπάζοντες 22

Α΄Ἰω

14 8 ...τρεῖς εἰσιν οἱ μαρτυροῦντες [ἐν τῷ οὐρανῷ, ὁ πατήρ, ὁ Λό- 7 **5**
γος καὶ τὸ ἅγιον πνεῦμα καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσι· καὶ τρεῖς εἰ-
σιν οἱ μαρτυροῦντες ἐν τῇ γῇ] τὸ πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ 8
αἷμα, καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν.

Ἀπ

1 1+ Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ θεός, δεῖ- 1 **1**
ξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει. καὶ ἐσήμανεν
ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ,
ὃς ἐμαρτύρησε τὸν λόγον τοῦ θεοῦ καὶ τὴν μαρτυρίαν Ἰησοῦ 2
Χριστοῦ, ὅσα εἶδε. μακάριος ὁ ἀναγινώσκων καὶ οἱ ἀκούοντες 3
τοὺς λόγους τῆς προφητείας καὶ τηροῦντες τὰ ἐν αὐτῇ γε-
γραμμένα· ὁ γὰρ καιρὸς ἐγγύς. *(Βλ. 2,11· 38,1-2).*

12 ...ἐδόθη αὐτοῖς [ἑκάστῳ] στολὴ λευκή, καὶ ἐρρέθη αὐτοῖς ἵνα 11 **6**
ἀναπαύσωνται ἔτι χρόνον [μικρόν], ἕως πληρωθῶσι...

24 8+ ...ὁ ἔχων τὸ χάραγμα, τὸ ὄνομα τοῦ θηρίου. [ἢ τὸν ἀριθμὸν 17 **13**
τοῦ ὀνόματος αὐτοῦ. ὧδε ἡ σοφία ἐστιν· ὁ ἔχων νοῦν ψηφισά- 18
τω τὸν ἀριθμὸν τοῦ θηρίου· ἀριθμὸς γὰρ ἀνθρώπου ἐστί· καὶ ὁ
ἀριθμὸς αὐτοῦ ΧΞF.]

28 2 ἐκ τῆς εἰκόνος αὐτοῦ [καὶ ἐκ τοῦ ἀριθμοῦ τοῦ ὀνόματος αὐτοῦ] 2 **15**

29 13 ...τοῦ παντοκράτορος. [Ἰδοὺ ἔρχομαι ὡς κλέπτης· μακάριος ὁ 15 **16**
γρηγορῶν καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ, ἵνα μὴ γυμνὸς περιπατῇ
καὶ βλέπωσι τὴν ἀσχημοσύνην αὐτοῦ.] *(Βλ. κεφ. 7,4-5).*

34 10 ...συναγαγεῖν αὐτοὺς εἰς [τὸν] πόλεμον 8 **20**

36 4 ...ἐξαλείψει [ἀπ' αὐτῶν] ὁ θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλ- 4 **21**
μῶν αὐτῶν

5 [καὶ εἶπέ μοι·] γέγονεν 6

37 1 ...Δεῦρο δείξω σοι τὴν νύμφην [τὴν γυναῖκα] τοῦ ἀρνίου 9

4 ...ὀνόματα ἐπιγεγραμμένα, ἅ ἐστιν [ὀνόματα] τῶν δώδεκα φυλῶν 12

40 4+ ...ὁ θέλων λαβέτω ὕδωρ ζωῆς δωρεάν. 17 **22**

[Μαρτυρῶ ἐγὼ παντὶ τῷ ἀκούοντι τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου. Ἐάν τις ἐπιθῇ ἐπὶ ταῦτα, ἐπιθήσει ὁ θεὸς ἐπ' αὐτὸν τὰς πληγὰς τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τούτῳ· καὶ ἐάν τις ἀφέλῃ ἀπὸ τῶν λόγων τοῦ βιβλίου τῆς προφητείας ταύτης, ἀφελεῖ ὁ θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ ἐκ τῆς πόλεως τῆς ἁγίας, τῶν γεγραμμένων ἐν τῷ βιβλίῳ τούτῳ.] *(Ἀρὰ συνήθης στὰ χειρόγραφα).* 18 19

Ἀμήν· *(ὡς κατακλεὶς 24 βιβλίων, πλὴν τῶν Πξ Ἰα Γ΄ Ἰω). καὶ μέσα στὸ κείμενο ὡς κατακλεὶς δοξολογικῶν ἐκφράσεων τῶν ἀποστόλων στὰ ἀκόλουθα χωρία· Μθ 20,12· Α΄ Θε 11,4· 6,4· Γα 1,5· Ῥω 3,8· 18,5· 22,27· 25,28· 28,12· Φι 11,12· Ἐφ 4,21· Ἐβ 19,3· Α΄ Τι 3,6· 20,6· Β΄ Τι 10,10· 11,6· Α΄ Πε 11,12· 15,2· Ἀπ 1,3· 14,4.*

(ὀβελίζεται ὡς λειτουργικὴ προσθήκη μεταγενέστερη)

ΛΕΥΚΗ

ΕΥΡΕΤΗΡΙΟΝ ΟΝΟΜΑΤΩΝ

Ἀπὸ τὰ βιβλία τῆς Ε.Π.Ι.ΓΡΑ δὲν εὑρετηριάζονται ὅσα εἶναι ἄλλες μεταφράσεις βιβλικῶν κειμένων, ὅσα εἶναι κείμενα πασιγνώστων συγγραφέων ὅπως ὁ Φίλων κι ὁ Ἰώσηπος, ποὺ ἔχουν εὑρετήρια στὶς ὁλόκληρες ἐκδόσεις των, καὶ ὅσα εἶναι παραμύθια.

Βραχυγραφίαι

Ἐπιγρ	Ἐπιγραφαὶ
Μακ	Τὰ κατὰ Ἰούδαν τὸν Μακκαβαῖον
ΜακΕπ	Μακκαβαϊκαὶ Ἐπιστολαί
Οἶκ	Βίβλος τοῦ Οἴκου τῶν Βασιλέων τοῦ Θεοῦ
Παπ	Πάπυροι
Προσ	Προσευχητάριον τοῦ Ἰουδαίου
ΠρολΣιρ	Πρόλογος εἰς τὴν Σοφίαν Ἰησοῦ υἱοῦ Σιράχ
Σιρ	Σοφία Ἰησοῦ υἱοῦ Σιράχ
ΨαΔα	Ψαλμὸς εἰς Δαυΐδ
ΨαΣο	Ψαλμοὶ Σολομῶντος

Χρονικὴ σειρά

ΨαΔα
Σιρ
Μακ
ΜακΕπ
Οἶκ
ΠρολΣιρ
ΨαΣο
Προσ
Επιγρ
Παπ

Ἀαρών Σιρ 119,16˙ 146,4˙ 68˙ 78˙ 147,17˙ 22˙ Οἶκ 30,4
Ἀβέλλοι Πάπ 2[a]
Ἀβεσσαλώμ (τις) Μακ 28,4˙ Οἶκ 55,2
Ἀβεσσαλῶμος Οἶκ 50,4
Ἀβιρών Σιρ 146,65
Ἄβουβος Οἶκ 69,1˙ 2
Ἀβραάμ Σιρ 146,22˙ 28˙ ΜακΕπ 2, 2˙ Οἶκ 10,1˙ 52,4˙ ΨαΣο 9,26˙ 18,7˙ Προσ 1,27˙ 4,2˙ 17
Ἀγάθων Παπ 1
Ἀγρεοφῶν Καύνιος Παπ 1
Ἀδάμ Σιρ 110,4˙ 132,1˙ 146,208
Ἀδάρ Μακ 44,10˙ Οἶκ 32,4˙ 5
Ἀδασά (πόλις) Οἶκ 32,3˙ 4
Ἀδελφοὶ θεοί (= Πτολεμαῖοι) Παπ 1
Ἀδιδά Οἶκ 53,4˙ 56,1
Ἄδωρα Οἶκ 56,2
Ἀερμών Σιρ 78,14
Ἀζαρίας Οἶκ 10,1˙ 19,3˙ 23,1˙ 2
Ἄζωτος Οἶκ 15,4˙ 23,3˙ 35,5˙ 46,2˝˙ 3˝˙ 47,2˝˙ 63,4˙ 68,4
Ἀθηναῖος Παπ 1˙ Ἀθηναῖοι Μακ 20,6
Ἀθήναιος Μακ 11,6
Ἀθηνόβιος˙ Οἶκ 66,2˙ 3˝
Αἴγυπτος Μακ 7,2˙ 10,1˙ 3˙ 11,1˙ 21,4˙ ΜακΕπ 1,1˙ 2,2˙ Οἶκ 3,1˝˙ 2˙ 10,1˙ 13,2˙ 47,1˙ 4˙ 50,1˙ ΠρολΣιρ, 4˙ ΨαΣο 2,55
Ἀκκαρών Οἶκ 46,4
Ἀκκώς Οἶκ 33,5
Ἄλεμα Οἶκ 20,1
Ἀλεξάνδρεια Παπ 1˙ 152
Ἀλέξανδρος Μακεδὼν ὁ μέγας Οἶκ 1,1˙ 2˙ 24,1
Ἀλέξανδρος Ἀντιόχου Ἐπιφανής Οἶκ 40,1˙ 2˙ 41,1˙ 2˙ 42,1˙ 10˙ 43,1˝˙ 2˙ 44,1˙ 45,1˙ 46,4˙ 47,1˝˙ 3˝˙ 4˝˙ 49,1˝
Ἀλέξανδρος ἱερεύς Παπ 1
Ἁλικαρνασσός Οἶκ 65,3
Ἄλκιμος (ἀρχιερεύς) Μακ 40,1˙ 3˙ 42,1˙ Οἶκ 30,2˙ 3˙ 4˙ 5˙ 6˝˙ 7˙ 35,1˙ 38,1˝˙ 2˝
Ἀμαθῖτις χώρα Οἶκ 53,1
Ἀμμανῖτις (χώρα) Μακ 8,2˙ 10,2˙ Παπ 1
Ἀμμὼν υἱοὶ Οἶκ 18,3
Ἀνανίας Οἶκ 10,1
Ἀνάνιος Παπ 1

Ἀνδρόνικος Μακ 8,3‴˙ 9,1˙ 11,4
Ἀντιόχεια Μακ 11,4˙ 19,3˙ 29,1˙ 39,1˙ 2˙ 42,1˙ Οἶκ 13,4˙ 16,3˙ 29,3˙ 45,1˙ 47,4˙ 49,2˙ 50,1
Ἀντιοχεῖς Μακ 6,1˙ 7,1
Ἀντιοχὶς (γυνή) Μακ 8,3
Ἀντίοχος Γ΄ Οἶκ 1,3˙ 33,2
Ἀντίοχος Δ΄ Ἐπιφανής Μακ 1,1˙ 6,1˙ 7,2˙ 9,1˙ 10,1˙ 2˙ 11,2˙ 4˙ 15,11˙ 20,1‴˙ 3˙ 4˙ 2,3˙ 23,2˙ ΜακΕπ 1,3‴˙ 24,1˙ 25,3˙ 29,1
Ἀντίοχος Ε΄ Εὐπάτωρ Μακ 1,1˙ 23,1˙ 2˙ 28,2˙ 3˙ 37,1˙ 40,1˙ Οἶκ 13,2˙ 24,3˙ 25,3˙ 29,1˙ 30,1˙ 40,1
Ἀντίοχος Ἀλεξάνδρου Οἶκ 49,1˙ 50,1‴˙ 54,˙ 58,1
Ἀντίοχος F΄ Οἶκ 64,1‴˙ 3‴˙ 66,1
Ἀντίοχός τις Οἶκ 52,3˙ 62,2
Ἀντίπατρος Ἰάσονος Οἶκ 52,3˙ 62,2
Ἀπολλώνιος Μακ 11,4˙ 12,1‴˙ Οἶκ 45,1˙ 46,1‴˙ 2‴
Ἀπολλώνιος Παπ 1
Ἀπολλώνιος Γενναίου Μακ 30,1
Ἀπολλώνιος Θρασαίου Μακ 2,2˙ 3
Ἀπολλώνιος Μενεσθέως Μακ 5,2˙ 7,2
Ἀπολλοφάνης Μακ 26,2
Ἀπφοῦς Οἶκ 6,1
Ἄραβες Μακκ 10,3˙ 31,1‴˙ Οἶκ 21,1˙ 47,4˙ 53,2
Ἀραβία Οἶκ 47,4
Ἄραδος Οἶκ 65,3
Ἄραψ (ὄνομα ἀνθρώπου) Παπ 152
Ἀρβατηνή (χώρα) Οἶκ 18,1
Ἄρβαττα Οἶκ 19,4
Ἄρβηλα (πόλις) Οἶκ 35,1
Ἄρειος (βασ. Σπάρτης) 52,1˙ 4
Ἀρέτας (τύραννος Ἀράβων) Μακ 10,3
Ἀριαράθης Οἶκ 65,3
Ἀριστόβουλος ΜακΕπ 1,1
Ἀρποχράτιον (ἡ) Παπ 152
Ἀρσάκης (βασ. Περσίδος) Οἶκ 60,1‴˙ 65,3
Ἀρσινόη Φιλάδελφος Παπ 1
Ἀσία Μακ 2,1˙ 25,1˙ Οἶκ 33,2˙ 47,4‴˙ 54,1˙ 58,1
Ἀσιδαῖοι (=Χασιδίμ) Μακ 40,2˙ Οἶκ 9,1˙ 30,4
Ἀσκάλων Οἶκ 46,3˙ 50,2˙ 53,3
Ἀσπένδιος Παπ 1
Ἀσσούρ Προσ 5,8
Ἀσσύριοι Σιρ 146,181˙ Οἶκ 32,3
Ἀσφάρ Οἶκ 37,1
Ἀταργατεῖον Μακ 34,1
Ἄτταλος Οἶκ 65,3
Αὐαράν Οἶκ 6,1˙ 28,1
Ἀφαίρεμα (νομὸς Παλαιστίνης) Οἶκ 48,4

Βαβυλών Οἶκ 24,1˙ Βαβυλωνία Μακ 18,2
Βαιτιανάτοι Παπ 2[a]
Βακήνωρ Μακ 35,1
Βακχίδης μακ 19,1˙ Οἶκ 30,3˙ 4˙ 5‴˙ 35,1˙ 4˙ 5˙ 36,1‴˙ 2˙ 37,1‴˙ 3˙ 4‴˙ 38,2˙ 39,1˙ 2˙ 3˙ 40,4
Βασάν Οἶκ 18,2
Βασκαρά Οἶκ 56,3
Βεθβασί Οἶκ 39,2
Βεθζαχαρία Οἶκ 27,1˙ 2
Βεθήλ Οἶκ 37,5
Βεθσάν Οἶκ 22,3˙ 54,1‴
Βεθσούρα Μακ 27,2˙ 39,1‴˙ Οἶκ 17,16˙ 24,2˙ 26,3˙ 27,1˙ 28,2‴˙ 37,5˙ 40,4˙ 50,3˙ 63,3˙ τῶν Βεθσούρων Οἶκ 61,2˙ ἐν Βεθσούροις Οἶκ 16,1
Βεθωρών Οἶκ 12,2˙ 4˙ 32,3˙ 37,5
Βενιαμίν (φυλὴ) Μακ 2,2
Βερέα Οἶκ 35,2
Βέροια (Παλαιστινή) Μακ 37,2
Βηθσαγών (ναός) 46,3
Βηθζαΐδ (=Βηθσαϊδά) Οἶκ 30,5
Βίρτα Παπ 1
Βοσόρα Οἶκ 20,1˙ 2˙ 4
Βοτέης Μιλήσιος Παπ 1

Γαδδίς (Ἰωάννης Γαδδίς) Οἶκ 6,1
Γάζα Οἶκ 40,2‴
Γάζαρα Μακ 25,2˙ Οἶκ 32,4˙ 37,5˙ 59,1˙ 4˙ 61,2˙ 63,4˙ 66,2˙ 3˙ 4˙ 68,1˙ 69,3
Γαζηρών Οἶκ 15,4
Γαλαάδ Οἶκ 19,1˙ 23,1
Γαλαα δῖτις Οἶκ 19,3‴˙ 20,1‴˙ 4˙ 22,1˙ 56,3
Γαλάται Μακ 18,2˙ Οἶκ 33,1
Γάλγαλα Οἶκ 35,1
Γαλιλαία Οἶκ 19,2‴˙ 3‴˙ 4‴˙ 23,1˙ 42,3˙ 50,2˙ 54,3‴
Γαριζίν Μακ 11,4˙ 12,1‴
Γενησὰρ ὕδωρ Οἶκ 50,3
Γενναῖος Μακ 30,1
Γερρηνά (τῶν Γερρηνῶν) Μακ 39,2
Γηών ποτ. Σιρ 79,4
Γολιάθ Σιρ 146,120

Γοργίας (᾽Ιδουμαῖος στρατηγός) Μακ 17,1˙ 24,1˙ 35,1‴˙ 2˙ Οἶκ 14,1˙ 15,1″˙ 4˙ 23,1
Γόρτυς Οἶκ 65,3

Δαγών Οἶκ 46,3˙ 47,2
Δαθάν Σιρ 146,65
Δάθεμα Οἶκ 19,1
Δαμασκός Οἶκ 50,2˙53,2
Δανιήλ Οἶκ 50,2˙ 53,2
Δανιήλ Οἶκ 10,1
Δαρεῖος Γ΄ Οἶκ 1,1
Δαυῖδ ΨαΔα, τίτλος˙ Σιρ 146,113˙ 114˙ 116˙ 147˙ 172˙ 182˙ 191˙ ΜακΕπ 1,6˙ Οἶκ 4,2˙ 8,1˙ 10,1˙ 31,2˙ 63,5˙ ΨαΣο 17,8˙ 15˙ 48˙ Δαυῖδ πόλις Οἶκ 31,2˙ 63,5
Δεσσαού Μακ 41,1
Δῆλος (νῆσος) Οἶκ 65,2
Δημήτριος Σελεύκου Μακ 40,1″˙ 2˙ 3˙ 42,1˙ ΜακΕπ 2,3˙ Οἶκ 30,1˙ 2˙ 34,3˙ 35,1˙ 40,1˙ 2˙ 41,1˙ 42,1˙ 2˙ 43,1‴˙ 2˙ 45,1
Δημήτριος Δημητρίου Οἶκ 45,1″˙ 47,3″˙ 5˙ 48,3″˙ 49,1‴˙ 2″˙ 4˙ 50,1˙ 2˙ 53,1˙ 3˙ 58,1″˙ 2˙ 60,1‴˙ 63,5˙ 64,1˙ 65,3
Δημόστρατος ᾽Ασπένδιος Παπ 1
Δημοφῶν Μακ 30,1
Διόδωρος Παπ 152
Διονύσια Μακ 12,2
Διονύσιος ᾽Ασπένδιος Παπ 1
Διόνυσος Μακ 12,2˙ 42,2
Διοσκορινθίου μηνός Μακ 28,1
Δορυμένης Μακ 9,3
Δοσίθεος Μακ 33,1˙ 4˙ 35,1
Δώκ Οἶκ 69,2
Δωρά Οἶκ 64,3″˙ 66,1

῾**Ε**βραῖοι Μακ 27,4˙ 45,1
᾽Εγγαδί Σιρ 78,17
᾽Εζεκίας Σιρ 146,174˙ 182˙ 191˙ Μακ 44,7
Εἰμαλκουάι ὁ Ἄραψ Οἶκ 49,1
Εἴτουι (δοτική) Παπ 2ᵃ
᾽Εκβάτανα Μακ 20,2
᾽Ελασά Οἶκ 35,2
᾽Ελεάζαρ (υἱὸς ᾽Ααρών) Σιρ 146, 73
᾽Ελεάζαρ ὁ Αὐαράν Οἶκ 6,1˙ 28,1
᾽Ελεάζαρος ὁ μάρτυς Μακ 14,1˙ 4˙ 18,3
᾽Ελεάζαρος (πατὴρ πρέσβεως ᾽Ιάσονος Οἶκ 33,5
᾽Ελεύθερος ποταμός Οἶκ 47,2˙ 53,2
᾽Ελισαϊέ Σιρ 146,166
῾Ελλάς Οἶκ 1,1˙ 33,2
Ἕλληνες Μακ 8,4˙ 27,1˙ Οἶκ 24,1˙ 33,5
῾Ελληνίδες πόλεις Μακ 12,2
ἑλληνικὴ δύναμις Μακ 37,1″˙ τὰ ἑλληνικά Μακ 28,2
᾽Ελούλ (μήν) Οἶκ 63,2
᾽Ελυμαΐς Οἶκ 24,1
᾽Εμμαούς Οἶκ 14,1˙ 5˙ 15,1˙ 37,5
᾽Ενώχ Σιρ 146,18˙ 206
᾽Εριχώ (=᾽Ιεριχώ;) Παπ 2ᵃ
Ἔσδρις Μακ 35,2
Εὐεργέτης (=Πτολεμαῖος Η΄ ὁ Φύσκων) ΠρολΣιρ, 4
Εὐμένης (βασ. Περγάμου) Οἶκ 33,2
Εὐπόλεμος (πρέσβυς ᾽Ιούδα Μακκαβαίου) Μακ 6,2˙ Οἶκ 33,5
Εὐφράτης Σιρ 79,3˙ Οἶκ 13,2˙ 4
᾽Εφραΐμ (φυλή) Σιρ 146,144˙ 150
᾽Εφρών Μακ 34,1˙ Οἶκ 22,1

Ζαβαδαῖοι Οἶκ 53,2
Ζαβδιήλ ὁ Ἄραψ Οἶκ 47,4
Ζακχαῖος Μακ 24,2
Ζαμβρί Οἶκ 7,4
Ζαχαρίας (πατὴρ ᾽Ιωσήφου) Οἶκ 19,3˙ 23,1
Ζεὺς Ξένιος - ᾽Ολύμπιος Μακ 12,1
Ζήνων Καύνιος Παπ 1
Ζήνων Κολοφώνιος Παπ 1
Ζοροβάβελ Σιρ 146, 201

᾽**Η**λίας Σιρ 146,153˙ 156˙ 166˙ Οἶκ 10,1
῾Ηλιόδωρος Μακ 2,3˙ 3,1˙ 3˙ 6″˙ 4,1″˙ 2‴˙ 5,1˙ 11,3
῾Ηράκλεα (ἡ) ᾽Επιγρ 1
῾Ηρακλείδης Παπ 152
῾Ηράκλειτος ᾽Αθηναῖος Παπ 1
῾Ηρακλῆς (ὁ ἥρως) Μακ 7,1″
᾽Ησαΐας Σιρ 146, 180˙ 183
᾽Ησαῦ υἱοὶ (τὸ ἔθνος) Οἶκ 18,1˙ 23,3

Θαμναθά Οἶκ 37,5
Θασσί (=Σίμων) Οἶκ 6,1
Θεκωέ Οἶκ 37,1
Θεόδοτος Μακ 41,2

Θρᾷκες Μακ 35,1
Θρασαῖος Μακ 2,2

Ἰαζήρ Οἶκ 18,3
Ἰακώβ Σιρ 76,1˙ 78,9˙ 79,2˙ 119,10˙ 146,29˙ 40˙ 63˙ ΜακΕπ 2,2˙ Προσ 4,2˙ 17˙ Ἰακὼβ (τὸ ἔθνος) Σιρ 146,103˙ 147˙ 163˙ 200˙ Οἶκ 3,3˙ 11,2˙ 14,3˙ 18,1˙ ΨαΣο 7,20˙ 15,2
Ἰαμβρὶ (υἱοί, φῦλον) Οἶκ 37,1˙ 2
Ἰάμνεια Μακ 30,4˙ 36,1˙ Οἶκ 15,4˙ 23,1˙ 45,1˙ 67,2
Ἰαμνῖται Μακ 30,4
Ἰάσων Κυρηναῖος Μακ 1,1
Ἰάσων (πρέσβυς Ἰούδα Μακκαβαίου) Οἶκ 33,5˙ 52,3˙ 62,2
Ἰάσων (ἀδελφὸς Ὀνίου) Μακ 6,1˙ 3˙ 7,1˙ 2˙ 8,1˙ 2˙ 10,2″
Ἰδουμαία Μακ 35,1˙ Οἶκ 15,4˙ 16,1˙ 17,6˙ 18,1˙ 27,1
Ἰδουμαῖοι 24,1‴
Ἰεζεκιήλ Σιρ 146,197
Ἰερεμίας Σιρ 146,195˙ Μακ 44,4″
Ἰεριχώ Σιρ 78,15˙ Μακ 32,2˙ Οἶκ 37,5˙ 69,1˙ βλ. καὶ Ἐριχώ
Ἰεροβοάμ Σιρ 146,150
Ἰερουσαλήμ Σιρ 78,12˙ 119,12˙ Οἶκ 3,2˙ 4,1˙ 2˙ 3˙ 5,1˙ 6,1˙ 2˙ 7,1˙ 8,1˙ 13,3″˙ 14,3″˙ 24,2˙ 26,3˙ 28,2˙ 30,4˙ 5˙ 31,1˙ 32,3˙ 5˙ 34,2˙ 37,5″˙ 40,3″˙ 42,4″˙ 7˙ 9˙ 44,3˙ 46,1˙ 4˙ 47,2˙ 48,1˙ 49,2˙ 3˙ 50,2˙ 4˙ 53,1˙ 4˙ 55,1˙ 2˙ 58,2˙ 59,3˙ 62,1˙ 63,5″˙ 64,2˙ 66,2˙ 3˙ 69,3˙ ΨαΣο 2,6˙ 22˙ 27˙ 37˙ 8,7˙ 29˙ 33˙ 36˙ 39˙ 45˙ 11,2˙ 4˙ 13˙ 16˙ 17,31˙ 35˙ 52˙ 69˙ Πρσ. 1,9˙ 3,16˙ 17˙ Ἱεροσόλυμα Μακ 2,2˙ 3,1˙ 4,2˙ 6,1˙ 7,1˙ 2˙ 11,4˙ 12,1˙ 19,2˙ 4˙ 20,2˙ 24,1˙ 27,2″˙ 30,4˙ 34,2″˙ 36,3˙ 41,3˙ 43,1˙ 44,9˙ ΜακΕπ 1,1˙ 2,1˙ Οἶκ 2,2˙ 42,9˙ 48,4˙ Προσ 3,9˙ Παπ 2[a]˙ 2[b]
Ἰεροσολυμίτης Σιρ 150,2
Ἱερώνυμος Μακ 30,1
Ἰεσσαί Σιρ 146,116
Ἰεφοννή Σιρ 146,92
Ἰησοῦς Ναυή Σιρ 146,81˙ Μακ 32,2˙ Οἶκ 10,1
Ἰησοῦς υἱὸς Ἰωσεδέκ Σιρ 146,202
Ἰησοῦς υἱὸς Σιράχ Σιρ 150,2˙ ΠρόλΣιρ, 1
Ἰνδική Οἶκ 33,2
Ἰνδός Οἶκ 33,2
Ἰόππη Μακ 7,2˙ Οἶκ 46,1‴˙ 47,2˙ 53,3˙ 61,1˙ 63,4˙ 66,2˙ 3
Ἰοππῖται Μακ 30, 2˙ 3
Ἰορδάνης π. Σιρ 79,3˙ Οἶκ 20,1˙ 22,3˙ 37,1˙ 2˙ 3‴˙ 4″
Ἰουδαία Μακ 11,1˙ 25,1˙ 27,2˙ 37,1˙ 38,2˙ 40,3″˙ ΜακΕπ 1,1˙ 2,1˙ Οἶκ 13,3˙ 16,3˙ 18,3˙ 23,2˙ 28,2˙ 3˙ 30, 6˙ 32,4˙ 37,5˙ 39,1˙ 2˙ 42, 7‴˙ 9˙ 48,1˙ 2˙ 4″˙ 53, 4˙ 58,8˙ 63,3″˙ 66,2˙ 67,1˙ 2″
Ἰουδαϊκὴ τάξις (=παράταξις) Μακ 39,1˙ Ἰουδαϊκὰ σώματα Μακ 17,2
Ἰουδαῖοι Μακ 4,1˙ 6,2˙ 12,9˙ 2˙ 8,4″˙ 11,4˙ 17,1˙ 2˙ 18,2˙ 19,3˙ 4″˙ 20,2″˙ 3˙ 6˙ 21,1″˙ 22,3˙ 23,1˙ 24,1″˙ 25,1˙ 27,1˙ 4˙ 28,1″˙ 2˙ 3″˙ 29,1˙ 30,1˙ 2˙ 3˙ 33,1˙ 34,2˙ 35,1˙ 36,1˙ 38,1˙ 39,1‴˙ 40,2″˙ 3˙ 43,1″˙ 44,1˙ 4˙ ΜακΕπ 1,1˙ 2,3˙ Οἶκ 7,3˙ 15,1˙ 33,5˙ 34,1″˙ 2″˙ 3˙ 42,2˙ 4˙ 5˙ 6˙ 48,3″˙ 49,3‴˙ 51,1˙ 52,1˙ 4˙ 58,2˙ 3˙ 59,1˙ 62,2″˙ 63,3˙ 4˙ 5˙ 6″˙ 7˙ 64,1˙ 65,1″˙ Παπ 152˙ Ἰουδαῖοι Τουβιηνοί Μακ 33,1
Ἰουδαϊσμός Μακ 1,1
Ἰούδας (φυλὴ - ἔθνος) Σιρ 146,116˙ 192˙ ΜακΕπ 1,6˙ Οἶκ 4,1˙ 5,1˙ 2″˙ 6,2˙ 7,1˙ 11,2˙ 14,1˙ 15,1˙ 22,1˙ 3˙ 23,3˙ 24,2˙ 25,2˙ 30,3˙ 6˙ 32,5˙ 35,1˙ 4˙ 38,2˙ 39,5˙ 42,3˙ 4˙ 6˙ 51,1˙ 54,3˙ 54,4˙ 55,1˙ 56,1˙ 61,1˙ 68,4
Ἰούδας Μακκαβαῖος Μακ 1,1˙ 11,6˙ 16,1˙ 17,3˙ 30,3˙ 31,1″˙ 2˙ 32,1˙ 2˙ 33,2˙ 3″˙ 34,1˙ 35,2˙ 36,1˙ 2˙ 37,1˙ 38,1˙ 2˙ 39,1″˙ 40,1˙ 2″˙ 3˙ 41,1˙ 2″˙ 3˙ 42,1˙ 2˙ 44,1˙ 2˙ 4˙ 5˙ 8˙ ΜακΕπ 1,1˙ Οἶκ 6,1˙ 10,3˙ 11,1˙ 12,1″˙ 2‴˙ 3″˙ 4″˙ 14,2˙ 6˙ 15,1˙ 2″˙ 4″˙ 5‴˙ 16,2˙ 3˙ 17,1˙ 2˙ 5˙ 18,1˙ 19,1˙ 2˙ 3″˙ 20,1˙ 2˙ 3˙ 21,1˙ 2″˙ 3″˙ 22,1″˙ 2˙ 3˙ 23,1˙ 2‴˙ 3″˙ 26,1˙ 28,1˙ 30,2˙ 3˙ 6˙ 31,1‴˙ 2″˙ 32,1˙ 3″˙ 33,1˙ 5″˙ 35, 2˙ 3˙ 4˙ 5‴˙ 6″˙ 36,1″˙ 2‴˙ 55,2˙ 62,1
Ἰούδας Σίμωνος (Ἀσμωναῖος) Οἶκ 68,1˙ 4˙ 69,1˙ 2
Ἰούδας υἱὸς Χαλφί Οἶκ 50,4
Ἰσαάκ Σιρ 146,28˙ ΜακΕπ 2,2˙ Προσ 1,28˙ 4,2˙ 17
Ἰσραήλ (ὁ πατριάρχης) Προσ 1,29
Ἰσραήλ (τὸ ἔθνος) Σιρ 49,14˙ 78,9˙ 119,11˙ 123,10˙ 146,40˙ 51˙ 63˙ 75˙ 83˙ 98˙ 114˙

131˙ 139˙ 150˙ 147,18˙ 29˙ 148,3˙ ΨαΔα, 15˙ Μακ 20,3˙ 26,2˝˙ ΜακΕπ 1,5˝˙ Οἶκ 2,1˙ 3,2˙ 3˙ 4,2˙ 5,1˙ 2˙ 3˙ 4˝˙ 9,2˙ 3˙ 10,4˙ 11,1˙ 2˙ 12,1˙ 2˙ 13,3˙ 14,1˙ 3˙ 15,3˙ 5˙ 16,1˙ 2˝˙ 17,5˙ 19,1˙ 22,1˙ 23,2˝˝˙ 26,1˙ 2˙ 30,2˙ 3˙ 4˙ 6˝˙ 31,1˙ 33,5˙ 35,6˙ 36,1˝˙ 37,5˙ 39,5˙ 42,10˙ 44,2˙ 48,2˙ 49,2˙ 54,4˙ 55,1˙ 57,1˙ 58,3˝˙ 59,4˙ 61,3˙ 63,1˙ 68,1˝˙ ΠρολΣιρ, 1˙ ΨαΣο 4,3˙ 5,36˙ 7,15˙ 8,57˙ 70˙ 9,1˙ 4˙ 24˙ 31˙ 10,13˙ 15˙ 17˙ 18˙ 11,3˙ 12˙ 15-18˙ 12,14˙ 14,9˙ 16,5˙ 17,8˙ 50˙ 93˙ 94˙ 99˙ 18,2˙ 7˙ Προσ 3,3

Ἰωάννης (Ἀσμωναῖος, πατὴρ Ματταθίου) Οἶκ 6,1

Ἰωάννης - Γαδδίς (Ἀσμωναῖος, υἱὸς Ματταθίου, ἀδελφὸς Ἰούδα Μακκαβαίου) Οἶκ 6,1˙ 37,1˙ 2

Ἰωάννης (υἱὸς Σίμωνος Ἀσμωναίου) Οἶκ 37,1˙ 2˙ 59,4˙ 68,1˝˙ 4˝˙ 69,3˙ 4˙ 70,1

Ἰωάννης ὁ Ἀκκώς (πατὴρ Εὐπολέμου) Μακ 6,2˙ 28,1˙ 33,5

Ἰωαρίμ (Πα 23,13˙ πατριάρχης τῆς πρώτης ἱερατικῆς ἐφημερίας τοῦ Ἰσραήλ, σύγχρονος τοῦ Δαυΐδ, πρόγονος τῶν Ἀσμωναίων) Οἶκ 6,1˙ 63,2

Ἰωνάθαν (υἱὸς Σαούλ) Οἶκ 16,2

Ἰωνάθαν ὁ Ἀπφοῦς (Ἀσμωναῖος) Μακ 18,3˙ ΜακΕπ 1,4˙ Οἶκ 6,1˙ 19,3˙ 20,1˙ 23,1˙ 35,6˙ 36,2˝˙ 37,1˝˙ 2˝˙ 3˙ 4˙ 39,1˝˙ 2˙ 3˙ 4˙ 5˝˙ 40,2˙ 3˝˙ 41,1˙ 2˝˙ 42,10˙ 44,1˙ 2˙ 3˙ 45,1˙ 46,1˝˙ 2˙ 3˝˙ 5˙ 49,2˝˙ 4˙ 501,˙ 2˝˙ 3˙ 4˝˙ 51,1˝˙ 52,1˝˙ 53,1˝˙ 2˝˝˙ 4˙ 54,1˝˙ 2˝˙ 3˙ 4˝˙ 55,2˙ 56,1˝˙ 2˙ 3˙ 57,1˙ 62,1˝˙ 63,3

Ἰωνάθαν (ὁ τοῦ Ἀβεσσαλώμ, πρέσβυς τῶν Ἀσμωναίων) Οἶκ 55,2

Ἰωσεδέκ Σιρ 146,202

Ἰωσήφ (ὁ πατριάρχης) Σιρ 146,207 Οἶκ 10,1

Ἰώσηφος (Ἀσμωναῖος) Μακ 18,3˙ 24,2

Ἰώσηφος Ζαχαρίου (ἀξιωματικὸς τοῦ Ἰούδα τοῦ Μακκαβαίου) Οἶκ 19,3˙ 23,1˙ 2

Ἰωσίας Σιρ 146,187˙ 191

Κάδης Οἶκ 50,2˙ 4

Καισάρειος (μήν) Παπ 152

Καλλισθένης Μακ 19,2

Καρία Οἶκ 65,3

Καρναΐν Οἶκ 20,1˙ 21,3΄

Καρνίον Μακ 33,2˙ 4

Κάσπις Μακ 32,1

Καύνιος Παπ 1

Κεδρών Οἶκ 67,1˙ 2˙ 68,4

Κιλικία Μακ 8,4˙ Οἶκ 47,4

Κιτιεῖς Οἶκ 33,2

Κενδεβαῖος Οἶκ 67,1˙ 2˙ 68,1˙ 2˙ 3

Κλαύδιος Καῖσαρ (Τιβέριος Κλαύδιος Καῖσαρ Σεβαστὸς Γερμανικός) Παπ 152

Κλεοπάτρα (κόρη Πτολεμαίου Η΄ δοθεῖσα ὡς γυνὴ Ἀλεξάνδρῳ τῷ Σελευκίδῃ) Οἶκ 44,1˝˙ (47,3)

Κνίδιος Παπ 1

Κνίδος Οἶκ 65,3

Κόιντος Μέμμιος Μακ 29,1

Κολοφώνιος Παπ 1

Κορέ Σιρ 146,65

Κράτης Μακ 8,2

Κρήτη Οἶκ 45,1

Κρόνιος Παπ 152

Κύδισος Παπ 2[a]

Κυπριάρχης Μακ 30,1

Κύπριοι Μακ 8,2

Κύπρος Μακ 23,2˙ Οἶκ 65,3

Κυρηναῖος Μακ 1,1

Κυρήνη Οἶκ 65,3

Κῶς Οἶκ 65,3

Λακάσοι Παπ 2[a]

Λακεδαιμόνιοι Μακ 10,3

Λαμέδων (Λα < ο > μ;) Παπ 2[b]

Λασθένης (Λα < ο > σθ;) Οἶκ 48,3˝

Λευΐ Σιρ 146,41

Λεύκιος ὕπατος Οἶκ 65,1

Λίβανος Σιρ 78,14˙ 147,10˙ 16

Λύδδα Οἶκ 48,4

Λυδία Οἶκ 33,2

Λυκία Οἶκ 65,3

Λυσίας Μακ 23,1˙ 27,1˙ 3˙ 4˝˙ 28,1˙ 2˙ 29,1˙ 30,1˙ 34,1˙ 37,1˙ 2˙ 39,2˙ 40,1˙ Οἶκ 13,2˙ 14,1˙ 16,1˝˙ 3˝˙ 24,2˙ 25,3˙ 29,1˙ 30,1

Λυσίμαχος (ἀρχιερεύς) Μακ 8,2˙ 9,1˝˙ 2˝˝

Λώτ Σιρ 46,3

Μαάφά Οἶκ 20,4

Μαδηβά Οἶκ 20,4

Μακέδ Οἶκ 20,1
Μακεδόνες Μακ 18,2″˙ Οἶκ 1,1˙ 24,1˙ Παπ 1
Μακκαβαῖος (ὁ Ἰούδας) Μακ 1,1˙ 11,6˙ 16,1˙ 2˙ 18,1˙ 22,1˙ 24,1˙ 2˙ 3˙ 25,1˙ 2˙ 26,1″˙ 27,2″˙ 4″˙ 33,1˙ 2˙ 39,1˙ 40,2˙ 42,1˙ 2˙ 44,2˙ 6˙ Οἶκ 6,1˙ 10,3˙ 11,1˙ 16,1˙ 20,1˙ 33,5
Μάκρων (Πτολεμαῖος) Μακ 23,1
Μαλλῶται Μακ 8,3
μαρδοχαϊκὴ ἡμέρα Μακ 44,10
Μαρθίνη Ἐπιγρ 2
Μαρισά Μακ 35,1
Μασσηφά Οἶκ 14,3″
Ματταθίας (Ἀσμωναῖος) Μακ 41,2˙ Οἶκ 6,1˙ 3˙ 7,1″˙ 2˙ 3˙ 4˙ 9,1˙ 3˙ 10,1˙ 63,2
Ματταθίας (Ἀσμωναῖος˙ υἱὸς Σίμωνος) Οἶκ 69,1˙ 2
Ματταθίας (υἱὸς Ἀβεσσαλώμου) Οἶκ 50,4
Μαχμάς Οἶκ 39,5
Μενέλαος Μακ 8,1˙ 2″˙ 3˙ 9,1˙ 2˙ 3″˙ 4˙ 10,2˙ 11,2˙ 4˙ 28,3″˙ 37,1˙ 2
Μενεσθεύς Μακ 5,2˙ 7,2
Μεσαλώθ Οἶκ 35,1
Μηδία Οἶκ 29,1˙ 33,2˙ 60,1″
Μῆδοι Οἶκ 1,1˙ Προσ 5,19
Μιλήσιος Παπ 1
Μισαήλ Οἶκ 10,1
Μύνδος Οἶκ 65,3
Μωδεΐν Μακ 38,3˙ Οἶκ 6,1˙ 7,1˙ 3˙ 10,4˙ 35,6˙ 57,1″˙ 68,2
Μωϋσῆς Σιρ 79,1˙ 146,33˙ 57˙ 81˙ 91˙ Μακ 15,3˙ ΜακΕπ 1,6

Ναβάτ Σιρ 146,150
Ναβαταῖοι Οἶκ 20,1˙ 37,1
Ναδαβάθ Οἶκ 37,2
Νάθαν Σιρ 146,113
Ναναία ΜακΕπ 1,3‴
Νασὼρ πεδίον Οἶκ 50,3
Ναυή Σιρ 146,81
Νεεμίας Σιρ 146,204˙ ΜακΕπ 1,4˙ 6
Νήδυμος Παπ 152
Νικάνωρ Πατρόκλου Μακ 17,1˙ 2˙ 3″˙ 18,3˙ 19,3˙ 20,2˙ 30,1˙ 40,3″˙ 41,1″˙ 2˙ 3˙ 42,1″˙ 2″˙ 43,1″˙ 44,1˙ 2˙ 8″˙ 9″˙ 10˙ 45,1˙ Οἶκ 14,1˙ 31,1″˙ 2″˙ 32,1˙ 3˙ 4˙ 5˙ 35,1
Νικάνωρ Κνίδιος Παπ 1
Νόῃϊ Παπ 2[a]
Νουμήνιος Ἀντιόχου Οἶκ 52,3˙ 62,2˙ 3˙ 65,1
Νῶε Σιρ 146,19

Ξανδικός (μήν) Παπ 1˙ Ξανθικός (μήν) Μακ 28,3″˙ 29,2
Ξενοκλῆς Κνίδιος Παπ 1

Ὀδολλάμ Μακ 36,1″
Ὀδομηρά (τις) Οἶκ 39,3
Ὀνίας Σιρ 147,1˙ Μακ 2,1˙ 2˙ 4,1″˙ 2˙ 5,1˙ 2˙ 6,1˙ 8,3˙ 4″˙ 9,1˙ 44,4″˙ 52,1″˙ 4″
Ὀρθωσιάς Οἶκ 67,1

Παμφυλία Οἶκ 65,3
Πάτροκλος Μακ 17,1
πεντηκοστή Μακ 35,1
Περσέπολις Μακ 20,1
Πέρσαι Παπ 1˙ Οἶκ 1,1˙ Προσ 5,18
Περσεύς Οἶκ 33,2
Περσίς (=Περσία) Μακ 20,1˙ 21,2˙ ΜακΕπ 1,3˙ Οἶκ 13,2˙ 24,1˙ 2˙ 29,1˙ 60,1
Πολέμων Μακεδών Παπ 1
Ποσειδώνιος Μακ 41,2
Πτολεμαεῖς (οἱ) Μακ 39,2˙ Οἶκ 54,3
Πτολεμαῖοι Α΄ Β΄ Γ΄ Παπ 1
Πτολεμαῖος (Γ΄) Φιλομήτωρ Μακ 7,2˙ 12,2˙ 21,4˙ 23,2˙ ΜακΕπ 1,1˙ Οἶκ 3,1
Πτολεμαῖος (Η΄) ὁ Εὐεργέτης (Β΄) Οἶκ 43,2˙ 3˙ 44,1˙ 47,1˙ 3˙ 4″″˙ 5˙ 65,1
Πτολεμαῖος Ἀβούβου Οἶκ 69,1˙ 2″˙ 3
Πτολεμαῖος Δορυμένους Μακ 9,3″˙ 14,1˙ 17,1
Πτολεμαῖος Μάκρων Μακ 23,1
Πτολεμαΐς Μακ 39,2″˙ Οἶκ 19,2˙ 4˙ 23,1˙ 40,1˙ 42,7˙ 43,3˙ 44,1″˙ 48,1″˙ 2″˙ 54,2˙ 56,1˙ Παπ 2[a]
Πτολλαρίων Παπ 152
Πύργοι Οἶκ 68,4

Ῥαζίς Μακ 43,1
Ῥαμαθέμ Οἶκ 48,4
Ῥαφών Οἶκ 21,1
Ῥαψάκης Σιρ 146,176
Ῥοβοάμ Σιρ 146,149
Ῥόδοκος Μακ 39,1
Ῥόδος Οἶκ 65,3

‘Ρωμαῖοι Μακ 6,2˙ 17,2˙ 19,4˙ 29,1″˙ Οἶκ 33,1˙ 34,1˙ 2″˙ 52,3˙ 63,6˙ 65,1
‘Ρώμη Οἶκ 1,3˙ 30,1˙ 33,5″˙ 34,1˙ 2˙ 51,1″˙ 62,1˙ 3˙ 65,1

Σαβάτ (μήν) Οἶκ 69,1
Σαλώμ Οἶκ 7,4
Σαλωμών Σιρ 146,133˙ 148
Σαμάρεια Σιρ 149,2˙ Μακ 44,1˙ Οἶκ 12,1˙ 23,3˙ 42,7
Σαμαρεῖτις (χώρα) Οἶκ 42,3˙ 48,2˙ 4
Σάμος Οἶκ 65,3
Σαμουήλ Σιρ 146,102
Σαμψάμης Οἶκ 65,3
Σεβαστὴ Ἀγορά (Ἀλεξανδρείας) Παπ 152
Σελεύκεια Οἶκ 47,3
Σέλευκος Μακ 2,1˙ 6,1˙ 11,3
Σέλευκος (πατὴρ Δημητρίου) Μακ 40,1˙ Οἶκ 30,1
Σενναχηρίμ Σιρ 146,176˙ Μακ 18,2˙ 44,7
Σεραπίων Παπ 152
Σεφηλά Οἶκ 53,4
Σήθ Σιρ 146,208
Σήμ Σιρ 146,208
Σήρων Οἶκ 12,2˙ 4
Σίδη Οἶκ 65,3
Σιδών Οἶκ 19,2
Σιδώνιος Παιδίσκη Παπ 1
Σίκιμα Σιρ 149,2
Σικυών Οἶκ 65,3
Σίμων Ὀνίου Σιρ 147,1
Σίμων ὁ Θασσί (Ἀσμωναῖος) Μακ 2,2˙ 3,2˙ 5,1˙ 2″˙ 8,1″˙ 18,3˙ 24,2˙ 3˙ 41,1˙ Οἶκ 6,1˙ 19,3″˙ 4˙ 23,1˙ 35,6˙ 37,1˙ 2˙ 3″˙ 46,1˙ 3˙ 50,1˙ 2˙ 3˙ 53,3˙ 4˙ 55,1˙ 56,1″˙ 2˙ 3˙ 57,1″˙ 58,1″˙ 2˙ 3˙ 59,1˙ 2˙ 3˙ 4˙ 61,1˙ 62,1˙ 2˙ 3″˙ 63,1˙ 2″˙ 3˙ 4˙ 6″˙ 7″˙ 64,1″˙ 65,1˙ 2˙ 3˙ 66,1˙ 3″˙ 68,1″˙ 69,1″˙ 2
Σινά Σιρ 146,159
Σιράχ Σιρ 150,2
Σιών Σιρ 78,11˙ 119,13˙ 146,177˙ 185˙ Οἶκ 17,1˙ 6˙ 22,3˙ 28,2˙ 32,1˙ 40,4˙ 63,1˙ ΨαΣο 11,1
Σκῦθαι Μακ 9,3
Σκυθοπολῖται Μακ 34,2
Σκυθῶν Πόλις Μακ 34,2
Σολομών ΨαΣο, τίτλος
Σουραβιτ...οι Παπ 2[a]
Σουφίρ Προσ 3,67
Σπάρτη Οἶκ 62,1
Σπαρτιᾶται Οἶκ 51,1˙ 52,1″˙ 4˙ 62,1˙ 2˙ 3˙ 65,3
Στράτων Μακεδών Παπ 1
Στράτωνος Πύργος Παπ 2[a]
Συμεών (Ἀσμωναῖος˙ πάππος Ματταθίου) Οἶκ 6,1˙ 10,3
Συρία Οἶκ 12,2˙ 14,1˙ 32,3˙ 47,1˙ 50,2˙ Συρία Κοίλη Μακ 2,2˙ 3,1˙ 5,2˙ 17,1˙ 23,1˙ 45,1
συριακὴ φωνή Μακ 44,10
Σφραγὶς παιδίσκη Παπ 1
Σωσίπατρος Μακ 33,1˙ 4
Σωσίπατρος Παπ 8,2″

Ταρσεῖς Μακ 8,3
Τεφών Οἶκ 37,5
Τίγρης Σιρ 79,2
Τίμαρχος Κολοφώνιος Παπ 1
Τιμόθεος Μακ 19,1˙ 2˙ 20,2˙ 25,1˙ 2˙ 26,2˙ 30,1˙ 31,1˙ 33,1″˙ 2″˙ 4˙ Οἶκ 18,3˙ 19,1˙ 20,3˙ 21,1˙ 2
Τιμόπολις Μιλήσιος Παπ 1
Τίτος Μάνλιος Μακ 29,1
Τουβίας (=Τωβίας) Παπ 1˙ 2[b]
Τουβιηνοὶ Ἰουδαῖοι Μακ 33,1
Τρίπολις Μακ 40,1
Τρύφων Οἶκ 49,1˙ 50,1″˙ 54,1˙ 2˙ 3˙ 55,1˙ 56,1″˙ 2˙ 3‴˙ 58,1″˙ 60,1˙ 64,3˙ 66,1˙ 67,1″
Τύριοι Σιρ 146,107˙ Μακ 9,4
Τύρος Μακ 7,1˙ 8,3˙ 9,3˙ Οἶκ 19,2˙ 50,1
Τωβίας Οἶκ 19,1
Τωβίας Ὑρκανός Μακ 3,2

Ὑρκανός Μακ 3,2

Φαραθωνί Οἶκ 37,5
Φασηλίς Οἶκ 65,3
Φασιρών Οἶκ 39,3
Φίλιππος (Β΄) Μακεδών Οἶκ 24,1˙ 1,1
Φίλιππος (Ε΄) Μακεδών Οἶκ 33,2
Φίλιππος Ἀθηναῖος Παπ 1
Φίλιππος Φρύξ Μακ 11,4˙ 12,3˙ 17,1˙ 21,4˙ 39,1˙ Οἶκ 25,3˙ 29,1˙ 3
Φιλιστιίμ Σιρ 146,107˙ 124˙ 149,2˙ Οἶκ 12,4
Φίλων σιτοποιός Παπ 2[b]
Φινεές σιρ 146,73˙ Οἶκ 7,4˙ 10,1

Φισών ποταμὸς Σιρ 79,2
Φοινίκη Μακ 2,2˙ 3,1˙ 5,2˙ 7,2˙ 17,1˙ 23,1
Φρύξ Μακ 11,4

Χαιρέας Μακ 25,2˙ 26,2
Χάλεβ Σιρ 146,92˙ 96˙ Οἶκ 10,1
Χαλφί Οἶκ 50,4
Χαναάν Οἶκ 37,2
Χάραξ (τόπος) Μακ 33,1
Χασελεῦ (μήν) Μακ 22,2˙ ΜακΕπ 1,4˙ 2,3˙ Οἶκ 5,2˙ 17,4˙ 5
Χασιδίμ˙ βλ. Ἁσιδαῖοι
Χασφώρ Οἶκ 20,1˙ 4
Χαφαρσαλαμά Οἶκ 31,2
Χαφεναθά Οἶκ 53,4
Χεβρών Οἶκ 23,3
Χεττιίμ Οἶκ 1,1
Χωρήβ Σιρ 146,159

Τὸ βιβλίο αὐτὸ ἐκτυπώθηκε στὶς 21 - 12 - 2020

«ΝΕΑ ΣΤΟΙΧΕΙΟΘΕΤΙΚΗ» ΓΙΑΝΝΟΥΛΗ - ΤΣΟΛΕΡΙΔΗ Ο.Ε
ΦΩΤΟΣΤΟΙΧΕΙΟΘΕΣΙΑ - ΕΚΤΥΠΩΣΗ ΟΦΦΣΕΤ
ΑΧΕΛΩΟΥ 6 - ΤΗΛ.: (2310) 542940, 522503 - FAX: 542940 - ΘΕΣΣΑΛΟΝΙΚΗ

ΛΕΥΚΗ